ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ

ΒΙΒΛΙΩΝ ΙΑΤΡΙΚΩΝ

ΤΟΜΟΣ Α΄,

ΤΟΥΤΕΣΤΙ ΒΙΒΛΙΑ ΟΚΤΩ ΤΑ ΠΡΩΤΑ.

AETII AMIDENI

LIBRORVM MEDICINALIVM

TOMVS PRIMVS,

PRIMI SCILICET LIBRI OCTO NVNC PRIMVM IN LVCEM EDITI.

AL DVS.

*

M D XXXIIII.

Aetius iste erat Christianus. nam et de Jesu Christo mentionem facit lib. 8. et de divo Blasio pag. 165. 46. cap. 50. lib. 8. ubi

[illegible] Andrea [illegible] τοῦ κόμητος pag. 173. [illegible] [illegible] [illegible] [illegible] cuius nominis dignitas [illegible]

Deinde et hyssopum [illegible] nominat [illegible]

Arabas pro [illegible] 154. 34 quod [illegible] corrupto [illegible] ab Arabibus [illegible] et [illegible] hyssopum

[illegible] ibid. [illegible] φοῦρνον [illegible]

pag. 169. b. 51 ἀντὶ τοῦ κλιβάνου [illegible] cap. 50

[illegible] pro Galica 153 b. 7. 172. b. 5. [illegible]

ad [illegible] hoc vocabulo [illegible] Arabum [illegible]

pag. 163. 54 b. 8. [illegible] [illegible]

[illegible] exemplari [illegible] βουκέλλατον

buccella. lib. 3. cap. 5. [illegible] pro

[illegible] 37. b. 4. [illegible] ἀντὶ τοῦ [illegible]

[illegible] confectionem quae

ex [illegible] est Arabum pag. 10. 41. [illegible]

στεσοχος [illegible] 9. b. 39. 42. [illegible] 275. b. 29.

in antiquo exemplari [illegible] Ἀετίου κόμητος. et

τοῦ Ἀετίου Ἀμιδηνοῦ κόμητος τοῦ ὀψικίου. Tamen

verisimile est Abydenum fuisse [illegible] B. [illegible]

antiqui [illegible] putarunt [illegible]

[illegible] figuram litterae [illegible] [illegible] μελι

174. b. 18.

MEDICINAE STVDIOSIS.

ETsi iampridem, cum Galenum ederemus, Aëtii quoque nos opera in usum uestrum emissuros polliciti sumus: factum est tamen primum fato nescio quo officinæ nostræ, quæ superioribus temporibus diutius omnino, quàm oportuit, otiosa fuit: deinde uero uetustorum exemplarium inopia, ut & uestram expectationem fefellerimus, & nos in hunc usque diem authoris tam excellentis editionem differre coacti simus. ex quo quidem tantum abest ut arbitremur uos ullam molestiam, uel dolorem trahere debere: ut etiam consilium hoc nostrum maximopere unicuique probari posse credamus. præstat enim, emendata & integra, quæ exeunt, serius aliquanto uos habere, quàm citius uel mendosa, uel mutilata. Quæ causa fecit, ut Aëtii primos tantum octo libros hoc tempore emittamus. qui certe ex codicum antiquissimorum collatione summo studio diligentiaq; recogniti, eiusmodi exeunt, ut uel doctissimi cuiusque iudicio satis esse facturos existimemus. quod si sumus assecuti: uestrum erit, amplecti uoluntatem hanc nostram, qui cum eundem authorem minore impensa latinum uobis exhibere possemus, græcum, unde certiora colligatis, dare maluimus. Interim reliquos octo libros expectabitis. quos, ubi primum exemplaria, quæ totius operis editionem morantur, acceperimus: eadem cura, uel etiam acriore emendatos emittemus. Valete feliciter.

CLEMENS PAPA VII.

DILECTI filii salutem & apostolicam ben. Exponi nobis nuper fecistis uos ad imitationem quondam Aldi Manutii Pii Romani, cuius impressoriæ artis successores estis: nouos quotidie libros, tam græcos, q̃ latinos eisdemmet characteribus, quorum ipse Aldus primus inuentor & author fuit: cura & impensa uestra impressos in lucem edere, ac per eos publicæ utilitati non parum consulere: Nunc uero Galeni medici opera omnia græca imprimi curare: ex quibus propter eximiam frugem, & singularem doctrinam in illis contentam, medicinæ ars humano generi ualde necessaria plurimum iuuari, atq; illustrari posset: ac in animo habere, diligentem operam adhibere, ut Hippocratis principis medicorum ac Pauli Eginitæ, necnon Aëtii, & Oribasii insignium Græcorũ medicorũ opera nunquam hactenus impressa, quamemendatissime imprimantur: desiderareq;, ne de laboribus uestris, quos ad communem hominum utilitatem suscipitis, alii speratos a' uobis fructus auferant, per nos oportune prouideri. Nos ad officium nostrum pertinere putantes omnia procurare, quibus bonæ artes temporibus nostris maxime floreant: illarumq; fautores ad noua semper excogitanda, & studiosis publicanda iustis gratiarum prærogatiuis alliciantur, & inuitentur. Et propterea desiderio uestro, qui bono publico non sine magnis laboribus, & impensis studere non desistitis: ne ab aliquibus iusto & honesto lucro defraudemini, annuere uolentes: Vniuersis & singulis cuiuscunq; dignitatis, gradus, & conditionis existant: sub excommunicationis latæ sententiæ, nostris uero & Sanctæ Romanæ Ecclesiæ subditis, præterea etiam mille ducatorum pœna, pro una tertia parte Fabricæ Basilicæ Principis apostolorum de Vrbe, pro altera uobis, pro reliqua uero Iudicibus seu officialibus, qui præsentium executores fuerint, applicandorum tenore præsentium committimus, & mandamus, ne dicti Galeni & aliorum medicorum Græcorum opera per uos impressa uel imprimenda infra decẽ annos, postquam impressa fuerint, imprimere, seu imprimi facere, aut quoquo modo uendere, seu uendi facere præsumant: Mandantes in uirtute sanctæ obedientiæ auditori cameræ apostolicæ, & Vrbis nostræ gubernatori, necnon Senatori, ac omnibus & singulis aliis gubernatoribus, ac magistratibus & officialibus nostris quibuscunq;, ut a' uobis, seu uestris agentibus in præmissis & circa ea requisiti, contra eos, qui dicta opera contra præsentium tenorem impresserint, seu imprimi fecerint, aut uendiderint, seu uendi fecerint, ad declarationem incursus dictæ pœnæ procedant, & pœnam ipsam pecuniariam, a' quibus exigenda erit, irremissibiliter exigant, ac alia faciant, & exequantur in præmissis quomodolibet necessaria, uel oportuna: Inuocato etiam ad hoc, si opus fuerit, auxilio brachii secularis. Volumus autem præsentium literarum nostrarum transumptis, manu Notarii publici subscriptis, & sigillo alicuius Prælati ecclesiastici munitis, eandem prorsus fidem in iudicio, & extra adhiberi, quæ præsentibus originalibus adhiberetur, si exhibitæ forent uel ostensæ. Non obstantibus constitutionibus & ordinationibus apostolicis, cæterisq; contrariis quibuscunq;. Datum Romæ apud Sanctum Petrum sub annulo piscatoris. Die XXVII. Ianuarii. MDXXV. Pont. nostri anno secundo.

Be. El. Rauenn̄.

A' tergo.

Dilectis filii Andreæ de Torresanis de Asula, & hæredibus quondam Aldi Manutii Ro. in ciuitate Venetiarum commorantibus.

ΠΡΩΤΟΝ.

Ἐν μὲν τῷ πρώτῳ τάδε. περὶ τῶν ἁπλῶν φαρμάκων ἐκ τῶν φυτῶν κατὰ τὰ στοιχεῖα τεταγμένων. ἐφ᾽ ὧν καὶ περὶ τῆς τῶν πολλῶν ἐλαίων σκευασίας.

ΔΕΥΤΕΡΟΝ.

Ἐν δὲ τῷ δευτέρῳ, περὶ τῶν ἁπλῶν φαρμάκων τῶν λίθων καὶ μεταλλικῶν τῶν ἐξ ὕδατος γινομένων, καὶ περὶ τῆς ἀπὸ τῶν ζώων ὕλης, δι᾽ αἱμάτων, γαλάκτων, περιττωμάτων, καὶ μορίων τῶν πεζῶν καὶ ἄκρων, καὶ σπλάγχνων, καὶ περὶ σαρκὸς τῶν ἀγρίων ζώων. καὶ περὶ τῆς ἀπὸ τῶν πτηνῶν ζώων τροφῆς. καὶ περὶ τῆς τροφῆς ἀπὸ τῶν ἐνύδρων. καὶ περὶ τῶν ταριχευομένων αὐτῶν καὶ στεάτων, καὶ ῥυπαρῶν, καὶ κεκαυμένων. καὶ περὶ ἐκλογῆς τῶν καλλιστευομένων ἁπλῶν φαρμάκων δι᾽ ὅσα θερμαίνει ἢ ψύχει καὶ τὰ ὅμοια.

ΤΡΙΤΟΝ.

Ἐν δὲ τῷ τρίτῳ, περὶ κενώσεως καὶ κενωτικῶν παντοδαπῶς, οἷον τρίψεως καὶ γυμνασίων καὶ φλεβοτομίας καὶ τῶν ὁμοίων. καὶ περὶ τῶν καθαρτικῶν φαρμάκων, καὶ μεθόδου συνθέσεως αὐτῶν ἐφ᾽ οὗ καὶ περὶ συνθέσεως οἴνων καθαρτικῶν καὶ ἀψινθάτων καὶ κονδίτων, ῥοσάτων, ῥοδομέλιτος, ὄξους, φουσκῶν, ζωμῶν, γάλακτος καθαρτικῶν. καὶ περὶ ἱδρῶν, καὶ ἐπιμελειῶν τῶν πινόντων τὰ καθαρτικά. καὶ περὶ ἐμέτου καὶ ἐμετικῶν καὶ ἐλλεβόρων καὶ ἐπιθεμάτων καθαρτικῶν. καὶ περὶ καθαρτικῶν τῶν ὀφθαλμῶν καὶ ὤτων καὶ πνεύμονος καὶ στομάχου καὶ λοιπῶν μορίων. καὶ περὶ κενωτικῶν λίθων. καὶ καταμήνια ἀγόντων, καὶ ἑλμίνθων καὶ ἱδρώτων κινούντων. καὶ περὶ κλυσμῶν καὶ βαλάνων. καὶ περὶ ἀέρων καὶ γῆς καὶ ἀνέμων καὶ σημασιῶν ἀστέρων. καὶ περὶ ὑδάτων, καὶ λουτρῶν, καὶ ἀποσπογγισμοῦ, καὶ καταιονήσεων, καὶ ἐγκαθισμάτων, καὶ ἐμβροχῶν, καὶ καταπλασμάτων, καὶ δρωπακισμοῦ, καὶ πιττώσεως, καὶ σιναπισμοῦ καὶ φοινισσόντων.

ΤΕΤΑΡΤΟΝ.

Ἐν δὲ τῷ τετάρτῳ, περὶ ὑγιεινῆς διδασκαλίας τοῦ σώματος καὶ διαγνώσεως δυσκρασιῶν, τῶν τε κατὰ φύσιν καὶ παρὰ φύσιν. καὶ περὶ θεραπείας τούτων. καὶ πρώτως περὶ παιδοτροφίας καὶ τῶν τοῖς βρέφεσι παρὰ φύσιν συμβαινόντων. καὶ περὶ διαίτης παιδίων μετὰ τὸν ἀπογαλακτισμόν, καὶ τῶν ἐφεξῆς ἡλικιῶν, καὶ διαίτης γερόντων, καὶ ἀναλήψεως τῶν κατισχνωμένων. καὶ ἰάσεως τῶν κατισχνωμένων μορίων. καὶ περὶ κόπων ἁπάντων καὶ ἰάσεως αὐτῶν. καὶ περὶ ἐπιμελείας πρὸς τὰς ψύξεις καὶ θεραπείας πυκνωθέντος δέρματος καὶ κραιπάλης. καὶ περὶ κράσεων σημείων καὶ ἰάσεων.

ΠΕΜΠΤΟΝ.

Ἐν δὲ τῷ πέμπτῳ, περὶ πυρετῶν, καὶ κρίσεως αὐτῶν, καὶ ὡρῶν, καὶ οὔρων, καὶ διαχωρημάτων, καὶ ἐμέτων, καὶ αἱμορραγίας, καὶ ἱδρώτων. καὶ περὶ τῶν συγκοπτομένων καὶ λειποθυμούντων, καὶ διαφορᾶς συγκοπῆς καὶ λειποθυμίας. καὶ περὶ συμβεβηκότων τοῖς πυρέττουσι καὶ θεραπειῶν καὶ ἐπιμελειῶν αὐτῶν. καὶ περὶ ἡδέων καὶ χρησίμων πομάτων ἐν τοῖς πυρετοῖς. καὶ περὶ τοῦ διὰ κωδύων. καὶ περὶ σκευασιῶν ὀμφακομέλιτος καὶ ῥοδομέλιτος καὶ ὑδρομέλιτος. καὶ ὀξυμέλιτος καὶ κονδίτων τινῶν.

ΕΚΤΟΝ.

Ἐν δὲ τῷ ἕκτῳ, περὶ τῶν τοῦ τε ἐγκεφάλου καὶ τῶν νεύρων παθῶν. καὶ τῶν περὶ τὰ ὦτα καὶ ῥῖνας καὶ ὀσφρήσεις καὶ πταρμούς.

ΕΒΔΟΜΟΝ.

Ἐν δὲ τῷ ἑβδόμῳ, περὶ τῶν τῶν ὀφθαλμῶν παθῶν τε καὶ θεραπειῶν. καὶ κολλυρίων παντοδαπῶν.

ΟΓΔΟΟΝ.

Ἐν δὲ τῷ ὀγδόῳ, τὰ πρὸς τὰς τῶν ὀφρύων διακοσμήσεις, καὶ ἄλλα πάθη τοῦ προσώπου. καὶ πρὸς εὐωδίαν καὶ δυσωδίαν τοῦ παντὸς σώματος. καὶ ῥυτίδας καὶ λειχῆνας καὶ πάθη τοῦ γενείου, καὶ χειλῶν, καὶ στόματος δυσωδίαν. καὶ τῶν οὔλων πάθη, καὶ ὀδόντων, καὶ γλώσσης, καὶ τὰς ἄφθας. καὶ γαργαρεῶνος πάθη, καὶ παρισθμίων οἷον συνάγχην καὶ πνιγμὸν ἐκ τοῦ ὕδατος. καὶ καταπειρόμενα ὀστᾶ ἢ ἀκάνθας, καὶ ἀρτηρίαν καὶ πρὸς τὰς τῆς φωνῆς ἀποκοπὰς καὶ πρὸς καταῤῥόους καὶ κορύζας καὶ βῆχας καὶ ἄσθματα. καὶ τοὺς ἐν καρδίᾳ παλμούς. καὶ αἵματος ἀναγωγὰς καὶ πτύσιν. καὶ ἕλκη ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ. καὶ τὰ πρὸς τοὺς φθισικούς. καὶ πλευρίτιδας. καὶ ὅλως περὶ τῶν ἐν τῷ προσώπῳ καὶ στόματι, καὶ παρισθμίοις παθῶν ὑποτάγη τῷδε τῷ λόγῳ. καὶ περὶ καταῤῥόου καὶ βηχὸς καὶ τῶν ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ καὶ πνεύμονι καὶ θώρακι παθῶν.

ΑΕΤΙΟΥ ΑΜΙΔΙΝΟΥ ΣΥΝΟΨΙΣ ΤΩΝ ΤΡΙΩΝ ΒΙΒΛΙΩΝ, ΟΡΙΒΑΣΙΟΥ λέγω δὴ τοῦ πρὸς Ἰουλιανόν. καὶ τοῦ πρὸς Εὐστάθιον. καὶ τοῦ πρὸς Εὐσωνάπιον, καὶ τῶν θεραπευτικῶν βιβλίων Γαληνοῦ. καὶ Ἀρχιγένους. καὶ Ῥούφου, καὶ ἑτέρων τινῶν ἀρχαίων ἐπισήμων.

ΠΙΝΑΞ ΤΟΥ ΠΡΩΤΟΥ ΤΜΗΜΑΤΟΣ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ ΑΕΤΙΟΥ.

ΑΕΤΙΟΥ ΑΜΗΔΙΝΟΥ ΚΟΜΗΤΟΣ ΤΟΥ ΟΨΙΚΙΟΥ. ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Περὶ δυνάμεως τῶν ἁπλῶν φαρμάκων.

Αἱ διαφοραὶ τῶν κατὰ μέρος ἐνεργειῶν ἐν ἑκάστῳ τῶν φαρμάκων γίνονται, τῷ τὸ μὲν τοσόνδε θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, ἢ λεπτομερὲς, ἢ παχυμερὲς ὑπάρχειν ἕκαστον αὐτῶν. τὸ δὲ τὸ μὲν τοσόνδε προσήκειν ἐν ἑκάστῳ τῶν εἰρημένων, ἄρρητον ἐστὶ πρός γε τὴν ἀκριβεστάτην ἀλήθειαν, ἀλλ' ἡμεῖς καὶ αὐτὸ ἐπειράθημεν περιλαβεῖν ὅροις σαφέσιν ἱκανοῖς εἰς τὴν χρείαν τῆς τέχνης. ἓν μὲν γένος φαρμάκων ἐπιδείξαντες, εἰς ὁμοίαν τοῖς σώμασιν ἡμῶν ἀφικνούμενον κρᾶσιν. ἐπειδὰν ὑπὸ τῆς ἐν αὐτοῖς θερμότητος ἀρχήν τινα δέξηται μεταβολῆς τε καὶ ἀλλοιώσεως. ἕτερον δὲ, θερμότερον ἢ καθ' ἡμᾶς γινόμενον. τούτου δὲ τέσσαρας ἔδοξέ μοι ποιήσασθαι τάξεις. πρώτην μὲν τὴν ἔτι ἀσαφῆ πρὸς αἴσθησιν, ὡς λόγου δεῖσθαι τοῦ φωράσοντος. ἑτέραν δὲ ἐπ' αὐτῇ δευτέραν ἤδη σαφῆ πρὸς αἴσθησιν. ἄλλην δὲ τρίτην θερμαίνουσαν ἰσχυρῶς, οὐ μὴν ἤδη γέ πω καίουσαν. ἐφ' ᾗ τετάρτην καὶ ἐσχάτην τὴν καυστικήν. οὕτω δὲ καὶ τῶν ψυχόντων. πρώτην μὲν τάξιν τῶν λόγου δεομένων εἰς ἀπόδειξιν τοῦ ψύχειν. δευτέραν δὲ τῶν αἰσθητῶς ψυχόντων. καὶ τρίτην τῶν αἰσθητῶς ψυχόντων, οὐ μὴν ἤδη νεκρούντων. καὶ τετάρτην τῶν νεκρούντων. καὶ ἀναλόγως ταύταις ἐπί τε τῶν ὑγραινόντων, καὶ ξηραινόντων. γινέσθω δὲ τούτων αὐτῶν, σαφηνοῦς διδασκαλίας ἕνεκα, τάξις τῶν ἀποστάσεων. τῶν μὲν τῶν ψυχρῶν ἡ πρώτη μὲν ἐξ ἧς ἄν τις θείη τὸ ῥόδινον ἔλαιον, ἢ τὸ ῥόδον αὐτό. δευτέρα δὲ ἑξῆς ταύτῃ, οἷον ὁ τοῦ ῥόδου χυλὸς, καὶ τρίτη καὶ τετάρτη, μέχρι περ ἂν τὰ ψυχρότατα τῷ λόγῳ παραγινώμεθα, κώνειόν τε καὶ μηκώνιον, καὶ μανδραγόραν, καὶ ὑοσκύαμον. τῶν δ' αὖ τῶν θερμῶν ἄνηθόν τε καὶ τῆλιν πρώτης. δευτέρας δὲ ἐφεξῆς, ἅπερ φαίνεται δεύτερα, καὶ τρίτα, καὶ τέταρτα, μέχρις ἂν τὰ καίοντα παραγινώμεθα. κατὰ τὸν αὐτὸν τρόπον τῶν τε τῶν ὑγραινόντων, καὶ ξηραινόντων φαρμάκων. ἀρξάμενοι πάλιν ἀπὸ τῆς συμμέτρου, τάξεις ἐφεξῆς ἄχρι τῶν ἄκρων ποιησόμεθα. τῆς γὰρ τοιαύτης γνώσεως εἰς τὴν ἰατρικὴν μέθοδον οὐ σμικρά τις ἡ χρεία. προσήκει δὲ γεγυμνάσθαι κατὰ τὴν γευστικὴν αἴσθησιν, καὶ τῶν μνήμης ἔχειν ἑκάστης ποιότητος τῶν χυμῶν τὴν ἰδιότητα, οἷον αὐτίκα ὅταν τὸ πλησιάζον τῇ γλώττῃ σῶμα σφοδρῶς ξηραίνῃ καὶ συνάγῃ καὶ τραχύνῃ μέχρι βάθους πλείονος αὐτήν. ὥσπερ ἀχράδες ἄωροι καὶ κρανέες, καὶ τὰ ὅμοια, στρυφνὸν ἅπαν τὸ τοιοῦτον ὀνομάζεται, ὅπερ ἐστὶ ἐπιτεταμένον αὐστηρόν. ὅσα δὲ ἐν τῷ ψαύειν τῆς γλώττης, οὐ συνάγει μὲν αὐτὴν, οὐδὲ σφίγγει καθάπερ τὰ στύφοντα. τὸ δὲ ἐναντίον ἅπαν φαίνεται ποιοῦντα ῥύπτοντά τε καὶ ἀποπλύνοντα, ταῦτα σύμπαντα προσαγορεύομεν ἁλυκά. τὰ δὲ ἔτι μᾶλλον τούτων ῥύπτοντα μετὰ τοῦ καὶ τραχύνειν ἀνιαρῶς, πικρὰ προσαγορεύεται. τὰ δέ γε δάκνοντα καὶ διαβιβρώσκοντα μετὰ θερμότητος ἰσχυρῶς, δριμέα, τὰ δὲ ἄνευ θερμότητος δάκνοντα, καλεῖται μὲν ὀξέα. πρόσεστι μὲν αὐτοῖς καὶ τὸ ζημιοῦν τὴν γῆν ἐπιχεομένοις αὐτῇ. ὅσα δὲ οἷον ὑπαλείφει τε καὶ ἀναπληροῖ καὶ καθίστησι τά τε τραχυσμένα, καὶ οἷον διαβεβρωμένα τῆς γλώττης μόρια, ταῦτα μεθ' ἡδονῆς ἐναργοῦς ψαύοντα, γλυκέα ὀνομάζεται. χωρὶς δὲ τῆς ἐναργοῦς ἡδονῆς, λιπαρὰ προσαγορεύεται. εἰ μὲν οὖν τὴν δριμύτητα κατανοῆσαι σαφῶς ἐθέλοις, τῶν σκορόδου τε καὶ κρομμύου, καὶ τῶν ὁμοίων αὐτοῖς, ἀπογευόμενόν τε συνεχῶς καὶ μασώμενον τῶν πλεῖστον, καὶ τῇ μνήμῃ πειρώμενον ἀκριβῶς παρατίθεσθαι τοῦ γινομένου πάθους τὴν αἴσθησιν. εἰ δὲ τὴν στύψιν κατανοῆσαι σαφῶς ἐθέλοις, τῶν κηκίδος τε καὶ ῥοῦ καὶ τῶν ὁμοίων. εἰ δὲ τὴν πικρότητα κατανοῆσαι βούλει, νίτρου καὶ χολῆς γευόμενον. εἰ δὲ τὴν γλυκύτητα, σιραίου καὶ μέλιτος. ἔτι δὲ πρὸς τούτοις, εἴτε ἄποιον ἐθέλοις, εἴτε μέσον ἐν ποιότητι τῇ πρὸς τὴν γεῦσιν, τὸ ὕδωρ ἀξιώσαι λαμβάνειν, καὶ τούτου γευόμενον, ἀκριβῶς ἔχειν ἐν τῇ μνήμῃ, καὶ μάλιστα τοῦ καθαρωτάτου ὕδατος, καὶ μηδεμίαν ὧν προειρήκαμεν ἐμφαίνοντος ποιότητα, μήτε γλυκύτητα, μήτε δριμύτητα, μήτε ὀξύτητα, μήτε πικρότητα, καὶ πρὸς τούτοις ἔτι, μήτε ἱκανῶς θερμοῦ, μήτε ὑπερβαλλόντως ψυχροῦ. ἐντεῦθεν γὰρ ὁρμώμενος ἑτοιμότερον ἐπί τε τὴν τῶν ἀμυδρῶν χυμῶν ἀφίξῃ διάγνωσιν, ἐπί τε τὴν τῶν, ὡς ἐγὼ μὲν φημὶ, μετρίως γλυκέων. ὡς δὲ ἄλλοι τινὲς, ὑδατωδῶν. οἷός ἐστι ὅ τε χλωρῶν καλάμων, καὶ ἀγρώστεως χυλὸς, πυρῶν τε καὶ κριθῶν, καὶ ἄλλων πολλῶν τῶν συμμέτρως γλυκέων. ὁποῖον τέ σοι τὸ ἀποιότατον, ὕδωρ θερμότητός τε καὶ ψυχρότητος ἐπιφανοῦς ἐστὶ, μέσην ὡς οἷόν τε μάλιστα κατάστασιν ἔχον, ἢ καὶ μικρόν τι ῥέπον τῶν ἐπὶ τὸ ψυχρόν. εἰ δὲ τὸ τοιαύτην γεῦσιν ἔχον, οὐχ ὑγρὰν, ἀλλὰ ξηρὰν ἔχει τὴν σύστασιν, ἀνάγκη γεῶδες ὑπάρχειν αὐτὸ, καὶ ξηραίνειν ἀδήκτως. ὀνομάζεται δὲ τὰ τοιαῦτα, ἐμπλαστικὰ, καθάπερ ἄμυλον, καὶ τὰ πλεῖστα τῶν ἀκριβῶς πεπλυμένων μεταλλικῶν, πομφόλυξ. ψιμμύθιον. καδμεία. κιμωλία. σάμιος ἀστήρ. καὶ τὰ παραπλήσια. τινὰ δὲ ἐξ αὐτῶν οὐ γεώδη μόνον, ἀλλὰ καὶ ὑδατώδη τὴν φύσιν ἐστί. ἔνια δὲ καὶ ἀέρος οὐκ ὀλίγου ἐν ἑαυτοῖς ἔχουσι, γλίσχρα μὲν ταῦτα καὶ διὰ τοῦτο ἐμπλαστικά,

διττὴ γὰρ τῶν ἐμπλαστικῶν φαρμάκων ἡ φύσις, ἡ μὲν ἑτέρα γεώδης ἀκριβῶς καὶ ξηρά, ἡ δὲ ἑτέρα
γλίσχρα μὲν πάντως, μικτὴ δὲ ἐξ ὕδατος καὶ γῆς, καὶ τὰ πολλὰ καὶ ἀέρος, ὥσπερ τὸ γλυκὺ ἔλαιον·
τὸ δὲ τοῦ ᾠοῦ τὸ λευκόν, ὅμοιον μέν πως, γεωδέστερον δὲ ἐλαίου, καὶ τὸ τυρῶδες τοῦ γάλακτος, ἐμπλα-
στικόν ἐστι, καὶ ἡ τοῦ ὑὸς πιμελή, ταύρου μὲν γὰρ καὶ τράγου πιμελὴ ἤτοι στέαρ, δριμὺ καὶ γεωδέστερον,
τῆς τῶν ὑῶν πιμελῆς, χηνὸς δὲ καὶ ἀλεκτρυόνος ἔστι μὲν καὶ θερμοτέρα καὶ ξηροτέρα τῆς τῶν ὑῶν, ἀλ-
λὰ λεπτομερής τε καὶ οὐδαμῶς γεώδης. αἱ γὰρ πιμελαὶ εἰ μή που δριμύτητά τινα ἔχουσιν, ἐμπλαστι-
καί τε τῶν πόρων εἰσί, καὶ μᾶλλον αἱ ξηρότεραί τε καὶ γεωδέστεραι. τοιοῦτος δὲ ἔστι καὶ ὁ πεπλυμένος
ἀκριβῶς κηρός. τὰ μὲν οὖν ἐμπλαστικὰ φάρμακα, τοιαῦτα. τὰ δὲ στύφοντα γεώδη τέ ἐστι καὶ παχυ-
μερῆ ταῖς τῶν ὄγκων συστάσεσι. ψυχρὰ δὲ ταῖς ποιότησι. τὰ δὲ ὀξέα, λεπτομερῆ τε τοῖς σώμασι. ψυ-
10 χρὰ δὲ ὡσαύτως τοῖς στύφουσιν. ὅσα δὲ τοῖς χυμοῖς ἐμφέρεται γεώδη μόρια, κατατηκόμενα ταῦτα
καὶ συνάγοντα, καὶ ἀποξηραίνοντα τὰ νοτερὰ τῶν τῆς γλώττης αἰσθητικῶν μορίων, τραχύτερα μὲν ὄν-
τα, στρυφνὰ φαίνεται. ἧττον δὲ τραχύτερα αὐστηρά. καὶ ὀρθῶς ψυχρὰν τὴν κρᾶσιν τῶν τοιούτων χυμῶν
ἐροῦμεν. ἐπεὶ δὲ ἀνωμάλως ξηραίνει, ἔστι γὰρ ἴσως τὸ τραχῦνον, εἴη ἂν πάντως καὶ γεῶδες. ὁμαλῶς γὰρ
πᾶν τὸ ὑδατῶδες διεξέρχεται τὰ σώματα, καὶ διασπασθέν, πάλιν ῥᾳδίως ἑνοῦται. τὸ δὲ γεῶδες
διασπᾶται μέν, οὐ μὴν ῥᾳδίως συνέρχεται. καὶ μέντοι καὶ τὸ περὶ τῆς αἰσθήσεως ἴδιον, ἑκατέ-
ρου πάθους ἀναμνησθέντι σοι, τοῖς αὐτοῖς μαρτυρήσει. ταχεῖα μὲν γὰρ ἡ τῶν χυμῶν τῶν ὀξέων διέ-
ξοδος ἐν τοῖς αἰσθητικοῖς μορίοις ἐμφαίνεται γιγνομένη, βραδεῖα δὲ ἡ τῶν στρυφνῶν. καὶ τὰ μὲν ὀ-
ξέα, διὰ βάθους τῶν σωμάτων ἐνεργεῖ, καὶ φαίνεται μᾶλλον, ἐπιπολῆς δὲ τὰ στρυφνά. ἐπειδὰν δὲ δο-
κιμάζειν ἐθέλοις ἐνέργειαν εἰλικρινοῦς στρυφνότητος, εἰ μὲν γευομένῳ σοι φαίνεται στρυφνὸν ἅμα καὶ
20 δάκνον αὐτό, τουτὶ μὲν ἀπολιπεῖν σε κελεύω τὸ εἶδος, ἔρχεσθαι δὲ ἐπὶ τὸ στρυφνὸν ἄνευ τοῦ δάκνειν, καὶ
μηδὲ ὀξύ, μηδὲ γλυκύ, μηδὲ πικρόν, ἀλλ' ὡς οἷόν τε μάλιστα μίαν ἔχον ποιότητα καὶ δύναμιν ἐπιμεμι-
γμένην τῇ στύψει. περιττὸν γὰρ καὶ μάταιον εἰς πεῖραν ἄγειν τὸ τοιοῦτον φάρμακον. ἄδηλον γοῦν εἴτε διὰ
τὴν στύψιν, εἴτε διά τινα τῶν ἐπιμεμιγμένων αὐτῇ ποιοτήτων, εἴτε δι' ἀμφοτέρας ἐνήργησε περὶ τὸ πλη-
σιάζον αὐτῷ σῶμα. χαλκῖτις οὖν καὶ μίσυ, καὶ χάλκανθος, καὶ λεπὶς χαλκοῦ, καὶ σῶρι, καὶ πρὸς τούτοις
ἔτι τὸ τῶν ζωγράφων, ἀρμενιακόν, ὑδράργυρός τε, καὶ ἕτερα στύφοντα μυρία, ὅμοια δὲ καὶ δάκνον-
τα, δρῶσι μὲν κατ' ἀμφοτέρας τὰς ποιότητας εἰς ἕκαστον τῶν ὁμιλούντων σωμάτων, οὐ μὴν δι-
δάξαι γε ἡμᾶς δύναται σαφῶς, εἴτε διὰ τὴν στύψιν ἔχει τὸ καίειν, εἴτε διὰ τὴν δριμύτητα. ἔνδοθεν
γὰρ τοῦ σώματος εἰ ληφθείη τὰ τοιαῦτα παχυμερῆ ὄντα καὶ μᾶλλον τῇ δυνάμει θερμά, καὶ διὰ τοῦτο
ἐκπυρούμενα τῷ χρόνῳ κατὰ τὴν ἐν τῷ σώματι τοῦ ζῴου μεταβολήν, ὁμοίως τοῖς διαπύροις λίθοις ἢ
30 σιδήροις, ἑλκοῖ καὶ καίει τὰ κατὰ τὴν γαστέρα, μὴ δὲ ἀναδοθῆναι δυνάμενα διὰ βάρος. ἄμεινον οὖν γε-
νέσθαι πολλῶν ἐφεξῆς ἄλλων ἐπισκοπούμενον εἰλικρινῆ στύψιν ἰδίᾳ καθ' ἑαυτὴν ὡς οἷόν τε μάλιστα, κἀ-
πειδὰν εὕρῃς τοιαύτην, οὕτως ἤδη κρίνειν ἐκεῖνο τὸ φάρμακον τοῖσδε, αἷς πρόσθεν ἤκουσας μεθόδοις.
οἷον εἰ γευσαμένῳ σοι φαίνοιτο βαλαύστιον, ἢ κηκίς, ἢ κύτινος, ἢ ὑποκιστίς, ἢ ἀκακία, ἢ ῥοῦς, ἢ τι τοιοῦ-
τον ἕτερον ἀκριβῶς εἶναι στρυφνόν, εὔδηλον δὲ ἑτέραν ποιότητα μηδεμίαν ἔχον, ἐξετάζειν ἐπὶ τῶν
τοιούτων ἤδη, καὶ βασανίζειν ἀκριβῶς ἐνέργειαν στύψεως. τὸ μὲν οὖν στρυφνὸν σῶμα, γεῶδές τέ
ἐστι καὶ ψυχρόν, ἐκλυθήσεται δὲ ἐξ ἀνάγκης τριχῶς, ἢ θερμαινόμενον, ἢ ὑγραινόμενον, ἢ συναμ-
φότερον ἅμα πάσχον. ἂν μὲν οὖν θερμαίνηται μόνον, οὐκ ἔσται μὲν οὔθ' ὑγρότερον, οὔτε μαλακώτε-
ρον, ἀλλὰ σκληρότερον μὲν ὄν, ἐπικτήσεται γλυκύτητα, καθάπερ αἱ τῶν δρυῶν βάλανοι, καὶ μάλιστα
αἱ ὀνομαζόμεναι καστανίαι. ἂν δὲ ὑγραίνηται μόνον, ἂν μὲν παχυμερής τε καὶ ὑδατώδης ἡ ὑγρότης εἴη,
40 αὐστηρὸν ἀποτελεσθήσεται, τὸ γὰρ στύφον ἐκλυόμενον, τὸν αὐστηρὸν ποιεῖ χυμόν, παντὸς γὰρ χυμοῦ δύναμιν
ἡ ὑδατώδης ὑγρότης ἀμβλύνει. ἂν δὲ λεπτομερής τε καὶ ἀερώδης ὑγρότης προσγένοιτο, ὀξὺ ἀποτε-
λεσθήσεται, τὸ γὰρ λεπτομερὲς ψυχρόν, ὀξεῖαν ἀπεργάζεται ποιότητα. ἂν δὲ ὑγραίνηταί τε ἅ-
μα καὶ θερμαίνηται, μετὰ μὲν ὑδατώδους ὑγρότητος, εἰς γλυκύτητα τὴν μετάπτωσιν ἴσχει, μετὰ δὲ
ἀερώδους εἰς λιπαρότητα. οἱ γοῦν ἀπὸ τῶν δένδρων καρποί, ὅσοι γλυκεῖς ἡμῖν φαίνονται πεπανθέν-
τες ἄρτι γινόμενοι, στρυφνοί τε εἰσὶ καὶ ξηροὶ ταῖς συστάσεσι, καὶ κατὰ τὴν τοῦ γεννῶντος δένδρου ἕκα-
στος φύσιν, προϊόντος δὲ τοῦ χρόνου, γίνονται μὲν ὑγρότεροι. προσλαμβάνουσι δὲ ἔνιοι ὀξύτητα, τῇ στρυ-
φνότητι, καὶ ταύτην ἀποτιθέμενοι κατὰ βραχύ, γλυκεῖς αὖθις γίνονται τελειούμενοι. τινὲς δέ, οὐδὲ
ἐπὶ τοῖς δένδροις, ἀλλ' ἀφαιρούμενοι, μετὰ χρόνον ἀπολαμβάνουσι τὴν γλυκύτητα. ἄλλοι δέ τινες οὐδὲ
διὰ μέσης ὀξύτητος, ἀλλ' ἄντικρυς ἀπὸ τῆς στρυφνότητος ἐπὶ τὴν γλυκύτητα παραγίνονται, κα-
50 θάπερ ὁ τῆς ἐλαίας καρπός. τῷ θερμῷ δὲ πέττονται πάντες, διττῷ ὄντι τῇ φύσει, τῷ μὲν ἰδίῳ καὶ
ἐμφύτῳ ἑκάστου, τῷ δὲ ἔξωθεν ἀπὸ τοῦ ἡλίου προσγινομένῳ. ἀλλ' εἴπερ στρυφνότεροι μὲν κατ' ἀρχάς εἰ-
σί, πεπαινόμενοι δὲ γίνονται γλυκεῖς, ἐκ θερμασίας μὲν ἡ γλυκύτης αὐτοῖς, ἐκ ψύξεως δὲ ἡ ὀξύ-
της, καὶ στρυφνότης ὑπῆρχε. καὶ πρόδηλον μὲν ἤδη γέγονεν, ὡς οἱ καρποὶ κατ' ἀρχὰς ὄντες, στρυ-
φνοί, προϊόντος δὲ τοῦ χρόνου, τινὲς μὲν γίνονται γλυκεῖς, τινὲς δὲ ὀξεῖς, τινὲς δὲ αὐστηροί, τινὲς δὲ ἀεὶ

μένουσι

μένουσι στρυφνοί, τινὲς δὲ ἀποτελοῦνται λιπαροί, καὶ δὴ κατὰ τὰς τῶν εἰρημένων ποιοτήτων ἐπι-
μιξίας, παμπόλλην ἔχουσι τὴν ποικιλίαν. στρυφνὰ μὲν οὖν ἄχρι τέλους εἰσὶν ὁ τῆς πρίνου καὶ κομά-
ρου, καὶ κρανείας καρπὸς, καὶ τὰ τοιαῦτα, ὅτι ψυχρὰ καὶ ξηρὰ, οἷά περ ἦν ἐξ ἀρχῆς, διαμένει, μό-
νον μὲν αὐξανόμενα, οὐδεμίαν δὲ ἀλλοίωσιν ἑτέραν ἐπικτώμενα. στρυφνὸς δὲ ἅμα καὶ γλυκὺς ὅτε τῆς
μυρσίνης καὶ τῆς ἀχράδος, καὶ ὁ τῆς δρυὸς καρπός. αὐστηρὸς δὲ μόνον, ὁ τῶν ἀμιναίων ἀμπέλων καρ-
πὸς, καὶ οἶνος, καὶ ὅσοι τούτοις παραπλήσιοι. αὐστηρὸς δὲ ἅμα καὶ γλυκὺς, ὁ τοῦ φοίνικος καρπὸς,
καὶ τῶν οἴνων ὁ συρεντῖνος, καὶ ὅσοι γλυκύτητα τῇ στύψει συμμεμιγμένην ἔχοντες. γλυκὺς δὲ
μόνον ἐστὶ, ὁ θηραῖος, καὶ ὁ σκυβελίτης, καὶ τὸ σίραιον, ὃ καλοῦσιν ἕψημα, ὅσα τε ἄλλα τούτοις ἔοικε.
λιπαρὸς δὲ ἅμα καρπὸς καὶ χυλὸς, ἀκριβῶς μὲν ὁ τῆς ἐλαίας ἐστὶ, ἤδη δὲ καὶ οἱ ἄλλοι πάντες, ἐξ
10 ὧν ἔλαιον σκευάζεται. ὥσπερ δὲ ὁ στρυφνὸς χυμὸς ἐν τῷ χρόνῳ, γλυκύτερος μὲν πρῶτον, ἑξῆς δὲ καὶ
δριμύτερος καὶ πικρότερος ἀποτελεῖται, καὶ τελευτῶν ἐκπικροῦται, κατὰ τὸν αὐτὸν τρόπον ὅτε
ῥιγώσας χυλὸς ὀξύτερος εὐθὺς γίνεται, καὶ εἰ τελέως ἀποψυχθείη, ταχέως ὀξοῦται, οἵ τε εὐθὺς ἐν
τῇ συγκομιδῇ τῶν καρπῶν πολλῆς ὑγρότητος πληρωθέντες, οἵ τε ἄλλως ὕδατος προσλαβόντες,
ὀξεῖς ἑτοίμως οἱ τοιοῦτοι γίνονται ἐπὶ μικραῖς προφάσεσιν. εἰ γὰρ ἡ ὄμφαξ μὲν ὀξεῖα, γλυκεῖα δὲ
ἡ σταφυλὴ, καὶ τὸ πεπαίνεσθαι τοῖς καρποῖς ἅπασι παρὰ τῆς ἡλιακῆς ἐγγίνεται θερμότητος, εὔδη-
λον ὡς τὸ μὲν ἀτελέστερον καὶ ψυχρότερον, ὀξύ. τὸ δὲ τελεώτερον καὶ θερμότερον, ὑπάρχει γλυ-
κύ. ὅταν οὖν ὁ οἶνος ἐν τῷ ψύχεσθαι ἀποξύνηται, πρόδηλον ὡς εἰς τὸν αὐτὸν πάλιν ἐπανέρχεται
χυμὸν, ἐξ οὗ παρεγένετο. λέγω δὲ τοῦ ὄμφακος. διενήνοχε μέν τοι τοσοῦτον κατὰ τὴν δύναμιν, τοῦ τῆς
ὄμφακος χυλοῦ, τὸ ὄξος, ὅτι τῷ μὲν ὄξει προσέρχεταί τις ἐκ σηπεδονώδους θερμότητος, δριμύ-
20 της. ὁ δὲ τῆς ὄμφακος χυλὸς οὐκ ἔχει τὴν ἐπίκτητον θερμότητα, καὶ διὰ τοῦτο οὐδὲ τὴν δριμύτητα
τοῦ ὄξους, διὰ τοῦτο καὶ λεπτομερέστερον ἐστὶ τὸ ὄξος τοῦ τῆς ὄμφακος χυλοῦ, ὡς ἡ αἴσθησις τῶν λε-
γομένων μαρτυρεῖ, ἡ δὲ τοῦ ὄξους δριμύτης οὐχ ἱκανή ἐστι ἐκνικῆσαι τὴν ἀπὸ τῆς ὀξύτητος ψύξιν, εἰς
δὲ τὸ τῆς διεξόδου τάχος, ὑπηρετεῖ. ὅσον γὰρ ἐστὶ τὸ θερμὸν τοῦ ψυχροῦ ποιητικώτερον, εἰς τοσοῦτον
καὶ ὁ δριμὺς χυμὸς τοῦ ὀξέος ἑτοιμότερον διεξέρχεται τῶν αἰσθητικῶν σωμάτων τοὺς πόρους. ὥστε
ὁ μὲν δριμὺς, οἷον ὁδοποιεῖ φθάνων, ὁ δὲ ψυχρὸς οὐκ εἰς μακρὸν ἕπεται. καὶ τούτῳ τὸ τῆς αἰσθή-
σεως ἐπίμικτόν τε καὶ δυσερμήνευτον, οὐχ ἁπλῶς ψυχρὸν ἀποφαίνεσθαι τὸ ὄξος συγχωρεῖ, αἰ-
σθανόμεθα γὰρ ἐν αὐτῷ τινὸς πυρώδους δριμύτητος. ἡ δὲ ἐκ τῆς ἑπομένης ὀξύτητος ψύξις ἀμαυροῖ
καὶ κατασβεννῦσι παραχρῆμα τὴν δριμύτητα, καὶ διὰ τοῦτο πολὺ πλείων ἐστὶ ἡ ἐκ τῆς ψύξεως αἴ-
σθησις, ἤπερ ἡ ἐκ τῆς θερμότητος. καὶ γὰρ ὥρᾳ θέρους πίνοντες ὀξύκρατον ἔνιοι, σαφῶς ἐμψύχον-
30 ταί τε καὶ ἄδιψοι διατελοῦσιν. ἐπειδὴ δὲ τὸ δίψος διττῶς γίνεται, τὸ μὲν ὑγρότητος ἐνδείᾳ, τὸ δὲ
πλεονεξίᾳ θερμότητος, τὸ ἐπὶ ξηρότητι γινόμενον, οὐκ ἰᾶται, τὸ δὲ ἐπὶ θερμότητι γινόμενον ἰᾶ-
ται. ὑγραίνειν μὲν γὰρ οὐ δύναται ὄξος καθ' αὑτὸ, ψύχει δὲ οὐκ ἀγεννῶς. οὔκουν οὐδὲ τὴν ἐπὶ ξηρᾷ
δυσκρασίᾳ δίψαν, οὔτε τὴν ἐπὶ θερμῇ καὶ ξηρᾷ δυνατὸν ποτὲ ἰᾶσθαι πινόμενον ὄξος. εἰ δὲ συνδρά-
μοι ποτὲ εἰς ταὐτὸν ὑγρότης θερμότητι, τῆς τοιαύτης δίψης ἄριστον ἴαμα ὄξος ἔσται. τοῖς δ' ἄλλως δι-
ψῶσιν ἔν τε καύσοις πυρετοῖς, καὶ τοῖς ἄλλοις πάθεσιν ἅπασιν, καὶ τοῖς ἐν θέρει καὶ θάλπει
σφοδρῷ, σύνθετος ἡ διάθεσις ἐστὶ ἐκ θερμότητός τε καὶ ξηρότητος, ὥστε εἰκότως αὐτοῖς σύνθετον
ἐστὶ καὶ τὸ ἴαμα ἐξ ὄξους καὶ ὕδατος. τὸ μὲν ὄξος, οὐκ ἀγεννῶς ψῦχον, καὶ πάντῃ ῥᾳδίως διεξερχό-
μενον τῇ λεπτομερείᾳ. τὸ δὲ ὕδωρ πρὸς τὸ ψύχειν ἔτι καὶ ὑγρότατον ἁπάντων ὑπάρχον, οὐδὲν γάρ
ἐστὶ ὑγρότερον ὕδατος. κατὰ δὲ τῶν ἀποκαιομένων ὑποχονδρίων, ἄμεινον τοῦ ὄξους ἐστὶ, ὁ τοῦ ὀμ-
40 φακος χυλὸς, ἔξωθεν ἐπιτιθέμενος αὐτῷ τε τῷ μηδεμίαν ἔχειν βιαίαν καὶ πληκτικὴν ἕξιν, μή τε ἐπί-
μικτον δακνώδη θερμότητα. δέονται γὰρ οἱ οὕτω πάσχοντες, παρηγορηθῆναι μὲν ἀβιάστως, ἔξωθεν δὲ
μηδεμίαν ἐπικτήσασθαι δακνώδη δριμύτητα. ὁ τοίνυν τῆς ὄμφακος χυλὸς, οὐκ ὀξὺς μόνον ἐστὶ, ἀλλὰ
καὶ στρυφνὸς καὶ γὰρ ὡς προείρηται πάντες σχεδὸν, οἱ τῶν δένδρων καρποὶ κατὰ τὴν πρώτην γένεσιν, στρυφνοὶ
γινόμενοί εἰσιν. οὐ μόνον δὲ τὸ ὀξὺ ψυχρόν ἐστι, ἀλλὰ καὶ τὸ στρυφνὸν, καὶ τὸ αὐστηρόν. καὶ εἴ τις γεύσαιτο ποτὲ
κυδωνίων μήλων, ἢ μύρτων, ἢ μεσπίλων, οἶδε μὲν δὴ σαφῶς ἑτέραν τὴν ἀπὸ τῶν ὀξέων ἡμῖν ἐν τῇ
γλώσσῃ γινομένην αἴσθησιν. ἑτέραν δὲ τὴν ἀπὸ τῶν στρυφνῶν ἢ αὐστηρῶν. τὰ μὲν γὰρ στύφοντα, συνωθεῖν
εἴσω φαίνεται τὸ μόριον, ὃ ψαύει ἐκ παντὸς μέρους ὁμαλῶς, δι' ὃ ἐκθλίβονταί τε καὶ πιλοῦνται καὶ συνά-
γονται. τὰ δὲ αὐστηρὰ κατὰ βάθους τε δύεσθαι δοκεῖ καὶ τραχεῖαν τινὰ καὶ ἀνώμαλον αἴσθησιν ἐπάγειν, ὥσ-
τε ἀναξηραίνοντα, πᾶσαν ἐξωθεῖσθαι τὴν ἰκμάδα τῶν αἰσθητικῶν μορίων. ὥστε ἑτέραν εἶναι τὴν τῶν πα-
50 θῶν ἰδιότητα, μή τε ῥηθῆναι σαφῶς δυναμένην ἐπί τε τῶν στυφόντων ἡμᾶς σωμάτων, καὶ τῶν αὐστηρῶν χυμῶν.
ἀλλ' ὅς τις γε αὐτὸς ἐστὶ, οἶδεν ὃ λέγω ἐκ τῶν ἤδη προειρημένων ὁρμώμενος. πᾶν μὲν οὖν σῶμα στρυφνὸν τό,
τε τῶν ἄλλων ποιοτήτων καθαρεῦον ἀεὶ πειρώμενος, εὗρον ψυχρόν. τὸ δὲ γλυκὺ πᾶν, θερμόν ἐστι, καὶ οὐκ ἀμέ-
τρως ὑπερβαίνει τὴν ἐν ἡμῖν θερμότητα. ἀλλ' ὥσπερ τὸ θερμὸν ὕδωρ οὐ ψαύοντες ἡδόμεθα, καὶ μάλιστα
ὅταν ὦμεν ἐρριγωκότες, ἄχρι μετὰ τοῦ διαχεῖν πεπηγότα πρὸς τοῦ ψυχροῦ τὰ μόρια τοῦ σώματος, ἐκθερμαίνον

ἡμᾶς, οὐ μὴν διαλύον γε οὐδὲ τέμνον αὐτῶν τὸ συνεχὲς ἥδιστόν γε ἐστὶ καὶ ὠφελιμώτατον. οὕτω καὶ
πᾶν γλυκὺ ἔδεσμα, θερμὸν μὲν ὑπάρχει πάντως, οὐ μὴν ἐπιπλέον γε ἥκει θερμότητος ὡς αἰτίαν,
ἀλλ' ἐν τοῖς ὅροις μένει τοῦ διαχέοντος, καὶ ὁμαλύνοντος, καὶ μαλάττοντος. τὰ γὰρ τρέφοντα σύμπαν-
τα, σύμφυτά τε ἐστὶ καὶ οἰκεῖα ταῖς ὅλαις τῶν τρεφομένων οὐσίαις. εὐθὺς δὲ τούτοις ὑπάρχει δηλο-
νότι συμμέτρως εἶναι θερμοῖς, ὡς πρὸς τὰ τρεφόμενα σώματα. καὶ διὰ τούτων τῶν ἐδεσμάτων τε
καὶ φαρμάκων, οὐκ ἓν εἶδος ἅπασι τοῖς ἀνθρώποις. κατὰ γὰρ τὴν οἰκείαν ἕκαστον αὐτῶν οὐσίαν τε ἅμα
καὶ διάθεσιν, ἥδεται καὶ ὠφελεῖται πρὸς ἀμφοῖν. ἀλλ' εἴπερ οὕτως ταῦτα ἔχει, τὸ μὲν ἧττον γλυκὺ
τῶν ἐδεσμάτων, ἧττόν ἐστι θερμόν. τὸ δὲ μᾶλλον γλυκὺ τοσοῦτον θερμότερον ὅσον καὶ γλυκύτερον. εἰ δὲ
εἰς ἀμετρίαν ἐκπέσοι θερμότητος οὐδὲ γλυκὺ τὸ τοιοῦτον, ἀλλ' ἤδη φαίνεται πικρόν, ὥσπερ τὸ μέλι
10 παλαιούμενόν τε καὶ ἐπιπλέον ἑψόμενον, καὶ ἕκαστον τῶν ἄλλων γλυκέων. τὰ γὰρ ὅμοια ταῖς κράσεσι
τῶν τρεφομένων σωμάτων χωρὶς ἑψήσεώς τε καὶ σκευασίας, ἤδη φαίνεται γλυκέα. τὰ δὲ ἀνόμοια,
πάντα μὲν ἀηδῆ πρὶν σκευασθῆναι. δεῖται δὲ τὰ μὲν θερμά, τῷ ψυχρῷ κολασθῆναι. τὰ δὲ ἱκανῶς
ψυχρά, τῆς τῶν θερμαινόντων ἡδυσμάτων μίξεως καὶ πυρός. κατὰ δὲ τὸν αὐτὸν τρόπον ὑγρότητι
μὲν κολάζεται, ὅσα γεώδη τε καὶ ξηρά, ἢ προσῆκεν ξηρότητι δὲ τὰ πλέον ὑγρὰ καὶ ὑδατώδη. τὸ μὲν οὖν
γλυκὺ πρὸς τὸ θερμὸν ὑπάρχειν μᾶλλον ἢ ἧττον, ἐξ ἀνάγκης δήπου καὶ ὑγρόν, ἢ μᾶλλον ἢ ἧττον ἐστί.
τὸ δὲ οἷον ὑπεροπτηθέντος τούτου γινόμενον πικρόν, ὅμοιον τιτάνῳ καὶ τέφρα, ξηρὸν καὶ θερμὸν
ἐξ ἀνάγκης ἀποτελεῖται. καὶ μὲν δὴ καὶ δι' αὐτὸ τοῦτο ῥύπτειν τε πέφυκεν ἅπαν τὸ πικρόν, καὶ κα-
ταθρύπτειν, καὶ τέμνειν τοὺς γλίσχρους καὶ παχεῖς χυμούς, ὥσπερ ἡ τέφρα, καὶ τὸ νίτρον. ὅτι δὲ ξη-
ρός ἐστι τὴν κρᾶσιν ὁ πικρὸς χυμὸς καὶ γεώδης, κἀκ τοῦ δυσσηπτότατα πάντων εἶναι τὰ πικρὰ καὶ
20 οὐδαμῶς σκώληκάς τε καὶ τὰ ἄλλα ζῷα γεννᾶν. οἷα δὴ πέφυκεν ἐν ῥίζαις τε καὶ βοτάναις καὶ
καρποῖς σηπομένοις ἐγγίνεσθαι, πάρεστι συλλογίσασθαι. μάλιστα γὰρ ὁρῶμεν ἐν τοῖς ὑγροῖς σώμα-
σι, καὶ σκώληκας καὶ σηπεδόνας ἐγγινομένας. τὰ δὲ ἀκριβῶς πικρά, καλῶ δὲ οὕτως, ὅσα μη-
δεμιᾶς ἑτέρας ποιότητος αἰσθητῆς μετέσχηκεν, ἅπασι σχεδὸν τοῖς ζώοις, οὐκ ἀνθρώποις ἐστὶ μόνον ἄ-
βρωτα, τὸ πᾶν μὲν ζῶον ὑγρόν, ἢ μᾶλλον, ἢ ἧττον ὑπάρχειν, ξηρὰ δὲ εἶναι τὰ πικρά, τέφρα καὶ
κονία παραπλησίως. ὥσπερ οὖν τὸ μὲν ἀκριβῶς γλυκὺ τρέφει. τὸ δὲ εἰλικρινῶς πικρόν, ἄτροφον,
οὕτω τὸ μεταξὺ τρέφει μᾶλλον, ἀλλ' ἧττον τοῦ γλυκέος. πλησίον δ' ἐστὶ ὁ ἁλυκὸς χυμὸς τοῦ πικροῦ, καὶ
γὰρ καὶ γεώδεις ἀμφότεροι καὶ θερμοί, διαφέρουσι δ' ὅμως ἀλλήλων οὐκ ἀσαφεῖ διαφορᾷ ἐν τῷ
λελεπτῦνθαι μέν, καὶ κατειργάσθαι μᾶλλον ὑπὸ θερμότητος καὶ ξηρότητος, τὸ πικρόν. οὕτω δὲ καὶ
αὐτῶν τῶν ἁλῶν. ὅσοι μὲν σκληροί τέ εἰσι καὶ πυκνότεροι, καὶ γεωδέστεροι, τοιοῦτοι δέ εἰσιν ὀλί-
30 γου δεῖν οἱ ὀρυκτοὶ πάντες, ἧττον δὲ θερμοὶ ὄντες καὶ λεπτομερεῖς. ὅσοι δὲ εὔθρυπτοι καὶ χαῦνοι, λε-
πτομερέστεροί τε ἅμα καὶ θερμότεροι τὴν δύναμιν εἰσί, καί τινες αὐτῶν ὑπόπικροι, μεταξύ πως ὑ-
πάρχοντες ἁλῶν τε τῶν σκληρῶν, καὶ ἀφρονίτρου. καὶ ὅτι αὖ ἁλυκὸν ἐπιπλέον ἐκθερμαίνης, εὐθὺς
ἔσται πικρόν. οὕτω δὲ καὶ τὸ τῆς ἀσφαλτίτιδος λίμνης ὕδωρ, ἣν νεκρὰν ὀνομάζουσι θάλατταν, ἐν κοί-
λῳ καὶ θερμῷ χωρίῳ περιεχόμενον, ἐξοπτώμενόν τε ὑπὸ τοῦ ἡλίου, γίνεται πικρόν, διὰ τοῦτό γε
καὶ θέρους μᾶλλον ἢ χειμῶνος ἐστὶ πικρόν. καὶ εἰ ἀρυσάμενος τις αὐτοῦ καταθείη ἐν ἀγγείῳ κοίλῳ ἐν
προσηλίῳ τόπῳ ὥρᾳ θέρους, αὐτίκα μᾶλλον πικρότερον ἑαυτοῦ φαίνοιτό σοι γεγονός. φαίνεται γὰρ
ἐν ἐκείνῳ τῷ ὕδατι, μήτε ζῶον ἐγγινόμενον, μήτε φυτόν, ἀλλὰ καὶ τῶν εἰς αὐτὴν ἐμβαλλόντων ποτα-
μῶν μεγίστους καὶ πλείστους ἐχόντων ἰχθύας, καὶ μάλιστα τοῦ πλησίον ἱδρυχοῦντος, ὃν ἰορδάνην ὀνομά-
ζουσιν, οὐδεὶς τῶν ἰχθύων ὑπερβαίνει τὰ στόματα τῶν ποταμῶν, κἂν εἰ θηρεύσας τις ἐμβάλλοι τῇ λί-
40 μνῃ, διαφθειρομένους, ὄψεται ῥᾳδίως, διὰ τοῦτο καὶ νεκρὰν τὴν λίμνην ἤτοι λιμνοθάλασσαν ὀνομά-
ζουσιν. οὕτως τό γε ἀκριβῶς πικρόν, ἅπασιν ἐστὶ τοῖς φυτοῖς καὶ τοῖς ζώοις πολέμιον αὐχμῶδές τε
καὶ ξηρὸν τὴν φύσιν. οἷόν περ αἰθάλη ὑπὸ τῆς κατοπτήσεως γινόμενον. περὶ μὲν οὖν τῶν πικρῶν χυ-
μῶν τῆς δυνάμεως ἀφορισάμενοι, καὶ τμητικοὺς αὐτοὺς εἰπόντες εἶναι καὶ ῥυπτικοὺς καὶ λεπτυ-
ντικούς, καὶ δηλονότι θερμοὺς εἰς τοσοῦτον, ὡς μήπω καίειν, ἐπὶ τοὺς δριμεῖς αὖθις ἴωμεν τῷ λόγῳ, καὶ
πρῶτον μὲν θερμοὺς ἀκριβῶς αὐτοὺς εἴπωμεν. εἶτα διαβρωτικούς τε καὶ καυστικούς, ἐσχαρωτικούς τε
καὶ συντηκτικοὺς κατὰ τοῦ δέρματος ἐπιτιθεμένους ἔξωθεν. εἴσω δὲ τοῦ σώματος λαμβανομένους,
ὅσοι μὲν ὅλαις ταῖς οὐσίαις ἐναντιώτατα διάκεινται πρός τινα ζῷα, σηπτικοὺς πάντας εἶναι καὶ
δηλητηρίους ἐκείνων τῶν ζώων. ὡς κανθαρίς, καὶ βούπρηστις ἀνθρώπου. ὅσοι δὲ κατὰ τὴν ἀμετρίαν τῆς
θερμότητος μόνης. εἰ μὲν παχύτεροι καὶ γεώδεις εἶεν, ὡς ἀρσενικόν, καὶ σανδαράχη, καὶ τὰ ὅμοια,
50 ἑλκωτικοὺς τῶν ἐντὸς εἴπομεν, εἰ δὲ λεπτομερεῖς οἷα ἐστὶ τὰ συνήθη σπέρματα, δαῦκος, καὶ ἄνισον καὶ
τὰ παραπλήσια οὐρητικοὺς καὶ ἱδρωτικοὺς καὶ ἁπλῶς εἰπεῖν τμητικοὺς καὶ διαφορητικούς. συναιροῦν-
ται δέ τινες ταῖς τε ἐκ τοῦ θώρακος ἀναπτύσεσι, καὶ ταῖς τῶν καταμηνίων φοραῖς. ὅσοι δὲ δριμεῖς
χυμοί, οὐ μόνον ἰσχυρᾷ θερμότητι διαλλάττειν τῶν πικρῶν ἐοίκασιν, ἀλλὰ καὶ τῷ τοὺς μὲν πικροὺς ἅπαν-
τας οὐ θερμοὺς μόνον, ἀλλὰ καὶ ξηροὺς τὴν κρᾶσιν ὑπάρχειν παραπλησίως τῇ τέφρᾳ. ἐν δὲ τοῖς

δριμέσιν

δριμέσιν ὅσοι τε οὐκ εἰσὶ πικροί, πολλὴν γ᾽ ἐνίοτε μεμῖχθαι τὴν ὑγρότητα, καὶ διὰ τοῦτο ἐσθίειν ἡμᾶς οὐκ ὀλίγα τῶν δριμέων. ἐπεὶ δὲ καὶ περὶ χυμῶν ἁπάντων εἴρηται τὰ εἰκότα, λείποιτο ἂν ἔτι καὶ περὶ τῶν ἀτμῶν εἰπεῖν. οἱ μὲν δὴ πλεῖστοι τῶν ἀτμῶν, τοῖς χυμοῖς αὐτοῖς ἡμᾶς ὁμοίως διατιθέασι. τά τε γὰρ ὀξέα πάντα, καὶ πρὸς τούτοις τὸ ὄξος αὐτό, τὴν ὄσφρησιν καὶ τὴν γεῦσιν ὡσαύτως κινεῖ. τὰ δὲ δριμέα καθάπερ τὰ σκόροδα καὶ τὰ κρόμμυα, καὶ ταῦτα οὐδὲν ἧττον τῆς γεύσεως ἀνιᾷ τε καὶ δάκνει τὴν ὄσφρησιν. οὕτω δὲ καὶ καθ᾽ ἕκαστον τῶν ἄλλων ὁμοία σχεδὸν ἡ τῆς ὀσμῆς αἴσθησις ἐστὶ τῆς γεύσεως. ὥστε ἐνίων σωμάτων οὐδὲ γευσάμενοι ποτὲ, καθάπερ τῆς κόπρου γινώσκειν πεπείσμεθα τὴν ποιότητα, καὶ κατὰ τοῦτο γε τὴν ἀρχὴν, οὐδὲ ἐπιχειροῦμεν τῶν τοιούτων γεύεσθαι, τῷ πάνυ σφόδρα πιστεύειν τῇ ὀσφρήσει. καὶ μέντοι καὶ τῶν εὐωδῶν ἐδεσμάτων, ὅσα διασαπέντα κατὰ τὴν ὀσμὴν ἡμᾶς ἀνιᾷ, ταῦτα εὐθέως ἀπορρίπτομεν, οὐδὲ ἐπιχειροῦντες γεύεσθαι. καὶ σχεδὸν ἐπὶ πάντων ὁμολογοῦσιν ἀλλήλαις, ὄσφρησις καὶ γεῦσις, εἰς δύο δὲ ταύτας ἀνάγομεν προσηγορίας, τὰ πλεῖστα τῶν ὀσφρητικῶν εὐώδη καὶ δυσώδη προσαγορεύοντες. εὐώδη μὲν ἀνάλογον τοῖς πρὸς τὴν γλῶτταν γλυκέσι. δυσώδη δὲ τοῖς μὴ γλυκέσιν. ἔοικε δὲ τῶν οὐκ ὀσμωδῶν σωμάτων ἤτοι παντελῶς ἀπορρεῖν ὀλίγον, ἢ τοῖς ὄγκοις ἀσύμμετρον, ὡς ἐπὶ τῶν ἁλυκῶν, καὶ μάλιστα τῶν στρυφνῶν. παχυμερὴς γὰρ καὶ ψυχρὰ ἡ οὐσία τῶν στρυφνῶν, ὥστε εἰκὸς καὶ τὸ ἀπορρέον αὐτῶν, ὀλίγον τε εἶναι καὶ παχὺ, καὶ οἷον γεῶδες τοῖς ὄγκοις. καὶ διὰ τοῦτο μηδὲ ἐμπίπτειν ταῖς ἀναπνοαῖς εἰς τὸν ἐγκέφαλον. ὅθεν οὐδὲ ἀσφαλὲς ἐστὶ ἐξ ὀσμῆς τεκμαίρεσθαι τι περὶ τῆς κράσεως αὐτῶν, ὥσπερ ἐκ τῆς γεύσεως. τὰ μὲν γὰρ ἄοσμα, παχυμερῆ ταῖς οὐσίαις. ἀλλ᾽ οὔπω δῆλον ὅπως ἔχει θερμότητός τε καὶ ψύξεως. τὰ δὲ ὀσμώδη λεπτομερῆ τε πώς ἐστι καὶ θερμά. τὸ μέντοι ποσὸν ἢ τῆς λεπτομερείας, ἢ τῆς θερμότητος, οὐκέτι ἐκ τῆς ὀσμῆς ἐνδείκνυται, ἀλλ᾽ ἐκ τῆς γεύσεως. τὸ δὲ μηδὲν ἐνδείκνυσθαι σαφὲς ὑπὲρ τῆς κράσεως τὰ ὀσμώδη, ἡ ἀνωμαλία τῆς οὐσίας αὐτῶν, αἰτία γίνεται. καὶ διὰ τοῦτο ἐπὶ τοῦ ῥόδου ἐκ τῆς ὀσμῆς οὐκ ἔστι τεκμαίρεσθαι περὶ πάντων τῶν ἐν αὐτῷ ποιοτήτων. ἐπὶ δὲ τῆς γεύσεως ἅπαντα ὁμοίως τὰ μόρια τῶν γευστῶν σωμάτων, προσπίπτει τῇ γλώττῃ, καὶ κινεῖ τὴν αἴσθησιν ἕκαστον αὐτῶν κατὰ τὴν ἑαυτοῦ φύσιν. λέγω δὴ τὸ ἐν αὐτῷ στρυφνὸν, ὅπερ ἐστὶ γεῶδες καὶ παχυμερὲς ψυχρόν. καὶ τὸ πικρὸν ὃ δὴ λεπτομερές τε ἐστὶ καὶ θερμόν. καὶ τρίτον ἐπὶ τούτοις τὸ ὑδατῶδες ψυχρὸν ἐξ ἀνάγκης. ὥστε οὐκ ἀσφαλὲς, ὡς εἴρηται, περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ἁπάσης, ἐξ ὀσμῆς τεκμαίρεσθαι. ἔτι δὲ μᾶλλον οὐδὲ ἐκ τῶν χρωμάτων ἐστὶ στοχάσασθαι περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως. καθ᾽ ἑκάστην γὰρ χρόαν εὑρίσκεται καὶ θερμὰ καὶ ψυχρὰ, καὶ ξηρὰ καὶ ὑγρά. καθ᾽ ἕκαστον μέντοι γένος, ἢ σπέρματος, ἢ ῥίζης, ἢ χυλοῦ, δυνατόν ἐστι κἀκ τῆς χροίας, ἔνδειξίν τινα λαμβάνειν τῆς κράσεως. οἷον αὐτίκα κρόμμυον, καὶ σκίλλα, καὶ οἶνος εἰς ὅσον ἂν ᾖ λευκότερα, καὶ ἧττον εἰσὶ θερμά. τά τε ὑπόξανθά τε καὶ κιρρὰ, θερμότερα. καὶ πυροὶ δὲ καὶ ὦχροι, καὶ φάσουλοι. καὶ ἐρέβινθοι. καὶ τῆς ἴρεως ῥίζα. καὶ ἡ τῆς ἀσφοδέλου καὶ πολλῶν ἄλλων, ὅμοιόν τι πεπόνθασιν. ἐν ἑκάστῳ γὰρ γένει τὸ ἐπίπαν, ὅσα κιρρὰ καὶ ἐρυθρὰ καὶ ξανθὰ, θερμότερα τῶν λευκῶν ἐστί. ὥστε εἴ τι κἀντεῦθεν ἐγχωρεῖ περὶ φαρμάκων δυνάμεως τεκμαίρεσθαι, προκείσθω τῷ λόγῳ. κάλλιστον μὲν οὖν, ὡς εἴρηται καὶ δέδεικται πολλάκις, ἐκ τῆς διωρισμένης πείρας ἐξευρίσκειν τὰς δυνάμεις ἑκάστου. οὐ γὰρ ἂν σφαλείης οὐδὲν ἐν τῇδε, πρὶν μέντοι τῇ πείρᾳ διαγνῶναι τὴν δύναμιν ἡ γεῦσις ἐνδείκνυται τὰ πολλὰ, συνεπιμαρτυρούσης, ὡς εἴρηται, βραχέα καὶ τῆς ὀσμῆς. τούτων δὲ ἁπάντων ὥσπερ καὶ ἑτέρων τινῶν χρησιμωτάτων, ἐν κεφαλαίῳ τὴν σύνοψιν ποιήσομαι, μετὰ τὸ διελθεῖν με κατ᾽ εἶδος ὡς οἷόν τε, τὰς καθόλου δυνάμεις τε καὶ ἑκάστου ἐνεργείας. ἐπεὶ δὲ τὰ φάρμακα τὰ μέν ἐστι ἐκ ζώων, ἢ φυτῶν, ἢ καρπῶν, ἢ τινὲς ὀποὶ τούτων, ἢ χυλοί. τὰ δὲ ἐκ τῶν μεταλλικῶν λαμβάνεται, κάλλιον ἔδοξέ μοι περὶ τῶν φυτῶν πρῶτον διαλεχθῆναι, οὐ πάντων δηλονότι τῶν καθ᾽ ὅλην τὴν οἰκουμένην, ἀλλ᾽ ὅσων ἡμεῖς πεῖραν ἔχομεν, ὅτι τε πλεῖστον ἐστὶν αὐτῶν τὸ γένος, ἰσχυρότατόν τε τὴν δύναμιν. εἶθ᾽ ἑξῆς καὶ περὶ τῶν μεταλλευομένων εἰπεῖν, καὶ οὕτως ἐπὶ τὰ τῶν ζώων ἀφικέσθαι μόρια.

Ἀβρότονον.

Θερμὸν ἐστὶ καὶ ξηρὸν τὴν δύναμιν ἐν τῇ τρίτῃ που τάξει καὶ ἀποστάσει, μετὰ τὰ σύμμετρα τεταγμένον. πικρὸν δὲ τῇ γεύσει ἱκανῶς. ὁ δὲ τοιοῦτος χυλὸς ἐδείκνυτο, γεώδης μὲν ὢν τὴν οὐσίαν, ὑπὸ δὲ θερμότητος δαψιλοῦς λελεπτῦνθαι. ὥστε καὶ θερμαίνειν καὶ ξηραίνειν οὐκ ἀγεννῶς. ὅθεν ἑψημένη ἡ κόμη τῆς βοτάνης σὺν τοῖς ἄνθεσιν ἐν ἐλαίῳ, καὶ ἀλειφομένου τοῦ ἐλαίου ἐπὶ τῶν κατὰ περίοδον ῥίγει ἁλισκομένων πρὸ τῆς εἰσβολῆς ἧττον ῥιγώσουσιν. ἀναιρεῖ δὲ καὶ ἕλμινθας τὸ ἀφέψημα αὐτοῦ πινόμενον, καὶ διὰ κλυστῆρος ἐνιέμενον μᾶλλον τοῦ ἀψινθίου. ἐλαχίστης δὲ μετέχει στρυφνότητος τινὸς τὸ ἀβρότονον, καὶ διὰ τοῦτο καὶ κακοστόμαχον. δύο δὲ εἴδη εἰσὶ τοῦ ἀβροτόνου. τὸ μὲν ἄρρεν. τὸ δὲ θῆλυ.

Ἀβρότονον κεκαυμένον.

Θερμὸν καὶ ξηρὸν τὴν δύναμιν ἐστὶ, ἔτι μᾶλλον κολοκύνθης ξηρᾶς κεκαυμένης, καὶ ἀνήθου ῥίζης.

ἐκεῖνα μὲν ἡ ἕλκεσιν ὑγρεῖς τε ἅμα καὶ χωρὶς φλεγμονῆς πεπλεονασμένοις ἁρμόττει. καὶ διὰ τοῦτο μάλιστα καὶ τοῖς ἐν ποσθῇ καὶ αἰδοίῳ ἁρμόζειν δοκεῖ. τοῦ δὲ κεκαυμένου ἀβροτόνου ἡ τέφρα, διακνώδης ἅπασιν ἕλκεσιν ὑπάρχει, καὶ διὰ τοῦτο πρὸς ἀλωπεκίας ἁρμόττει σὺν ἐλαίῳ κικίνῳ, ἢ ῥαφανίνῳ, ἢ σικυωνίῳ, ἢ χηνίῳ, ἢ παλαιῷ διειμένον.

Ἄγνος ἢ λυγός.

Τούτου τοῦ θάμνου τὰ φύλλα, καὶ τὰ ἄνθη, καὶ τὸ σπέρμα, θερμὰ καὶ ξηρὰ μὲν τὴν δύναμιν ἐστὶ κατὰ τὴν τρίτην ἀπόστασιν, λεπτομερῆ δὲ ἱκανῶς. ἔστι δὲ ἐδώδιμος ὁ καρπὸς, καὶ θερμαίνει σαφῶς μετὰ τοῦ κεφαλαλγὴς ὑπάρχειν. εἰ δὲ φρυχθείη, ἧττον ἅπτεται τῆς κεφαλῆς. φυσῶν δὲ ὀλίγην δίδωσι τῷ σώματι, καὶ ταύτην ξηραίνουσαν μὲν καὶ θερμαίνουσαν. ἄφυσον δὲ ἱκανῶς, καὶ διὰ τοῦτο καὶ τὰς ἀφροδισίας ἀφορμὰς ἐπέχει, διὸ οὐ μόνον ἐσθιόμενον καὶ πινόμενον πρὸς ἁγνείαν πεπίστευται συντελεῖν, ἀλλὰ καὶ ὑποστρωννύμενον. καὶ πρὸς ἧπαρ δὲ καὶ σπλῆνα σκιῤῥούμενα καὶ ἐμφραττόμενα τὸ σπέρμα τοῦ ἄγνου μᾶλλον ἁρμόττει, ἢ πρὸ τὸ πήγανον.

Ἄγρωστις.

Ἀγρώστεως ἡ ῥίζα μετρίως ἐστὶ ψυχρὰ καὶ ξηρὰ καὶ διὰ τοῦτο κολλητικὴ τῶν ἐναίμων ἑλκῶν. αὕτη δὲ ἡ πόα καταπλασσομένη ψύχει μὲν οὐκ ἰσχυρῶς, ὑγρότητος δὲ καὶ ξηρότητος ἐν τῷ μέσῳ καθέστηκε. τὸ δὲ ἐν τῇ ῥίζῃ δακνῶδές τε καὶ λεπτομερές, ἐστὶ μὲν ὀλίγον, ἔστι δὲ ὅτε εἴωθε καὶ λίθους θρύπτειν, εἴ τις αὐτὴν ἀφεψήσας πίνοι. τὸ δὲ σπέρμα τῆς μὲν ἐν παντὶ τόπῳ φυομένης ἀσθενὲς, τῆς δὲ ἐν Παρνασσῷ, διουρητικόν τέ ἐστι καὶ ῥεύματα ξηραίνει γαστρὸς καὶ στομάχου, δυνάμεις τε αὐτοῦ ξηραντική τε καὶ λεπτομερὴς καὶ ὑπόστρυφνος.

Ἀκακία.

Τῆς τρίτης μὲν τάξεως ἐστὶ τῶν ξηραινόντων, τῆς δὲ δευτέρας τῶν ψυχόντων, ἐπειδὰν πλυθῇ, εἰ δὲ ἄπλυτος, τῆς πρώτης. οὐκ οὖσα γὰρ ὁμοιομερὴς, ἔχει τινὰ μόρια παρεσπαρμένα λεπτομερῆ καὶ θερμὰ κατὰ τὴν πλύσιν ἀποχωροῦντα.

Ἀκαλύφη, ἢ καὶ κνίδη.

Ἀκαλύφης τὰ φύλλα καὶ ὁ καρπὸς, διαφορητικῆς ἱκανῶς εἰσὶ δυνάμεως, ὥστε καὶ θερμαίνειν σφοδρῶς. ἰᾶται γοῦν καὶ φύματα καὶ παρωτίδας, καὶ τὰ ἐκ θώρακος καὶ πνεύμονος ἀνάγει τῶν ὑγρῶν τὰ παχέα τε καὶ γλίσχρα. ἔχει δέ τι καὶ φυσῶδες, ὡς καὶ τὰς πρὸς συνουσίας ὁρμὰς ἐπεγείρειν, καὶ μάλιστα ὅταν μετὰ γλυκέος πίνηται τὸ σπέρμα. κοιλίαν δὲ ὑπάγειν μετρίως, τῷ ῥύπτειν τε καὶ γαργαλίζειν, οὐ τῷ καθαίρειν. καὶ τὰ γαγγραινώδη δὲ καὶ τὰ καρκινώδη, καὶ ὅλως ὅσα ξηρανθῆναι δέεται, χωρὶς τοῦ δάκνεσθαι, προσηκόντως ἰᾶται.

Ἄκανθα.

Ἡ δὲ μελάμφυλλον, ἡ δὲ παιδέρωτα, τὰ μὲν φύλλα αὐτῆς διαφορητικὴν μετρίως ἔχει τὴν δύναμιν, ἡ δὲ ῥίζα ξηραντικὴν ἠρέμα καὶ λεπτομερῆ.

Ἄκανθα λευκὴ, ἣν ἔνιοι λευκάκανθαν καλοῦσι.

Ταύτης ἡ ῥίζα, ξηραντικὴ μετρίως καὶ στύφουσα, διὸ καὶ κοιλιακοὺς καὶ στομαχικοὺς ὠφελεῖ, καὶ τὰς τοῦ αἵματος ἀναγωγὰς ἐπέχει, καὶ τὰ οἰδήματα καταπλασσομένη προστέλλει, καὶ ὀδόντας ἀλγοῦντας ὀνίνησιν, εἴ τις διακλύζοιτο τῷ ἀφεψήματι. τὸ δὲ σπέρμα λεπτομεροῦς τε καὶ θερμῆς ἐστὶ δυνάμεως, ὥστε καὶ τοῖς σπωμένοις ἁρμόττει πινόμενον.

Ἄκανθα αἰγυπτία.

Ἐκ ταύτης ἡ ἀκακία κατασκευάζεται, στυπτική τε καὶ ξηραντικὴ τὴν δύναμιν, ὥστε καὶ ῥοῦν γυναικεῖον ὀνίνησι, καὶ τὰ καθ' ἕδραν ἕλκη ἐμφυσωμένη εἰς οὐλὴν ἄγει.

Ἄκορον.

Ἀκόρου ἡ ῥίζα τῆς τρίτης ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων, καὶ λεπτομερὴς τὴν σύστασιν. κινεῖ γοῦν οὖρα, καὶ σπλῆνας ὠφελεῖ σκιῤῥουμένους. ὁ δὲ χυλὸς αὐτῆς ἀποῤῥύπτει καὶ καθαίρει τὰ παχέα τοῦ κερατοειδοῦς.

Ἀκόνιτον.

Ἀκόνιτον ἢ παρδαλιαγχὲς, παρέοικεν μὲν τῇ ἀγρίᾳ τῷ εἴδει. σηπτικῆς δὲ ἐστὶ καὶ δηλητηριώδους δυνάμεως, ὅθεν αὐτὸ φυλακτέον ἐν ἐδέσματι λαβεῖν ἢ ποτῷ, πρὸς μέντοι τὸ ἀποσῆψαί τινα τῶν ἐκ τοῦ σώματος, ἢ καθ' ἕδραν, ἐπιτήδειον ἐστί. χρησιμωτέρα δὲ ἡ ῥίζα ἐστὶν εἰς ταῦτα. λέγεται δὲ ὁ χυλὸς τῆς πόας ἄτειχον εἶναι.

Ἀκτή.

Ἀκτὴ, ἥτε μεγάλη καὶ δενδρώδης, καὶ ἡ χαμαιάκτη καλουμένη, ξηραντικῆς ἀμφότεραι δυνάμεως εἰσὶ, κολλητικῆς τε καὶ μετρίως διαφορητικῆς, ὠφελεῖ δὲ ὑδρωπικοὺς τὸ ἀφέψημα τῆς ῥίζης πινόμενον.

Ἅλιμον ἢ ἁλμυρίς.

Τούτου τοῦ θάμνου τοὺς βλαστοὺς ἐσθίουσι τινὲς, καὶ εἰς ἀπόθεσιν θησαυρίζουσιν, ἔστι δὲ καὶ σπέρματος καὶ γάλακτος γεννητικὸν, κατὰ τὴν γεῦσιν, ἁλυκόν τέ τι, καὶ στῦφον ἔχον, καὶ δῆλον ὡς ἀνομοιομερές, τὸ δὲ πλεῖστον αὐτοῦ τῆς οὐσίας, θερμὸν εὐκράτως ὑπάρχει, μεθ' ὑγρότητος ἀκατεργάστου τε καὶ φυσώδους ἠρέμα. τῆς δὲ ῥίζης ∠ α. ποθεῖσα σὺν μελικράτῳ, σπάσματα, ῥήγματα, στρόφους πραΰνει, καὶ γάλα κατασπᾷ.

Ἀγχοῦσαι

Ἀγχοῦσαι τέσσαρες.

Οὐ τῆς αὐτῆς ἅπασαι δυνάμεως· ἡ μὲν γὰρ ὀνοκλεία προσαγορευομένη, στύφουσαν ἅμα καὶ ὑπόπικρον ἔχει τὴν ῥίζαν ἱκανῶς, ὡς καὶ πυκνοῦσαι τὰ σώματα καὶ μετρίως λεπτῦναί τε, καὶ ἀπορρύψαι, καὶ ἀποπλῦναι τοὺς χολώδεις τε καὶ ἁλμώδεις χυμούς· οὕτω δὲ καὶ ἰκτερικοῖς καὶ σπληνικοῖς καὶ νεφριτικοῖς, ὠφέλιμος ὑπάρχει· καὶ ψύχει δὲ ἱκανῶς, ὅθεν καταπλασσομένη, μετὰ ἀλφίτων, ἐρυσίπελας ὠφελεῖ· ἀπορρύπτει δὲ καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ διὰ τοῦτο ἀλφοὺς καὶ λέπρας ἰᾶται σὺν ὄξει. τὰ δὲ φύλλα τῆς βοτάνης, ἐστὶ μὲν ἀσθενέστερα τῆς ῥίζης, οὐκ ἀπήλλακται δὲ τοῦ ξηραίνειν τε καὶ στύφειν, ὅθεν καὶ διαρροίας ἰᾶται σὺν οἴνῳ πινόμενα. καὶ ἡ λυκοψὸς δὲ προσαγορευομένη, τοῖς ἐρυσιπέλασιν ὁμοίως ἁρμόττει, καὶ ῥίζαν ἔχει στυπτικωτέραν ὀνοκλείας. τῆς δὲ ὀνοχείλου τε καὶ ἀλκιβιαδίου καλουμένης ἡ δύναμις ἐστὶ φαρμακωδεστέρα, καὶ ἐχιοδήκτοις ἱκανῶς ἁρμόττει, καταπλαττομένη τε καὶ ἐπιπλαττομένη καὶ ἐσθιομένη. ἡ δὲ τετάρτη μικρὰ καὶ σχεδὸν ἀνώνυμος, παραπλησία μέν ἐστι τῇ ἀλκιβιαδίῳ· πικροτέρα δὲ πλεῖον ἐστὶ καὶ μᾶλλον φαρμακωδεστέρα, καὶ διὰ τοῦτο πρὸς τὰς πλατείας ἕλμινθας ἐπιτηδεία· πλῆθος ὀξυβάφου σὺν ὑσσώπῳ καὶ καρδαμώμῳ πινομένη.

Ἀγαρικόν.

Δύναμιν δὲ ἔχει θερμαντικὴν καὶ διαφορητικὴν καὶ πάχους τμητικήν, διακαθαίρει τε τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις, καὶ διὰ τοῦτο ἰκτεριῶντας ἰᾶται, τοὺς ὑπ' ἐμφράξει τῶν καθ' ἧπαρ οὕτω κάμνοντας. ὀνίνησι δὲ καὶ τοὺς ἐπιληπτικούς, καὶ ῥίγη τὰ κατὰ περίοδον, ὅσα παχέων ἐστὶν ἢ γλίσχρων χυμῶν ἔγγονα· ὠφελεῖ δὲ καὶ τοὺς ὑπὸ τῶν κατὰ ψύξιν ἀδικούντων θηρίων, ἢ δηχθέντας, ἢ νυγέντας, ἔξωθεν κατὰ τοῦ πεπονθότος τόπου, ἐπιτιθέμενον καὶ πινόμενον, ὅσον [illegible] α' μετ' οἴνου, ἐστὶ δὲ καὶ καθαρτικόν.

Ἀδίαντον.

Ἀδίαντον ξηραίνει, λεπτύνει, διαφορεῖ· καὶ γὰρ ἀλωπεκίας δασύνει, καὶ τοῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναγωγαῖς τῶν γλίσχρων καὶ παχέων χυμῶν, οὐ σμικρὰ συντελεῖ, καὶ ῥεύματα κοιλίας ἵστησι. μέσον δέ ἐστι κατὰ θερμότητα καὶ ψυχρότητα τὴν κρᾶσιν.

Ἀγήρατον.

Δυνάμεως ἐστὶ διαφορητικῆς, καὶ ἠρέμα πως ἀφλεγμάντου.

Ἀείζωον.

Ἀείζωον ἑκάτερον, καὶ τὸ μικρὸν καὶ τὸ μέγα, ξηραίνει μὲν ἐπ' ὀλίγον, ὅσον καὶ στύφει μετρίως. ἐμψύχει δὲ οὐ μετρίως, ἐστὶ γὰρ τῆς τρίτης ἀποστάσεώς τε καὶ τάξεως τῶν ψυχόντων, καὶ διὰ τοῦτο πρὸς ἐρυσιπέλατα καὶ ἕρπητας, καὶ πρὸς τὰς ἐκ ῥευμάτων φλεγμονὰς ἁρμόττει.

Αἰγίλωψ.

Διαφορητικὴν ἔχει δύναμιν, τὰς γοῦν σκληρουμένας φλεγμονὰς καὶ αἰγίλωπας καὶ ἀλωπεκίας ἰᾶται θαυμαστῶς.

Αἶρα.

Θερμαίνει καὶ ξηραίνει ὡς ἐγγὺς εἶναι τῶν δριμέων, ἴρεως μᾶλλον, οὐκ ἐστὶ δὲ ὡς ἐκείνη λεπτομερής, ἀλλ' ἀπολείπεται συχνῷ, καὶ κατὰ τοῦτο θείη ἄν τις αὐτὴν, ἐν ἀρχῇ μὲν τῆς τρίτης τάξεως τῶν θερμαινόντων, ἤδη τέλει δὲ, τῆς δευτέρας τῶν ξηραινόντων.

Αἴγειρος.

Αἰγείρου τὰ μὲν ἄνθη, θερμὰ τὴν δύναμιν, ἐστὶ δὲ ἐκ τῆς πρώτης καὶ γάλα κατὰ ταῦτα.

Ἀλόη.

Τῶν μὲν ξηραινόντων ἐστὶ φαρμάκων τῆς τρίτης τάξεως, τῶν θερμαινόντων δὲ ἤτοι τῆς πρώτης ἐπιτεταμένης, ἢ τῆς δευτέρας ἐκλελυμένης, στύφει δὲ μετρίως κατὰ τὴν γεῦσιν, καὶ πικρίζει ἰσχυρῶς. ὑπάγει δὲ γαστέρα τῶν ἐκκοπρωτικῶν καλουμένων οὖσα φαρμάκων. ἐστὶ δὲ εὐστόμαχον φάρμακον, εἴπερ τι καὶ ἄλλο, καὶ κόλπων κολλητικόν. ἰᾶται δὲ καὶ δυσεπούλωτα τῶν ἑλκῶν, καὶ μάλιστα τὰ κατὰ τὴν ἕδραν, καὶ αἰδοῖα τῷ ξηραίνειν ἀδήκτως. ὠφελεῖ δὲ καὶ τὰς φλεγμονὰς αὐτῶν ὕδατι διηθεῖσα, καὶ πολλὰ τραύματα κατὰ τὸν αὐτὸν τρόπον ἁρμόζει ὡσαύτως χρωμένῳ καὶ τὰς ἐν στόματι καὶ ῥισὶ καὶ ὀφθαλμοῖς φλεγμονὰς καὶ ὅλως ἀποκρούεσθαί τε ἅμα καὶ διαφορεῖν πέφυκε, μετὰ τοῦ καὶ ἀπορρύπτειν ὀλίγον εἰς ὅσον ἕλκεσι καθαροῖς ἀλύπως. τοὺς δὲ καθυγραινομένους συνεχῶς ὀφθαλμοὺς καὶ μάλιστα παίδων, ἀνεθεῖσα ὕδατι παχυτέρα, καὶ τοῖς κανθοῖς προσαγομένη παραδόξως ἰᾶται.

Ἄλυσσον.

Τὴν ἄλυσσον φασὶν εἶναι τὴν ἡράκλειαν προσαγορευομένην σιδηρῖτιν, ἥτις παρὰ τὰς ὁδοὺς φύεται πανταχοῦ ἔχουσα πορφυρίζον τὸ ἄνθος, καὶ τὰ φύλλα παχύτερα. ὠνόμασται δὲ οὕτως, διὰ τὸ θαυμαστῶς ὀνινάναι τοὺς ὑπὸ λυττῶντος κυνὸς δεδηγμένους. δυνάμεως δέ ἐστι μετρίως ξηραντικῆς καὶ διαφορητικῆς. ἔχει δέ τι καὶ ῥυπτικόν, ᾧ καὶ τοὺς ἀλφοὺς καὶ τὰς ἐφήλεις ἀποκαθαίρει.

Ἀλσίνη ἢ μυὸς ὦτα.

Ὁμοίαν ἔχει καὶ τοῦτο τὸ βοτάνιον τὴν δύναμιν ἐλξίνῃ ψύχουσάν τε καὶ ὑγραίνουσαν. ἐστὶ γὰρ οὐσίας ὑδατώδους ψυχρᾶς, διὸ καὶ χωρὶς στύψεως ἐμψύχει· αὕτη ἄρα καὶ πρὸς ζεούσας ἁρμόττει φλεγμονὰς, καὶ ἐρυσιπέλατα μέτρια.

Ἀμάρακον.

Θερμαίνει μὲν οὐκ ἀγεννῶς· ξηραίνει δὲ οὐ σφοδρῶς. ἀλλ' ἐν τῇ θερμότητι, τῆς τρίτης ἐστὶ τάξεως, ἐν δὲ τῷ ξηραίνειν, τῆς δευτέρας.

Ἀβρόσια.

Μεταπλαττομένη, δύναμιν ἔχει σύφουσάν τε καὶ ἀποκρουστικήν.

Ἄμι.

Ἄμεως τὸ σπέρμα, μάλιστα μὲν ἐστὶ χρήσιμον, θερμαντικῆς καὶ ξηραντικῆς δυνάμεως ὑπάρχον κατὰ τὴν τρίτην ἀπόστασιν. ἐστὶ δὲ καὶ λεπτομερές. γευομένοις δὲ, ὑπόπικρόν τε καὶ δριμὺ, καὶ δηλονότι διουρητικόν τε καὶ διαφορητικόν.

Ἀμάραντον.

Δυνάμεως ἐστὶ λεπτυντικῆς καὶ τμητικῆς. ἔμμηνα οὖν ἄγει σὺν οἴνῳ ποθεῖσα ἡ κόμη, καὶ θρόμβους αἵματος τήκειν πεπίστευται, οὐ τοὺς ἐν γαστρὶ μόνον, ἀλλὰ καὶ τοὺς ἐν κύστει, σὺν οἰνομέλιτι πινομένη, καὶ πάντων δὲ ἁπλῶς ἐστὶ ῥευμάτων ξηραντικὴ πινομένη. κακοστόμαχος δ' ἐστί.

Ἀμόργη.

Τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων ἐπιτεταμένης, οὕτω γέ τοι καὶ τὰ τῶν ξηρῶν τῇ κράσει σωμάτων ἕλκη θεραπεύει, τὰ δὲ ἐν τοῖς ἄλλοις ἅπασι παροξύνει.

Ἀμπελόπρασον.

Μεταξὺ πράσου τε καὶ σκορόδου τὴν δύναμιν ἐστὶ, κακοστομαχώτερον δὲ τοῦ ἡμέρου ὑπάρχον, καὶ γλίσχρων χυμῶν τμητικώτερον, καὶ ἐκφρακτικὸν τῶν ἐμπεπλεγμένων ὀργάνων. ταύτῃ τοι καὶ οὖρα καὶ καταμήνια πολλάκις ἐκίνησεν, ὅταν ὑπὸ ψυχροῦ καὶ παχέος ἴσχωνται χυμοῦ.

Ἄμπελος λευκή,

Ἄμπελος λευκὴ, ἣν δὴ καὶ βρυωνίαν καλοῦσι, καὶ ψίλωθρον, οἱ μὲν πρῶτοι βλαστοὶ συνήθως ὑπὸ πάντων ἐσθίονται κατὰ τὸ ἔαρ, ὡς εὐστόμαχον ἔδεσμα, διὰ τὸ στύφειν, ὑπόπικρον δὲ καὶ δριμεῖαν ἀρέμα ἔχουσι τὴν στύψιν, διὸ καὶ οὔρησιν κινεῖ. ἡ δὲ ῥίζα, ῥυπτικὴν καὶ ξηραντικὴν καὶ λεπτομερῆ δύναμιν ἔχει, καὶ συμμέτρως θερμὴν, διὸ καὶ σπλῆνας τήκει σκιῤῥουμένους πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη μετὰ σύκων. καὶ ψώρας καὶ λέπρας ἰᾶται. ἡ δὲ μέλαινα παραπλησίως ἐστὶ κατὰ πάντα τῇ προειρημένῃ, πλὴν ἀσθενεστέρα.

Ἀμύγδαλα.

Τὰ μὲν πικρὰ φανερῶς τῆς λεπτυνούσης ἐστὶ δυνάμεως ὡς καὶ ἐφήλεις ἀποκαθαίρειν, καὶ ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεσι τῶν γλίσχρων τε καὶ παχέων χυμῶν, ἱκανῶς συντελεῖ. ἀλλὰ καὶ ἐκφράττει, καὶ καθαίρει τὸ ἧπαρ, καὶ σπλῆνα, καὶ κῶλον, καὶ νεφροὺς, καὶ πλευρῶν ἀλγήματα παύει. καὶ τὸ δένδρον δὲ αὐτὸ σύμπαν, ὁμοίαν ἔχει τὴν δύναμιν, ὥς τε καὶ τούτου τὰς ῥίζας ἑψηθεῖσας ἐπιπλάττοντες ἀποκαθαίρουσιν ἐφήλεις. τὰ δὲ γλυκέα τῶν ἀμυγδάλων, ἀσθενέστερα τῶν πικρῶν ἐστί.

Ἀμμωνιακόν.

Ἀμμωνιακὸν μαλακτικῆς ἐστὶ δυνάμεως ἐπιτεταμένης, ὥς τε καὶ τοὺς περὶ τὰ ἄρθρα πώρους διαλύειν, καὶ σπλῆνας ἐσκιῤῥωμένους ἰᾶσθαι, καὶ χοιράδας διαφορεῖν.

Ἄμωμον.

Ἔοικε τὴν δύναμιν ἀκόρῳ. πλὴν ὅτι ξηρότερον ἐστὶ τὸ ἄκορον. πεπτικώτερον δέ πως τὸ ἄμωμον.

Ἀναγαλλίς.

Ἀναγαλλὶς ἑκατέρα, ἥ τε τὸ κυανοῦν ἄνθος ἔχουσα, καὶ ἡ τὸ φοινικοῦν, ῥυπτικῆς ἱκανῶς ἐστὶ δυνάμεως, ἔχουσα τι καὶ ὑπόθερμον καὶ ἑλκτικὸν, ὡς καὶ σκόλοπας ἐπισπᾶσθαι. ὁ δὲ χυλὸς αὐτῶν ἐκ ῥινῶν καθαίρει τὴν κεφαλὴν διὰ τὴν αὐτὴν αἰτίαν. καὶ καθόλου φαίναι, ξηραντικὴν ἔχουσι δύναμιν ἄδηκτον. ὅθεν καὶ τραύματα κολλῶσι, καὶ τοῖς σηπομένοις ἕλκεσι βοηθοῦσιν.

Ἀνδράχνη.

Ἐν μὲν τῇ τοῦ ψύχειν δυνάμει τῆς τρίτης ἐστὶ τάξεως καὶ ἀποστάσεως. ἐν δὲ τῇ τοῦ ὑγραίνειν, τῆς δευτέρας. ὀλίγου δὲ αὐστηροῦ μετέχει, διὸ καὶ ἀποκρούεται ῥεύματα, καὶ μάλιστα τὰ χολώδη καὶ θερμὰ μετὰ τοῦ μεταβάλλειν αὐτὰ καὶ ἀλλοιοῦν κατὰ ποιότητα, καὶ ἱκανῶς ψύχειν. ταύτῃ τοι καὶ τοὺς καυσουμένους ὀνίνησιν, εἴπερ τι ἄλλο, κατά τε τοῦ στόματος τῆς κοιλίας λεία ἐπιτιθεμένη, καὶ ὅλων τῶν ὑποχονδρίων. ἀλλὰ καὶ λειουμένη εὖ μάλα ἐπιβαλλομένου ὠοῦ ὠμοῦ, μετά τε τοῦ λευκοῦ καὶ τοῦ πυροῦ, μιγνυμένου καὶ ῥοδίνου συμμέτρου, καὶ βραχέος ὄξους, καὶ ἀλειφομένου τοῦ παντὸς σώματος παραχρῆμα μὲν ῥαστώνην οὐ τὴν τυχοῦσαν ἐπιφέρει ἤδη τῶν διακαῶς πυρεττόντων, καὶ παντάπασι σβέννυσιν, ὡς μηκέτι αὐτοὺς ἐπιπαροξύνεσθαι. καὶ αἱμωδίας δὲ ἐστὶν ἴαμα. καὶ ὁ χυλὸς δὲ αὐτῆς ὁμοίας ἐστὶ δυνάμεως, ὥς τε οὐ μόνον ἔξωθεν ἐπιτιθεμένη, ἀλλὰ καὶ πινομένη ἐμψύχει, τοῦτο μέντοι γε καὶ αὐτῇ τῇ βοτάνῃ συμβέβηκεν ὅλῃ βρωθείσῃ. διὰ δὲ τὸ ὑποστύφειν, καὶ δυσεντερικοῖς ἐστὶν ἐπιτήδειον ἔδεσμα, καὶ γυναικείῳ ῥῷ, καὶ αἵματος ἀναγωγαῖς. εἰς ταῦτα μέν τοι πολὺ δραστικώτερος ἐστὶν αὐτῆς τῆς πόας ὁ χυλός.

Ἀνεμῶναι.

Ἀνεμῶναι πᾶσαι δριμείας καὶ ῥυπτικῆς εἰσὶ δυνάμεως. ὅθεν ἥ τε ῥίζα διαμασωμένη φλέγμα προσκαλεῖται. καὶ ὁ χυλὸς ἐκ ῥινῶν καθαίρει καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς λεπτύνει. καὶ τὰ ῥυπαρὰ δὲ τῶν ἑλκῶν καθαίρουσιν αἱ ἀνεμῶναι, καὶ λέπρας ἀφιστῶσιν. ἔμμηνά τε προσκαλοῦνται προστιθέμεναι. καὶ κατασπῶσι γάλα.

Ἄνηθον.

Ἄνηθον θερμαίνει μὲν εἰς τοσοῦτον ὡς ἤτοι τῆς δευτέρας τάξεως ἐστὶν ἐκλελυμένης, ἢ τῆς πρώτης ἐπιτεταμένης

πεταμένης ἀπολαβεῖν. τῶν ξηραινόντων δὲ τῆς δευτέρας ἐστὶ τάξεως ἀρχομένης, ἢ τῆς πρώτης τελευτώσης. ἀναφεψόμενον δὲ ἐλαίῳ διαφορητικόν τε καὶ ἀνώδυνον, καὶ ὑπνοποιόν, καὶ πεπτικὸν ὠμῶν καὶ ἀπέπτων ὄγκων ὑπάρχει. καυθὲν δὲ τῆς τρίτης τάξεως γίνεται τῶν θερμαινόντων καὶ ξηραινόντων τε, καὶ διὰ τοῦτο πλαδαροῖς ἕλκεσιν ἐπιπαττόμενον, ὀνίνησι, καὶ μάλιστα τοῖς ἐν αἰδοίοις. τὰ δὲ ἐπὶ τῆς ποσθῆς χρόνια, καὶ ἐπουλοῖ. ὑγρότερον δὲ δηλονότι καὶ ἧττον θερμόν, ἐστὶ τὸ χλωρόν, ἔτι καὶ ἔγχυλον, ὥστε καὶ πεπτικώτερον μὲν ἐστὶ τοῦ ξηροῦ μᾶλλον, καὶ ὑπνοποιόν, διαφορητικὸν δὲ ἧττον.

Ἄνθεμις ἢ χαμαίμηλον.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν πρώτην τάξιν. ἔστι δὲ λεπτομερές, καὶ διὰ τοῦτο διαφορητικόν, καὶ ἀραιωτικόν, καὶ χαλαστικὸν τὴν δύναμιν ἐστι. εἰ μὲν οὖν εἴη χλωρόν, ἀναφεψεῖν αὐτὸ δεῖ τῷ ἐλαίῳ. μὴ παρόντος δηλονότι τοῦ χαμαιμηλίνου ἐλαίου, ἐν ᾧ βραχὺ τὸ ἄνθος ἡλιώθη. εἰ δὲ ξηρὸν εἴη, ὄξει ὀλίγῳ προυποτεθέν, ἔπειτα ἑψόμενον σὺν τῷ ἐλαίῳ, ἐπιτήδειον γίνεται, ἐφ᾽ ὧν οὔπω τέλεον ἡ ὕλη πέπαυται τῆς ἐπὶ τὴν κεφαλὴν ἀναφορᾶς. τὴν γὰρ οὖσαν ἐν τῇ κεφαλῇ διαφορεῖ, καὶ ἑτέραν οὐκ ἐπισπᾶται, ὅπερ οὐδενὶ τῶν ἄλλων συντετύχηκε φαρμάκῳ. Νεχεψὼς δὲ ὁ αἰγύπτιος παρακελεύεται αὐτὸ τὸ ἄνθος καθαρὸν τοῦ χαμαιμήλου, ἀκμαιότατον συλλέγειν, καὶ κόπτειν ἐν ὅλμῳ, ἔπειτα λειοῦν εὖ μάλα ἐν θυίᾳ, καὶ ἀναπλάττειν τροχίσκους συμμέτρους, καὶ ξηραίνειν ἐν σκιᾷ ἀκριβέστατα, καὶ ἀποτίθεσθαι, ἐπὶ δὲ τῆς χρείας λειώσαντα τροχίσκον ἕνα καὶ ἐπιβάλλοντα ἐλαίου τοῦ πρωτείου τὸ ἀρκοῦν, χρίειν τὸ σῶμα ἀπὸ κεφαλῆς ἄχρι ποδῶν ἐπὶ τῶν πυρεττόντων πάντων, καὶ θάλπειν σκέπῃ. κινηθήσεται γὰρ ἱδρὼς φησὶ χρηστὸς ἐπὶ τῶν σωθησομένων, καὶ ἀπαλλαγήσονται τοῦ πυρετοῦ. πεπείραται γὰρ τοῦτο ἐπὶ πλείστων, καὶ ἁρμόδιον ἐστὶ μάλιστα ἐν ὁδοιπορείαις ἔχειν διὰ τοῦτο, διὰ τὸ εὐμετακόμιστον, παρακελεύεται δὲ καὶ ποτίζειν τοὺς τροχίσκους, τοὺς πυρέττοντας ὅσον κύαθον α μεθ᾽ ὕδατος θερμοῦ.

Ἄνισον.

Ἀνίσου τὸ σπέρμα, μάλιστα ἐστὶ χρήσιμον, δριμὺ καὶ ὑπόπικρον ὑπάρχον, ὥστε ἐγγὺς ἥκειν τῇ θερμότητι τῶν καυστικῶν. ἔστι γὰρ κἀν τῷ θερμαίνειν καὶ ξηραίνειν ἐκ τῆς τρίτης ἀποστάσεως, ταῦτ᾽ ἄρα καὶ οὐρητικόν ἐστι καὶ διαφορητικόν, ἐμπνευματώσεις τε τὰς κατὰ γαστέρα ἵστησιν.

Ἀπαρίνη.

Ἀπαρίνην οἱ μὲν φιλάνθρωπον, οἱ δὲ ὀμφακόκαρπον ὀνομάζουσι. μετρίως ῥύπτει καὶ ξηραίνει, ἔχει δέ τι καὶ λεπτομερές.

Ἄπιον.

Ἀπίου μὲν τὰ φύλλα, καὶ οἱ ἀκρέμονες, αὐστηροί. ὁ δὲ καρπὸς ἔχει τι καὶ γλυκύτητος ὑδατώδους, ἐξ ὧν δήλη ἡ κρᾶσις ἐστὶ ἀνώμαλός τις ὑπάρχουσα κατὰ τὰ μόρια, καὶ διὰ τοῦτο ἐσθιόμενοι μὲν εὐστόμαχοι καὶ ἄδιψοι, καταπλαττόμενοι δέ, ξηραίνουσί τε καὶ μετρίως ψύχουσιν, ὥστε ἤδη γε αὐτοῖς καὶ κολλῆσαι οἷα τραύματα.

Ἀχράδες.

Αἱ δὲ ἀχράδες ὀνομαζόμεναι, καὶ στύφουσι μᾶλλον καὶ ξηραίνουσι, καὶ διὰ τοῦτο κολλῶσι τραύματα μείζονα, καὶ ἀποκρούονται ῥεύματα καταπλαττόμεναι, καθὼς ἐν τῷ περὶ τῶν μήλων λόγῳ τελεώτατα ῥηθήσεται.

Ἀριστολοχία.

Ἀριστολοχίας ἡ ῥίζα, χρειωδεστάτη ἐστὶ πρὸς τὰς ἰάσεις, πικρὰ καὶ ὑπόδριμυς ὑπάρχουσα. λεπτομερεστάτη δὲ αὐτῶν ἐστὶν ἡ στρογγύλη, καὶ κατὰ πάντα δραστικωτέρα, διὸ ἐφ᾽ ὧν παχὺν χυμὸν ἰσχυρῶς δεῖ λεπτῦναι τῆς στρογγύλης ἐστὶ χρεία. διὰ τοῦτο καὶ τὰ δι᾽ ἔμφραξιν, ἢ πάχος, ἢ ἀπέπτου πνεύματος ἀλγήματα θεραπεύει, καὶ σκόλοπας ἀνάγει, καὶ σηπεδόνας ἰᾶται, καὶ τὰ ῥυπαρὰ τῶν ἑλκῶν καθαίρει, καὶ ὀδόντας καὶ οὐλὰς ἐν ὀφθαλμοῖς, λαμπρύνει. βοηθεῖ δὲ καὶ ἀσθματικοῖς καὶ λύζουσιν, ἐπιληπτικοῖς τε καὶ ποδαγρικοῖς μεθ᾽ ὕδατος πινομένη. καὶ ῥήγμασι δὲ καὶ σπάσμασιν, εἴπερ τι ἄλλο φάρμακον, ἐπιτήδειον ἐστί. τῶν δὲ ἄλλων δυοῖν ἡ μὲν κληματῖτις, εὐωδεστέρα μέν, ὡς εἰς τὰ μύρα χρῆσθαι τοὺς μυρεψοὺς αὐτῇ, εἰς δὲ τὰς ἰάσεις ἀσθενεστέρα. ἡ δὲ μακρά, ἧττον λεπτομερής ἐστι τῆς στρογγύλης, οὐ μὴν οὐδὲ αὐτή γε ἄπρακτος. ἀλλὰ τῆς ῥυπτικῆς καὶ θερμῆς δυνάμεως ἐστὶ διὰ τοῦτο καὶ ἕλκη σαρκοῖ, καὶ ταῖς τῶν ὑστέρων πυρίαις χρησιμωτέρα καθέστηκεν.

Ἄρακος.

Παραπλήσιόν ἐστι τὸ σπέρμα τοῦτο τῶν ἀράκων, τῷ τῶν λαθύρων, κατά τε τὴν χρῆσιν καὶ τὴν δύναμιν. σκληρότεροι δὲ καὶ διὰ τοῦτο δυσπεπτότεροι τῶν λαθύρων, οἱ ἄρακοι.

Ἄρκευθος.

Θερμὴ καὶ ξηρά, τῆς τρίτης τάξεως κατ᾽ ἄμφω. ὁ δὲ καρπὸς αὐτῆς θερμὸς μὲν ὁμοίως. ξηραίνει δὲ κατὰ τὴν πρώτην τάξιν.

Ἀρνόγλωσσον.

Ἀρνόγλωσσον ψύχει καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, ἔχει δέ τι καὶ αὐστηρόν, διὸ πρὸς ἕλκη κακοήθη καὶ ῥεύματα καὶ σηπεδόνας ἁρμόττει, καὶ διὰ τοῦτο καὶ πρὸς δυσεντερίας ποιεῖ, καὶ αἱμορραγίας ἵστησι, καὶ ἐπὶ διακαεῖς, ἐμψύχει. καὶ κόλπους παρακολλᾷ. ἔστι δὲ καὶ τῶν ἄλλων ἑλκῶν προσφάτων τε ἅμα καὶ παλαιῶν ἴαμα. ξηραίνει γὰρ ἀδήκτως, καὶ μετέχει στύψεως μηδέπω ναρκούσης. καὶ ὁ καρπὸς δὲ αὐτοῦ καὶ ἡ ῥίζα παραπλησίας εἰσὶ δυνάμεως, πλήν γε ὅτι ξηροτέρας τε καὶ ἧττον

ψυχρᾶς. ἀλλ' ὁ μὲν καρπὸς λεπτομερέστατος. αἱ δὲ ῥίζαι παχυμερέστεραι. αὐτὰ δὲ τὰ φύλλα τῆς πόας ξηρανθέντα λεπτομερεστέρας τε καὶ ἧττον ψυχρᾶς γίνονται δυνάμεως. ταῦτ' ἄρα ταῖς μὲν ῥίζαις, καὶ πρὸς ὀδόντων ἀλγήματα χρώμεθα, διαμασωμένοις τε καὶ διακλύσματι τῷ ἐξ αὐτῶν χρώμενοι. πρὸς δὲ τὰς καθ' ἧπαρ καὶ νεφροὺς ἐμφράξεις, καὶ ταύταις μὲν ἀλλὰ καὶ τοῖς φύλλοις, καὶ πολλῷ μᾶλλον ἔτι τῷ καρπῷ χρώμεθα.

Ἄρον.

Ἄρου ἡ ῥίζα τῆς πρώτης τάξεώς ἐστι τῶν θερμαινόντων. ἔστι δὲ καὶ ῥυπτικῆς δυνάμεως, ἀλλ' οὐκ ἰσχυρᾶς, ὥσπερ τὸ δρακόντιον. ἐσθιόμεναί τε αἱ ῥίζαι, τέμνουσι πάχος χυμῶν μετρίως, ὥστε καὶ ταῖς ἐκ θώρακος ἀναπτύσεσιν ἐπιτήδειον. τὸ δὲ δρακόντιον εἰς ταῦτα ἐπιτηδειότερον. σκευάζεται δὲ καὶ ἐσθίεται, ὡς τὸ δρακόντιον ἀποζεννυμένη.

Ἀρτεμισίαι διτταί.

Θερμαίνουσιν ἀμφότεραι κατὰ τὴν δευτέραν τάξιν. ξηραίνουσι δὲ ἢ κατὰ τὴν πρώτην τάξιν τεταγμένην, ἢ τὴν δευτέραν ἀρχομένην. εἰσὶ δὲ καὶ λεπτομερεῖς μετρίως, ὥστε καὶ πρὸς τοὺς ἐν νεφροῖς λίθους ἁρμόττειν μετρίως, καὶ εἰς πυρίας ὑστερῶν.

Ἄσαρον.

Ἀσάρου αἱ ῥίζαι, χρήσιμοι παραπλήσιαι μὲν ταῖς τοῦ ἀκόρου. ἐπιτεταμέναι δὲ μᾶλλον, ὥστε ὅσα ὑπὲρ ἐκείνου προείρηται, καὶ περὶ τούτου χρὴ γινώσκειν.

Ἀσπάλαθος.

Ἀσπάλαθος ἐξ ἀνομοιομερῶν δυνάμεων σύγκειται, δριμέων τε καὶ στυφόντων. καὶ τοῖς μὲν δριμέσιν ἑαυτοῦ μέρεσι θερμαίνει. τοῖς δὲ αὐστηροῖς στύφει. ὥστε ξηραίνει κατ' ἄμφω. καὶ διὰ τοῦτο πρὸς σηπεδόνας καὶ τὰ ῥεύματα χρήσιμος ὑπάρχει. πρὸς δὲ τὰ σηπόμενα ἐν τῷ στόματι οὖλα, ἐν οἴνῳ ἑψομένη, διάκλυσμα δίδοται θερμόν.

Ἀσπάραγος ἢ ἀσφάραγος ὡς Ἀθηναῖοι.

Ἀσπάραγος ὁ πετραῖος ἢ μυάκανθος, ῥυπτικῆς ἐστι δυνάμεως, οὐ μὴν οὐδὲ θερμαίνει σαφῶς, οὐδὲ ψύχει. ταύτῃ τοι καὶ τῶν νεφρῶν καὶ ἥπατος ἐκφρακτικὸς ὑπάρχει, καὶ μάλιστα αἱ ῥίζαι τῆς βοτάνης καὶ τὸ σπέρμα. καὶ μὲν δὴ καὶ ὀδονταλγίας ἰᾶται, τῷ ξηραίνειν ἄνευ τοῦ θερμαίνειν.

Ἀσταφίς.

Ἡ μὲν ἥμερος πεπτικῆς ἐστιν ἅμα καὶ στυπτικῆς, καὶ διαφορητικῆς μετρίως μετέχει δυνάμεως. τὸν αὐτὸν γὰρ λόγον ἔχουσιν αἱ ἀσταφίδες πρὸς τὰς σταφυλάς, ὃν ἔχουσιν αἱ ἰσχάδες πρὸς τὰ σῦκα. καὶ αἱ μὲν γλυκύτεραι, θερμότεραι. αἱ δὲ αὐστηρότεραι, ψυχρότεραι. καὶ ἔτι μᾶλλον αἱ στρυφναί. τὸν μὲν οὖν στόμαχον ῥωννύουσιν αἱ αὐστηραί, καὶ τὴν κοιλίαν στεγνοῦσι. καὶ δηλονότι τῆς πρώτης μᾶλλον ἐστὶν αὐτῶν αἱ στρυφναί, μέσην δέ πως κατάστασιν ἐν αὐτῇ αἱ γλυκεῖαι ποιοῦσι, μήτε ἐκλύουσαι σαφῶς τὸν στόμαχον, μήτε ὑπάγουσαι τὴν γαστέρα. τό γε μὴν ἐκφρακτικὸν ὑπάρχει ταῖς γλυκείαις ἀεί, καὶ τὸ μετρίως ῥυπτικόν, ὅθεν τὰς μικρὰς κατὰ τὸ στόμα τῆς κοιλίας ἀμβλύνουσι δήξεις. αἱ γὰρ μείζους τῶν δήξεων γενναιοτέρων χρῄζουσι βοηθημάτων. ἀμείνους ἐν δὲ ταῖς ἀσταφίσιν, αἱ λιπαρώταται, καὶ τὸν φλοιὸν ἔχουσαι λεπτόν. ἧττον δὲ ἰσχάδων αἱ ἀσταφίδες τὸ ὑπακτικὸν ἔχουσι καὶ τὸ ῥυπτικόν. εὐστομαχώτεραι δὲ εἰσὶν ἰσχάδων.

Ἀσταφὶς ἀγρία.

Ἡ δὲ ἀγρία ἀσταφὶς δριμείας ἰσχυρῶς ἐστι δυνάμεως, ὡς ἀποφλεγματίζειν καὶ ῥύπτειν σφοδρῶς. ὥστε καὶ πρὸς ψώρας ἁρμόττει. μετέχει δὲ καὶ καυστικῆς τινος δυνάμεως.

Ἀσφόδελος.

Ἀσφοδέλου δὲ ἡ ῥίζα χρήσιμος, ὥσπερ ἄρου καὶ ἀσάρου καὶ δρακοντίου. ῥυπτικῆς τε καὶ διαφορητικῆς ὑπάρχει δυνάμεως, ὅθεν ἀφεψομένη μετ' οἴνου λευκοῦ παλαιοῦ, καὶ πινομένου τοῦ οἴνου θερμοῦ ἀκράτου, ὅσον κυάθου α. καταμήνια ἐπεχόμενα κινεῖ τάχιστα. καυθείσης δὲ αὐτῆς, ἡ τέφρα θερμοτέρα καὶ ξηραντικωτέρα γίνεται, καὶ διὰ τοῦτο καὶ ἀλωπεκίας ἰᾶται.

Ἀτρακτυλίς.

Ἀτρακτυλὶς ἢ κνῆκος ἄγριος. οἱ δέ, ἀνδρόσαιμον καλοῦσι ξηραντικῆς, καὶ μετρίως θερμῆς ὑπάρχει δυνάμεως.

Ἀτράφαξις.

Τῆς δευτέρας τάξεώς ἐστι τῶν ὑγραινόντων. τῆς πρώτης δὲ τῶν ψυχόντων, οὐ μετέχει δὲ στύψεως. ἀλλ' ἔστιν ὑδατώδης ὁμοίως τῇ μαλάχῃ, καὶ δὴ καὶ κατὰ τὴν γαστέρα διέρχεται. εἰσὶ δὲ αἱ κηπευόμεναι ὑγρότεραι τῶν ἀγρίων καὶ ψυχρότεραι, διὸ καὶ φλεγμοναῖς καὶ φυγέθλοις, ταῖς μὲν ἀρχομέναις τε, καὶ αὐξανομέναις αἱ κηπευόμεναι. ταῖς δὲ ἀκμαζούσαις καὶ παρακμαζούσαις, αἱ ἄγριαι συμφορώτεραι. ὁ δὲ καρπός, ῥυπτικῆς ἐστι δυνάμεως, ὅθεν καὶ πρὸς ἰκτερικοὺς τοὺς ἐπὶ ἥπατος ἐμφράξει, χρήσιμος ὑπάρχει.

Ἀψίνθιον.

Θερμὸν μέν ἐστι κατὰ τὴν πρώτην ἀπόστασιν. ξηρὸν δὲ κατὰ τὴν τρίτην. ὁ δὲ χυλὸς αὐτοῦ, πολὺ τῆς πόας θερμότερος, μετέχει δὲ καὶ στύψεως οὐκ ἀμυδρᾶς. καὶ μάλιστα τὸ ποντικόν, διὸ ῥύπτει, καὶ τονοῖ, καὶ ξηραίνει. καὶ διὰ τοῦτο καὶ τοὺς ἐν τῇ κοιλίᾳ χολώδεις χυμοὺς ἐπί τε τὴν κάτω διαχώρησιν ἀπάγει, καὶ δι' οὔρων ἐκκενοῖ. μᾶλλον δὲ τὸ ἐν φλεψὶ χολῶδες δι' οὔρων καθαίρει. διὰ ταῦτα καὶ φλέγματος ἐν τῇ κοιλίᾳ περιεχομένου, οὐδὲν ὀνίνησιν. οὕτω δὲ καὶ εἰ κατὰ θώρακα καὶ πνεύμονα τύχοι. ἡ γὰρ στυπτικὴ δύναμις ἐν αὐτῷ τῆς πικρᾶς ἐστιν ἰσχυροτέρα, τῷ δὲ καὶ δριμύτητός τινος μετέχειν, πλείονι μέτρῳ, θερμόν ἐστιν, ἤπερ ψυχρόν.

ΑΡΧΗ ΤΟΥ Β.

Βάλανος.

Βάλανος μυρεψική, ἣν μυροβάλανον ὀνομάζουσι, ῥυπτικὴ καὶ τμητικὴ τὴν δύναμιν ἐστὶν ἅμα σύψει τινί, καὶ διὰ τοῦτο ῥυπτικήν τε ἅμα καὶ συπτικὴν καὶ συνακτικὴν καὶ πλυντικὴν ἔχει τὴν ἐνέργειαν, ὥς τε καὶ πρὸς ἴονθους καὶ φακοὺς ἐφήλεις τε καὶ κνησμὸν, καὶ ψώρας, καὶ λέπρας, καὶ ἀχῶρας, καὶ ἐξανθήματα ἑλκώδη, καὶ παχύσματα ἁρμόττει, καὶ μάλιστα μετὰ ὄξους· καὶ οὐλὰς δὲ λαμπρύνει, ποιεῖ καὶ πρὸς τὸ ἧπαρ ἐσκιῤῥωμένον καταπλασσόμενον, καὶ σπλῆνας τήκει, καὶ μάλιστα μιγνυμένου αὐτῇ τινος τῶν ξηραντικῶν ἀλεύρων, οἷον αἰρίνου, ἢ ὀροβίνου. ὁ μέν τοι φλοιὸς αὐτῆς πάνυ δραστικός ἐστι, ὥς τε χρηστέον αὐτῇ, ἐφ' ὧν ἰσχυροτέρας χρεία σύψεως. εἰ δέ τις τῆς σαρκὸς αὐτῆς πίνοι δραχμὴν μίαν μετὰ μελικράτου, ἐμέσει εὐκόλως. πολλάκις δὲ καὶ διὰ τῆς κάτω κοιλίας ὑπάγει διαφελῶς, ὅθεν ἐπειδὰν καθαίρειν ἧπαρ ἢ σπλῆνα βουλόμενοι, τῷ φαρμάκῳ χρώμεθα, μετ' ὀξυκράτου διδόαμεν αὐτό, διὰ τὸ κακοστόμαχον αὐτοῦ, χαίρει γὰρ τῷ ὄξει, καὶ ἔξωθεν ἐπιτιθεμένη, καὶ διὰ σώματος διδομένη.

Βάλανος δρυΐνη.

Περὶ τῆς δρυΐνης βαλάνου ἐν τῷ περὶ δρυὸς τόπῳ δηλωθήσεται.

Βάλσαμον.

Βάλσαμον θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν ἀπόστασιν, ἔστι δὲ καὶ λεπτομερές. ὁ δὲ ὀπὸς αὐτοῦ, λεπτομερεστέρας ἐστὶ δυνάμεως. οὐ μὴν εἰς τοσοῦτόν γε θερμὸς, εἰς ὅσον οἴονταί τινες ὑπὸ τῆς λεπτομερείας ἐξαπατώμενοι. ὁ δὲ καρπὸς αὐτοῦ παραπλησίας ἐστὶ κατὰ γένος δυνάμεως, ἀπολείπεται δὲ πολλῷ κατὰ τὸ λεπτομερές.

Βαλαύστιον.

Βαλαύστιον ἐστὶν ἀγρίας ῥοιᾶς ἄνθος, οἷον πρὸ τῆς ἡμέρου ὁ κύτινος, ἰσχυρῶς σύφει τὴν γεῦσιν, καὶ δὴ ξηραντικῆς καὶ ψυκτικῆς ἐστι δυνάμεως, ὅθεν ἐν παραπτέμμασι καὶ τοῖς ἄλλοις ἕλκεσιν ἐπιπολαίοις αὐτὸ ξηρὸν λειότατον, τάχιστα αὐτὰ ἴδης εἰς οὐλὴν ἰόντα ἀδήκτως. ταύτῃ τοι καὶ ἐπὶ τῶν αἷμα ἀναγόντων καὶ δυσεντερικῶν καὶ τῶν κατὰ γαστέρα καὶ μήτραν ῥευμάτων, οὐκ ἔστιν ὅστις οὐ χρῆται τούτῳ τῷ φαρμάκῳ ἰατρός.

Βάτος.

Βάτου τὰ φύλλα, καὶ μάλιστα τὰ μαλακὰ καὶ οἱ βλαστοί, μετρίως ἐστὶ συπτικοί, ὥς τε καὶ διαμασσώμενα, ἄφθαις τε καὶ τὰ ἄλλα τὰ ἐν τῷ στόματι θεραπεύει ἕλκη, καὶ μέντοι καὶ τὰ τραύματα κολλᾷ. ὁ μὲν καρπὸς ἐὰν ᾖ πέπειρος, ἔχει τι καὶ συμμέτρου θερμότητος, ὁ δὲ ἄωρος ὑπὸ ψυχρᾶς οὐσίας γεώδους ἐπικρατεῖται, καὶ διὰ τοῦτο σφοδρῶς ξηραντικός ἐστι, ξηρανθεὶς δὲ ἀποτίθεται, καὶ γίνεται ξηραντικώτερος τοῦ ὑγροῦ. καὶ τὸ ἄνθος δὲ τῆς αὐτῆς ἐστι τῷ ἀώρῳ καρπῷ δυνάμεως, εἰς δυσεντερίας οὖν καὶ ῥεύματα γαστρὸς, καὶ ἀτονίας, καὶ τὰς τοῦ αἵματος πτύσεις ἐπιτήδειος ἐστιν. ἡ δὲ ῥίζα πρὸς τῷ σύφειν ἔτι καὶ λεπτομεροῦς ἐστι δυνάμεως, διὸ καὶ τοὺς ἐν νεφροῖς λίθους θρύπτει.

Βατράχιον.

Βατράχιον τέσσαρας μὲν ἔχει τὰς κατ' εἶδος διαφορὰς, ἅπαντα δὲ δριμείας ἰσχυρῶς ἐστι δυνάμεως, ὥς ἑλκοῦν μετὰ πόνου. ταῦτ' ἄρα καὶ συμμέτρως χρωμένῳ καὶ ψώρας καὶ λέπρας ἀποδέρει, καὶ ὄνυχας ἀφίστησι λεπρούς, καὶ στίγματα διαφορεῖ, καὶ ἀκροχορδόνας, καὶ μυρμηκίας ἀφαιρεῖ. καὶ μέντοι καὶ ἀλωπεκίας ὠφελεῖ πρὸς ὀλίγον χρόνον ἐπιτεθέντα, χρονιζόντων γὰρ οὐκ ἐκδέρεται μόνον, ἀλλὰ καὶ ἐσχαροῦται τὸ δέρμα. καὶ ταῦτα μὲν τὰ φύλλα χλωρὰ μετὰ τῶν καυλῶν καταπλαττόμενα ποιεῖ. ἡ δὲ ῥίζα ξηρανθεῖσα, πταρμικόν ἐστι φάρμακον, ὁμοίως τοῖς ἄλλοις ἅπασι τοῖς ἰσχυρῶς ξηραίνουσι. καὶ ὀδόντων δὲ ὀδύνας ὠφελεῖ μετὰ τοῦ θραύειν αὐτούς.

Βδέλλιον.

Τὸ μὲν σκυθικὸν ὀνομαζόμενον, ὃ δὴ καὶ μελάντερον, καὶ ῥητινωδέστερον, μαλακτικῆς ἐστὶν ἱκανῶς καὶ διαφορητικῆς δυνάμεως. τὸ δὲ ἕτερον τὸ ἀραβικὸν, ὃ δὴ καὶ διαυγέστερόν ἐστιν, ἔτι μᾶλλον ξηραίνει τῶν μαλακτικῶν. χρῶνται δὲ αὐτοῖς τινὲς, καὶ μάλιστα τῷ ἀραβικῷ, ἐπί τε βρογχοκήλων, καὶ ὑδροκήλων, ἀσίτου πτυέλῳ λύοντες, ὡς ἐμπλαστώδη σύστασιν ἔχειν, τὸ δὲ ἀραβικὸν, καὶ τοὺς ἐν νεφροῖς λίθους δοκεῖ θρύπτειν πινόμενον, οὖρά τε προτρέπειν, καὶ τὰς τῶν ἀπέπτων πνευμάτων διαφορὰς ἐξιᾶται, καὶ πόνους πλευρῶν, καὶ ῥήγματα.

Βλίτον.

Εδώδιμόν ἐστι λάχανον, ὑγρὸν καὶ ψυχρὸν τῇ κράσει, ἐν δὲ τῇ δευτέρᾳ μάλιστα ἀποστάσει τεταγμένον.

Βολβός.

Εσθιόμενος μὲν, ψυχροτέρου τε καὶ παχυτέρου καὶ γλίσχρου χυμοῦ γεννητικός, καὶ γὰρ καὶ δύσπεπτος ἐστὶ καὶ φυσώδης, καὶ ἀφροδισιαστικός. ἐπιπλαττόμενος δὲ, κολλητικός ἐστι καὶ ξηραντικός.

Βολβὸς ἐμετικός.

Θερμοτέρας ἐστὶ πολὺ τοῦ προειρημένου κράσεως.

Βούγλωσσον.

Υγρὸν καὶ θερμόν ἐστι τὴν κράσιν, ὅθεν καὶ τοῖς οἴνοις ἐμβαλλόμενον εὐφροσύνης αἴτιον γίνεται. ἁρμόζει δὲ καὶ τοῖς διὰ τραχύτητα φάρυγγος βήττουσιν, ἐν μελικράτῳ ἀφεψόμενον.

Βούφθαλμον.

Βούφθαλμον ὠνόμασται μὲν οὕτως ἀπὸ τῶν ἀνθῶν, ἐοικέναι δοκούντων κατὰ τὸ σχῆμα βοὸς ὀφθαλμῷ. ἐπεί τοι τήν τε χροιὰν καὶ τὸ ἄνθος ἀνθέμιδος ἐστὶν ὁμοία. μείζων δέ ἐστιν αὐτῆς πολλῷ καὶ δριμυτέρα, καὶ διὰ τοῦτο διαφορητικωτέρα, μέχρι τοῦ καὶ σκληρίας ἰᾶσθαι, μιγνυμένη κηρωτῇ.

Βούνιον, οἱ δὲ ἄρκτιον.

Τῶν θερμαινόντων ἐστὶν εἰς τοσοῦτον, ὡς οὐρητικόν τε εἶναι, καὶ καταμηνίων ἀγωγόν, καὶ τὸ ψευδοβούνιον δὲ παραπλησίως αὐτῷ θερμόν ἐστι.

Βραθύ.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην ἀπόστασιν. ἔστι δὲ καὶ λεπτομερὲς, καὶ διὰ ταῦτα καὶ διαφορητικὸν, καὶ καταμηνίων ἀγωγὸν εἴπερ τι καὶ ἄλλο, καὶ δι' οὔρων αἷμα κινεῖ, καὶ τὰ ζῶντα τῶν ἐμβρύων διαφθείρει, καὶ τὰ νεκρὰ ἐκβάλλει. εἰς δὲ τὰς σηπεδόνας ἁρμόττει, καὶ μάλιστα ὅσαι κακοηθέστεραί τε εἰσὶ καὶ χρονιώτεραι. φέρουσι γὰρ ἀλύπως αἱ χρόνιαι τὴν ἰσχὺν τοῦ φαρμάκου. καὶ τοίνυν καὶ τὰ μεμελασμένα, καὶ λίαν ῥυπαρὰ, μετὰ μέλιτος ἀποκαθαίρει, καὶ ἄνθρακας ἀπολλύει. ἔνιοι δὲ καὶ ἀντὶ κινναμώμου, διπλοῦν αὐτὸ βάλλουσιν.

Βρεταννική.

Βρεταννικῆς ἐστὶ μὲν καὶ τὰ φύλλα στυπτικά τε καὶ μαλακτικὰ φαυμάτων, ὅμοια τοῖς τῶν ἀγρίων λαπάθων. πλὴν ὅσον μελάντερά τε καὶ δασύτερα. ἔστι δὲ καὶ ὁ ἐξ αὐτῶν χυλὸς, ὁμοίως στυπτικὸς, ὥστε καὶ ἕψοντες τινὲς ἀποτίθενται αὐτὸν, ὡς δραστικώτατον τῶν ἐν τῷ στόματι σήψεων φάρμακον.

Βρῶμος.

Ὑγρότερος ἐστὶ μετρίως τῇ κράσει, καί τι καὶ στύψεως ἔχει, ὡς καὶ τὰς κατὰ γαστέρα διαῤῥοίας ὠφελεῖν.

Βρύον θαλάττιον.

Στύφει καὶ ψύχει ὅθεν καταπλαττόμενον, ὅσα ἐστὶ θερμὰ, ἐναργῶς ψύχει, καὶ ὠφελεῖ.

Βρύον, ἢ σπλάγχνον, ἢ ὕπνον.

Στύφει καὶ ψύχει μετρίως, ὡς ἐγγὺς τῶν εὐκράτων ὑπάρχειν. ὅτι καὶ διαφορητικῆς καὶ μαλακτικῆς μετείληφε δυνάμεως, καὶ μάλιστα τὸ ἐπὶ τῶν κεδρίνων εὑρισκόμενον ξύλων.

Βρυωνία.

Εἴρηται περὶ αὐτῆς ἐν τῷ περὶ ἀμπέλου λευκῆς τόπῳ.

ΑΡΧΗ ΤΟΥ Γ.

Γεντιανή.

Ταύτης ἡ ῥίζα δραστήριός ἐστιν, ἔνθα χρεία λεπτῦναί τε καὶ διακαθᾶραι, καὶ ἀποῤῥύψαι, καὶ ἐκφράξαι.

Γουβώνιον, ἢ ἀστὴρ ἀττικός.

Προείρηται περὶ αὐτοῦ ἐν τῷ δευτέρῳ στοιχείῳ.

Γίγαρτα.

Ξηρὰ μέν ἐστι κατὰ τὴν δευτέραν ἀπόστασιν. ψυχρὰ δὲ κατὰ τὴν πρώτην. ἔστι δὲ καὶ στρυφνὰ τῇ γεύσει. διὸ καὶ τοῖς κατὰ γαστέρα ῥοώδεσι παθέσιν ἱκανῶς ἁρμόττει.

Γιγγίδιον.

Ὥσπερ τῇ γεύσει πικρότητός τε καὶ στύψεως μετέχει, οὕτω καὶ τῇ κράσει θερμότητός τε καὶ ψύξεως, ξηραντικόν τέ ἐστι κατ' ἀμφοτέρας τὰς ποιότητας, καὶ μέντοι καὶ πάνυ εὐστόμαχον, ὅτι στύψεως οὐκ ὀλίγης μετείληφε, πολλῷ δὲ μᾶλλον εὐστομαχώτερον γίνεται ἀποζεσθὲν, καὶ μετὰ ὄξους ἐσθιόμενον. θερμασίαν μὲν οὖν οὐ πάνυ τι σαφῆ κέκτηται. ξηραίνει δὲ κατὰ τὴν δευτέραν ἀπόστασιν.

Γλαύκιον.

Στύφει μετά τινος ἀηδίας, ἀλλὰ καὶ ψύχει σαφῶς οὕτως, ὡς θεραπεύειν ἐρυσιπέλατα, ὅσα γε μὴ ἰσχυρά.

Γλίχων.

Θερμαίνει καὶ λεπτύνει σφοδρῶς, ὅθεν τὰ ἐκ θώρακος καὶ πνεύμονος ὑγρὰ παχέα καὶ γλίσχρα, ῥᾳδίως ἀναπτύεσθαι ποιεῖ, καὶ καταμήνια προτρέπει μετ' οἴνου λευκοῦ ἑψομένη. καὶ πινομένου τοῦ οἴνου θερμοῦ ἀκράτου. καὶ καταπλαττομένη δὲ ἔξωθεν ἐπὶ ἰσχιαδικῶν καὶ τῶν ἄλλων κατεψυγμένων, φοινίσσει.

Γλοιός.

Ὁ ἀπὸ βαλανείου μετρίως ἐστὶ μαλακτικός.

Γλυκύῤῥιζον.

Τούτου τοῦ θάμνου τῶν ῥιζῶν ὁ χυλὸς μάλιστα ἐστὶ χρησιμώτερος, γλυκὺς ὑπάρχων ἅμα βραχείᾳ τινὶ στύψει. διὸ καὶ τραχύτητας ἐκλεαίνει, οὐ μόνον ἐν ἀρτηρίᾳ, ἀλλὰ καὶ ἐν ψωρώδει κύστει. ἐπειδὴ καὶ ὑγρόν ἐστι τῇ κράσει τὸ μετρίως γλυκὺ, καὶ κατὰ λόγον, ἄδιψόν ἐστι.

Γλυκυσίδη.

Ταύτην καὶ παιωνίαν, καὶ πεντόροβον, καὶ ἐφιαλτίαν ὀνομάζουσι. λεπτομερὴς δὲ ἡ ῥίζα, καὶ ξηραντική, καὶ μετρίως θερμή, ἀτρέμα γὰρ στύφουσαν ἔχει δύναμιν μετά τινος γλυκύτητος. ἐπὶ πλέον δὲ μασσωμένη, καὶ δριμύτητος μετέχει ὑποπίκρου. ταῦτ' ἄρα καὶ καταμήνια κινεῖ, ὅσον μέγεθος ἀμυγδάλου κεκομμένης, σὺν μελικράτῳ πινομένη. ἐκκαθαίρει δὲ καὶ ἧπαρ ἐμπεφραγμένον καὶ σπλῆνα καὶ νεφρούς. τῇ στύψει δὲ καὶ τὰ κατὰ γαστέρα ῥεύματα ἵστησιν, ἐν οἴνῳ τινὶ τῶν αὐστηρῶν ἑψηθεῖσα καὶ πινομένου τοῦ οἴνου. ὅλως δὲ ξηραντικὴν τὴν δύναμιν ἐστὶν ἰσχυρῶς, ὥστε οὐκ ἂν ἀπελπίσαιμι, καὶ

προκαταπομένην αὐτὴν εὐλόγως περὶ παίδων ἐπιληψίας ἰᾶσθαι. καί ποτέ που δύο ὀκταμηνιαίῳ ἐπιληψίᾳ ἁλισκομένῳ, μέγα μέρος τῆς ῥίζης προσφάτου ἀπηρτήσαμεν τοῦ τραχήλου, κελεύσαντες αὐτὸ διὰ παντὸς ἔχειν, καὶ ἐντεῦθεν ἤδη τοῦ λοιποῦ τελέως, ὅπως ὑγιὴς ἐγένετο, καὶ οὐκέτι ἐπελήφθη ἢ ἐπάθη.

Γναφάλιον.

Στυπτικῆς ἐστὶ μετρίως δυνάμεως, καὶ διὰ τοῦτο δίδοασιν αὐτὸ δυσεντερικοῖς μετά τινος τῶν αὐστηρῶν οἴνων.

Γογγυλίς.

Γογγυλίδος τὸ σπέρμα, πρὸς ἀφροδίσια παροξύνει, φυσώδους πνεύματος ὑπάρχον γεννητικόν, οὕτω τε καὶ ἡ ῥίζα, δύσπεπτός τε καὶ φυσώδης ἐστὶ, καὶ σπέρματος γεννητική, χυμὸν δὲ ἀναδίδωσιν, εἰς τὸ σῶμα παχύτερον. διὸ κἂν πλεονάσῃ τις ἐν τῇ ἐδωδῇ αὐτῆς καὶ μάλιστα ἐὰν ἐνδεῶς ἐν τῇ γαστρὶ πέπτων, ἀθροίσει τὸν καλούμενον ὠμὸν χυμόν. εἰ δὲ ὠμοτέρα ἐν τῇ ἑψήσει γίνοιτο δύσπεπτός τε καὶ φυσώδης, καὶ κακοστόμαχος. διότι δὲ δήξεις ἐργάζεται κατὰ τὴν γαστέρα. κρείττων δὲ γίνεται, δὶς ἑψηθεῖσα, χρήζει γὰρ πλείονος ἑψήσεως. εἰς διαχώρησιν δὲ γαστρὸς, οὔτε συντελεῖ, οὔτε ἐναντιοῦται.

ΑΡΧΗ ΤΟΥ Δ.

Δαμασώνιον ἢ ἄλισμα.

Ταύτης τῆς ῥίζης πεπειράμεθα ἑψομένης ἐν ὕδατι, καὶ πινομένου τοῦ ὕδατος τοὺς ἐν νεφροῖς συνισταμένους λίθους θρύπτειν.

Δαῦκος.

Δαῦκος ὃν καὶ σταφυλῖνον ὀνομάζουσιν, ὁ μὲν ἄγριος ἧττον ἐδώδιμος τοῦ ἡμέρου, δραστικώτερος δὲ ἐν πᾶσιν. ὁ δὲ ἥμερος ἐδώδιμος μὲν, ἀσθενέστερος δέ. δριμεῖαι δὲ εἰσὶ καὶ θερμαντικῆς δυνάμεως, καὶ διὰ τοῦτο καὶ λεπτυντικῆς. ἡ μὲν οὖν ῥίζα κέκτηταί τι καὶ φυσῶδες, καὶ διὰ τοῦτο ἀφροδισιαστικόν. τὸ δὲ σπέρμα τοῦ ἡμέρου μὲν, ἔχει τι καὶ αὐτὸ παροξυντικὸν εἰς ἀφροδίσια. τὸ δὲ τοῦ ἀγρίου, τελέως ἐστὶν ἄφυσον, καὶ διὰ τοῦτο διουρητικὸν καὶ καταμηνίων κινητικόν.

Δάφνη.

Δάφνης τοῦ δένδρου, καὶ τὰ φύλλα καὶ ὁ καρπὸς, ξηραίνει καὶ θερμαίνει σφοδρῶς, καὶ μᾶλλον ὁ καρπός. ὁ δὲ φλοιὸς τῆς ῥίζης, ἧττον μέν ἐστι δριμὺς, καὶ θερμὸς, μᾶλλον δὲ πικρὸς, καί τι καὶ στύψεως ἔχων. ταῦτ' ἄρα καὶ λίθους θρύπτει, καὶ ἡπατικοὺς ὠφελεῖ. πίνεται δὲ ἐν οἴνῳ εὐώδει τετρωβόλου σταθμόν.

Δίκταμνον.

Λεπτομερέστερόν ἐστι τῆς γλήχωνος, τὰ δὲ ἄλλα παραπλήσιον αὐτῇ. τὸ δὲ ψευδοδίκταμνον, ἀσθενέστερον.

Διψακός.

Διψακοῦ ἡ ῥίζα, τῆς δευτέρας τάξεώς ἐστι τῶν ξηραινόντων, ἔχει δέ τι καὶ ῥυπτικόν.

Δορύκνιον.

Ὁμοιόν ἐστι τῇ κράσει μήκωνι καὶ μανδραγόρᾳ, καὶ τοῖς οὕτω ψυκτικοῖς, ὀλίγον μὲν οὖν ληφθὲν, καροῖ, πλέον δὲ ἀναιρεῖ.

Δολίχοι ἤτοι λοβοί.

Οἱ νῦν παρὰ πάντων ὀνομαζόμενοι λοβοὶ, δολίχοι καὶ φασίολοι παρὰ πάντων τῶν ἀρχαίων ἐκαλοῦντο. παρά τισι δὲ σμίλαξ κηπαία. τρέφουσι δὲ οὐχ ἧττον τῶν πισῶν, ἄφυσοι δέ εἰσι παραπλησίως, πρὸς ἡδονήν τε καὶ διαχώρησιν χείρους. λοβοὶ δὲ ἐξαιρέτως ὀνομάζονται, ἐπειδὴ τούτων μόνων ἐν τοῖς ἔχουσιν ἀμφιέσμα λοβοῖς, ὅλος ὁ καρπὸς ἐσθίεται ὡς ἐπὶ τὸ πολύ.

Δρακόντιον.

Δριμύτερόν ἐστι τοῦ ἄρου, καὶ πικρότερον, καὶ θερμαντικώτερον, καὶ λεπτομερέστερον. ἔχει δέ τινα στύψιν βραχεῖαν σὺν τῇ δριμύτητι, καὶ πικρότητι, ὅθεν δραστήριον γίνεται τὸ φάρμακον ἐν τούτοις μάλιστα. καὶ γὰρ ἡ ῥίζα διακαθαίρει τὰ σπλάγχνα, καὶ πάντας τοὺς παχεῖς χυμοὺς καὶ γλίσχρους, καὶ τῶν κακοηθῶν ἑλκῶν, ἄριστόν ἐστι φάρμακον. ἀποκαθαίρει τε καὶ ἀποῤῥύπτει γενναίως τά τε ἄλλα τὰ ῥύψεως δεόμενα, καὶ ἀλφοὺς σὺν ὄξει. τὰ δὲ φύλλα ἕλκεσι καὶ τραύμασι νεοτρώτοις ἁρμόττει, καὶ ὅσῳ ἂν ἧττον εἴη ξηρὰ, τοσούτῳ μᾶλλον κολλᾷ. τὰ γὰρ ξηρότερα, δριμύτερά ἐστιν ἢ ὡς τραύμασι πρέπει. πεπίστευται δὲ καὶ τυρὸν ἄσηπτον διαφυλάττειν ἔξωθεν αὐτῷ περιτιθέμενον. ὁ δὲ καρπὸς ἰσχυρότερος τῆς ῥίζης ὑπάρχων, καρκίνους, καὶ πολύποδας ἐκτήκειν πεπίστευται. καὶ ὁ χυλὸς δὲ τοῦ καρποῦ, τὰ ἐν ὀφθαλμοῖς ἀποκαθαίρει.

Δρῦς.

Δρυὸς ἅπαντα τὰ μόρια στυφούσης μετέχει ποιότητος. ἐπὶ πλέον δὲ τὸ ὑπὸ τὸν φλοιὸν τοῦ πρέμνου εὑρισκόμενον ὑμενῶδες, καὶ τὸ ὑπὸ τῷ κελύφει τῆς βαλάνου περὶ τῇ σαρκὶ τοῦ καρποῦ. διὸ καὶ πρὸς ῥοῦν γυναικεῖον, αἵματός τε πτύσεις, καὶ δυσεντερίας, καὶ γαστρὸς ῥεύματα χρόνια, χρήσιμον εἶναι πεπίστευται. μάλιστα δὲ ἀφεψῶντες αὐτὸ χρῶνται. σφοδρότερον δὲ ἔτι στύφει φηγὸς καὶ πρῖνος. τὰ δὲ φύλλα πάσης δρυὸς καταπλασσόμενα, τραύματα νεότρωτα κολλᾷ, ὡς πρὸ ἐτῶν κατ' ἀγρὸν ἐπειράθην. οἱ δὲ τῆς δρυὸς βάλανοι ἐσθιόμενοι, τροφὴν μὲν δαψιλῆ παρέχουσι τῷ σώματι. ἔστι δὲ βραδύπορος ἡ ἀπ' αὐτῶν τροφὴ, καὶ παχύχυμος, καὶ δύσπεπτος. ἄρισται δὲ τῶν βαλάνων πασῶν εἰσὶν αἱ καστάνιαι, καὶ αἱ λόπιμοι ὀνομαζόμεναι. αὗται γὰρ μόναι τῶν ἀγρίων καρπῶν, ἀξιόλογον τροφὴν διδόασι τῷ σώματι. εἰσὶ δὲ καὶ αὗται κεφαλαλγεῖς. πολὺ δὲ μᾶλλον αἱ πρώτως ἑψηθεῖσαι.

ΑΡΧΗ ΤΟΥ Ε'.

Εβίσκος, ἢ ἀλθαία.

Μαλάχη ἐστὶν ἀγρία, διαφορητική, χαλαστική, ἀφλέγμαντος, καὶ πεπαντικὴ φυμάτων δυσπέπτων. καὶ ἡ ῥίζα δὲ αὐτῆς καὶ τὸ σπέρμα. τὰ μὲν ἄλλα ὁμοίως ἐνεργεῖ τῇ πόᾳ χλωρᾷ. λεπτομερεστέραν δὲ καὶ ξηραντικωτέραν ἐπιδείκνυται δύναμιν. ὥστε καὶ τὸ σπέρμα τοὺς ἐν νεφροῖς λίθους θρύπτει. τὸ δὲ τῆς ῥίζης ἀφέψημα καὶ πρὸς δυσεντερίαν καὶ διάῤῥοιαν, καὶ αἵματος ἀναγωγὴν, ὠφέλιμον ἐστὶ, ὡς ἐχούσης τινὰ δύναμιν στυπτικήν.

Ἔβενος.

Ξύλον ἐστὶ, τῶν εἰς χυλὸν ἀναλυομένων. ῥυπτικῆς καὶ λεπτομεροῦς ἐστὶ δυνάμεως, ὅθεν καὶ τὰ ταῖς 10 κόραις ἐπισκοτοῦντα, πεπίστευται ῥύπτειν, ταῖς τε ἄλλαις ὀφθαλμικαῖς, μίγνυται δυνάμεσιν, ὅσαι πρὸς ἕλκη παλαιὰ καὶ ῥεύματα, καὶ φλυκταίνας ἁρμόττουσιν.

Ελαία.

Ελαίας οἱ θαλλοὶ, τοσοῦτο μετέχουσι ψύξεως, ὅσω καὶ στύψεως. ὁ δὲ καρπὸς ὁ μὲν ἀκριβῶς πέπειρος, θερμαίνει ἐμμέτρως ἐστὶ, ὁ δὲ ἄωρος, στυπτικώτερος ἐστὶ, καὶ ψυχρότερος. καὶ αἱ μὲν δρυπεπεῖς ἐλαῖαι, τὸν λιπαρὸν ἔχουσαι χυμὸν, τροφὴν ὀλίγην μεταδιδόασι τῷ σώματι. αἱ δὲ κολυμβάδες ὀνομαζόμεναι, τὸν στύφοντα χυμὸν ἔχουσαι, ῥωννύουσι τὸν στόμαχον, ἐπεγείρουσί τε τὴν ὄρεξιν. ἐπιτηδειόταται δέ εἰσιν εἰς τοῦτο, αἱ μετ' ὄξους ἀποτιθέμεναι, ἄμεινον γὰρ εἰς τὴν πέψιν ἐστὶ τὸ ἴδιον.

Ελαιον.

Ελαιον τὸ ἐκ καρποῦ τῆς ἐλαίας ἐκθλιβόμενον, ὅπερ καὶ κυρίως ταῦτα ἔλαιον καλοῦσιν, ὑγραντικόν ἐστι καὶ συμμέτρως θερμόν. τοιοῦτον δ' ἐστὶ τὸ γλυκύτατον, ἐκ δρυπεποῦς μάλιστα καρποῦ γινό-20 μενον. οἷον ἐστὶ τὸ σαβῖνον. θερμὸν δὲ συμμέτρως ἐστὶ τῆς μέσης κράσεως, καὶ διαφορητικώτερον τοῦ ὠμοτριβοῦς. τὸ δὲ ὠμοτριβὲς ἢ ὀμφάκινον ὀνομαζόμενον, εἰς ὅσον στύψεως μετείληφεν, εἰς τοσοῦτον καὶ ψύξεως, τὸ δὲ παλαιὸν ἔλαιον, τὸ μὲν ἐκ τοῦ γλυκέος καλουμένου γινόμενον θερμότερόν τε καὶ διαφορητικώτερον ἐστὶ, τὸ δὲ ἐξ ὠμοτριβοῦς, ἄχρι μὲν ἂν ἀποσώζῃ τι τῆς στύψεως, μικτῆς ὑπάρχει δυνάμεως. ἐπειδὰν δὲ ἀποβάλλῃ τελέως αὐτὴν, ὁμοιοῦται τῷ ἄλλῳ. τὸ δὲ λυχνιαῖον ἀπὸ τοῦ μέσου καὶ εὐκράτου, τοῦ γλυκέος λέγω, τοσοῦτον ἤδη τὸ θερμότερον νενέει, ὅσον τὸ ὀμφάκινον ἤδη τὸ ψυχρότερον. χρησόμεθα δὲ τῷ μὲν ὀμφακίνῳ, θερμοτέρας γινομένης τῇ κεφαλῇ, τῷ δὲ γλυκεῖ, ξηροτέρας γινομένης, καὶ πεπιλημένης, τῷ δὲ λυχνιαίῳ χρησόμεθα, ἐψυγμένης. εὔδηλον δὲ ὡς τὸ μὲν ὀμφάκινον, καὶ ψυχρὸν ἐνίοτε προσφέρειν δεῖ, τὰ δὲ ἄλλα πάντως θερμά. τῇ μὲν οὖν κεφαλῇ, οὕτως, τῷ δὲ παντὶ σώματι ξηρῷ παρὰ φύσιν γινομένῳ, τὸ γλυκὺ πρὸς ἄλειψιν ἐπιτήδειον, καὶ πυκνω-30 θέντι δὲ ἐκ στύψεως, ἢ ψύξεως, ἢ δήξεως, ἢ δριμέων φαρμάκων, ἢ χυμοῦ, κνισμῶν τε γινομένων, ἐπιτηδειότατον πάντων, καὶ μάλιστα ἐν γυμνασίοις, ἢ καὶ μετὰ τὰ γυμνάσια, στομάχῳ δὲ καὶ ἥπατι φλεγμαίνουσι, μάλιστα τὸ ὀμφάκινον ἁρμόδιον διὰ τὴν στύψιν καταπαυομένων. τοῖς δὲ ἄλλοις μορίοις τὸ γλυκύ.

Ελαιον κίκινον.

Τὸ κίκινον κατ' Αἴγυπτον γίνεται τοῦ σπέρματος τῆς κίκεως, ὃ καλεῖται κρότωνες, κοπτομένου ἢ θλιβομένου, καὶ δι' ὕδατος θερμοῦ ἀναλεγομένου. ἔστι δὲ λεπτομερὲς καὶ διαφορητικὸν, ὡς τὸ παλαιὸν ἔλαιον. σμήχει δὲ ἀλφοὺς, ἐφήλεις, φακοὺς συνεχῶς χριόμενον. παραπλήσιον δὲ τῷ ῥαφανίνῳ ἐστί. διὸ χρηστέον αὐτῷ μὴ παρόντος κικίνου ἢ τῷ παλαιῷ.

Λινοσπέρμινον ἔλαιον.

Καὶ ἐκ τοῦ λινοσπέρμου δὲ σκευάζεται ἔλαιον, ὥσπερ προείρηται, καὶ χρῶνται αὐτῷ νῦν ἀντὶ τοῦ κικίνου, τὸ γὰρ κίκινον, οὐκέτι κομίζεται, ἀλλὰ τοῦτο ἀντ' αὐτοῦ κομίζουσιν.

40

Ελαιον ῥαφάνινον.

Τὸ δὲ ῥαφάνινον ὅμοιον τῷ κικίνῳ κατὰ τὰ ἄλλα ἐστὶ, θερμότερον δέ.

Ελαιον αἰγείρινον.

Τὸ δὲ αἰγείρινον, σκευάζεται ἐν τῷ θέρει, ὅτε πολλὴ περὶ τὸ σπερμάτιον ἐστὶ ῥητίνη, λαβόντες δὲ τοὺς κόκκους συνθλῶσιν ἐπ' ὀλίγον, καὶ στήσαντες οὐγγίας τέσσαρας, ἐμβάλλουσιν ἐλαίου γλυκέος ξέστον ἰταλικὸν, καὶ ἡλιοῦσιν ἡμέρας μ. καὶ οὕτω σειρώσαντες ἀποτίθενται. ἔστι δὲ καὶ αὐτὸ θερμαντικὸν λεπτομερὲς, μαλακτικὸν μετ' εὐωδίας.

Ἔλαιον ἀμυγδάλινον.

Τὸ δὲ ἀμυγδάλινον, ἐκ τοῦ καρποῦ τῶν πικρῶν ἀμυγδάλων γίνεται. λεπτομερὲς δὲ ἐστὶ τοῦτο, καὶ θερμότερον τοῦ γλυκέος, μίαν μοῖραν. μάλιστα δὲ ὠσὶν ἁρμόττει τοῖς ἐμφραχθεῖσιν ὑπὸ παχέων πνευμάτων, καὶ δυσηκοΐαις, καὶ ἤχοις τοῖς ἀπὸ ψύξεως. καὶ σκώληκας ἀναιρεῖ τοὺς ἐν ὠσὶν, ἡ γὰρ πεῖρα τοῖς ὠσὶ μάλιστα ἁρμόζειν αὐτὸ ἐδίδαξεν ἡμᾶς, ἤπερ τοῖς ἄλλοις μέρεσιν.

Ελαιον καρύινον.

50 Ομοίως τῷ ἀμυγδαλίνῳ, καὶ τοῦτο σκευάζεται, ἢ κοπτομένων, καὶ πιεζομένων, ἢ εἰς ὕδωρ ζέον ἐμβαλλομένων μετὰ τὸ κοπῆναι. ἁρμόττει δὲ τοῖς αὐτοῖς. περιττὸν δὲ ἔχει τὸ χρησιμεύειν τοῖς χρυσοῦσιν ἢ ἐγκαίουσι, ξηραίνει τε γὰρ καὶ πολλῷ χρόνον συνέχει τὰς χρυσώσεις καὶ ἐγκαύσεις.

Ελαιον μυροβαλάνινον.

Δύναμιν ἔχει καθαρτικὴν σπίλων, φακῶν, ἰόνθων καὶ ἤδη πάσης μελανίας, καὶ τὰ κατὰ κοιλίαν

καθαίρει, ἁρμόζει δὲ καὶ πρὸς ὠταλγίαν, καὶ πρὸς ἤχους, μετὰ ξέστου χηνείου ἐγχεόμενον. σκευάζεται δὲ ὁμοίως τῷ ἀμυγδαλίνῳ, ἀληθομένης τῆς μυροβαλάνου.

Ἔλαιον δάφνινον.

Ἐκ τοῦ καρποῦ τῆς δάφνης σκευάζεται, ὡς προείρηται. τὸ δὲ μικτὸν σκευάζεται οὕτως, πρὸς ε. ξέστας τῶν πεπεμμένων ἐλαιῶν, ἐμβαλλόμενον ξε. α. τοῦ καρποῦ τῶν δαφνίδων λιπαροῦ καὶ προσφάτου καὶ οὕτω θλιβομένων πάντων ἅμα καὶ ἐκθλιβομένων, ὥσπερ καὶ τὸ ἔλαιον. θερμὸν δὲ ἄγαν ἐστὶ καὶ μαλακτικὸν τὸ ἀμιγὲς, ὥς τε τοῖς σφοδρῶς ἐψυγμένοις μορίοις τοῦ σώματος, χρησιμεύει. καὶ ξηραίνει δὲ ἱκανῶς, ὥς τε τοῖς ψωριῶσι, ξηροδέρμοις, καὶ λειχῆνας ἔχουσι παχεῖς χριόμενον ἐν βαλανείῳ, ἀποθεραπεύει. φευκτέον δὲ αὐτὸ ἐπὶ τῶν φλεγμαινόντων λειχήνων, ἢ ψωρῶν, καὶ ἐπὶ τῶν θερμῶν κράσεων καὶ χολωδῶν. τοῖς δὲ ὑγροῖς καὶ φλεγματικοῖς ἁρμόττει, καὶ πᾶσι τοῖς ἀπὸ 10 ψύξεως ἐνοχλουμένοις τὰ ἄρθρα, καὶ ἰσχιαδικοῖς κατάλληλον, ἀναιρεῖ καὶ σκώληκας, καὶ φθεῖρας ἀγρίους καὶ ἡμέρους, καὶ κόνιδας, καὶ πίτυρα κεφαλῆς, καὶ ὀφιάσεις, καὶ ἀλωπεκίας. ἡ χρῆσις δ᾽ ἐστὶν ἐν λουτρῶν νήσει. εἶτα ἀποσμήχειν ᾠῷ καὶ μέλιτι, καὶ τέλεως ἀλεύρῳ, παραφυλάττου θερμῇ κεφαλῇ προσάγειν αὐτό.

Ἔλαιον σησάμινον.

Σκευάζεται τοῦτο ἐκ τοῦ σησάμου, τριβομένου καὶ ἐμβαλλομένου ὕδατι. τὴν δὲ δύναμιν, οὐ μακρὰν ἐστὶ τοῦ γλυκέος ἐλαίου, τῆς τε γὰρ θερμασίας μέσως ἔχει, καὶ στύφον ἐστὶ παντὶ τελέως γινομένοις, καὶ εἰς τὸ ἐσθίειν ἐπιτήδειον. ἡδύ τε ὑπάρχον τῇ γεύσει, καὶ πεττόμενον ῥᾳδίως, καὶ ὑπακτικὸν τῆς γαστρός. ἔξωθεν δὲ χριόμενον διὰ τὸ πάχος, ἐμπλαστικὸν ἐστί. εἰς μέντοι κατασκευὴν τῶν πρὸς εὐωδίαν συντιθεμένων ἐλαίων ἐπιτηδειότερον ἐστὶ τοῦ κοινοῦ ἐλαίου, διὰ τὸ μόνιμον εἶναι, καὶ μὴ ῥᾳδίως σήπεσθαι.

Ἔλαιον σχίνινον.

20 Σκευάζεται καὶ τοῦτο ἐκ τοῦ καρποῦ τῆς σχίνου ὡς εἴρηται ἐπὶ τῶν ἄλλων, σκευάζεται δὲ καὶ ὥσπερ εἴρηται ἐπὶ τοῦ δαφνίνου μιγνυμένου τοῦ καρποῦ τοῦ σχίνου ταῖς ἐλαίαις, χρήσιμον δὲ τὸ ἀμιγὲς καὶ καθαρὸν, στόματι ῥευματιζομένῳ, καὶ οὔλοις φλεγμαίνουσι, θερμὸν ἐν τῷ στόματι διακρατούμενον, καὶ ἐν βαλανείῳ καὶ χωρὶς βαλανείου, ἀποκρουστικὸν γάρ ἐστι καὶ τονωτικὸν, μετὰ τοῦ, μὴ τραχύνειν. τὸ δὲ μικτὸν, μᾶλλον παρηγορεῖ σὺν τῷ φυλάττειν τὸν τόνον, ὅθεν χρησίμως παραλαμβάνεται ἐπὶ ἥπατος καὶ στομάχου κατασκευάσεως.

Ἔλαιον οἰνάνθινον.

Τὰ αὐτὰ δρᾷ τῷ μηλίνῳ καὶ τῷ ῥοδίνῳ, ἐκτὸς τοῦ τὴν κοιλίαν μαλάσσειν. συντίθεται δὲ τὸν τρόπον τοῦτον, οἰνάνθην ἀμπέλου τὴν εὐώδη λαβὼν, καὶ ἐάσας μαρανθῆναι, βάλλε εἰς κοινὸν ἀγγεῖον μετὰ ἐλαίου ὀμφακίνου, καὶ κίνει καθ᾽ ἑκάστην ἐπὶ ἡμέρας μ. καὶ διηθήσας χρῶ. ἔστω δὲ τῆς μὲν οἰνάνθης. γο. β. τοῦ δὲ ἐλαίου ξε. α.

Ἔλαιον μήλινον.

30 Σκευάζεται δὲ οὕτως ἀπὸ τῶν κυδωνίων μήλων, γίνεται δὲ καὶ ἐκ τῶν ἄλλων μήλων τῶν στρυφνότερον ἐχόντων τὸ δέρμα καὶ εὐωδέστερον, περιελόντες δὲ τὸ πρὸς τὴν ἔκφυσιν καὶ πρὸς τῷ πυθμένι κάρφος, καὶ τὴν ἐντεριώνην σὺν τοῖς ἔνδον κόκκοις. εἶτα τέμνοντες, προσκειμένου τοῦ δέρματος. ἐν αὐτῷ γὰρ ἡ εὐωδία καὶ ἡ στύψις ὑπάρχει, καὶ ποιήσαντες μικρὰ τεμάχη, ἐμβάλλουμεν τῷ ξε. τοῦ ὀμφακίνου ἐλαίου. γο. γ. τῶν μήλων, καὶ ἡλιάσαντες ἡμέρας μ, ἀποτιθέμεθα. δύναμις δὲ τοῦ μηλίνου μᾶλλον ἐπὶ τὸ ψυχρότερον νεύει, οὐ μὴν ἄγαν διὰ τὸ οἰνῶδες τοῦ μήλου, στύφει μέντοι γε ἱκανῶς καθάπερ τὸ σχίνινον καὶ, μᾶλλον ᾠκείωται στομάχῳ, διὰ τὸ ἐκ τροφίμων δύο ὑλῶν συγκεῖσθαι, τοῦ τε ἐλαίου, καὶ τοῦ μήλου, ὥς τε ἀκολούθως ἁρμόττει στομάχῳ φλεγμαίνοντι καὶ ἀτονοῦντι ἐμβρεχόμενον, καὶ τοῖς ἐπιθέμασιν ἐμβαλλόμενον, καὶ πινόμενον. χρησιμώτερον δέ ἐστι τοῦ ῥοδίνου, διὰ τὸ οἰκειότερον τοῦ μήλου, ἐντίθησι γὰρ τόνον τῷ στομάχῳ, καὶ σφοδρότερον διωθεῖ τοὺς ἐγκειμένους ἐν τῇ 40 γαστρὶ δριμεῖς χυμούς. ἐνίεται δὲ δι᾽ ἕδρας, καὶ τοῖς ὑπὸ δριμείας χολῆς δακνωμένοις τὸ κῶλον καὶ τὰ παχέα τῶν ἐντέρων. παραφυλακτέον δὲ τὴν αὐτοῦ προσαγωγὴν ἐπὶ τῶν ἀπὸ ψύξεως βλαβέντων. ἐπὶ γὰρ τούτων μᾶλλον ἁρμόζει τὸ ἔξωθεν ἔλαιον ἀψίνθιον συνεψημένον.

Ἔλαιον ῥόδινον.

Σκευάζεται τὸ ῥόδινον οὕτως. ῥόδων ἄνθους ἐρυθρῶν ἐξωνυχισμένων καὶ ἐψυγμένων ἡμέραν καὶ νύκτα. γο. μίαν, ἐλαίου ὀμφακίνου ξε. α. ἰταλικόν. ἐμβαλόντας δὲ τὰ ῥόδα, περισφίγγειν χρὴ τὸ στόμα τοῦ βίκου ἔσωθεν μὲν ὀθονίῳ, ἔξωθεν δὲ δέρματι διὰ τοὺς γινομένους ὄμβρους αἰφνιδίους, καὶ ἡλιοῦν ἡμέρας κ. καὶ οὕτως ἐάσαντας, ἀποτίθεσθαι τοὺς βίκους ἐπὶ σανίδων ἐν οἴκοις εὐκράτοις. τινὲς δὲ ἕτερά τινα προσεμβάλλουσι τοῖς ῥόδοις, ἀρίστη δέ ἐστιν ἡ διὰ τῶν ῥόδων μόνων καὶ ἐλαίου σκευασία. τινὲς δὲ οὐχ ἡλιάζουσιν, ἀλλ᾽ ἀποκρημνοῦσι τὸν βίκον εἰς φρέαρ ὕδατος ψυχροῦ ἡμέρας. ἁρμόζει 50 δὲ κεφαλῇ θερμανθείσῃ, ἢ δι᾽ ἡλιώσεως, ἢ ἐκ πυρετῶν, ἢ τινὸς ἄλλης τοιαύτης προφάσεως, ὑγραίνει γὰρ καὶ παρηγορεῖ, καὶ ὕπνον ὑπάγει. καὶ ἐπὶ σπλάγχνων δὲ ἐν πυρετοῖς ἐκθερμαινομένων, ἁρμοδία κηρωτὴ ἡ δι᾽ αὐτοῦ σκευαζομένη πλυνομένη δι᾽ ὕδατος ψυχροῦ, καὶ πλειστάκις ἀλλασσομένου τοῦ ὕδατος ἐν θέρει καὶ ἐπιρριπτομένης τῆς κηρωτῆς τοῖς σπλάγχνοις. σκευάζεται δὲ οὕτως, κηροῦ γο. α. ῥοδίνου. γο. δ. τῆκε τὸν κηρὸν μετ᾽ ὀλίγου ῥοδίνου ἐπὶ διπλώματος, καὶ ἐπίχεε εἰς

τὸ ὕδωρ, καὶ μάλασσε ταῖς χερσὶν ἀποπλύνων τὸν κηρὸν τῷ ὕδατι, καὶ πάλιν τὸ τρίτον τῆκε, καὶ ἐπιχέας, πλῦνε. εἶτα ἐπιβαλὼν τὸ λοιπὸν τοῦ ῥοδίνου, τῆκε ἄρας κινῶν, ψῦχε, καὶ ἐπίχεε εὐθύς, καὶ λείου ἐπιστάζων ὕδωρ ἕως ἐπιδέχηται, καὶ ἀνελόμενος, ἀπόθου εἰς ψυχρὸν ὕδωρ ἀλλάσσων. εἰ δὲ ἀντὶ τοῦ ὕδατος ὄξος μίξεις τῇ κηρωτῇ ἐπιῤῥαίνων αὐτὸ ἐν τῇ θυίᾳ, ἀγαθὸν φάρμακον ἐργάσῃ πρὸς ἐρυσιπέλατα, καὶ ἄνθρακας, καὶ ἕρπητας. κεῖται καλῶς ἡ κηρωτὴ ἐν τῷ ἐννεακαιδεκάτῳ. β. κεφαλαίῳ τοῦ. ε. βιβλίου, πλυνομένη δι' ὕδατος ψυχροῦ, καὶ πλειστάκις ἀλλασσομένου τοῦ ὕδατος ἐν θέρει, καὶ ἐπιῤῥιπτομένης τῆς κηρωτῆς τοῖς σπλάγχνοις. καὶ πινόμενον δὲ τὸ κάλλιστον ῥόδινον σὺν ὕδατι θερμῷ, ἢ ψυχρῷ ἐπὶ τῶν δακνομένων τὸν στόμαχον ἐκ χολῆς δριμείας, ἢ ἑλμίνθων, ἢ ἀσκαρίδων, μεγάλας παρέχει ὠφελείας. ἐπὶ δὲ ἑλμίνθων καὶ μάλιστα ἐπὶ παίδων, κρεῖττον ποιεῖ. μιγνύμενον

10 ἑψήματι τῷ ἀπὸ οἴνου τρίτου μέρους σκευαζομένῳ, καὶ πινόμενον, ἐκτινάσσει γὰρ αὐτὰς τάχιστα. ἐνίοτε δὲ καὶ κώλῳ δακνομένῳ διὰ τὰς εἰρημένας προφάσεις. παραφυλακτέον δὲ τὴν χρῆσιν αὐτοῦ, ἐφ' ὧν μὴ πολλή ἐστι θερμασία, καὶ ἀπόῤῥιπτον τὸ στόμα. Ελαιον χαμαιμήλινον.

Σκευάζεται δὲ οὕτως, ἐλαίου γλυκέος ἰταλικοῦ ξε. α. τῶν δὲ ἀνθῶν τῆς χαμαιμήλης. γο. β. προεψυγμένων ἡμέρᾳ μιᾷ. ὀθόνῃ δὲ ἀραιᾷ δεῖ σκεπάζειν τὸ στόμα τοῦ βίκου, ἵνα διαπνέηται τὸ ἔλαιον, καὶ ἡλιοῦν ἡμέρας μ. ἤδη γὰρ ὀσμήν τινα ἐοικυῖαν γάρῳ προσλαμβάνει τὸ χαμαιμήλινον, εἰ μὴ διαπνέοιτο. φυλάττειν δὲ αὐτό τε χρὴ μετὰ τὴν ἡλίωσιν. ἀποστρώσαντα ἐν οἴκοις εὐκράτοις ἐπὶ σανίδι τεθέντα τὸν βίκον. χρῆσθαι δὲ αὐτῷ ἐπὶ κεφαλῆς μετρίως πυκνωθείσης, καὶ ὀδυνωμένης ἐκ πυρετῶν οὐκ ἄγαν διακαῶν, ἀραιοῖ γὰρ τοὺς πόρους, καὶ διαφορεῖ τοὺς ἀτμούς, καὶ καταπραΰνει τὰς δριμύτητας, καὶ τὸ ὅλον παρηγορικώτερόν ἐστι τοῦ ῥοδίνου, ἐπὶ τῶν μὴ ἄγαν θερμῶν

20 πυρετῶν. Ελαιον ἀνήθινον.

Γίνεται ἐκ τῆς κόμης τοῦ ἀνήθου, χλωρᾶς ἔτι οὔσης, πρινὴ τὸ σπερμάτιον στερεὸν γένηται καὶ δριμύ, ἀσύμφορον γὰρ γίνεται εἰς τὴν χρῆσιν, διὰ τὴν ἀποβολὴν τοῦ ἄνθους. ἀποτέμνοντα δὲ μόνους τοὺς μαλαθίσκους τῶν βλαστῶν, καὶ στήσαντα. γο. α. ἐμβαλεῖν χρὴ τῷ ἰταλικῷ ξε. τοῦ γλυκέος ἐλαίου, περισφίγγειν δὲ ἀκριβῶς τὸ στόμα τοῦ σκεύους, καὶ ἡλιοῦν ἡμέρας, μ. θερμότερον δ' ἐστι τοῦ χαμαιμηλίνου. προσαγέσθω τοίνυν τοῖς κεκοπωμένοις ἐν χειμῶνι. μαλάσσει γὰρ καὶ ὑγραίνει, χρηστέον δὲ κατὰ τῶν ἀπὸ φλέγματος πυρεσσόντων βληχρῶς, καὶ ὅλως τοῖς ἀπὸ τῶν ψυχρῶν αἰτιῶν κάμνουσιν, ἀφ' μέτριον, καὶ μάλιστα τείνοντας ἢ μύας. Ελαιον κρίνινον.

Κρίνινον ἢ σούσινον, ἢ ἴρινον γίνεται, τῶν λευκῶν τοῦ κρίνου πετάλων ἐξωνυχισμένων, καὶ μόνων ἐμβαλλομένων, χωρὶς τῶν ἐν αὐτοῖς κροκώδους εἰς τὸν ἰταλικόν. ξε. τοῦ γλυκυτάτου ἐλαίου. γο. β.

30 ψύχειν δὲ δεῖ καὶ ταῦτα ἡμέραν καὶ νύκτα ἐν σκιᾷ, εἶτα ἐμβαλόντα τῷ βίκῳ, καὶ σφίγγοντα ἀκριβῶς ἡλιοῦν ἡμέρας. γ. καὶ ἀποστρώσαντα, ἐμβαλεῖν ἄλλας. γο. β. τῶν φύλλων δηλονότι τῶν βληθέντων πρώτων, ἐκβαλλομένων ὡς ἀχρείων. ἀμείβεσθαι γὰρ θέλουσιν ἐν τρισὶν ἐμβολαῖς, καὶ πάλιν ἡλιώσαντα ἡμέρας. γ. καὶ πάλιν ἀποστρώσαντα ἐμβαλεῖν ἑτέρας. γο. β. τῶν κρίνων, καὶ ἡλιοῦν ἡμέρας γ. καὶ οὕτω ἐπιβάλλειν ἕτερα ὀλίγα φύλλα ἀκριβῶς ξηρανθέντα, καὶ ἐν σκιᾷ ἀποτίθεσθαι, εἰ γάρ τις ἐξ ἀρχῆς τὰς ϛ. γο. ἐμβάλλει τῷ ἐλαίῳ σαπέντα, δυσώδες ἀποτελεῖ τὸ ἔλαιον. χρήσιμον δ' ἐστὶ ἐπὶ τῶν γυναικείων παθῶν, λύει γὰρ τὰς σκληρίας, καὶ ἀμβλύνει τὰς ἐκ τῆς δριμύτητος δήξεις. καὶ τόνον ἐντίθησι ταῖς μήτραις. οἱ δ' ἐν συνούσιαις μαρτυροῦσιν ἐστι, εἰς τὴν εὐτοκίαν παρέχειν ταῖς κυούσαις, καὶ χριόμενον δὲ ἐπὶ τῶν ἄλλων ἐστὶ ἄκοπον τοῖς κεκμηκόσι, καὶ τοῖς μαλάττουσι φαρμάκοις ἐμβαλλόμενον, ἔστι δὲ μαλακτικόν, καὶ καθόλου

40 χλιαρόν τε καὶ παρηγορικόν, μαλακτικόν, εὐώδες, εὐτόκιον. Ελαιον τήλινον.

Δύναμιν ἔχει μαλακτικήν, χρήσιμον δ' ἐστι πρὸς πίτυρα καὶ ἀχῶρας, καὶ ἐφήλεις ἀποκαθαίρει, καὶ τὸ πρόσωπον λευκαίνει, καὶ ἀποσμήχει, καὶ πρόσφατον ποιεῖ, καὶ πρὸς τὰς ἐν μήτρᾳ σκληρίας καὶ ἀποστήματα, καὶ δυστοκούσαις βοηθεῖ. ποιεῖ δὲ καὶ πρὸς τὰς ἐν δακτυλίῳ καὶ ἐντέροις φλεγμονάς. ἐνιέμενον δὲ λύει καὶ τεινεσμούς. ποιεῖ καὶ πρὸς χίμεθλα. σκευάζεται δὲ τὸν τρόπον τοῦτον, τήλεως. λίτρας. ε. ἐλαίου ξε. η. κυπέρου λίτρας. β. καλάμου λίτρας. α. ἀπόβρεχε ταῦτα τῷ ἐλαίῳ ἐπὶ ἡμέρας ζ. κινῶν τρίτον τῆς ἡμέρας, ἔπειτα ἐκθλίψας καὶ διηθήσας, ἀποτίθεσο.

Ελαιον ναρκίσσινον.

Εκ τῶν λευκῶν ἀνθῶν γίνεται τῆς ναρκίσσου, προεψυγμένων νύκτα καὶ ἡμέραν. καὶ ἐμβαλλομένων τῷ ἰταλικῷ ξε. τοῦ γλυκυτάτου ἐλαίου. γο. β. καὶ περισφιγγομένου ἀκριβῶς τοῦ βίκου, καὶ ἡλιου-

50 μένου ἡμέρας μ. δεῖ δὲ καὶ ταύτας ἀμείβειν ὡς ἐπὶ τοῦ κρίνου προείρηται καὶ μᾶλλον γίνεται εὐώδες τὸ ἔλαιον, μάλιστα εἰ συμμέτρως ἡλιωθῇ. εἰ γὰρ ἐπὶ πλέον ἡλιωθείη τὸ κρίνινον ἢ τὸ ναρκίσσινον, ἢ τὸ ἴρινον, ἢ ἄλλο τι τῶν μὴ ἰσχυρὰν καὶ μόνιμον ἐχόντων τὴν εὐωδίαν, ἄοσμον ἀποτελεῖται. δύναμιν δὲ ἔχει τὸ ναρκίσσινον θερμοτέραν τοῦ ἀνηθίνου, ὥστε καὶ τοῖς αὐτοῖς χρησιμεύει ἐπὶ τοῦ ἄλλου σώματος, χωρὶς κεφαλῆς. δριμεῖα γάρ ἐστι ἡ ἀπὸ τοῦ ναρκισσίνου εὐωδία.

Ελαιον ἴρινον.

Ἔλαιον ἰάζον.

Σκευάζεται καὶ τοῦτο ἐκ τῶν πορφυρῶν ἀνθῶν τοῦ ἴου, καὶ ἐκ τῶν λακῶν. Γο. γ΄ ἐμβαλλομένων τῷ ἰταλικῷ ξ. τοῦ γλυκυτάτου ἐλαίου, καὶ ἀμειβομένου τρίτον, ὥσπερ ἐπὶ τοῦ κρινίνου προείρηται. ἔστι δὲ ἡ δύναμις αὐτοῦ θερμοτέρα τοῦ ῥοδίνου ἐπ' ὀλίγον. ὥστε εἴ τις ἐν θέρει κοπωθεὶς καὶ ἡλιωθεὶς ἀπορροίη τούτου, χρήσιμον καὶ μάλιστα τὸ ἐκ τῶν πορφυρῶν ἀνθῶν σκευαζόμενον ἐν βαλανείῳ χριόμενον· πρὸς γὰρ τῷ τὸν κόπον θεραπεύειν μεταβάλλει τῇ εὐωδίᾳ τὸ αὐχμηρὸν τῆς ψυχῆς εἰς ἱλαρότητα καὶ ἡδονὴν καὶ ἀτάραχον ὕπνον ἐργάζεται.

Ἔλαιον ἰασμέλαιον.

Ἡ δὲ καλουμένη ἴασμη παρὰ Πέρσαις σκευάζεται ἐκ τῶν ἀνθῶν τῶν λευκῶν τοῦ ἴου, καὶ ἐλαίου σησαμίνου. Γο. β΄ ἐμβαλλομένου τῷ ἰταλικῷ ξ. τοῦ σησαμίνου ἐλαίου, καὶ ἀμειβομένου ὡς ἐπὶ τοῦ κρινίνου, εἴρηται δὲ ἡ τούτου χρῆσις παρὰ ταῖς ἑστιάσεις, εὐωδίας ἕνεκα παρὰ Πέρσαις παραλαμβάνεται. ἁρμόζει δὲ ὅλῳ τῷ σώματι μετὰ τὰ λουτρὰ ἐπὶ τῶν θερμασίας καὶ χαλάσεως δεομένων σωμάτων. βαρυτέραν δὲ ἔχει τὴν εὐωδίαν, ὡς πολλοὺς αὐτῆς μὴ δὲ ἡδέως ἀντέχεσθαι.

Ἔλαιον μυρσινάτον.

Γίνεται καὶ τοῦτο τῶν φύλλων τῆς μυρσίνης χλωρῶν ἐμβαλλομένων, ἐλαίου ὀμφακίνου εἰς ξ. α΄ ἰταλικὸν. Γο. β΄ καὶ οἴνου εὐώδους στύφοντος ξ. τέταρτον ἰταλικοῦ, εἶτα ἕψει ἐπὶ λεπτῆς ἀνθρακιᾶς μέχρις ὅτου τὰ φύλλα ξηρανθῇ καὶ θραύηται, καὶ ὁ οἶνος ἀναλωθήσεται, εἶτα διηθήσαντα καθαρὸν τὸ ἔλαιον ἐμβαλεῖν εἰς ὑελοῦν ἀγγεῖον καὶ ἐπεμβάλλοντα φύλλων χλωρῶν τῆς μυρσίνης διεψυγμένων νύκτα καὶ ἡμέραν. Γο. α΄ καὶ οὕτως ἀποτίθεσθαι. στύφει δὲ καὶ ψύχει τὸ ἔλαιον τοῦτο πλέον τοῦ σχοινίνου καὶ τοῦ μηλίνου, καὶ διὰ τοῦτο διαβροχαῖς μὲν στομάχου καὶ ἥπατος ἀνοίκειόν ἐστι, ἀλλ' οὐ δὲ τοῖς ἄλλοις σπλάγχνοις ἐστὶ προσηνές, εὗρεν οὖν αὐτοῦ τὴν χρῆσιν ἡ πολλὴ πεῖρα τὴν ἐν κηρωταῖς καὶ ἐμπλάστοις φαρμάκοις, δι' ὧν πυκνοῦν τῇ στύψει καὶ ἀποκρουόμενον, ἐστὶ χρήσιμον εἰς τὰ ἐπιφερόμενα ῥεύματα, καὶ ὑγραινομένοις ἕλκεσιν, οὐλὴν ἐργάσασθαι, καὶ ἐν ταῖς κεφαλαῖς τῶν γυναικῶν, ὥστε συνέχειν τὴν τρίχα ἐπιτήδειον καὶ εὐῶδές ἐστι.

Ἔλαιον μαστίχινον.

Γίνεται τοῦτο μαστίχης. Γο. α΄ ἐν ἐλαίου πάνυ ὀμφακίζοντος ξ. α΄ ἐμβαλλομένης. ἕψεται δὲ ἐν διπλώματι. θερμὸν δὲ ἐστὶ μετρίως καὶ πυκνωτικὸν καὶ ἐμπλαστικὸν προσαγόμενον αὐτὸ τοῖς δεομένοις τονοῦσθαι μορίοις, καὶ σφίγγεσθαι καὶ θερμαίνεσθαι μετρίως.

Ἔλαιον στυράκινον.

Σκευάζεται οὕτως. ἐλαίου γλυκέος καλλίστου ξ. α΄ στύρακος λιπαροῦ. Γο. β΄ ἑψηθέντι ἐν διπλώματι ἀνατίθεται τῷ ἐλαίῳ ἡ τοῦ στύρακος δύναμις. θερμότερον δὲ ἐστὶ ἐπ' ὀλίγον τοῦτο τοῦ ἀνηθίνου. μαλακτικὸν δὲ ἐστὶ σφόδρα, καὶ διὰ τοῦτο ἁπαλύνει τὰ ἐσκληρυμμένα τῶν σωμάτων γενναίως.

Ἔλαιον σικυώνιον.

Σκευάζεται οὕτως. ἐλαίου γλυκέος ξ. ι΄ τίλεως ξ. α΄ λιβανωτίδος. Γο. γ΄ πολίου. Γο. γ΄ σαμψύχου. Γο. γ΄ δαδίων. Γο. δ΄ ἀριστολοχίας λίτραν μίαν. μελιλώτου. Γο. ς΄ σικύου ἀγρίου ῥίζης λίτρας β΄. ὕδατος τὸ ἀρκοῦν ἕψε ὡς χρή, καὶ χρῶ διηθήσας.

Ἔλαιον μετώπιον.

Ἐν Αἰγύπτῳ σκευάζεται. καλεῖται δὲ μετώπιον, διὰ τὸ τῆς χαλβάνης ξύλον. σκευάζεται δὲ δι' ἐλαίου ὀμφακίνου καὶ ἀμυγδάλων πικρῶν, καὶ καρδαμώμου, καὶ σχίνου, καὶ μέλιτος καὶ οἴνου, καλάμου τε καὶ καρποβαλσάμου, καὶ χαλβάνης, καὶ ῥητίνης. ἔστι δὲ θερμαντικὸν, ἀναστομοῖ δὲ καὶ ἐπισπᾶται. καθαίρει. ποιεῖ πρὸς μῦς καὶ νεῦρα διακοπέντα. ποιεῖ πρὸς ὑδροκήλας, καὶ καθόλου δύναμιν ἔχει μαλακτικήν.

Ἔλαιον μενδήσιον

Μαλακτικώτατον ἐστὶ καὶ χαλαστικὸν σωμάτων, καὶ πυοποιόν, συντίθεται δὲ ἐκ μυροβαλανίνου ἐλαίου. καὶ ζιγγιβέρεως, καὶ κασσίας καὶ ῥητίνης, ἔνιοι δὲ διὰ τὸ ἀποστύφαι, καὶ κιννάμωμον ἐμπάσσουσιν.

Ἔλαιον μεγαλεῖον.

Τὸ δὲ μεγαλεῖον καλούμενον πάλαι μὲν ἐσκευάζετο. ἐκλέλοιπε δὲ νῦν. ἔστι δὲ αὐτοῦ ἡ σκευασία, ὁμοία τῷ ἀμαρακίνῳ. πλεονάζει δὲ τῷ προσλαμβάνειν ῥητίνης, καὶ ποιεῖ πρὸς τὰς αὐτάς.

Ἔλαιον ἀμαράκινον.

Οὕτως σκευάζεται. βράθυος, ξυλοβαλσάμου, καλάμου, σχίνου ἄνθους, νάρδου κελτικῆς, κόστου ἀνὰ λι. ε΄ ἀμώμου, κασσίας, καρποβαλσάμου ἀνὰ λι. γ΄ ζιγγιβέρεως, λίτραν μίαν, οἴνου εὐωδεστέρου ξ. ε΄ ἕψε τῷ τρόπῳ τῆς νάρδου. ἡ δύναμις δὲ τοῦ ἐλαίου, θερμαντικὴ μὲν, ὡς ἡ νάρδος, οὐχ ὁμοίως δὲ τονωτική. λεπτομερέστερον δὲ τοῦτο τῆς νάρδου, καὶ παρηγορικώτερον, καὶ προσηνὲς διὰ τὸ μὴ ἔχειν ὀποβάλσαμον. γυναιξὶ δὲ ἐγκολπιζόμενον, ἔμμηνα κινεῖ, ἔστι δὲ τὸ ἀμαράκινον θερμότερον, μαλακτικὸν, ἀναστομωτικὸν, εὐθετεῖ πρὸς σύριγγας, καὶ ὑδροκήλας μετὰ τὴν χειρουργίαν. ποιεῖ καὶ πρὸς τὰ τεθηριωμένα ἕλκη καὶ ἐσχάρας, ποιεῖ πρὸς δυσουρίας, προχριομένου τοῦ δακτυλίου, ποιεῖ καὶ πρὸς τὰς ἐν μήτρᾳ φλεγμονὰς καὶ σκληρίας. αἱμορροΐδας ἀναστομοῖ.

Ἔλαιον κύπρινον.

Ἐλαίου ξ. κε΄ κυπέρου ἐλενείου, ἴρεως ἀνὰ λι. α΄ σαμψύχου ὑσσώπου ἀνὰ Γο. γ΄ λύγου σπέρματος. Γο. γ΄ ἐλελισφάκου. Γο. γ΄ κυπέρου ἄνθους. λι. α΄. ἕψεται δὲ καὶ τοῦτο δυσὶν ἑψήσεσι, τὰ μὲν γὰρ ἄλλα πάντα εἴδη οἴνου ῥανθέντα εὐώδει πρὸ μιᾶς ἡμέρας, εἶτα ἐμπλασθέντα τῷ ἐλαίῳ ἕψηται

ὥρας ἕξ. τῇ δὲ ἑξῆς στραθέντος τοῦ ἐλαίου καὶ λαβόντος ἕτερον ὕδωρ καθαρὸν, ὡς τὸ τρίτον ἐπὶ τοῦ χαλκείου ἐμβάλλεται τὸ ἄνθος τῆς κύπρου, ἐμβλητέον δὲ αὐτὸ μετὰ τῶν ἁπαλῶν κλωναρείων ἄκοπον. εἰ δὲ ξηρὸν εἴη, πρόκοψον, καὶ οὕτως ἕψε ὥραν μίαν, θερμαίνει δὲ τὸ κύπρινον, οὐκ ἀγεννῶς. ἔστι δὲ καὶ λεπτομερὲς καὶ ὑστέραις ἄγαν χρήσιμον ταῖς κατεψυγμέναις μᾶλλον, καὶ τὸ λεπτύνει τοὺς ἐν ταύταις παχεῖς χυμοὺς, ὅταν δὲ εὐπορῶμεν τῶν βοτανῶν χλωρῶν οὕτω σκευάζομεν τὸ κύπρινον, ἐλαίου. ξε. ιε. κυπέρων, ἐλενείου, ἴρεως ἀνὰ. γο. ς. σαμψύχου, ὑσσώπου, ἐλελισφάκου ἀνὰ. γο. β. ἄγνου χλωρῶν φύλλων. γο. β. κίσσου φύλλων χλωρῶν. γο. ε. χαμαιλιβάνου χλωροῦ. γο. δ. δάφνης φύλλων χλωρῶν. γο. ε. κυπέρου ἄνθους. γο. ι. βαλσάμου ἄνθους ὀποῦ. γο. ς. Ελαιον ἴρινον.

Ἴρεως, ἀσπαλάθου, κυπέρου, ἐλενείου, ἀνὰ. λι. ε. ὀποπάνακος. γο. ς. πιτύης. γο. γ. ἀγχούσης. γο. ς. ἐλαίου. ξε. λ. ὕδατος. ξε. ε. κόπτε πάντα ἁδρομερῶς, καὶ βρέχε ἡμέρας. β. ἔπειτα ἕψει ὥρας. ς. καὶ οὕτως ἐπίβαλλε τὸν ὀποπάνακα, προβραχέντα οἴνῳ, καὶ προλειωθέντα. ἐνίοτε δὲ καὶ προστίθεμεν τοῖς προειρημένοις σχίνου ἄνθος. γο. ς. κασσίας. γο. γ. ξυλοβαλσάμου, νάρδου κελτικῆς, ἀνὰ. γο. ς. ἡ δὲ τούτου δύναμις θερμαντικὴ, ἀλλ' οὐ δριμεῖα. διὸ πρὸς τοῖς ἐψυγμένοις μορίοις, χρήσιμον ἔχει τι καὶ τονωτικὸν καὶ μαλακτικόν. Ελαίου ναρδίνου κυζικηνοῦ, ὃ ἐσκεύασα ἐν ἀλεξανδρείᾳ καὶ ἔστι πάνυ καλόν.

Ἐλαίου ὀμφακίζοντος. ξε. ιβ. ἰταλικοὺς, ἀσπαλάθου, κυπέρου ἴρεως ἰλλυρικῆς, καρδαμώμου σπέρματα, ἀριστολοχείας, ξυλοκασσίας, ἀνὰ γο. ς. ἐλενείου, ξυλοβαλσάμου, σχίνου ἄνθους, κασσίας, κόστου ἀνὰ. γο. ς. ἀμώμου, φύλλου, ναρδοστάχυος, στύρακος, καρποβαλσάμου ἀνὰ. γο. γ. ὀποβαλσάμου. γο. γ. βράθυος. γο. α. σκευάζεται δὲ, οὕτως. ἀσπάλαθον, κύπερον, ἐλένειον, ξυλοβάλσαμον, ἶριν, ἀριστολοχίαν ἀποφλοιώσας, κόψας ἁδρομερῶς, βρέχε ἡμέρας τρεῖς ὕδατι θερμῷ. ἔπειτα ἐπιβαλὼν τὸ ἔλαιον, ἕψε κινῶν συνεχῶς, ἐπιβαλὼν ὕδωρ κατὰ βραχὺ, πρὸς ὃ τὸ πρῶτον ἀναλίσκεται. εἶτα ἑψήσας ἐπὶ ὥρας τρεῖς, ἢ καὶ πλείονας, σκεπάσας τὰ ἤδη ἑψηθέντα, ἔα διανυκτερεῦσαι. τῇ δὲ ἑξῆς ἀνασπάσας τὰ ἑψηθέντα, καὶ ἀποχωρίσας τοῦ ἐλαίου τὸ ὕδωρ. εἶτα ἐπιβαλὼν ἕτερον ὕδωρ καθαρὸν, καὶ οἴνου βραχὺ, ἕψε. ὅταν δὲ ἀναζέσῃ, ἐπίβαλε πρῶτον καρδάμωμον. εἶτα σχῖνον, ξυλοκασσίαν κεκομμένα. καὶ ἕψε ἐπὶ ὥρας δύο. καὶ πάλιν ἔα διανυκτερεῦσαι. τῇ δὲ τρίτῃ ἀνασπάσας ὁμοίως, καὶ ὕδωρ καθαρὸν ἐπιβαλὼν, ἕψε. καὶ ὅταν ἀναζέσῃ ἐπίπασσε λεῖα κατὰ μέρος, κασσίαν, κόστον, καὶ τὰ λοιπὰ, ἕκαστον κατ' ἰδίαν κοπέντα. ἐπὶ τὰ τελευταῖα δὲ, ναρδόσταχυ, καὶ φύλλον, καὶ τὸν στύρακα εἰς λεπτὰ μόρια διαθρυβέντα, καὶ τακέντος αὐτοῦ, ἆρον εὐθέως ἀπὸ τοῦ πυρὸς, καὶ ἐπίβαλλε τὸ ὀποβάλσαμον, καὶ ἀνακινήσας ἱκανῶς, καὶ πωμάσας, καὶ σκεπάσας καλῶς ἔα ἡμέρας. β. καὶ οὕτως μυακίῳ ἀναλάμβανε. τὸ δὲ δεύτερον, σκευάζεται οὕτως. τοῖς καταληφθεῖσιν ἐκ τῆς τρίτης ἑψήσεως ἐπίβαλλε ἐλαίου ξε. ς. καὶ ἀναζέσας ἕψε ὥρας. β. εἶτα ἐπίπασσε κασσίας λειοτάτης. γο. β. νάρδου κελτικῆς. γο. β. βράθυος. ∠. δ. στύρακος. γο. α. ὀποβαλσάμου. γο. β. ἔστι δὲ ἡ νάρδος δυνάμεως θερμαντικῆς τονωτικῆς παρηγορικῆς στομάχου. τοίνυν ἐψυγμένῳ καὶ ἀτόνῳ καὶ γαστρὶ καὶ ἥπατι τὰ αὐτὰ πεπονθότι, ἐπιτηδειοτάτη, ὀνίνεται καὶ ἐπὶ τῶν ψυγέντων τὰ ἔντερα, καὶ ἐπὶ γυναικῶν τῇ μήτρᾳ, χρῶ ὡς πάνυ δόκιμον.

Προέψησις τῆς νάρδου.

Οἴνου παλαιοῦ. λι. ιε. σχινοδρολιβάνου φύλλων. λι. α. ῥάσδου. λι. γ. καλαμοκείνου. λι. γ. βρουλλοκυπέρου. λι. δ. ταῦτα πάντα βάλλε ἐν τῇ προεψήσει. ὁ δὲ βρασμὸς αὐτοῦ, ὥρας. ιβ. καὶ ἵνα κενωθῇ εἰς καθαρὸν ἀγγεῖον. καὶ ποτισθῇ τὸ κανάβιν καὶ πάλιν βάλλης οἴνου. λι. ιε. καὶ ἐκεῖνο τὸ ἔλαιον ἐπάνω. Νάρδου σκευασία.

Νάρδος σκευαζομένη ἐν τῇ ἐκκλησίᾳ. στάχυος. λι. κινναμώμου. λι. καρυοφύλλων. λι. ἀμώμου. λι. σχινανθῶν. λι. καλάμου ἀρωματικοῦ. λι. ξυλαλόης. λι. καρύων μυριστικῶν. λι. καχρύου. λι. ξανθοκαρύων. λι. μάκερ. λι. γαλαγγῆς. λι. βαλσάμου. λι. καρποβαλσάμου. λι. ξυλοβαλσάμου. λι. μυροβαλάνου. λι. φύλλου ἰνδικοῦ. λι. κασσίας. λι. ξηροκαρυοφύλλου. λι. πεπέρεως μακροῦ. πεπέρεως λευκοῦ. λι. πεπέρεως κοινοῦ. λι. ἄσαρ χαλδαϊκοῦ. λι. κελτικοῦ. λι. θυμιάματος. λι. σμύρνης φωλλήπιδος. λι. κόστου. λι. μόσχου. λι. ἄμπρα. λι. γομφίτου. λι. λαδάνου. λι. τερεβίνθης. λι. οἴνου ὅσον ἀρκοῦν.

Ἑτέρα σκευασία νάρδου.

Ἐν τῇ προεψήσει οἴνου παλαιοῦ. λι. ιε. σχινοδρολιβάνου φύλλων. λι. α. μυρσίνης φύλλων. λι. α. ῥάσδου. λι. γ. καλαμοκείνου. λι. γ. βρουλλοκυπέρου. λι. δ. ταῦτα πάντα ἐν τῇ προεψήσει ἵνα βράσωσιν ὥρας. ιβ. καὶ κενωθῇ εἰς καθαρὸν ἀγγεῖον. καὶ ποτισθῇ τὸ κανάβιν. καὶ πάλιν βάλῃς οἴνου. λι. ιε. ἐπάνω ἐκεῖνο τὸ ἔλαιον. τὸ δὲ τελέσιον ἔστω κινναμώμου ἀληθινοῦ. λι. γ. γαλαγγαί. γο. ς. καρυοφύλλων. γο. δ. στάχυος. γο. γ. ξανθοκαρύων. γο. γ. λάδανον καθαρόν. γο. γ. τερεβίνθης. γο. ιη. ξυλαλόης γο. β. κόστου. γο. δ. χοῦς βουκελλαρίου. λι. δ. θυμιάματος βασιλικοῦ. γο. γ. ταῦτα κόψας, καὶ σήσας, καὶ ἑνώσας μετὰ τοῦ ἐλαίου τῆς προεψήσεως, ἕψησον κατὰ πεῖραν. ἵνα μήτε καῦσις γένηται, μήτε πάλιν ἐνδεεστέρα ἡ ἕψησις.

Ἑτέρα σκευασία νάρδου ἰώου μυρεψοῦ.

Ἐλαίου. ξε. β. ἀσπαλάθου. λι. δ. ξυλοβαλσάμου. λι. β. κόστου. γο. γ. ξυλοκασσίας. γο. δ. καρποβαλσάμου. γο. ς. ἀμώμου, γο. γ. στύρακος καλαμίτου. γο. β. ὀποβαλσάμου. γο. β.

Ἑτέρα σκευασία

Ἑτέρα σκευασία ναρδίνου ἰώου μυρεψοῦ.

K κόστου οὐγγίας ιβ. φύλλων οὐγγίας δ. κασίας οὐγγίας ϛ. ζιγγιβέρεως οὐγγίας ϛ. ξύλου καρυοφύλλου οὐγγίας ϛ. καρποβαλσάμου οὐγγίας δ. ναρδοστάχυος οὐγγίας δ. καλάμου οὐγγίας α. ἴρεως οὐγγίας ιβ. στύρακος λιπαροῦ οὐγγίας θ. κρόκου L. δ. ἐλαίου ℥. ϛ.

Ἐλαίου σαλκᾶ σκευασία, ὃ ἐσκεύασα ἐν ἀλεξανδρείᾳ καὶ ἔστι καλλίστη.

A ἀσπαλάθου οὐγγίας ϛ. ξυλοβαλσάμου οὐγγίας θ. κυπέρων οὐγγίας δ. ἑλενείου. ἴρεως ἀνὰ οὐγγίας ϛ. καλάμου οὐγγίας ιη. σχοίνου ἄνθους οὐγγίας β S. στύρακος λιπαροῦ οὐγγίας β. κάρυα ἰνδικὰ β. φύλλου Γο. ιη. ναρδοστάχυος οὐγγίαν α. καρυοφύλλου ἀφράτων ἀνὰ α S. ἀμώμου Γο. γ. κασίας Γο. β. κόστου οὐγγίαν α. ζιγγιβέρεως οὐγγίαν α. ὕπνου. ξυλοκασίας ἀνὰ οὐγγίας γ. ἐλαίου ℥. ι. ἕψεται
10 δὲ τῷ προειρημένῳ τρόπῳ ἐπὶ τῆς ναρδίνου, ἐν τῇ πρώτῃ ἑψήσει ἐμβαλλομένου ξυλοβαλσάμου. ἴρεως, κυπέρου, ἑλενείου, ξυλοκασίας, ἀπολειφθέντων, καὶ ἀδρομερῶς κοπέντων, καὶ προβραχέντων ὕδατι ἡμέρας β. ἢ γ. ἐν δὲ τῇ δευτέρᾳ ἑψήσει ἐμβάλλεται κάλαμος σχοῖνος, ὕπνον προαποβραχέντα οἴνῳ παλαιῷ εὐώδει. ἐν δὲ τῇ τρίτῃ τὰ λοιπὰ, γίνεται δὲ καὶ δευτερεῖον οὕτως τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς τρίτης ἑψήσεως ἐπιβάλλοντας ἐλαίου ℥. S. καὶ ἕψεται ἐπὶ ἱκανὸν, εἶτα ἐμβάλλεται σαντῆς καλῆς λευκῆς Γο. γ. στρώματος τουτέστι τὸ ὕδωρ τοῦ ὀποβαλσάμου Γο. ϛ. μαστίχης Γο. ϛ. στύρακος καλοῦ Γο. α. χρῶνται δὲ καὶ τῷ σαλκᾷ αἱ γυναῖκες εἰς τὰς κεφαλὰς ἀλείφουσαι αὐτάς, ἔστι δὲ ἡ ἐρημική σκευασία πάνυ καλλίστη.

Φυλλίνου ἤτοι μαλαβαθρίνου σκευασία καλλίστη.

A ἀσπαλάθου Γο. ιη. ξυλοβαλσάμου λι. β. κυπέρων λι. ε. ἑλενείου λι. ε. φύλλων Γο. δ. ἀμώμου Γο. ϛ. ξυλοκασίας Γο. δ. ζιγγιβέρεως Γο. δ. κόστου Γο. θ. στύρακος πρωτείου λι. α. καλάμου ἤτοι καρποβαλσάμου
20 Γο. ϛ. καλάμου λι. ε. ναρδοστάχυος Γο. β. καρυοφύλλου Γο. δ. στρώματος ὅ ἐστι κάθισμα ὑδατῶδες. ὀποβαλσάμου Γο. ϛ. ἀφράτων Γο. ϛ. καρδαμώμου Γο. ϛ. ἴρεως λι. α. ἐλαίου ℥. κ. οἴνου εὐώδους τὸ ἀρκοῦν ἕψε ὡς τὴν ναρδίνην.

Τίσιν ἁρμόδια τὰ εὐώδη μύρα.

T Τὰ εὐώδη τῶν μύρων, ταῖς ψυχροτέραις τῶν κεφαλῶν ἁρμόδια μᾶλλον, ἢ ταῖς μέσως θερμαῖς ἐν χειμῶνι. ταῖς γὰρ θερμοτέραις, οὐκ ἐπιτήδεια, εἰ δέ τις διὰ τὸ εὐῶδες βούλοιτο χρῆσθαι τοῖς τοιούτοις, προσμιγνύτω τὸ ῥόδινον ἴσον, οὕτω γὰρ ἴσον ἴσῳ κερασθὲν οὐκέτι βλαβερὸν γίνεται. ἐπειδὴ πολλαὶ τῶν γυναικῶν τοιαύτας θερμὰς ἔχουσι τὰς κεφαλὰς, ὥστε μηδενὸς ἀνέχεσθαι τῶν θερμαινόντων ἐλαίων, αὗται τοίνυν ὀμφακίνῳ μόνῳ χρήσθωσαν. ἔσθ᾽ ὅτε δὲ καὶ ῥοδίνῳ, τινὲς δὲ ἐξ αὐτῶν οὐδὲ ὅλως χρῶνται ἐλαίῳ, διὰ τὸ ταχέως ὑγραίνεσθαι τὰς κεφαλὰς, καὶ καταῤῥόοις περιπίπτειν, ἃς οὐ χρὴ καταναγκάζειν ἀλείφεσθαι. δεῖται γὰρ τοῦ ξηραίνειν τὰς κεφαλὰς τοῖς ἐπικαίροις ἐμ-
30 πάσμασι ξηροῖς, οὐ τῷ ὑγραίνειν τῷ ἐλαίῳ.

Ἐλαίου καπνιστοῦ σκευασία.

T Τὸ δὲ λεγόμενον καπνιστὸν ἔλαιον, σκευάζεται οὕτως. ὀνύχων ἀρωματικῶν μεγάλων Γο. ε. λιβάνου ἄῤῥενος Γο. ε. στύρακος πρωτείου Γο. ε. βδελλίου καθαροῦ Γο. ε. κόστου Γο. ε. ἐλαίου γλυκέος καλοῦ ℥. ε. ὕπνου τὸ ἀρκοῦν. τὸν κόστον εἰς ἀδρομερῆ μόρια διαμοιράσας, καὶ τὸν στύρακα ὁμοίως καὶ τὸ βδέλλιον. εἶτα ἀναμίξας ἅμα ἔμβαλλε ἐν ξεστίῳ καινῷ ὀστρακίνῳ, μὴ ἔχοντι ὠτίον. εἶτα τὸ στόμιον σκεπάσας ὕπνῳ, καὶ ἔξωθεν τοῦ ὕπνου ξυλάρια ἀσπαλάθου, ἢ τινὸς τῶν εὐωδῶν περιφράξας ὥστε μὴ ἐκπεσεῖν τὰ ἐν τῷ ξεστίῳ. εἶτα ἕτερον ὀστράκινον ἀγγεῖον ἄωτον, λαβὼν μακροτράχηλον στόμιον ἔχον. ἁρμόδιον τῷ στόματι τοῦ περιέχοντος τὰ εἰρημένα εἴδη, καὶ ἐμβαλὼν ἐν αὐτῷ ἐλαίου γλυκέος ℥. ε. καὶ ὀρύξας τὴν γῆν μέχρι τοῦ τραχήλου, χῶσον τὸ ἔχον τὸ ἔλαιον, ἵνα μὴ πυρωθῇ. εἶτα ἐπικέφαλα βαλὼν τὸ ξεστίον, καὶ ἁρμόσας αὐτὸ τῷ στομίῳ τοῦ ἔχοντος τὸ ἔλαιον, χρίε ἔξωθεν τὸ ξε-
40 στίον πηλῷ ὅλον κύκλῳ, καὶ τὰ στόματα ἀμφοτέρων εἰς ἄλληλα ἡρμοσμένα, καὶ ἐάσας ξηρανθῆναι, τῇ ἑξῆς κάρβωνας πολλοὺς ἐπιθεὶς, καὶ σκεπάσας αὐτοῖς πάντοθεν τὸ ξεστίον ἄναψον πῦρ, καὶ ῥίπιζε. ἀναφθέντος δὲ τοῦ πυρὸς, ἔα αὐτὸ μαραίνεσθαι, ἵνα κατὰ βραχὺ πυρούμενα διὰ τοῦ στόματος τοῦ ἀγγείου τὰ εἴδη, καπνίσῃ τὸ ὑποκείμενον αὐτοῖς ἔλαιον, τούτου γὰρ χάριν καπνιστὸν ὀνομάζεται. εἶτα τῇ ἑξῆς ἀνοίξας, ἀνελοῦ τὸ ἔλαιον καὶ φύλαττε, ἐν ὑελλίνῳ ἀγγείῳ, καὶ χρῶ. τούτῳ χρῶνται αἱ γυναῖκες. ἐφ᾽ ὧν ἐπέχεται τὰ καταμήνια χρίουσαι αὐτῶν τὸ ἦτρον, καὶ τὴν ὀσφῦν. ἁρμόδιον δὲ ἐστὶ καὶ ἐπὶ τῶν μὴ κατὰ λόγον ἐν τοῖς τοκετοῖς μὴ καθαιρομένων, ὁμοίως χριόμενον, χρήσιμον δὲ καὶ τοῖς τὸν θώρακα ἐψυγμένοις, καὶ τεινεσμῶν ἐνοχλούντων ὠφέλιμον θερμὸν πυγματίῳ ἐρίῳ ἀναλαμβανόμενον, καὶ ἐπιτιθέμενον ἥτρῳ καὶ ὀσφύϊ.

Γ Περὶ τῶν ἄλλων συγχρισμάτων, ἐκ τούτων ἔξεστί σοι, καὶ περὶ τῶν ἄλλων ἐλαίων γινώσκειν ἤδη, πόσα
50 τοῖς μυρεψοῖς ὁμωνύμως λέγεται. κατὰ γὰρ τὴν ἑκάστου φύσιν τῶν ἐμβληθέντων ἀλλοιωθήσεται τὸ ἔλαιον. ὧν ἑκάστου εἴδους τὴν δύναμιν, ἐν τῷ δὲ τῷ λόγῳ μαθήσῃ. περὶ δὲ τῶν λοιπῶν ἀνετικῶν τε καὶ χαλαστικῶν συγχρισμάτων, ἐν τῷ τῶν συνθέσεως φαρμάκων μετὰ τὰ ἀρθριτικὰ βοηθήματα ῥηθήσεται. γλευκίνου ἐλαίου λέγω, καὶ τῶν παραπλησίων.

Ἐλαφόβοσκον.

Θ Θερμῆς καὶ λεπτομεροῦς ἐστι δυνάμεως, καὶ διὰ τοῦτο καὶ ξηραντικῆς κατὰ τὴν δευτέραν, που τά-

ξιν τῶν ἀποστάσεων, ἁρμόζει δὲ αὐτῇ τὸ ὑπό τινες ἰοβόλου πληγέντων. πινόμενόν τε καὶ ἐσθιόμενον.

Ελένιον.

Ελενίου ἡ ῥίζα, μάλιστά ἐστι χρησίμη, λεκτέον δὲ αὐτὴν, ὡς θερμὴν καὶ ξηρὰν ἀκριβῶς ὡς τὸ πέπερι. ἀλλὰ σὺν ὑγρότητι, περιττωματικὴν, καὶ διὰ τοῦτο καὶ ἐκλείγμασι τοῖς εἰς ἀναγωγὰς τῶν γλίσχρων καὶ παχέων χυμῶν ἐν θώρακι καὶ πνεύμονι ἐπιτηδείως μίγνυται.

Ελελίσφακος.

Θερμαντικῆς ἐστιν ἐναργῶς κράσεως, ὑποστυφούσης ἀτρέμα, ἱστοροῦσιν δέ τινες ὅτι ἐπ' ἀνθράκων ὑποθυμιωμένη ταῖς γυναιξὶ. στέλλει καταμήνια ἀμέτρως φερόμενα, καὶ γυναικεῖον ῥοῦν, ἀγρίππας δέ φησιν, ἐλελίσφακον τὴν ἱερὰν βοτάνην, λέαινε αἱ κύουσαι φοροῦσιν. ἔστι γὰρ κρατητικὴ συλλήψεως ζωογονητικῆς. ἐπὰν οὖν τὸν χυλὸν ταύτης ὅσον κοτύλην μίαν μετὰ ἁλὸς ὀλίγου πίῃ ἡ γυνὴ, τεταρταία οὖσα ἐκ ἀφέδρου, καὶ ἀνδρὶ συγκοιτήσῃ, συλλήψεται ἀπαραβάτως. φασὶ δὲ ὅτι λοιμοῦ καταλαβόντος ἐν κόπτῳ τῆς αἰγύπτου, τοὺς ἐν τῇ χώρᾳ περιλειφθέντας, ἀναγκάσαι τὰς γυναῖκας καὶ ταύτῃ χρήσασθαι τῇ δυνάμει, καὶ εὐθὺ γονὴν πλείστην γενέσθαι, ὀρφεὺς δέ φησι, δίδου τοῖς αἱμοπτοϊκοῖς τοῦ χυλοῦ τῆς ἐλελισφάκου κοχλιάρια β. μετὰ μέλιτος. Γο. α. νῆστις πιεῖν, καὶ εὐθέως σταθήσεται, τοῖς δὲ φθισικοῖς φησὶ κατασκεύαζε καταπότια οὕτως, ναρδοστάχυος. ∠. β. ζιγγιβέρεως. ∠. β. σπέρματος ἐλελισφάκου πεφωσμένου κεκομμένου καὶ σεσησμένου. ∠. ιδ. πεπέρεως. ∠. ιβ. ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια, καὶ δίδου. ∠. α. πρωῒ καὶ νήστει, καὶ εἰς κοίτην ὁμοίως καὶ ἐπιρροφείτω ὕδατος καθαροῦ.

Ελλέβορος ἑκάτερος.

Ελλέβορος ὅ τε λευκὸς καὶ ὁ μέλας, ῥυπτικῆς τε καὶ θερμῆς εἰσὶ δυνάμεως, διὸ καὶ πρὸς ἀλφοὺς καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας ἁρμόττουσι, καὶ μὴν δὴ καὶ εἰς σύριγγα τετυλωμένην ῥάβδος τοῦ μέλανος καθιεμένη, ἐν δυσὶ ποῦ, ἢ τρισὶν ἡμέραις ἀφίστησι τὸν τύλον, κείσθωσαν δὲ ἐν τῇ τρίτῃ τάξει τοῦ θερμαίνοντος τε καὶ ξηραίνοντος, καθαίρει δὲ ὁ μὲν μέλας, τὸν μελαγχολικὸν χυμόν. μᾶλλον δὲ διὰ τῆς κάτω γαστρὸς, ὁ δὲ λευκὸς τὴν ἄνω γαστέρα, μᾶλλον μὲν δι' ἐμέτων τοὺς παχεῖς καὶ γλίσχρους χυμοὺς ἐκκαθαίρων, κινεῖ δὲ καὶ τὴν κάτω.

Ελξίνη.

Ταύτην τινὲς παρθένιον, οἱ δὲ περδίκιον καλοῦσι, δύναμις δὲ αὐτῆς ῥυπτικὴ, καὶ ἀτρέμα στυπτικὴ, μεθ' ὑγρότητος ὑπόψυχρον, ὅθεν καὶ ἰᾶται φλεγμονὰς ἁπάσας, ἐν ἀρχῇ δὲ καὶ ἀναβάσει μέχρι τῆς ἀκμῆς, καὶ μάλιστα τὰς θερμὰς, καὶ μὴν δὴ καὶ ἀρχομένοις φυγέθλοις ἐπιπλάττεται, καὶ ὁ χυλὸς δὲ αὐτοῦ μετὰ ῥοδίνου πρὸς ὤτων ἀλγήματα μετρίως φλεγμονώδη ἁρμόζει, ἀνακογχυλίζουσαι δέ τινες τὸν χυλὸν, καὶ πρὸς παρίσθμια φλεγμαίνοντα, τινὲς δὲ τῶν ἰατρῶν τοῖς χρονίως βήττουσιν ἔδωκαν αὐτὴν διὰ τὸ ῥύπτειν ἐναργῶς, ποιεῖ δὲ καὶ πρὸς ἀλωπεκίαν καὶ λειχῆνας αὐτὴ καθ' ἑαυτὴν παρατριβομένη, τῷ τόπῳ συνεχῶς, ἀναστομοῖ δὲ ὁμοίως καὶ τὰς ἐν ἕδρᾳ αἱμορροΐδας, θεραπεύει καὶ σύριγγας, καὶ κόλπους περιτίθησι, λεία μεθ' ἁλῶν ὀλίγων καταπλασσομένη.

Ελυμος ἢ κέγχρος.

Ελυμος καλεῖται καὶ μελίνη, ἔστι δὲ ὅμοιον κέγχρῳ, κατά τε τὴν ἰδέαν καὶ τὴν δύναμιν, ὀλιγότροφον δὲ καὶ ξηραντικὸν, ἵστησί γέ τοι δὲ τὰ κατὰ γαστέρα ῥεύματα, καθάπερ καὶ ἡ κέγχρος, εἰ δὲ ἔξωθεν ἐπιπλασθείη, ξηραίνει καὶ ψύχει.

Εμπετρον ἢ ἐπίπετρον.

Εἰς τὰς καθάρσεις μόνας δοκεῖ χρήσιμον ὑπάρχειν, ἄγον φλέγμα καὶ χολὴν, ἔστι δὲ ἁλυκὸν τὴν γεῦσιν, ὥς τε καὶ εἰς ἄλλα χρήσαιτ' ἄν τις αὐτῷ εἰς ἅπερ καὶ τῇ ἁλυκῇ οὐσίᾳ ἔνεστι κεχρῆσθαι, ὀνομάζεται δὲ προσοειδές.

Επίθυμον.

Κατὰ πάντα ἰσχυρότερόν ἐστι τοῦ θύμου δυνάμεως, ξηραῖνον καὶ θερμαῖνον κατὰ τὴν τρίτην ἀπόστασιν, καθαίρει δὲ τὸν μελαγχολικὸν χυμόν.

Ερέβινθος.

Ερέβινθος ὁ σπόριμος ἐστὶ φυσῶδες, τρόφιμον, εὐκοίλιον, οὐρητικὸν, γάλακτος καὶ σπέρματος καὶ καταμηνίων ἀγωγὸν, τὸ δὲ ἀφέψημα αὐτοῦ, καὶ λίθους τοὺς ἐν νεφροῖς θρύπτει, καὶ μάλιστα τὸ ἀπὸ τῶν μελαίνων, τὸ δὲ ἕτερον γένος τῶν ἐρεβίνθων καλουμένων ὀρόβια, δυνάμεως ἐστὶ ἐπισπαστικῆς. διαφορητικῆς, τμητικῆς, ῥυπτικῆς διὸ καὶ σπλῆνα, καὶ ἧπαρ καὶ νεφροὺς ἐκκαθαίρουσι καὶ ψώρας καὶ λειχῆνας, ἀπορύπτουσι, καὶ παρωτίδας, καὶ ὄρχεις σκίρρου μένους διαφοροῦσι, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰῶνται μετὰ μέλιτος.

Ερπυλος.

Θερμαντικῆς εἰς τοσοῦτον ἐστὶ δυνάμεως, ὡς καταμήνιά τε καὶ οὖρα κινεῖν, ἔστι δὲ καὶ πρὸς τὴν γεῦσιν ἱκανῶς δριμὺ, διττὸν δὲ αὐτοῦ τὸ εἶδος. ὁ μὲν γάρ ἐστι κηπευτὸς, συμψυχίζων τῇ ὀσμῇ, ὁ δὲ ἄγριος, ὃς καὶ συζυγὶς καλεῖται, οὐχ ἕρπων, ἀλλ' ὀρθοὺς κλώνια λεπτὰ φρυγανώδη ἔχων, φύλλα περιπλέον ὅμοια πηγάνῳ ὑπόστενα, καὶ ἐπισκληρότερα, ἄνθη γευομένῳ δριμεῖα ὀσμὴ ἡδεῖα, ῥίζα δὲ ἄχρηστος, φύεται ἐν πέτραις, ἐναργέστερος καὶ θερμαντικώτερος τοῦ κηπευτοῦ ὑπάρχων. καὶ ἔστι πρὸς τὴν ἰατρικὴν χρῆσιν ἐπιτηδειότερος. ὠφελεῖ δὲ καὶ πρὸς στρόφους, σπάσματα, ῥήγματα, ἥπατος φλεγμονὰς, καὶ πρὸς ἑρπητα πινόμενός τε καὶ καταπλασσόμενος κεφαλῆς τε ὀδύνην παραμυθεῖται. ἑψηθεὶς σὺν

ὄξει,

ὄξει, καὶ κατὰ βραχεῖς, μιγέντος αὐτῷ ῥοδίνου, μάλιστα δὲ ἐπὶ ληθαργικῶν, καὶ φρενιτικῶν τῶν χρονιζόντων ἁρμόζει. παύει δὲ καὶ αἵματος ἀναγωγὰς, δραχμῆς μιᾶς, μετὰ ὄξους ποθεῖσα.

Ερύσιμον.

Ερυσίμου τὸ σπέρμα, καθάπερ τῇ γεύσει παραπλήσιον φαίνεται καρδάμῳ, οὕτω καὶ τῇ δυνάμει παραπλήσιον, πυρῶδες καὶ θερμαντικὸν ὑπάρχον. ἐπειδὰν δὲ εἰς ἔλιγμα δέῃ χρῆσθαι, βέλτιον ἐστὶν ὕδατι βρέξαντας φῶξαι. χρήσιμον δέ ἐστι μετὰ τῶν ἐλιγμάτων πρὸς τὰς κατὰ θώρακα καὶ πνεύμονα παχέων καὶ γλίσχρων χυμῶν ἀναπτύσεις. ἀλλὰ καὶ παρωτίδας σκιῤῥουμένας, καὶ σκληρίας παλαιὰς ἐν τιτθοῖς καὶ ὄρχεσιν ὠφελεῖ. φησὶ δὲ ὁ Διοσκορίδης ὡς καὶ καταπλαττόμενον μεθ' ὕδατος ἢ μέλιτος ὀνίνησι τοὺς κρυπτοὺς καρκίνους.

Ερυθρόδανον.

Ταύτης ἡ ῥίζα ἐρυθρὰ, ᾗ χρῶνται οἱ βαφεῖς, στρυφνὴ καὶ ὑπόπικρος τὴν γεῦσιν ἐστὶν, ὅθεν καὶ ἧπαρ καὶ σπλῆνα καθαίρει, καὶ οὖρα παχέα καὶ πολλὰ, καὶ ποτὲ δὲ καὶ αἱματώδη κενοῖ, καὶ ἀποῤῥύπτει συμμέτρως, ὅσα δεῖται ῥύψεως. ἀλφοὺς γοῦν ὠφελεῖ λευκοὺς μετὰ ὄξους χριομένη. διδόασι δὲ αὐτὴν τινὲς ἰσχιαδικοῖς καὶ τοῖς παραλελυμένοις πίνειν μετὰ μελικράτου.

Εὔζωμον.

Θερμαίνει σαφῶς τοῦτο τὸ λάχανον, ἀλλὰ καὶ σπέρμα γεννᾷ, πέπτεται, καὶ τὰς πρὸς συνουσίαν ὁρμὰς ἐπεγείρει. κεφαλαλγὲς δέ ἐστι, καὶ μᾶλλον εἴ τις αὐτὸ μόνον ἐσθίει, τούτου δὴ χάριν μετὰ θριδακίνης φύλλων ἐσθίειν αὐτὸ χρή.

Εὐπατόριον.

Λεπτομεροῦς ἐστι δυνάμεως, καὶ ῥυπτικῆς καὶ τμητικῆς, ἄνευ θερμότητος ἐπιφανοῦς, ὅθεν τὰς καθ' ἧπαρ ἐμφράξεις ἐκκαθαίρει, μετέχει καὶ στύψεως βραχείας, δι' ἧς τόνον ἐντίθησι τῷ ἥπατι.

Ευφόρβιον.

Λεπτομεροῦς δυνάμεως, ὁμοίως τοῖς ἄλλοις ὀποῖς.

ΑΡΧΗ ΤΟΥ Ζ.

Ζεία.

Μεταξύ πως ἐστὶ πυρῶν τε καὶ κριθῶν, ὥς τε ἐξ ἐκείνων γινώσκεσθαι.

Ζιγγίβερι.

Ζιγγιβέρεως ἡ ῥίζα, θερμαίνει μὲν ἰσχυρῶς, ἀλλ' οὐ κατὰ τὴν πρώτην προσβολὴν, ὡς τὸ πέπερι, διὰ τὸ μετέχειν παχυμερεστέρας δυνάμεως, ὑδατώδους, περιττωματικῆς, διὰ τοῦτο καὶ τιτρᾶται ῥᾳδίως.

Ζύθος.

Δριμύτερος ἐστὶ τῶν κριθῶν καὶ κακόχυμος, ὡς ἂν ἐκ σηπεδόνος γινόμενος, ἔστι δὲ καὶ φυσώδης.

Ζύμη.

Λεπτομερής ἐστι καὶ μετρίως θερμὴ, διὰ τοῦτο τοίνυν ἄλυπός τε καὶ ἄδηκτος. ἐπισπᾶται δὲ ἅμα ἐκ τοῦ βάθους καὶ διαφορεῖ, μέμικται δὲ ἐξ ἐναντίων δυνάμεων, ὀξύτητος ψυχρᾶς, καὶ σηπεδονώδους θερμότητος, τῶν τε ἁλῶν καὶ τοῦ ἀλεύρου.

ΑΡΧΗ ΤΟΥ Η.

Ηδύοσμον.

Ενιοι ταύτην μίνθην εὐώδη προσαγορεύουσι. θερμὴ τὴν δύναμιν ἐστὶ, ὡς εἰπεῖν ἐπὶ τῆς τρίτης τάξεως, μετέχει δὲ ὑγρότητος περιττωματικῆς ἐκ τοῦ κινδυνεύεσθαι, διὸ καὶ πρὸς ἀφροδίσια παρορμᾷ μετρίως. διὰ δὲ τὴν κρᾶσιν ταύτην, καὶ καταπλάττεται μετὰ ἀλφίτων, ἐπὶ ἀποστημάτων. ἀναιρεῖ δὲ διὰ τὸ ἐν αὐτῇ πικρὸν τὰς ἕλμινθας. καὶ ἐπὶ κωλικῶν πινόμενον τὸ ἀφέψημα αὐτῆς ἐφεξῆς ἡμέρας τρεῖς πάνυ ὠφελεῖ. τὸ δὲ ἐν αὐτῇ στρυφνὸν, τὰς προσφάτους τοῦ αἵματος ἀναγωγὰς ἐπέχει, μετ' ὀξυκράτου πινομένη. λεπτομερὴς δὲ ἐστὶ τὴν οὐσίαν, εἴπερ τις καὶ ἄλλη πόα.

Ηδύσαρον ἢ πελεκῖνος.

Πυῤῥὸν μὲν ἢ ὠχρὸν εὑρίσκεται τὴν χροιὰν τὸ σπέρμα, ἀμφίστομον δὲ καθάπερ οἱ πελέκεις τῷ εἴδει, πικρὸν δὲ καὶ ὑπόστρυφνον φαίνεται, ὅθεν εὐστόμαχόν τε ἐστὶ πινόμενον. ἐκκαθαίρει δὲ τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις, οὕτω δὲ καὶ οἱ κλῶνες ὅλου τοῦ θάμνου δρῶσιν.

Ημεροκαλλές.

Τούτου ἡ ῥίζα παραπλησία τῇ τοῦ κρίνου κατά τε τὴν ἰδέαν, καὶ κατὰ τὴν δύναμιν, ὅθεν ὠφελεῖ παραπλησίως ἐκείνῃ τὰ πυρίκαυστα, καὶ γὰρ διαφορητικῆς ἠρέμα δυνάμεως ἐστὶ, μετὰ τοῦ καὶ ἀποκρουστικὸν ἔχειν τι.

Ηριγέρων.

Δύναμιν ἔχει ἐπίμικτον, ψυκτικήν τε ἅμα καὶ μετρίως διαφορητικὴν, διὸ καὶ τοῖς ἑδρικοῖς ἐπωφελῶς μίγνυται. ἐπέχει δὲ καὶ αἵματος ἀναγωγὰς ὁ χυλὸς πινόμενος, καὶ ἕλμινθας ἀναιρεῖ· καὶ ἡπατικοῖς ὀνίνησι. καταπλάττεται δὲ καὶ πρὸς φλεγμονὰς ἐναργῶς.

Ηρύγγιον.

Θερμότητι μὲν, ἢ βραχὺ τῶν συμμέτρων, ἢ οὐδὲν ὑπερέχει, ξηρότητος δὲ λεπτομεροῦς οὐκ ὀλίγης μετέχει. ὕδατι δὲ ζεννυμένη ἡ ῥίζα, καὶ πινομένου τοῦ ὕδατος κωλικοὺς παύει, μετὰ δὲ μελικράτου ζεννυμένη, λιθιῶντας, στραγγουριῶντας, δυσουριῶντας, νεφριτικοὺς ἀπαλλάττει. πινέτωσαν δὲ ἐπὶ ἡμέρας ιε. νήστεις, καὶ εἰς κοίτην. ἐὰν δὲ καὶ οἶνον σὺν αὐτῇ ζέσας δῷς πιεῖν, κάλλιον ποιεῖς. διεβεβαιοῦτο δέ τις, ὅτι συνεχῶς χρησάμενος, λίθους οὐκέτι οὔρησε πυκνότατα, πρόσθεν ἐνοχλούμενος ὑπὸ τοῦ πάθους.

ΑΡΧΗ ΤΟΥ Θ'.

Θαψία.

Δριμείας δέ ἐστι καὶ ἰσχυρᾶς θερμαντικῆς δυνάμεως σὺν ὑγρότητι, ἕλκει τοιγαροῦν ἐκ βάθους βιαίως, καὶ αὐτῇ διαφορεῖ τὸ ἑλχθέν, χρόνῳ δὲ ἐργάζεται πλείονι ταῦτα, διὰ τὸ περιττὸν τῆς ὑγρότητος ἐμπίπλασθαι δαψιλοῦς, δι᾽ ἣν καὶ ταχέως διαφορεῖται.

Θέρμος ἥμερος.

Θέρμος ἀπογλυκανθεὶς διὰ τῆς ἑψήσεως ἐσθιόμενος, δύσπεπτός ἐστι, καὶ τροφὴν παρέχει τῷ σώματι παχύχυμον, καὶ ὠμοὺς χυμοὺς γεννᾷ, κοιλίαν δὲ οὐ προτρέπεται, οὐ δὲ μὴν ἐπέχει. ὡς φάρμακον δὲ, ὁ μὲν ἀπογλυκανθεὶς καὶ ἐσθιόμενος ἐκ τῶν ἐμπλαστικῶν ἐστι, ὁ δὲ τὴν σύμφυτον ἔχων πικρότητα ῥυπτικός τε καὶ διαφορητικὸς ὑπάρχει. ἀναιρεῖ δὲ καὶ ἕλμινθας σὺν μέλιτι ἐκλειχόμενος, ἢ μετ᾽
10 ὀξυκράτου πινόμενος, οὐ μὴν ἀλλὰ καὶ τὸ ἀφέψημα αὐτοῦ τὰς ἕλμινθας ἐκβάλλειν πέφυκε πινόμενον καὶ ἐνιέμενον. καὶ τὸ ἄλευρον δὲ αὐτοῦ ἔξωθεν μετὰ χολῆς ταυρείας τῷ ὀμφαλῷ ἐπιτιθέμενον, ἐκτινάσσει αὐτάς. καὶ μὴν δὴ καὶ καταπλασσόμενον ἔξωθεν ὀνίνησι ἀλφούς, ἰχῶρας, ἐξανθήματα, ψώρας, γαγγραίνας, ἕλκη κακοήθη, τῷ ξηραίνειν ἀδήκτως. ἐκκαθαίρει δὲ καὶ ἧπαρ, καὶ σπλῆνα μετὰ πηγάνου καὶ πεπέρεως, ἡδονῆς ἕνεκα συνεμβαλλόμενα. ἐπισπᾶται δὲ τὰ καταμήνια, καὶ ἔμβρυα σὺν σμύρνῃ καὶ μέλιτι προστιθέμενος. ἔστι δὲ καὶ τὸ ἄλευρον τῶν θέρμων διαφορητικόν. οὐ γὰρ τὰ πελιδνὰ μόνον, ἀλλὰ καὶ χοιράδας καὶ φύματα σκληρὰ θεραπεύει. ἐν ὄξει δὲ αὐτὸ ἕψειν χρὴ τηνικαῦτα, ἢ ὀξυμέλιτι, ἢ ὀξυκράτῳ, κατὰ τὰς κράσεις τῶν καμνόντων δηλονότι καὶ τοῦ πάθους τὴν διαφορὰν εὑρίσκοντας τὸ δέον. διαφορεῖ δὲ καὶ τὰ πελιδνὰ τὸ ἄλευρον, καὶ τἄλλα ὅσα πρόσθεν εἴρηται ἐπὶ τοῦ ἀφεψήματος. καταπλάσσουσι δὲ ἔνιοι καὶ τοῖς ἰσχιαδικοῖς αὐτό.

20

Θέρμος ἄγριος.

Πικρότερός τε καὶ ἰσχυρότερος εἰς ἅπαντα τοῦ ἡμέρου ἐστί, τῆς αὐτῆς ὑπάρχων κατὰ γένος δυνάμεως.

Θλάσπι.

Σπέρμα καὶ τοῦτο ἐστι δριμὺ τὴν δύναμιν, ὥστε καὶ τὰ ἐν τοῖς ἀποστήμασι ῥήσσει ποτιζόμενον, καὶ καταμήνια κινεῖ καὶ ἔμβρυα φθείρει, καὶ δι᾽ ἕδρας ἐνιέμενον, ἰσχιάδας ὀνίνησιν, αἱματώδη κινοῦν. ἔστι δὲ τὸ θλάσπι καὶ ἄλλως καθαρτικὸν ἄνω τε καὶ κάτω χολωδῶν ὑγρῶν, ὀξυβάφου πλῆθος πινόμενον.

Θρίδαξ.

Ὑγρὸν καὶ ψυχρὸν ἐστι λάχανον, οὐ μὴν ἐσχάτως γε, ἀλλὰ καὶ κατὰ τῶν κρηναίων ὑδάτων, ὡς ἂν εἴποι τις μάλιστα ψυχρότατον, διὰ τοῦτο πρὸς τὰς φλεγμονὰς ἁρμόττει, καὶ πρὸς τὰ μικρὰ καὶ κοῦφα τῶν ἐρυσιπελάτων. ἔστι δὲ καὶ ἄδιψον ἔδεσμα, καὶ εἰς ὕπνον προτρεπόμενον μάλιστα, ἀπεζεσμένης, καὶ
30 μετ᾽ ὀξυκράτου ὑδαροῦς μόνον ἐσθιομένης. ἀλλ᾽ οὐ δὲ ἀπεπτεῖται τοῖς ἄλλοις λαχάνοις ὁμοίως, οὐ δὲ ἐπέχει τὴν διαχώρησιν, ὥσπερ οὐ δὲ προτρέπει, καὶ διὰ ταῦτα. οὐ δὲ κακόχυμον αἷμα γεννᾷ, οὐ μὴν εὔχυμόν γε τελέως. τὸ δὲ σπέρμα πινόμενον ἐπέχει γονορροίας, ὅθεν καὶ τοῖς ὀνειρώττουσι δίδοται. ὁ δὲ ὀπὸς τῆς ἀγρίας θρίδακος μετὰ γυναικείου γάλακτος ἐπαλειφόμενος, ἀργέματα καὶ ἀχλὺν ἀποκαθαίρει, καὶ ἐπικαύματα.

Θύμος.

Τέμνει καὶ θερμαίνει σαφῶς, ὡς εἶναι τῆς τρίτης τάξεως τῶν θερμαινόντων, καὶ διὰ τοῦτο καὶ οὖρα καὶ καταμήνια κινεῖ, καὶ ἔμβρυα κατασπᾷ. καὶ τὰ σπλάγχνα δὲ καθαίρει πινόμενος, τούς τε ἐκ θώρακος καὶ πνεύμονος ἀναπτύσεις συναίρεται, καὶ ταῦτα μὲν ὁ Γαληνός. τὰ δὲ διὰ πείρας ταῦτα, τοῖς ἀρθριτικοῖς δίδου τοῦ θύμου ξηροῦ λειοτάτου. ∠. δ. μετ᾽ ὀξυμέλιτος κοχλιαρίου. ς. νήστει. καθαίρει δὲ τὴν χολὴν, καὶ τοὺς δριμεῖς ἰχῶρας, καὶ τὰ περὶ τὴν κύστιν. ἐπὶ δὲ ἐπιμενόντων κοιλιῶν, ὅταν ἄρξωνται
40 ὀλισθαίνειν, δίδου. ∠. α. μετὰ μελικράτου κοχλιαρίου. α. νήστει. πρὸς ὀσφύος καὶ ἰσχίων πόνον, πλευρᾶς τε καὶ θώρακος, καὶ ὑποχονδρίων μετεωρισμούς, καὶ ἐμπνευματώσεις, δίδου. ∠. γ. μετὰ ὀξυμέλιτος κεκραμένου, πλῆθος κοχλιαρίου. α. νήστει. δίδου δὲ ὁμοίως καὶ τοῖς μελαγχολικοῖς καὶ τεταραγμένοις τὴν διάνοιαν, καὶ φόβῳ συνεχομένοις, δραχμὰς. γ. μετὰ κοχλιαρίου. α. τοῦ ὀξυμέλιτος κεκραμμένου. τοῖς ὀφθαλμιῶσι, καὶ σφόδρα ὀδυνωμένοις, δίδου ὁμοίως νήστει καὶ πρὸ δείπνου. καὶ ἐπὶ ποδαγρικῶν ὀδυνωμένων, ὡς μὴ δύνασθαι κινεῖσθαι, δίδου μετὰ οἴνου ἀκράτου ὁμοίως. ἐπὶ δὲ διδύμων ἐπηρμένων, δίδου ὁμοίως δραχμὰς γ. μετὰ κοχλιαρίου α. οἴνου νήστει, πλὴν μέντοι τῷ μέλανι θύμῳ τῷ καλουμένῳ ἐλεβόρῳ μηδόλως κέχρησο, φθαρτικὸς γάρ ἐστι καὶ χολῆς γεννητικὸς, ἀλλὰ τῷ ἔχοντι ἄνθος ἐμπόρφυρον μὲν φύσει, λευκὸν δέ τι ἔχων πλέον.

Θύμβρα.

Καὶ τὰ θύμβρα δὲ, μάλιστα κηπευόμενα παραπλησίας μὲν εἰσι δυνάμεως τῷ θύμῳ, ἀσθενέστερα δὲ
50 πολλῷ.

ΑΡΧΗ ΤΟΥ Ι'.

Ἴντυβοι.

Παραπλησίαν τῇ θρίδακι ἔχουσι τὴν δύναμιν, οὐκ ἀπολειπόμενοι καὶ καθ᾽ ἡδονὴν αὐτῆς, καὶ τὰ ἄλλα πάντα τὰ πρόσθεν περὶ θριδάκων εἰρημένα.

Ἰξός.

Ἐκ πλείστης μὲν ἀερώδους καὶ ὑδατώδους οὐσίας θερμῆς, ἐλαχίστης δὲ σύγκειται γεώδους, τὸ σὺν

δριμὺ

δριμὺ πλέον ἔχει ἐν ἑαυτῷ, ἕλκει τοιγαροῦν ἐκ τοῦ βάθους ἰσχυρῶς ὑγρότητας, οὐ τὰς λεπτὰς μόνον, ἀλλὰ καὶ τὰς παχυτέρας, καὶ ταύτας διαχεῖ, καὶ διαφορεῖ. ἔστι δὲ τῶν οὐκ εὐθὺς θερμαινόντων φαρμάκων, μετὰ τὴν πρώτην ἐπίθεσιν, ἀλλὰ χρόνου δεομένων, ὡς ἡ θαψία.

Ἴου τὰ φύλλα.

Τὴν ὑδατώδη καὶ ὑπόψυχρον οὐσίαν ἐπικρατοῦσαν κέκτηται, διὸ καὶ καθ' ἑαυτὰ καὶ μετὰ ἀλφίτων ἐπιπλαττόμενα, τὰς θερμὰς φλεγμονὰς παρηγορεῖ. ἐπιτίθεται δὲ καὶ κατὰ τὸ στόμα τῆς κοιλίας ἐγκαιομένων, καὶ ἐπὶ ὀφθαλμῶν.

Ἵππουρις.

Στυπτικὴν μετὰ πικρότητος ἔχει ποιότητα, καὶ διὰ τοῦτο ξηραντικὴ ἰσχυρῶς τε ἅμα καὶ ἀδήκτως, τραύματα οὖν τὰ μέγιστα καταπλαττομένη κολλᾷ, κἂν νεῦρα ἐπιτετμημένα τύχῃ, καὶ πρὸς τὰς καλουμένας ἀναγωγὰς τοῦ αἵματος, καὶ ῥοῦν γυναικεῖον, καὶ μάλιστα τὸν ἐρυθρὸν, ἔτι τε δυσεντερίας, καὶ τὰ ἄλλα τὰ κατὰ γαστέρα ῥεύματα, γενναῖον φάρμακον ἡ πόα πινομένη μετὰ ὕδατος ἢ οἴνου. γράφουσι δέ τινες περὶ αὐτῆς, ὡς καὶ κύστεως ἰάσατό ποτε, καὶ τὰ τῶν λεπτῶν ἐντέρων τραύματα. ὁ δὲ χυλὸς αὐτῆς, αἱμορραγίας τὰς ἐκ ῥινῶν ὠφελεῖ, καὶ τὰ κατὰ γαστέρα ῥοώδη πάθη, ξὺν τινὶ τῶν αὐστηρῶν οἴνων πινόμενος, ἢ μεθ' ὕδατος ἐπὶ τῶν πυρεττόντων.

Ἰσάτις.

Ἡ μὲν ἥμερος, ᾗ οἱ βαφεῖς χρῶνται ξηραντικῆς ἰσχυρῶς ἐστι δυνάμεως, οὐδέπω δακνούσης, πικρᾶς τε ἅμα καὶ στυπτικῆς. ταύτῃ τοι καὶ τὰ μεγάλα τραύματα, τῶν σκληρῶν σωμάτων κολλᾷ, καὶ ἐν ταῖς τῶν μυῶν κεφαλαῖς, καὶ κατὰ τῶν αἱμορραγούντων ὠφέλιμος ἐπιπλάττεται, καὶ τοὺς οἰδηματώδεις ὄγκους θαυμαστῶς διαφορεῖ ἅμα καὶ προστέλλει, καὶ πρὸς πάντα τὰ κακοήθη ἕλκη δραστικῶς ἀνθίσταται, κἂν σήπεται, κἂν ἀναβιβρώσκεται. εἰ δέ ποτε τῆς τοῦ κάμνοντος δυνάμεως ἰσχυροτέρα φαίνεται, μιγνύναι χρὴ τοῖς φύλλοις αὐτῆς λειωθεῖσιν, ἢ ἄρτον, ἢ κρίθινον ἄλευρον, ἢ πύρινον, ἢ ἄλφιτα κατὰ τὴν ἐπικρατοῦσαν ἐν ἑκάστῳ διάθεσιν.

Ἰσάτις ἀγρία.

Ἡ δὲ ἀγρία ἰσάτις ἔχει τι δριμὺ σαφὲς ἤδη κατὰ τὴν γεῦσιν καὶ κατὰ τὴν ἐνέργειαν. καὶ διὰ τοῦτο τῆς ἡμέρου ξηραντικωτέρα γινομένη, πρὸς μὲν τὰς ὑγρὰς σηπεδόνας, ἰσχυρότερον ἀνθίσταται. τὰ δὲ ἄλλα τὰ προειρημένα, χείρων ἐστὶν, ἀμετρότερον γὰρ ἤδη καὶ μετὰ τοῦ δάκνειν, ξηραίνει ταῦτα, ἐρεθίζει τε καὶ φλεγμονὰς ἐπεγείρει· διὰ δὲ τὸ ἰσχυρὸν τῆς δυνάμεως, καὶ τοῖς σπληνικοῖς ὑπάρχει χρήσιμος, οὔπω τῆς ἡμέρου ὠφελούσης.

Ἰτέα.

Ἰτέας χρήσαιτο μέν τις καὶ τοῖς φύλλοις εἰς τραυμάτων ἐναίμων κόλλησιν, οὐ μὴν ἀλλὰ καὶ τῷ ἄνθει αὐτῆς, ᾧ μάλιστα ἅπαντες σχεδὸν ἰατροὶ χρῶνται πρὸς ἐμπλάστρου ξηραίνοντος σκευασίαν. ἔστι γὰρ ἡ δύναμις αὐτῶν ἄδηκτος ξηραντικὴ, ἔχει δέ τινα καὶ στύψιν. ἔνιοι δὲ καὶ χυλὸν ἐξ αὐτῶν ποιοῦντες, ἄδηκτόν τε καὶ ξηραῖνον ἴσχουσι φάρμακον, εἰς πολλὰ χρήσιμον. καὶ ὁ φλοιὸς δὲ τοῦ δένδρου παραπλήσιος ὑπάρχει τῇ τε τῶν ἀνθῶν καὶ τῶν φύλλων δυνάμει, πλὴν ὅτι ξηρότερος ἐστὶ τὴν κρᾶσιν, ὥσπερ ἀμέλει πάντες οἱ φλοιοί. ἀλλὰ διὰ τοῦτο γε καίουσιν ἔνιοι, καὶ χρῶνται τῇ τέφρᾳ πρὸς ἅπερ ἂν ἰσχυρῶς δέοιτο ξηραίνειν. τοὺς γοῦν καλουμένους ἥλους καὶ τύλους, ἔτι τε μυρμηκίας ἐξαίρουσιν αὐτὸ διαλύοντες ὄξει δριμεῖ. ἔνιοι δὲ κατὰ τὸν καιρὸν τῆς ἀνθήσεως ἐντέμνοντες τὸν φλοιὸν, ὀπόν τινα ἀθροίζουσι καὶ χρῶνται πρὸς τὰ ταῖς κόραις ἐπισκοτοῦντα, ῥυπτικωτέρῳ τε ἅμα καὶ λεπτομερεῖ φαρμάκῳ. χρήσαιτο δ' ἄν τις καὶ εἰς ἄλλα πολλὰ τοιούτῳ γε ὄντι αὐτῷ.

ΑΡΧΗ ΤΟΥ Κ'.

Καλαμίνθη.

Λεπτομερής ἐστι τῇ οὐσίᾳ, καὶ θερμὴ καὶ ξηρὰ τῇ κράσει, ἐκ τῆς τρίτης που τάξεως καθ' ἑκατέρας τὰς ποιότητας. πινομένη δὲ αὐτὴ καθ' ἑαυτὴν ξηρὰ διὰ μελικράτου θερμαίνει τε σαφῶς καὶ ἱδρῶτας κινεῖ, καὶ διαφορεῖ, καὶ ξηραίνει τὸ σύμπαν σῶμα. διὰ τοῦτο γοῦν αὐτῇ τινὲς ἐχρήσαντο, καὶ πρὸς τὰ κατὰ περίοδον ῥίγη, ἔξωθεν ἀφεψήσαντες ἐλαίῳ, καὶ συναλείφοντες ὅλον τὸ σῶμα μετὰ τρίψεως γενναίας. ἔσω δὲ λαμβάνουσιν ὡς εἴρηται, καὶ μέν γε καὶ κατὰ τὸ ἰσχίον καταπλάττουσι τινὲς αὐτὴν ἐπὶ τῶν ἰσχιαδικῶν, ὡς γενναῖον βοήθημα, καὶ γὰρ ἕλκει τὰ ἐκ βάθους εἰς τὴν ἐπιφάνειαν, καὶ θερμαίνει σύμπαν τὸ ἄρθρον, ἐπικαίει τε σαφῶς τὸ δέρμα, καὶ τὰ καταμήνια πινομένη τε καὶ προστιθεμένη προσκαλεῖται δραστηρίως. ἀγαθὸν δὲ καὶ ἐπὶ τῶν ἐλεφαντιώντων τὸ φάρμακον, οὐ μόνον τῷ γενναίως διαφορεῖν τοὺς λεπτοὺς χυμοὺς, ἀλλὰ καὶ τῷ λεπτύνειν καὶ τέμνειν ἰσχυρῶς τοὺς παχεῖς χυμοὺς, οἷοί περ εἰσὶν οἱ καὶ διὰ τοῦτο τὸ νόσημα γεννῶντες. οὕτω δὲ καὶ οὐλὰς μελαίνας λαμπρύνει, καὶ ὑπώπια διαφορεῖ. κάλλιον δὲ ἐπὶ τῶν τοιούτων ἑψοῦντας ἐν οἴνῳ καταπλάττειν αὐτὴν, καὶ χλωρὰν μᾶλλον ἢ ξηρὰν, ἰσχυροτέρα γὰρ ξηρανθεῖσα γίνεται, καὶ καίειν ἑτοιμοτέρα. καταπλάσσεται δὲ καὶ κατὰ τῶν δηγμάτων τῶν ἰοβόλων. διὰ δὲ τὴν συνοῦσαν πικρότητά τε καὶ ἀσκαρίδας καὶ ἕλμινθας ἐνιεμένης τε καὶ πινομένης ὁ χυλὸς αὐτῆς ἀναιρεῖν πέφυκε. καὶ τοὺς ἐν ὠσὶ δὲ καὶ ἕλκεσι σκώληκας.

ὀνίνησι δὲ καὶ τοὺς ἀσθματικοὺς καὶ τοὺς ἰκτερικοὺς τῷ ῥύπτειν τε καὶ διακαθαίρειν τὰς καθ' ἧπαρ ἐμφράξεις, ἔστι δὲ εἰς ἅπαντα τὰ εἰρημένα πρακτικωτέρα ἡ ὄρειος. Ὀρφεὺς δέ φησιν ὅτι ὁ χυλὸς αὐτῆς σὺν ἴσῳ ῥοδίνῳ μετὰ ψιμμυθίου λειωθεὶς, ὡς γλυκοῦ ἔχειν πάχος, καὶ ἐπιχριόμενος, τὰ περίκαυστα θεραπεύει· τὸ δὲ παράδοξον, ὅτι οὐδὲ οὐλὴ φαίνεται, καὶ τεχροφυεῖ ὁ τόπος. σὺν κιμωλίᾳ δὲ καὶ ἀλόῃ ἴσοις λειώσας τὸν χυλὸν, καὶ ἐπιχρίσας μέτωπον καὶ κροτάφους, παύσεις παραχρῆμα κεφαλῆς ὀδύνας.

Κάλαμος ἀρωματικός.

Στύψεως βραχείας καὶ δριμύτητος ἐλαχίστης μετέχει, τὸ δὲ πλεῖστον αὐτοῦ, γεώδους οὐσίας ἐστὶ καὶ ἀερώδους· εὔκρατον κατὰ θερμότητα καὶ ψυχρότητα, ὅθεν οὐρητικός τε μετρίως ἐστὶ, καὶ ταῖς πρὸς ἧπαρ καὶ στόμαχον ἐπιτιθεμέναις μίγνυται δυνάμεσιν, εἴς τε τὰ τῆς ὑστέρας πυρίας χρήσιμος μίγνυται, ὅσαι φλεγμοναῖς προσφέρονται, ἐρεθισμοῦ ἕνεκα τῶν καταμηνίων παραλαμβάνεται, κείσθω τοίνυν τῆς δευτέρας τάξεως τῶν θερμαινόντων, ξηραινόντων δὲ μᾶλλον, ἢ θερμαινόντων.

Κάλαμος φραγμίτης.

Καλάμου φραγμίτου ἡ ῥίζα, ῥυπτικῆς μετέχει δυνάμεως οὐκ ὀλίγης, ἥκιστα δὲ δριμείας, τὰ μέν τοι χλωρὰ φύλλα, μετρίως ἐμψύχει, μετέχοντα καὶ ταῦτα τῆς ῥυπτικῆς δυνάμεως οὐκ ὀλίγης. ὁ δὲ φλοιὸς αὐτοῦ καυθεὶς, λεπτομεροῦς ἱκανῶς καὶ διαφορητικῆς γίνεται δυνάμεως, ἔχων τι καὶ ῥυπτικὸν, ὡς καὶ θερμαίνειν καὶ ξηραίνειν κατὰ τὴν τρίτην που τάξιν, καὶ πλέον γε ξηραίνειν, ἢ θερμαίνειν.

Καννάβεως καρπός.

Δύσπεπτός τέ ἐστι καὶ κεφαλαλγὴς καὶ κακόχυμος. εἰ δὲ φρυχθείη, καὶ οὕτως ἅπτεται τῆς κεφαλῆς τῷ θερμαίνειν ἱκανῶς, καὶ ἀτμὸν ἀναπέμπειν ἐπ' αὐτὴν, θερμόν τε ἅμα καὶ φαρμακώδη. τῷ δὲ ξηρὰν ἔχειν τὴν κρᾶσιν, καὶ ἄφυσον εἶναι, ξηραίνει τὴν γονήν.

Κάπνιον, ἢ καπνός.

Δριμείας ἅμα καὶ πικρᾶς μετέχει ποιότητος, οὐκ ἀπήλλακται δὲ παντάπασιν, οὐδὲ τῆς στρυφνῆς, ὅθεν οὖρά τε χολώδη προτρέπει πολλὰ, καὶ τὰς καθ' ἧπαρ ἐμφράξεις τε καὶ ἀτονίας ἰᾶται. καὶ χυλὸς δὲ αὐτῆς ὀξυδερκής ἐστι, ἐπισπώμενος δάκρυον· ξηρὰ δὲ λεῖα ἐπιπαττομένη μελικράτῳ καὶ πινομένη μαλάττει γαστέρα. οἴνῳ δὲ ὁμοίως ἐπιπαττομένη κεκραμμένῳ, ῥωννύει στόμαχον, δίδου δὲ θαῤῥῶν, καὶ τὸ ἀφέψημα αὐτῆς, τοῖς ὁπωσοῦν πυρέττουσι.

Κάππαρις.

Καππάρεως ὁ μὲν φλοιὸς τῆς ῥίζης, ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν ποιότητα, δευτέραν δὲ τὴν δριμεῖαν, ἐφεξῆς δὲ αὐτῇ τὴν στρυφνὴν, ᾧ δῆλον, ὡς ἐκ διαφερόντων καὶ μαχομένων σύγκειται δυνάμεων, ῥύπτειν μὲν γὰρ δύναται καὶ διακαθαίρειν καὶ τέμνειν τῇ πικρότητι, θερμαίνειν δὲ καὶ διαφορεῖν καὶ λεπτύνειν τῇ δριμύτητι, συνάγειν δὲ καὶ πιλεῖν καὶ σφίγγειν τῇ στρυφνότητι, καὶ διὰ τοῦτο σπλῆνας σκιῤῥώδεις εἴπερ τι καὶ ἄλλο τοῦτο τὸ φάρμακον ὀνίνησιν, ἔξωθέν τε τοῖς ἐπιτηδείοις καταπλάσμασι μιγνύμενον, εἴσω τε τοῦ σώματος λαμβανόμενον, ἤτοι γε ἀφεψόμενον ἐν ὄξει τε καὶ ὀξυμέλιτι, καὶ τοῖς τοιούτοις ξηρὸν λεῖον ἀναμιγνύμενον αὐτοῖς. κενοῖ γὰρ φανερῶς τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς οὕτω ληφθὲν, οὐ δι' οὔρων μόνον, ἀλλὰ καὶ διὰ γαστρός. πολλάκις δὲ καὶ αἱματώδη διαχωροῦσιν, ἐφ' οἷς οἵ τε σπλῆνες ὀνίνανται, καὶ αἱ κατ' ἰσχίον ὀδύναι. καὶ μὴν δὴ καὶ τὰ καταμήνια κινεῖ καὶ ἀποφλεγματίζει. καὶ καταπλαττόμενος δὲ τοῖς κακοήθεσιν ἕλκεσιν ὁ τῆς ῥίζης φλοιὸς λεῖος, ἀγαθὸν φάρμακον, ὡς ἀποῤῥύπτειν τε δυνάμενος αὐτὰ καὶ ξηραίνειν ἰσχυρῶς καὶ τοὺς ὀδόντων δὲ πόνους ὠφελεῖ σὺν οἴνῳ ἑψόμενος ἢ ὄξει. καὶ χοιράδας δὲ καὶ ὄγκους σκληροὺς διαφορεῖ, τοῖς ἐπιτηδείοις πρὸς ταῦτα φαρμάκοις μιγνύμενος. καὶ μὴν δὴ καὶ τὰ φύλλα, καὶ ὁ καυλὸς παραπλησίας ἐστὶ μετὰ τοῦ καρποῦ, τῷ φλοιῷ δυνάμεως, πλὴν ὅσον ἀσθενέστερα. καὶ ἔγωγέ ποτε τοῖς φύλλοις μόνοις οἶδα διαφοροῦσαν ἐν ὀλίγαις ἡμέραις χοιράδων σκληρότητα. μίγνυται δὲ αὐτοῖς δηλονότι τῶν ἀμβλυνόντων τι τὸ σφοδρὸν τῆς δυνάμεως. οὐδὲν δὲ θαυμαστὸν εἰ καὶ τοὺς ἐν ὠσὶ σκώληκας ὁ χυλὸς ἀναιρεῖ διὰ τὴν πικρότητα, ὁ δὲ ἐν τῇ ἅλμῃ τιθέμενος καρπὸς, ἀποπλυθεὶς, καὶ διαβραχεὶς, ἄχρι τοῦ τέλεος ἀποτίθεσθαι τὴν ἐκ τῶν ἁλῶν δύναμιν, φάρμακον ἐπιτήδειον γίνεται. ἐπεγείρει τε πεπτωκυῖαν ὄρεξιν, ἀποῤῥύψαι τε καὶ ὑπαγαγεῖν τὸ κατὰ τὴν γαστέρα φλέγμα, καὶ τὰς κατὰ σπλῆνά τε καὶ ἧπαρ ἐμφράξεις ἐκκαθαίρειν. χρῆσθαι γὰρ αὐτοῖς δεῖ σὺν τοῖς πρὸς αὐτὰς ἐπιτηδείοις. ἢ μέλιτι, ἢ ὀξελαίῳ, πρὸ τῶν ἄλλων ἁπάντων σιτίων.

Κάρδαμον.

Καρδάμου τὸ σπέρμα μετέχει καυστικῆς δυνάμεως, ὥσπερ τὸ νᾶπυ, καὶ διὰ τοῦτο ἰσχιάδας, καὶ κεφαλαλγίας, καὶ ὁτιοῦν τῶν ἄλλων δεομένων φοινίξεως ἐκθερμαίνει αὐτὸ, καθάπερ τὸ νᾶπυ. μίγνυται δὲ ὠφελίμως καὶ τοῖς ἀσθματικοῖς βοηθήμασιν, ὡς ἂν δηλονότι τέμνειν τοὺς παχεῖς χυμοὺς δυνάμενον. καὶ ἡ πόα δὲ, παραπλησίας ἐστὶ δυνάμεως τῷ σπέρματι, ἀσθενεστέρα δὲ, ὅθεν ἐσθιομένη, θερμαίνει σφοδρῶς. ἔστι δὲ καὶ κεφαλαλγής.

Καρδάμωμον.

Ἔστι μὲν καὶ τοῦτο θερμῆς ἱκανῶς δυνάμεως, ὡς ἑλκοῦν καταπλαττόμενον, ἧττον μέν τοι τοῦ καρδάμου, ἔχει δέ τι καὶ πικρότητος ἐν ἑαυτῷ, δι' ἣν καὶ τὰς ἕλμινθας ἀναιρεῖ, καὶ ψώρας ἰσχυρῶς ἀποῤῥύπτει σὺν ὄξει.

Κάρδαμον.

Καρδάμου τὸ σπέρμα, ξηραίνει καὶ θερμαίνει κατὰ τὴν τρίτην που τάξιν. δριμεῖαν δὲ μετρίως ἔχει τὴν ποιότητα. τοῦτο τοι καὶ ἄφυσον ἐστὶ, καὶ οὐρητικὸν, οὐ τὸ σπέρμα μόνον, ἀλλὰ καὶ τὸ φυτὸν ὅλον.

Κασία.

Κασία θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔστι δὲ λεπτομερὴς ἱκανῶς. ἐν δὲ τῇ γεύσει, πλεῖστον μὲν τὸ δριμὺ ἔχει. βραχὺ δέ τι τὸ στῦφον. ὥστε διὰ ταῦτα πάντα τέμνει τε ἅμα καὶ διαφορεῖ τὰ κατὰ τὸ σῶμα περιττά. καὶ πρὸς τούτοις ἔτι ῥώμην ἐντίθησι τοῖς ὀργάνοις. ἐπιτήδειος δὲ καὶ πρὸς τὰς τῶν καταμηνίων ἐπισχέσεις ἐστὶν, ὅταν ὑπὸ πλήθους τε ἅμα καὶ πάχους τῶν περιττωμάτων, αὐτάρκως κενοῦσθαι κωλύεται.

Καρύα τὸ δένδρον.

Καρύα τὸ δένδρον, ἔχει μέν τι κἀν τοῖς βλαστοῖς καὶ τοῖς φύλλοις στυπτικὸν, ἐναργὲς δὲ καὶ πλεῖστον ἐν τῷ τοῦ καρύου λέμματι προσφάτῳ τε καὶ ξηρῷ. χρῶνται γοῦν αὐτῷ διὰ τοῦτο καὶ οἱ βαφεῖς. ἡμεῖς δὲ ἐκθλίβοντες αὐτὰ, καὶ τὸν χυλὸν ὁμοίως τῷ τῶν μόρων καὶ τῶν βάτων ἕψοντες σὺν μέλιτι, στοματικῷ τε χρώμεθα φαρμάκῳ καὶ πρὸς τὰ ἄλλα πάντα, πρὸς ὅσα περ ἁρμόζουσιν οἱ προειρημένοι χυλοί. τοῦ καρύου δὲ αὐτοῦ τὸ μὲν ἐδώδιμον, ἐλαιῶδές τε ἐστὶ καὶ λεπτομερὲς, μετέχει δὲ καὶ τῆς στυφούσης ποιότητος ἐπ' ὀλίγον, ἥτις ἐν τῷ χρόνῳ προϊόντι μαραίνεται, μεταπιπτούσης ὅλης αὐτοῦ τῆς οὐσίας εἰς τὸν λιπαρὸν χυμὸν, ὡς παραπλήσιον φαίνεσθαι ἐλαίῳ παλαιῷ, καὶ διὰ τοῦτο τελέως γίνεται ἄβρωτον. τὸ δὲ χλωρὸν ἔτι καὶ ὑγρὸν, οὔτε τῆς στυφούσης σαφῶς μετέχει ποιότητος, οὔτε τῆς ἐλαιώδους, ὅθεν πρὸς διαχώρησιν μὲν ἐπιτηδειότερόν ἐστι τοῦ ξηροῦ, καὶ μάλιστα εἰ ὥσπερ τινὲς ποιοῦσι, μετὰ γάρου προσφέρεται. ἀλλὰ καὶ τῶν ξηρῶν προβρεχομένων ἐν ὕδατι, καθάπερ ἔνιοι ποιοῦσιν, ἡ δύναμις παραπλησία γίνεται τοῖς χλωροῖς. πέττεταί γε μὴν μᾶλλον τὸ κάρυον, καὶ εὐστομαχώτερον γίνεται, ὅταν σὺν ἰσχάσιν ἐσθίηται. φασὶ δὲ τὸν ἐσθίοντα ἰσχάδας μετὰ καρύων καὶ πηγάνου πρὸ τῶν σιτίων, μηδὲν ὑπὸ τῶν θανασίμων φαρμάκων μέγα βλάπτεσθαι. παλαιουμένου δὲ αὐτοῦ, ἔλαιον ἐκθλίψαι ἐξ αὐτοῦ, δυνατόν ἐστι, καὶ διαφορητικὸν ἱκανῶς τηνικαῦτα γίγνεται, ὥς τινες καὶ γαγγραίνας αὐτῷ καὶ ἄνθρακας καὶ αἰγίλωπας ἰῶνται. τὸ μέντοι λέπος αὐτοῦ τὸ ξηρὸν καυθὲν, λεπτομερέστερον γίνεται καὶ ξηραντικὸν καὶ ἄδηκτον φάρμακον.

Λεπτοκάρυα.

Τὰ δὲ λεπτοκάρυα, ἃ δὴ καὶ ποντικὰ προσαγορεύεται, ψυχρότερα ἐστὶ καὶ αὐστηρότερα, ὡς γεωδέστερα. τὰ δὲ ἄλλα παραπλήσια ἐστὶ τῷ βασιλικῷ καρύῳ. ἔστι δὲ κεφαλαλγῆ ἐσθιόμενα.

Κασταvία.

Ἐν τῷ περὶ δρυὸς λόγῳ, γέγραπται περὶ καστανίας.

Κέγχρος.

Ψύχει μὲν κατὰ τὴν πρώτην τάξιν. ξηραίνει δὲ ἤτοι κατὰ τὴν τρίτην ἐκλελυμένην, ἢ τὴν δευτέραν ἐπιτεταμένην. ἔστι δέ πως λεπτομερὴς ἐπ' ὀλίγον, ὅθεν ἐσθιομένη μὲν ὡς ἔδεσμα παντελῶς ὀλιγοτροφωτάτη τέ ἐστιν ἁπάντων σχεδόν τι τῶν σιτηρῶν ἐδεσμάτων. αὐτὰρ οὖν καὶ κοιλίαν ξηραίνει. ἔξωθεν δὲ ἐπιτιθεμένη διὰ μαρσίππων ἐπιτήδειος ἐστὶ πυρία τοῖς ἀδήκτως ξηρανθῆναι δεομένοις.

Κέδρος.

Ἔστι μὲν διττὴ καθ' εἶδος, κράσεως δέ εἰσιν ἀμφότεραι τῆς τρίτης τάξεως ἐν τῷ θερμαίνειν καὶ ξηραίνειν. ἡ μέντοι κεδρία ἡ ἐξ αὐτῶν γινομένη, καὶ τῆς τετάρτης αὖ ἤδη ἅπτεται τάξεως. ἔστι δὲ τῆς πρώτης τάξεως τῶν σηπτικῶν καλουμένων ἱκανῶς θερμὴ καὶ λεπτομερὴς ὑπάρχουσα, τὰς μέντοι ἁπαλὰς σάρκας ἑτοίμως τε ἅμα καὶ ἀνωδύνως σήπει, ἐκ τῆς ἐν τοῖς σώμασι θερμότητος αὐξανομένη ἡ ἐν αὐτῷ θερμασία. ἐπὶ δὲ τῶν σκληρῶν σωμάτων, ἐν χρόνῳ τε πλείονι καὶ μόλις ἐνεργεῖ. ὅθεν ἐπὶ τῶν τεθνεώτων, ἄσηπτα φυλάττει τὰ σώματα, τὰς μὲν ὑγρότητας αὐτῶν ἐκβοσκομένη τὰς περιττὰς, τῶν στερεῶν δὲ σωμάτων, οὐχ ἁπτομένη, διὰ τὸ μὴ τοσαύτην ἔχειν ἰσχυρὰν δύναμιν, ὥσπερ τὰ ἄλλα σηπτικὰ λεγόμενα. θαυμαστὸν δὲ οὐδὲν εἰ τοιαύτης δυνάμεως οὖσα, καὶ φθεῖρας καὶ κόνιδας καὶ τοὺς ἐν ὠσὶ σκώληκας, καὶ ἀσκαρίδας ἐν ἀπευθυσμένῳ ἀναιρεῖν δύναται. ἔμβρυα δὲ προστιθεμένη. τὰ μὲν ζῶντα κτείνει. τὰ δὲ νεκρὰ ἐκβάλλει, περιαλειφομένη τῷ αἰδοίῳ κατὰ τὰς συνουσίας. καὶ διὰ τοῦτο ἀτόκιον ἐστὶ φάρμακον οὕτω χρωμένοις οὐδενὸς δεύτερον. καὶ τοῖς τρήμασι δὲ τῶν ὀδόντων ἐνσταχθεῖσα τὰ μὲν ἀλγήματα πραΰνει. θραύει δὲ αὐτούς. λεπτύνει δὲ καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς, καὶ τὰς διὰ πάχους ὑγρῶν ἀμβλυωπίας ἰᾶται.

Κεδρέλαιον.

Τὸ δὲ λιπαρώτατον ἐξ αὐτῆς καὶ ἀκριβῶς ἐλαιῶδες, ὃ καὶ διὰ τῶν ὑπεραιωρουμένων ἐρίων ἑψομένης ἀθροίζεται, λεπτομερέστερον μὲν γίνεται τῆς ὅλης κεδρίας. ἧττον δὲ δριμὺ καὶ δηκτικὸν, καίτοι οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἐνεργεῖ τῆς κεδρίας. ὅθεν τούτῳ χρῶνται καὶ οἱ ἰδιῶται, ἐπὶ τῶν γινομένων τραυμάτων τοῖς κειρομένοις προβάτοις ὑπὸ τῶν ψαλίδων, καὶ πρὸς τὰς ψώρας καὶ πρὸς τοὺς κρότωνας.

Κεδρίδες.

Οὕτω δὲ ὀνομάζουσι τὸν καρπὸν τῆς κέδρου. μετριωτέραν δὲ ἔχουσι τὴν δύναμιν, ὥστε καὶ ἐσθίεσθαι δύνασθαι. πλείους μέντοι τούτων εἴ τις προσενέγκοιτο, τήν τε κεφαλὴν ἀλγεῖ, καὶ θερμαίνεται,

καὶ σφίγγεται τὸ στόμα τῆς γαστρός.

Κενταύρειον μέγα.

Κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα, ἐξ ἐναντίων σύγκειται δυνάμεων, κατὰ μὲν οὖν τὴν γεῦσιν, δριμεῖά τε ἅμα καὶ στύφουσα φαίνεται μετά τινος βραχείας γλυκύτητος. κατὰ δὲ τὰς ἐνεργείας, ἡ μὲν οὖν δριμύτης, τὰ τῆς θερμότητος ἔργα διαδείκνυται προφέρουσα καταμήνια, καὶ ἔμβρυα νεκρὰ καταπαύουσα, καὶ ζῶντα διαφθείρουσά τε ἅμα καὶ ἐκβάλλουσα. ἡ δὲ στύψις ἐνδείκνυται, τὰ τῆς παχυμερεστέρας καὶ γεώδους ψυχρότητος ἔργα, ἔν τε τῷ κολλᾶν τραύματα, καὶ τοὺς αἷμα πτύοντας ὠφελεῖν. διδόναι δὲ δεῖ αὐτῆς, δραχμὰς β. πυρέττουσι μὲν μεθ᾿ ὕδατος. ἀπυρέτοις δὲ μετ᾿ οἴνου. κατὰ δὲ τὴν ἐξ ἀμφοῖν τῶν ποιοτήτων ἐνέργειαν, καὶ ῥήγμασι, καὶ σπάσμασι, καὶ δυσπνοίαις, καὶ ταῖς πεπαλαιωμέναις ἁρμόζει βηξίν, οὐ γὰρ ἐκκενῶσαι χρὴ μόνον ἐπὶ τούτων τῶν παρὰ φύσιν, ἀλλὰ καὶ ῥῶσαι καὶ τονῶσαι τὰ ἐκκαθαρθέντα. τὰ δὲ αὐτὰ τῇ ῥίζῃ καὶ ὁ χυλὸς αὐτῆς ἐργάζεται. καὶ τινὲς ἀντὶ λυκίου χρῶνται αὐτῷ, ἐκείνου μὴ παρόντος.

Κενταύρειον μικρόν.

Κενταυρείου τοῦ μικροῦ ἡ μὲν ῥίζα παντάπασιν ἄπρακτος. οἱ δὲ κλῶνες, καὶ μᾶλλον γε τὰ φύλλα, καὶ τὰ ἐπ᾿ αὐτοῖς ἄνθη χρησιμώτατα. ἐπικρατεῖ δὲ ἐν αὐτοῖς ἡ πικρὰ ποιότης, ὀλίγον τι καὶ στύψεως μετέχουσα, καὶ διὰ τοῦτο ἰσχυρῶς ξηραντικόν ἐστι τὸ φάρμακον ἄνευ δήξεως. τά τε οὖν μεγάλα καὶ πρόσφατα τραύματα κολλᾷ ἡ πόα χλωρὰ καταπλαττομένη, καὶ τὰ παλαιὰ δὲ καὶ δυσκατούλωτα τῶν ἑλκῶν κατουλοῖ ὁμοίως προσαγομένη. καὶ ξηρανθεῖσα δὲ ταῖς κολλητικαῖς καὶ ξηραντικαῖς μίγνυται δυνάμεσιν, ὅσαι κόλπους καὶ σύριγγας ἰᾶσθαι πεφύκασι. καὶ τὰς παλαιὰς σκληρότητας μαλάττειν πεπίστευται, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶσθαι, μίγνυται δὲ τὰς καὶ τοῖς ῥευματικαῖς διαθέσεσι ἰωμένοις, τὸ δὲ ἀφέψημα τῆς πόας ἐνιᾶσι τινὲς ἰσχιαδικοῖς, ὡς ἄγειν τὸν ξυσματώδη καὶ παχὺν χυμόν, καὶ γὰρ καὶ καθαίρει, καὶ μὲν δὴ καὶ ὅταν ἐνεργήσῃ σφοδρῶς, αἱματώδη κενοῖ, καὶ μᾶλλον ὠφελεῖ. ὁ δὲ χυλὸς αὐτῆς, παραπλησίας ὑπάρχει δυνάμεως, τουτέστι τῆς ξηραντικῆς καὶ ῥυπτικῆς, τά τε ἄλλα τὰ προειρημένα καλῶς ἐργάζεσθαι πέφυκε, καὶ μετὰ μέλιτος ὑπαλείφεται τοῖς ὀφθαλμοῖς. ἔμμηνα δὲ προστιθέμενος ἄγει καὶ ἔμβρυα. διδόασι δὲ αὐτὸ πίνειν ἔνιοι, καὶ ταῖς τὰ νεῦρα πεπονθόσιν, ὡς ἐκκενοῦντα καὶ ξηραίνοντα ἀλύπως τὰ ἐμπεπλασμένα. καὶ γὰρ οὖν καὶ τῶν καθ᾿ ἧπαρ ἐμφράξεων, ἄριστον φάρμακον. ἀγαθὸν δὲ καὶ σπληνὶ ἐσκιρρωμένῳ, ἔξωθεν μὲν ἐπιτιθέμενος, οὐδὲν δὲ ἧττον, εἰ καὶ πίνειν τις ἐθέλοι. δεῖ δὲ τὴν πόαν ἐκχυλίζειν, ὅταν ἀκμαιοτάτη ἐστί, καὶ ἐγκύμων τοῦ ἄνθους. δίδοται δὲ τοῦ χυλοῦ σὺν κοχλιαρίῳ α ὕδατος θερμοῦ, καὶ ἁλῶν ὀλίγον, καὶ βραχέος ὄξους, καὶ καθαίρει γενναίως τὸν μελαγχολικὸν χυμόν. τῆς δὲ κόμης κοπτομένης, καὶ σὺν ἑφθῷ μέλιτι ἢ καὶ ἑψήματι εἰς κολλύρια ἀναπλαττομένης, καὶ καθιεμένων αὐτῶν, σύριγγάς τε ἀποχαράσσει, καὶ τύλους ἐξαίρει. ἐπὶ δὲ ἰσχιαδικῶν τοὺς κορύμβους κόψας σήσας, δίδου νήστει κοχλιάριον α σὺν ὕδατι θερμῷ, ἐπὶ ἡμέρας γ ἢ καὶ πλείους. ἐθαυμάσθη δὲ ὡς πάνυ ἐνεργές, καὶ πρὸς πολύποδας δὲ ἐν μυκτῆρσι, ξηρὸν ἐπιπασσόμενον.

Κέρασος τὸ δένδρον.

Καρπὸν φέρει μετρίως στύφοντα μετὰ γλυκύτητος. ὁ μὲν οὖν πέπειρος καρπὸς καὶ γλυκύς, μᾶλλον ὑποχωρεῖται κατ᾿ ἔντερον, ἧττον δέ τι εὐστόμαχον. ὁ δὲ καὶ ἄωρος αὐστηρότερος, τὸ ἔμπαλιν. ἡ δὲ κόμη τοῦ δένδρου, γράφουσι τινές, ὡς μετ᾿ οἴνου πινομένη ὀνίνησι λιθιῶντας.

Κερατωνία.

Ξηραντικῆς ἐστὶ καὶ στυπτικῆς δυνάμεως, ὥσπερ καὶ ὁ καρπὸς αὐτῆς, τὰ καλούμενα κεράτια. μετέχει δηλονότι καὶ γλυκύτητος τινός. πέπονθε δέ τι καὶ ταῦτα, τοῖς κερασίοις παραπλήσιον, ὑγρὰ μὲν ὄντα τὰ κεράτια ὑπάγει μᾶλλον τὴν γαστέρα, ξηρὰ δὲ ἵστησι μᾶλλον.

Κέστρον ἢ βετονική.

Κέστρον τὸ ψυχότροφον γεγόμενον, ῥωμαῖστὶ δὲ βετονίκη καλεῖται, δύναμιν ἔχει τμητικήν, ὡς ἡ γεῦσις δηλοῖ, πικρὰ καὶ δριμεῖα ὑπάρχουσα ἡ πόα. καὶ ἡ κατὰ μέρος ἐνέργεια. καὶ γὰρ τοὺς ἐν νεφροῖς λίθους διαιρεῖ, καὶ πνεύμονα, καὶ θώρακα, καὶ ἧπαρ καθαίρει τε καὶ ῥύπτει, καὶ καταμήνια κινεῖ, καὶ ἐπιληπτικοὺς ὠφελεῖ, καὶ ῥήγματα καὶ σπάσματα θεραπεύει, καὶ ὀξυρεγμιῶντας δὲ καὶ ἰσχιαδικοὺς ὀνίνησι πινομένη.

Κικίς.

Ἡ μὲν ὀμφακῖτις, στρυφνὸν ἱκανῶς ἐστὶ φάρμακον, οὐσίας γεώδους ψυχρᾶς τὸ πλεῖστον μετέχουσα, διὸ καὶ ξηραίνει, καὶ ἀποκρούεται ῥεύματα, καὶ συνάγει, καὶ σφίγγει τὰ χαλαρὰ καὶ ἄρρωστα μόρια, καὶ πᾶσι τοῖς ῥοώδεσι πάθεσι γενναίως ἀνθίσταται, καὶ κείσθω τῆς τρίτης μὲν ἐν τῷ ξηραίνειν, τῆς δευτέρας δὲ ἐν τῷ ψύχειν τάξεως. ἡ δὲ ἑτέρα κικὶς ἡ ξανθὴ καὶ χαύνη καὶ μεγάλη, ξηραίνειν μὲν καὶ αὐτή, ἀλλ᾿ εἰς τοσοῦτον ἧττον, εἰς ὅσον αὖ τῆς στρυφνῆς ποιότητος ἧττον μετείληφεν ἐψομένη. τοιγαροῦν αὐτὴ καθ᾿ ἑαυτὴν καὶ λειουμένη, καὶ καταπλαττομένη τῶν ἐν ἕδρᾳ φλεγμονῶν ἐστί, καὶ προπτώσεως οὐκ ἀγεννὲς βοήθημα. ἕψειν δὲ χρὴ μετρίας μὲν τῆς στύψεως δεομένων ἐν ὕδατι, σφοδρᾶς δὲ ἐν οἴνῳ καὶ μάλιστα αὐστηρῷ. καυθεῖσαι δὲ κικίδες, ἰσχαίμου δυνάμεως γίγνονται, καὶ δῆλον ὅτι θερμότητος καὶ δριμύτητος ἐκ τῆς καύσεως μεταλαμβάνουσι καὶ λεπτομερέστεραι τῶν ἀκαύστων γίγνονται, καὶ ξηραντικώτεραι. χρὴ δὲ διαπύρους ἐπ᾿ ἀνθράκων ἐργασαμένους ὄξει ἢ οἴνῳ σβεννύναι.

Κηρός.

Κηρὸς ἐν τῷ μέσῳ πως ἐστὶ τῶν θερμαινόντων καὶ ψυχόντων, ὑγραινόντων δὲ καὶ ξηραινόντων. ἔχει

δέ τι καὶ παχυμερὲς καὶ ἐμπλαστικόν, διὸ οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ κατὰ συμβεβηκὸς ὑγραίνειν δόξειε, κωλύων τὰς διαπνοάς, ὅθεν καὶ ὕλη τῶν ἄλλων ἐστὶ φαρμάκων. αὐτὸς δὲ καθ' ἑαυτὸν ἐκ τῶν πεπτικῶν ἂν εἴη τῶν ἀσθενῶν τῶν ἔξωθεν ἐπιτιθεμένων, ἔχει γὰρ βραχὺ διαφορητικῆς δυνάμεως, ἧς πλείστης τὸ μέλι μετείληφε.

Κιβώριον.

Τὸν χλωρὸν καρπὸν τῶν αἰγυπτίων κυάμων, καλοῦσι κιβώριον. ὅθεν ἐκ τοῦ περὶ κυάμων λόγου, καὶ περὶ τούτου δεῖ σκοπεῖσθαι.

Κινάρα.

Κακόχυμόν ἐστιν ἔδεσμα, καὶ μάλιστα ὅταν σκληροτέρα ἑαυτῆς γίνηται. καὶ γὰρ καὶ τὸν χολώδη χυμὸν ἐν ἑαυτῇ τηνικαῦτα πλείονα ἐπικτᾶται, καὶ τὴν ὅλην οὐσίαν ξυλωδεστέραν. ὥς τε ἐκ μὲν ταύτης μελαγχολικὸν γεννᾶσθαι χυμόν, ἐκ δὲ τοῦ κατ' αὐτῆς χυλοῦ, λεπτὸν καὶ πικρόχολον. ἄμεινον οὖν προαφεψήσαντας αὐτὴν ἐσθίειν.

Καρπὸς κίκεως.

Κίκεως ὁ καρπός, ὃν τινὲς κρότωνα καλοῦσιν, ὅσπερ καὶ καθαίρει, ῥυπτικήν τε καὶ διαφορητικὴν ἔχει δύναμιν. τὰ δὲ φύλλα ἀσθενέστερα. τὸ δὲ ἐκ τοῦ καρποῦ ἔλαιον, θερμότερον καὶ λεπτομερέστερον ἐστὶ τοῦ κοινοῦ, καὶ διὰ τοῦτο διαφορητικόν.

Κίσθος ἢ κίσθαρος.

Στυπτικὸς ὁ θάμνος ἐστὶν εἰς τοσοῦτον, ὡς τὰ φύλλα αὐτοῦ καταπλασσόμενα κολλᾶν τραύματα. τὰ δὲ ἄνθη δραστικώτερα, ὡς μετ' οἴνου πινόμενα, δυσεντερίας καὶ γαστρὸς ἀτονίας καὶ ῥεύματα, καὶ ὑγρότητας ἰᾶσθαι. καταπλασσόμενα δὲ τὰ σηπεδονώδη τῶν ἑλκῶν ὀνίνησι τῷ ξηραίνειν οὐκ ἀγεννῶς σχεδόν που κατὰ τὴν δευτέραν ἀπόστασιν. μετέχει δὲ ἡ τοῦ θάμνου ψύξις, καὶ χλιαρᾶς ποιότητος.

Ὑποκυστίς.

Ἡ δὲ ὑποκυστὶς ὀνομαζομένη, πολὺ τῶν φύλλων ἑαυτῆς ἐστὶ στυπτικωτέρα, καὶ δραστικὸν ἱκανῶς φάρμακον εἰς πάντα τὰ ῥοώδη πάθη. οἷον αἵματος ἀναγωγαῖς, καὶ ῥῷ γυναικείῳ, κοιλιακαῖς καὶ δυσεντερικαῖς διαθέσεσιν, ἀλλὰ καὶ ῥώννυταί τι μᾶλλον, καὶ τοῖς ἐκλύτοις ὑγρότητι πλείονι γεγενημένοις, ἐντίθησι τόνον. οὕτω τοι καὶ στομαχικοῖς καὶ ἡπατικοῖς, ῥώννυσι γὰρ καὶ τονοῖ οὐκ ἀγεννῶς μιγνυμένη τοῖς ἐπιτηδείοις ἐπιθέμασιν, ἢ ἀντιδότοις.

Κισθὸς ἢ λάδανος.

Ἐν τοῖς θερμοτέροις χωρίοις οὗτος ὁ κισθὸς γινόμενος οὐχ ἕτερος ὢν τῷ γένει τῶν ἐν ἑτέραις χώραις, ἐξαίρετον ἐκτήσατο διὰ τὸ χωρίον, ἰδίαν τινὰ καὶ διαφορητικὴν θερμότητα, ἀποθέμενος ψύξιν. τὰ μὲν οὖν ἄλλα, καὶ τούτου τοῦ κισθοῦ παραπλήσια τοῖς ἤδη τούτων προειρημένοις. τὸ δὲ καλούμενον λάδανον ἐξ αὐτοῦ γίνεται, φάρμακον θερμὸν μὲν κατὰ τὴν πρώτην ἀπόστασιν, ἤδη που συμπληρουμένην, ὡς καὶ τῆς δευτέρας ἐφάπτεσθαι, μετέχει δὲ καὶ στύψεως τινὸς βραχείας, ἔστι δὲ καὶ λεπτομερὲς τὴν οὐσίαν, καὶ διὰ ταῦτα μαλακτικόν τι ἐστὶ μετρίως καὶ διαφορητικὸν ὡσαύτως, καὶ δηλονότι συμπεπτικόν, οὐδὲν οὖν θαυμαστὸν τοῖς κατὰ μήτραν ἐξαιρέτως ἁρμόττειν αὐτό, διότι ἔχει τι καὶ στύφον, διὸ καὶ τὰς ῥεούσας τρίχας κρατύνει, ὅσα μὲν γὰρ μοχθηρὰ τῶν ὑγρῶν τὰ κατὰ τὰς ῥίζας τῶν τριχῶν λεπτύνει καὶ δαπανᾷ, συνάγει δὲ καὶ σφίγγει τῇ στύψει τοὺς πόρους, οἷς ἐμπεπήγασι.

Κισσός.

Ἐξ ἐναντίων σύγκειται δυνάμεων, ἔχει μὲν γάρ τι στυπτικῆς οὐσίας, ἣν ψυχρὰν καὶ γεώδη λέγομεν, ἔχει δέ τι καὶ δριμείας, ἣν θερμὴν εἶναι καὶ ἡ γεῦσις μαρτυρεῖ, καὶ ὑδατώδους οὐσίας μετέχει, χλιαρᾶς ὅτε χλωρός. τὰ οὖν χλωρὰ φύλλα ἑψηθέντα σὺν οἴνῳ, καὶ τῶν μεγάλων τραυμάτων εἰσὶ κολλητικά, καὶ τῶν κακοηθευομένων ἑλκῶν ἰατικά. ἐπουλοῖ δὲ καὶ τὰς ἐκ πυρὸς ἑλκώσεις. σὺν ὄξει δὲ ἑψηθέντα τὰ φύλλα, σπληνικοὺς ὠφελεῖ. τὰ δὲ ἄνθη αὐτοῦ ἰσχυρά πως ἐστί, ὡς μετὰ κηρωτῆς λειούμενα τοῖς πυρικαύστοις ἁρμόττειν. ὁ δὲ χυλός, ἔστι μὲν καὶ ἔρρινον, καὶ τὰ χρόνια τῶν ὤτων ἰᾶται ῥεύματα, καὶ τῶν ἑλκῶν τὰ παλαιὰ κατά τε ὦτα καὶ τὰς ῥῖνας, ἐὰν δὲ δριμύτερος φαίνοιτο, μίγνυται ῥοδίνῳ, ἢ ἐλαίῳ γλυκεῖ. τὸ δὲ δάκρυον αὐτοῦ φθεῖρας κτείνει, καὶ τρίχας ψιλοῖ, εἰς τοσοῦτον ὑπάρχον θερμῆς δυνάμεως, ὡς καὶ καίειν ἀμυδρῶς. ὠφελεῖ δὲ τὸ δάκρυον αὐτοῦ καὶ λιθιῶντας πινόμενον.

Κνῖκος.

Κνίκου τῷ σπέρματι πρὸς τὰς καθάρσεις μόνον χρώμεθα, τῆς τρίτης δὲ ἐστὶ τάξεως τῶν θερμαινόντων, εἴ τις ἔξωθεν αὐτῷ χρῆσθαι βούλοιτο.

Κόκκος κνίδιος.

Καθαίρει μὲν καὶ αὐτός, δριμείας δὲ ἐστὶ καὶ καυστικῆς δυνάμεως.

Κόκκος βαφική.

Στυπτικὴν μὲν ἔχει καὶ πικρὰν ἅμα τὴν ποιότητα, ξηραίνει δὲ ἀμφότερα ἀδήκτως, καὶ διὰ τοῦτο πρός τε τὰ μεγάλα τῶν τραυμάτων ἁρμόττει, καὶ πρὸς τὰς τῶν νεύρων τρώσεις, σὺν ὄξει, ἢ ὀξυμέλιτι λειουμένη.

Κοκκυμηλέας ὁ καρπός.

Ὑπάγει τὴν γαστέρα μᾶλλον πρόσφατος ὑπάρχων, ξηρανθεὶς δὲ ἧττον. ἔστι δὲ τὰ μὲν δαμασκηνὰ κοκκύμηλα, στυπτικώτερα. τὰ δὲ ἐκ τῆς ἰβηρίας γλυκύτερα, καὶ διὰ τοῦτο ὑπακτικώτερα. ἐν δὲ τοῖς φύλλοις, ἐμφαίνεταί τις στύψις σαφής, ὅθεν ἑψόμενα διάκλυσμα γίνεται τῶν περὶ γαργαρεῶνα καὶ παρίσθμια φλεγμονῶν. ὁ δὲ τῶν ἀγρίων κοκκυμήλων καρπὸς στυπτικός ἐστι καὶ σταλτικὸς γαστρός. ὀνομάζεται δὲ κατὰ τὴν ἀσίαν τὸ φυτὸν τοῦτο προῦμνον. ἡ δὲ κόμη πάσης κοκκυμηλέας

ὥς φασι, πινομένη λίθους θρύπτει, σὺν ὄξει δὲ λειχῆνας αἴρει παιδίων.

Κολοκάσιον, ἢ μαντζιζαίιον.

Γ αραπλησία ταύτης τῆς ῥίζης ἐστὶν ἡ δύναμις τῇ τῶν γογγυλίδων καὶ βρομμύων, γλίσχρον δὲ αὐ-
τῆς τὸ σῶμα ἐστὶ, ὅθεν καὶ ῥυπτικῆς μετέχει δυνάμεως, ἐστὶ δὲ καὶ εὐκοίλιον. Κολοκύνθη.

Υ γρᾶς καὶ ψυχρᾶς ἐστι κράσεως κατὰ τὴν δευτέραν κατ' ἄμφω τάξιν, ὅθεν καὶ τῶν ξυσμάτων αὐ-
τῆς ὁ χυλὸς πρὸς ὦτα φλεγμαίνοντα καὶ ὀδυνώμενα ἁρμόττει σὺν ῥοδίνῳ. οὕτω δὲ καὶ ὅλη κα-
ταπλαττομένη, τὰς θερμὰς φλεγμονὰς ἐμψύχει μετρίως. ἔστι δὲ καὶ ἐσθιομένη, πλαδώδης καὶ ἄψυ-
χος, καὶ τροφὴν τῷ σώματι δίδωσιν ὑγρὰν καὶ ψυχρὰν, καὶ διὰ τοῦτο βραχεῖαν. πέττεται δὲ οὐ κακῶς,
ὅταν γε μὴ φθάσῃ διαφθαρῆναι, τάχει δὲ τοῦτο, διά τε μοχθηρὰν σκευασίαν, καὶ ἐπειδὰν ἐν τῇ γαστρὶ
10 πονηρός τις ἠθροισμένος εἴη χυμὸς, ἀλλὰ καὶ διὰ τὸ βραδύνειν κατὰ τὴν γαστέρα, ὥσπερ καὶ τὰ λοιπὰ ὑ-
γρὰ ἐδέσματα. χαίρει δὲ εἰκότως ὀριγάνῳ ἀρτυμένη διὰ τὴν ἐν αὐτῇ ὑδατώδη ποιότητα. πάντα
γὰρ ὅσα τοιαῦτα δριμέσιν, ἢ ὀξέσιν, ἢ αὐστηροῖς, ἢ ἁλυκοῖς ἀναμίγνυσθαι δεῖται χυμοῖς, εἰ μέλλοι,
μήτ' ἀηδῶς λυφθήσεσθαι, μήτε ναυτιώδεις ἐργάσασθαι τοὺς λαβόντας. Κόμαρος.

Τ ούτου ὁ καρπὸς μεμαίκυλον καλεῖται, καὶ ἔστι κακοστόμαχος οὗτος, καὶ κεφαλαλγὴς, στρυφνὸν δὲ τῇ
ποιότητι τὸ δένδρον ἅμα τῷ καρπῷ. Κόμι.

Ξ ηραντικῆς ἐστι καὶ ἐμπλαστικῆς δυνάμεως, καὶ δηλονότι καὶ τραχυτήτων ἰατικῆς.

Κονία ἡ στακτή.

Τ ὁ οἷον πλύμα τῶν τεφρωθεισῶν ὑλῶν οὕτως ὀνομάζεται, ῥυπτικωτάτη τε ἐστὶ καὶ ξηραντικωτά-
τη πασῶν, ἥτε ἐκ τῆς συκῆς τέφρα, καὶ τῶν τιθυμάλλων, καὶ σχεδὸν ἤδη τῆς καλουμένης σηπτικῆς
20 δυνάμεως. τῷ λεπτομερεῖ δὲ τῆς οὐσίας ἀνωδύνως καίει. Κόνυζαι δύο.

Κ όνυζα καὶ ἡ μείζων καὶ ἡ μικροτέρα, παραπλησίας εἰσὶ κράσεως καὶ δυνάμεως, ἐν μὲν τῇ γεύσει
δριμεῖαι τε καὶ πικραὶ φαινόμεναι. θερμαίνουσαι δὲ πάνυ σαφῶς καὶ ξηραίνουσαι, ὡς εἶναι κατ'
ἄμφω τῆς τρίτης τάξεως, ἀφεψόμεναι γοῦν ἐν ἐλαίῳ τῶν κατὰ περίοδον ῥιγῶν, ἀλεξιτήριοι γίνον-
ται. τὰ δὲ ἄνθη αὐτῶν σὺν τοῖς φύλλοις τρίψαντες τινὲς, σὺν οἴνῳ ποτίζουσιν ὑπὲρ τοῦ καταμή-
νια κινῆσαι, καὶ ἔμβρυα ἐκβαλεῖν. ἔστι δὲ καὶ τρίτον εἶδος κονύζης, ἐν ὑγροτέροις χωρίοις φυόμενον,
τῶν εἰρημένων δυσωδέστερον καὶ ἀσθενέστερον. Κοριάνον ἢ, κόριον.

Ἐ ξ ἐναντίων σύγκειται δυνάμεων, πολὺ μὲν ἔχουσα πικρᾶς οὐσίας, ἥτις λεπτομερής ἐστι γεώδης, οὐκ
ὀλίγον δὲ καὶ ὑδατώδους ὑγρότητος χλιαρᾶς κατὰ δύναμιν. ἔχει δέ τι καὶ στύψεως ὀλίγον, ἐξ ὧν
ἁπάντων ἐνεργεῖ ποικίλως, ὅσα περ Διοσκουρίδης ἔγραψεν, οὐ μὴν τῷ ψύχειν γε μόνῳ.
30

Κόλλα.

Η ν εἰς τὰ βιβλία σκευάζουσιν, ἐκ σεμιδάλεως, ἢ γύρεως, ἐμπλαστικῆς τε καὶ πεπτικῆς ἐστι δυνάμεως,
περὶ δὲ τῆς ταυροκόλλης καὶ τῶν ὁμοίων ἐν τῷ περὶ ζώων λόγῳ ῥηθήσεται. Κορωνόπουν.

Τ ούτου ἡ ῥίζα πεττόμενον, κοιλιακοὺς ὠφελεῖν ἐσθιομένη. Κόστος.

Β ραχείας μὲν πάνυ πικρίας, πλείστης δὲ δριμείας τε καὶ θερμῆς μετέχει ποιότητος, καὶ δυνάμεως, ὥστε καὶ
ἤδη ἑλκοῦν, ὅθεν ἀνατρίβουσιν αὐτῷ μετ' ἐλαίου τὸ σῶμα πρὸ τῆς εἰσβολῆς, ἐπὶ τῶν κατὰ περίοδον ῥι-
γούντων. ἐν δὲ καὶ ἐπὶ τῶν παραλελυμένων τε καὶ ἰσχιαδικῶν, καὶ ὅλως ἐφ' ὧν ἤτοι θερμαίνειν προ-
κειταί τι μόριον, ἢ ἐκ βάθους ἐπὶ τὴν ἐπιφάνειαν ἕλξαι τινὰ χυμὸν, ἐπὶ τὴν αὐτοῦ χρῆσιν ἔρχον-
ται. διὰ δὲ τὴν αὐτὴν αἰτίαν, καὶ οὐρητικός ἐστι, καὶ ἐμμηνίων ἀγωγὸς, καὶ ῥήγμασι καὶ σπάσμασι, καὶ πόνοις
ἐν πλευροῖς ἁρμόττει. διὰ δὲ τὴν συνοῦσαν πικρότητα, καὶ πλατείας ἕλμινθας ἀναιρεῖν πεπίστευ-
40 ται. καὶ πρὸς ἐφήλεις χρῶνται αὐτῷ μεθ' ὕδατος ἢ μέλιτος. ἐνυπάρχει δὲ αὐτοῦ τῇ κράσει τις φυ-
σώδης ὑγρότης, δι' ἣν καὶ πρὸς ἀφροδίσια παρορμᾷ, μετ' οἰνομέλιτος πινόμενος.

Κράμβη ἐδώδιμος.

Μ ικτῆς ἐστι δυνάμεως, ἐσθιομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη, οὐ μὴν ἤδη γε δριμείας ἐναργῶς, ἀλλ' ὡς
τραύματα κολλᾶν, καὶ τὰ κακοήθη τῶν ἑλκῶν ἰᾶσθαι. τὰς δὲ φλεγμονὰς ἰᾶσθαι τὰς ἤδη σκιρρου-
μένας τε καὶ δυσλύτους, καὶ τῶν ἐρυσιπελάτων τὰ τοιαῦτα, καὶ ἐπινυκτίδας δὲ καὶ ἕρπητας
ἰᾶται, ἔχει δέ τι καὶ ῥυπτικὸν καθ' ὃ καὶ λέπρας θεραπεύει. ὁ μὲν οὖν χυλὸς αὐτῆς ἔχει τι
καθαρτικὸν, αὐτὸ δὲ τὸ σῶμα, ἐπέχει μᾶλλον τὴν διαχώρησιν, τούτου χάριν καὶ ἐφ' ὧν ξη-
ραίνειν ὑγραινομένην γαστέρα βουλόμεθα, μετρίως ἕψοντες αὐτὴν, καὶ τὸ πρότερον ὕδωρ ἀποχέον-
τες ἐμβάλλομεν, εὐθέως ἑτέρῳ θερμῷ ἡτοιμασμένῳ ἀναβράζοντες. οὐ χρὴ δ' ἐψαύειν οὔτε ἄθρος, οὔτε
50 ὕδατος ψυχροῦ τὸ ἑψόμενον, οὐκέτι γὰρ ἀκριβῶς γίνεται τακερόν, οὐδ' εἰ ἐπὶ πλέον ἑψήσεις. ἐμ-
βάλλοντες οὖν ἐν τῷ ἑτέρῳ θερμῷ ὕδατι ἕψωμεν, ὡς τακέραν γίνεσθαι, ἐφ' ὧν γὰρ ὑπαγωγῆς ἕνε-
κα λαμβάνεται, οὐχ ἕψεται πάνυ. ξηραίνει μὲν οὖν ἡ κράμβη, ὥσπερ ἡ φακὴ, καὶ διὰ τοῦτο ὄψιν ἀμ-
βλύνει, καὶ μελαγχολικὸν χυμὸν γεννᾷ. ὁ δὲ τῆς κράμβης ἀσπάραγος, ἧττον ξηραίνει, καὶ διουρητικώτε-
ρος ἐστι, τὸ σπέρμα πινόμενον ἕλμινθας ἀναιρεῖ, καὶ ἐφήλεις τε καὶ φακοὺς, καὶ ὅσα τἄλλα μετρίας

λεῖται στύψεως, ὀνίνησιν, οἱ δὲ καυλοὶ τῆς κράμβης καυθέντες ξηραίνουσιν ἰσχυρῶς, ποιοῦσι τέφραν, ὡς ἤδη καὶ τῆς καυστικῆς μετέχειν δυνάμεως, καὶ τὰ πρὸς γοῦν αὐτῇ μιγνύντες στέαρ παλαιὸν εἴς τε τὰ τῶν πλευρῶν ἀλγήματα χρόνια, κἂν εἴπου τι τοιοῦτον ἕτερον εἴη χρῶνται, διαφορητικὸν γὰρ ἰσχυρῶς ἀποτελεῖται τὸ φάρμακον.

Κοτυληδών.

Δικτῆς ἐστὶ δυνάμεως ὑγρᾶς καὶ ψυχρᾶς, καί τινος ἀμυδρῶς ὑποστυφούσης ἢ βραχείας πικρᾶς, ὅθεν ἐμψύχει, καὶ ἀποκρούεται, καὶ ῥύπτει, καὶ διαφορεῖ, φλεγμονάς τε τὰς ἐρυσιπελατώδεις καὶ ἐρυσιπέλατα φλεγμονώδη θεραπεύει, καὶ κατὰ στομάχου καυσουμένου, χρήσιμον ἱκανῶς ἐστὶ κατάπλασμα, πεπίστευται δὲ τὰ φύλλα σὺν τῇ ῥίζῃ ἐσθιόμενα λίθους θρύπτειν, καὶ ἐξουρεῖν.

Κράμβη ἀγρία.

Ξηροτέρα καὶ θερμοτέρα πολλῷ τῆς ἡμέρου τὴν κρᾶσιν ἐστίν, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα σχεδὸν
10 τὰ ἄγρια τῶν ἡμέρων ἰσχυρότερα, ὅθεν οὐδὲ εἴσω τοῦ σώματος ἀλύπως λαμβάνεται. διαφορεῖ δὲ καὶ ῥύπτει τῆς ἡμέρου σφοδρότερον.

Κράμβη θαλαττία.

Πρὸς τῷ τὴν γαστέρα λαπάττειν, ὑφάλμυρος τε καὶ ὑπόπικρος οὖσα τὴν γεῦσιν, εἴη ἂν καὶ εἰς τὰς ἔξω τοῦ σώματος χρείας, εἰς ἅπερ αἱ τοιαῦται ποιότητες ἁρμόζουσιν ἐπιτηδείως.

Κρῆθμον.

Ἁλμυρόν πως ἐστὶ γευομένοις, ἅμα βραχείᾳ πικρότητι, διὸ καὶ ἡ δύναμις αὐτοῦ, ῥυπτική τε ἅμα καὶ ξηραντική, ἀσθενέστερον δὲ ἐστὶ κατ᾽ ἄμφω τῶν πικρῶν.

Κριθαί.

Τῆς πρώτης τάξεώς εἰσι τῶν ξηραινόντων καὶ ψυχόντων, ἔχουσι δέ τι καὶ ῥυπτικὸν ὀλίγον, εἰσὶ δὲ βραχύ τι καὶ ξηραντικώτεραι τοῦ τῶν κυάμων ἀλεύρου, τοῦ χωρὶς τοῦ λέμματος. τὰ δὲ ἄλλα πάντα παραπλήσια χρωμένοις ἔξωθεν, ἐσθιόμεναι δὲ, ταύτῃ πλεονεκτοῦσι τῶν κυάμων, ὅτι τὸ φυσῶδες ἐν τῇ ἑψήσει ἀποτίθενται, κυάμῳ δὲ ὅπως ἂν ἑψηθῇ, παραμένει τὸ φυσῶδες, παχυμερεστέρας γὰρ οὐ-
20 σίας ὁ κύαμος ἐστὶν ἢ κατὰ κριθήν, καὶ διὰ τοῦτο καὶ τροφιμώτερος αὐτῆς, αἱ δὲ κριθαὶ λεπτὸν καὶ ῥυπτικὸν ἔχουσαί τι, γλινῶδη χυμόν. οὐδὲν μὲν οὖν θερμαίνουσι τὸ σῶμα, κατ᾽ οὐδένα τρόπον σκευασίας, ὑγραίνουσι γὰρ καὶ ξηραίνουσι διαφόρως σκευασθεῖσαι, τὸ μὲν ἄλφιτον ἐκ τῆς φρυγείσης κριθῆς γινόμενον ἐναργῶς φαίνεται ξηραῖνον. ἡ δὲ πτισάνη, ὑγραίνει, ὅταν γε ὡς προσήκει σκευασθῇ, οἱ δὲ ἐκ τῶν κριθῶν γινόμενοι ἄρτοι, ἅπαντες εἰσὶν ἀτροφώτεροι τῶν ἐκ τῶν πυρῶν, καὶ μᾶλλον ἐκείνων ὑπέρχονται τὴν γαστέρα.

Περὶ κριθίνου ἀλφίτου.

Τὸ δὲ ἐκ τῶν κριθῶν γινόμενον ἄλφιτον, φρυγεισῶν αὐτῶν πολύ, καὶ τῶν κριθῶν αὐτῶν ἐστὶ ξηραντικώτερον, καὶ ὀλίγην τροφὴν δίδωσι τῷ σώματι κἂν ὁπωσοῦν ἑψηθῇ, δι᾽ οἴνου τε ἀμιναίου αὐστηροῦ, ὅθεν τὸ ἄλφιτον ξηραίνει γαστέρα.

Περὶ κριθίνης μάζης.

Μάζαν καλοῦσι, τὸ ἐκ τῶν κριθῶν ἄλφιτον, ὑγρῷ τινὶ φυρόμενον, οἷον σιραίῳ, ἢ μέλιτι, ἢ ἑτέρῳ τι-
30 νί, καὶ ἄνεφθον ἐσθιόμενον, ὅπως δ᾽ ἂν σκευασθῇ, ἧττον πέττεται τῶν κριθίνων ἄρτων ἡ μάζα, καὶ φύσεις μᾶλλον ἐμπίπλησι τὴν γαστέρα, καὶ τὴν ἐπὶ πλέον ἐν αὐτῇ μονήν, ταραχὴν ἐργάζεται, ἐχούσης φύσει τῆς κριθῆς τὸ πιτυρῶδες οὐκ ὀλίγον ἡ φρυχθεῖσα κριθή, ξηρότερον μὲν καὶ αὐτὸ τὸ πιτυρῶδες καὶ δυσφθαρτότερον ἴσχει, ξηρότερον δὲ καὶ τὸ ἐν αὐτῇ χρηστὸν ἐξ οὗ τροφὴν ἐλάμβανε τὸ σῶμα, ὅσον οὖν ἐν αὐτῇ τὸ πιτυρῶδες ἐστὶ καὶ σκληρὸν, ὥσπερ καὶ ἐκτὸς φαίνεται μὴ λυόμενον ὕδατι, κατὰ τὸν αὐτὸν τρόπον οὐδὲ ἐν τῇ γαστρὶ διαλύεται βρεχόμενον, ἀλλὰ διαμένει ἀκατέργαστον ὁποῖον ἐλήφθη, τῷ οὖν μὴ πέττεσθαι μηδὲ ἀναδίδοσθαι εἰς τὰς φλέβας ὑποχωρεῖ κατὰ τὴν γαστέρα καὶ τῷ ἔχειν ῥυπτικὸν ἐκ τῆς κριθῆς μᾶλλον, διαχωρεῖ κάτω φυραθεῖσα καὶ τριφθεῖσα μέχρι πλείονος, εἰ δὲ καὶ μέλι προσλάβοι, θᾶττον ὑπέρχεται. τὸ δὲ παχυμερὲς οὕτως ὀνομάζεται τοῦ τε πυροῦ καὶ τοῦ τῶν ζειῶν ἀλεύρου, ἔστι δὲ τροφιμώτερον ἀλφίτου, δυσπεπτότερον δὲ, καὶ καλεῖται τὸ ἐξ αὐτοῦ
40 ῥόφημα πολτὸς, καὶ ἐστὶν ὁ ἀπὸ τῆς ζειᾶς, σταλτικώτερος ἠρέμα τῆς κοιλίας καὶ μᾶλλον εἰ φρυχθείη.

Κρίνου.

Κρίνου τὸ ἄνθος, τῇ κράσει μικτόν ἐστιν, ἐκ λεπτομεροῦς τινὸς οὐσίας γεώδους, ἐξ ἧσπερ ἔχει καὶ τὴν ἐν τῇ γεύσει πικρότητα, καί τινος ὑδατώδους εὐκράτου, ὅθεν καὶ τὸ ἐξ αὐτοῦ ἔλαιον, ἀδήκτου διαφορητικῆς ἐστὶ καὶ μαλακτικῆς δυνάμεως, καὶ ταῖς τῆς ὑστέρας σκληρότησιν ἐπιτήδειον, καὶ ἡ ῥίζα δὲ καὶ τὰ φύλλα καθ᾽ ἑαυτὰ λειούμενα, ξηραίνει καὶ ῥύπτει, καὶ διαφορεῖ μετρίως. ἔστι γὰρ ἡ ῥίζα τῆς πρώτης τάξεως τῶν ῥυπτικῶν, οὕτως γὰρ καὶ τῶν κατακαυμάτων ἁρμόττει, τὴν μὲν οὖν ῥίζαν ὀπτήσαντες, εἶτα σὺν ῥοδίνῳ λειώσαντες, ἐπιτιθέασι τοῖς κατακαύμασιν, ἄχρι συνουλώσεως, ἔστι γὰρ καὶ ἄλλως ἁπάντων ἑλκῶν εἰς ἐπούλωσιν ἀγαθὸν φάρμακον, οὐ μὴν ἀλλὰ καὶ ὑστέρας μαλακτικόν, καὶ καταμήνια προσκαλεῖται. τὰ δὲ φύλλα προαφεψήσαντες, ἐπιτιθέασι καὶ αὐτὰ μέ-
50 χρι κατουλώσεως, οὐ τοῖς κατακαύμασι μόνον ἀλλὰ καὶ τοῖς ἄλλοις ἕλκεσιν, ἀποτιθέμεθα δέ ποτε καὶ τὸν τῶν φύλλων χυλὸν, ἑψήσαντες σὺν ὄξει καὶ μέλιτι μέχρι συστάσεως μέλιτος ὑγροτέρου, βάλλοντες τοῦ μὲν χυλοῦ, μέρη πέντε, μέλιτος δὲ καὶ ὄξους, ἀνὰ μέρος ἕν, καὶ ἔστιν εὐδόκιμον τὸ φάρμακον εἰς πάντα τὰ ξηραίνεσθαι σφοδρῶς δεόμενα χωρὶς τοῦ δάκνεσθαι, καθάπερ ὅσα τε πλαδαρὰ καὶ χρόνια, καὶ δυσκατούλωτα τῶν ἑλκῶν ἐστίν.

Κροκοδείλιον.

Κροκοδειλίου τὸ σπέρμα, δριμὺ μέν ἐστι καὶ ἀρωματικόν, οὐρητικόν τε καὶ καταμηνίων ἀγωγόν, ὥστε καὶ θερμῆς ἂν εἴη δυνάμεως, καὶ διαφορητικῆς, καὶ ξηραντικῆς. ὁ δὲ χυλὸς τοῦ καυλοῦ καὶ τοῦ σπέρματος ὁμοίας ὢν δυνάμεως, ὠφελεῖ τοὺς νεφριτικούς. ἡ δὲ ῥίζα ταῖς ἐκ θώρακος ἀναπτύσεσιν ἰσχυρῶς συνεργεῖ, δριμεῖα μὲν ἧττον ἐστὶ τοῦ σπέρματος, πικρὰ δὲ οὐχ ἧττον, ἄγει δὲ καὶ διὰ ῥινῶν αἷμα.

Κρόκος.

Κρόκος ἔχει μέν τι καὶ στύφον ὀλίγον, ὅπερ ἐδείχθη γεῶδες ψυχρόν, ἐπικρατεῖ δὲ ἐν αὐτῷ θερμαίνουσα ποιότης τε καὶ δύναμις. ὥστε τὴν ὅλην οὐσίαν αὐτοῦ, τῆς δευτέρας μὲν εἶναι τῶν θερμαινόντων τάξεως, τῆς πρώτης δὲ τῶν ξηραινόντων, καὶ διὰ τοῦτο καὶ πεπτικὸν ἔχει, συνεργούσης εἰς τοῦτο καὶ τῆς βραχείας στύψεως.

Κρόμυον.

Ἐκ τῆς τετάρτης ἐστὶ κράσεως τῶν θερμαινόντων, ἡ δὲ οὐσία αὐτοῦ παχυμερὴς μᾶλλον, ὅθεν καὶ τὰς αἱμορροΐδας ἀναστομοῖ προστιθέμενον, καὶ σὺν ὄξει καταχριόμενον ἐν ἡλίῳ, τοὺς ἀλφοὺς ἀπορρύπτει, καὶ παρατριβόμενον ἀλωπεκίαις θᾶττον ἀλκυονίου παρορμᾷ τὰς τρίχας, ἐσθιόμενον δὲ θερμαίνει μὲν τὸ σῶμα τῇ δριμύτητι, καὶ λεπτύνει τοὺς ἐν αὐτῷ παχεῖς καὶ γλίσχρους χυμούς, ἐμπνευματοῖ δὲ τὴν γαστέρα διὰ τὸ παχυμερὲς τῆς οὐσίας.

Κύαμος.

Κύαμος κατὰ τὸ ψύχειν καὶ ξηραίνειν τῆς μέσης ἐστὶν ἐγγυτάτω κράσεως, μετέχει δὲ τινὸς ἐπ' ὀλίγον, καὶ ῥυπτικῆς δυνάμεως ἡ σὰρξ αὐτοῦ, καθάπερ τὸ λέπος τῆς στυπτικῆς, καὶ διὰ τοῦτο τῶν ἰατρῶν ἔνιοι τὸν κύαμον ὅλον μετὰ τοῦ δέρματος ἑψήσαντες ὀξυκράτῳ τοῖς δυσεντερικοῖς, καὶ κοιλιακοῖς, καὶ τοῖς ἐμοῦσιν ἔδωκαν, ἔστι δὲ ὡς ἔδεσμα μὲν εἴπερ τι καὶ ἄλλο δύσπεπτόν τε καὶ φυσῶδες, κἂν ἐπιπλεῖστον ἑψηθῇ, κἂν ὁπωσοῦν σκευασθῇ, ἀναπτύσεσι μέντοι ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἐπιτήδειον, καὶ ὁ μὲν χλωρὸς ἐσθιόμενος, μᾶλλον μὲν ὑπέρχεται τὴν γαστέρα, ἧττον δὲ τοῦ ξηροῦ ἐνεχθέντος τρέφει, φρυγέντες μέντοι, τὸ φυσῶδες ἀποτίθενται, δυσπεπτότεροι δὲ καὶ βραδύποροι γίγνονται, καὶ παχὺν χυμὸν γεννῶσιν, ὡς φάρμακον δὲ ἔξωθεν ἐπιτιθέμενος, ἀλύπως ξηραίνει, ἐπὶ μέν γε ποδαγρικῶν ἐχρησάμεθα πολλάκις αὐτῷ δι' ὕδατος ἑψήσαντες, εἶτα μίξαντες στέαρ ὕειον. ἐπὶ δὲ τῶν κατὰ τὰ νεῦρα θλασμάτων τε καὶ ἑλκῶν, δι' ὀξυμέλιτος ἢ οἰνομέλιτος καὶ ῥοδίνου εἰ δὲ καὶ πυράκτωσις ἦ, τὸ ἄλευρον ἐπεθήκαμεν. ἐπὶ δὲ τῶν φλεγμαινόντων ἤδη ἐκ πληγῆς σὺν ἀλφίτοις. καὶ ὄρχεων δὲ ἐστὶ καὶ μαστῶν ἀγαθὸν φάρμακον ἤτοι κατάπλασμα, φιλοῦσι γὰρ αὐτὰ τὰ μόρια μετρίως ψύχεσθαι φλεγμαίνοντα, καὶ μάλιστ' ὅταν τοῦ γάλακτος ἐν αὐτοῖς τυρωθέντος οἱ μαστοὶ φλεγμαίνουσι, καὶ γὰρ καὶ τὸ γάλα σβέννυται πρὸς τοῦ καταπλάσματος, ὥσπερ καὶ τὸ τῶν παίδων ἐφήβαιον ἐπιπλαττόμενον ἀλεύρῳ κυαμίνῳ μέχρι πλείονος ἄνηβον διαμένει.

Κυκλάμινος.

Κυκλάμινος ποικίλη τὴν δύναμιν ἐστί, καὶ γὰρ ῥύπτει, καὶ τέμνει, καὶ ἀναστομοῖ, καὶ ἐπισπᾶται, καὶ διαφορεῖ, ὁ μὲν γὰρ χυλὸς αὐτῆς, αἱμορροΐδας ἀναστομοῖ, καὶ ἐρεθίζει κοιλίαν βιαίως προστιθέμενος, οὗτος καὶ κατὰ τὰ φύματα, καὶ χοιράδας, καὶ ἁπάσαις ταῖς ἄλλαις σκληρίαις διαφορούσαις δυνάμεσι μίγνυται, καὶ τοῖς ἀποκαιομένοις ἁρμόττει μετὰ μέλιτος ὑπαλειφόμενος, καὶ πρὸς τούτοις ἔτι διὰ ῥινῶν καθαίρει, σφόδρα δὲ οὕτως ἡ δύναμις αὐτοῦ ἐστιν, ὡς καὶ κατὰ τοῦ ὑπογαστρίου ὑποχριόμενον κοιλίαν ὑπάγει, καὶ ἔμβρυα διαφθείρει, καὶ ἐν πεσσῷ προστιθέμενον ὁμοίως, φθόριον γίνεται. ἡ δὲ ὅλη ῥίζα τοῦ μὲν χυλοῦ ἐστὶν ἀσθενεστέρα, σφοδρὰ δέ ἐστι καὶ αὐτή, καὶ γὰρ ἔμμηνα πινομένη τε κινεῖ καὶ προστιθεμένη, καὶ ἰκτεριῶντας ὀνίνησιν, οὐ μόνον ἐκκαθαίρουσα τὸ σπλάγχνον, ἀλλὰ καὶ τὴν ἐν ὅλῳ τῷ σώματι χολὴν ἐκκενοῦσα δι' ἱδρώτων, ὅθεν ἐπὶ τῇ πόσει συνεργεῖν δεῖ παντὶ τρόπῳ τῇ τῶν ἱδρώτων ἐκκρίσει, σκέπῃ πλείονι καὶ θάλψει τοῦ σώματος, χρὴ δὲ εἶναι τὸ πινόμενον πλῆθος ἄχρι τριῶν δραχμῶν, ἢ τὸ πλεῖστον τεσσάρων, ἤτοι μετὰ γλυκέος ἢ μελικράτου, ῥύπτει δὲ τὸ δέρμα καὶ τούτῳ τὰς ἐφηλίδας καὶ ἀλωπεκίας, καὶ τὰ ὅμοια θεραπεύει, ὀνίνησι δὲ καὶ τοὺς σκληροὺς σπλῆνας ἐπιπλαττομένη πρόσφατός τε καὶ ξηρά. διδόασι δὲ ἔνιοι τὴν ξηρὰν ῥίζαν, καὶ τοῖς ἀσθματικοῖς, κοπτομένη δὲ ξηρὰ καὶ σηθομένη λεπτοτάτῳ κοσκίνῳ μετὰ καρυοφύλλου. ὡς εἶναι τῆς μὲν ῥίζης οὐγγίαν μίαν, τοῦ δὲ καρυοφύλλου κόκκους κε. καὶ ἐμφυσωμένη διὰ μυκτήρων καθαίρει, καὶ ἀπὸ κεφαλῆς, παχεῖς καὶ γλίσχρους χυμούς, ὅθεν ἰᾶται τὰς κεφαλαλγίας τὰς χρονίας, καὶ τοὺς ἐπιληπτικοὺς ὀνίνησι μεγάλως.

Κύμινον.

Κυμίνου τῷ σπέρματι μάλιστα χρώμεθα, ἔστι δὲ θερμαντικῆς δυνάμεως, οὐρητικῆς τε καὶ ἀφύσου κατὰ τὴν τρίτην τάξιν ὑπάρχων τῶν θερμαινόντων.

Κυπάρισσος.

Κυπαρίσσου τὰ φύλλα καὶ οἱ βλαστοί, καὶ τὰ σφαιρία τὰ νέα καὶ μαλακὰ μεγάλων τραυμάτων ἐν σκληροῖς σώμασιν εἰσὶ κολλητικά, ἐξ οὗ δῆλον, ὡς ξηραντικῆς εἰσὶ δυνάμεως οὐδὲν ἐπιφανὲς ἐχούσης δριμὺ καὶ θερμόν. πλεῖστον δὲ ἔχει τὸ πικρόν, καὶ πολὺ πλέον ἐστὶ τὸ στρυφνὸν ἐν ὅλῳ τῷ φυτῷ, τοσοῦτον δέ ἐστιν ἐν αὐτῷ τὸ θερμόν, ὅσον ποδηγεῖ μὲν τῇ στρυφνότητι πρὸς τὸ βάθος, μηδεμίαν δὲ θερμότητα ἢ δῆξιν ἐργάζεσθαι τοῖς σώμασι. διὰ τοῦτο τὰς κατὰ βάθους ὑγρότητας ἐν ταῖς πλα-

δυσεραῖς καὶ σηπεδονώδεσι διαθέσεσιν ἀλύπως τε ἅμα καὶ ἀσφαλῶς ἐκβόσκεται, ἑτέραν οὐκέτι προσειλημμένη ὑγρότητα, οὕτω δὴ καὶ τὰ ἐν τοῖς κοιλικοὺς ὠφελεῖ καταπλασσομένη, ξηραίνει γὰρ καὶ τόνον ἐντίθησι, τοῖς δι' ὑγρότητα χαλαροῖς σώμασιν, ὡς ἂν τῆς στύψεως εἰς τὸ βάθος καταδυομένης, τῷ προηγεῖσθαι πρὸ τῆς μεμιγμένης αὐτῇ μετρίας θερμότητος, χρῶνται δὲ αὐτῆς τινὲς καὶ ἐπ' ἀνθράκων, καὶ ὀλίγον τι τῶν ἀλφίτους μιγνύντες.

Κύπειρος.

Κυπείρου χρήσιμοι μάλιστα αἱ ῥίζαι, θερμαίνουσαι καὶ ξηραίνουσαι χωρὶς δήξεως, ὅθεν καὶ τὰ δι' ὑγρότητα πολλὴν ἕλκη θαυμαστῶς ὀνίνησιν. ἔχουσι γάρ τι καὶ στυπτικὸν δυσεπούλωτα, καὶ διὰ τοῦτο τοῖς ἐν στόμασιν ἕλκεσιν ἐπιτήδειοι. καὶ μὴν δὴ καὶ τμητικήν τινα δύναμιν ἔχουσιν. ἣ καὶ λιθιῶσιν ἀρμόζουσι καὶ οὖρα καὶ καταμήνια κινοῦσι.

Κύπρος.

Τούτου τοῦ δένδρου τὰ φύλλα καὶ οἱ ἀκρέμονες, καὶ τὰ ἄνθη χρήσιμοι, μικτῆς ὄντα δυνάμεώς τε καὶ κράσεως, ἔχει μὲν γάρ τι διαφορητικὸν ἐξ ὑδατώδους οὐσίας θερμῆς συμμέτρως. ἔχει δέ τι καὶ στυπτικὸν ἐκ τῆς γεώδους ψυχρᾶς. ὅθεν οὖν τὸ ἀφέψημα καταντλούμενον ὀνίνησι πυρίκαυστα. χρῶνται δὲ καὶ κατὰ τῶν πυρωδῶν φλεγμονῶν καὶ ἀνθράκων. ἔστι γὰρ ἀλύπως τε καὶ ἀδήκτως ξηραντικόν. καὶ μὴν καὶ τοῖς ἐν στόμασιν νομομένοις ἕλκεσιν αὐτομάτως καὶ μάλιστα τοῖς ἀφθώδεσιν, ἁρμόττει διαμασσόμενα. τὰ δὲ φύλλα τῆς κύπρου ξηραινόμενα ἐν σκιᾷ καὶ κοπτόμενα καὶ σηθόμενα, εἶτα ἑψόμενα ἐν ὕδατι ἤδη θερμοσποδιᾷ, ῥοῦ μαγειρικοῦ βραχέος ἐπιπαττομένου, ἢ ὄξους ὀλίγου, ἀγαθὸν ποιεῖ κατάπλασμα, ἤδη ποδαγρικῶν καὶ χειραγρικῶν ἐν αὐταῖς ταῖς μεγίσταις φλεγμοναῖς ἐπιτιθέμενον. παύει γὰρ τὰς φλεγμονάς, καὶ ἀποκρούεται τὸν ῥευματισμόν. καὶ διαφορεῖ τὸ ἤδη ἐν τοῖς τόποις περιεχόμενον, διὰ τῶν ἀδήλων πόρων. ὥσπερ δι' ἱδρώτων. βλάπτει μέντοι τὸν χρῶτα, καὶ μάλιστα τοὺς ὄνυχας. διὸ δεῖ προυποχρίειν τοὺς τόπους, ῥοδίνῃ ὑγρᾷ κηρωτῇ. σκέπειν δὲ δεῖ τὸ κατάπλασμα, εἰ παρῇ ἐν φύλλοις κικέως, ἢ καρπάσου.

Κυτίσου.

Κυτίσου τὰ φύλλα, διαφορητικῆς ἐστι δυνάμεως, ἐπιμεμιγμένης ὑδατώδει χλιαρῷ, καθάπερ καὶ τὰ τῆς μαλάχης.

Κώνειον.

Ὅτι τῆς ἄκρας ἐστὶ ψυκτικῆς δυνάμεως, πάντες ἴσασι, καὶ διὰ τοῦτο καὶ ἀναιρετικόν ἐστι ἐκ τῆς ἀναψύξεως.

Κώνου καρπός.

Ὃν δὴ κόκκαλον ὀνομάζουσι καὶ στρόβιλον. ὅλος μὲν χλωρός. ἔχει δέ τι μεθ' ὑγρότητος πικρὸν καὶ δριμὺ καὶ διὰ τοῦτο καὶ τοῖς ἐμπυϊκοῖς, ὅσοι τε ἄλλοι δέονται τὰ κατὰ θώρακα καὶ πνεύμονα ῥαδίως ἀναβήττειν τε καὶ ἀναπτύειν, ἐπιτήδειός ἐστι. ὁ δὲ ἐδώδιμος ἐξ αὐτοῦ καρπός, ἔστι μὲν καὶ πρὸς τροφὴν δύσπεπτός τε, καὶ ἰσχυρά, καὶ πολύχυμος διὰ τὸ ἐλαιῶδες. ἔστι δὲ καὶ ὡς φάρμακον ἐκ λεαίνειν τραχύτητας ἐπιτήδειον, καὶ μάλιστα ὅταν ἐν ὕδατι βραχέν, ἀπωθεῖται καθ' αὐτὸ πᾶν ὅσον ἔχει δριμύ.

Καγκάνου ἡ ῥίζα.

Δυνάμεώς ἐστιν ἀδήκτου καὶ μετρίως ξηραντικῆς, οὐσίας δὲ παχυμεροῦς ἐμπλαστικῆς, ὅθεν οἴνῳ βρεχομένη καθάπερ ἡ τραγάκανθα, καὶ ἐκλειχομένη, τὰς τῆς ἀρτηρίας ἰᾶται τραχύτητας. οὐδὲν δ' ἧττον, εἰ καὶ διαμασήσαιτό τις αὐτήν, ὁ παρ' αὐτῶν χυλὸς ὀνίνησι τὴν ἀρτηρίαν ὁμοίως τῷ τῆς γλυκυρρίζης.

Καυκαλὶς ὃ ἔνιοι καὶ δαῦκον ἄγριον καλοῦσιν.

Ἔστι δ' ὅμοιον αὐτῷ κατὰ τὴν γεῦσιν καὶ κατὰ τὴν δύναμιν. θερμαίνει γὰρ ὡς ἐκεῖνος καὶ ξηραίνει καὶ διουρεῖται, καὶ ταριχεύεται εἰς ἀπόθεσιν.

Καρπήσιον.

Καρπήσιον, ὅμοιον μὲν ὑπάρχει τῷ καλουμένῳ φοῦ, κατά τε τὴν γεῦσιν καὶ τὴν δύναμιν. ἐπὶ πλέον δὲ ἐστι λεπτομερές. διὸ καὶ μᾶλλον ἐκείνου ῥύπτει τε τὰς τῶν σπλάγχνων ἐμφράξεις, καὶ οὖρα κινεῖ καὶ νεφροὺς ἐκκαθαίρει λιθιῶντας. οὐ μὴν εἰς τοσοῦτον λεπτομερές ἐστιν ὡς ἀντὶ κινναμώμου χρῆσθαι. μὴ παρόντος ὡς ὁ κοινὸς ἔπραττεν. ἄμεινον μὲν οὖν ἐστὶ τὸ γνήσιον τοῦ λαερτικοῦ. οὐ μὴν οὐδὲ τοῦτο τὸ καρπήσιον κινναμώμῳ τὴν δύναμιν, ἀλλὰ τῆς ἀρίστης κασίας οὐκ ὀλίγον λειπόμενον. ὠνόμασται δ' ἑκάτερον, ἀπό τινων ὀρέων τῆς Παμφυλίας, ἐν οἷς καὶ τὸ πλεῖστον γεννᾶται αὐτῶν.

ΑΡΧΗ ΤΟΥ Λ.

Λάθυροι.

Παραπλήσιοι μὲν εἰσὶ τῇ οὐσίᾳ αἱ λάθυροι, τοῖς ὤχροις, καὶ φασήλοις, καὶ χυλὸν ὅμοιον τούτοις ἔχουσι, παχύτερον δὲ τῇ συστάσει. καὶ διὰ τοῦτο τροφιμώτεροί πως οὗτοι ἐκείνων εἰσί.

Λαθυρίς.

Καὶ ταύτην τινὲς εἶδος εἶναι τιθυμάλλου φασί. τὸ δὲ σπέρμα αὐτοῖς, καθαρτικὴν ἔχει δύναμιν.

Λαμψάνη.

Ἐσθιομένη μὲν κακόχυμος ἐστι. καταπλαττομένη δὲ ῥυπτικὸν ἔχει τι, καὶ διαφορητικόν.

Λάπαθον.

Διαφορητικῆς μετρίως ἐστὶ δυνάμεως, καὶ δηλονότι καὶ θερμότητος μετέχει. καὶ τοὺς ἐν νεφροῖς λί-

θους ῥύπτει ἡ ῥίζα, καὶ ψώρας καὶ τραχύτητας τοῦ σώματος ἰᾶται μετ᾽ ὄξους ἑψηθεῖσα καὶ χριομένη. τὸ δὲ ὀξυλάπαθον μικρὰν ἔχει τὴν δύναμιν. ἅμα γὰρ τῇ διαφορητικῇ, καὶ ἀποκρουστικῆς μετέχει δυνάμεως. τὸ δὲ σπέρμα αὐτῶν, ἔχει τι σαφὲς στυπτικόν. ὃ καὶ δυσεντερίας ἰᾶται καὶ διαῤῥοίας. καὶ μάλιστα τὸ τοῦ ὀξυλαπάθου. τὸ δὲ ἱππολάπαθον ἐν ἕλεσι μὲν γεννᾶται. ἔστι δὲ τῆς αὐτῆς δυνάμεως, ἀσθενεστέρας δέ. τοῦ δὲ ἀγρίου λαπάθου ἡ ῥίζα, ἣν μύλην καλοῦσιν ἑψομένη σὺν ὄξει, ἢ οἴνῳ, καὶ διακλυζομένου τοῦ ἀφεψήματος θερμοῦ, ὀδόντας κρατύνει, καὶ τὰς ἀλγηδόνας αὐτῶν παύει.

Λιμώνιον ἢ κυνόγλωσσον.

Τούτου δὴ καρπὸν αὐστηρὸν ὑπάρχοντα μετ᾽ οἴνου διδόασι κοιλιακοῖς καὶ δυσεντερικοῖς, καὶ αἱμοπτοϊκοῖς. ὀνίνησι δὲ καὶ ῥοῦν γυναικεῖον.

Λειχὴν ὁ ἐπὶ τῶν πετρῶν.

Ρυπτικῆς ἅμα καὶ μετρίως ψυχούσης ἐστὶ δυνάμεως, καὶ ξηραντικῆς κατ᾽ ἄμφω. ἰᾶται δὲ καὶ λειχῆνας.

Λεοντοπόδιον, ἢ λεοντοπέταλον.

Τούτου τῇ ῥίζῃ μάλιστα χρώμεθα, διαφορητικῇ καὶ θερμαντικῇ κατὰ τὴν τρίτην τάξιν ὑπαρχούσῃ.

Λεπίδιον.

Τὸ δὲ λεπίδιον, ἐκ τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων.

Λευκόϊον.

Τούτου καὶ σύμπας ὁ θάμνος, ῥυπτικῆς ἐστι δυνάμεως καὶ λεπτομεροῦς ἐστι. μᾶλλον δὲ αὐτῆς μετέχει τὰ ἄνθη, καὶ τούτων τὰ ξηρότερα, τῶν χλωρῶν μᾶλλον. ὥς τε καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς παχείας λεπτύνει, καὶ καταμήνια δὲ τὸ ἀφέψημα αὐτῶν προτρέπει καὶ χορία, καὶ ἔμβρυα τεθνεῶτα προσκαλεῖται. ἔστι γὰρ φθορεῖον πινόμενον. καὶ εἴ τις αὐτοῦ τὸ σφοδρὸν τῆς δυνάμεως πολλοῦ ὕδατος μίξει πραΰνει, ἢ τινὶ ἑτέρῳ τοιούτῳ ὑγρῷ, ἕξει καὶ πρὸς φλεγμονὰς ἀγαθὸν φάρμακον. οὕτω γοῦν καὶ τὸ ἀφέψημα αὐτοῦ εἰ μὴ ἄκρατον εἴη, τὰς ἐν μήτρᾳ φλεγμονὰς ἰᾶται προσαντλούμενον, καὶ μάλισθ᾽ ὅσαι κεχρονίκασι σκιῤῥωδῶς. οὕτω δὴ καὶ μετὰ κηρωτῆς ἕλκη δυσεπούλωτα θεραπεύει. ὁ δὲ καρπὸς τῆς αὐτῆς ἐστι δυνάμεως, ἐπιτηδειότατος ἐστὶ πινόμενος, ὅσον δυοῖν δραχμῶν πλῆθος, ἢ προστιθέμενος σὺν μέλιτι, καταμήνια κινεῖ, καὶ ἔμβρυα ζῶντα μὲν διαφθείρει, νεκρὰ δὲ ἐκβάλλει. αἱ δὲ ῥίζαι μετ᾽ ὄξους καταπλαττόμεναι, σπλῆνας ἐσκιῤῥωμένους ἰῶνται, καὶ τὰς ἐν ἄρθροις φλεγμονάς.

Λεύκη τὸ δένδρον.

Μικτόν πως ἐστὶ τὴν κρᾶσιν, ἐξ ὑδατώδους τε χλιαρᾶς, καὶ γεώδους λελεπτυσμένης οὐσίας. ὅθεν καὶ ῥυπτικῆς μετέχει δυνάμεως. ὑπόπικρον δέ ἐστι τῇ γεύσει.

Λιβανωτός.

Θερμαντικός ἐστι κατὰ τὴν δευτέραν τάξιν, ξηραντικὸς κατὰ τὴν πρώτην. ἔχει δέ τι καὶ ὑπόστυφον ὀλίγον, ἥκιστα δὲ σαφὴς ἡ στύψις ἐστὶν ἐν τῷ λευκῷ. ὁ δὲ φλοιὸς αὐτοῦ, τὴν στυπτικὴν ἔχει δύναμιν ἐναργῆ. διὸ καὶ ξηραίνει γενναίως, ἐν τῇ δευτέρᾳ τάξει συμπληρουμένῃ τῶν ξηραινόντων ὑπάρχει. ἔστι δὲ καὶ παχυμερής. ἥκιστα δὲ δριμύτητος μετέχει. διὰ ταύτας νῦν τὰς ποιότητας καὶ δυνάμεις ἱκανὴ ἡ χρῆσις αὐτοῦ ἐστι παρὰ τοῖς ἰατροῖς, ἐπί τε αἱμοπτοϊκῶν, καὶ στομαχικῶν, καὶ κοιλιακῶν, καὶ δυσεντερικῶν, οὐ μόνον τοῖς ἔξωθεν ἐπιτιθεμένοις μιγνύμενος, ἀλλὰ καὶ τοῖς εἴσω τοῦ σώματος λαμβανομένοις.

Αἰθάλη λιβάνου.

Σκευάζεται τὸν τρόπον τοῦτον, λαβιδίῳ καθ᾽ ἕνα χόνδρον τοῦ λιβάνου λαβὼν, καὶ ἅπτων ἀπὸ λύχνου, ἐπιτίθει εἰς κοῖλον λοπάδιον ὀστράκινον καινὸν, εἶτα περικάλυψον χάλκωμα ἔγκοιλον, ἐσμηγμένον ἐπιμελῶς. ὑποτίθει δὲ κατὰ τὰ ἀμφότερα χείλη τοῦ πώματος, λιθάρια, ὕψος τετραδακτυλιαῖον ἔχοντα, ἵνα χωρῇς ὑποτιθέναι ἕτερον χόνδρον ἀεὶ, πρὸ τοῦ, τὸν πρῶτον χόνδρον παντελῶς σβεσθῆναι, ἕως ἂν δόξει αὐτάρκη λιγνὺν συναγαγεῖν, συνεχῶς μέντοι σπόγγῳ ἐξ ὕδατος ψυχροῦ περίματτε τὸ ἐκτὸς μέρος τοῦ χαλκώματος. οὕτω γὰρ προσκαθίσει πᾶσα ἡ λιγνὺς μὴ ἄγαν αὐτοῦ πυρουμένου. ἀποψήσας οὖν τὴν πρώτην λιγνὺν πτερῷ, ποίει τὸ αὐτὸ ἐφόσον ἂν δοκῇ, ἀφελοῦ δὲ καὶ τὴν ἐκ τοῦ καέντος λιβάνου σποδὸν καθ᾽ ἰδίαν. κρείττων δὲ ἡ λιγνὺς, δύναμιν δὲ ἔχει πραϋντικὴν τῶν ἐν ὀφθαλμοῖς φλεγμονῶν, σταλτικὴν καρκινωμάτων. τὸν αὐτὸν δὲ τρόπον σκευάζεται λιγνὺς καὶ ἐκ τῆς σμύρνης καὶ ἐκ τοῦ στύρακος. ἁρμόζουσι δὲ πρὸς τὰ αὐτὰ καὶ τῶν λοιπῶν δὲ δακρύων τὴν λιγνὺν, ὁμοίως λάμβανε.

Λιβανωτίδες.

Ὁμοίως ἅπασαι δυνάμεως μαλακτικῆς τε καὶ διαφορητικῆς ὅ τε χυλὸς τῆς ῥίζης, καὶ ὁ τῆς πόας μέλιτι μεμιγμένος, ἀμβλυωπίας θεραπεύει. ὅσαι διὰ πάχος ὑγρῶν γίνονται. μετέχουσι γὰρ αἱ λιβανωτίδες ῥυπτικῆς τε καὶ τμητικῆς δυνάμεως.

Λίγνυς ἅπασα.

Ἔστι μὲν ξηραντικὴ, διὸ καὶ γεώδης ὑπάρχει τῇ οὐσίᾳ ἔχουσα καὶ τοῦ καύσαντος τὴν ὕλην πυρὸς λείψανον. ἀλλὰ τοῦτο μὲν πρὸς ὀλίγον. ἡ δὲ ὅλη φύσις αὐτῆς ξηραντικὴ, γεώδης, λεπτομερής. αἱ δὲ κατ᾽ εἶδος διαφοραὶ αὐτῆς παρὰ τὴν καυθεῖσαν ὕλην γίγνονται, ἢ θερμοτέραν, ἢ ψυχροτέραν, ἢ ἀδηκτοτέραν ὑπάρχουσαν. αὐτίκα γέ τοι λιβάνου λιγνύϊ χρῶνται, μιγνύντες ὀφθαλμικαῖς δυνάμεσι, καὶ μάλιστα ταῖς ἐπὶ τῶν ἑλκῶν. καὶ γὰρ ἀνακαθαίρεται ταῦτα καὶ σαρκοῦται πρὸς αὐτῶν. καὶ ἡ τῆς τερεβινθίνης δὲ καὶ σμύρνης, ἄλυπός ἐστι παραπλησίως τῇ τοῦ λιβάνου, ἡ δὲ τοῦ στύρακος,

ρακος, ἰσχυροτέρα τούτων. ἔτι δὲ μᾶλλον ἡ τῆς ὑγρᾶς πίσσης καὶ ταύτης ἔτι μᾶλλον ἡ τῆς κεδρίας. χρῶνται δὲ καὶ ταῖς δριμυτέραις, ἐπί τε τῶν ψίλων ὀνομαζομένων βλεφάρων, καὶ τῶν περιβεβρωμένων κανθῶν, καὶ ὑγρῶν ὀφθαλμῶν ἄνευ φλεγμονῆς.

Λιβυστικόν.

Λιβυστικοῦ ἡ ῥίζα καὶ τὸ σπέρμα τῶν θερμαινόντων ἐστὶν εἰς τοσοῦτον, ὡς ἔμμηνά τε κινεῖν, καὶ οὖρα προτρέπειν. ἔστι δὲ καὶ ἄφυσον.

Λινόσπερμον.

Εσθιόμενον φυσῶδές ἐστι κἂν ᾖ πεφρυγμένον. οὕτω περιττωματικῆς ὑγρότητος ὑπάρχει μεστόν, ἔστι δὲ καὶ θερμὸν ἐν τῇ πρώτῃ που τάξει καὶ ὑγρότητος καὶ ξηρότητος ἐν τῷ μέσῳ που τέτακται. ἔστι δὲ κακοστόμαχον, καὶ δύσπεπτον. μετέχει γε μήν τι καὶ τῆς οὐρητικῆς δυνάμεως. καὶ φρυχθὲν δὲ ἵστησί πως τὴν γαστέρα.

Λοβοί.

Περὶ λοβῶν γέγραπται ἐν τῷ περὶ δολιχῶν τόπῳ.

Λινόζωστις.

Ταύτῃ χρῶνται μὲν ἅπαντες, εἰς τὰς τῆς γαστρὸς καθάρσεις. οὐ μὴν ἀλλὰ καὶ εἰ πειραθῆναί τις βούλοιτο καταπλάττων, εὑρήσει διαφορητικὴν ἱκανῶς καὶ ταύτης τὸ σπέρμα οὔπω ξηρανθὲν διδάσκει ἡ πεῖρα τὰ παρὰ τοῖς ἰδιώταις ὀνομαζόμενα ἐν τῷ σώματι κάρφια ἐξαφανίζει ἐπειδάν τις αὐτὰ τῷ σπέρματι ἐπιμελέστερον ἀνατρίβῃ.

Περὶ λογχίτιδος.

Τῆς μὲν τὸ σπέρμα τριγώνου λόγχῃ ἐοικὸς ἐχούσης, ἡ ῥίζα ἐστὶ διουρητική, τῆς δὲ τῷ σκολοπενδρίῳ παραπλησίας, τὰ φύλλα χλωρὰ μὲν εἰς κόλλησιν τραυμάτων ἐπιτήδεια, ξηρὰ δὲ μετ᾽ ὄξους πινόμενα σπλῆνας ἰᾶται ἐσκιρρωμένους.

Λύκιον, ἢ πυξάκανθον.

Ἀκανθῶδές ἐστι φυτόν, ἐξ οὗ τὸ καλούμενον λύκιον γίγνεται, ᾧ πρὸς ὑπώπια χρώμεθα, καὶ τὰς ἐν ἕδρᾳ καὶ στόματι φλεγμονὰς καὶ ἑλκώσεις ἑρπητάς τε καὶ σηπεδόνας. καὶ τὰ κακοήθη τῶν ἑλκῶν, καὶ περιτρίμματα. καὶ παρωνυχίας. ἔστι γὰρ ξηραντικῆς δυνάμεως, ἐξ ἑτερογενῶν οὐσιῶν συγκείμενον, τῆς μὲν ἑτέρας λεπτομεροῦς τε καὶ διαφορητικῆς, καὶ θερμῆς κατὰ τὴν δευτέραν ἀπόστασιν, τῆς δὲ ἑτέρας γεώδους ψυχρᾶς, ἐξ ἧς καὶ τὴν στύψιν ἔχει μετρίαν. διὸ καὶ πρὸς διαφέροντα πάθη χρῶνται τῷ φαρμάκῳ, ὡς ῥυπτικῷ πρὸς τὰ ἐπισκοτοῦντα ταῖς κόραις παραλαμβάνοντες. ὡς συνακτικῷ δὲ κοιλιακοῖς καὶ δυσεντερικοῖς καὶ ῥῷ γυναικείῳ προσφέροντες. τὸ δὲ ἰνδικὸν εἰς ἅπαντα χρησιμώτερον.

Λυσιμάχιος.

Επικρατοῦσαν ἔχει τὴν στυπτικὴν ποιότητα, δι᾽ ἣν καὶ τραύματα κολλᾷ, καὶ τὰς ἐκ ῥινῶν αἱμορραγίας ἵστησιν ἐμπλασσομένη, καὶ τῶν ἄλλων δὲ αἱμορραγιῶν, ἴσχαιμόν ἐστι φάρμακον, αὐτή τε ὁ καὶ χυλὸς αὐτῆς ἔτι μᾶλλον. ὥς τε καὶ πινόμενος καὶ ἐνιέμενος, δυσεντερίας τε καὶ αἵματος ἀναγωγάς, καὶ γυναικεῖον ῥοῦν ἰᾶται.

Λωτὸς ὁ ἥμερος.

Ὃν ἔνιοι τρίφυλλον ὀνομάζουσι, ῥυπτικῆς ἐστι μετρίως δυνάμεως, οὕτω δὲ καὶ ξηραντικῆς. ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψύξιν συζυγίᾳ εὔκρατος.

Ὁ δὲ ἄγριος λωτός, ἐν λιβύῃ μὲν πλεῖστος γίνεται. τὸ δὲ σπέρμα αὐτοῦ, τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων. ἔχει δέ τι καὶ ῥυπτικόν, τοῦ δὲ αἰγυπτίου τὸ σπέρμα καὶ ἀρτοποιεῖται.

Λωτὸς τὸ δένδρον.

Στυπτικῆς μὲν οὐ πολλῆς μετέχει ποιότητος. ἔστι δὲ καὶ λεπτομερὲς καὶ ξηραντικόν, τὸ γοῦν ῥίνισμα τῶν ξύλων αὐτοῦ, πρός τε ῥοῦν γυναικεῖον ἁρμόττει καὶ δυσεντερίας, καὶ κοιλιακὰς διαθέσεις. ἀφέψεται δὲ ποτὲ μὲν ὕδατι, ποτὲ δὲ οἴνῳ. ὡς ἂν καὶ ἡ χρεία κελεύῃ. καὶ οὐκ ἐνίεται μόνον, ἀλλὰ καὶ πίνεται. καὶ μὴν καὶ τὰς ῥεούσας τρίχας ἐπέχει, τῷ μετρίως στύφειν καὶ ξηραίνειν.

ΑΡΧΗ ΤΟΥ Μ.

Μάκερ.

Φλοιός ἐστιν ἐκ τῆς ἰνδικῆς κομιζόμενος. στύφει δὲ μᾶλλον μετὰ βραχείας δριμύτητος. διὸ καὶ ξηραίνει. ἔστι δὲ καὶ λεπτομερὴς διὰ τὴν εὐωδίαν. καὶ διὰ τοῦτο κοιλιακαῖς τε καὶ δυσεντερικαῖς μίγνυται δυνάμεσιν. ἐν μὲν τῇ τρίτῃ τάξει τῶν ξηραινόντων ὑπάρχων. ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψυχρότητα διαφορᾷ, μηδέτερον ἐπιφανῶς ἐργαζόμενος.

Μαλαβάθρου φύλλον.

Ναρδοστάχυι παραπλήσιόν ἐστι τὴν δύναμιν.

Μαλάχη.

Ἡ μὲν ἀγρία διαφορητικῆς ἠρέμα καὶ μαλακτικῆς ἔτι βραχὺ μετέχει δυνάμεως. ἡ δὲ κηπευομένη καθόσον ὑδατώδους ὑγρότητος μετείληφε, κατὰ τοῦτο καὶ ἀσθενεστέραν τὴν δύναμιν ὑπάρχει. ὑπέρχεται δὲ τὴν γαστέρα οὐ διὰ τὴν ὑγρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν γλισχρότητα, καὶ μάλιστα ὅταν μετ᾽ ἐλαίου τε καὶ γάρου προσφέρηται, οἴνου βραχέως ἐπιρραινομένου ἐν τῷ τῆς ἐδωδῆς καιρῷ. ὁ δὲ καρπὸς αὐτῶν εἰς τοσοῦτον ἰσχυρός ἐστι, εἰς ὅσον καὶ ξηρότερος. καὶ ἡ δενδρομαλάχη καλουμένη

τούτου τοῦ γένους ἐστὶ, ἀλλὰ καὶ διαφορητικωτέρα τῶν προειρημένων. ὀνομάζεται δὲ ἀλθαία.

Μανδραγόρας.

Επικρατοῦσαν μὲν ἔχει τὴν ψυκτικὴν δύναμιν, ὥς τῆς τρίτης εἶναι τῶν ψυχόντων τάξεως. οὐ μὴν ἀλλὰ καὶ θερμότητος ὀλίγης μετέχει κατά γε τὰ μῆλα, καὶ ὑγρότητος. ὅθεν καὶ κωματώδη τὴν δύναμιν ἐστὶ ταῦτα. τῆς ῥίζης δὲ ὁ φλοιὸς ἰσχυρότατος ὢν, οὐ ψύχει μόνον, ἀλλὰ καὶ ξηραίνει. τὸ δὲ ἄλλο τὸ ἔνδον, ἀσθενὲς ὑπάρχει.

Μάραθρον.

Θερμαίνει μὲν ἰσχυρῶς ὡς ἐκ τῆς τρίτης ἤδη δυνάμεως τάξεως εἶναι. ξηραίνει δὲ κατὰ τὴν πρώτην τάξιν. καὶ διὰ τοῦτο καὶ γάλακτος ἐστὶ γεννητικὸν, ἐνδεχομένοις τε βοηθεῖ κατὰ τὸν αὐτὸν λόγον. ἔστι δὲ καὶ οὐρητικὸν, καὶ καταμηνίων ἀγωγόν.

Μαστίχη.

Η μὲν λευκὴ καὶ ἡ παχεῖα, σύνθετός πως ἐστὶ τῆς ἐναντίων δυνάμεων στυπτικῆς καὶ μαλακτικῆς. διὸ καὶ στομάχου καὶ κοιλίας καὶ ἐντέρων καὶ ἥπατος φλεγμοναῖς ἁρμόττει, κατὰ τὴν δευτέραν ἀπόστασιν θερμαίνουσα. ἡ δὲ μέλαινα ἡ αἰγυπτία προσαγορευομένη, ξηραίνει μᾶλλον αὐτῆς, καὶ ἧττον στύφει. ὅθεν ἐπιτηδειοτέρα πως ἐστὶ πρὸς τὰ διαφορήσεως ἰσχυροτέρας δεόμενα.

Μελάνθιον.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔοικε δὲ καὶ λεπτομερὲς ὑπάρχειν. οὕτω γοῦν καὶ τοὺς καταῤῥέους ἰᾶται, θερμὸν ἐν ὀθονίῳ προσαγόμενον, ὡς ὀσμᾶσθαι συνεχῶς. καὶ μὴν καὶ ἀφυσότατον ἐστι πινόμενον. ἀναιρεῖ δὲ καὶ ἕλμινθας, οὐ μόνον ἐσθιόμενον, ἀλλὰ καὶ κατὰ τῆς γαστρὸς ἐπιτιθέμενον ἔξωθεν διὰ τὴν πικρότητα. λέπρας δὲ, καὶ ἥλους, καὶ μυρμηκίας ἐκβάλλει, καὶ καταμήνια προτρέπει διὰ πάχος καὶ γλισχρότητα χυμῶν ἐπεχόμενα. ὀνίνησι δὲ καὶ ἀλωπεκίας καιόμενον, καὶ μετὰ ἐλαίου λειοτριβούμενον, καὶ χριόμενον. οὕτω δὲ καὶ ὀρθόπνοιαν. καὶ ὅλως ἔνθα τεμεῖν, καὶ ῥύψαι, καὶ ξηρᾶναι, καὶ θερμᾶναι δεόμεθα, χρησιμώτατόν ἐστι.

Μελίλωτος.

Μικτῆς ἐστὶ δυνάμεως. ἔχει μὲν γάρ τι καὶ στυπτικὸν, ἀλλὰ καὶ διαφορεῖ καὶ συμπέττει. πλέον γὰρ ἐν αὐτῷ τὸ τῆς θερμῆς οὐσίας ἐστὶν, ἤπερ τὸ τῆς ψυχρᾶς.

Μέλι.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. ἔστι δὲ ἁπλῶς ὡς ἐν μάλιστα δυνάμεώς τε καὶ κράσεως τῆς ῥυπτικῆς ὀνομαζομένης. λεπτομερέστατον δέ ἐστι, καὶ μάλιστα τὸ γινόμενον ἔνθα θύμος πλεῖστος ἀναφύεται. λεπτομερὲς δὲ ὑπάρχον ἐξ ἀνάγκης, ἔχει τι καὶ δριμὺ, δι' οὗ πρὸς ἔκκρισιν ἐπεγείρει τὴν γαστέρα. εἴρηται δὲ ὅτι καὶ ῥύπτει. τοῦτο οὖν ἀφαιροῦντες αὐτοῦ, λέγω δὴ τὸ ῥύπτον, διουρητικώτερον αὐτὸ ἀποτελοῦμεν, καὶ πρὸς ἀνάδοσιν καὶ θρέψιν ἐπιτηδειον. καλλίστη δὲ ἀφαίρεσις γίνεται, μιχθέντος ὕδατος πλείστου καὶ ἑψηθέντος ἄχρι περ ἂν ἀφρίζον παύσηται, ἀφαιρουμένου συνεχῶς δηλονότι τοῦ ἀφροῦ. τὸ δὲ μὴ ἑψηθὲν μελίκρατον ὑπερχεῖσθαι κάτω φθάνει πρὸ τοῦ πεφθῆναι. γέρουσι μὲν οὖν καὶ ὅλως ταῖς ψυχραῖς τοῦ σώματος κράσεσιν, ἐπιτήδειον τὸ μέλι. τοῖς δὲ ἀκμάζουσι καὶ θερμαῖς, ἐκχολοῦται πρὶν πεφθῆναι. ἑψηθὲν δὲ καθ' αὑτὸ, ἧττον γίνεται δριμὺ καὶ ῥυπτικὸν, ὅθεν καὶ μᾶλλον τρέφει. καὶ εἰς τὰς τῶν κόλπων κολλήσεις, ἐπιτηδειότατον γίνεται.

Μελισσόφυλλον.

Πρασίῳ μέν ἐστι παραπλήσιον τῇ δυνάμει. ἀπολείπεται δὲ αὐτοῦ πάμπολυ. διὰ τοῦτο οὐδὲ κέχρηταί τις αὐτῷ. πορίστου γὰρ πρασίου ὄντος ἁπανταχοῦ τῆς γῆς, μελισσοφύλλῳ χρῆσθαι. εἰ μέντοι μὴ παρείη πράσιον εἰς ὅσα περ ἐκείνῳ χρώμεθα, καὶ τούτῳ χρηστέον, γινώσκοντα τὸ τῆς ἐνεργείας ἐλλιπές.

Μήκων πᾶσα.

Ψυκτικῆς ἐστὶ δυνάμεως. ἀλλὰ τῆς μὲν κηπευομένης ἣν καὶ θυλακῖτιν προσαγορεύομεν, μετρίως ὑπνῶδες τὸ σπέρμα. τῆς δὲ ῥοιάδος ἰσχυρότερον ψύχει τὸ σπέρμα. ὥστε οὐκ ἄν τις αὐτῷ χρήσοιτο ἀλύπως, ὥσπερ τῷ τῆς κηπευομένης. τῆς δὲ ἀγρίας τὸ σπέρμα μέλαν ὑπάρχον ἤδη φαρμακῶδές ἐστιν ἱκανῶς ψύχον. καὶ μάλιστα τῆς θηβαΐας. καὶ ὁ ὀπὸς δὲ, ἰσχυρῶς ψύχει, μέχρι νάρκης καὶ νεκρώσεως. ἔστι γὰρ τῆς τετάρτης τε καὶ ἐσχάτης τάξεως τῶν ψυχόντων.

Μέσπιλον.

Στρυφνὸς ὁ καρπὸς τοῦ δένδρου τούτου. ἐφεκτικὸς δὲ ἱκανῶς γαστρός.

Μήκων κερατῖτις.

Αὕτη καλεῖται καὶ παραλία, ἐπειδὴ τὰ πολλὰ πλησίον τῆς θαλάσσης φύεται. δύναμιν δὲ ἔχει τμητικήν τε καὶ ῥυπτικήν, ὥστε ἡ μὲν ῥίζα ἑψηθεῖσα ἐν ὕδατι μέχρι ἡμισείας, ἡπατικὰς ὠφελεῖ διαθέσεις. τὰ δὲ φύλλα καὶ τὰ ἄνθη, τὰ ῥυπαρὰ σφόδρα καὶ κακοήθη τῶν ἑλκῶν ὀνίνησι. χρὴ δὲ αὐτῶν ἀφίστασθαι, καθαρῶν γινομένων τῶν ἑλκῶν. εἰς τοσοῦτον γοῦν ῥύπτειν πέφυκεν, ὡς καὶ αὐτῆς τῆς καθαρᾶς σαρκὸς ἀποτήκειν. διὰ τοῦτο καὶ τὰς ἐσχάρας ἀφαιρεῖ τῶν ἑλκῶν.

Μηλέα περσική.

Ταύτης τὰ φύλλα καὶ οἱ κλάδοι ὑποξηραίνουσαν ἔχουσι τὴν πικρὰν ποιότητα. διὸ καὶ τὰς ἕλμινθας ἀποκτείνει, λειωθέντα καὶ κατὰ τοῦ ὀμφαλοῦ ἐπιτεθέντα. καὶ ἄλλως δὲ διαφορητικόν ἐστι φάρμακον. ὁ δὲ καρπὸς αὐτοῦ τὸ περσικὸν ὀνομαζόμενον, ὑγρότερόν τ' ἐστὶ καὶ ψυχρότερον τὴν κρᾶσιν. ἐσθιομένου δὲ ἡ σὰρξ αὐτοῦ, εὔφθαρτός τ' ἐστὶ καὶ πάντη μοχθηρά, ὥστε οὐ χρὴ καθάπερ ἔνιοι τε-

λευταῖα

λυταῖα τῆς ἄλλης τροφῆς αὐτὰ προσφέρεσθαι. διαφθείρεται γὰρ ἐπιπολάζοντα. μεμνῆσθαι δὲ χρὴ τοῦ κοινοῦ κανόνος, ὅσα κακόχυμα μὲν, ὑγρὰ δὲ καὶ ὀλισθηρὰ, καὶ ῥᾳδίως ὑπιέναι δυνάμενα, δεῖ ταῦτα πρότερα τῶν ἄλλων ἐσθίειν. οὕτω γὰρ αὐτά τε ταχέως ὑπέρχεται, κἀκείνοις ποδηγεῖ. τὰ δὲ ὕστατα ληφθέντα, συνδιαφθείρει καὶ τὰ ἄλλα.

Μηλέα ἀρμενιακή.

Ταύτης καὶ τὸ δένδρον καὶ τὸν καρπὸν πρεκόκκια καλοῦσι. ἔστι δὲ ὑγρὸς καὶ ψυχρὸς ὁ καρπὸς κατὰ τὴν δευτέραν που μάλιστα πεπανθεὶς ἀπόστασιν. διαφορὰν δέ τινα ἐπὶ τὸ βέλτιον κέκτηται. οὐδὲ γὰρ ὁμοίως διαφθείρεται κατὰ τὴν κοιλίαν, ὥσπερ τὰ περσικά, οὔτε ὀξύνεται. φαίνεται δὲ καὶ τοῖς πολλοῖς ἥδιον. καὶ διὰ τοῦτο εὐστομαχώτερον.

Μηλέα μηδικὴ ἤτοι κιτρέα.

Ταύτης ὁ καρπὸς κίτριον ὀνομάζεται ὑπὸ πάντων. κατὰ μὲν οὖν τὴν ἐντεριώνην τὴν ὀξεῖαν ποιότητα, καὶ ξηραντικὴν δύναμιν ἐπικρατοῦσαν ἔχει, ὡς τῆς τρίτης εἶναι τάξεως τῶν ξηραινόντων τε καὶ ψυχόντων. κατὰ δὲ τὸν φλοιὸν ξηραινούσης κἀνταῦθα μετέχει κράσεως κατὰ τὴν δευτέραν ἀπόστασιν. οὐ μὴν ψυχρᾶς διὰ τὸ ἀρωματίζειν. ἡ δὲ σὰρξ αὐτοῦ παχύχυμος ἐστὶ καὶ ψυχρὰ διὰ τὸ σκληρόν. τὸ δὲ σπέρμα πάνυ ἄβρωτον. πικρὸν γὰρ καὶ δηλονότι καὶ διαφορητικόν, καὶ ξηραντικὸν κατὰ τὴν δευτέραν τάξιν. καὶ τὰ φύλλα δὲ ξηραντικῆς ἐστὶ καὶ διαφορητικῆς δυνάμεως.

Μῆλα.

Ἐν δὲ τοῖς ἄλλοις μήλοις πολλή τις ἡ διαφορά, ὅσα μὲν γὰρ στύφει μῆλα ψυχρὸν ἔχει καὶ γεώδη χυμόν. ὅσα δὲ ὀξέα φαίνεται ψυχρὸν μὲν, ἀλλὰ λεπτομερῆ. μέσης δὲ ἡ κράσεως ἐστὶ τὰ γλυκέα πρὸς τὸ θερμότερον ῥέποντα. τοῖς μὲν οὖν αὐστηροῖς μήλοις, κεχρῆσθαι δεῖ, ὅταν ἤτοι διὰ δυσκρασίαν θερμὴν, ἢ ὑγρότητα πολλὴν, ἄτονος ἡ γαστὴρ ὑπάρχῃ. τοῖς δὲ στρυφνοῖς ὅταν ἱκανῶς ταῦτα αὐξηθῇ. ἐπέχουσι γὰρ διὰ παντὸς ὅσον ἐφ' ἑαυτοῖς τὰ στύφοντα τὰς κάτω διαχωρήσεις. τὰ δὲ ὀξέα ὁρμᾷ. ὅταν οὖν ὑπολάβῃς ἐν τῇ γαστρὶ παχὺν ἠθροῖσθαι χυμὸν, οὐ πάνυ τοι ψυχρὸν, πρόσαγε ταῦτα. τέμνοντα γὰρ τοῦτον, ὑπάγει τε κάτω. καὶ διὰ τοῦτο ὑγραίνει τὰ διαχωρήματα. καθαρὰν δὲ εὑρίσκοντα τὴν κοιλίαν, ἐπέχουσιν αὐτὴν μᾶλλον.

Μίον.

Μίου αἱ ῥίζαι χρήσιμοι κατὰ μὲν τὴν τρίτην ἀπόστασιν θερμαίνουσι. ξηραίνουσι δὲ κατὰ τὴν δευτέραν ὑγρότητα περιττωματικὴν ἐν ἑαυταῖς ἔχουσαι. οὖρα οὖν κινεῖ. καὶ καταμήνια προσκαλεῖται πινόμενον. κεφαλαλγὲς δέ ἐστι πλέον λαμβανόμενον καὶ διὰ τὴν ὑγρότητα φυσῶδες.

Μορέας ὁ καρπός.

Συκάμινα καὶ συκόμορα καλεῖται συνεχῶς ὑπὸ πολλῶν. καθαρᾷ μὲν οὖν ἐμπεσόντα γαστρὶ τὰ πέπειρα καὶ πρῶτα ληφθέντα διεξέρχεται τάχιστα κατ' ἔντερον, καὶ τοῖς ἄλλοις σιτίοις ὑφηγεῖται. μετὰ δὲ τὴν τροφὴν ληφθέντα ἢ χυμὸν εὑρόντα μοχθηρὸν ἐν τῇ γαστρὶ τάχιστα διαφθαρέντα, ἀλλόκοτόν τινα καὶ οὐ δυναμένην ῥηθῆναι ἴσχουσι διαφθοράν, ταῖς κολοκύνθαις ὁμοίως καὶ τοῖς πέποσιν ὅταν μὴ πεφθῶσι. καιρὸς δὲ τῆς χρήσεως ὥσπερ τοῖς πέποσι καὶ τοῖς σικύοις, οὕτω καὶ τοῖς μόροις. ὅταν αὐχμηρὸν καὶ ξηρὸν γένηται τὸ τῆς γαστρὸς σῶμα. ἐξ ἀνάγκης τε καὶ τοῦ ἥπατος. τό τε γὰρ τοῖς τοιούτοις ἅπασι μόνως ἄν τις εἰς ὠφέλειαν χρήσαιτο. καὶ ὅταν τεταλαιπωρημένος ἐν ὁδοιπορίᾳ μακρᾷ καὶ καύματι λάβρῳ τύχῃ. τηνικαῦτα γὰρ ὀνίνησι τέμνοντα μὲν τὸν αὐχμὸν τοῦ σώματος, ἐμψύχοντα δὲ μετρίως. ὁ δὲ ἄωρος καρπὸς τῆς μορέας ξηρανθεὶς ἐν ἡλίῳ ἀκριβῶς καὶ ἀποτιθέμενος στεγνωτικὸν ἱκανῶς γίνεται φάρμακον ἀγαθὸν, ὡς καὶ δυσεντερίας ἰᾶσθαι, καὶ κοιλιακὰς διαθέσεις, καὶ τὰς ἄλλας ὅσαι ῥοώδεις. κόπτεται δὲ καὶ ὄξει μίγνυται. καθάπερ καὶ ὁ τῆς ῥοῦ καρπὸς, καὶ πίνεται δὲ μεθ' ὕδατος καὶ οἴνου. ὁ δὲ φλοιὸς τῆς ῥίζης τοῦ δένδρου, καθαρτικῆς μετέχει δυνάμεως μετά τινος πικρότητος. ὥστε καὶ πλατεῖαν ἕλμινθα ἀναιρεῖ ἀποζεννύμενος μετ' οἴνου. καὶ πινομένου τοῦ ἀκράτου θερμοῦ ὅσον κυάθου α. καὶ τὰ χρονίως ἐπεσχημένα καταμήνια προσκαλεῖται.

Μυκήτης.

Ψυχρὸν καὶ ὑγρὸν ἱκανῶς ἔδεσμα. ὅθεν καὶ δηλητηρίου δυνάμεως ἐγγὺς ἥκουσι. καί τινες αὐτῶν καὶ ἀναιροῦσι.

Μυωτίς.

Ξηραίνει μὲν κατὰ τὴν δευτέραν τάξιν. θερμότητα δὲ οὐδεμίαν ἐπιφανῆ κέκτηται. ὁ δὲ χυλὸς αὐτῆς ὅσον κύαθος μετὰ ζύθου πινόμενος, τὴν πλατεῖαν ἕλμινθα ἀπαραβάτως ἐκτινάσσει.

Μυρίκη.

Τμητικῆς καὶ ῥυπτικῆς ἱκανῶς ἐστὶ δυνάμεως, ἄνευ τοῦ ξηραίνειν ἐπιφανῶς. ἔχει δέ τινα στύψιν, καὶ διὰ ταύτας τὰς δυνάμεις, σπλῆνας μὲν ἱκανῶς ὀνίνησιν ἐσκιρρωμένους σὺν ὄξει ἢ οἴνου τῶν ῥιζῶν ἢ τῶν ἀκρεμόνων, ἢ τῶν φύλλων ἀφεψομένων. ὁ δὲ καρπὸς καὶ ὁ φλοιὸς οὐ βραχείας στύψεως μετείληφε μετὰ τοῦ ἔχειν τὸ ῥυπτικὸν καὶ λεπτομερές, ἡ δὲ τῆς καυθείσης μυρίκης τέφρα, ξηραντικῆς γίνεται δυνάμεως.

Μυῤῥίνη, ἢ μυρσίνη.

Ἐξ ἐναντίων καὶ τοῦτο τὸ φυτὸν σύγκειται οὐσιῶν. ἐπικρατεῖ δὲ ἐν αὐτῇ ὁμοίως τὸ γεῶδες ψυχρὸν, ἔχει δέ τι καὶ λεπτομερὲς θερμόν, ὅθεν ἰσχυρῶς ξηραίνει, καὶ στεγνωτικῆς δυνάμεως εἰσὶν ἅπαντα τὰ μόρια τοῦ φυτοῦ. ἔξωθέν τε τοῦ σώματος ἐπιτιθέμενα, καὶ εἴσω λαμβανόμενα.

Μῶλυ ἢ βίσασά.

Μῶλυ ὅτι τινὲς ἀγριοπήγανον ὀνομάζουσιν. ἔνιοι δὲ ἀρμαλά. σύροι δὲ βισασά. ἡ δύναμις αὐτοῦ λεπτομερής ἐστι καὶ θερμὴ κατὰ τὴν τρίτην ἀπόστασιν. ὅθεν καὶ τέμνει καὶ διαφορεῖ τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. καὶ ἐπ᾽ οὔρησιν προτρέπει. χρῶνται δὲ αὐτῷ οἱ κατ᾽ ἀγρὸν, ἐπὶ τῶν χρονίως κεφαλαλγούντων, ἑψῶντες ὕδατι. καὶ καταιονοῦντες τὴν κεφαλήν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἐψυγμένων μορίων τι τοῦ σώματος.

ΑΡΧΗ ΤΟΥ Ν.

Ναρδόσταχυ.

Θερμαίνει μὲν κατὰ τὴν πρώτην ἀπόστασιν. ξηραίνει δὲ, κατὰ τὴν δευτέραν συμπληρουμένην. σύγκειται δὲ ἔκ τε τῆς στυφούσης αὐτάρκως οὐσίας, καὶ δριμείας θερμῆς οὐ πολλῆς. καί τινος ὑποπίκρου βραχείας. ὅθεν καὶ πρὸς ἧπαρ καὶ στόμαχον εὐλόγως ἁρμόττει, πινομένη τε καὶ ἔξωθεν ἐπιτιθεμένη. καὶ οὖρα κινεῖ. καὶ δήξεις ἰᾶται στομάχου. καὶ τὰ κατὰ τὴν γαστέρα καὶ ἔντερα ῥεύματα ξηραίνει. καὶ πρὸς τούτοις ἔτι τὰ κατὰ τὴν κεφαλὴν καὶ τὸν θώρακα. ἰσχυροτέρα δὲ ἡ ἰνδική. μελαντέρα τῆς συριακῆς ὑπάρχουσα. Νάρδος κελτική.

Παραπλησία μέν πως κατὰ γένος δυνάμεως τῆς προειρημένης ἐστί. ἀσθενεστέρα δὲ εἰς ἅπαντα πλὴν εἰς οὖρα. θερμοτέρα μὲν γὰρ ἐκείνης ἐστὶ, ἧττον δὲ στύφει. Νάρθηξ.

Τούτου τὸ μὲν σπέρμα λεπτύνει καὶ θερμαίνει. τὸ δὲ ἐντὸς τὸ καλούμενον ἐντεριώνη, στυπτικῆς τινὸς μετέχει ποιότητος, δι᾽ ἣν αἱμοπτοϊκοῖς καὶ κοιλιακοῖς ἁρμόττει. Νάπυ.

Τὸ δὲ νάπυ θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τετάρτην ἀπόστασιν. ἄριστον δὲ καὶ τὸ αἰγύπτιον ἢ τὸ συριακόν. μικρότερον δὲ τῷ ὄγκῳ καὶ ἐναιμότερον κεχρωσμένον. Νάρκισσος.

Τούτου ἡ ῥίζα ξηραντικῆς ἐστι δυνάμεως. τοσοῦτον ὡς κολλᾶν τραύματα μεγάλα, μέχρι καὶ τῶν περὶ τοὺς τένοντας διακοπῶν. ἔχει δέ τι καὶ ῥυπτικὸν καὶ ἐπισπαστικόν. Νήριον, ἢ ῥοδοδάφνη.

Γνώριμος ἅπασι θάμνος. ἔξωθεν μὲν ἔξω τοῦ σώματος εἰ καταπλασθείη, διαφορητικῆς ἐστι δυνάμεως. εἴσω δὲ λαμβανόμενος, ὀλέθριός τε καὶ δηλητήριος, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν βοσκημάτων. Νυμφαία.

Ταύτης ἥ τε ῥίζα καὶ τὸ σπέρμα δύναμιν ἔχει ξηραντικὴν ἄδηκτον. ἐπέχει τοιγαροῦν καὶ τὰ τῆς γαστρὸς ῥεύματα. καὶ τὸ σπέρμα, κατά τε τοὺς ὀνειρωγμένους, καὶ ἄλλως πως ἀμέτρως φερόμενον. ὀνίνησι δὲ καὶ δυσεντερικούς. ἡ δὲ τὴν λευκὴν ἔχουσα ῥίζαν νυμφαία, σφοδροτέρας ἐστὶ δυνάμεως. ὥστε καὶ ῥοῦν γυναικεῖον ἰᾶσθαι. πίνεται δὲ καὶ αὐτὴ καὶ ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν, ἐν οἴνῳ μέλανι αὐστηρῷ. μετέχουσι δέ τι καὶ ῥυπτικῆς δυνάμεως ὥστε καὶ ἀλφοὺς ἰῶνται δευθεῖσαι. καὶ ἀλωπεκίας σὺν ὑγρᾷ πίσσῃ. κρείττων δὲ εἰς ταῦτα, ἡ τὴν μέλαιναν ἔχουσα ῥίζαν. εἰς δὲ τὰ ἄλλα, ἡ τὴν λευκήν.

ΑΡΧΗ ΤΟΥ Ξ.

Ξάνθιον.

Οἱ μὲν φασγάνιον. οἱ δὲ, φιλάνθρωπον. οἱ δὲ χοιραδόλεθρον. τούτου ὁ καρπὸς, διαφορητικῆς ἐστι δυνάμεως. τὸ δὲ ἀφέψημα τοῦ φλοιοῦ τῆς ῥίζης πινόμενον, σπλῆνας τήκει. καὶ ὀδόντας σειομένους κρατύνει, μετ᾽ οἴνου ἑψόμενον καὶ πινόμενον. Ξίφιον.

Ξιφίου ἡ ῥίζα μάλιστα ἡ ἄνωθεν, ἑλκτικῆς ἐστι δυνάμεως, καὶ διαφορητικῆς καὶ δηλονότι καὶ ξηραντικῆς.

ΑΡΧΗ ΤΟΥ Ο.

Οἶνος.

Ἐκ τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων. ὁ δὲ ἱκανῶς παλαιὸς, τῆς τρίτης. ὥσπερ ὁ νέος γλεύκινος τῆς πρώτης. ἀνάλογοι δὲ ταῖς θερμότησι καὶ αἱ ξηρότητες αὐτοῦ. ἐπεὶ δὲ πλείστας ἐν τῷ οἴνῳ εὑρίσκομεν διαφορὰς, διοριστέον περὶ αὐτῶν ὡς οἷόν τε διὰ βραχέων. Πάντων μὲν οὖν οἴνων οἱ ἐρυθροί τε ἅμα καὶ παχεῖς, εἰς αἵματος γένεσιν ἐπιτηδειότατοι, βραχυτάτης δεόμενοι τῆς εἰς τὸ αἷμα μεταβολῆς. ἐφεξῆς δὲ αὐτῶν οἱ μέλανές τε ἅμα καὶ γλυκεῖς καὶ παχεῖς. εἶτα οἱ κατὰ μὲν τὴν χροίαν, ἐρυθροὶ καὶ μέλανες. ἐν δὲ τῇ συστάσει, παχεῖς μὲν ἔχοντες ἅμα καὶ τῆς στυφούσης ποιότητος. τούτων δὲ ἧττον οἱ λευκοί τε ἅμα καὶ παχεῖς καὶ στρυφνοὶ τρέφειν πεφύκασιν. ἁπάντων δὲ ἥκιστα τρέφουσιν, οἱ λευκοὶ μὲν τῇ χροιᾷ, λεπτοὶ δὲ τῇ συστάσει παραπλήσιοι πως ὄντες ὕδατι. πέττονται δὲ κατὰ τὴν γαστέρα, καὶ ἀναδίδονται μᾶλλον οἱ γλυκεῖς τῶν αὐστηρῶν. θερμότεροι μᾶλλον τὴν δύναμιν ὄντες. καὶ ὑπακτικοὶ δὲ μᾶλλον εἰσὶ γαστρός. οἱ δὲ πάνυ παχεῖς, καὶ βραδύτερον πέττονται, καὶ βραδύτερον ἀναδίδονται. γαστρὸς δὲ ἰσχυρᾶς ἐπιτυχόντες ὡς πεφθῆναι καλῶς, πλείονα τροφὴν διδόασι τῷ σώματι. πρόδηλον δὲ ὅτι καὶ σταλτικοί εἰσι γαστρὸς εἰς οὔρησιν δὲ οὐκ ἀγαθοὶ, παχὺν χυμὸν ἐπί τινων γεννῶντες. ἐμφράττονται δὲ ὑπ᾽ αὐτῶν τινὲς, ἧπάρ τε καὶ σπλῆνα, καὶ νεφρούς. κἀντεῦθεν, οἱ μὲν ὑδεριῶσιν. οἱ δὲ λιθιῶσι, τῶν ἐπὶ πλέον αὐτοῖς χρησαμένων καὶ μάλιστα γερόντων. ἄριστος δὲ ἐν οἴνοις ἐστὶ, καὶ τοῖς ὑγιαίνουσιν ἐπιτηδειότερος, καὶ τοῖς ἐκ νόσων ἀνακομιζομένοις, ὁ τῇ χροιᾷ μὲν ἐρυθρός. τῇ δὲ συστάσει λεπτὸς, ὑπόστυφος ἠρέμα.

Ὄξος.

Ὄξος.

Τὸ ὄξος τμητικῆς ἐστὶν οὐσίας καὶ ψυχρᾶς καὶ θερμῆς, ἀμφοῖν λεπτομερῶν. ἐπικρατεῖ δὲ ἐν αὐτῷ ἡ ψυχρὰ οὐσία, καθὼς ἐν ἀρχῇ τοῦ βιβλίου προείρηται. ξηραντικὸν δ᾽ ἐστὶν ἱκανῶς τὸ φάρμακον, ὡς τῆς τρίτης εἶναι τάξεως ἤδη συμπληρουμένης, ὅταν γε ἰσχυρὸν ὑπάρχῃ.

Ὀπὸς ἢ λάσαρ.

Ὁ μὲν κυρηναϊκὸς, ἁπάντων ἐστὶ θερμότερος καὶ λεπτομερέστερος, καὶ διὰ τοῦτο καὶ διαφορητικώτερος. οὐ μὴν ἀλλὰ καὶ οἱ ἄλλοι θερμοί εἰσι. καὶ πνευματώδεις. τουτέστιν ὅ, τε μηδικὸς καὶ ὁ συριακὸς καλούμενος, ὃν λάσαρ καλοῦσιν.

Ὀρίγανον.

Ταύτης τῆς πόας τρίτον τὸ εἶδος. τμητικῆς δὲ εἰσὶ καὶ λεπτυντικῆς καὶ ξηραντικῆς καὶ θερμαντικῆς δυνάμεως, κατὰ τὴν τρίτην τάξιν ἔχουσαι ταῦτα. ἡ δὲ φαγωρίγανος, προσείληφέ τι καὶ στύψεως.

Ὀξυσχοίνου.

Περὶ ὀξυσχοίνου ἐν τῷ περὶ σχοίνου εἴρηται τόπῳ.

Ὄροβος.

Ξηραίνει μὲν κατὰ τὴν δευτέραν ἀπόστασιν ἐπιτεταμένην, θερμαίνει δὲ κατὰ τὴν πρώτην. εἰς ὅσον δὲ πικρότητος μετείληφεν, εἰς τοσοῦτον καὶ τέμνει, καὶ ῥύπτει, καὶ ἐκφράττει. πλείων δὲ ληφθεὶς αἷμα δι᾽ οὔρων ἄγει.

Ὀροβάγχη.

Ψυχρᾶς κράσεώς ἐστι καὶ ξηρᾶς κατὰ τὴν πρώτην τάξιν.

Ὄρυζα.

Ἔχει τι καὶ στυπτικόν. διὸ καὶ μετρίως τὴν γαστέρα ἐπέχει. δύσπεπτον δέ ἐστι ἔδεσμα.

Ὄρχεις. οἱ δὲ κυνὸς ὄρχεις.

Ταύτης ἡ ῥίζα διπλῆ βολβοειδής. ὑγρὰ καὶ θερμή. διὸ καὶ γλυκεῖα γευομένοις ἐστί. καὶ ἡ μὲν μείζων ῥίζα διὰ τὴν πολλὴν ὑγρότητα, πρὸς ἀφροδίσια προτρέπει πινομένη. ἡ δὲ μικροτέρα, διὰ τὸ ξηρότερον ῥέπουσα ἐπέχει τὰς τῆς συνουσίας ὁρμάς.

Ὄρχις ἣν σαραπιάδα καλοῦσιν.

Αὕτη ξηροτέρας ἐστὶ δυνάμεως, ἢ κατὰ τὴν προτέραν. ὅθεν εἰς ἀφροδίσια μὲν οὐχ ὁμοίως ἐπιτήδειος. ἐστὶ οἰδήματα δὲ καταπλασσομένη διαφορεῖ, καὶ ἕλκη ῥυπαρὰ καθαίρει. καὶ ἕρπητας ἰᾶται. ἡ δὲ ξηρὰ, καὶ τὰ σηπεδονώδη, καὶ κακοήθη τῶν ἑλκῶν ἰᾶται. καὶ γάρ τι καὶ ὑπόστυφον ἔχει. διὸ καὶ κοιλίαν ἐπέχει μετ᾽ οἴνου πινομένη.

Ὀσυριάς.

Ὀσυριάδος τῆς πόας, ἐξ ἧς καὶ τὰ κορήματα γίνεται, πικρὰ μὲν ἡ ποιότης. ἐκφρακτικὴ δὲ ἡ δύναμις. ὅθεν καὶ τὰς κακοήθεις καθ᾽ ἧπαρ ἐμφράξεις, ἐκφράττει.

ΑΡΧΗ ΤΟΥ Π.

Παγκράτιον.

Ἡ τούτου ῥίζα σκίλλῃ ἔοικε κατά τε τὴν γεῦσιν καὶ κατὰ τὴν δύναμιν. ὥστε καὶ χρῶνταί τινες αὐτῇ μὴ παρούσης σκίλλης, ἀσθενεστέρα δ᾽ ἐστὶ μακρῷ.

Παλίουρος.

Παλιούρου τὰ φύλλα καὶ ἡ ῥίζα στυπτικῆς μὲν οὐκ ἀσαφῶς μετείληφε δυνάμεως, κατὰ τὴν γεῦσιν. ὥστε καὶ τὴν ῥέουσαν ἐπέχει γαστέρα. διαφορητικῆς δὲ εἰς τοσοῦτον, ὡς καὶ τὰ φύματα θεραπεύειν, ὅσα γε μὴ λίαν ἐστὶ φλεγμονώδη τε καὶ θερμά. ὁ δὲ καρπὸς τῆς τμητικῆς εἰς τοσοῦτον μετέχει δυνάμεως, ὥστε καὶ τοὺς ἐν κύστει λίθους θρύπτειν τε καὶ ἐκκαθαίρειν. καὶ τοῖς ἐκ θώρακός τε καὶ πνεύμονος ἀναπτύουσι βοηθεῖν.

Πάναξ ἡράκλειον.

Ἐκ τούτου ὁ καλούμενος ὀποπάναξ γίνεται. ἔστι δὲ ὁ ὀπὸς οὗτος, θερμὸς μὲν καὶ διαφορητικὸς ἐκ τῆς τρίτης τάξεως. ξηρὸς δὲ τῆς δευτέρας. ὁ δὲ φλοιὸς τῆς ῥίζης, ξηραντικὸς καὶ θερμαντικός ἐστι ἧττον τοῦ ὀποῦ. ῥύπτει μέν τοι. διὸ ἁρμόζει πρός τε τὰ γυμνὰ τῶν ἑλκῶν καὶ τὰ κακοήθη. ῥύπτει γὰρ καὶ ξηραίνει καὶ σαρκοῖ ἀλύπως. ὁ δὲ καρπὸς θερμὸς ὢν καὶ καταμήνια ἄγει.

Πεντάφυλλον τοῦ δρόμου βοτάνη.

Ταύτης ἡ ῥίζα ξηραίνει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν. ἥκιστα δ᾽ ἐστὶ δριμεῖα. διὸ καὶ πολύχρηστος ὑπάρχει. ἔστι γὰρ καὶ λεπτομερής.

Πέπλιον.

Τούτου τὸ σπέρμα χρήσιμον. σὺν γὰρ τῷ φλέγματι, καὶ χολὴν ἄγει. καὶ φυσῶν ἐστι καταρρηκτικὸν ὡς καὶ Ἱπποκράτης γράφει.

Πέπων.

Ὁ μὲν πεπεμμένος λεπτομεροῦς οὐσίας ἐστὶν, ὁ δὲ μὴ τοιοῦτος παχυμερεστέρας. ῥυπτικῆς δὲ καὶ τμητικῆς μετείληφε δυνάμεως. ὅθεν οὐρητικοί τε εἰσί, καὶ λαμπρύνουσι τὸ σῶμα, καὶ μᾶλλον εἰ ξηράνας τις τὸ σπέρμα. κἄπειτα κόψας καὶ σήσας σμίγματι χρῷτο, ὥστε τῶν ἐφηλίδων καὶ φακῶν τῶν

ἐπὶ τοῦ προσώπου, καὶ ἀλφῶν ἐπιπολαίων. κρατεῖ δὲ ἐν αὐτοῖς ἡ ὑγρὰ καὶ ψυχρὰ κρᾶσις, ὡς εἶναι
τῆς δευτέρας κατ' ἄμφω τάξεως. τὸ δὲ σπέρμα καὶ ἡ ῥίζα ξηρὰ [illegible] τῆς δευτέρας που τά-
ξεως ἀρχομένης. γίνεται δὲ τὸ ῥυπτικὸν ἐν τῇ ῥίζῃ πλέον τῆς σαρκός, ἡ δὲ σὰρξ αὐτῶν ἐσθιομένη
μετὰ τοῦ ῥύπτειν καὶ οὖρα κινεῖ, καὶ διέρχεται κάτω μᾶλλον τῶν κολοκυντῶν, μᾶλλον δὲ ῥύπτει τὸ
σπέρμα, ὥστε καὶ πρὸς λιθιῶντας ἁρμόττει νεφρούς, μοχθηρὸν δὲ ἐργάζεται χυμὸν ὁ πέπων ἐν
τῷ σώματι καὶ μᾶλλον ὅταν μὴ καλῶς πεφθῇ. τηνικαῦτα γὰρ καὶ χολερικοὺς ἀποτελεῖν εἴωθε,
καὶ γὰρ καὶ πρὶν διαφθαρῆναι πρὸς ἔμετον ἐπιτήδειός ἐστιν ἐπὶ πλέον γε βρωθείς, κἂν μή τις αὐτῷ
τι τῶν εὐχύμων ἐδεσμάτων ἐπιφάγῃ, κινήσει πάντως ἔμετον.

Πέπερι.

T τὸ μὲν ἄρτι βλαστάνον τὸ μακρόν ἐστι. διὸ καὶ ὑγρότερον ὑπάρχει. ὁ δὲ οἷον ὄμφαξ καρπός, τὸ λευκόν ἐστι
10 πέπερι, δριμύτερον ὑπάρχον τοῦ μέλανος. τὸ γὰρ μέλαν οἷον ὑπερωπτημένον ἤδη καὶ ὑπερξηραμένον
ἐστι, ἀμφότερα δὲ ἰσχυρῶς θερμαίνει καὶ ξηραίνει.

Περιστερεὼν ὀρθὸς ἢ Ἀφροδίτης βοτάνη.

T αὐτὴν ἱερὰν καλοῦσι βοτάνην. κεφαλαλγίαν ἄκρως ἀπαλλάσσει, φησὶν Ἀρχιγένης στεφανουμένη,
καὶ λεία μετ' ὄξους καὶ ῥοδίνου ἐπιχριομένη, καὶ ἑψομένη δὲ μετ' ἐλαίου καὶ ἐμβρεχομένη, τῆς
κεφαλῆς ἰᾶται πᾶσαν χρονίαν κεφαλαλγίαν, καὶ τὰς ῥεούσας τρίχας ἐπέχει. τὸ δὲ ἀφέψημα τῆς
ῥίζης διακρατούμενον θερμὸν ἐν τῷ στόματι, ὀδονταλγίαν παύει. καὶ κινουμένους ὀδόντας κρα-
τύνει, καὶ τὰ ἐν τῷ στόματι ἕλκη ἰᾶται. πρὸς δὲ κωλικοὺς τὴν ῥίζαν ἁδρομερῶς κόψας, ἕψε μεθ' ὕ-
δατος ἕως εἰς τὸ ἥμισυ. καὶ δίδου πίνειν ἐπὶ ἡμέρας ε. ἔστι γὰρ διὰ πείρας πρὸς λιθιῶντας,
καὶ ἀρχὴν ἐλεφαντιάσεως δίδου ὁμοίως πίνειν τὸ ἀφέψημα μετὰ μελικράτου. χρῶ δὲ ὁμοίως καὶ
πρὸς ἐπιληπτικούς, καὶ ἀμφημερινούς, καὶ τεταρταίους πυρετούς, πρὸς δὲ ποδαγρικοὺς καὶ ἰσχια-
20 δικοὺς ἐν οἴνῳ ἑψήσας, δίδου. χυλιζομένη δὲ ἡ ῥίζα, κλύσμα συρίγγων ἄριστον γίνεται. μάλιστα
προσμιγνυμένου συγκαμένου ὀποῦ καὶ μέλιτος. καὶ καυθεῖσα καὶ ξηρὰ ἐπιπαττομένη, ἰᾶται σύ-
ριγγας. καὶ μέλιτι δὲ ἀναληφθεῖσα ἀπέφθῳ ἐντίθεται τῇ σύριγγι ὡς κολλύριον καὶ ποιεῖ παραδό-
ξως.

Περσέα.

T αὐτῆς τὰ φύλλα στυπτικῆς μετείληφε συμμέτρου δυνάμεως ὥστε δύνασθαι ποτὲ καὶ τοῖς αἱμορρα-
γοῦσι μορίοις ἐπιτίθεσθαι συμφερόντως. ὠφελεῖ δὲ καὶ κνησμονὰς ξηρὰ λεῖα σμώμενα.

Περδικιάς.

E εἴρηται ἐν τῷ πέμπτῳ ἑλξίνην αὐτὴν ὀνομάσαμεν.

Παιονία.

E εἴρηται ἐν τῷ τρίτῳ γλυκυσίδην αὐτὴν ὀνομάσαμεν.

Πετροσέλινον.

T τούτου τὸ σπέρμα μάλιστα χρησιμώτατον. ἀσθενεστέρα δὲ ἡ πόα. ἔστι δὲ τὸ σπέρμα θερμὸν καὶ ξηρὸν τῆς
τρίτης τάξεως καὶ τμητικόν. καταμήνια οὖν προτρέπει καὶ οὖρα δαψιλῆ. ἔστι δὲ καὶ ἄφυσον.

30 Πευκέδανον.

T τούτου τῇ ῥίζῃ μάλιστα χρώμεθα. καὶ τῷ ὀπῷ καὶ τῷ χυλῷ αὐτῆς. ἔστι δὲ τῆς αὐτῆς ἅπαντα δυνά-
μεως. ἰσχυρότερος δὲ ὁ ὀπὸς ἱκανῶς θερμαίνων καὶ διαφορῶν. ὅθεν καὶ τοῖς κατὰ νεῦρα πάθεσιν ἁρ-
μόττει. καὶ τοῖς κατὰ τὸν πνεύμονά τε καὶ θώρακα νοσήμασι τοῖς διὰ πάχος ἢ γλισχρότητα χυμῶν
γινομένοις. καὶ ἔσω μὲν τοῦ σώματος λαμβανόμενος καὶ ὀσμώμενος, ὠφελεῖ πλείστους ἐσκιρρωμένους. τῇ
δὲ ῥίζῃ καὶ πρὸς ταῦτα μέν ἐστι χρῆσθαι. καὶ λεπίδας δὲ ὀστῶν ἀφίστησι τάχιστα καὶ τοῖς κακοή-
θεσιν ἕλκεσι ξηρὰ ἐπιπαττομένη ἔστιν ἄριστον φάρμακον. καθαίρει γὰρ καὶ σαρκοῖ, καὶ μέχρι ἐπουλώ-
σεως ἔχει. θερμαίνουσα μὲν κατὰ τὴν δευτέραν τάξιν. ξηραίνουσα δὲ κατὰ τὴν τρίτην ἀρχομέ-
νην.

Πήγανον.

T τὸ μὲν ἄγριον ἐκ τῆς τετάρτης ἐστὶ τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων. τὸ δὲ ἥμερον ἐκ τῆς
40 τρίτης. ἔστι δὲ οὐ μόνον δριμύ, ἀλλὰ καὶ πικρόν, ᾧ καὶ τὸ τέμνειν τε καὶ διαφορεῖν ἔχει τοὺς παχεῖς,
καὶ γλίσχρους χυμούς, καὶ δι' οὔρων δὲ κενοῖ. καὶ μὴν δὴ καὶ λεπτομερές ἐστι καὶ ἄφυσον, καὶ διὰ τοῦτο
καὶ πρὸς ἐμπνευματώσεις ἁρμόττει, καὶ τὰς πρὸς ἀφροδίσια προθυμίας ἐπέχει, καὶ ξηραίνει γεν-
ναίως. ἔστι γὰρ τῶν ἰσχυρῶς ξηραινόντων φαρμάκων. Ῥοῦφος δέ φησι. τοῦ μὲν ἀγρίου πηγάνου ἡ δύ-
ναμις, διάπυρός ἐστι καὶ ἑλκωτική, καὶ μάλιστα κύστεως. διὰ τοῦτο καὶ οἱ τὸ ποδαγρικὸν πίνοντες
φάρμακον, τὸ διὰ τοῦ ἀγρίου πηγάνου, πονήρως διατίθενται τὴν κύστιν. ὅσοι δ' ἂν ὑπενέγκωσιν αὐτό,
ἐπιφανέστερον ὠφελοῦνται. ἀγαθὸν γὰρ πρὸς τὰ ἀρθριτικά. εἰ δὲ μίσγεις τοῦ ἡμέρου, ἀσφαλέστερον,
καίτοι καὶ αὐτὸ τὸ ἥμερον βλαβερὸν κύστεως, ἀλλ' ἧττον. χρώμεθα δὲ τῷ ἀγρίῳ, ἐφ' ὧν κατεψυ-
γμένων τι μειζόνως, βουλόμεθα ἀναθάλψαι. ἢ πνευματίας ὑδέρους καὶ τοὺς ἀνὰ [illegible] ὠφελεῖ, καὶ
τοὺς ὑπὸ ἐχίδνης ἢ μυγαλῆς δηχθέντας, καὶ μᾶλλον ἣν κύουσα ἡ μυγαλῆ δάκῃ, καὶ μάλιστα ἐπὶ
50 τῶν ὑπὸ ζυγιῶν. ἰσχυρὸν καὶ δὲ πρὸς τὸν τοῦ μήκωνος ὀπὸν ποθέντα. καὶ πρὸς ἀκόνιτον μετ' οἴνου. τὸ δὲ ἥμε-
ρον πήγανον πραΰνει, καὶ τὰ τῶν περιόδων ῥίγη πινόμενον. πρὸ τῆς ἐπισημασίας, καὶ ἐπὶ κωλι-
κῶν ἀλγημάτων πινόμενόν τε καὶ ἐνιέμενον, καὶ ἐπὶ ὑστερικῆς πνιγός. καὶ ὀξυδερκὲς ἐσθιόμενον. καὶ
διὰ τοῦτο οἱ ζωγράφοι συνεχῶς αὐτοῦ ἀπογευόμενοι, ὀξύτερον βλέπουσι, καὶ μέλιτι δὲ τὸν χυλὸν μί-
ξας, ἄλυπον ὀξυωπὲς ἐργάσῃ φάρμακον. βοηθεῖ δὲ καὶ δυσουρίαις μετ' ἐλαίου ἑψόμενον, καὶ πνευμω-

μένης τῆς κύστεως· βοηθεῖ γὰρ εἴπερ τι καὶ ἄλλο τούτοις. ἀγαθὸν δὲ ὀσφύος ὀδυνώσης καὶ δυσπνοϊκῶν δοθὲν
μετ' ὀξυμέλιτος παραχρῆμα ὤνησεν. ἀγαθὸν δὲ λιθαργικῶν πινόμενον, καὶ διὰ κλυστῆρος ἐνιέμενον, ἀγα-
θὸν σφόδρα, καὶ λειώσαντα δὲ χρὴ μετὰ ῥοδίνου καὶ ὄξους, χρίειν αὐτῶν τὴν κεφαλήν. λύει δὲ καὶ
τοὺς τῶν ἰσχίων πόνους πινόμενον, καὶ καταπλασσόμενον, καὶ ἐνιέμενον. καταπλασσόμενον δὲ ἀγαθὸν
ποδαγρικῶν. καὶ τῶν τὰ γόνατα ἐμφυσωμένων, ταχὺ ὀνίνησι. καὶ τὰς ὀδύνας ταχὺ πραΰνει.
ἐσχάρας δὲ καὶ τὰς ἀπὸ ἀνθράκων ταχὺ ἀφίστησι, καταπλασσόμενον μετὰ μέλιτος ἢ σταφίδων.

Πίσσα.

Πίσσα ἡ μὲν ξηρὰ, ξηραίνει τε καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν. πλέον δὲ ξηραίνει ἢ θερ-
μαίνει. ἡ δὲ ὑγρὰ θερμαίνει πλέον ἢ ξηραίνει. ἔχει δέ τι καὶ λεπτομερὲς, ᾧ καὶ τοὺς ἀσθματικοὺς καὶ
10 τοὺς ἐμπυϊκοὺς ὠφελεῖ. πλῆθος δὲ ἐκλειχόμενον ἀρκεῖ κυάθου ἑνὸς μέλιτι μιγνύντας. ἀλλὰ καὶ
ῥυπτικὸν ἔχουσί τι καὶ συμπεπτικὸν, καὶ διαφορητικὸν, οὕτω τε λεπροὺς ὄνυχας ἐξάγουσι μιγνύ-
μεναι κηρῷ. καὶ λειχῆνας ἀπορρίπτουσι. συμπέττουσι δὲ καὶ τοὺς σκληροὺς ἢ ἀπέπτους ὄγκους ἅπαν-
τας, ἐμβαλλόμεναι τοῖς καταπλάσμασιν. ἰσχυροτέρα δὲ πρὸς ἅπαντα ταῦτα ἡ ὑγρὰ, ἡ δὲ ξηρὰ
πρὸς μὲν ταῦτα χείρων. εἰς δὲ τὰς κολλήσεις τῶν τραυμάτων ἐπιτηδειοτέρα. Σκευάζεται δὲ ἐκ τῆς
ὑγρᾶς πίττης λιγνὺς οὕτως, εἰς λύχνον καινὸν ἐλλυχνιασμένον, βαλὼν τὴν ὑγρὰν πίτταν, καὶ ἅψας
καὶ πωμάσας κεραμίῳ ἀγγείῳ, καθάπερ ἐπὶ τοῦ λιβανωτοῦ προείρηται, ἔα καίεσθαι. ὅταν δὲ ἀναλω-
θῇ τὸ πρῶτον ὑγρὸν, ἄλλο ἐπιτίθει. ἕως ἂν αὐτάρκη λιγνὺν συναγάγῃς, καὶ χρῶ. ποιεῖ δὲ πρὸς
κάλλη βλεφάρων. καὶ ὅπου τριχοφυῆσαι δεῖ, καὶ πρὸς τὰ ἀσθενέστερα καὶ δακρυρροοῦντα καὶ
ἑλκώδη σώματα.

Πιστάκια.

20 Τοῦ πιστακίου ὁ καρπὸς λεπτομερεστέρας πώς ἐστιν οὐσίας. ὑπόπικρόν τι καὶ ἀρωματίζον ἐχού-
σης. ἐκφράττει τοιγαροῦν καὶ διακαθαίρει. μάλιστα μὲν τὰ καθ' ἧπαρ. ἤδη δὲ καὶ θώρακα καὶ πνεύμονα.

Πιτυΐδες.

Οὕτως ὀνομάζεται ὁ καρπὸς τῶν πιτύων. ἔνιοι δὲ καὶ τὸν τῆς πεύκης, οὕτω προσαγορεύουσι. μικτῆς
δέ εἰσι δυνάμεως, ὡς ἂν καὶ στύφουσαι. καὶ δριμύτητά τινα κεκτημέναι μετὰ πικρότητος. ὅθεν καὶ
ταῖς ἐκ θώρακος καὶ πνεύμονος ἀποστάσεσι συμβάλλονται.

Πίτυος φλοιός.

Ἐπικρατοῦσαν ἔχει τὴν στυπτικὴν δύναμιν εἰς τοσοῦτον ὡς παρατρίμματα ἰᾶσθαι καταπλατ-
τόμενος, μάλιστα καὶ τὰ κατακαύματα ἐπουλοῖ, καὶ κοιλίαν φερομένην ἐπέχει εἰ ποθείη. καὶ ὁ τῆς
πεύκης δὲ φλοιὸς ὅμοιος τούτῳ ἐστὶν ἀσθενέστερος δὲ κατὰ τὴν δύναμιν. ἐν δὲ τοῖς φύλλοις ἀμφοτέ-
ρων τῶν δένδρων δύναμις ἐστὶ κολλητικὴ τραυμάτων. ἡ δὲ λιγνὺς αὐτῶν, πρὸς ψιλὰ βλέφαρα
30 καὶ μυδῶντα, κανθοὺς καὶ διαβεβρωμένους, καὶ δακρύοντας ἐστὶ χρήσιμος.

Πλάτανος.

Ὑγροτέρας ἐστὶ καὶ ψυχροτέρας οὐσίας. οὐ πολλῷ τινὶ συμμέτρων. ὅθεν καὶ τὰ φύλλα χλωρὰ, λειω-
θέντα καὶ καταπλασθέντα, τὰς ἐν γόνασι φλεγμονὰς ὀνίνησιν οὐκ ἀσαφῶς. ὁ δὲ φλοιὸς αὐτῆς
καὶ τὰ σφαιρία, ξηραντικωτέρας ἤδη δυνάμεώς εἰσιν. ὥστε ὁ μὲν φλοιὸς ὄξει καθεψόμενος, εἰς
ὀδόντων ἀλγήματα παραλαμβάνεται. τὰ δὲ σφαιρία μετὰ στέατος, ἐπὶ τῶν πυρικαύστων ἑλκῶν.
τινὲς δὲ καύσαντες τὸν φλοιὸν, ῥυπτικὸν ἀπεργάζονται φάρμακον. ὡς μεθ' ὕδατος μὲν ἰᾶσθαι λέ-
πρας. αὐτὴν δὲ τὴν τέφραν καθ' αὑτὴν ἐπιπάττοντες, τά τε δι' ὑγρότητα πολλὴν ἕλκη παλαιὰ καὶ
ῥυπαρὰ θεραπεύει.

Πολύγονον.

Ἔχει μέν τι καὶ στύφον. ἐπικρατεῖ δὲ ἐν αὐτῷ τὸ ὑδατῶδες ψυχρὸν, ὥστ' εἶναι κατὰ τὴν δευτέραν τά-
ξιν συμπληρουμένην. ἢ τὴν τρίτην ἀρχομένην ἐν τοῖς ψύχουσιν. ὅθεν ὠφελεῖ τοὺς ἐκκαιομένους τὸν
40 στόμαχον, ἔξωθεν ἐπιπλαττόμενον ψυχρὸν, ὥσπερ καὶ τὰς θερμὰς φλεγμονάς, καὶ γὰρ ἀποκρούε-
ται ῥεύματα. διὸ καὶ τῶν ἑρπήτων ἐστὶν ἀγαθὸν φάρμακον, καὶ τῶν ἑλκῶν πάντων μάλιστα τῶν
φλεγμονωδῶν τε καὶ ῥευματικῶν, καὶ τῶν ἐν ὠσί, καὶ εἰ ξηραίνει τὸ πῦον. τε καὶ ῥοῦν γυναικεῖον ἵστησι.
καὶ δυσεντερίας, καὶ αἵματος ἀναγωγάς. ἔστι δὲ εἰς ἅπαντα τὸ ἄρρεν ἰσχυρότερον.

Πολεμώνιον.

Πολεμώνιον. οἱ δὲ, φιλετέριον. οἱ δὲ χιλιοδύναμον. λεπτομεροῦς ἐστὶ καὶ ξηραντικῆς δυνάμεως. ὅθεν
ἔνιοι πρὸς ἰσχιαδικοὺς καὶ δυσεντερίαν. καὶ σκιρρούμενον σπλῆνα διδόασι πίνειν τὴν ῥίζαν αὐτοῦ μετὰ
οἴνου.

Πόλιον.

Πικρόν ἐστι, καὶ μετρίως δριμὺ, ἐκφράττει τοιγαροῦν ἅπαντα τὰ σπλάγχνα. καὶ οὖρα καὶ ἔμμηνα
κινεῖ. καὶ χλωρὸν μὲν κολλᾷ τραύματα. ξηρὸν δὲ ἰᾶται τὰ κακοήθη τῶν ἑλκῶν. καὶ μάλιστα τὸ μικρό-
50 τερον, ᾧ καὶ πρὸς ἀντιδότους χρώμεθα. καὶ γὰρ καὶ πικρότερον ἐστι, καὶ δριμύτερον τοῦ μείζονος. ὡς εἶναι
τῆς τρίτης μὲν τάξεως τῶν ξηραινόντων. τῆς δευτέρας δὲ συμπληρουμένης τῶν θερμαινόντων.

Ποταμογείτων.

Στύφει καὶ ψύχει παραπλησίως τῷ πολυγόνῳ. παχυμερεστέρα δὲ αὐτοῦ ἐστὶν ἡ οὐσία τοῦ πολυγόνου.

Πολυπόδιον.

Γλυκεῖαν ἅμα καὶ αὐστηρὰν ἐπικρατοῦσαν ἔχει ποιότητα. ὡς εἶναι δυνάμεως ἱκανῶς ξηραντικῆς ἀδήκτου.

Πράσον.

Θερμαίνει κατὰ τὴν δευτέραν τάξιν συμπληρουμένην. ξηραίνει δὲ κατὰ τὴν τρίτην συμπληρουμένην. ἐμφράττει δὲ ἧπαρ καὶ σπλῆνα. καὶ τὰ κατὰ θώρακα καὶ πνεύμονα διακαθαίρει, καὶ ἔμμηνα προτρέπει. καὶ διὰ ῥινῶν ἰκτερικοὺς καθαίρει. καὶ πρὸς ὤτων ὀδύνας, τὰς ἤδη κεχρονισμένας ποιεῖ. καταπλαττόμενον δὲ, ῥύπτει καὶ διαφορεῖ.

Πράσα.

Δριμεῖαν κέκτηνται δύναμιν ὡς καὶ τὰ κρόμμυα. ἀναλόγως δὲ θερμαίνει τὸ σῶμα. καὶ λεπτύνει τοὺς ἐν αὐτῷ χυμοὺς, καὶ τέμνει τοὺς γλίσχρους. ἔστι δὲ καὶ διουρητικὸν, ἐκκαθαῖρον τὸ αἷμα. κάλλιστη δὲ ἡ χρῆσις αὐτῶν, δὶς ἑψηθέντων. ἀφαιρεῖται γὰρ οὕτως ἐσθιόμενα τὴν δριμύτητα, τήν τε κακοχυμίαν οὐκέτι διασώζει. φείδεσθαι δὲ χρὴ τῆς συνεχοῦς ἐδωδῆς ἁπάντων τῶν δριμέων. καὶ μάλιστα ὅταν ὁ προσφερόμενος αὐτὰ χολωδέστερος εἴη φύσει. μόνοις γὰρ τοῖς τὸν φλεγματώδη χυμὸν, ἢ τὸν ὠμὸν καὶ παχὺν καὶ γλίσχρον ἠθροικόσιν, ἐπιτηδειότατα ταῦτα τῶν ἐδεσμάτων.

Πρόπολις.

Ρυπτικῆς μὲν ἐστὶν οὐκ ἰσχυρᾶς δυνάμεως. ἑλκτικῆς δὲ ἱκανῶς ἰσχυρᾶς. ἐστὶ γὰρ λεπτομεροῦς τὴν οὐσίαν. καὶ θερμαίνει κατὰ τὴν δευτέραν ἀπόστασιν συμπληρουμένην, ἢ τὴν τρίτην ἀρχομένην.

Πτελέα.

Πτελέας τοῖς φύλλοις ἐκολλήσαμεν πρόσφατον τραῦμα. στύφει τι καὶ ῥύπτει. ὁ δὲ φλοιὸς πικρότερός τε καὶ στυπτικώτερος. ὥς τε καὶ λέπραν ἰᾶται ζῶν ἔξει. καὶ αἱ ῥίζαι τῆς αὐτῆς εἰσὶ δυνάμεως. ὥς τε καὶ τῷ ἀφεψήματι καταντλοῦσί τινες, ὅσα πωρώσεως δεῖται κατάγματα.

Πτέρις.

Πτέρεως ῥίζα χρήσιμος. ἀναιρεῖ τε ἕλμινθας πλατείας δραχμῶν δ΄. πλῆθος ἐν μελικράτῳ πινομένη. καὶ ἔμβρυα τὰ μὲν ζῶντα, κτείνει, τὰ δὲ νεκρὰ ἐκβάλλει, καὶ τὰ ἕλκη δὲ ἐπιπαττομένη, ξηραίνει ἀδήκτως.

Πύρεθρον.

Πυρέθρου τῇ ῥίζῃ μάλιστα χρώμεθα, καυστικὴν ἐχούσῃ δύναμιν, καθ᾽ ἣν ὀδόντων ἐψυγμένων ὀδύνας πραΰνει. καὶ ἐπὶ τῶν κατὰ περίοδον ῥιγῶν ἀνατρίβεται μετ᾽ ἐλαίου πρὸ τῶν εἰσβολῶν, καὶ τοὺς ναρκώδεις καὶ παρειμένους ὠφελεῖ.

Πυροί.

Πυροὶ ἔξωθεν ἐπιτιθέμενοι, ἐκ τῆς πρώτης εἰσὶ τάξεως τῶν θερμαινόντων, οὐ μὴν οὔτε ξηραίνειν ἐπιφανῶς πεφύκασιν, οὔτε ὑγραίνειν. τὸ δὲ ἐξ αὐτῶν ἄμυλον, ψυχρότερόν τε καὶ ξηραντικώτερον ἑαυτοῦ γίνεται. ἄμυλον δὲ λέγεται, ὅτι ἄνευ μύλου κατασκευάζεται. καὶ τὸ ἐξ ἄρτου κατάπλασμα διαφορητικῆς ἐστὶ δυνάμεως, ὡς ἂν καὶ ἁλῶν, καὶ ζύμης, προσειληφότος τοῦ ἄρτου. δυνάμεως γὰρ ἐπισπαστικῆς τε καὶ διαφορητικῆς τῶν ἐκ βάθους ἐστὶν ἡ ζύμη.

ΑΡΧΗ ΤΟΥ Ρ.

Ράμνος.

Ξηραίνει μὲν κατὰ τὴν δευτέραν ἀπόστασιν. ψύχει δὲ κατὰ τὴν πρώτην συμπληρουμένην, ἢ τὴν δευτέραν ἀρχομένην. ὅθεν καὶ ἕρπητας ἰᾶται, καὶ ἐρυσιπέλατα τὰ μὴ σφόδρα θερμά.

Ραφανίς.

Θερμαίνει μὲν κατὰ τὴν τρίτην ἀπόστασιν, ξηραίνει δὲ κατὰ τὴν δευτέραν. διαφορητικῆς δὲ ἐστὶ δυνάμεως. ὡς ὑπώπια χρονίζοντα, καὶ τὰ ἄλλα τὰ πελιδνὰ ὠφελεῖν. καταπλαττομένη. τῆς λεπτυνούσης δὲ ἐστὶ δυνάμεως, μετὰ τοῦ θερμαίνειν. θαυμάσαι οὖν ἐκείνους, ὅσοι μετὰ τὸ δεῖπνον ὠμὰς ἐσθίουσιν αὐτὰς εὐπεψίας ἕνεκα. αὐτοὶ μὲν γὰρ ἱκανὴν ἐσχηκέναι πεῖραν τούτων φασὶν, οἱ μιμησάμενοι δὲ αὐτὰς, ἅπαντες ἐβλάβησαν.

Ρέον ποντικόν.

Ενιοι δὲ ῥᾶον προσαγορεύουσι. μικτῆς ἐστὶ δυνάμεως, στυφούσης καὶ θερμαινούσης, καὶ λεπτομεροῦς. ὅθεν καὶ ῥήγματα, καὶ σπάσματα, καὶ ὀρθοπνοίας ὠφελεῖ πινόμενον, καὶ αἱμοπτοϊκοὺς, καὶ κοιλιακοὺς. καὶ δυσεντερικοὺς ὀνίνησι. καὶ λειχῆνας δὲ καὶ πελιώματα ἰᾶται, μετ᾽ ὄξους ἐπαλειφόμενον.

Ρητίναι πᾶσαι ἐν αἷς ἡ μαστίχη.

Ξηραίνουσι καὶ θερμαίνουσι, διαφέρουσι δὲ ἀλλήλων, κατὰ τὸ μᾶλλον καὶ ἧττον ἔχειν τὸ ἐν τῇ γεύσει δριμὺ, καὶ τῇ δυνάμει θερμὸν, καὶ κατὰ τὰς ἄλλας ποιότητας ὁμοίως, τὰς μὲν μᾶλλον, τὰς δὲ ἧττον. προκέκειται δὲ ἐξ ἁπασῶν, ἡ σχινίνη μαστίχη. ὀνομάζεται δὲ μαστίχη, διὰ τὸ στύψεως ὀλίγης μετέχειν. ὡς καὶ τοῖς κατὰ τὸν στόμαχον καὶ τὴν γαστέρα καὶ τὸ ἧπαρ ἀτονίαις, ἁρμόττειν. ἔτι καὶ ξηραίνει ἀλύπως. ἔστι δὲ μάλιστα λεπτομερής. καὶ οὐδαμῶς δριμεῖα. τῶν δὲ ἄλλων ἡ τερεβινθίνη προτεύει οὐχ ὁμοίως τῇ μαστίχῃ τὴν στύψιν ἔχουσα. ἀλλὰ διαφορεῖ μᾶλλον τῆς μαστίχης, καὶ ῥύπτει ἐπὶ τοσοῦτον, ὡς καὶ ψώρας ἰᾶσθαι. καὶ τὰ ἐκ τοῦ βάθους ἕλκειν μᾶλλον τῶν ἄλλων ῥητινῶν, ὅτι καὶ λεπτομερεστέρα. ἔχει δέ τι καὶ μαλακτικὸν πλέον τῆς μαστίχης. αἱ δὲ ἄλλαι πᾶσαι δριμύτεραι

ταύτης

ταύτης ἐπὶ παρὰ τὸ μᾶλλον καὶ ἧττον. ξηροτέρα δὲ πασῶν ἐστὶν ἡ ξηρὰ πιτυΐνη, ἣν ἰδίως πιτύινον φύσημα καλοῦσι.

Πῶς δεῖ καίειν τὴν ῥητίνην.

Καίεται πᾶσα ῥητίνη ὑγρὰ, ἐν τετραπλασίονι ἀγγείῳ κατὰ τὸ ἐγχεόμενον ὑγροῦ πλῆθος. δεῖ γὰρ λαβεῖν ῥητίνης μὲν κ̄. λι. ιη̄. τοῦ ὀμβρείου ὕδατος βαλόντα τῇ κακκάβῃ ἕψειν ἐπ' ἀνθράκων πραέως, κινοῦντα διηνεκῶς, ἄχρις ἂν ἄοσμος καὶ ἄθρυπτος καὶ κατάπυρος γένηται, ὥστε καὶ τοῖς δακτύλοις ἀποκλᾶσθαι. καὶ ψύξας, ἀπόθου εἰς ἀγγεῖον ὀστράκινον. γίνεται δὲ οὕτως λευκοτάτη. δεῖ μέντοι ὑλίζειν τὴν μέλλουσαν ῥητίνην καίεσθαι καὶ χωρίζειν τὸ ῥυπῶδες αὐτῆς. καίονται δὲ καὶ δίχα ὕδατος. πρῶτον μὲν καθεῖσαι καὶ διηθεῖσαι. ἔπειτα ἑψόμεναι ἐπ' ἀνθράκων δι' ὅλης ἡμέρας κινῶν συνεχῶς. καὶ ὅτε κατάπυρα γένηται ἀνελόμενος ἀπόθου ὡς εἴρηται. ἐκλαμβάνεται δὲ καὶ λιγνὺς ἐκ τῆς ῥητίνης. ὥσπερ ἐπὶ τοῦ λιβανίου προείρηται, καὶ χρησιμεύει, εἰς τὰ καλλιβλέφαρα καὶ δακρύοντας καὶ διαβεβρωμένους κανθοὺς, καὶ μαδῶντα βλέφαρα. ἡ δὲ πεφρυγμένη ῥητίνη, χρησιμεύει εἰς τὰ εὐώδη μαλάγματα καὶ ἄκοπα.

Ῥόδα.

Ῥόδων ἡ δύναμις ἐξ ὑδατώδους θερμῆς ἀναμεμιγμένης δύο ποιότησιν ἑτέραις, τῇ τε στυφούσῃ καὶ τῇ πικρᾷ σύγκειται. τὸ δὲ ἄνθος αὐτῶν ἔτι μᾶλλον τῶν ῥόδων στυπτικόν ἐστι, καὶ διὰ τοῦτο ξηραντικόν.

Ῥοδοδάφνη.

Εἴρηται περὶ αὐτῆς ὅτε νήριον αὐτὴν ἐλέγομεν.

Ῥόαι.

Ῥόαι πᾶσαι τῆς στυφούσης μετέχει δυνάμεως, οὐ μὴν ἐπικρατούσης γε πάντως. ἔνιαι μὲν γὰρ αὐτῶν ὀξεῖαι εἰσὶ, τινὲς δὲ γλυκεῖαι. τινὲς δὲ αὐστηραί. ἐξ ὧν δὲ προείρηται καὶ ἐν τῷ περὶ μήλων λόγῳ, ἔνεστι καὶ περὶ τούτων τεκμαίρεσθαι. χυλὸν δὲ ἔχουσι πλείονα, μήλων τε καὶ ἀπίων. ἔστι τε πρὸς τούτοις, τὴν γεῦσιν ἡδυτέραι μᾶλλον ἐκείνων. γίνονται δέ ποτε ἐκεῖναι χρησιμώτεραι, εἰς ἄλλα τε τινα καὶ ἐπὶ τῶν δακνομένων τὸν στόμαχον σφόδρα διὰ μοχθηρῶν χυμῶν περιουσίαν. τοῦ χυλοῦ σὺν ἀλφίτοις προσφερομένου, ὡς Ἱπποκράτης ἐπὶ τῆς καρδιαλγούσης ἐκέλευσε. τὰ δὲ γίγαρτα τῆς ῥοιᾶς στυπτικώτερα ἐστὶ τοῦ χυλοῦ, καὶ ξηραντικώτερα. ἔτι δὲ πλέον, τὰ λέμματα. παραπλήσιοι δὲ τὴν δύναμιν εἰσὶ καὶ οἱ κύτινοι.

Ῥοῦς.

Ῥοῦ τὸ φύλλον, στύφει καὶ ξηραίνει. τούτῳ δὲ οἱ βυρσοδέψαι χρῶνται. τοῖς δὲ ἰατροῖς μᾶλλον ὅ, τε καρπὸς αὐτὸν, καὶ ὁ χυλὸς εἰς χρείαν ἥκουσιν ἱκανῶς αὐστηρᾶς ὄντα ποιότητος. καὶ γὰρ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. καὶ ψύχει κατὰ τὴν δευτέραν.

Ῥύπος.

Ὁ μὲν ῥύπος ἀπὸ τῶν ἐν τοῖς γυμνασίοις ἀνδριάντων, διαφορητικὸς καὶ μαλακτικὸς, φυμάτων ἀπέπτων. ὁ δὲ ἐν ταῖς παλαίστραις ὃν καὶ πάτον καλοῦσιν, ἄριστον ἐστὶν ἴαμα. φλεγμονῆς τιτθῶν. καὶ γὰρ τὸ πυρῶδες αὐτῶν σβέννυσι, καὶ τὸ ἐπιρρέον ἀναστέλλει, καὶ τὸ περιεχόμενον διαφορεῖ.

ΑΡΧΗ ΤΟΥ Σ.

Σαγαπηνόν.

Ὀπός ἐστι θερμὸς, καὶ λεπτομερὴς, ὡς οἱ ἄλλοι ὀποί. ἔχει δέ τι καὶ ῥυπτικὸν, ὃ καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ἀποκαθαίρει καὶ λεπτύνει. οὐ μὴν ἀλλὰ καὶ ὑποχύσεσι καὶ ἀμβλυωπίαις ταῖς διὰ πάχος ὑγρῶν γινομένων, ἀγαθὸν φάρμακον.

Σάμψυχον.

Λεπτομεροῦς ἐστὶ καὶ διαφορητικῆς δυνάμεως, ξηραίνει τε καὶ θερμαίνει κατὰ τὴν τρίτην τάξιν.

Σαπρότης ξύλων.

Σαπρότης ξύλων, καὶ μάλιστα ὅσα μετέχει στύψεως τε ἅμα καὶ ῥύψεως ὥσπερ ἡ πτελέα, καθαίρει καὶ ἀναπληροῖ τὰ ὑγρὰ τῶν ἑλκῶν κάλλιστα.

Σαρκοκόλλα.

Δάκρυόν ἐστι δένδρου περσικοῦ, μικτὸν τὴν δύναμιν, ἐξ ἐμπλαστικῆς τε τινὸς οὐσίας καὶ βραχείας τινὸς πικρᾶς ὅθεν ἀδήκτως ξηραίνει, καὶ διὰ τοῦτο τραύματα κολλᾷ.

Σατύριον.

Τινὲς τοῦτο καὶ τρίφυλλον καλοῦσιν. ὑγρόν ἐστι καὶ θερμὸν τὴν κρᾶσιν. διὸ καὶ γευομένοις φαίνεται γλυκύ. περιττωματικήν τε καὶ φυσώδη τὴν ὑγρότητα κέκτηται. καὶ διὰ τοῦτο παρορμᾷ πρὸς ἀφροδίσια. τοιοῦτον δὲ καὶ ἡ ῥίζα τῆς βοτάνης δρᾶν πέφυκεν. φασὶ δὲ τινὲς καὶ ὀπισθότονον αὐτὴν ἰᾶσθαι μετ' οἴνου αὐστηροῦ πινομένην.

Σέλινον.

Θερμὸν εἰς τοσοῦτον ἐστὶ, ὥστε καὶ οὖρα καὶ καταμήνια κινεῖν. ἔστι δὲ καὶ ἄφυσον. καὶ μᾶλλον τῆς πόας τὸ σπέρμα.

Σέρις, ἢ κιχώρειον ἢ πικρίς.

Ὑπόπικρόν ἐστι λάχανον, καὶ μᾶλλον τὸ ἄγριον. ὅπερ δι' αὐτὸ τοῦτο, πικρίδα προσαγορεύουσιν. ἔνιοι δὲ κιχώρειον. ἔστι δὲ ἡ μὲν ἀγρία, ψυχρᾶς καὶ ξηρᾶς κράσεως κατὰ πρώτην ἀπόστασιν. ἡ δὲ ἥμερος ἔτι μᾶλλον ψύχει τῆς ἀγρίας, ἐπιμιξίᾳ δὲ πολλῆς ὑγρότητος ἀπόλλυσι τὸ ξηραίνειν. ἀμφότεραι

δὲ μετέχουσι τῆς στυφούσης ποιότητος ὥσπερ καὶ ἡ χονδρίλη· καὶ γὰρ καὶ αὕτη σέρεως ἐστὶν εἶδος.

Σέσελι.

Σεσέλεως ἡ ῥίζα καὶ ὁ καρπὸς τῶν θερμαινόντων εἰς τοσοῦτον ἐστὶν ἱκανῶς, ὡς οὐρητικὸν ὑπάρχει φάρμακον. ἔστι δὲ λεπτομερὲς, ὡς ἐπιληψίαις τε καὶ ὀρθοπνοίαις ἁρμόττειν.

Σήσαμον.

Οὐκ ὀλίγον ἔχει τὸ γλίσχρον ἐν ἑαυτῷ καὶ λιπαρόν. ὅθεν καὶ ἐμπλαστικόν τε καὶ μαλακτικὸν, καὶ μετρίως θερμόν. τῆς δὲ αὐτῆς δυνάμεως ἐστὶ τὸ ἐξ αὐτοῦ ἔλαιον.

Σιδηρείτης.

Ἔχει μέν τι καὶ ῥυπτικὸν, ἀλλὰ τὸ μὲν πλέον αὐτῆς ὑγρόν τε ἐστὶ, καὶ μετρίως ψυχρὸν ὀλίγης δέ τινος μετείληφε στύψεως. ὅθεν ἀφλέγμαντός τε ἐστὶ καὶ κολλητική.

Σίκυα ἥμερα.

Οὐρητικὸν ἔχουσι τι καὶ τὰ σίκυα, καθάπερ καὶ οἱ πέπονες. ἀλλ' ἧττον ἐκείνων, τῷ καὶ τὴν οὐσίαν αὐτῶν ἧττον ἐκείνων ὑγρὰν εἶναι. καὶ διὰ τοῦτο καὶ φθείρονται ῥαδίως ἐν τῇ γαστρὶ παραπλησίως τοῖς πέποσι. πέττουσι δὲ τινὲς αὐτοὺς οἰκειότητι τῆς πρὸς αὐτὰ φύσεως. καὶ ὅταν αὐτὰ τούτῳ θαῤῥήσαντες ἀδεῶς αὐτῶν ἐμφορηθῶσι, λανθάνουσιν οὐ πλείονι χρόνῳ μοχθηρὸν καὶ παχὺν μετρίως ἐν ταῖς φλεψὶ χυμὸν ἐξ αὐτῶν ἀθροίζοντες. ὃς ἐπειδὰν ἀφορμῆς εἰς σῆψιν ἐπιλάβηται, πυρετοὺς κακοήθεις ἐργάζεται. διὰ τοῦτο οὖν πάντων ἀπέχεσθαι τῶν κακοχύμων ἐδεσμάτων συμβουλεύω. κἂν εὔπεπτά τισιν ᾖ.

Συκιὸν ἄγριον.

Συκύου ἀγρίου τοῦ καρποῦ ὁ χυλὸς, ἢ ὀπὸς ὃς ὀνομάζεται ἐλατήριον, οὐ μὴν ἀλλὰ καὶ ὁ τῆς ῥίζης καὶ τῶν φύλλων, χρήσιμοι εἰς τὰς ἰάσεις. τὸ μὲν οὖν ἐλατήριον ἔμμηνα κινεῖ. καὶ τὰ κυούμενα φθείρει προστιθέμενον. ἄκρως μὲν γὰρ ἐστὶ πικρόν. ἐπ' ὀλίγον δὲ θερμόν. ὡς ἐκ τῆς δευτέρας εἶναι τάξεως τῶν θερμαινόντων. διὰ δὲ τοῦτο καὶ διαφορητικῆς ἐστὶ δυνάμεως. οὕτω γοῦν καὶ συναγχικοὺς αὐτῷ διαχρίουσιν ἔνιοι. ἀγαθὸν δὲ καὶ τοῖς ἰκτερικοῖς ἐγχεόμενον ταῖς ῥισὶ μετὰ γάλακτος γυναικείου. καὶ κεφαλαλγείας δὲ οὗτος ἰᾶται. ὁ δὲ τῆς ῥίζης χυλὸς καὶ τῶν καυλῶν, ἀσθενέστερος τούτου ἐστί. καὶ αὐτὴ δὲ ἡ ῥίζα, παραπλησίας δυνάμεως ἐστί. καὶ γὰρ καὶ ῥύπτει, καὶ μαλάττει. ξηραντικώτερος δὲ αὐτῆς ἐστὶν ὁ φλοιός.

Σίλφιον.

Σιλφίου θερμότατος μὲν ὁ ὀπὸς ἐστί. οὐ μὴν ἀλλὰ καὶ τὰ φύλλα, καὶ ὁ καυλὸς, καὶ ἡ ῥίζα, θερμαίνει γενναίως. ἔστι δὲ φυσωδεστέρας καὶ ἀερώδους οὐσίας, ἅπαντα. καὶ κατὰ τοῦτο καὶ δύσπεπτα. ἔξωθεν μέντοι ἐπιτιθέμενα, δραστηριωδέστερα. καὶ μάλιστα πάντων ὁ ὀπὸς, ἑλκτικῆς ὑπάρχων δυνάμεως, καὶ καθαιρετικῆς, καὶ ἀποτηκτικῆς.

Σίνων.

Θερμὸς καὶ ὑπόπικρός ἐστι τὴν γεῦσιν. ὅθεν οὐρητικός τε ἐστὶ καὶ πεπτικός. ἐμμήνων τε προκλητικός. καὶ ἐκφρακτικὸς τῶν κατὰ σπλάγχνα πασῶν ἐμφράξεων

Σίον.

Εἰς ὅσον ἀρωματίζει πως κατὰ τὴν γεῦσιν, εἰς τοσοῦτον καὶ θερμαινούσης καὶ ξηραινούσης μετείληφε δυνάμεως. ἐστὶ δὲ διαφορητικόν τε καὶ οὐρητικὸν καὶ λίθων τε τῶν ἐν νεφροῖς θρυπτικὸν, καὶ ἐμμήνων ἀγωγόν.

Σισύμβριον.

Λεπτομεροῦς καὶ διαφορητικῆς θερμαινούσης κατὰ τὴν τρίτην τάξιν ἐστὶ δυνάμεως. καὶ τὸ σπέρμα δὲ αὐτοῦ λεπτομερὲς καὶ θερμὸν ὑπάρχει. ὅθεν σὺν οἴνῳ τινὲς αὐτὸ διδόασι τοῖς λύζουσι καὶ στροφουμένοις.

Σκάνδιξ.

Τῶν ἀγρίων λαχάνων ἐστὶ, παραπλήσιον τῷ γιγγιδίῳ, ὑπόδριμύ τε καὶ ὑπόπικρον. ὡς εἶναι τῷ ξηραίνειν καὶ τῷ θερμαίνειν τῆς τρίτης τάξεως ἐκλελυμένης. οὐρητικὸν τε ἐστὶ καὶ τῶν σπλάγχνων ἐκφρακτικόν.

Σκίλλα.

Τμητικῆς ἱκανῶς ὑπάρχει δυνάμεως οὐ μὴν ἰσχυρῶς γε θερμῆς, ἀλλὰ τῆς δευτέρας τάξεως τῶν θερμαινόντων.

Σκόλυμος.

Σκολύμου ἡ ῥίζα, πλῆθος οὔρων ἄγει δυσωδῶν, εἰ ἀφεψήσας αὐτὴν τις ἐν οἴνῳ πίνει. καὶ διὰ τοῦτο τὰς τῶν μασχαλῶν καὶ ὅλου τοῦ σώματος δυσωδίας ἰᾶται. θερμὴ οὖν ἐστὶ κατὰ τὴν τρίτην τάξιν ἀρχομένην. ξηρὰ δὲ κατὰ τὴν δευτέραν.

Σκόρδιον.

Ἐκ πολυειδῶν τοῦτο δυνάμεων σύγκειται. καὶ γὰρ πικρὸν ἔχει τι καὶ στρυφνὸν καὶ δριμύ. διακαθαίρει τοιγαροῦν ἅμα. καὶ θερμαίνει τὰ σπλάγχνα. καὶ καταμήνια καὶ οὖρα κινεῖ. καὶ σπάσματα, καὶ ῥήγματα, καὶ πλευρῶν ἀλγήματα κατ' ἔμφραξιν γινόμενα ἰᾶται πινόμενον. καὶ κολλᾷ μὲν τὰ μεγάλα τραύματα χλωρὸν καταπλασσόμενον. ἀνακαθαίρει δὲ τὰ ῥυπαρὰ, καὶ εἰς οὐλὴν ἄγει τὰ κακοήθη, ξηρὸν ἐπιπαττόμενον.

Σκόροδον.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τετάρτην ἀπόστασιν. ἐσθιόμενον δὲ ἄφυσον ἐστὶ καὶ ἄδιψον, καὶ παχέων καὶ γλίσχρων χυμῶν ἐκφρακτικόν τε καὶ τμητικόν. ἔχει δέ τι καὶ φαρμακῶδες, καὶ κακόχυμον, ὅπερ ἀποβάλλει ὕδατι ἑψόμενον. φεύγειν δὲ αὐτοῦ χρὴ τὴν συνεχῆ χρῆσιν. καὶ μάλιστα ἐπὶ τῶν θερμοτέρων ἕξεων.

Σμύρνα.

Σμύρνα τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων τε καὶ ξηραινόντων. ἐπιπαττομένη δὲ τοῖς ἐν κεφαλῇ τραύμασι, κολλᾶν δύναται. μετέχει δὲ καὶ πικρότητος οὐκ ὀλίγης. διὸ καὶ ἕλμινθας, καὶ ἔμβρυα κτείνει τε καὶ ἐκβάλλει. ἔχει δέ τι καὶ ῥυπτικόν. ὅθεν καὶ ταῖς ὀφθαλμικαῖς μίγνυται δυνάμεσιν, ὅσαι πρὸς ἕλκη καὶ οὐλὰς παχείας συντίθενται. μίγνυται δὲ καὶ τοῖς ἀσθματικοῖς καὶ βηχικοῖς βοηθήμασι. καὶ τοῖς ἀρτηριακοῖς, οὐ μὴν τραχύνει γε τὴν ἀρτηρίαν.

Σμύρνιον.

Ὃ δὲ ἱπποσέλινον καλοῦσιν, ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ σελίνου τε καὶ πετροσελίνου. μέλαν δὲ καὶ πολὺ μείζων ἔχει τὸ σπέρμα. καὶ ἔστι σελίνου μὲν ἰσχυρότερον, πετροσελίνου δὲ ἀσθενέστερον. θερμὸν καὶ
10 ξηρὸν κατὰ τὴν τρίτην τάξιν, ἐμμηνίων ἀγωγὸν, καὶ οὐρητικόν.

Σόγχος.

Ὁ δὲ σόγχος χλωρός ἐστι καὶ ἁπαλός. ἐσθίεται δὲ ὡς τὰ ἄλλα ἄγρια τῶν λαχάνων. σύγκειται δὲ ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας ἀμφοῖν ψυχρῶν. καὶ στύψεώς τι μετέχει. καὶ σαφῶς ἐμψύχει, καταπλαττομένη τε κατὰ τοῦ στομάχου, καὶ ἐσθιομένη.

Σπάρτον.

Σπάρτον ᾧ παρ' ἡμῖν τὰς ἀμπέλους δεσμοῦσιν, ὅτε καρπὸς, καὶ ὁ τῶν ῥάβδων χυλὸς ἑλκτικῆς, οὐκ ἀγεννοῦς ἐστι δυνάμεως.

Στακτή.

Στακτὴ καλεῖται τῆς προσφάτου σμύρνης τὸ λιπαρὸν κεκομμένης μεθ' ὕδατος ὀλίγου, ἀποτεθλιμμένης τε δι' ὀργάνου. εὐώδης τε λίαν, καὶ πολυτελὴς οὖσα, καὶ καθ' ἑαυτὴν μύρον καλούμενον
20 δόκιμος δέ ἐστιν ἡ ἀμιγὴς ἐλαίου, καὶ ἐν ἐλαχίστῳ πλείστην δύναμιν κεκτημένη θερμαντικὴν ἀναλογοῦσαν τῇ σμύρνῃ καὶ τοῖς θερμαίνουσι τῶν μύρων.

Σταφυλῖνος.

Ὁ μὲν ἥμερος ἀσθενέστερος, ὁ δὲ ἄγριος, ὃν καὶ δαῦκον καλοῦσιν ἰσχυρότερος εἰς ἅπαντα. οὖρα δὲ κινεῖ, καὶ καταμήνια προτρέπει. ἔχει δέ τι καὶ ῥυπτικὸν ἐν αὐτῷ.

Στοιχάς.

Στοιχὰς πικρᾶς, καὶ στυφούσης μετέχει ποιότητος. ἔστι δὲ καὶ λεπτομερὴς διὰ τὴν εὐωδίαν. ἐκφράττειν οὖν, καὶ λεπτύνειν, καὶ ῥωννύναι πέφυκε τά τε σπλάγχνα ἅπαντα καὶ ὅλην τοῦ ζῴου τὴν ἕξιν.

Σφονδύλιον.

Σφονδυλίου ἡ ῥίζα χρήσιμος, θερμὴ καὶ ξηρά. τῆς τετάρτης πού τάξεως ὑπάρχουσα. ἔστι δὲ καὶ ῥυ-
30 πτική. καὶ ἐρεθιστικὴ καὶ διὰ τοῦτο πταρμοὺς κινεῖ.

Στύραξ.

Μαλάττει. θερμαίνει. συμπέττει. διὸ καὶ βῆχας, καὶ καταῤῥοῦς, καὶ κορύζας, καὶ βράγχους ὀνίνησιν. ἔμμηνά τε προτρέπει πινόμενος τε καὶ προστιθέμενος. ἡ δὲ ἐξ αὐτοῦ λιγνὺς σκευάζεται ὥσπερ ἡ τοῦ λιβανοῦ. καὶ ἐνέργειαν τὴν αὐτὴν ἔχει.

Σταφυλή.

Τρέφει μᾶλλον ἁπάντων τῶν ὡραίων. καὶ μάλιστα ὅταν ἀκριβῶς ᾖ πεπεμμένη. ἧττον δὲ τῶν σύκων αἱ σταφυλαὶ τρέφουσι. καὶ μέγιστον ἀγαθὸν αὐταῖς ἐστὶ, τὸ ταχέως ὑπέρχεσθαι. διὸ κἂν ἐπισχεθῶσι ποτὲ, βλάπτουσιν ἱκανῶς. οὔτε γὰρ πέττονται καλῶς ἐπισχεθεῖσαι, ἀλλὰ καὶ κατὰ τὴν εἰς ἧπαρ τε καὶ φλέβας ἀνάδοσιν, ὠμὸν γεννῶσι χυμόν. οὐ ῥᾳδίως εἰς αἷμα μεταβαλλόμεναι, διά τε τὸ ἔξω-
40 θεν περικείμενον δέρμα. καὶ τὰ γίγαρτα ξηρὰ, καὶ στύφοντα τὴν οὐσίαν ὑπάρχοντα. διό τινες καλῶς ποιοῦσιν, ὡς ἄχρηστα ταῦτα ἀποπτύοντες καὶ ἀπομυζήσαντες ἅπασαν τὴν ἔνδον σάρκα σὺν τῷ χυλῷ. καὶ μᾶλλον τούτοις ἡ γαστὴρ ὑπέρχεται. Ἀποτίθενται δὲ τὴν σταφυλὴν εἰς τὸν χειμῶνα διαφόρως. οἱ μὲν οὖν ἐν χύτρα συντιθέμενοι, πωμασθείσης δηλονότι τῆς χύτρας ἀκριβῶς. καὶ πιλωθέντος τοῦ πώματος πρὸς τὸ μηδαμόθεν διαπνεῖσθαι. τονωτικὴ ἐκλύτου γαστρὸς ἡ τοιαύτη γίνεται. καὶ τοὺς ἀνορέκτους ἐπεγείρει πρὸς ἐδωδὴν σιτίων. οὐ μὴν ὑπέρχεταί γε κατὰ γαστέρα. καὶ εἰ πλεῖον βρωθῆ, ἅπτεται τῆς κεφαλῆς. ταύτης δὲ ἔτι μᾶλλον ἐστὶ κεφαλαλγὴς, ἣν ἀποτίθενται κατὰ τὸ γλεῦκος. ἡ δὲ κρεμασθεῖσα, κεφαλὴν οὐδ' ὅλως πλήττει. γαστέρα δὲ οὔτε ἐπέχει, οὔτε προτρέπει. ὡσαύτως δὲ οὐδὲ ἐπεγείρει τὴν ἄῤῥωστον ὄρεξιν οὔτε ἐκλύει τὴν εὔρωστον. αἱ μὲν οὖν γλυκεῖαι, θερμότερον ἔχουσι τὸν χυλόν. διὸ καὶ διψώδεις καὶ γαστέρα ὑπάγουσι. καὶ μάλιστα ὅταν ὦσιν
50 ὑγραί. μεταξὺ γὰρ τῶν θερμαινόντων καὶ ψυχόντων εἰσί. μοχθηραὶ δὲ οὐ πρὸς ταῦτα μόνον. ἀλλὰ καὶ πρὸς τὴν ἐν γαστρὶ πέψιν καὶ ἀνάδοσιν, καὶ θρέψιν, αἵ τε ὀξεῖαι καὶ αὐστηραὶ σταφυλαί. καὶ αἱ τὸ περικείμενον δέρμα παχύτερον ἔχουσαι. καθόλου δέ σε περὶ τῶν ἐδωδίμων τοῖς ἀνθρώποις καρπῶν ἐπίστασθαι χρὴ λόγῳ κοινῷ. τοὺς μὲν ὑγροὺς, ὑγρὰν καὶ λεπτὴν ἐργάζεται τὴν ἐξ αὐτῶν ἀναδιδομένην τῷ σώματι τροφὴν, πεττομένην τε καὶ διεξερχομένην ὅλον τὸ σῶμα ταχέως. ἐκκενουμένου τε

δι' οὔρων καὶ κατὰ τὸ δέρμα. ἔμπαλιν δὲ τῶν στερεῶν ταῖς συστάσεσι καρπῶν, ἥ τε εἰς τὸ σῶμα πρόσθεσις παχεῖα, αἵ τε διέξοδοι βραδύτεραι. καὶ μάλιστα ὅταν ἔχωσιν ἐν ἑαυτοῖς χυμὸν, ἢ παχὺν, ἢ γλίσχρον, ἢ στυπτικόν.

Σῦκα.

Τὸ μὲν κοινὸν, οὐ μόνον ὀπώραις, ἀλλὰ καὶ τοῖς ὡραίοις ὀνομαζομένοις καρποῖς ἔχει καὶ τὰ σῦκα, φυγεῖν οὐ δυνηθέντα τὴν κακοχυμίαν οὐδὲ αὐτά, πρόσεστι δὲ τοῖς σύκοις ἀγαθὰ, τό, τε κατὰ γαστέρα πορίμοις εἶναι, καὶ τὸ διεξέρχεσθαι ῥᾳδίως ὅλον τὸ σῶμα. καὶ γὰρ τὸ ῥυπτικὸν ἀξιόλογον ἔχει, καὶ ψαμμώδη πολλὰ τοῖς νεφριτικοῖς ἐπὶ ταῖς ἐδωδαῖς αὐτῶν ἐκκρίνεται. τροφὴν δὲ διδόασι τῷ σώματι οὐ στερεὰν, ἀλλ' ὑπόσομφον. ἐμπίπλησί γε μὴν φύσης, καὶ αὐτὴν τὴν γαστέρα. τῷ δὲ τάχει τῆς διεξόδου, τὴν φῦσαν ὀλιγοχρόνιον ἐργάζεται. καὶ κατὰ τοῦτο τῆς ἄλλης ὀπώρας ἧττον βλάπτει. τὸ δὲ πέπειρον ἀκριβῶς σῦκον, ἐγγὺς τοῦ μηδὲ ὅλως βλάπτειν ἥκει. τὰ δὲ ξηρὰ σῦκα, θερμοτέραν τὴν δύναμιν ἐστὶ, κατὰ τὴν δευτέραν τάξιν ἀρχομένην. ἔχει δέ τι καὶ λεπτομερὲς, καὶ εἰς πολλὰ χρήσιμον. μοχθηρὸν δὲ ἔν τι κέκτηται τοῖς πλεονάζουσιν ἐν τῇ τούτων ἐδωδῇ. οὐ πάνυ γὰρ αἷμα χρηστὸν γεννῶσιν αἱ ἰσχάδες. ὅθεν αὐταῖς καὶ τὸ τῶν φθειρῶν πλῆθος ἕπεται. εἰ δὲ κακοχυμία τις περιέχοιτο ἐν τῇ γαστρὶ, ἐσχάτως ἀδικοῦσιν αἱ ἰσχάδες ἐσθιόμεναι. αὔξουσι δὲ μᾶλλον τὴν κακοχυμίαν διαφθειρόμεναι καὶ μὴ διαχωροῦσαι κάτω. δύναμιν δὲ ἔχουσι λεπτυντικήν τε καὶ τμητικὴν δι' ἣν καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ὁρμῶσι. καὶ νεφροὺς ἐκκαθαίρουσιν. ἥπατι δὲ καὶ σπληνὶ φλεγμαίνουσι μὲν εἰσὶ βλαβεραὶ, καθάπερ καὶ τὰ χλωρὰ σῦκα τῷ κοινῷ λόγῳ, τῶν γλυκέων ἁπάντων. ἐμπεφραγμένοις δὲ ἢ σκιρρουμένοις ταῦτα τὰ σπλάγχνα, μετὰ θύμου, ἢ γλήχωνος, ἢ θύμβρας, ἢ καλαμίνθης, ἢ ὀριγάνου, ἢ πεπέρεως, ἢ ζιγγιβέρεως πρὸ πολλοῦ τῆς τροφῆς οἱ ἰατροὶ παρέχουσιν. ὅσοι δὲ μετά τινος τῶν παχυνόντων ἐσθίουσι τά τε σῦκα καὶ τὰς ἰσχάδας, οὐ μικρὰ βλάπτονται. τῷ δὲ λεπτομερεῖ συμπέττει καταπλαττόμενα τὰ ξηρὰ σῦκα, τοὺς σκληροὺς ὄγκους, καὶ διαφορεῖ. τὸ δὲ ἀφέψημα αὐτῶν ὁμοίας ὑπάρχει δυνάμεως. χρὴ δὲ ὅπου βούλει συμπέψαι, πύρινον ἄλευρον συμμῖξαι, ὅπου δὲ διαφορῆσαι κρίθινον. καὶ αἱ μὲν λιπαρώτεραι, συμπέττουσι τοὺς ὄγκους, αἱ δὲ δριμύτεραι ἐν τῷ γεύεσθαι, πεφύκασι ῥύπτειν τε καὶ διαφορεῖν. τὸ δὲ ἐξ αὐτῶν ἑψόμενον ἐν ὕδατι κατασκευαζόμενον μελιτῶδες, ὅμοιόν ἐστι μέλιτι κατὰ τὴν δύναμιν.

Σύμφυτον πετραῖον.

Ἐξ ἐναντίων σύγκειται δυνάμεων. ἔχει μὲν γάρ τι τμητικὸν, ᾧ τὸ περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι πῦον ἐκκαθαίρει. ἔχει δὲ καὶ ξυναγωγικὸν, ὃ καὶ πρὸς τὰς τοῦ αἵματος ἀναγωγὰς ἐπιβοηθεῖ. διὸ δὲ τὴν ὑγρότητα, ἄδιψόν ἐστι μασσωμένοις. καὶ τὰς τῆς ἀρτηρίας τραχύτητας ἰᾶται. διὸ δὲ ταῦτα καὶ ταῖς ἐντεροκήλαις ἐπιτίθεται, καὶ πρὸς σπάσματα, καὶ ῥήγματα σὺν ὀξυμέλιτι πίνεται.

Περὶ συκομόρων.

Ὁ καρπὸς οὗτος, σύκοις παραπλήσιος τὴν ἰδέαν, δριμύτητα δὲ οὐδεμίαν κέκτηται, βραχείας μετέχων γλυκύτητος. ὑγρότερός τε πως καὶ ψυκτικώτερος ὢν κατὰ τὴν δύναμιν, ὡς τὰ μόρα. μᾶλλον δὲ ἐν τῷ μεταξὺ μόρων τε καὶ σύκων αὐτὸν τις εἰκότως ἂν θείη. ὅθεν καὶ τοὔνομα ἔσχεν.

Σχῖνος ὁ θάμνος.

Σχῖνος ὁ θάμνος ἐξ ὑδατώδους οὐσίας ἠρέμα θερμῆς, καὶ γεώδους ψυχρᾶς οὐ πολλῆς σύγκειται. δι' ἣν καὶ στύφει μετρίως. ξηραίνει μὲν οὖν κατὰ τὴν τρίτην τάξιν ἀρχομένην. κατὰ δὲ θερμότητα, καὶ ψυχρότητα εὔκρατος. ὁμοίαν δὲ ἔχει ἐν πᾶσι τοῖς ἑαυτοῦ μέρεσι τὴν δύναμιν. ὅθεν καὶ πίνεται καθ' ἑαυτὸ, καὶ τοῖς ἄλλοις φαρμάκοις πρὸς κοιλιακὰς διαθέσεις, καὶ δυσεντερίας, καὶ τὰς τοῦ αἵματος πτύσεις, καὶ τὰς ἐκ μήτρας αἱμορραγίας, καὶ προπτώσεις τῆς ἕδρας τε, καὶ ὑστέρας ἐπιτήδειός ἐστι ἐγγὺς τῆς ὑποκυστίδος.

Σχίνου ἄνθος.

Θερμαίνει μετρίως, καὶ στύφει μετριώτερον. μετέχει δὲ καὶ λεπτομεροῦς τινὸς δυνάμεως. ἔστι οὐρητικὸν ἐστὶ φάρμακον. καὶ καταμηνίων ἀγωγὸν, ἐν πυρίαις τε καὶ πόμασι καὶ καταπλάσμασι παραλαμβανόμενον. ὠφελεῖ δὲ καὶ τὰς καθ' ἧπαρ καὶ κοιλίαν, καὶ στόμαχον φλεγμονάς.

Σχίνου λεία.

Ἡ μὲν ὀξύσχινος ὀνομάζεται. ἡ δὲ ὁλόσχινος. ἔστιν ἰσχνοτέρα μὲν καὶ σκληροτέρα ἡ ὀξύσχινος. παχυτέρα δὲ ἡ ὁλόσχινος. ὁ καρπὸς δὲ τῆς ὁλοσχίνου ὑπνωτικός. τῆς δὲ ὀξυσχίνου, εἴδη δύο εἰσί. τὸ μὲν, ἄκαρπον, ὅπερ καὶ ἄχρηστον παρ' ἡμῖν ἐστι. τὸ δὲ καρποφόρον. ὑπνώδης δὲ καὶ ταύτης ὁ καρπὸς, ἀλλ' ἧττον τῆς ἑτέρας. ἔστι δὲ οὗτος κεφαλαλγής, ἀμφότεραι δὲ φρυγεῖσαι μετ' οἴνου πινόμεναι, τὰ κατὰ γαστέρα ξηραίνουσι ῥεύματα. καὶ ῥοῦν γυναικεῖον τὸν ἐρυθρὸν ἐπέχουσι. διὰ ταῦτα καὶ ἡ κρᾶσις ἠρέμα ψυχρά ἐστι καὶ ὑδατώδης θερμή. ξηραίνει οὖν τὰ κάτω. διὰ ταῦτα καὶ ἐπὶ τὴν κεφαλὴν ἠρέμα ἀναφέρει ψύχουσα. καὶ ὑπνώδεις τοὺς εἰληφότας ἐργάζεται.

ΑΡΧΗ ΤΟΥ Τ.

Τερέβινθος.

Τερεβίνθου τὰ φύλλα καὶ ὁ φλοιὸς, καὶ ὁ καρπὸς, ἔχουσί τι στυπτικόν. ἀλλὰ καὶ θερμαίνουσι κατὰ τὴν δευτέραν τάξιν. ὁ δὲ καρπός ἐστιν ἐγγὺς τῆς τρίτης τάξεως τῶν ξηραινόντων. ταύτῃ τοι καὶ οὐρητικός ἐστι καὶ σπλῆνας ὀνίνησι.

Τεῦτλον.

Νιτρώδους τινὸς μετείληφε δυνάμεως, ᾗ καὶ ῥύπτει καὶ διαφορεῖ. καὶ διὰ τῶν ῥινῶν ἐκκαθαίρει. ἑψηθὲν δὲ, τὸ μὲν νιτρῶδές τε καὶ δριμὺ ἀποτίθεται. γίνεται δὲ ἀφλεγμάντου δυνάμεως ἀφέμα διαφορητικῆς. ἰσχυρότερον δὲ εἰς τὸ ῥύπτειν καὶ διαφορεῖν ἐστι τὸ λευκόν. τὸ γὰρ μέλαν στύψεως μετέχει. καὶ μᾶλλον κατὰ τὴν ῥίζαν, τῷ δὲ ῥυπτικὸν ἔχειν τὸν χυλὸν, καὶ τὴν γαστέρα πρὸς ἔκκρισιν ἐπεγείρει. καὶ τὸν στόμαχον ἐνίοτε δάκνει. καὶ μάλιστα ἐφ' ὧν εὐαίσθητός ἐστι φύσει. καὶ διὰ τοῦτο κακοστόμαχόν ἐστιν ἔδεσμα πλεῖον βρωθέν. ἐπιτηδειότερον δέ ἐστι μαλάχης, εἰς τὰς καθ' ἧπαρ ἐμφράξεις, ἔτι δὲ μᾶλλον, ὅταν μετὰ νάπυος, ἢ πάντως γε ὄξους ἐσθίηται. καὶ τοῖς ὑποσπληνίοις δὲ τὸν αὐτὸν τρόπον ἐσθιόμενον, ἀγαθὸν γίνεται φάρμακον.

Τέφρα πᾶσα.

Τῶν κεκαυμένων ξύλων, ἢ ἑτέρων ὑλῶν τὸ λείψανον, τέφρα προσαγορεύεται. σύνθετον ὑπάρχει ἐξ ἐναντίων οὐσιῶν τε καὶ ποιοτήτων. ἔχει γὰρ ἐν αὐτῷ τὸ μέν τι γεῶδες. τὸ δὲ οἷον αἰθαλῶδες. ἢ λιγνυῶδες. ταῦτα μὲν οὖν τὰ μόρια λεπτομερῆ τε ἐστὶ, καὶ βρεχομένης ὕδατι τέφρας καὶ διηθουμένης συναποφέρεται. ὅσον δὲ ὑπολείπεται γεῶδες, ἀσθενὲς καὶ ἄδηκτόν τι γίνεται, τῷ ὕδατι τὴν θερμὴν δύναμιν ἐντιθέμενον. οὐχ ἅπασα δὲ τέφρα τὴν αὐτὴν ἀκριβῶς ἔχει δύναμιν ἀλλὰ κατὰ τὴν τῆς καυθείσης ὕλης διαφορὰν ὑπαλλάττεται. ἐκ μὲν δὴ τῶν στρυφνῶν ξύλων ἡ τέφρα, ὥσπερ τῶν δρυΐνων καὶ τῶν παραπλησίων, στυπτικὸν οὐκ ὀλίγον ἔχει ἐν τῷ γεώδει μέρει. ὅθεν καὶ αἱμορραγίας ἐπέχει. ἡ δὲ συκίνη, πολὺ τὸ δριμὺ καὶ καυστικὸν ἔχει ἐν τῷ αἰθαλώδει μέρει. ἐν δὲ τῷ γεώδει μέρει τὸ ῥυπτικόν. παραπλησία δὲ καὶ ἡ ἐκ τῶν τιθυμάλων τέφρα.

Τίτανος.

Ἔστι καὶ ἡ τίτανος εἶδος τέφρας. λεπτομερεστέρα οὖσα τῆς ἐκ τῶν ξύλων γιγνομένης. πλυθεῖσα γοῦν ὕδατι ἀκριβῶς, τρὶς καὶ τετράκις, καὶ ἀποχεομένου τοῦ ὕδατος, ξηραντικὸν ἀδήκτως γίνεται φάρμακον. διαφορητικὸν δὲ γίνεται πλυθεῖσα θαλάσσῃ.

Τῖλις.

Θερμὴ μὲν ἐκ τῆς δευτέρας ἐστὶ τάξεως. ξηρὰ δὲ ἐκ τῆς πρώτης. μετέχει δὲ καὶ ῥυπτικῆς δυνάμεως. καὶ διὰ τοῦτο τὰς ζεούσας φλεγμονὰς παροξύνει. τὰς δὲ ἧττον θερμὰς καὶ τὰς σκιρρώδεις διαφορεῖ. ἐσθίεται δὲ διαφόρως ἡ τῖλις. κεφαλῆς δὲ ἅπτεται, πλείων ληφθεῖσα. καὶ μᾶλλον εἰ χωρὶς ἄρτου προσενέγκοιτό τις αὐτήν. ἐνίοις δὲ καὶ τὸν στόμαχον ἀνατρέπει. ὁ χυλὸς δὲ, ἑψηθείσης τῆς τίλεως, μετὰ βραχέως μέλιτος λαμβανόμενος, ἐπιτήδειός ἐστιν ὑπάγειν ἅπαντας, τοὺς ἐν τοῖς ἐντέροις μοχθηροὺς χυμούς. ὀλίγον δὲ εἶναι χρὴ τὸ μιγνύμενον αὐτῇ μέλι, μή πως γένηται δακνώδης. ἐπὶ δὲ τῶν κατὰ τὸν θώρακα χρονιζόντων ἀλγημάτων ἄνευ πυρετοῦ, συναφεψεῖν δεῖ αὐτῇ λιπαροὺς φοίνικας, ἐκθλίψαντας δὲ τὸν χυλὸν, εἶτα μέλι μίξαντας, κἄπειθ' ἑψήσοντας αὖθις ἐπ' ἀνθράκων ἄχρι πάχους συμμέτρου, χρῆσθαι πρὸ πολλοῦ τῶν σιτίων. φυλάττεσθαι δεῖ τὴν τούτου χρῆσιν, ἐπὶ τῶν εὐπαθῆ ἐχόντων τὴν κεφαλήν. καὶ γὰρ ὡς καὶ οἱ φοίνικες, κεφαλῆς ἅπτονται.

Τιθύμαλλοι πάντες, ἢ γαλακτίδες.

Ἐπικρατοῦσαν μὲν ἔχουσι τὴν δριμεῖαν τε καὶ θερμὴν δύναμιν. ὑπάρχει δὲ αὐτοῖς καὶ πικρότης. ἰσχυρότατος μὲν οὖν ὁ ὀπός. ἐφεξῆς δὲ ὅ τε καρπὸς, καὶ τὰ φύλλα. μετέχει δὲ καὶ ἡ ῥίζα τῶν εἰρημένων δυνάμεων, ἀλλ' οὐκ ἐξ ἴσου. αὐτὴ μὲν οὖν ἑψομένη σὺν ὄξει, τὰ τῶν ὀδόντων ἀλγήματα, καὶ μάλιστα ὅσα βεβρωμένοις αὐτοῖς γίνεται θεραπεύει. εἰσὶ δὲ καὶ οἱ ὀποὶ ἐκ τῆς τετάρτης τάξεως τῶν θερμαινόντων τῆς καυστικῆς εἰρημένης. διὰ τοῦτο καὶ καταχριόμενοι οἱ ὀποὶ, τρίχας ψιλοῦσιν. ἐπεὶ δὲ σφοδρά ἐστιν αὐτῶν ἡ δύναμις, ἐλαίῳ μίγνυται. καὶ εἰ πολλάκις τοῦτο γίγνοιτο τελέως αἱ ῥίζαι τῶν τριχῶν ἀπόλλυνται καυθεῖσαι. καὶ ψιλὸν αὐτῶν γίνεται τὸ σῶμα. ὁμοίως καὶ ἀκροχορδόνας, καὶ θύμους ἀφαιροῦσιν. ἀπορρίπτουσι δὲ καὶ λιχῆνας καὶ ψώρας. τοῦ δὲ χαρακίτου λεγομένου ὁ φλοιὸς τῆς ῥίζης ἐν σκιᾷ ξηραινόμενος, κοπτόμενός τε καὶ σηθόμενος, καθαίρει γενναίως πινόμενος. δεῖ δὲ ἀφ' ἑπτὰ δραχμὰς στήσαντας ℥. δ΄. βρέχειν ἐν οἴνῳ γλυκεῖ. ἕωθεν δὲ συρώσαντας διὰ ῥάκους τὸν οἶνον, χλιαίνοντας διδόναι τὸν οἶνον πίνειν.

Τραγάκανθος.

Ὀπός ἐστιν ἀκανθώδους φυτοῦ, παραπλησίαν ἔχων τῷ κόμμι δύναμιν, ἐμπλαστικήν τε τινὰ καὶ ἀμβλυντικὴν δριμυτήτων. καὶ δὴ καὶ ξηραίνει παραπλησίως ἐκείνῳ.

Τρίβολος.

Ἐξ ὑγρᾶς οὐσίας μετρίως, καὶ ψυχρᾶς καὶ ξηρᾶς συνέστηκεν· ἐπικρατεῖ δὲ ἐν μὲν τῷ χερσαίῳ, τὸ γεῶδες ψυχρὸν, καὶ διὰ τοῦτο στύφει μᾶλλον. ἐν δὲ τῷ ἐνύδρῳ, τὸ ὑδατῶδες. καὶ διὰ τοῦτο πρὸς τὰς ζεούσας φλεγμονὰς ἁρμόττουσι. τοῦ δὲ χερσαίου ὁ καρπὸς, τοὺς ἐν νεφροῖς λίθους θρύπτει πινόμενος.

Τρίφυλλον, οἱ δὲ ἀσφάλτιον.

Δυνάμεώς ἐστι θερμῆς καὶ ξηρᾶς τῆς τρίτης τάξεως κατὰ τὴν ἄσφαλτον. καὶ διὰ τοῦτο πινομένη πλευρῶν ἀλγήματα ἐπὶ ἐμφράξεσιν ὀνίνησι. καὶ οὖρα κινεῖ, καὶ καταμήνια.

Τρύχνον.

Ἔνιοι δὲ μετὰ τοῦ σ, στρύχνον ὀνομάζουσι. τὸ μὲν κηπαῖον στύφει καὶ ψύχει κατὰ τὴν δευτέραν τάξιν. τὸ δὲ ἁλικάκαβον καλούμενον ἐν τῇ τῶν φύλλων δυνάμει παραπλήσιόν ἐστι τῷ κηπευομένῳ. τὸν δὲ καρπὸν οὐρητικὸν ἔχει. τοῦ δὲ ὑπνωτικοῦ ὁ φλοιὸς τῆς ῥίζης ψύχει παραπλησίως ὀποῦ μήκωνος· ὡς τῆς τρίτης εἶναι τάξεως τῶν ψυχόντων. τὸ δὲ σπέρμα καὶ τοῦτο οὐρητικὸν, μανιῶδες δὲ γίνεται, πλέον τῶν δώδεκα κορύμβων προσφερόμενον.

ΑΡΧΗ ΤΟΥ Υ.

Ὑάκινθος.

Ὑακίνθου ἡ ῥίζα βολβοειδὴς οὖσα, τάξεώς ἐστι τῆς πρώτης ἐν τῷ ξηραίνειν. τῆς δευτέρας δὲ ἐν τῷ ψύχειν. ἀνήβους δὲ αὐτὴ πλείω τοὺς παῖδας φυλάττειν πεπίστευται μετ᾽ οἴνου καταπλασσομένη. ὁ δὲ καρπὸς μετρίως στύφει καὶ ῥύπτει. ὅθεν δίδοται ἰκτερικοῖς σὺν οἴνῳ. ξηραίνων δὲ κατὰ τὴν τρίτην τάξιν. θερμότητος δὲ καὶ ψύξεως ἐν τῷ μέσῳ ἐστί.

Ὕελα.

Γεωδεστέραν μὲν οὐσίαν ἐπικρατοῦσαν κέκτηνται. βραχέος τινὸς αὐτῇ μιγνυμένου λεπτομεροῦς.

Ὑδροπέπερι.

Ἐν ὕδασι φύεται τὸ βοτάνιον. ἐοικὸς τοῖς φύλλοις καὶ τοῖς κλωνίοις, ἡδυόσμῳ. μεῖζον μέντοι. τῇ δὲ γεύσει δριμὺ, παραπλήσιον πεπέρει. σπέρματα δὲ μικρὰ φέρει καθ᾽ ἕκαστον φύλλον. ἔστι δὲ θερμὸν μὲν, ἀλλ᾽ οὐκ ἴσον τῷ πεπέρει. καταπλασσόμενον δὲ χλωρὸν, ὑπώπια καὶ σκίῤῥους θεραπεύει. χρῶνται δὲ αὐτῷ τινὲς ἀρτύματι ἀντὶ πεπέρεως.

Ὑοσκύαμος.

Ὑοσκύαμος ἐπιτηδειότατος πρὸς τὰς ἰάσεις. οὗ καὶ τὸ ἄνθος καὶ τὸ σπέρμα λευκὸν ἐκ τῆς τρίτης που τάξεως ὑπάρχον τῶν ψυχόντων. οἱ δὲ ἄλλοι δηλητηριώδεις.

Ὑπερικόν.

Θερμαίνει, καὶ ξηραίνει, λεπτομεροῦς οὐσίας ὑπάρχον, ὡς οὖρά τε καὶ καταμήνια προκαλεῖσθαι. χρὴ δὲ εἰς ταῦτα λαμβάνειν, οὐ τὸ σπέρμα μόνον ἀλλὰ καὶ τὸ φύλλον. ἐπιπλαττόμενον δὲ χλωρὸν εἰς οὐλὴν ἄγειν δύναται τὰ ἕλκη, μάλιστα τὰ πυρίκαυτα. ξηρὸν δὲ λεῖον ἐπιπασσόμενον τὰ πλαδαρὰ καὶ σηπεδονώδη τῶν ἑλκῶν ἰᾶται. τινὲς καὶ ἐπὶ τῶν ἰσχιαδικῶν αὐτὸ ποτίζουσιν.

Ὕσωπον.

Θερμαίνει καὶ ξηραίνει κατὰ τὴν τρίτην τάξιν. ἔστι δὲ καὶ λεπτομερές.

ΑΡΧΗ ΤΟΥ Φ.

Φακοί.

Στύφουσι μὲν οὐκ ἰσχυρῶς· θερμότητος δὲ καὶ ψύξεως ἐν τῷ μέσῳ καθεστήκασι. ξηραίνουσι δὲ κατὰ δευτέραν τάξιν. αὐτὸ γοῦν τὸ σῶμα ξηραίνει τε καὶ ἵστησι γαστέρα. τὸ δὲ ἀφέψημα αὐτοῦ προτρέπει. διὸ καὶ ἀποχεῖται τὸ πρότερον ὕδωρ ὅταν ἐπισχέσεως ἕνεκα λαμβάνονται.

Φακὸς ὁ ἐπὶ τῶν τελμάτων.

Ὑγρᾶς καὶ ψυχρᾶς κράσεώς ἐστι, ἐκ τῆς δευτέρας τάξεως.

Περὶ φασήλων καὶ ὤχρων.

Οἱ δὲ φάσηλοι, μέσα πως ἐστὶν ἐδέσματα τῶν εὐχύμων τε καὶ κακοχύμων, εὐπέπτων τε καὶ δυσπέπτων, βραδυπόρων τε καὶ ταχυπόρων, ἀφύσων τε καὶ φυσωδῶν, καὶ ὀλιγοτρόφων τε καὶ πολυτρόφων.

Φλῶμος ἢ φιλάνθρωπος.

Φλῶμος ἔχει διαφορὰς τρεῖς. τῶν μὲν δύο ἡ ῥίζα, στρυφνή ἐστι. ὅθεν καὶ τοῖς ῥοώδεσι πάθεσιν ἀρήγει. διακλύζονται δὲ αὐτὴν τινὲς ἀφεψῶντες πρὸς ὀδόντων ἀλγήματα. τὰ δὲ φύλλα πασῶν διαφορητικῆς καὶ ῥυπτικῆς ἐστι δυνάμεως. τῇ μὲν δ᾽ οὖν ἑτέρᾳ εἰς τοὺς λύχνους χρῶνται, καλοῦντες κυρίως θρυαλλίδα.

Φοῖνιξ.

Τὸ μὲν δένδρον στυπτικῆς μετέχει ποιότητος ἐν πᾶσι τοῖς ἑαυτοῦ μέρεσι. ὁ δὲ τῶν κλάδων χυλὸς αὐστηρός ἐστιν. ὁμοίως καὶ ὁ καλούμενος ἐγκέφαλος ἐδώδιμος. ὁ δὲ καρπὸς αὐτοῦ καὶ μάλιστα ὁ γλυκὺς,

οὐκ ὀλίγης μετέχει θερμότητος. ἐδώδιμος καὶ πολύχρηστος, καὶ ἔξωθεν προσφερόμενος καὶ ἔσω τοῦ σώματος λαμβανόμενος, ὅπου τονῶσαί τι, καὶ ξηρᾶναι, καὶ συναγαγεῖν, καὶ πυκνῶσαι, καὶ πλάσαι χρήζομεν. ἅπαντες δὲ οἱ φοίνικες δύσπεπτοί τε εἰσὶ, καὶ κεφαλαλγεῖς πλέον βρωθέντες· ἔνιοι δὲ καὶ δήξεως αἰσθάνονται τινὸς ἐν τῷ σώματι τῆς κοιλίας, οἱ δὴ καὶ μᾶλλον εἰσὶ κεφαλαλγεῖς. ὁ δὲ ἐξ αὐτῆς ἀναδιδόμενος εἰς τὸ σῶμα χυμὸς, παχὺς πάντως ἐστί. ἔχει δέ τι καὶ γλίσχρον ὅταν ὁ φοίνιξ λιπαρὸς ᾖ. ὅταν δὲ τῷ παχεῖ καὶ γλίσχρῳ χυμῷ γλυκύτης μιχθῇ, τάχιστα μὲν ὑπ' αὐτοῦ τὸ ἧπαρ ἐμφράττεται. εἰ δὲ καὶ φλεγμαῖνον, ἢ ἐσκιρρωμένον ᾖ, βλάπτεται ἐσχάτως ὑπὸ τῆς ἐδωδῆς αὐτῶν. ἐφεξῆς δὲ τῷ ἥπατι καὶ ὁ σπλὴν ἐμφράττεται, καὶ βλάπτεται. πολλοὶ δὲ δὴ μᾶλλον βλάπτουσιν οἱ χλωροὶ φοίνικες εἰς ἅπαντα βραχὺ πλείονες βρωθέντες. καὶ φύσης ἐμπιπλῶσι τὴν γαστέρα. καὶ ὠμῶν χυμῶν, καὶ ῥίγεσι δυσεκθερμάντοις ἁλίσκονται οἱ τοιοῦτοι. ὃ δὲ καλοῦσιν ἐλάτην τὸ ἁπαλὸν ἐμβλάστημα, τὴν αὐτὴν ἔχει τῷ ἐγκεφάλῳ δύναμιν. τὸ δὲ δὴ ἀμφίεσμα αὐτοῦ, στυπτικὸν μὲν, ξηραίνει δὲ μᾶλλον τῶν εἰρημένων. ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ φυτοῦ ξηραντικῆς ἀδήκτου δυνάμεως, μετέχουσα καὶ στύψεως.

Φοῦ.

Τούτου ἡ ῥίζα νάρδῳ παραπλησίαν τὴν δύναμιν. ἀσθενεστέρα μέντοι εἰς τὰ ἄλλα. οὖρα μέντοι προτρέπει μᾶλλον.

Φῦκος.

Βρύον ἐστὶ τῆς θαλάσσης. ἔτι χλωρὸν ὑγραινόμενον, ψύχει καὶ ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. ἔχει δέ τι καὶ στύφον μετρίως.

ΑΡΧΗ ΤΟΥ Χ.

Χαλβάνη.

Ὀπός ἐστι ναρθηκώδους φυτοῦ, μαλακτικῆς καὶ διαφορητικῆς οὖσα δυνάμεως. θερμαίνει δὲ κατὰ τὴν τρίτην που τάξιν. ξηραίνει δὲ κατὰ τὴν δευτέραν.

Χαμαίδρυς.

Ἐπικρατοῦσαν ἔχει τὴν πικρὰν ποιότητα. ἔστι δὲ καὶ δριμεῖά πως, ὅθεν καὶ σπλῆνα τήκει, καὶ οὖρα καὶ καταμήνια κινεῖ. καὶ πάχος χυμῶν τέμνει. καὶ τὰς ἐν τοῖς σπλάγχνοις ἐμφράξεις ἐκκαθαίρει. ἔστι δὲ τῆς τρίτης τάξεως κατὰ τὸ θερμαίνειν καὶ ξηραίνειν. τὸ δὲ ἀφέψημα αὐτῆς ἐπιπλεῖον ἑψόμενον καὶ πινόμενον συνεχῶς, τεταρταίῳ πυρετῷ συνεχομένους ἀπολύει.

Χαμαιλέα.

Τὴν πικρὰν ἐπικρατοῦσαν ἔχει ποιότητα. διὸ καὶ ὅσα τὰς μεγίστας ἐσχάρας ἔχει μετὰ μέλιτος ἀνακαθαίρειν δύναται. ἔστι δὲ καὶ πινομένη τῶν καθαιρόντων.

Χαμαιλεύκη.

Θερμὴ τὴν δύναμιν ἐστὶ κατὰ τὴν τρίτην τάξιν. ξηρὰ δὲ κατὰ τὴν πρώτην. ὅθεν θυμιωμένη ἐπ' ἀνθράκων, ὀνίνησιν ἐναργῶς τοὺς δυσπνοϊκοὺς δεχομένων αὐτῶν τὸν καπνὸν διὰ χώνης.

Χαμαιλέων.

Χαμαιλέοντος ἡ ῥίζα, τοῦ μὲν μέλανος, ἔχει τι δηλητηριῶδες. ὅθεν ἔξωθεν ἡ χρῆσις αὐτῆς ἐστὶ πρός τε ψώρας καὶ λειχῆνας, καὶ ἀλφοὺς, καὶ ὅλως ὅσα δεῖται ῥύψεως. μετέχει δὲ καὶ μαλακτικῆς τε καὶ διαφορητικῆς δυνάμεως. ξηραίνει δὲ κατὰ τὴν τρίτην τάξιν. θερμαίνει δὲ κατὰ τὴν δευτέραν συμπληρουμένην. ἡ δὲ τοῦ λευκοῦ χαμαιλέοντος ῥίζα, πινομένη μετ' οἴνου αὐστηροῦ ὀξυβάφου πλῆθος, πλατείας ἕλμινθας ἐκτινάσσει. διδόασι δὲ αὐτὴν καὶ τοῖς ὑδερικοῖς.

Χαμαιπίτυς.

Τῆς τρίτης τάξεώς ἐστι τῶν ξηραινόντων. τῆς δευτέρας δὲ τῶν θερμαινόντων. πικρὴ δὲ ἰσχυρῶς ὑπάρχουσα, ῥύπτει τὰ σπλάγχνα μᾶλλον ἢ θερμαίνει. ὅθεν ἰκτερικοῖς δίδοται καὶ ὅλως οἷς ἐμφράττεται ῥᾳδίως τὸ ἧπαρ, ἀγαθόν ἐστι φάρμακον. ἄγει δὲ καὶ καταμήνια πινομένη καὶ μετὰ μέλιτος προστιθεμένη. ἔστι δὲ καὶ οὐρητική. τινὲς δὲ καὶ ἰσχιαδικοῖς αὐτὴν διδόασιν ἀφεψήσαντες ἐν μελικράτῳ. χλωρὰ δὲ ἡ πόα, τὰ μεγάλα τραύματα κολλᾶν δύναται. καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν ἰᾶσθαι καὶ τὰς ἐν μαστοῖς σκληρότητας διαφορεῖν.

Χελιδόνιον μέγα.

Ῥυπτικῆς ἐστι δυνάμεως ἱκανῶς καὶ θερμῆς. καὶ ὁ χυλὸς ὀξυωπὴς ἐστι, ἐφ' ὧν ἀθροίζεταί τι παχὺ κατὰ τὴν κόρην δυνάμενον διαφορεῖσθαι. ἐχρήσαντο δὲ τινὲς τῇ ῥίζῃ πρὸς ἰκτερικοὺς τοὺς ἐπ' ἐμφράξει τοῦ ἥπατος ἐν οἴνῳ λευκῷ διδόντες πίνειν σὺν ἀνίσῳ.

Χελιδόνιον μικρόν.

Τὸ δὲ μικρὸν χελιδόνιον δριμύτερον τοῦ μείζονος. ὅθεν ἑλκοῖ τὸ δέρμα καταπλασσόμενον. καὶ ὄνυχας λεπροὺς ἐκβάλλει. καθαίρει δὲ καὶ ὁ χυλὸς διὰ ῥινῶν ἰσχυρῶς. ἔστι γὰρ τῆς τετάρτης τάξεως τῶν θερμαινόντων καὶ ξηραινόντων. τὸ δὲ μεῖζον, τῆς τρίτης κατ' ἄμφω.

Περὶ χονδρίλλης.

Γέγραπται ἐν τῷ περὶ σέρεως τόπῳ. ἔστι γὰρ σέρεως εἶδος.

ΑΡΧΗ ΤΟΥ Ψ.

Ψύλλιον.

Τούτου τὸ σπέρμα μάλιστά ἐστι χρήσιμον. τῆς δευτέρας δέ ἐστι τάξεως τῶν ψυχόντων. κατὰ δὲ τὸ ξηραίνειν καὶ ὑγραίνειν τῆς μέσης.

ΑΡΧΗ ΤΟΥ Ω.

Ὤκιμον τὸ βασιλικόν.

Ἐκ τῆς δευτέρας ἐστὶ τάξεως τῶν θερμαινόντων. ἔχει δὲ ὑγρότητα περιττωματικήν. ὅθεν 10 οὐδὲ χρήσιμον ἐστὶν εἴσω τοῦ σώματος λαμβανόμενον. ἔξωθεν δὲ καταπλαττόμενον, εἰς τὸ διαφορεῖν καὶ συμπέττειν ἐστὶ χρήσιμον. τὸ δὲ ἀφέψημα αὐτοῦ ἐπὶ τῶν διὰ πλῆθος παχυτέρας ὕλης μάλιστα ὀφθαλμιώντων, καταιονούμενον θερμόν, μεγάλως ὠφελεῖ, καὶ μάλιστα τὰ νήπια.

ΣΥΝΟΨΙΣ ΕΚ ΤΟΥ ΠΕΡΙ ΤΩΝ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΓΑΛΗΝΟΥ, ΚΑΙ ΤΟΥ περὶ τροφῶν δυνάμεων, ὧν ἐν τῷ δευτέρῳ διαλαμβάνει.

περὶ ἐκλογῆς

ΠΕΡΙ ΤΩΝ ΤΗΣ ΓΗΣ ΔΙΑΦΟΡΩΝ ΚΑΙ ΛΙΘΩΝ ΚΑΙ ΜΕΤΑΛΛΙΚΩΝ· καὶ τῆς ἀπὸ τῶν ζώων ὠφελείας, ἐκ τῶν ἁπλῶν Γαληνοῦ, καὶ τῶν περὶ τροφῶν δυνάμεως αὐτοῦ. καὶ Ὀρειβασίου καὶ ἑτέρων, λόγος δεύτερος.

σα μὲν ἐστὶ φυτῶν μόρια καὶ καρποὶ, καὶ χυλοὶ, καὶ ὀποὶ, πρόσθεν εἴρηται. νυνὶ δὲ περὶ τῶν ὑπολοίπων φαρμάκων, ὅσα τῆς γῆς ἐστὶν εἴδη, καὶ ὅσα μεταλλεύεται, πρόκειται διελθεῖν. ἔπειτα καὶ περὶ ζώων.

Περὶ τῶν τῆς γῆς διαφορῶν. α.

Γῆν συνήθως πάντες ἄνθρωποι ὀνομάζουσιν ἐκείνην μόνην τὴν οὐσίαν, ἥτις ὑγρῷ φυραθεῖσα, πηλὸς γίνεται. ἡ δὲ ἐν τοῖς μετάλλοις εὑρισκομένη, ἄτηκτος γίνεται. λέγω δὴ τέγγεσθαι μὲν, τὸ δι' ὅλης τῆς οὐσίας ὑγραίνεσθαι, βρέχεσθαι δὲ κατὰ τὴν ἐπιφάνειαν μόνην, οὐ διικνουμένης εἰς τὸ βάθος αὐτῶν τῆς ὑγρότητος. ξηραντικὴν δὲ ἅπασα γῆ ἔχει δύναμιν, ἐπεὶ καὶ φύσει ξηρόν ἐστιν αὐτῆς τὸ σῶμα. καὶ ὅταν ἀκριβῶς ᾖ πυρώδους ἀμικτος οὐσίας, ἀδήκτως πάντως ξηραίνει. συντελεῖ δὲ εἰς τοῦτο αὐτῇ τὸ πλύνεσθαι. τινὲς μὲν οὖν οὐ δέονται πλύσεως. τινὲς δὲ καὶ δὶς καὶ τρὶς δέονται πλύνεσθαι. εἰ δὲ καὶ γεγυμνασμένην ἔχεις τὴν γευστικὴν αἴσθησιν, αὐτὸς ἔσῃ κριτὴς ἀκριβὴς, εἴτε δεῖ πλύνειν γῆν, εἴτε μὴ, τῷ μὴ μετέχειν αὐτὴν δηλονότι δριμύτητος τινὸς, ἢ στύψεως. ἐπεὶ δὲ ἀδύνατόν ἐστιν εὑρεῖν οὐσίαν ἄμικτον ἀκριβῶς, προσεπισκέπτεσθαι χρὴ τὴν μίξιν ἐκ τῶν συμβεβηκότων αὐτῇ κατά τε τὰς ἐν τῇ δριμύτητι καὶ βαρύτητι διαφορὰς, καὶ τὰς ἐν τῇ γεύσει. στύψεως μὲν γὰρ ἔμφασιν ἔχουσα τοσούτω μετείληφε ψύξεως, ὅσω καὶ στύψεως. εἰ δὲ δριμύτητος ἐμφαίνοιτό τι, τοσοῦτον ἔχει θερμότητος, ὅσον δριμύτητος. καὶ ἡ μὲν κούφη γίνεται, ὅταν ἀερώδους οὐσίας μετέχῃ δαψιλοῦς ἐν τῇ δι' ὅλης αὐτῆς κράσει. ἡ δὲ βαρεῖα, ὅσον μᾶλλον ᾖ βαρεῖα, τοσοῦτον μᾶλλον εἰλικρινὴς ἐστὶ γῆ. ἡ μὲν οὖν θερμὴ δηλονότι θερμαίνει. ἡ δὲ ψύχουσα καὶ στύφουσα, δηλονότι ἐμψύχει καὶ ἀποκρούεται. ἡ δὲ τοῦ ῥυπτικοῦ μετέχουσα, χωρὶς ἐπιφανοῦς θερμότητος, ξηραίνει ἀδήκτως. ἡ δὲ ἐπιπλέον τὸ ἔχεσθαι μᾶλλον ἔχουσα, οὐ ῥύπτει, ἀλλ' ἐμπλαστικωτέραν ἐργάζεται τὴν οὐσίαν τὸ κολλῶδες, ὥστε μὴ ῥύπτειν, ὅταν γε μὴ δὲ μία δριμύτης ἄλλη προσῇ τῷ γλίσχρῳ, ὡς ἐπὶ τῆς ἴσως ἐστὶν ἰδεῖν. ἀναγκαιότατον δὲ μὴ δὲ τοῦτο ἀγνοεῖν, ἀλλ' ἀεὶ αὐτοῦ μεμνῆσθαι ἐπὶ πάσης ὕλης τῆς εἰς ἰατρικὴν χρείαν ἀγομένης. οἱ μὲν γὰρ πλεῖστον νομίζουσι τὰ καυθέντα πάντα ψυχρότερα γίνεσθαι σφῶν αὐτῶν. ἔνιοι δὲ πάλιν αὔξεσθαι τὴν θερμασίαν οἴονται τῶν καυθέντων. ἁμαρτάνουσι δὲ ἀμφότεροι. τὰ μὲν οὖν δριμέα πάντα καυθέντα πολὺ τῆς θερμότητος ἀπόλλυσι. τὰ δὲ μὴ τοιαῦτα καυθέντα, προσλαμβάνει θερμότητα. τελέως δὲ ψυχρὸν οὐδὲν τῶν καυθέντων γίνεται. ἐγκαταλείπεται γὰρ αὐτοῖς οἷον ἐμπύρευμά τι λεπτομερές. καὶ τοῦτό ἐστι τὸ κατὰ τὰς πλύσεις τῶν καυθέντων ἀποῤῥυπτόμενον, οὗ συναπελθόντος τῷ ὕδατι, τὸ λοιπὸν τοῦ καυθέντος οὐσία γεώδης ψυχρὰ γίνεται ἀδήκτως ξηραίνειν δυναμένη. τὸ δὲ ὕδωρ ᾧ τὸ φάρμακον ἐπλύθη θερμὴν δύναμιν ἐκτήσατο λεπτομερῆ. τούτου τοίνυν προδεδηλωμένου, καιρὸς ἤδη λέγειν ὅπως δεῖ πλύνειν ἅπασαν γῆν ἄκαυστον, πλύσεως δεομένην. τινὲς γὰρ καθὰ προείρηται, οὐ δέονται πλύσεως.

Πῶς δεῖ πλύνειν γῆν. β.

Πλύνεται πᾶσα γῆ τῷ τρόπῳ τούτῳ. ὕδατι μὲν φύρεται, μηδεμιᾶς φαρμακώδους ποιότητος ἔμφασιν ἔχοντι. καταστάντος δὲ τοῦ πηλοῦ, καὶ περιαιρεθέντος ἄνωθεν τοῦ ὕδατος. εἶτα τοῦ μετ' αὐτὸν χωρισθέντος ἀπὸ τῶν ὑφισταμένων κάτω λιθωδῶν τε καὶ ψαμμωδῶν.

Θεραπεῖαι αἱ διὰ τῆς γεωργουμένης γῆς ἐπιτελούμεναι. γ.

Τῆς δὲ γεωργουμένης γῆς ἡ λιπαρὰ πᾶσα χρήσιμος εἰς θεραπείαν ἁπάντων τῶν ξηρανθῆναι δυναμένων μορίων. ὅθεν αὐτῇ καὶ κατ' Ἀλεξάνδρειαν, καὶ κατ' Αἴγυπτον χρῶνται. εἶδον γοῦν ἐπὶ τῆς Ἀλεξανδρείας ὑδερικοὺς καὶ σπληνώδεις ἐνίους χρωμένους τῷ πηλῷ τῆς αἰγυπτιακῆς γῆς. πολλοὶ δὲ καὶ κνήμας, καὶ μηροὺς, καὶ πήχεις, καὶ βραχίονας, καὶ νῶτα, καὶ πλευρὰς, καὶ στέρνα τῷ πηλῷ τῆς γῆς ταύτης χριόμενοι σαφῶς ὠφελοῦντο. τάς τε παλαιὰς φλεγμονὰς, καὶ τὰ χαῦνα τῶν οἰδημάτων ὀνίνησιν ὁ πηλὸς οὗτος. ὥστε ἐνίους οἶδα ὅλην τὴν ἕξιν τοῦ σώματος ὑδαλέους, διὰ τὰς αἱμοῤῥοΐδων ἀμέτρους κενώσεις γενομένους, ὠφεληθέντας ἐναργῶς. καί τινες ἀλγήματα χρόνια κατά τι μόριον ἐστηριγμένα, τῷ πηλῷ τούτῳ τελέως ἰάσαντο. καὶ ταῦτα μὲν ὁ Γαληνός. ὁ δὲ Στράτων οὕτως ἔφη περὶ τῆς γῆς.

Πρὸς χρονίαν κεφαλαλγίαν.

Γλοιὸν τὸν ἀπὸ τοῦ βαλανείου, ἢ ἀπὸ τοῦ θερμοῦ ὕδατος μίξας τῇ πλυθείσῃ μελαίνῃ γῇ, χρῶ. ἢ ἀφεψήματος ῥόδων κεφαλῶν φυράσας τὴν γῆν, χρῶ. ἢ κεραμίου ὄξους ὄστρακον λεῖον προσπλέκων τῇ γῇ χρῶ σὺν ἀφεψήματι δάφνης. ἢ ὄστρακον κλιβανίου λεῖον μίξας τῇ μελαίνῃ γῇ παραχέων σαμψύχου ἀπόζεμα χρῶ.

Πρὸς δὲ τὰ γινόμενα ἐπὶ τοῦ σώματος ψωρώδη καὶ λιχηνώδη ἐξανθήματα.

Α φεψήματι ἀμυγδάλων ἢ θέρμων πικρῶν φυράσας γῆν μέλαιναν, χρῶ. ἢ κεράμιον ὄξους ἀποπλύνας ἀφεψήματι πηγάνου. καὶ φυράσας τῇ γῇ, ὁμοίως χρῶ, ἢ βωλάρια ἁλὸς τὰ εὑρισκόμενα ἐν τῷ πυθμένι τῶν ἀπὸ γάρου κεραμίων λεάνας καὶ φυράσας τῇ γῇ χρῶ ὡς ἐνεργῷ. ἢ περιστερᾶς κόπρον μίξας τῇ γῇ. καὶ ἁλικακάβου ἀφεψήματι φυράσας χρῶ. Πρὸς δὲ βῆχα χρονίαν μετὰ καχεξίας ἀφεψήματι ὀστῶν μοσχείων συμφυράσας τὴν γῆν, χρίε τὸν θώρακα, ἢ κεράμιον ἀπὸ μέλιτος πλύνας ὁμοίως καὶ φυράσας χρῶ. ἢ ἀφεψήματι κυμίνου, καὶ μελανθίου ὁμοίως χρῶ, ἢ ἀφεψήματι σαμψύχου, ὁμοίως φυράσας χρῶ. Πρὸς δὲ σπληνικούς. Σποδὸν κληματίνην καὶ θρόμβον φυτίας ὄξους φυράσας τῇ γῇ χρῶ. ἢ ἀφεψήματι φύλλων καππάρεως φυράσας, χρῶ. ἢ σκωρίαν λειοτάτην ἀργύρου ὁμοίως σμίγε τῷ πηλῷ, καὶ χρῶ, ἢ ἀπόζεμά τι σεραπιάδος βοτάνης τῆς ὀρχέος φυράσας, χρῶ. Πρὸς ὑδρωπικούς. Ὄστρακα ἀπὸ ἅλμης παλαιωθέντα λειώσας μίξας τῇ γῇ χρῶ, ἢ μοσχείων, ἢ χοιρείων κρεῶν γάρος μίξας ὁμοίως χρῶ, ἢ σάμψυχον θαλαττίῳ ὕδατι ἑψήσας, καὶ φυράσας τὴν γῆν χρῶ. ἢ ἀφεψήματι θέρμων πικρῶν τάριχον συλλεάνας καὶ μίξας τῇ γῇ χρῶ, ἢ στυπτηρίαν κεκαυμένην, καὶ γλήχωνος κεκαυμένου τέφραν μίξας τῷ πηλῷ καὶ ὀξυμέλιτι φυράσας χρῶ. ἢ βόλβιτα βοὸς ξηρὰ λεῖα μίξας τῇ γῇ χρῶ καὶ φυράσας μετὰ ὀξυμέλιτος χρῶ. Πρὸς ἰσχιαδικοὺς καὶ πάντας τοὺς περὶ τὰ νευρώδη μόρια ψυγμούς. Ἀφεψήματι ὀστέων μοσχείων σάμψυχον ἑψήσας, καὶ μίξας τῇ λευκῇ γῇ, χρῶ, ἢ ἔγχελυν ἑψήσας μετ᾽ ἁλῶν καὶ νίτρου τῷ ἀφεψήματι φυράσας τὴν γῆν χρῶ. ἢ γλοιὸν μετὰ ἀσβέστου μίξας τῇ γῇ χρῶ, ἢ πράσου καὶ σκορόδων ἀφεψήματι φυράσας τὴν γῆν χρῶ, ἢ κόστον καὶ κασίαν. σχῖνον ἀσπάλαθον ξυλοβάλσαμον, καὶ σάμψυχον παρακεκομμένα, ἕψε μεθ᾽ ὑδρελαίου. καὶ σμίγε τῷ πηλῷ καὶ χρῶ, ἢ αἰγὸς πυράθους· καὶ βόλβιτα ξηρὰ βοὸς, λεάνας ἅμα μετὰ γλοιοῦ σκευασθέντος ἐκ κηρωτῆς ῥαφανίνης, μίσγε τῷ πηλῷ καὶ χρῶ. Πρὸς ποδάγραν. Ἀπὸ κεφαλῆς μέχρι βουβώνων, πλουέσθω τοῖς προκειμένοις, ἀπὸ βουβώνων δὲ καὶ κάτω μέχρις ὀνύχων, τοῖς ὑπογεγραμμένοις· μόσχου τοὺς ὀπισθίους πόδας κατακαύσας σὺν τοῖς ὄνυξι, καὶ λεάνας καὶ μίξας τῇ γῇ, χρῶ. καὶ λευκογραφίδα λεάνας μεθ᾽ ὕδατος ἐν ᾧ σίδηρος πλειστάκις ἀπεσβέσθη. καὶ στυπτηρίας Γο. α. συμφυράσας τῇ γῇ χρῶ ἢ ἀφεψήματι φύλλων τῆς κυπρίου φυράσας τῇ γῇ χρῶ. ἢ ἀφεψήσας κηκῖδας μέχρι τὰ κορωθῶσι καὶ συμφυράσας τῷ ἀφεψήματι τὴν γῆν χρῶ. Ἄλλο. Στυπτηρίας ὑγρᾶς, Γο. α. στυπτηρίας σχιστῆς οὐγγία α. κόμεως Γο. ς. ψιμυθίου Γο. θ. μελαντηρίας Γο. ε. μίσυος Γο. ς. ἰτέας φύλλων. οὐγγίας θ. ἐλαίου μυρσίνου ἢ κικίνου, οὐγγίας κδ. ὄξους. Γο. ς. λεάνας ἅμα καὶ συμφυράσας τῇ γῇ χρῶ. Ἄλλο. Ἀκακίας, χαλκάνθου ἀνὰ δραχμὰς β΄. λεάνας ὄξει, ξήρανον. καὶ συμφυράσας τῷ πηλῷ χρῶ. Ἄλλο. Στυπτηρίας, λιθαργύρου μίσυος ὀπτοῦ ἀνὰ δραχμὰς δ. κηρωτῇ μυρσίνῃ ὑγρᾷ ἀναλαβὼν καὶ φυράσας τῇ γῇ χρῶ. Ἄλλο. Ψιμυθίου λιθαργύρου ἀνὰ δραχμὰς, κδ. ἐλαίου μυρσίνου δραχμὰς λδ. ὕδατος τὸ ἀρκοῦν, συμφυράσας τῇ γῇ χρῶ. Ἄλλο ᾧ ἐθεραπεύθη ὁ ἔπαρχος Φιλῖνος. Μόρων χυλοῦ στυπτηρίας σχιστῆς κυπέρου, ἄγνου, κηκίδων, κρόκου, μυρίκης καρποῦ, λιβανωτοῦ ἀνὰ Γο. ς΄. ἅμα πάντα λειότατα ποιήσας ἀπόθου. ἐπὶ δὲ τῆς χρείας ἀνέσας ὕδατι καὶ συμφυράσας τῇ γῇ χρῶ. μὴ λουόμενον δὲ, δεῖ ἀπαντλεῖσθαι περσικῶν ἀώρων ἀφεψήματι. καὶ περὶ μὲν τῆς γεωργουμένης γῆς ἱκανὰ καὶ ταῦτα.

Περὶ λημνίας σφραγῖδος. δ.

Τ ὴν δὲ λημνίαν γῆν ἣν καὶ σφραγῖδα λημνίαν καλοῦσιν, ἑτοίμην λαμβάνεις ἅπαξ ἐν τῷ τόπῳ πεπλυμένην ἑτέρας πλύσεως μὴ δεομένην. ἄλλοτε δὲ ἄλλῳ ὑγρῷ ἀνιεμένη, διαφόρως ἐνεργεῖ. ἐπί γε μὴν τῶν κακοήθων καὶ σηπεδονωδῶν ἑλκῶν, εἴ ποτε ἐχρησάμην τῇ λημνίᾳ μεγάλως ὠφέλησα. ἡ δὲ χρῆσις γίνεται πρὸς τὸ μέγεθος τῆς τοῦ ἕλκους κακίας. τὸ μὲν γὰρ δυσῶδες λίαν πλαδαρόν τε καὶ ῥυπαρὸν καὶ χρόνιον, ἀνέχεται δι᾽ ὄξους δριμυτάτου, τῆς λημνίας λελυμένης εἰς πηλώδη σύστασιν οἴνῳ δὲ ἀνιεμένη καὶ τὰ πρόσφατα τῶν τραυμάτων κολλᾷ. πινομένη δὲ πρὸς αἵματος ἀναγωγὰς ἁρμόττει. καὶ ἐπὶ τῶν θανασίμων φαρμάκων καὶ τῶν ὑπό τινος τῶν ἰοβόλων δηχθέντων. ἀνιεμένη δὲ καὶ διὰ κλυστῆρος μετὰ χυλοῦ ἀρνογλώσσου, δυσεντερικοὺς μεγάλως ὠφελεῖ, προαποκλυσθέντων δηλονότι τῶν ἑλκῶν ἅλμῃ. δίδοται δὲ καὶ αὐτοῖς καὶ τοῖς αἱμοπτοϊκοῖς εἰς πότον μετ᾽ ὀξυκράτου.

Μίλτος. ε.

Δ ύναμιν ἔχει στυπτικὴν, ἐμπλαστικὴν, ἀναξηραντικήν. διὸ καὶ ἐμπλάστροις τραυματικαῖς μίγνυται.

γνυται, καὶ βρογχίοις ξηραίνουσι, καὶ στεγνωτικοῖς. ἵστησι δὲ κοιλίαν σὺν ᾠοῖς τηγανιστοῖς λαμ-
βανομένη, καὶ ἐγκλυζομένη. κατάγει δὲ καὶ ἕλμινθας πινομένη. πρωτεύει δὲ πασῶν ἡ σινωπι-
κὴ μὲν καλουμένη, γινομένη δὲ ἐν καππαδοκίᾳ, πυκνὴ οὖσα καὶ βαρεῖα, καὶ ἡπατίζουσα τῇ χρόᾳ,
καὶ ὁμόχροος, καὶ πολύχυλος ἐν τῇ ἀνέσει.

Γῆ σαμία ἢ ἀστήρ. ϛ.

Η δὲ σαμία γῆ, οὐδέπω πλυθεῖσα. χρώμεθα δὲ αὐτῇ μάλιστα τῶν ἑτέρων γαιῶν, ἣν δὴ καὶ σά-
μιον ἀστέρα καλοῦσιν, ἐς εἰς τὰς τοῦ αἵματος πτύσεις ποιεῖ πινομένους, ὡς ἂν τύχοι καὶ ἐν ποτῷ, καὶ
ἐν προσθέτῳ, καὶ μέντοι καὶ πρὸς τὰς δυσεντερικὰς ἑλκώσεις, καὶ νομὰς χρώμεθα ἐνίοτε δι' ἀρ-
νογλώσσου χυλοῦ καὶ μάλιστα ἐπὶ τῶν φλεγμαίνειν φθασάντων ἑλκῶν, καὶ μὴ ἀνεχομένων δρι-
10 μυτέρων φαρμάκων, καὶ ἐπὶ τῶν ἁπαλοσάρκων. παρηγορεῖ γὰρ καὶ μάλιστα τά τε ὑγρότερα, καὶ
χαυνότερα μόρια. ὅθεν ἐπὶ τῶν τιτθῶν καὶ ὄρχεων φλεγμαινόντων παραλαμβάνεται, λειω-
θεῖσα μεθ' ὕδατος, ἐπιβαλλομένου ῥοδίνου τοσούτου, ὅσον οὐκ ἐάσει ξηρανθῆναι τὸ φάρμακον. ἀγα-
θὸν δὲ τὸ οὕτως σκευασθὲν, καὶ πρὸς τὰς ἄλλας φλεγμονὰς καὶ ὅσα θερμά. καὶ πρὸ βουβῶνας
ἀρχομένους, καὶ τὰ ποδαγρικὰ ῥεύματα, καὶ ὅλως ὅπου μετρίως ψύχειν βουλόμεθα μετὰ τοῦ
παρηγορεῖν. ὡς ἐκ τούτου ἐναργῶς φαίνεσθαι τῆς σαμίας γῆς τὴν δύναμιν, μετρίως ψυκτικήν.
ἔστι γὰρ ἀδρώδης καὶ ἔγκολλος. διαφέρει δὲ ὁ σάμιος ἀστὴρ, τῆς σαμίας γῆς, τῷ μᾶλλον ἔχειν τὸ ἐγκό-
λλον καὶ ἐμπλαστικόν.

Σελινουσία γῆ καὶ χία. ζ.

Ρυπτικὴν δὲ ἔχει δύναμιν μετρίως πάνυ ἡ σελινουσία τε γῆ καὶ χία. διὸ καὶ τινὲς τῶν γυναικῶν
20 ἐπὶ τοῦ προσώπου αὐταῖς χρῶνται. πρὸς δὲ τῷ ξηραίνειν ἀδήκτως καὶ ῥύπτειν, οὔτε θερμότη-
τος οὔτε ψύξεως ἐπιφανοῦς μετέχουσι. διὸ καὶ ἐπὶ τῶν ἐπιπολαίων ἑλκῶν χρήσιμοι, οἷα εἰσὶ τὰ
πυρίκαυστα. τὰ δὲ πάνυ ἐμπλαστικὴν ἔχοντα τὴν οὐσίαν, οὐ ῥύπτει. κωλύει γὰρ τοῦτο ποιεῖν τὸ ἐγκό-
λλον.

Κιμωλία γῆ. η.

Μικτῆς οὖσα δυνάμεως, ἔχει μέντοι τινὰ καὶ ψυκτικὴν δύναμιν, καὶ ἀποκρουστικήν. ἔχει δέ τι καὶ
διαφορητικὴν βραχεῖαν. πλυθεῖσα δὲ ἀποτίθεται τὸ διαφορητικόν. παρὰ δὲ τὴν τῶν μιγνυμένων
ὑγρῶν αὐτῇ φύσιν, ἐναργῶς ἐπιδείκνυται τῶν δυνάμεων ἑκατέραν. τοῖς μὲν γὰρ ἀποκρουομένοις
καὶ ψύχουσι μιχθεῖσα, τὸν γεννώμενον ἐξ αὐτῆς πηλὸν, κἀκεῖνον ἐργάζεται, ψύχοντά τε καὶ
ἀποκρουόμενον. τοῖς δὲ διαφορητικοῖς διαφοροῦντα καὶ αὐτόν. οὕτω μὲν οὖν καὶ τοῖς πυρικαύστοις
30 ἁρμόττει μετ' ὄξους φυραθεῖσα καὶ ἐπιχριομένη. μέμνησο γε μὴν τοῦτο κοινὸν εἶναι ἐπὶ πάσης τῆς
γῆς τῆς κούφης. ἅπασαι γὰρ ὀνινᾶσι τὰ πυρίκαυστα παραχρῆμα καταχριόμεναι μετ' ὀξυκράτου.
κωλύουσαι, φλυκταινοῦσθαι.

Γῆ ἀμπελῖτις ἢ καὶ φαρμακῖτις λέγεται. θ.

Αμπελῖτις γῆ καὶ φαρμακῖτις λέγεται, ὅτι τε ἐναργεστέραν τῶν ἄλλων τὴν δύναμιν κέκτηται.
καὶ ὅτι οἱ γεωργοὶ ἦρος εἰσβάλλοντος, καὶ διέντες αὐτὴν, χρίουσι τὰς ῥίζας τῶν βλαστησάντων
ἀμπέλων, πρὸς τὸ μὴ ἅπτεσθαι τούτων τὰ βλάπτοντα τὰς ἀμπέλους ζωΰφια. ἐκ δὲ τοῦ φθείρειν τὰς
κνίφας, δηλοῖ ὅσον μέτεστι δυνάμεως φαρμακώδους αὐτῇ. τὸ δὲ ἄδηκτον τῶν ἄλλων καὶ παρη-
γορικὸν, οὐκ ἔχει. ξηραίνει δὲ μᾶλλον. διὸ καὶ μιγνυμένην αὐτὴν ἐν τοῖς φαρμάκοις, εὑρήσεις ἔνθα
ξηρᾶναι τι καὶ διαφορῆσαι προσήκει.

Γῆ κρητικὴ ἢ κειταίειον. ι.

40 Η δὲ κρητικὴ γῆ παραπλησία πως ἐστὶ τῇ τε σαμίᾳ καὶ ταῖς ὁμοίαις. ἀλλ' ἱκανῶς ἐστὶ ἀσθενὴς, πολὺ
τὸ ἀδρῶδες ἔχουσα. διὸ καὶ τὸ ῥυπτικὸν ἄδηκτον μᾶλλον ἔχει, ᾧ καὶ τὸ ἀργύρειον ῥύπτει.

Περὶ τῆς κεκαυμένης γῆς ἁπάσης. ια.

Επειδὴ δέ τινες τῶν ἰατρῶν καλῶς ποιοῦντες καίουσι τὴν γῆν, ᾗ χρῶνται ἐπὶ τῶν ἀδήκτως ξηραν-
θῆναι δεομένων ἑλκῶν, γίνωσκε ὡς λεπτομερεστέρα γίνεται ἡ κεκαυμένη καὶ δριμυτέρα, ὡς εἰς τὴν
διαφορητικὴν μεταπίπτειν δύναμιν. εἰ δὲ ἡ καυθεῖσα πλυθείη, τὸ μὲν δριμὺ καταλυποῦσα τῷ
ὕδατι, τὸ δὲ ἐκ τῆς ὀπτήσεως λεπτομερὲς ἔχουσα, ξηραντικωτέρα γίνεται. διὸ τῆς ἀκαύστου γῆς
ἁπάσης ἐπὶ τῶν ἑλκῶν οὔσης χρησίμης, ἔτι μᾶλλον μετὰ τὸ καυθῆναι πλυθεῖσα, πρὸς τὰ δυσσάρ-
κωτα καὶ δυσκατούλωτα, χρήσιμος ἐστί.

Περὶ τῆς ἀρμενίας βώλου. ιβ.

50 Εδόθη ἡμῖν ἐν τῷ μεγάλῳ τούτῳ λοιμῷ, καὶ ἄλλη τις ἐξ ἀρμενίας τῆς ὁμόρου καππαδοκίας γῆ ξηραν-
τικωτάτη τὴν δύναμιν ἔχουσα, τὴν χρόαν ὠχρά. λίθον δὲ αὐτὴν ὠνόμαζεν ὁ δούς. καὶ ἔστιν εὐλείω-
τος καθάπερ ἡ τίταιος καὶ ὁ σάμιος ἀστὴρ, οὐ μὴν ὁμοίως γε κούφη τῷ ἀστέρι. διὸ καὶ πεπύκνωται
μᾶλλον αὐτοῦ καὶ ἧττον ἀδρώδης ἐστί. διὰ τοῦτο καὶ φαντασίαν ἀποτελεῖ τοῖς ἀμελέστερον ὁρῶ-
σι λίθος εἶναι. ἄκρως δὲ ξηραίνει. ἐπί τε γὰρ δυσεντερικῶν καὶ τῶν κατὰ γαστέρα ῥευμάτων,

αἵματος τε πτύσεως καὶ ῥοῦ· καὶ προσέτι τῶν κατὰ τὸ στόμα σηπεδονωδῶν ἑλκῶν ἁρμόττει, καὶ μάλιστα τοὺς ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματιζομένους, ὀνίνησι μεγάλως. ὥστε καὶ τοὺς διὰ τοιαύτην αἰτίαν δυσπνοοῦντας, ἰσχυρῶς ὠφελεῖ. καὶ μὴν δὴ καὶ ὅσοι φθόῃ κάμνουσι, καὶ τούτοις ὀνίνησι. ξηραίνει γὰρ οὕτω τὸ ἕλκος, ὡς μηκέτι βήττειν ἔτι. ἐφ' ὧν δὲ μετὰ τὴν ἀπαλλαγὴν τοῦ πάθους ἀφυλακτότερον διαιτηθέντων, ὑποστροφὴ πάλιν τοῦ νοσήματος ἐγένετο, καὶ τούτους ὁ ἐκ τῆς ἀρμενίας βῶλος, ὠφέλησε. καὶ ἔτι μᾶλλον τοὺς δυσπνοοῦντας χρονίως. ἐν δὲ τῷ μεγάλῳ τούτῳ λοιμῷ πάντες οἱ πιόντες τούτου, διὰ ταχέων ἐθεραπεύθησαν. ὅσοις δὲ οὐδὲν ὤνησεν, ἀπέθανον πάντες, οὐδ' ὑπ' ἄλλου τινὸς ὠφεληθέντες. ᾧ καὶ δῆλον, ὅτι μόνους τοὺς ἀνιάτως ἔχοντας οὐκ ὠφέλησε. πίνεται δὲ μετ' οἴνου λεπτοῦ τὴν σύστασιν, μετρίως κεκραμμένου, εἰ ἀπύρετος εἴη παντάπασιν, ὁ ἄνθρωπος, ἢ καὶ βραχὺ πυρέττοι, πάνυ δὲ ὑδαροῦς, εἰ πυρέττοι μειζόνως. οὐ μὴν οὐδὲ σφοδροὶ κατὰ τὴν θερμασίαν εἰσὶν οἱ λοιμώδεις πυρετοί. περὶ δὲ τῶν ξηρανθῆναι δεομένων ἑλκῶν, τί δεῖ καὶ λέγειν, ἡλίκην δύναμιν ἔχει ἡ ἀρμενιακὴ βῶλος αὕτη. ὀνομάζεται δὲ τῇ μὲν ἐκείνων φωνῇ, ζαρνακά· κατὰ δὲ τὴν τῶν σύρων ζαρναχά. τὸ δὲ ὄρος ἐν ᾧ γεννᾶται, πόλεως ἐστὶ ὀνομαζομένης βαγανανά. ὁ δὲ ἀγρὸς ἐν ᾧ τὸ ὄρος ἐστὶ, ὀνομάζεται ἀγάρακος.

Λίθος αἱματίτης. ιγ'.

Ἀπὸ τῆς κατὰ τὴν χρόαν ὁμοιότητος, οὕτως ὀνόμασται. παρατριβόμενος γὰρ θήγαις ἢ ἀκόναις αἱματώδη χυλὸν ἀνίησι. τοσοῦτον δὲ τῆς ψύξεως μετέχει, ὅσον καὶ τῆς στύψεως. καὶ μόνος δι' αὐτῶν ἐχρησάμην, τραχέων γεγονότων τῶν βλεφάρων, εἰ μὴ ἅμα φλεγμονῇ τοιαῦτα ἦ γεγονότα, δι' ὠοῦ τὴν ἄνεσιν ποιούμενος, ἢ μᾶλλον τήλεως ἀφεψήματι. εἰ δὲ χωρὶς φλεγμονῆς, δι' ὕδατος. ἄρχου δὲ ἀεὶ ἀπὸ τοῦ μετρίως ὑγροῦ, διὰ μήλης ἐγχέων. ὅταν δὲ φέρῃ ὁ πάσχων, τὴν δύναμιν αὐτοῦ παχύτερον ἐργάζου. καὶ τελευταῖον οὕτω παχὺ ποίει, ὡς διὰ μύλης πυρῆνος ὑπαλείφειν καθ' ὑποβολὴν τὸ βλέφαρον, ἢ ἐκστρέψας παρατρίβε. ὁ δ' αὐτὸς οὗτος λίθος ὁμοίως ἐπ' ἀκόνης παρατριβόμενος καὶ πινόμενος, αἵματος πτύσεσιν ἁρμόττει καὶ πᾶσιν ἕλκεσι. ξηρὸς δὲ λειωθεὶς, ὡς χνοώδης γενέσθαι, καταστέλλει τὰ ὑπερσαρκοῦντα. χρῆται μὲν οὖν οὐδεὶς αὐτῷ καθ' αὑτὸν· ἐγὼ δὲ ἐφ' ὧν εἶπον ἐκ τῆς κατὰ τὴν γεῦσιν ποιότητος εὑρὼν τὴν δύναμιν, ἐχρησάμην, καὶ αὐτὰ δὲ τὰ κατὰ τοὺς ὀφθαλμοὺς ἕλκη συνουλοῖ αὐτὸς μόνος ἀποτριβόμενος, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, ἤτοι ἐγχυματιζόμενος, ἢ ὑπαλειφόμενος. ἐβασάνισα γὰρ καὶ τοῦτο τῇ πείρᾳ.

Λίθος σχιστὸς, γαλακτίτης, μελιτίτης. ιδ'.

Τῷ δὲ αἱματίτῃ λίθῳ, παραπλησίαν μὲν, ἀσθενεστέραν δὲ δύναμιν ὁ σχιστὸς καλούμενος, ἔχει. χροιὰν δὲ οὗτος φέρει ἀποτριβόμενος ἐπ' ἀκόνης, ὤχρας. μετὰ δὲ τοῦτον, ὁ γαλακτίτης ἐστὶ, γάλακτος χροιὰν ἐν τῇ ἀνέσει φέρων. ὁ δὲ μελιτίτης, ἤδη τι καὶ θερμότητος μετέχει. ἀπὸ γὰρ τῆς κατὰ τὴν γεῦσιν ὁμοιότητος οὕτως ὠνόμασται. ἕκαστος οὖν αὐτῶν ἀποχωρῶν κατὰ βραχὺ ἀπὸ τῆς τοῦ αἱματίτου δυνάμεως, ἐπὶ τῶν μὲν ὀφθαλμῶν, ὁμοίως εἰς χρῆσιν ἄγεται. πραότερος δὲ ἐστι. ἀεὶ δὲ τὰ πραότερα φάρμακα, τοῖς μὲν ἔτι φλεγμαίνουσι μορίοις ἐστὶ προσηνέστερα, τοῖς δὲ ἀποφλεγμήνασιν ἀσθενέστερα, πρὸς τὸ τελέως ἐξυγιάσαι.

Κοινὴ διδασκαλία περὶ πάντων τῶν λίθων. ιε'.

Κοινοῦ δὴ τοῦ ξηραίνειν ὑπάρχοντος ἅπασι τοῖς λίθοις, ὅσοι μὲν αὐτῶν ἢ εἰς χυλὸν λυθέντες, ἢ ἄλλως λειωθέντες, οὐδεμίαν ἐναργῆ κατὰ τὴν γεῦσιν ἔχουσι ποιότητα, τούτους μὲν ἡγητέον ἀσθενεστάτους εἶναι καὶ προσηνεστάτους καὶ ἀδηκτοτάτους. ὅσοι δὲ φαίνονται σαφῆ τινα ποιότητα κατὰ τὴν γεῦσιν ἐνδεικνύμενοι, τῆς ποιότητος ἀνάλογον ἔχειν τὴν ἰσχὺν, εἰ μὲν στύφοιεν, εἰς τὸ καταστεῖλαι καὶ σφίγξαι καὶ πυκνῶσαι καὶ συναγαγεῖν, εἰ δὲ δάκνοιεν, εἰς τὸ θερμῆναί τε καὶ διαφορῆσαι καὶ τῆξαι. μέσοι δι' αὐτῶν εἰσὶν οἱ ῥύπτοντες μόνον ἄνευ τοῦ στύφειν καὶ δάκνειν.

Λευκογραφὶς ἢ μόροχθος. ις'.

Τῶν δὲ εἰς χυλὸν ἀναλυομένων, ἐστὶ καὶ ὁ κατ' αἴγυπτον γεννώμενος λίθος, ᾧ χρῶνται στιλπνοῦντες τὰς ὀθόνας, ὅν τινες μόροχθον, οἱ δὲ λευκογραφίδα καλοῦσιν. ὑπόχλωρος γὰρ φαινόμενος οὗτος εἰ παρατριβείη ἀκόνῃ, καὶ ἱματίῳ τραχυτέρῳ, λευκαίνει τὸν τόπον. ἔστι δὲ ἀποιότερος τῶν εἰρημένων, οὔτε στῦψιν, οὔτε ῥύψιν, οὔτε δῆξιν ἐμφαίνων. ὅθεν τοῦτο μόνον ὑπάρχει αὐτῷ τὸ ξηραίνειν ἀδήκτως. καὶ διὰ τοῦτο κηρωτῇ μιγνῦντες αὐτὸ εἰς ἐπούλωσιν ἑλκῶν ἐπὶ τῶν μαλακῶν σωμάτων χρῶνται. μιγνύουσι δὲ αὐτὸν καὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσιν. ὅσῳ δὲ ἐστὶ μαλακώτερος τῶν εἰρημένων καὶ ἀποιότερος, τοσούτῳ μετριώτερος καὶ ἀνωδυνώτερος ὑπάρχει.

Γαλακτίτης. ιζ'.

Καὶ οὗτος παραπλησίαν τῷ εἰρημένῳ χροιὰν ἔχων ὑπόχλωρον, γαλακτώδη χυλὸν ἀνίησιν. ἔστι δὲ λευκότερος τῆς λευκογραφίδος. πολυγάλους δὲ ποιεῖ τὰς γυναῖκας, ἐὰν λουσάμεναι πίωσιν, ἢ μεθ' ὕδατος, ἢ μετὰ γλυκέος οἴνου τετριμμένον τὸν λίθον. μίγνυται δὲ καὶ ταῖς ὀφθαλμικαῖς

δυνάμεσι

δυνάμεσι. φασὶ δὲ αὐτὸν περιαπτόμενον ἐν τῷ τραχήλῳ τῶν ὀδοντιώντων βρεφῶν, ἀταλαίπωρον ἔκφυσιν παρασκευάζειν.

ἴασπις λίθος. ιη.

Πάντων δὲ τῶν εἰρημένων λίθων ἰσχυροτέραν ἔχει τὴν δύναμιν, ὁ ἐκ τῆς αἰθιοπίας κομιζόμενος λίθος, ὑπόχλωρός πως, ἴασπις καλούμενος. ἀνιέμενος, δὲ γαλακτώδη χυλὸν ἀνίησι κατὰ τὴν χροιάν. στυπτικώδης δὲ ἐστὶ γευομένοις. καὶ διὰ τοῦτο μόνον εἰς τὸ καθαίρειν καὶ ῥύψαι τὰ χρονίως φλεγμονῆς ἐπισκοτοῦντα ταῖς κόραις, ἁρμόζει. ἐξ ὧν εἰσὶ καὶ αἱ πρόσφατοι τῶν ἐν ὀφθαλμοῖς οὐλῶν, ἃς λεπτύνειν πέφυκεν. ἀποῤῥύπτει δὲ καὶ τὰ μὴ πάνυ σκληρὰ τῶν πτερυγίων. ἰδιότητι δὲ τινὶ ὥσπερ καὶ ἄλλα τινὰ ὁ χλωρὸς ἴασπις ὠφελεῖ, τόν δὲ στόμαχον καὶ τὸ τῆς γαστρὸς στόμα περιαπτόμενος. ἐντιθέασι δὲ καὶ δακτυλίοις αὐτὸν ἔνιοι, καθάπερ καὶ ὁ βασιλεὺς Νεχεψὼς ἔγραψε. τούτου μὲν οὖν τοῦ λίθου κἀγὼ πεῖραν ἱκανὴν ἔχω, καὶ ὅρμαθόν γε ποιήσας ἐκ λίθων τοιούτων ἐξῆπτον τοῦ τραχήλου σύμμετρον οὕτως, ὡς ψαύειν τοὺς λίθους τοῦ στόματος τῆς γαστρός. ἐφαίνοντο δὲ οὐδὲν ἧττον ὠφελοῦντες καὶ μὴ ἔχοντες τὴν γλυφὴν ἣν ὁ Νεχεψὼς ἔγραψε.

τηκόλιθον ὃν συριακὸν καλοῦσιν. ιθ.

Ἔστι δὲ καὶ ἄλλος λίθος ἰσχυρὸς τὴν δύναμιν ἐν τῇ συρίᾳ τῆς παλεστίνης γεννώμενος, λευκὸς μὲν τὴν χρόαν, εὔρυθμος δὲ κατὰ τὸ σχῆμα, γραμμὰς ἔχων, ὡς ἀπὸ τόρνου γεγονυίας. ὀνομάζεται δὲ ἰουδαϊκὸς καὶ τηκόλιθος. ἔστι δὲ τῶν ἐννεφρεοῖς γεννωμένων λίθων θρυπτικός, ἀνιέμενος ἐπ' ἀκόνης καὶ ποτιζόμενος δι' ὕδατος θερμοῦ. ἐπὶ δὲ τῶν ἐν κύστει λίθων οὐδὲν ἰσχυρὸν δρᾷ. ὁ δὲ Νεχεψὼς φησὶ, τρίψας τὸν τηκόλιθον μεθ' ὕδατος, καὶ ποιήσας γλοιοῦ λεπτοῦ τὸ πάχος, καὶ ἀποξυρήσας τὰς τρίχας τὰς περὶ τὴν κύστιν, καὶ τὸ αἰδοῖον, κατάχριε, καὶ τήκει τὸν λίθον τὸν ἐν τῇ κύστει. διὸ δὴ χαῖρε θάλασσα ἀράβων, φέρουσα πημάτων ἄκος εὕρημα τηκόλιθον. μετὰ μυρσίνου δὲ ἐλαίου ἀνεθεὶς τοῖς ποδαγρικοῖς ἐπαρκεῖ ἐπιχριόμενος.

πυρίτης. κ.

Εἷς δὲ τῶν ἰσχυρὰν ἐχόντων τὴν δύναμιν ἐστὶ καὶ ὁ πυρίτης ὀνομαζόμενος, ἐοικὼς ἀργύρῳ κατὰ τὴν χρόαν, ᾧ χρώμεθα μιγνύντες ἐμπλάστρῳ διαφορητικῇ. προσεμβάλλεται δὲ αὐτῇ, καὶ ὁ ἀσβεστος. ὑπὸ τούτου τοῦ φαρμάκου καὶ πῦον μὲν πολλάκις, ἀλλὰ καὶ θρομβώδεις συστάσεις ἐν ταῖς μεταξὺ χώραις τῶν μυῶν γενόμεναι, διεφορήθησαν. δεῖ δὲ λειοτάτους τοὺς εἰς χρῆσιν ἀγομένους λίθους πάντας οὕτω σφόδρα ποιῆσαι παραπλησίως τοῖς εἰς τὰς ὀφθαλμικὰς δυνάμεις μιγνυμένοις.

λίθος φρύγιος. κα.

Φρύγιος λίθος ξηραίνει ἰσχυρῶς, ἔχων τι καὶ στύψεως ἅμα καὶ δήξεως, ὅθεν καὶ ἀποκρούεται, καὶ διαφορεῖ. ἀεὶ δ' αὐτῷ κεκαυμένῳ κέχρημαι, πρὸς μὲν τὰ σηπεδονώδη τῶν ἑλκῶν, ἢ αὐτῷ καθ' αὑτῷ, ἢ δι' ὄξους, ἢ ὀξυκράτου, ἢ οἰνομέλιτος. πρὸς δὲ ὀφθαλμοὺς ξηρὸν ποιῶν φάρμακον, περὶ οὗ ἐν τῷ περὶ τῆς συνθέσεως τῶν φαρμάκων ῥηθήσεται τόπῳ.

λίθος ἀγήρατος. κβ.

Καὶ ὁ ἀγήρατος λίθος, ᾧ οἱ σκυτοτόμοι χρῶνται, ὠφελεῖ ἐναργῶς γαργαρεῶνας φλεγμαίνοντας.

λίθος ἄσιος καὶ τὸ ἄνθος αὐτοῦ. κγ.

Ἔστι δὲ καὶ ἄλλος λίθος γεννώμενος ἐν ἄσσῳ, ὃν δὴ διὰ τοῦτο καλοῦσιν ἄσιον, πωροειδὴς κατά τε τὴν χρόαν καὶ τὴν σύστασιν, εὔθρυπτός τε καὶ χαῦνος. ἐπιτρέφεται δέ τι αὐτῷ παραπλήσιον ἀλεύρῳ λεπτοτάτῳ προσιζάνοντι τοῖς τοίχοις διαπτομένων τῶν ἀλεύρων. καὶ καλοῦσι πετραίας ἀσίας ἄνθος. ἔστι δὲ λεπτομερὲς, ὡς τὰς πλαδαρὰς σάρκας ἐκτήκειν καὶ ταριχεύειν χωρὶς δήξεως ἰσχυρᾶς. ἔχει δέ τι καὶ ἁλμυρὸν ἐν τῇ γεύσει ὡς εἰκάζεσθαι τὴν γένεσιν ἴσχειν αὐτὸ τὴν ἁλμυρὰν, δρόσου τινὸς ἐκ τῆς θαλάσσης ἐπιζανούσης τῇ πέτρᾳ, κἄπειτα ξηραινομένης ὑπὸ τοῦ ἡλίου. ὁμοίαν δὲ τῷ ἄνθει τὴν δύναμιν ἐστὶ, καὶ ἡ πέτρα καθ' ἧς γεννᾶται, τῷ δὲ σφοδρῷ τῆς ἐνεργείας, ἀπολείπεται αὐτοῦ.

Γαγάτης. κδ.

Ἔστι δέ τις καὶ ἄλλος λίθος μέλας τὴν χρόαν, ὃς ὅταν ὁμιλήσῃ τῷ πυρὶ, παραπλησίαν ὀσμὴν τῇ ἀσφάλτῳ ποιεῖ, ὃν φασὶν ἐν λυκίᾳ εὑρίσκεσθαι κατὰ ποταμὸν ὀνομαζόμενον γάγην. ὅθεν καὶ γαγάτην ὀνομάζουσιν αὐτόν. πλακώδεις δὲ λίθους μέλανας ἀσθενῆ φλόγα γεννῶντας, εἰ κατὰ πυρὸς ἐπιτεθεῖεν. ἐκόμισα ἐκ τῆς κοίλης συρίας, πλησίον τῆς ἱδριχῶ ἐν τόπῳ γεννωμένους τῷ περιέχοντι, τὴν νεκρὰν θάλατταν ὀνομαζομένην ἐν τοῖς ἀνατολικοῖς αὐτῆς μέρεσιν ἔνθα καὶ ἡ ἄσφαλτος γίνεται. ὅθεν καὶ τὴν ὀσμὴν τοιαύτην κέκτηνται. ἐχρησάμην δὲ αὐτοῖς εἰς ἐμφυσήματα χρόνια κατὰ γόνυ γενόμενα δυσθεράπευτα, μιγνὺς ταῖς πρὸς τοῦτο τὸ σύμπτωμα πεπειραμέναις δυνάμεσι. καὶ σαφῶς ἔδοξεν ἡμῖν ἐναργεστάτην αὐτὸ πεποιηκέναι τὴν δύναμιν. ἔμιξα δὲ αὐτῷ καὶ τῆς βαρβάρου καλουμένης. καὶ σαφῶς ἐγένετο ξηραντικώτερον τὸ φάρμακον, ὡς καὶ κόλπους προστέλλειν, οὐ μόνον ἔναιμα τραύματα κολλᾶν, ἐφ' ὧν ἡ ἐρμοκρέα ἡ βάρβαρος μάλιστα πεπίστευται.

φασὶ δὲ τὸν γαγάτην ἀφεψόμενον ὕδατι, καὶ πινομένου τοῦ ὕδατος, ἕλμινθας ἐκτινάσσειν. περιαπτόμενον δὲ κεφαλαλγίας παύειν χρονίας. εἶναι δὲ καὶ ὠκυτόκιον ἐπὶ τῶν δυστοκουσῶν γυναικῶν κατεχόμενον τῇ χειρὶ τῆς τικτούσης.

Μαγνῆτις λίθος. κε.

Ἡ δὲ μαγνῆτις καλουμένη λίθος καὶ ἡρακλεία, παραπλησίαν τὴν δύναμιν ἔχει τῷ αἱματίτῃ. μετέχει δὲ καὶ ἑλκτικῆς δυνάμεως. φασὶ δὲ ὡς κατεχομένη τῇ χειρὶ τῶν χειραγρικῶν καὶ ποδαγρικῶν ἀνωδύνους αὐτοὺς ἐργάζεται. ἴσως δὲ καὶ σπασμοὺς βοηθεῖ.

Σμύρις, κίσσηρις, ὄστρακα κλιβάνου, καὶ τὰ ἄλλα. κϛ.

Ῥυπτικῆς ἐστι δυνάμεως ἡ σμύρις. καὶ καθαροὺς οὕτω τοὺς ὀδόντας ἐργάζεται τῶν σμηχομένων αὐτοὺς αὐτῇ, ὡς ἐπειράθημεν. καὶ ἡ κίσσηρις ῥυπτικῆς ἐστι δυνάμεως, ὡς ἡ σμύρις. καὶ τὸ τῶν κεραμίδων ὄστρακον τῆς αὐτῆς ἐστι δυνάμεως, καὶ μᾶλλον τὸ ἐκ τῶν κλιβάνων. ἀλλ᾽ ἥγε σμύρις ἔχει τι δριμύ. καὶ διὰ τοῦτο μίγνυται καυστικαῖς καὶ ξηραντικαῖς δυνάμεσι καὶ ταῖς θεραπευούσαις οὖλα πλαδαρά. καὶ ἡ κίσσηρις δὲ, ῥυπτικῆς ἐστι δυνάμεως. λαμπρύνει δὲ τοὺς ὀδόντας σμηχομένη, οὐ τῷ ῥύπτειν μόνον, ἀλλὰ καὶ τῇ τραχύτητι. καυθεῖσα δὲ ἡ κίσσηρις, οὐκ ἀπολείπεται σμύρεως εἰς τὰς αὐτὰς χρείας. πλυθεῖσα δὲ μετὰ τὴν καῦσιν, κάλλιστα σαρκοῖ τὰ κοῖλα τῶν ἑλκῶν. τὸ δὲ ἐκ τῶν κλιβάνων ὄστρακον σὺν τῷ ῥύπτειν καὶ ξηραντικῆς ἐστι δυνάμεως. διὸ καὶ τῶν ἐμπλάστρων ἣν ὀνομάζουσιν ἐφαιστιάδα καὶ μάγον διὰ τούτου σκευαζομένη, κάλλιστον ἐστὶν ἐπουλωτικὸν φάρμακον.

Λίθοι οἱ ἐν τοῖς σπόγγοις. κζ.

Εἰσὶ δὲ καὶ οἱ ἐν τοῖς σπόγγοις εὑρισκόμενοι λίθοι, ῥυπτικῆς δυνάμεως, οὐ μὴν οὕτως ἰσχυρᾶς, ὥστε τοὺς ἐν κύστει λίθους θρύπτειν. τοὺς δὲ ἐν νεφροῖς ὄντας θρύπτουσι.

Ναξίας ἀκόνης ἀπότριμμα. κη.

Τό γε μὴν τῆς ναξίας ἀκόνης ἀπότριμμα ψυκτικῆς δυνάμεώς ἐστι, ὡς καὶ ποδαγρικοὺς ὠφελεῖ, μετὰ ῥοδίνης κηρωτῆς προσαγόμενον.

Ὀφίτης λίθος. κθ.

Ὁ δὲ ὀφίτης καλούμενος λίθος, ῥυπτικῆς τε καὶ θρυπτικῆς γίνεται δυνάμεως. πινόμενος δὲ μετ᾽ οἴνου λευκοῦ καὶ λεπτοῦ, τοὺς ἐν κύστει λίθους θρύπτει. ὠφελεῖ δὲ καὶ τοὺς ἐχιοδήκτους περιαπτόμενος.

Ἰοβρακίτης λίθος καὶ ἰνδικός. λ.

Ὁ δὲ ἰοβρακίτης καὶ ὁ ἰνδικὸς, καὶ τὰς αἱμορροΐδας ἀναξηραίνουσι, περιαπτόμενοι δεξιῷ μηρῷ, ὡς καὶ ἡμεῖς ἐπειράθημεν. ὁ δὲ Διογένης ἐν τῷ περὶ λίθων οὕτω φησίν. ἰοβρακίτης λίθος ὑπόχλωρος μέν ἐστι καὶ πρὸς τὸ μέλαν ἀπεστραμμένος, ἐπιρρασμένος χροιαῖς ἑτέραις ὡς ποικίλος εἶναι. δύναμιν δὲ ἔχει ἀναξηραίνουσαν αἱμορροΐδας, ἀπηρτημένος τοῦ δεξιοῦ μηροῦ τοῦ κάμνοντος. δοκιμασία δὲ ὅτι ἀληθής αὐτός ἐστιν· ἔχων αὐτὸν μετὰ χεῖρας, χρῖε μέλιτι τὰς χεῖρας καὶ οὐ προσεγγοῦσί σοι τὸν λίθον φοροῦντι μυῖαι. ὁ δὲ ἰνδικὸς τὴν μὲν χρόαν ἐστὶν ὑπόπυρρος. ἀνίησι δὲ τριβόμενος πορφυροειδῆ χυλόν. οὔτε πυκνός ἐστιν, οὔτε καρτερός. καὶ δύναται μετ᾽ οἴνου πινόμενος ἀκράτου, αἱμοπτοϊκοὺς ὠφελεῖν. ὁ δὲ ἔκλευκος καὶ ὑποδίζων κατὰ τὴν φαντασίαν, καὶ τὰς ἄλλας ἵστησιν αἱμορραγίας.

Ὕαλος. λα.

Ὕαλος λειοτάτη πινομένη δι᾽ οἴνου λεπτοῦ καὶ λευκοῦ τοὺς ἐν κύστει λίθους θρύπτει ἱκανῶς.

Λίθος ἀετίτης. λβ.

Ἀετίτης λίθος, ὁ ἐν τῷ κινεῖσθαι ἦχον ἀποτελῶν, ὡς ἕτερον ἐγκύμονα λίθον ὑπάρχων, κατοχικὸς ἐμβρύων ἐστὶν ὅταν ὀλισθηραὶ ὦσιν αἱ μῆτραι περιαπτόμενος ἀριστερῷ βραχίονι. ἐν δὲ τῷ καιρῷ τῆς ἀποτέξεως ἄρας ἐκ τοῦ βραχίονος, περίαπτε τῷ μηρῷ, καὶ ἐκτὸς ὀδύνης τέξεται. ἔστι δὲ κλεπτέλεγχος εἰ ἐνθείη τις αὐτὸν, εἰς τὸν προσφερόμενον ἄρτον. ὁ γὰρ κλέψας, οὐκ ἂν δυνηθείη καταπιεῖν τὰ μασηθέντα. φασὶ δὲ ὅτι καὶ συνεψόμενος ὁ ἀετίτης τοῖς ἐδέσμασι κλεπτέλεγχος γίνεται. οὐ γὰρ δυνήσεται ὁ κλέψας καταπιεῖν τὰ σὺν αὐτῷ ἑψόμενα. λειωθεὶς δὲ καὶ ἀναλαμβανόμενος κηρωτῇ σκευασθείσῃ διὰ κυπρίνου ἐλαίου, ἢ γλευκίνου, ἤ τινος τῶν ἑτέρων θερμαινόντων, ὀνίνησι μεγάλως τοὺς ἀρθριτικοὺς, καὶ παραλυτικούς.

Ἀλαβανδικὸς λίθος ἢ ἀλαβανδηνόν. λγ.

Τῷ μὲν χρώματι οὗτος ἐστὶν ὑπομελανίζων μετὰ τοῦ πυρροῦ. διαυγάζει δὲ ὥσπερ διαφύσεις ἔχων, ἢ ῥαγάδας. οὗτος λεῖος τριβόμενος μελαίνει τὴν ἐπιφάνειαν τῶν λευκῶν τριχῶν.

Γαγάτης. λδ.

Θαυμάσιος λίθος πυρὶ προσαγόμενος, καὶ ἀναπτόμενος. ἔπειτα σβεννύμενος οἴνῳ, ὁ οἶνος καρδιακοῖς δίδοται εἰς πότον. αὐτίκα γὰρ παύονται καρδιαλγοῦντες, τοῦ τε ἱδρῶτος σταλέντος, καὶ διεγερθέντων τῶν σφυγμῶν. ἄλλοι δὲ χνοώδη ποιήσαντες τὸν γαγάτην λίθον ἐπὶ ἑπτὰ ἡμέρας μετ᾽ οἴνου δεδώκασι κωλικοῖς, καὶ τέλεον ἀπηλλάγησαν τοῦ πάθους. ἡ μετρικὴ δόσις δραχμὴ α. ἐξ αὐτοῦ δὲ καπνίζοντες τὸ ποτήριον ἔνθα ἐδίδου μετ᾽ οἴνου ποτίζοντες. καί τι ἡ ἄσφαλτος πινομένη τὸ αὐτὸ

ποιεῖ

ποιεῖ ἀπαραβάτως. διώκει δὲ θηρία ἐχθυμιώμενος. καὶ ἔμμηνα ἄγει καὶ τὰ δεύτερα. ἐλέγχει δὲ καὶ τὰς ἐπιληψίας. λύει δὲ καὶ χοιράδας λεῖος μιγνύμενος τοῖς ἐπιτηδείοις φαρμάκοις. θεραπεύει δὲ καὶ τὰς περὶ τῶν δακτυλίων διαθέσεις λειότατος γενόμενος. καὶ ἀφεψηθεὶς ὀμφακίου χυλῷ εἰς τὸ τρίτον. δύναται δὲ οὕτω καὶ τὰ ἄλλα πάντα ῥεύματα τοῦ σώματος ἀναστεῖλαι.

Ἤλεκτρον, ἢ σούχινον, ἢ λυγκούριον. λε.

Πινόμενον ἰᾶται δυσεντερείας, καὶ στομαχικοὺς ὠφελεῖ. καὶ ὁ χρυσήλεκτρος δὲ πινόμενος σὺν μαστίχῃ, ἀλγήματα στομάχου ἰᾶται.

Ἴασπις ὁ ὑπόχλωρος. λϛ.

Περιαπτόμενος ἀλγήματα στομάχου παύει. καὶ παραλύσεων, καὶ ὀδυνῶν ἐστὶ πραϋντικός. ὁ δὲ καπνίας ὀνομαζόμενος ἴασπις ὁ χλωρός, τεθολωμένην σφόδρα ἔχων τὴν χρόαν, φυλακτήριόν ἐστι μέγα γυναικῶν δυστοκουσῶν. καὶ ὑδερικοῖς ἐπαρκεῖ περιαπτόμενον. καὶ τραύματα μέγιστα τηρεῖ ἀφλέγμαντα. καὶ ἀνωδύνους τοὺς τραυματιζομένους ποιεῖ ὑπεραπτόμενος.

Ἰασπαχάτης. λζ.

Ἡ τῆς σμαραγδιζούσης ἐστὶν ἰάσπιδος καὶ τοῦ ἀχάτου. δύναμιν δὲ ἔχει δίους παρηγορικήν, καὶ ὑδρωπικοῖς βοηθεῖ, καὶ ἡπατικοῖς, καὶ περιπνευμονικοῖς, καὶ πλευριτικοῖς πινόμενος. καὶ τὸ σῶμα εὐανθὲς ποιεῖ.

Σάπφειρος λίθος. λη.

Μετὰ γάλακτος ποθεὶς λεῖος, ἰᾶται τὰς ἐντὸς ἑλκώσεις πάσας, καὶ ἱδρῶτας παύει. τὰς δὲ ἐκτὸς ἑλκώσεις πάσας ἰᾶται μετὰ γάλακτος ἐπιχρισθείς, τὰς δὲ ἐν τῇ γλώσσῃ διακοπὰς λεῖος ξηρὸς ἐπιπασσόμενος, ἰᾶται. καθόλου γὰρ ξηραντικὸς τὴν δύναμιν ἐστί.

Σμάραγδος λίθος. λθ.

Ὁ τριφθεῖσα καὶ λεία μετὰ μέλιτος ἀττικοῦ μιγνυμένη, ἀμβλυωπίας ἰᾶται. μεθ' ὕδατος δὲ καὶ κόμεως καταχριομένη τοῖς ἐλεφαντιῶσιν ὠφελιμωτάτη ἐστί. πινομένη δὲ μεθ' ὕδατος ἀνασκευάζει τὸ πάθος, αἷμά τε ἐπέχει περιαπτομένη, ὁπόθεν ἂν τύχῃ φερόμενον.

Περὶ μεταλλικῶν καὶ τῶν ἐξ ὕδατος γενομένων. μ.

Μεταλλικὰ προσαγορεύειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ὧν ἡ γένεσις ἐν τοῖς μετάλλοις ἐστί, ἤτοι αὐτοφυῆ, ἢ διὰ καμίνου γιγνόμενα. καὶ τρίτα ἐπ' αὐτοῖς ἐστί, ὅσα πάλιν ἐκ τούτων αὐτῶν οἱ ἄνθρωποι σκευάζουσιν. οἷον ψιμμύθιον, ἰόν, σάνδυκα, καὶ τὰ ὅμοια. ἐφεξῆς οὖν ὑπὲρ ἁπάντων κατὰ τὴν τῶν γραμμάτων τάξιν εἰρήσεται.

Ἀδάρκης. μα.

Ἀδάρκης δριμύτατος ἐστὶ καὶ θερμαντικώτερος. διὸ μίγνυται τοῖς ἀμβλύνουσι τὴν δύναμιν αὐτοῦ· καὶ οὕτω γίνεται πολύχρηστος, ταῖς θερμανθῆναι δεομέναις διαθέσεσιν ἔξωθεν προσαγόμενος,

Ἀλκυόνια. μβ.

Ῥύπτει μὲν πάντα, καὶ διαφορεῖ δριμεῖαν ἔχοντα ποιότητα παρὰ τὸ μᾶλλον, καὶ ἧττον. τὸ δὲ τραχὺ καλούμενον τὴν μὲν ἐκτὸς ἐπιφάνειαν λείαν κέκτηται. τὴν δὲ ἐντὸς οὐσίαν ἔχει τραχεῖαν. ἔστι δὲ θερμότατον ἁπάντων ἀλκυονίων, ὡς καὶ τρίχας ἀποκαίειν δύνασθαι. διὸ πρὸς λέπρας, ἀλφούς, ψώρας, καὶ λειχῆνας τοῖς ἄλλοις ἠπιωτέροις οὖσι χρώμεθα. τὸ γὰρ τραχὺ ἀλκυόνιον οὐ μόνον ἀποῤῥύπτει τὴν ἐπιφάνειαν, ἀλλὰ καὶ ἀποδέρει, καὶ ἑλκοῖ. τὸ δὲ μιλήσιον λεγόμενον σκώληκι ἐοικὸς τὸ σχῆμα, πορφυρίζον τῇ χρόᾳ, καὶ συστάσει μαλακὸν λεπτότατον πάντων ἐστί. διὸ καὶ καυθὲν ἀλωπεκίας ἰᾶται μετ' οἴνου κιῤῥοῦ, καὶ λεπτοῦ χριόμενον.

Ἅλες. μγ.

Ἅλες εἰσὶ μὲν ἐκ τῆς αὐτῆς κατὰ γένος δυνάμεως, οἵ τε ὀρυκτοί, καὶ οἱ θαλάττιοι. διαφέρουσι δὲ τῷ μᾶλλον τε καὶ ἧττον πεπιλῆσθαι τὴν οὐσίαν τῶν ἐκ τῆς γῆς ἁλῶν. διὸ καὶ τὸ παχυμερές τε, καὶ στῦφον ἐν τούτοις μᾶλλον. κάλλιστοι δὲ ἐν τοῖς ὀρυκτοῖς εἰσὶν οἱ ἀμμωνιακοὶ ἅλες, καὶ οἱ καππαδοκικοί. τοῖς δὲ θαλαττίοις ὁμοειδεῖς εἰσί, καὶ οἱ κατὰ λίμνας τινὰς γενόμενοι. πᾶσι γε μὴν κοινὸν θερμαίνειν, διαφορεῖν, στύφειν, ξηραίνειν, συνάγειν, καὶ πιλεῖν τὴν οὐσίαν τῶν αὐτοῖς ὁμιλούντων σωμάτων. ὅσον μὲν γὰρ ὑπάρχει ἐν τοῖς σώμασιν ὑγρὸν περιττὸν ἐκβόσκονται, τὸ δὲ ὑπόλοιπον τῆς στερεᾶς οὐσίας συνάγουσι τῇ στύψει. διὸ καὶ ταριχεύουσι, καὶ ἄσηπτα φυλάττουσι, τὰ δι' ὑγρότητα περιττωματικὴν σήπεσθαι πεφυκότα.

Ἅλες κεκαυμένοι. μδ.

Τὸ μὲν διαφορητικὸν μᾶλλον ἔχουσι τῶν ἀκαύστων, εἰς ὅσον καὶ λεπτομερέστερον αὐτῶν γίνεται τὸ σῶμα ἐκ τῆς καύσεως. οὐ μὴν ὁμοίως τοῖς ἀκαύστοις, συνάγειν τε καὶ πιλεῖν τὴν στερεὰν οὐσίαν ἔτι δύνανται.

Ἁλὸς ἄνθος. με.

Ἔστι μὲν ὑγρόν, τῇ συστάσει τῇ χρόᾳ δὲ κροκίζον, λεπτομερέστερον δέ ἐστι, καὶ τῶν ἁλῶν κεκαυμένων δριμύτερον τῇ ποιότητι, καὶ διαφορητικὸν ἱκανῶς τῇ δυνάμει. συνάγεται δὲ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. ἔστι γὰρ ὥσπερ ἄνθος ἐφιστάμενον τοῖς τοιούτοις ὕδασιν.

Ἁλὸς ἄχνη. μϛ.

Ἀφρώδης ἐστὶν ἐπανθὴς μετὰ τῶν ἁλῶν ταῖς πλησίον πέτραις ἐφιστάμενος. λεπτομερεστέρας δὲ πολλῷ φύσεως ὑπάρχει αὐτῶν τῶν ἁλῶν. ὥστε καὶ λεπτύνειν, καὶ διαφορεῖν πολλῷ μᾶλλον αὐτῶν δύναται. τὸ δὲ ὑπόλοιπον τῆς οὐσίας συνάγει, καθάπερ οἱ ἅλες.

Ἀρμενιακὸν τὸ τῶν ζωγράφων. μζ.

Ἀρμενιακὸν ᾧ οἱ ζωγράφοι χρῶνται κομίζεται ἐκ τῆς ἀρμενίας, ὅθεν καὶ ἡ ἀρμενιακὴ βῶλος, περὶ ἧς προείρηται. δύναμιν δὲ ἔχει τὸ ἀρμενιακὸν ῥυπτικὴν ἅμα βραχείᾳ δριμύτητι, καὶ στύψει βραχυτάτῃ. μίγνυται τοιγαροῦν ὡς τοιοῦτον ὑπάρχον, ταῖς ὀφθαλμικαῖς δυνάμεσι. καὶ αὐτὸ δὲ καθ᾽ αὑτὸ λειώσαντες, καὶ χνοῶδες ἐργασάμενοι χρῶνται ξηρῷ πρὸς αὔξησιν τῶν ἐν τοῖς βλεφάροις τριχῶν, ὅταν ὑπὸ δριμύτητός τινος χυμῶν, τινὲς μὲν ἐκπίπτουσιν αὐτῶν, τινὲς δὲ ἀναυξεῖς ἢ ἄτροφοι γίνονται. τὰς γὰρ δριμύτητας ταύτας ἐκδαπανῆσαν, εἰς τὴν κατὰ φύσιν εὐεξίαν ἐπανάγει τὸ μόριον. τῆς γὰρ μοχθηρᾶς ὑγρότητος δαπανωμένης, ἡ φύσις ἐπὶ τὰς ἰδίας ἐνεργείας ἀνακινεῖται τῶν αὐτῇ ἐμποδιζόντων οὐκ ἔτι ὄντων. ὁ δὲ νεχεψὼς οὕτω περὶ αὐτοῦ φησιν, ἀρμένιον ᾧ χρῶνται οἱ ζωγράφοι, τοῦτο λαβὼν ὁλκῆς τὸ δωδέκατον δίδου τοῖς μελαγχολικοῖς, καὶ τοῖς πάχος ἔχουσιν ἐν τῷ αἵματι. δίδοται δὲ καὶ τοῖς παιδίοις τοῖς ὑπὸ τοῦ θώρακος ἐνοχλουμένοις. ἀνεμοῦσι γάρ, ἐπεὶ ἐμετικόν ἐστι. δίδοται δὲ καὶ τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου ὀχλουμένοις καὶ τοῖς φαινομένοις τούτῳ τῷ τρόπῳ. λαβὼν κενταυρείου δεσμίδια χειροπληθῆ τρία ἕψε μεθ᾽ ὕδατος θαλαττίου κοτυλῶν τριῶν ἕως λειφθῇ κοτύλη μία. καὶ διηθήσας λείου σὺν τῷ ἀφεψήματι ἀρμονιθέου λίθου τοῦ λεγομένου ὑπὸ ἑλλήνων ἀρμενίου, ᾧ οἱ ζωγράφοι χρῶνται. ὅσον ὁλκῆς τρίτον δίδου θαρρῶν. ἔστι γὰρ ἀκίνδυνον. χρὴ οὖν εἰδέναι ὡς πάντως ἀνεμεῖται τὸ ἀρμένιον, μηδὲν ἄξιον λόγου ἀναφέρον, καὶ κάτωθεν ἐλάχιστον φέρει ἐν πλείσταις καθέδραις κατὰ βραχύ.

Ἀρσενικόν. μη.

Καυστικῆς ἐστι δυνάμεως ἄκαυστόν τε καὶ κεκαυμένον. εὔδηλον δὲ ὅτι λεπτομερέστερον γίνεται καυθέν.

Ἄσφαλτος. μθ.

Ἔν τι καὶ τοῦτ᾽ ἐστὶ τῶν ἐν ὕδατι γεννωμένων θαλαττίων, ἢ ἄλλων τινὶ τῶν ὁμοίων θαλάττῃ. καλλίστη δὲ ἄσφαλτος ἡ ἐν τῇ νεκρᾷ θαλάττῃ κατὰ τὴν ἱεριχὼ γινομένη. δύναμις δὲ ἁπάσης ἀσφάλτου ξηραντική τε ἐστὶ, καὶ θερμαντικὴ κατὰ τὴν δευτέραν που τάξιν. εἰκότως οὖν πρὸς τὰς κολλήσεις τῶν ἐναίμων τραυμάτων αὐτῇ χρῶνται καὶ πρὸς τὰ ἄλλα ὅσα ξηρανθῆναι δεῖται μετὰ τοῦ θερμαίνεσθαι μετρίως. διὰ τοῦτο καὶ ἐπὶ τῶν τεινεσμωδῶν προθυμιῶν, ἐφ᾽ ὧν φλέγμα γλίσχρον ἐμπέπλασται δυσαποσπάστως χρώμεθα ὑποθυμιῶντες, καὶ ἐπὶ δυσεντερικῶν τῶν ἐκ τῆς τοιαύτης αἰτίας ἑλκωθέντων τὸ ἔντερον. πινομένη δὲ ἡ ἄσφαλτος ὅσον καρύου ποντικοῦ τὸ μέγεθος, ἢ κυάμου λεία μετ᾽ οἴνου τοὺς συγκοπτομένους καρδιαλγικοὺς ὀνίνησι μεγάλως παραχρῆμα. μάλιστα δὲ ποιεῖ ἐπὶ γυναικῶν, καὶ παιδίων, καὶ τῶν μαλακῶν σωμάτων. ἀπολύει δὲ καὶ τεταρταΐζοντας τάχιον ὁμοίως διδομένη. πεπείραται δὲ πινομένη μεθ᾽ ὕδατος ἐπὶ τῶν ὑπὸ λυττῶντος κυνὸς δεδηγμένων. προφυλάττει γὰρ αὐτοὺς μὴ ἐμπεσεῖν τῷ ὑδροφοβικῷ πάθει, καὶ τοὺς ἤδη περιπεπτωκότας ἀνασώζει.

Ἀφρόνιτρον, καὶ νίτρου ἀφρός. ν.

Διαφέρουσιν ἀλλήλων, ὅτι ὁ μὲν τοῦ νίτρου ἀφρὸς ξηραντικώτερόν ἐστι φάρμακον ἀλεύρῳ πυρίνῳ παραπλήσιος εἰς τὸ ὀφθῆναι. καὶ γὰρ καὶ λευκός ἐστιν. ἀφρόνιτρον δὲ οὐκ ἀλευρῶδες, οὐδὲ διαλελυμένον, ἀλλὰ πεπηγός ἐστι. ἁλῶν δὲ διαφέρει ἀφρόνιτρον καθόσον ἕνα μόνον τὸν ἐπικρατοῦντα χυμὸν ἐν αὐτῷ ἐναργῶς ἐστὶν ἰδεῖν τὸν πικρόν, διαφορητικὴν μὲν ἔχοντα δύναμιν, συνακτικὴν δὲ οὐκ ἔχοντα καθάπερ οἱ ἅλες. ῥυπτικὴν μὲν οὖν ἔχει τὴν δύναμιν τὸ ἀφρόνιτρον, ὡς μὴ μόνον ἀπορρύψαι τὸν ῥύπον, ἀλλὰ καὶ κνησμὸν ἰᾶσθαι. ὁ δὲ ἀφρὸς τοῦ νίτρου τῆς αὐτῆς μὲν ἐστὶ δυνάμεως, λεπτομερέστερος δέ.

Γύψος. να.

Σὺν τῷ ξηραίνειν προσείληφε καὶ ἐμπλαστικῆς δυνάμεως. λιθοῦται γὰρ βραχεῖσα. διὸ καὶ μιγνυμένη σὺν τῷ χνοώδει τοῦ πυρίνου ἀλεύρου τῷ εὑρισκομένῳ ἐν τοῖς τοίχοις κατὰ τοὺς μυλῶνας, καὶ δευομένη ὠοῦ τῷ λευκῷ καὶ ἀναλαμβανομένη θριξὶ λαγῴαις, στέλλει τὰς αἱμορραγίας γενναίως.

Διφρυγές. νβ.

Μικτῆς ἐστι δυνάμεως στυφούσης μετὰ δριμύτητος. διὸ καὶ τῶν κακοήθων ἑλκῶν ἀγαθόν ἐστι φάρμακον. πρός τε τὰ ἐν τῷ στόματι σηπεδονώδη τῶν ἑλκῶν αὐτό τε καθ᾽ αὑτὸ μετὰ μέλιτος ἀπαφρισμένου. καὶ πρὸς συνάγχην δὲ μάλιστα ὅταν ἤδη φθάσῃ διὰ τῶν στυφόντων ἀνασταλλόμενον τὸ ἐπιρρέον, καὶ γαργαρεῶνα ἀρτιμένων, αὐτῷ μόνῳ παραχρῆμά τε καὶ μέχρι συνουλώσεως ἐχρησάμην πολλάκις ἐσφιγμένην ἀκριβῶς οὐλὴν ἐργαζομένῳ ἐν πᾶσι τοῖς ἕλκεσι.

Διαφανὲς ἤτοι σπεκλάρειον. νγ.

Διαφανὲς ἤτοι σπεκλάρειον τὸ καλούμενον κεκαυμένον λειότατον ἐμπασσόμενον τοῖς σηραγγώδεσιν ἕλκεσι σαρκοῖ τάχιστα.

Θεῖον. νδ.

Θεῖον ἅπαν ἑλκτικῆς ἐστι δυνάμεως, θερμὸν μὲν τῇ κράσει, λεπτομερὲς δὲ τῇ οὐσίᾳ ὑπάρχον, ὡς καὶ πρὸς πολλὰ τῶν ἰοβόλων ἀνθίστασθαι. εἶτα δὲ ἐπὶ τρυγόνος θαλασσίας, καὶ δράκοντος πληγαῖς ἐχρησάμην αὐτῷ πολλάκις ξηρὸν ἐπιπάσσων τῷ δήγματι. ποτὲ δὲ καὶ σιάλῳ μεμιγμένον. ἄλλοτε δὲ ἐλαίῳ παλαιῷ, ἢ μέλιτι ἢ τερεβινθίνῃ. καὶ ψώρας δὲ καὶ λέπρας, καὶ λειχῆνας πλει-

στάκις ἰασάμην αὐτῷ μετὰ τερεβινθίνης. ἀποῤῥύπτει γὰρ τὰ τοιαῦτα πάθη χωρὶς τοῦ ἀποκρούεσθαι εἰς τὸ βάθος τὴν ὕλην αὐτῶν, ὥσπερ τὰ πολλὰ τῶν φαρμάκων ποιοῦσιν.

Ἰὸς ξυστός. νε.

Ἰὸς ξυστὸς δριμεῖαν ἔχει ποιότητα, διαφορητικός τε καὶ καθαιρετικὸς, καὶ τμητικὸς ὢν πάσης σαρκὸς, μιγνύμενος δὲ κηρωτῇ πολλῇ ἀπουλωτικὸν γίνεται φάρμακον καὶ τμητικόν.

Ἰοῦ σκώληκος σκευασία. νϛ.

Εἰς θυΐαν κυπρίου χαλκοῦ, ἔχουσαν δοίδυκα χαλκοῦν, ἐγχέας ὄξους λευκοῦ δριμέως κοτύλης ἥμισυ, τρῖβε ἐν ἡλίῳ ἕως γλοιῶδες γένηται. εἶτα ὑπέμβαλε στυπτηρίας στρογγύλης δραχμὰς δ. καὶ ἁλὸς ὀρυκτοῦ δραχμὰς δ. καὶ διαφανοῦς λευκοῦ καὶ στερεοῦ, τουτέστι πεκλαρίου τὸ ἥμισυ. 10 εἰ δὲ μή γε, νίτρου τὸ ἴσον. εἶτα ἐν ἡλίῳ τοῖς ὑπὸ κύνα καύμασι τρῖβε ἕως ἂν τῇ μὲν χροιᾷ ἰώδης, τῇ δὲ συστάσει γλοιώδης, ἢ ῥυπώδης γένηται. καὶ οὕτως ἀναπλάσας σκώληξιν ὅμοια, φύλαττε. ἐνεργέστερος δὲ γίνεται, ἐὰν ὄξους μὲν λάβῃ μέρος ἓν, οὔρου δὲ παλαιοῦ μέρη δύο εἰς τὴν λείωσιν.

Καδμία. νζ.

Καδμία ἀρίστη ἡ βοτρυΐτης. ξηραντικῆς δὲ δυνάμεως ἅπασα καδμία μετέχουσα καὶ τῆς ῥυπτικῆς δυνάμεως. ἐν δὲ τῇ κατὰ θερμότητα καὶ ψύξιν διαφορᾷ, σύμμετρός πως ἐστί. καυθεῖσα δὲ καὶ πλυθεῖσα ξηραῖνον καὶ ῥύπτον ἄνευ δήξεως γίνεται φάρμακον, ἐς τὰ ἀναπληρώσεως δεόμενα ἕλκη, κατά τε τοὺς ὀφθαλμοὺς καὶ τὸ πᾶν σῶμα.

Κύανος. νη.

Δριμείας ἐστὶ δυνάμεως, καθαιρετικῆς τε καὶ διαφορητικῆς. μετέχει δὲ καὶ στύψεως.

Λεπὶς χαλκοῦ καὶ σιδήρου. νθ.

20 Λεπὶς, ἡ μέν τις ἐστὶ χαλκοῦ, ἡ δὲ σιδήρου, ἥτις ἡλῖτις καλεῖται. ἡ μὲν οὖν ἡλῖτις ἐν τῷ ξηραίνειν πρωτεύει, λεπτομερὴς οὖσα, προσειληφυῖά τι καὶ ἰοῦ. στύψεως δὲ πλείονος ἡ τοῦ σιδήρου μετέχει λεπὶς, καὶ ταύτης ἔτι μᾶλλον ἡ τοῦ στομώματος. διὸ καὶ πρὸς τὰ κακοήθη τῶν ἑλκῶν ἀμείνων ἐστὶ τῆς τοῦ χαλκοῦ. ἡ δὲ τοῦ χαλκοῦ, καθαίρει καὶ τήκει τὰς σάρκας. ἅπασαι δὲ λεπίδες, δακνώδεις εἰσὶν ἱκανῶς.

Λιθάργυρος. ξ.

Ξηραίνει μετρίως, ὥσπερ καὶ τὰ ἄλλα πάντα παραπλήσια. καὶ θερμαίνει, καὶ ψύχει, καὶ ῥύπτει, καὶ πάντα δὲ μετρίως ἐργάζεται. διὸ καὶ ὡς ὕλῃ πολλάκις αὐτῇ χρώμεθα, μιγνύντες τοῖς ἄλλοις. ὡς καὶ τῷ κηρῷ χρώμεθα, ὥσπερ ὕλῃ τινί.

Νίτρον. ξα.

Μεταξὺ τῆς ἀφρονίτρου τε καὶ ἁλῶν δυνάμεως ἐστί, καυθὲν δὲ ἐνεργέστερον γίνεται τῆς ἀφρονίτρου οὐσίας. ξηραίνει ἔξω καὶ διαφορεῖ. καὶ εἴγε εἴσω τοῦ σώματος ληφθείη τέμνει καὶ λεπτύνει τοὺς πα- 30 χεῖς καὶ γλίσχρους χυμοὺς, πολὺ μᾶλλον τῶν ἁλῶν. ἀφρόνιτρον δὲ εἰ μὴ μεγάλης οὔσης ἀνάγκης, οὐδὲ καταπίνοι τις ὡς κακοστόμαχον. ἐπὶ γοῦν μυκήτων τῶν πνιγόντων ἐχρῆτο τις ἀγροῖκος αὐτῷ διαπαντὸς καὶ ηὐδοκίμει.

Μελαντηρία. ξβ.

Τῶν στυφόντων ἐστὶ φαρμάκων μετὰ τοῦ καὶ λεπτομερὲς εἶναι ἁπάντων σχεδὸν τῶν μάλιστα στυφόντων φαρμάκων.

Μέλαν ᾧ γράφομεν. ξγ.

Ἱκανῶς καὶ τοῦτο ξηραίνει λυόμενον ὕδατι, ἢ ὀξυκράτῳ μᾶλλον. καὶ τὰ πυρίκαυστα παραχρῆμα καταχριόμενον ὀνίνησι.

Μίσυ, καὶ σῶρυ. καὶ χαλκῖτις. ξδ.

Κατὰ τὸ μέταλλον ἐν τῇ Κύπρῳ ἐν τοῖς τῶν Σόλων ὄρεσι, μέγας τις οἶκος ἦν ὀρυχθεὶς ἐν τῷ ὄρει, οὗ κατὰ τὸ δεξιὸν τοῖχον, ὡς πρὸς τοὺς εἰσερχομένους ἀριστερὰ εἴσοδος ἦν εἰς αὐτὸ τὸ μέταλλον, ἐν ᾧ τινὰς ἐθεασάμην ἐπιπλεῖστον ἐκτεταμένας οἷον ζώνας ἐπ᾽ ἀλλήλας τρεῖς, ταπεινοτάτην μὲν τὴν 40 τοῦ σώρεως, ἐπ᾽ αὐτῇ δὲ τὴν χαλκῖτιν, εἶτα τὴν τοῦ μίσυος. χρόνῳ δὲ μεταβάλλει κατὰ βραχὺ ἡ χαλκῖτις, εἰς τὸ μίσυ. πολλῷ δὲ πλείονι χρόνῳ ἠδυνήθη καὶ τὸ σῶρυ εἰς χαλκῖτιν μεταβάλλειν. ὥστε οὐδὲν θαυμαστὸν ὁμογενοῦς δυνάμεως τὰ τρία ταῦτα εἶναι. διαφέρονται λεπτομερείᾳ τε καὶ παχυμερείᾳ. παχυμερέστατον μὲν ἐν αὐτοῖς τὸ σῶρυ. λεπτομερέστατον δὲ τὸ μίσυ. μέσην δὲ ἀμφοῖν δύναμιν ἡ χαλκῖτις ἔχει. καιόμενα δὲ λεπτομερέστερα ἑαυτῶν γίνεται. ἧττον δὲ στύφουσι.

Μολύβδαινα. ξε.

Λιθαργύρῳ παραπλησίαν ἔχει δύναμιν, ἐπὶ τὸ ψυχρότερον ῥέπουσαν. ἀλλ᾽ οὐδὲ ῥυπτικῆς μετέχει.

Μόλιβδος. ξϛ.

Δυνάμεως ἐστὶ ψυκτικῆς, διότι ὑγρὰν οὐσίαν κέκτηται ὑπὸ ψύξεως πεπηγυῖαν. ὅθεν αὔξει καὶ ὄγκῳ καὶ σταθμῷ μόλιβδος κείμενος ἐν οἴκοις καταγείοις ἀέρα θολερὸν ἔχουσι. θυΐαν οὖν σκευάσας ἐκ μολίβδου, καὶ δοίδυκα μολίβδινον, καὶ βαλὼν ἐν αὐτῇ οἶνον λεπτὸν, καὶ ῥόδινον ἔλαιον, ἢ μύρ- 50 σινον, ἢ μήλινον, τρῖβε ἐν ἡλίῳ ἢ παρὰ πυρὶ, ὡς ἀνεῖναι χυλόν τινα τὸν μόλιβδον. ἕξεις γὰρ ἄριστον φάρμακον, χρώμενος τῷ γινομένῳ χυλῷ, εἰς τὰς ἐν ἕδρᾳ μεθ᾽ ἑλκώσεως φλεγμονὰς, ἢ ἐν αἰδοίοις καὶ ὄρχεσι, καὶ τιτθοῖς. καὶ ὅσα βουβῶσιν, ἢ ποσὶν, ἢ τοῖς ἄλλοις ἄρθροις ἐγκατασκήπτει. καὶ πρὸς τὰ κακοήθη καὶ καρκινώδη θαυμαστὸν φάρμακον. πολύχρηστον δ᾽ ἐστὶ τὸ φάρμακον, εἰ τῶν στυφόντων καὶ ψυχόντων τινὰ χυλὸν συνεμβάλοις, οἷον σέρεως, κοτυληδόνος, ἀειζώου, ἀνδράχνης, ψυλλίου, ὀμ-

φακος. ὅσα δὲ τούτων οὐ μεθίησι χυλὸν, ὥσπερ ἡ ἀνδράχνη, μιγνύειν αὐτοῖς δεῖ τῶν ἄλλων χυλὸν ὥσπερ τῆς ὄμφακος. καὶ πλάτυσμα ἐκ τῆς μολίβδου γινόμενον, καὶ ἐπιτιθέμενον ταῖς ψόαις τῶν ἀσκεῖν βουλομένων κωλύει τὰς πρὸς ἀφροδίσια ὁρμάς, ὁ δὲ κεκαυμένος καὶ πεπλυμένος μόλιβδος, πρὸς τὰ κακοήθη τῶν ἑλκῶν, καὶ χειρώνια, καὶ καρκινώδη ἄριστον φάρμακον ἐπουλωτικὸν, καὶ καθ᾽ ἑαυτὸν καὶ σὺν ἑτέροις μιγνύμενον.

Πομφόλυξ. ξζ.

Πλυθεῖσα, σχεδὸν ἁπάντων πρωτεύει ὅσα ξηραίνειν ἀδήκτως πέφυκεν. ὅθεν εἰς τὰ καρκινώδη τῶν ἑλκῶν ἐστὶν ἐπιτηδεία, καὶ τὰ ἄλλα τὰ κακοήθη πάντα, καὶ τὰ διαβεβρωμένα τῶν ὀδόντων οὖλα.

Ῥοιδαρίου σκευασία. ξη.

Σκευάζεται μὲν ποικίλως τὸ ῥοιδάριον. ἔστι δὲ καὶ αὕτη ἀρίστη σκευασία. λαβὼν λάχανον ἀπόβρεχε ὕδατι, καὶ λεάνας λίθον τὸν κουφόλιθον λεγόμενον, ἐπίχεε ἐκ τοῦ ἀποβρέγματος τῷ κουφολίθῳ, καὶ ἔα ξηραίνεσθαι. καὶ λαβὼν ῥίζαν ἀγχούσης ἕψε σὺν ἐλαίῳ ἕως τὸ ἔλαιον πυῤῥὸν γένηται. καὶ ἐπίβαλλε ἐκ τοῦ ἐλαίου ὀλίγον καὶ λείου. καὶ ἔα ξηραίνεσθαι ἐπὶ ἡμέρας ιε. καὶ πάλιν ἐπίβαλλε ἐκ τοῦ ἀποβρέγματος τοῦ λαχάνου, καὶ ἔα ξηραίνεσθαι. ἔπειτα βαλὼν εἰς ὀστράκινον ἄγγος καὶ φιμώσας, ὄπτα. καὶ ἔσται ῥοιδάριον καλὸν, κομίζεται δὲ ὁ κουφόλιθος ἀπὸ καισαρείας τῆς παλαιστίνης. οἱ δὲ ἀποροῦντες κουφολίθου, ἀσβέστῳ χρῶνται εἰς τὴν σκευασίαν.

Σανδαράκη. ξθ.

Καυστικῆς ἐστὶ δυνάμεως, ὥσπερ τὸ ἀρσενικὸν, ὅθεν εἰς τὰς διαφορητικὰς δυνάμεις, καὶ τὰς ῥυπτικὰς αὐτὴν μιγνύουσιν.

Σάνδυξ ἢ καὶ συρικόν. ο.

Ἐν τῷ περὶ ψιμμυθίου λόγῳ περὶ αὐτῶν ῥηθήσεται.

Σκωρία. οα.

Σκωρία πᾶσα ξηραντικὸν ἱκανῶς ἐστὶ φάρμακον. τὴν δὲ τοῦ σιδήρου σκωρίαν λεπτοτάτην ποιήσας πάνυ ἐν ὄξει δριμυτάτῳ, καὶ μετὰ τοῦτο ἑψῶν εἰς τὰ πυοῤῥοοῦντα τῶν ὤτων χρονίως χρῶμαι φαρμάκῳ ξηραίνοντι. ἡ δὲ τοῦ ἀργύρου σκωρία ὀνομάζεται ἕλκυσμα. ξηραντικῆς δὲ ἐστὶ δυνάμεως.

Στίμμι. οβ.

Πρὸς τῇ ξηραντικῇ δυνάμει τῇ κοινῇ πάντων τῶν μεταλλευομένων καὶ στύψιν ἔχει. διὸ καὶ τοῖς ὀφθαλμικοῖς μίγνυται φαρμάκοις.

Σπόδιος. ογ.

Ὑγρὰ πλυθεὶς, καὶ ἀσφαλτωθεὶς καὶ καυθεὶς, δριμείας τε ἐστὶ καὶ διαφορητικῆς, καὶ ἰσχαίμου δυνάμεως. κοινὸς δὲ σπόδιος ψυχρῷ, ἢ ὀξυκράτῳ, ἢ οἴνῳ βρεχόμενος, κατὰ τὰς τῶν σωμάτων διαφορὰς, καὶ ἐπιδεσμούμενος, κολλήσει τραύματα ἔναιμα, παραπλησίως τοῖς ἐπιτηδείοις φαρμάκοις.

Στυπτηρία πᾶσα. οδ.

Σφοδροτάτην ἔχει τὴν στύψιν, λεπτομερεστέρα πως ἐστὶ τῶν ἄλλων στυπτηριῶν, ἡ σχιστὴ, μετὰ δὲ ταύτην ἡ στρογγύλη. παχυμερὴς δὲ ἱκανῶς ἥ τε ὑγρὰ, καὶ ἡ πλακῖτις τε καὶ πλινθῖτις.

Τίτανος. οε.

Τίτανος ἡ μὲν ἄσβεστος καίει σφοδρῶς, ὥστε ἐσχάραν ποιεῖν. ἡ σβεσθεῖσα δὲ παραχρῆμα μὲν ἐσχαροῖ, καὶ αὐτή. μεθ᾽ ἡμέραν δὲ μίαν ἢ δευτέραν, ἧττόν τε καίει, καὶ ἧττον ἐσχαροῖ. μετὰ δὲ χρόνον, οὐδ᾽ ὅλως ἐργάζεται ἐσχάραν. θερμαίνει δὲ καὶ διατήκει τὰς σάρκας. εἰ δὲ πλυθείη, τὴν μὲν δῆξιν ἀποτίθεται, καὶ ποιεῖ τὴν καλουμένην κονίαν. αὕτη δὲ ἀδήκτως ξηραίνει. καὶ εἰ δὶς, καὶ τρὶς, καὶ πλεονάκις πλυθείη τελέως ἄδηκτος γίνεται, καὶ ξηραίνει γενναίως ἄνευ δήξεως.

Ψύλλος. ος.

Ἐν τῷ περὶ ψιμμυθίου ῥηθήσεται περὶ τούτου.

Χάλκανθος. οζ.

Θαυμάσαι ἐστὶ περὶ τούτου τοῦ φαρμάκου, πῶς ἰσχυροτάτῃ στύψει μέμικται, θερμότητος οὐκ ἀγεννοῦς, δῆλον οὖν ὅτι μάλιστα πάντων συνάγει χεῖσθαι δύναται τὰς ὑγρὰς σάρκας, ἐκδαπανῶν μὲν τὴν ὑγρότητα τῇ θερμότητι, τῇ δὲ στύψει συνάγων καὶ πιλοῦν τὴν οὐσίαν. ἐν κύπρῳ δὲ γίνεται καὶ αὐτὸ πλησίον τοῦ τόπου ὅπου μεταλλεύεται μίσυ, χαλκῖτίς τε καὶ τὸ σῶρυ. ὥστε ἐκ τούτων ἐπινοῆσαι δύνασθαι τὸ διηθούμενον ὄμβριον ὕδωρ ἐν τῷ λόφῳ ἐκείνῳ, περικλύζειν τε καὶ περιπλύνειν ὅλην ἐκείνην τὴν γῆν. ἐθεασάμην δὲ τοῦτο κατὰ βραχὺ ἀθροιζόμενον καθ᾽ ἑκάστην ἡμέραν ἐν λάκκῳ τινὶ, καὶ ἦν χλιαρὸν καὶ χλωρὸν καὶ ὄζον χαλκίτεως καὶ ἰοῦ. ἐξαντλοῦντες δὲ τινὲς τὸ ὕδωρ, ἐμβάλλουσι πυέλοις τετραγώνοις ἐκ κεραμίδων γεγονυίαις. καὶ ἐν ταύταις πηγνύμενον ἡμέραις πλείσταις, γίνεται χάλκανθος. τῷ δὲ χρόνῳ καὶ αὐτὴ μεταβάλλεται εἰς χαλκῖτιν.

Χαλκῖτις. οη.

Προείρηται μὲν περὶ ταύτης ἐν τῷ περὶ μίσυος λόγῳ. νυνὶ δὲ ἀρκεῖ τοσοῦτον μόνον εἰπεῖν, ὡς μεμιγμένην ἔχει τὴν στυπτικὴν καὶ δριμεῖαν δύναμιν. ἐπικρατεῖ δὲ ἡ δριμεῖα, σφοδρά τις οὖσα μέχρι τοῦ καίειν τήν τε σάρκα, καὶ τὴν καλουμένην ἐσχάραν ἐργάσασθαι. καυθεῖσα δὲ ἡ χαλκῖτις, δάκνει μὲν ἧττον, ξηραίνει δὲ οὐχ ἧττον. ἀποτίθεται δὲ καὶ τῆς στύψεως οὐκ ὀλίγον. ὥστε ταύτῃ κρείττων ἐστὶν ἡ κεκαυμένη χαλκῖτις τῆς ἀκαύστου. λεπτομερεστέρα δὲ ὥσπερ καὶ τὰ ἄλλα τὰ κεκαυ-

μένα, γιγνόμενα· δριμύτητα δὲ οὐ προσλαμβάνοντα. τὰ γὰρ φύσει δριμέα καιόμενα, ἠπιώτερα ἑαυτῶν γίγνεται. τὰ δὲ ἄλλα δριμύτερα. πλυθέντα δὲ, ἀδηκτότερα γίγνεται.

Χαλκὸς κεκαυμένος. οθ.

Ε χει μὲν τι καὶ δριμὺ, καὶ στύψεως ἀλλὰ μετέχει, καὶ διὰ τοῦτο εἰ πλυθείη, κάλλιστον φάρμακον εἰς ἐπούλωσιν ἑλκῶν γίγνεται. πρὶν δὲ πλυθῆναι, ἐπὶ τῶν σκληροσάρκων ἁρμόζει.

Χαλκοῦ ἄνθος. π.

Λ επτομερεστέρας ἐστὶ ταύτης δυνάμεως, τοῦ κεκαυμένου χαλκοῦ, καὶ τῆς λεπίδος. μετέχει δὲ καὶ ῥυπτικῆς δυνάμεως. ὅθεν πρὸς τὰς μεγάλας τραχύτητας τῶν βλεφάρων ἁρμόζει, ἃς συκώσεις ὀνομάζουσι.

Χρυσοκόλλα. πα.

10 Ἐκ τῶν τηκόντων σάρκας ἐστὶ, οὐ μὴν ἰσχυρῶς γε δάκνει. διαφορητική γε μὴν ἱκανῶς καὶ ξηραντική. ἔνιοι μὲν οὖν τὸ μεταλλευόμενον μόνον, οὕτως ὀνομάζουσιν. ἄμεινον δὲ τὸ σκευαζόμενον ἐν θυίᾳ χαλκῇ, ἐξ ἐρυθροῦ χαλκοῦ καὶ δύδδικος ὁμοίου ἐσκευασμένη, οὔρου παιδὸς ἀφθόρου ἐπιβαλλομένου, καὶ τριβόντων ἐν ἡλίῳ θερμῷ ἐπὶ πολύ. τὸ γὰρ ἀναλυόμενον ἐν τῇ παρατρίψει ξηραινόμενον ἐπιτηδειότατον φάρμακον γίγνεται κακοήθεσιν ἕλκεσιν, αὐτὸ καθ᾽ αὑτὸ, καὶ μιγνύμενον τοῖς ἐπιτηδείοις φαρμάκοις.

Ψιμμύθιον καὶ φῦκος. πβ.

Ε κ μολίβδου ὑπὸ ὄξους δριμέος διαλυομένου κατασκευάζεται τὸ ψιμμύθιον. ὅμως οὔτε δριμὺ καὶ δακνῶδές ἐστι, οὔτε διαφορητικὸν, ἀλλ᾽ ἐμπλαστικόν τε καὶ ψυκτικὸν, καιόμενον δὲ τὸ καθαρὸν ψιμμύθιον, εἰς τὸ καλούμενον συρικὸν μεταβάλλεται, ὅπερ οἱ ἰατροὶ σάνδυκα ὀνομάζουσι. λεπτομερέστερον δὲ τὸ ψιμμύθιον γίγνεται καυθὲν, οὐ μὴν ἤδη γέ πω θερμαῖνον φυσικῶς. τὸ δὲ
20 φῦκος, τὴν ψύξιν τοῦ ψιμμυθίου φυλάττον λεπτομέρειαν προσείληφεν. ὡς δύνασθαι δι᾽ αὐτῆς εἰς τὸ βάθος καταδύεσθαι τῶν σωμάτων.

Ψωρικόν. πγ.

Λ ιθαργύρῳ μιγνυμένης διπλασίονος χαλκίτεως γίγνεται τὸ φάρμακον, ὄξει μὲν πρῶτα δριμυτάτῳ λειωθέντων αὐτῶν, εἶτα εἰς κενὴν χύτραν ἐμβληθέντων, ἣν καταχώσεις ἡμέρας μ. μεσοῦντος θέρους ἐν κοπρίᾳ. τοῦτο τὸ φάρμακον ξηραντικώτερον ἅμα καὶ ἀδηκτότερον γίγνεται χαλκίτεως, καὶ δῆλον ὅτι καὶ λεπτομερέστερον.

Περὶ τῆς ἀπὸ τῶν ζώων ὕλης. πδ.

Τ ὴν περὶ τὰ φυτὰ διελθόντες ὕλην οὐ πᾶσαν δηλονότι τὴν καθ᾽ ὅλην τὴν οἰκουμένην, ἀλλ᾽ ὅσης ἡμεῖς πεῖραν ἔχομεν. οὐ μὴν, ἀλλὰ καὶ τὴν τὰ γεώδη τε καὶ λιθώδη σώματα, λείπεται ἡμῖν ἔτι τὴν περὶ τὰ ζῶα διελθεῖν ὕλην, εἴτ᾽ ἐστι τῶν ἐν τῷ ὕδατι εἴτε καὶ τῶν ἐν τῇ ξηρᾷ διαιτωμένων.
30 ὥσπερ δὲ ἐν τῇ τῶν φυτῶν ὕλῃ, καὶ περὶ τῶν ἐξ αὐτῶν γιγνομένων χυλῶν τὸν λόγον ἐποιησάμην, οὕτω καὶ νῦν, οὐ μόνον τῶν στερεῶν μορίων τῶν ἐν τοῖς ζώοις ἡ διδασκαλία τῆς δυνάμεως, ἀλλὰ καὶ τῶν ἐν αὐτοῖς περιεχομένων ἔσται, φλέγματος, χολῆς, οὔρου, κόπρου, καὶ τῶν ὁμοίων παραλείψας γράφειν τὰ ἀσελγῆ καὶ βδελυρὰ, τινὰ δὲ καὶ πρὸς τῶν νόμων ἀπηγορευμένα, περὶ ὧν καὶ ἕτεροι μέν τινες. καὶ Ξενοκράτης δὲ ἔγραψεν ἀνθρώπους ἐσθίειν, καὶ οὖρα πίνειν, καὶ καταμήνια γυναικὸς, καὶ τὰ παραπλήσια. οὐ μὴν ἀλλὰ καὶ παθῶν ποιητικά τινα, καὶ δηλητηρίων φαρμάκων σκευασίας. τὰ τοιαῦτα γοῦν ἅπαντα τῶν πραξάντων τοὺς γράψαντας οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον μισεῖν, ὅσῳ καὶ μεῖζόν ἐστι τοῦ μόνον τινὰ πρᾶξαι κακὸν τὸ μετὰ πολλῶν. τῷ μὲν γὰρ πράξαντι συναπέθανεν ἡ τῶν κακῶν θεωρημάτων ἐμπειρία. τῶν δὲ γραψάντων ἀθάνατός ἐστι τοῖς πονηροῖς ἡ βλάβη ὅπλα τῆς πονηρίας κατασκευάζουσα. λέγωμεν οὖν ἡμεῖς ἤδη περὶ τῶν προκει-
40 μένων χρησίμων ἀνθρώποις πραγμάτων, ὅσων πεῖραν ἔχομεν. καὶ πρῶτόν γε τῶν ἐν τοῖς ζώοις ὑγρῶν, μνημονεύσωμεν.

Περὶ αἵματος. πε.

Π εριστερᾶς αἷμα εἰώθασιν οἱ ἀνατιτρῶντες τὰ ὀστᾶ τῆς κεφαλῆς κατεαγότα, καταχεῖν τῇ παχείᾳ μήνιγγι. μὴ παρούσης δὲ περιστερᾶς, ἐξὸν καὶ τὸ τῆς φάττης αἵματι χρῆσθαι, ἢ τῷ τῆς τρυγόνος. καὶ πρὸς ὑποσφάγματα δὲ τὰ κατὰ τοὺς ὀφθαλμοὺς γιγνόμενα, χρῶνταί τινες αὐτῷ, θερμῷ δηλονότι ἐνσταζομένῳ εὐθὺς σφαζομένου τοῦ ζώου, ἢ τῶν πτερύγων διαιρουμένων. ἐγὼ δὲ μυρίους οἶδα τῶν ἀνατρηθέντων ὀστᾶ κεφαλῆς, οὐδὲν βλαβέντας ἐπὶ τῇ τοῦ ῥοδίνου χρήσει, χωρὶς αἵματος περιστερᾶς. ἔστι δὲ καὶ τῶν ὑποσφαγμάτων ἰατρικὰ κολλύρια πάμπολλα, καὶ μάλιστα τὸ διὰ μοκράτους δικόσμυρνον. καὶ τὸ διὰ λιβάνου, καὶ τὸ διακρόκου, καὶ ὁ χυλὸς δὲ τῆς τήλεως ἀμείνων ἐστὶ τοῦ τῆς περιστερᾶς αἵματος, εἰς ταῦτα. τινὲς δὲ τὸ αἷμα τῆς αἰγὸς μετὰ μέλιτος τοῖς ὑδερώδεσιν ὡς φάρμα-
50 κον ἔδοσαν. καὶ πρὸς ῥεῦμα γαστρὸς ἢ δυσεντερίας ὀπτήσαντες ἐχρήσαντο. καὶ τὸ τράγειον δὲ αἷμα ξηράναντές τινες μεθ᾽ ἑτέρων ἐπιτηδείων μιγνύντες, διδόασι τοῖς λιθιῶσι. ἔξεστι δὲ τῷ βουλομένῳ κατ᾽ ἀγρὸν ποτὲ τῶν ἄλλων ἀποροῦντι, καὶ τούτῳ χρήσασθαι τὴν πεῖραν ἀκίνδυνον ἔχοντι. καὶ τῷ ἐριφείῳ δὲ αἵματι, περὶ οὗ ὁ Ξενοκράτης οὕτως ἔγραψεν. ἐρίφου δὲ αἷμα πρὸς τοὺς αἱμοπτοϊκοὺς πάνυ ὠφέλιμον. χρὴ δὲ μήπω πεπηγότι ὅσον ἡμικοτυλίῳ, παραμίξαι ὄξους δριμυτάτου τὸ ἴσον. ἔπειτα

ἀναζέσαντα τρίχα διαμένειν· διδόναι δὲ κατὰ τροφὴν ἑκάστης ἡμέρας μέτρον ἕν. τῇ πείρᾳ δὲ βασανίσας τῶν νυκτερίδων τὸ αἷμα καὶ τῶν βατράχων, καὶ κροτώνων, ὡς τρίχας ψιλούντων, ψευδὲς εὗρον· ὥσπερ καὶ ἑτέρων ζώων. ἀλλ' οὐ δὲ πειράζειν ἔμελλον, ἔχων φάρμακα ἐπιτηδειότερα καὶ εὐπορώτερα πρὸς ἕκαστον πάθος· ἐφυλαττόμην δὲ γοητείας δόξαν ἀπενέγκασθαι.

Ἐκ τῶν Ῥούφου καὶ Γαληνοῦ περὶ γάλακτος. πς.

Διττὴν ἔχει τὸ γάλα χρείαν, τὴν μὲν ἑτέραν ὡς τροφήν, τὴν δὲ ἑτέραν ὡς φαρμάκου. τὸ γοῦν ὑγιεινότατον γάλα, καθαρὸν ἐστὶ καὶ εἰλικρινές, οὔτε πικρότητος, οὔτε ὀξύτητος, οὔθ' ἁλυκότητος, οὔτε δριμύτητος, οὔτε δυσωδίας μετέχον. ἀλλ' ὡς ἂν εἴποι τις εὐῶδες ἢ ἄοσμον, εἴπερ ἄρα σμικροτάτης τινὸς ἐμφαίνει εὐωδίας. εὔδηλον δὲ ὅτι καὶ γευομένοις ἐστὶν ἡδύ, βραχεῖαν ἔχον γλυκύτητα. πρῶτον δὲ ἀναγκαῖον ἐπισκέψασθαι τὰς διαφορὰς αὐτοῦ.

Περὶ διαφορᾶς γάλακτος. πζ.

Ὅσον μὲν οὖν τῇ φύσει διαλλάττει βοῦς τε καὶ ἵππος καὶ τὰ ἄλλα ζῶα, εἰς τοσοῦτον καὶ τὸ γάλα αὐτῶν διαλλάξει. τὸ μὲν γὰρ τῶν βοῶν, παχύτατόν τε ἐστὶ καὶ λιπαρώτατον, θρέψαι τε καὶ τὰ μόνα ὑπερπληθεῖ, ἀγαθόν. ὑγρότατον δὲ καὶ λεπτότατον, καὶ ἥκιστα λιπαρὸν τὸ τῆς καμήλου, διαχωρεῖ δὲ ἧσσον, καίτοι ὀῤῥὸν πλεῖστον ἔχον. ἀλλὰ τοῖς γε πειρασάσιν ἔμπαλιν τὸ ἵππειον ἐστὶ διαχωρητικώτερον. ὁμοίως δὲ καὶ τὸ ὄνειον. ἥκιστα δὲ τοῦτο μετέχει τοῦ λιπαροῦ χυμοῦ. διὸ καὶ σπανίως τυροῦται τινὶ κατὰ γαστέρα. αἴγειον δὲ σύμμετρον τῇ συστάσει. καὶ καθᾶραι μὲν ἀσθενέστερον βοείου. τὰ δ' ἄλλα ἐπιεικῶς χρηστὸν καὶ θρέψαι ἱκανόν. τὸ δὲ τοῦ προβάτου παχύτερον τούτου. λύμας δὲ ἐπὶ τῷ δέρματι ποιεῖν εἴωθεν, εἴ τις συνεχῶς αὐτὸ προσφέροιτο. τὸ δὲ τῆς ὑὸς παχύτατόν ἐστιν, ὡς μὴ δὲ πιτύας δεῖσθαι εἰς τὸ πήγνυσθαι. καὶ ὀῤῥὸν ἀποκρίνειν βραχύν, καὶ ἕψοντι τάχιστα συνίσταται. ταῦτ' ἄρα καὶ εἰς διαχώρησιν, οὐκ ἀγαθὸν καὶ ναυτιῶδες τῇ κοιλίᾳ.

Περὶ διαφορᾶς γάλακτος ἀπὸ τῆς ἕξεως τῶν ζώων. πη.

Δῆλον δέ που ὅτι πᾶν ὑγιεινὸν ἱερείων κάλλιον ἂν παρέχοι γάλα τῶν νοσούντων. τὰς δὲ νόσους τῶν ζώων συλλογίζεσθαι δυνατόν, τῇ λεπτότητι τοῦ δέρματος κατὰ νόσον. καὶ μαδαρότητι καὶ φύματι, καὶ λειχῆσι καὶ ψώραις, καὶ ἀσιτίαις, καὶ τὰ μὲν λαύτερα τῶν ἀλόγων ὡς ἐπίπαν ἰσχυρότερα. ὥσπερ καὶ τὰ κρέα αὐτῶν δηλοῖ, ἡδύτερα ὄντα. τὰ δὲ λοιπὰ ἀσθενέστερα.

Περὶ τῆς ἀπὸ τῶν ὡρῶν τοῦ ἔτους διαφορᾶς τοῦ γάλακτος. πθ.

Κατὰ δὲ τὰς ὥρας τοῦ ἔτους, ὑγρότατον μὲν καὶ λεπτότατόν ἐστι τὸ ἐαρινόν, τουτέστι μετὰ τὴν κύησιν. παχύνεται δὲ κατὰ βραχὺ προϊόντος τοῦ χρόνου, ὡς κατὰ μέσον τὸ θέρος, ξηρότερον καὶ παχύτερον γίγνεσθαι. ἐπαινεῖται δὲ τὸ θερινόν, ὡς εὐπεπτότερον καὶ εὔοσμον.

Περὶ τῆς ἀπὸ τῆς νομῆς διαφορᾶς τοῦ γάλακτος. ϟ.

Καὶ παρὰ τὴν νομὴν δὲ διαφορὰ πλείστη ἐν τῷ γάλακτι εὑρίσκεται. πόαν γὰρ σιτεῖται μὲν ἄλλοτε ἄλλην. καὶ ἡ μὲν χλωρὰ πόα, καὶ ἡ παρὰ τὰ ὕδατα ὑγρότερον καὶ ἐλάχιστον τὸ γάλα παρασκευάζει. ἡ δὲ σκληροτέρα καὶ ὀρεινή, ἐπιτηδεία εἰς γάλακτος χρηστοῦ, καὶ πολλοῦ γένεσιν. τὰ μὲν γὰρ στύφοντα πάντα χορτάσματα, στρυφνὸν παρέχει τὸ γάλα καὶ σταλτικόν, τὰ δὲ δριμέα καὶ μάλιστα τὰ καθαίροντα. ὥσπερ ἡ σκαμμωνία, καὶ ὁ ἑλλέβορος καὶ τιθύμαλλοι, ταρακτικά, κύτισος δὲ λιπαρὸν καὶ γλυκύ.

Περὶ τῆς ἡλικίας διαφορᾶς γάλακτος. ϟα.

Περὶ δὲ τὰς ἡλικίας τῶν ἀκμαζόντων ζώων τὸ γάλα κάλλιστον. τῶν δὲ νέων ὑγρότερον. τῶν δὲ πρεσβυτέρων ξηρότερον.

Τίσι τὸ γάλα ἁρμόδιον. ϟβ.

Εὐχυμότατον καὶ τροφιμώτατον πᾶν τὸ ἄριστον γάλα σχεδὸν ἁπάντων ὅσα προσφερόμεθα, συγκείμενον ἐξ ἐναντίων οὐσιῶν τε καὶ δυνάμεων, ὑπακτικῆς τε καὶ σταλτικῆς. ἐμφρακτικῆς τε καὶ λεπτυντικῆς. καὶ ὅταν ἥ τε ποιότης αὐτοῦ τῇ τοῦ χρωμένου φύσει μηδὲν ὑπεναντίον ἔχει, τῶν τε σπλάγχνων αὐτοῦ εὐπετεῖς ὦσιν αἱ διέξοδοι διὰ τὴν τῶν ἀγγείων εὐρύτητα, τῶν μὲν ὠφελίμων ἐκ γάλακτος ἀπολαύουσιν οἱ τοιοῦτοι, μοχθηροῦ δὲ οὐδενὸς πειρῶνται. τὰ δὲ ἀγαθὰ τοῦ γάλακτος λέλεκται καὶ τοῖς ἔμπροσθεν ἰατροῖς, ὑπαγωγὴ μετρία τῆς γαστρός, εὐχυμία τε καὶ θρέψις. καὶ τὴν μὲν σάρκα πεφθέν, χρηστοτέραν ἀποδείκνυσιν. ὅσοι δὲ χυμοὶ δακνώδεις ἔνεισιν ἐκκαθαίρει. ὅθεν καὶ δυσουροῦντι καὶ διαχωροῦντι δριμὺ οὐ μόνον πίνειν συμφέρει, ἀλλὰ καὶ ἐνιέναι κάτωθεν. πρὸς γὰρ τὰ δριμέα καὶ δακνώδη ῥεύματα εὐφορώτατόν ἐστιν, οὐ μόνον ἀποπλῦνον αὐτὰ τῶν ἐνοχλουμένων μορίων, διὰ τὸ περιέχειν ῥυπτικὴν ὑγρότητα ἐν τῷ ὀῤῥώδει ἑαυτοῦ μέρει, ᾧ προσκλύζει τε καὶ ἀπορρύπτει τὰ σώματα, ἀλλὰ καὶ περιπλαττόμενον τοῖς σώμασι τῷ παχεῖ καὶ λιπαρῷ, οὐ συγχωρεῖ γυμνοῖς αὐτοῖς προσπίπτειν τὸ ἐπιρρέον δριμύ. πρὸς μὲν οὖν τὰ ἕλκη τοῦ πνεύμονος, καὶ τῶν ἐντέρων, καὶ ὅσα ἐν νεφροῖς καὶ κύστει καὶ μήτρᾳ, ἐξανθήμασί τε καὶ δοθιῆσι καὶ τοῖς ἄλλοις τραχυσμοῖς τῆς ἐπιφανείας πινόμενον ἁρμοδιώτατον. καὶ πρὸς τοὺς κανθαρίδας πιόντας, ἢ βουπρήστιν, καὶ ὅλως πρὸς τὰ σήποντα καὶ ἑλκοῦντα φάρμακα. καὶ πρὸς δὲ τὸν ὑοσκύαμον, ὥς τι ἐστὶν ἀντιφάρμακον. αὐτίκα

γὰρ καὶ εὐφρονεστέρους ποιεῖ τοὺς πάσχοντας. πρὸς δὲ τὰς τοῦ φάρυγγος ἑλκώσεις, ὅσαι γίγνονται καὶ ἐπ᾽ ἄλλαις μὲν πολλαῖς αἰτίαις καὶ συνάγχαις, καὶ τοῖς τὸ ἐφήμερον λαβοῦσιν ἀνακογχυλιζέσθαι συμφέρει. πινόμενον δὲ μεγάλως ὠφελεῖ τοὺς ἀτρόφους καὶ τοὺς ξηροτέρους, καὶ τοὺς δυσανακομίστους. ἀγαθὸν δὲ καὶ πρὸς τὰ κατὰ τοὺς ὀφθαλμοὺς ῥεύματα δριμέα καὶ τὰ ὑποσφάγματα. καὶ μέντοι καὶ κατὰ τῶν βλεφάρων ἔξωθεν ἐπιτιθέμενον ὑπνοῦν μελλόντων ἅμα ῥοδίνῳ καὶ ᾠῷ, πέττει τὰς φλεγμονὰς αὐτῶν, καὶ ἐπειδὰν τὰ κατὰ τὴν ἕδραν ἕλκη παρηγορεῖν βουλώμεθα, ὀδυνώμενα διὰ δριμεῖς ἰχῶρας καὶ φλεγμονάς. οὕτω δὴ καὶ πρὸς τὰ κατὰ τὰ αἰδοῖα ἕλκη χρώμεθα. καὶ πάνθ᾽ ἁπλῶς τὰ παρηγορίας δεόμενα διὰ φλεγμονήν, ἢ δῆξιν, ἢ κακοήθειαν. διὰ τοῦτο καὶ τοῖς καρκινώδεσι προσφέρεται μιγνύμενον τοῖς ἀνωδύνοις φαρμάκοις, οἷα μάλιστα διὰ πομφόλυγός ἐστι. παρηγορικὸν μὲν οὖν ἐστὶ καθόλου τὸ γάλα, ἄδηκτον μὲν ἔχον τὴν φύσιν, πολὺ δὲ μᾶλλον, ὅταν ἐκδαπανήσωμεν τὸ πλεῖον τῆς ὀρρώδους ὑγρότητος ἐν τῇ ἑψήσει, ἢ ἑτέρᾳ μηχανῇ.

Περὶ τρόπου καὶ καιροῦ χρήσεως καὶ μέτρου. ϛγ'

Κεφάλαιον δὲ παντὶ τῷ βουλομένῳ γαλακτοποτεῖν, τῶν ἄλλων σιτίων, καὶ ποτῶν ἀπέχεσθαι, μέχρις ἂν πεφθῇ τε καὶ διαχωρηθῇ. εἰ γὰρ μὴ προπεφθέντος αὐτοῦ τροφὴν ἑτέραν τις προσφέρηται, ἀνάγκη αὐτό τε διαφθαρῆναι, συνδιαφθαρῆναί τε καὶ τὸ προσαχθέν. ἄμεινον δὲ ἕωθεν πίνειν νεόβδαλτον, καὶ τῶν πλειόνων πόνων τηνικαῦτα ἀφορεῖν, ἡσυχῇ δὲ βαδίζειν, καὶ μεταξὺ ἀγρύπνως ἀναπαύεσθαι. οὕτω γὰρ ποιοῦντι τὸ ποθὲν διαχωρεῖ, συνεξάγον ἑαυτῷ καὶ τὰ ἄχρηστα. δεῖ δὲ εἴπερ τι καὶ ἄλλο διαχωρῆσαι τὸ πρῶτον ληφθέν. διαχωρήσαντος δέ, ἄλλο πίνειν. κατ᾽ ἀρχὰς μὲν οὖν διαχωρεῖ καθαῖρον χρηστῶς, οὐκ ἐκ τοῦ ὅλου ὄγκου, ἀλλ᾽ ὅσα ἐν τῇ κοιλίᾳ καὶ ἐντέροις ἐστί, καὶ τοῖς πλησιάζουσι μέρεσι. μετὰ δὲ ταῦτα ἀναφέρεται ἤδη εἰς τὰς φλέβας, καὶ τρέφει κάλλιστα, καὶ οὐκέτι διαχωρεῖ, ἀλλὰ καθίστησι τὴν γαστέρα. μέτρον δὲ τοῦ προσφερομένου ὁρίζειν ἐπὶ πάντων ἀδύνατον, ὥσπερ οὐδὲ σιτίων οὐδέ ποτε, ἀλλ᾽ ὡς ἂν εὐφόρως φέρῃ. πρὸς δὲ τοὺς δάκνοντας χυμούς, καὶ μάλιστα τοὺς ἐμπεπλασμένους πίνειν συμφέρει μετ᾽ ὀλίγου μέλιτος. καὶ γὰρ χρησιμώτερον καὶ ῥυπτικώτερον, καὶ διαχωρητικώτερον γίνεται. μίσγειν δὲ καὶ σιραίου καὶ οἴνου γλυκέος. εὐστομαχώτερον γὰρ οὕτω γίνεται. διαχωρητικώτερον δὲ καὶ τὸ ἁλῶν προσλαμβάνον, ἀλλ᾽ ἀτερπέστερον.

Τίνας βλάπτει τὸ γάλα. ϛδ'

Τὸ μὲν οὖν ὀρροῦ πλεῖστον ἔχον, ἀκινδυνότατόν ἐστιν, εἰ καὶ διαπαντός τις αὐτῷ χρῷτο. τὸ δ᾽ ὀλίγον μὲν ἔχον ὑγρότητος τοιαύτης, οὐκ ὀλίγον δὲ παχύτητος τυρώδους, οὐκ ἀσφαλές ἐστιν ἅπασι τοῖς ἐν αὐτῷ πλεονάζουσι. βλάπτει μὲν γὰρ νεφρούς, ὅσοι γε ἐπιτηδείως ἔχουσιν εἰς λίθων γένεσιν. ἐμφράξεις δὲ καὶ πάθη καθ᾽ ἧπαρ ἐργάζεται τοῖς ἑτοίμως παθεῖν δυναμένοις. τοιοῦτοι δέ εἰσιν, οἷς στενὰ τὰ πέρατα τῶν μεταλαμβανόντων ἀγγείων τὴν ἐκ τῶν σιμῶν τοῦ ἥπατος ἐπὶ τὰ κυρτὰ τροφήν. ἀλλ᾽ οὐδὲ κεφαλῇ ἐπιτήδειον, εἰ μή τις ἰσχυρὰν αὐτὴν πάνυ ἔχει. καθάπερ οὐδ᾽ ὑποχονδρίοις ὅσα ῥᾳδίως ἐμφυσᾶται. πνευματοῦται γὰρ ἐν τῇ γαστρὶ παμπόλλοις. ὡς ὀλιγίστους εἶναι τοὺς μὴ τοῦτο πάσχοντας. βλάπτει δὲ ἡ συνεχὴς αὐτοῦ χρῆσις καὶ τοὺς ὀδόντας ἅμα ταῖς περικειμέναις σαρξίν, ἃς ὀνομάζουσιν οὖλα. τὰς μὲν γὰρ σάρκας ταύτας, πλαδαρὰς ἐργάζεται. τοὺς ὀδόντας δὲ εὐσήπτους τε καὶ ῥᾳδίως διαβιβρωσκομένους, καὶ μάλιστα τῷ παχυτέρῳ γάλακτι τοῦτο πρόσεστι. τὸ γὰρ ὄνειον γάλα, διὰ τὸ λεπτὸν ὑπάρχειν πάνυ, οὐ μόνον οὐ βλάπτει τοὺς ὀδόντας ἀλλὰ καὶ προσωφελεῖ τῷ ῥύπτειν. χρὴ τοίνυν ἐπὶ τῇ προσφορᾷ τοῦ γάλακτος οἰνομέλιτι κεκραμμένῳ δι᾽ ὕδατος κλύζεσθαι. πᾶν γὰρ οὕτως ἀπορρύπτεται τὸ περιπεπλασμένον τοῖς ὀδοῦσι καὶ τοῖς οὔλοις τυρῶδες. ἐπὶ δὲ τῶν μὴ εὐπαθῆ τὴν κεφαλὴν ἐχόντων χρὴ εἰς τοῦ ὕδατος ὠφελιμώτερον τῷ οἰνομέλιτι διακλύζεσθαι.

Περὶ τῆς ἑψήσεως γάλακτος. ϛε'

Εἰ δὲ προεψήσας τις τὸ γάλα τὸν ὀρρὸν ἐκδαπανήσειεν, οὐδὲ ὅλως ὑπάγει γαστέρα. δίδοασι δὲ αὐτὸ τοῖς ὑπὸ δριμέων περιττωμάτων δακνομένοις τὴν γαστέρα καὶ τὰ ἔντερα. καὶ τοῖς κατὰ κύστιν πονηρευομένοις χολώδεσι ῥεύμασι, καὶ τοῖς δυσεντερικοῖς. τρόποι δὲ σκευασίας διττοί. ἢ γὰρ ἑψομένου τοῦ γάλακτος ἐπὶ πλέον δαπανᾶται αὐτοῦ τὸ ὀρρῶδες, ἢ κοχλάκων ἐμβληθέντων. ἀλλὰ τὸ διὰ τῶν κοχλάκων, σκευάζεται παχύτερον. καὶ διὰ τοῦτο πονηρότερον γίγνεται, τά τ᾽ ἄλλα καὶ τὸ συγκαταμίγνυσθαι τῷ γάλακτι τέφραν ἐκ τῶν πυρουμένων κοχλάκων. ἔχει δέ τι τὸ τοιοῦτο χρησιμώτερον ἐπὶ τῶν σηπεδονωδῶν ἑλκῶν. διὸ τούτοις μὲν προσφέρειν δεῖ τὸ διὰ τῶν κοχλάκων. τοῖς δὲ λοιποῖς τὸ ἑψόμενον. ἕψεται δὲ μᾶλλον πυρὶ κινούμενον συνεχῶς ὡς μὴ διακαίεσθαι, καὶ εἴ τι περιζήσῃ τῷ στόματι τῆς χύτρας, καὶ τοῦτο σπόγγῳ καθαρῷ ἀφαιρεῖν χρή. πολλάκις γὰρ τοῦτο συμμιγὲν τῷ ἑψομένῳ τὸ ὅλον διέφθειρε. τὸ δὲ διὰ τῶν κοχλάκων, σκευάζεται οὕτως. προεψήσας τὸ γάλα μέχρι τὸ πλεῖστον τῆς ὑγρότητος δαπανηθῆναι, ἔπειτα λίθους κόχλακας λαβὼν καὶ πυρώσας ἔμβαλε εἰς τὸ γάλα τοσούτους, ὡς τὸν ὀρρὸν δαπανῆσαι ἅπαντα. τῶν δὲ κοχλάκων οὐχ ἧττον ἀλλὰ καὶ μᾶλλον ἐμβαπτόμενα τῷ γάλακτι σιδήρου ἐλάσματα διάπυρα ταὐτὸν ἐργάζεται. μετὰ

χει γὰρ ὁ σίδηρος τῆς συπτικῆς δυνάμεως. καὶ τούτου γε χάριν, παρεσκευασάμην κυλίνδρους σιδήρους πλείονας ἐπὶ πέρασιν ὀβελίσκων προκειμένους. ὡς ἄν τις ἐκ τῆς λαβῆς εὐκόλως ἐπαίροι τὸν σίδηρον πυρωθέντα. ῥάκεσι κατέχων ὡς ἐπὶ καυτήρων ποιοῦμεν. τυροῦται γε μὴν ἐν τῇ γαστρὶ ῥαδίως τὸ οὕτως σκευασθὲν γάλα, διὸ ἀσφαλέστερον ὕδατος ἐπεγχεῖν, ὥσπερ καὶ ποιοῦσι τῶν ἰατρῶν οὐκ ὀλίγοι, ἐκδαπανήσαντες πρῶτον τὸν ὀρρὸν, εἶτ' αὖθις ὕδατος καθαροῦ ἐπεγχέοντες. οὐ γὰρ τὴν ὑγρότητα τοῦ ὀρροῦ φυλάττουσιν, ἀλλὰ τὴν δριμύτητα καθ' ἣν ὑπάγει τὴν γαστέρα.

Περὶ ὀρροῦ γάλακτος ἐκ τῶν γαληνοῦ. ξε.

Ο γὰρ ὀρρὸς ὡς εἴρηται ῥυπτικὴν ἔχων δύναμιν ὑπαγωγῆς γαστρὸς ἕνεκα παραλαμβάνεται, πινόμενός τε καὶ διὰ κλυστήρων ἐνιέμενος. ἀποπλύνει γὰρ καὶ ῥύπτει ἀδήκτως τὰς ἐν τοῖς ἐντέ-
10 ροις δριμύτητας. χρῷτο δ' ἄν τις ἀνθ' ὕδατος τῷ ὀρρῷ κάλλιστα πρὸς ἕλκη δριμεῖς ἰχῶρας ἔχοντα καταπλύζων, ὅσα τε διαφορητικὰ φάρμακα τῶν ἐγχυματισμάτων τε καὶ μελασμάτων ἐστὶ, καὶ ταῦτα δι' ὀρροῦ ἀποπλύνειν ἐκ τοῦ σώματος ἄμεινον, οὐ δι' ὕδατος. οὕτως οὖν αὐτῷ καὶ πρὸς ὑπώπια καὶ ἀποσφάγματα χρώμεθα, μιγνύντες τοῖς οἰκείοις πρὸς ταῦτα φαρμάκοις. σκευάζειν δὲ χρὴ τὸν ὀρρὸν, οὕτως. ἐγχέοντα εἰς χύτραν γάλα, πλὴν προβάτου καὶ χοίρου, τούτων γὰρ τὸ γάλα ἀνεπιτήδειον εἰς ὀρροῦ λῆψιν, ἕψειν ὀξυτέρῳ πυρὶ χρώμενον, κινοῦντα συνεχῶς καὶ ὁμαλῶς. εἰ δὲ ἀναζέσοι τῇ κινήσει, καταπαύειν. μᾶλλον δὲ ἀναζέσαντος τοῦ γάλακτος ἕτοιμον ἔχων ὕδωρ ψυχρὸν, ἐν βαθυτέρῳ τινὶ ἀγγείῳ κατακείμενον καθίει τὴν χύτραν, ἐν ᾗ ἕψηται τὸ γάλα, τῷ ψυχρῷ ὕδατι. ταχὺ γὰρ καθίσταται. παυσάμενον δὲ τῆς ζέσεως πάλιν ἕψε. καὶ ὅταν ἀναζέσῃ, ἐπίρραινε δὶς ἢ τρὶς ὀξυμέλιτι, ἢ μελικράτῳ. οὕτω γὰρ ποιοῦντι διακριθήσεται παραχρῆμα ὁ τυρὸς τοῦ ὀρροῦ. δια-
20 κριθέντος δὲ, διήθει τὸν ὀρρὸν διὰ ῥάκους. ὅπου μὲν οὖν παχέα καὶ φλεγματώδη περιττώματα ὑπολάβῃς πλεονάζειν, ὀξυμέλιτι ἐπίρραινε. ὅπου δὲ δριμέα καὶ χολώδη, μελικράτῳ. καὶ καθιέντες δὲ ἐν τῇ λοπάδι μετὰ τὸ δὶς ἢ τρὶς ζέσαι τὸ γάλα, ἀγγεῖον ὕδωρ ἔχον ψυχρότατον, ἀπεργαζόμεθα τὴν κρίσιν. χρῆσθαι δὲ τῷ ὀρρῷ, ἐπὶ τῶν ἀσθενῶν καὶ δεινῶς ἀποσίτων. χρὴ δὲ τῷ ὀρρῷ τῷ πρώτῳ πινομένῳ ἁλῶν ἀπομιγνύειν. ὅταν δὲ ἄρξηται καθαίρεσθαι, δίδου χωρὶς ἁλῶν, καὶ τοῦτο ποίει ἐκ διαλειμμάτων τινῶν παρέχων, μέχρις ἱκανῶς καθαρθείη, τὸ δὲ πλῆθος στοχάζεσθαι πρὸς τὴν δύναμιν, οὐ μὴν μέγα τι διαμαρτήσεις καὶ πλέον διδούς. ὡς ἐπίπαν δὲ ἔστω τὸ πινόμενον πλῆθος κοτυλῶν, ε. τρόπος μὲν σκευασίας τοῦ ὀρροῦ εἴη οὗτος. οἱ δὲ περὶ κασίαν οὕτω σκευάζουσι, κνίκου τὸ σπέρμα κόψαντες, τούτῳ τὸ γάλα πηγνύουσι, καὶ ἰσχυρὸν τὸν ὀρρὸν ἀποδεικνύουσιν. εἶτα διηθήσαντες ἐπιμιγνύουσι τῷ ὀρρῷ ἅλων, ἢ θαλάσσης. καὶ πάλιν ἕψοντες παρέχουσι. καθαίρει μὲν οὖν ἰσχυ-
30 ρῶς. πιεῖν δὲ τούτου πάντων ἀτοπώτερον. ὅλως δὲ αἱ μακραὶ ἑψήσεις φαρμακωδέστερον τὸν ὀρρὸν ποιοῦσι, πρὸς μὲν τοὺς δεομένους ἰσχυρᾶς κενώσεως θύμου λειοτάτου ὅσον δραχμὰς γ', ἢ δ', δίδου σὺν τῷ ὀρρῷ ἐν τῇ πρώτῃ πόσει. εἰ δὲ ἔτι μᾶλλον βούλοιο καθᾶραι ἐπίθυμον κόψας, καὶ σήσας, δίδου ὁμοίως δραχμὰς γ'. φυλάττεσθαι δεῖ τὰ φαρμακώδη, ἐφ' ὧν οὐ μέγα τι ἐστὶ τὸ λυποῦν. τῷ μὲν οὖν ἀπλουστέρως ἐσκευασμένῳ ὀρρῷ κεχρῆσθαι δεῖ, ἐπὶ τῶν μαλακῶν σωμάτων. καὶ ἐφ' ὧν κενῶσαι καὶ διαπλῦναι μόνα τὰ κατὰ γαστέρα καὶ ἔντερα βουλόμεθα, καὶ ἐφ' ὧν ἑλκοῦται τὸ ἔντερον ἀπὸ τῶν τυχόντων καθαρτηρίων, καὶ ἐφ' ὧν χολώδη ἄκρατον ἐνοχλεῖ τὴν γαστέρα, καὶ ἐφ' ὧν τεινεσμώδεις προθυμίαι γίγνονται, καὶ ἐφ' ὧν ἑλκοῦσθαι κίνδυνος νεφροὺς, ἢ κύστιν, ἢ μήτραν. καὶ ἐπὶ τῶν ἀτρόφων μὲν καὶ λεπτῶν, δεομένων δὲ καθάρσεως. μάλιστα δὲ πάντων κεχρῆσθαι δεῖ τῷ ὀρῷ ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον κεκτημένων, δεομένων δὲ καθάρσεως. τούτοις πᾶσι προσάγειν χρὴ τὸν ὀρρὸν, μή-
40 τε ἁλῶν, μήτε ἑτέρου τινὸς μίσγοντα φαρμακώδους. καὶ παιδίῳ δὲ καὶ γυναικὶ καὶ πρεσβύτῃ, ἀκίνδυνον ἐστὶ τοῦτον τὸν ὀρρὸν διδόναι, καὶ ἐν τοῖς ἀπὸ κυνὸς καύμασιν ἀδεές. καίτοι τηνικαῦτα αἱ ἄλλαι φαρμακεῖαι, ὕποπτοι πεφύκασι. τῷ δὲ ἰσχυροτέρῳ ὀρρῷ χρῷτό τις, πρὸς τὰ γενναιοτέρων φαρμάκων δεόμενα σώματα, καὶ παθήματα. μάλιστα πρὸς τὰ χρόνια ἐξανθήματα καὶ τοὺς πελιδνοὺς ἰόνθους. καὶ τὰς ἀπὸ τὸ δέρμα τῶν χυμῶν κακίας, οἷον λέπρας καὶ τὰ ὅμοια, καὶ πρὸς τὰ παλαιὰ δὲ ἕλκη καὶ τὰ θηριώδη, καὶ τοὺς ἰχῶρας τῆς κεφαλῆς. καὶ τὰ παραπλήσια. καὶ ἐπὶ ὀφθαλμῶν συνεχῶς ῥευματιζομένων. καὶ πρὸς τὰς ψώρας τῶν βλεφάρων, καὶ τὰς ἐφήλεις τοῦ προσώπου. χρῷτο δ' ἄν τις καὶ ἐν περιόδοις τῶν πυρετῶν μακραῖς, καὶ ἐφ' ὧν ὑδέρῳ περιπεσεῖν κίνδυνος ἐκ νόσων ἐπήρτηται. καὶ περὶ μὲν τοῦ ὀρροῦ ἱκανὰ καὶ ταῦτα.

Περὶ τῶν ἡδονῆς χάριν συνεψομένων τῷ γάλακτι ἐκ τῶν γαληνοῦ. ξζ.

50 Μετὰ δέ τινος τῶν παχὺν ἐχόντων χυμὸν ἐδεσμάτων ἐπὶ πλεῖστον ἑψηθὲν τὸ γάλα, ἀποτίθεται μὲν τὸ φυσῶδες, καὶ τρέφει μᾶλλον, καὶ τοῖς κατὰ κοιλίαν ῥεύμασι, καὶ τοῖς εἰς τὸν θώρακα λεπτοῖς ἐκ κεφαλῆς καταῤῥόοις ἁρμόζει. σκοπεῖσθαι δὲ δεῖ καὶ ἐν τούτῳ μὴ λάθῃ βλάπτον ἕτερα τῶν σπλάγχνων τινά. ἀλλόκοτος γὰρ ἐπὶ πολλῶν ἡ φύσις. καὶ δὴ καὶ ἄλλως σφαλερὰ τῇ φύσει τὰ τοιαῦτα τῶν ἐδεσμάτων. ἐμφρακτικώτερα γὰρ ἧπατος γίνεται. καὶ τῶν ἐν νεφροῖς λίθων γεννητικώτερα. ἔστι δὲ

τὰ συνεψόμενα

ὁ σπὸς ὀρρὸν

ἐν καύμασι

τὰ συνεψόμενα τῷ γάλακτι, ἄμυλον, σεμίδαλις, χόνδρος, τράγος, ὄρυζα, λάχανα, καὶ ἄρτοι τινὲς μήτε καλῶς ὀπτημένοι, μήτε καλῶς παρεσκευασμένοι, μήτε ζύμης ἢ ἁλῶν μετέχοντες.

Περὶ ὀξυγάλακτος ἐκ τῶν Γαληνοῦ. ϟη.

Τὸ δὲ καλούμενον ὀξύγαλα, ὀδόντας μὲν οὐ βλάπτει, ὅσοι κατὰ φύσιν ἔχουσιν. ὅσοι δὲ ψυχρότεροι τοῦ δέοντος ἢ ἀσθενέστεροι πεφύκασι, καθάπερ ὑπὸ τῶν ἄλλων ψυχρῶν βλάπτονται, οὕτω καὶ ὑπὸ τοῦδε. ἐνίοτε δὲ καὶ αἱμωδία γίνεται. γαστὴρ δὲ ἡ μὲν ψυχρὰ, οὐ πέττει καλῶς τὸ ὀξύγαλα. τῇ δὲ συμμέτρως ἐχούσῃ δύσπεπτον μὲν, οὐ μὴν ἄπεπτον παντάπασιν ἐστί. ὅσαι δὲ θερμότεραι τοῦ προσήκοντός εἰσι γαστέρες, πρὸς τὸ μηδὲν βλάπτεσθαι, χρηστοῦ τινος ἀπολαύουσιν ἐκ τῶν τοιούτων ἐδεσμάτων. αἱ τοιαῦται γαστέρες καὶ προψυχθὲν τὸ ὀξύγαλα διὰ χιόνος περιπλάσεως ἀλύπως φέρουσιν, εἰ μὴ ὁ θώραξ ψυχρὸς εἴη, ἢ κεφαλὴ, ἢ ἕτερον μόριον. οὔτε γὰρ τὴν θερμὴν καὶ δριμεῖαν ποιότητα ἔχει τοῦ ὀρροῦ τὸ ὀξύγαλα, οὔτε τὴν λιπαρὰν καὶ θερμὴν, λέγω δὴ τὸ βούτυρον. μόνον δὲ ὑπολείπεται ἐν αὐτῷ τὸ τυρῶδες. ὅθεν ψυχρόν τέ ἐστι, καὶ παχύχυμον καὶ ὠμῶν χυμῶν γεννητικὸν, ἐπὶ τῶν ψυχροτέρων γαστέρων, καὶ λίθων ἐν νεφροῖς γεννητικόν.

Περὶ πρωτογάλακτος ἐκ τῶν Γαληνοῦ. ϟθ.

Τὸ καλούμενον πρωτόγαλα μετὰ τὴν ἀποκύησιν εὐθέως ἀμελχθὲν τὸ γάλα. καὶ πυρωθὲν ὑπὸ θερμοσποδιᾶς ἐπ' ὀλίγον ἄνευ πιτύας, αὐτίκα πήγνυται. οἱ δὲ παλαιοὶ τοῦτο ἐκάλουν πυριάτην, τινὲς δὲ πυρίεφθον. ἐσθίεται δὲ καὶ αὐτὸ μετὰ μέλιτος. δυσπεπτότερον δὲ ἐστὶ καὶ παχυχυμότερον, καὶ βραδυπορώτερον, μὴ προσλαβὸν τοῦ μέλιτος.

Περὶ τῆς πηκτῆς καλουμένης. ἐκ τῶν Γαληνοῦ. ρ.

Προσφέρονται δὲ ἔνιοι τὸ γάλα, καὶ διὰ πιτύας πήξαντες καὶ ἀποχωρίσαντες τὸ ὀρρῶδες μιγνύντες καὶ μέλιτος. τινὲς δὲ καὶ τοῦ ὀρροῦ πλεῖστον καταπίνουσι. συμβήσεται δὲ δηλονότι, τοῖς μὲν μᾶλλον ὑπαχθῆναι τὴν γαστέρα, τοῖς δὲ ἧττον, πρὸς τὴν καταπινομένην ποσότητα τῆς ὀρρώδους ὑγρότητος.

Περὶ τυροῦ Γαληνοῦ. ρα.

Τυροὶ πάντες κακοὶ, πλὴν τῶν ὀξυγαλακτίνων. οὐδένα γὰρ ἔχω ἐπαινέσαι. πάντες δύσπεπτοι. ὀξυρεγμιώδεις τε καὶ φύσης ὑποπιμπλάντες τὴν γαστέρα καὶ διαχωρῆσαι πονηροὶ. καὶ φλεγματώδεις καὶ καυσώδεις τῇ κοιλίᾳ. προσλαμβάνουσι γὰρ ἐν τῇ σκευασίᾳ ἀπὸ τῆς ἐπεμβαλλομένης πιτύας δριμύτητα, τήν τε ὑγρότητα πᾶσαν ἀποτίθενται, καὶ μάλιστα οἱ χρονίσαντες, ἡνίκα καὶ δριμύτεροι γίνονται καὶ σφόδρα αὐτῶν θερμότεροί τε καὶ καυσωδέστεροι, καὶ διψωδέστεροι, καὶ δυσπεπτότεροι, καὶ κακοχυμότεροι ἀποτελοῦνται. διὰ ταῦτα τοιγαροῦν εἰ δέ ἐπερ ἀγαθὸν ἐπισπᾶται τὰ παχύχυμα τῶν ἐδεσμάτων, λεπτυντικαῖς μιγνύμενα δυνάμεσιν. οὐδὲ τοῦτο ἴσχει βλάβης χωρίς. μείζων γὰρ ἡ ἐκ τῆς κακοχυμίας, καὶ τῆς καυσώδους ὑγρότητος ἐπιγίνεται βλάβη, τῆς ἐκ τοῦ λεπτυνθῆναι τὸ πάχος ὠφελείας. φευκτέον οὖν ἐν τοῖς τοιούτοις μάλιστα τὸν τοιοῦτον τυρὸν, μηδὲν ὅλως ἀγαθὸν ἔχοντα. τὸν δὲ νέον τυρὸν ἁπάντων εἶναι κάλλιστον νομιστέον εἶναι, τὸν καλούμενον ὀξυγαλάκτινον. ἥδιστος μὲν γὰρ εἰς ἐδωδὴν, ἀβλαβὴς δὲ τῷ στομάχῳ πάντων τῶν ἄλλων τυρῶν. ἧττον δὲ καὶ δύσπεπτος, καὶ δυσδιέξοδος, οὐ μὴν οὐδὲ πάνυ παχύχυμος, ὅπερ ἁπάντων τυρῶν ἐστὶ ἔγκλημα κοινόν. τῶν δὲ ἄλλων τυρῶν ὁ νέος τοῦ παλαιοῦ βελτίων, καὶ ὁ μαλακὸς τοῦ σκληροτέρου. καὶ ὁ ἀραιὸς καὶ χαῦνος τοῦ πάνυ πυκνοῦ καὶ πεπιλημένου, καὶ ὑπερέχουσαν ἔχων τὴν γλυκύτητα τῆς ἁλυκότητος. καὶ ὁ σύμμετρον ἔχων ἁλῶν, τοῦ παμπόλλου ἢ μηδ' ὅλως ἔχοντος. καὶ ὁ ἡδὺς τοῦ ἀηδοῦς. καὶ ὁ ὠπτημένος τοῦ ὠμοῦ. ἑφθὸς δὲ τυρὸς παρὰ πολὺ στερεώτερος. πάντες γε μὴν κακοί.

Φάρμακον τὸ διὰ τοῦ παλαιοῦ τυροῦ πρὸς πώρους ποδαγρῶν Γαληνοῦ. ρβ.

Κομισθέντος δὲ πρὸς μὲ ἀρθριτικοῦ τινὸς ἐπὶ δίφρου, πώρους ἐν τοῖς ἄρθροις ἔχοντος, ἐπῆλθέ μοι σκέλος ταριχηροῦ ὑὸς παλαιὸν ἑψήσαντα, λῦσαι τῷ ἀφεψήματι τυρὸν παλαιότατον, εἶθ' ἅμα τε καλῶς ἑνώσαντα κατὰ τῶν πόρων ἐπιτιθέναι. διαρρηγνυμένου δὲ αὐτομάτως τοῦ δέρματος αὐθυτομῆς ἀνέπλεον ἑκάστης ἡμέρας μόρια τῶν πόρων. κἀπειδὴ τῆς ὠφελείας ὁ ἄνθρωπος ἐπειράθη, τοιοῦτον ἑαυτῷ ποιησάμενος τυρὸν, ἐφύλαττε. καὶ παλαιωθέντι ἐχρήσατο. καὶ οὕτω τοῦ λοιποῦ διετέλεσε χρώμενος, καὶ ἄλλους τῶν ὁμοίως πασχόντων φίλων ἐδίδαξε.

Περὶ τῆς ἐνεργείας τοῦ νέου τυροῦ τοῦ ἔξωθεν προσαγομένου. Γαληνοῦ. ργ.

Ὁ δὲ πρόσφατος τυρὸς καὶ ὑγρὸς, δοκεῖ ὥσπερ τι μέγα προσβοηθεῖν καὶ τοῖς τὸν λιθάργυρον ποιοῦσιν, εἴ τις περὶ τὴν δίαιταν αὐτὸν προσφέροιτο. δύναται δὲ καὶ τραύματα ἔναιμα τὰ ἁπλούστερα κολλᾶν καταπλασσόμενος, ἐπιτιθεμένων αὐτῷ φύλλων ἀμπέλου, ἢ θριδακίνης, ἢ τεύτλου. ὁ δὲ ὀξυγαλάκτινος τυρὸς, καὶ τὰ μεγάλα τραύματα κολλᾷ, τῷ μετέχειν καὶ διαφορητικῆς δυνάμεως.

Περὶ βουτύρου. Γαληνοῦ. ρδ.

Βούτυρος ἢ βούτυρον, γίνεται ἐκ τοῦ λιπαρωτάτου κατὰ τὸ γάλα τὸ βόειον μάλιστα. πεπτικῆς δὲ ἐστὶ

δυνάμεως μετέχειν ὀλίγον τῆς διαφορητικῆς. τοῦτο δὲ ἐργάζεται, ἐπί τε τῶν μέσων κατὰ μαλα-
κότητα καὶ σκληρότητα σωμάτων. πέπτει γὰρ ταῦτα φλεγμαίνοντα, καὶ διαφορεῖ ῥαδίως.
ὥς τε καὶ παρωτίδας καὶ βουβῶνας πολλάκις αὐτῷ μόνῳ τελέως ἰασάμεθα ἐπὶ παιδικῶν σω-
μάτων καὶ γυναικείων παρόντων. τῶν γὰρ σκληρῶν τελέως σωμάτων τοὺς παρὰ φύσιν ὄγκους, δια-
φορεῖν ἀδυνατον τὸ βούτυρον. καὶ μέντοι καὶ ταῖς ἐκ πνεύμονος ἀναπτύσεσιν ἐν πνευμονικοῖς τε
καὶ πλευριτικοῖς πάθεσι, μεγάλως σὺν μέλιτι συντελεῖ, μετὰ τοῦ καὶ πέπτει αὐτὸ μὲν οὖν μό-
νον ἐκλειχόμενον, πέπτει μὲν μᾶλλον, ἀνάγει δὲ ἧττον. ἅμα δὲ μέλιτι καὶ ἀμυγδάλαις πικραῖς, ἀνάγει
μὲν μᾶλλον, ἧττον δὲ πέπτει.

Περὶ πιτύας γαληνοῦ. ρε.

Πιτύα πᾶσα δριμείας ἐστὶ καὶ λεπτυντικῆς δυνάμεως καὶ διαφορητικῆς καὶ δηλονότι ξηραντικῆς.
ἀμείνων δὲ ἐστὶ τῶν πιτυῶν, ἡ λαγωά. διαλύει δὲ πᾶσα πιτύα, αἷμα τεθρομβωμένον ἐν κοιλίᾳ σὺν
τοῖς ἐπιτηδείοις πινομένη φαρμάκοις. τὰ δὲ ἄλλα τὰ περὶ τῆς πιτύας τοῖς πολλοῖς εἰρημένα,
περιττὸν ἡγοῦμαι γράφειν.

Περὶ χολῆς γαληνοῦ. ρϛ.

Τὸν ἐν τῇ χοληδόχῳ κύστει ἀθροιζόμενον χυμὸν ὀνομάζουσι χολήν, οὐ τὴν μέλαιναν. ξανθὴν δὲ ταύ-
την ὀνομάζουσιν. καί ἐστιν ὁ χυμὸς οὗτος πάντων τῶν ἐν τῷ ζώῳ χυμῶν θερμότατος. διαφοραὶ δὲ ἐν
αὐτῷ πλεῖσται εὑρίσκονται παρά τε τὴν φύσιν τῶν ζώων, καὶ τὴν δίαιταν. ἡ γὰρ τῇ χροᾷ ὠχρο-
τέρα χολή, μετρίως ἐστὶ θερμή. ἡ δὲ ὑπόλευκος ἐφόσον ἐκλύεται τῇ χροιᾷ, ἐπὶ τοσοῦτον τῆς θερ-
μῆς ποιότητος ἀπολείπεται. ἡ δὲ ξανθὴ θερμοτέρα τῆς ὠχρᾶς τοσοῦτον, ὅσον καὶ παχυτέρα καὶ
ξανθοτέρα γίνεται. θερμαινομένη γὰρ ἐπὶ πλεῖον ἡ ὠχρὰ τὴν ξανθὴν ἀποτελεῖ. εἰ δ' ἔτι μᾶλλον θερ-
μανθείη, εἰς τὸ μελάντερον τρέπεται χρῶμα, ποτὲ μὲν ἰώδης ἔχουσα, ποτὲ δὲ κυανοῦν. ἐνίοτε δὲ τὸ τῆς
ἰσάτιδος. πρόσεχε τοίνυν καὶ σὺ τῷ χρώματι τῶν χολῶν, ὅταν σκευάζεις φάρμακον ἐν ᾧ καὶ χολῆς
τι περιέχεται. γίνεται δὲ καὶ παρὰ τὸ χρώμενον τῇ χολῇ σῶμα διαφορά τις εὐαίσθητόν τε καὶ
δυσαίσθητον ὑπάρχον, εὐπαθές τε καὶ δυσπαθές. καὶ ἡ μὲν τῶν ὑῶν φαίνεται πάντων ὑδατωδε-
στάτη, καὶ διὰ τοῦτο ἀσθενεστάτη πλὴν τῶν ἀγρίων συῶν. χρῶνται δὲ τῇ τῶν ἡμέρων ὑῶν χολῇ ἐπὶ
τῶν ἐν ὠσὶν ἑλκῶν, οὐκ ἀδοκίμῳ φαρμάκῳ. καὶ χρῶ καὶ σὺ μὴ παρόντος ἄλλου συνθέτου. ἡ δὲ τῶν
προβάτων βραχὺ δριμυτέρα τῆς τῶν ὑῶν. καὶ ταύτης μᾶλλον ἡ τῶν αἰγῶν. παραπλησία δὲ ἐστὶ
ταύτῃ ἡ τῶν ἀρκτῶν τε καὶ βοῶν. ἡ δὲ τῶν ταύρων ἰσχυροτάτη μὲν τούτων. ἀπολειπομένη δὲ τῶν
ὑαινῶν. ἡ δὲ τοῦ καλλιωνύμου ἰχθύος καὶ σκορπίου θαλαττίου καὶ χελώνης, ταύτης ἰσχυροτέρα. εἰσὶ δὲ
καὶ αἱ τῶν πτηνῶν ζώων χολαὶ πᾶσαι, δριμύτεραι καὶ ξηραντικώτεραι τῶν ἐν τοῖς τετράποσι.
τῶν δὲ πτηνῶν αἱ τῶν ἀλεκτορίδων καὶ περδίκων, ἀμείνους εἰς ἰατρικὴν χρείαν. αἱ δὲ τῶν ἱεράκων
καὶ ἀετῶν, δριμεῖαι ἱκανῶς εἰσὶ καὶ διαβρωτικαί. ταύτας οὖν ἐπιστάμενος αὐτῶν τὰς δια-
φοράς, ἐπιστάμενος δὲ καὶ τῶν παθῶν τίνα μὲν δεῖται μᾶλλον ξηραίνεσθαι, τίνα δὲ ἧττον οὐκ ἂν ἁ-
μάρτοις περὶ τὴν θεραπείαν.

Περὶ ἱδρῶτος. ρζ.

Περὶ τῶν ἱδρώτων τινὲς ἀναγεγράφασι τινὰ περιττά, δι' ἄλλης ὕλης εὐπορωτέρας γίνεσθαι δυνά-
μενα. μίγνυται δὲ ἱδρὼς τῶν γυμναζομένων ἐν ταῖς παλαίστραις τῇ ὑποκειμένῃ κόνει. καὶ τοῦτο κα-
λοῦσι πάτον. διαφορητικὸν δὲ ἐστὶ φάρμακον. ἐπὶ γοῦν τῶν φλεγμαινόντων τιτθῶν δραστικώτε-
ρον ἐστὶ βοήθημα μόνος ὁ πάτος ἐπιτιθέμενος. ἐὰν δὲ ξηρότερος εἴη, κυπρίνῳ ἀναμαλάττειν δεῖ αὐτό.
μὴ παρόντος δὲ κυπρίνου τῷ ῥοδίνῳ χρῆσθαι. τοῦτο τὸ φάρμακον ἐπιχριόμενον, σβέννυσι γάλα πλη-
θῦνον ἐν τοῖς τιτθοῖς ἱκανῶς. ἔτω γ' οὖν ποτὲ καὶ κατὰ βουβῶνος αὐτὸ χρισάμενος, ἐν τάχει
παυόμενον ἐθεασάμην τὸν ὄγκον.

Περὶ οὔρων. ρη.

Οὖρον ἀνθρώπου, σχεδὸν ἁπάντων τῶν ἄλλων οὔρων ἐστὶ ἀσθενέστατον, ὅτι μὴ τῶν ἡμέρων ὑῶν τῶν
εὐνουχισθέντων. ῥυπτικῆς μὲν οὖν δυνάμεως εἴπερ τι καὶ ἄλλο τὸ τῶν ἀνθρώπων ἐστὶ οὖρον, ὡς δη-
λοῦσιν οἱ κναφεῖς. ὅθεν καὶ οἱ ἰατροὶ πρὸς ψώρας καὶ λέπρας καταντλοῦσιν αὐτό, καὶ τῶν ἑλ-
κῶν τὰ πολλῆς ὑγρότητος μεστά, καὶ ῥύπου καὶ ἀκαθαρσίας. καὶ πολύ γε μᾶλλον ὅταν ἔχῃ τι σηπε-
δονῶδες. καὶ τοὺς ἀχῶρας δέ, καὶ τὰ πίτυρα δι' αὐτοῦ θεραπεύουσι καταντλοῦντες. ἡμεῖς δὲ ταῦτα
ἐμυσάχθημεν ποιεῖν, ἑτέρων εὐποροῦντες φαρμάκων. τὰ δὲ ἐν τοῖς δακτύλοις ἕλκη καὶ μάλιστα
τὰ ἐκ προσπταισμάτων, ἐπειδὰν ἀφλέγμαντα γένηται, κατὰ τὰ ἰασάμην. οὖρα πολλάκις ἐπὶ τῶν
εἰς ὁδοιπορίαν στελλομένων, μόνον βρέξας καὶ ἐπιθεὶς κατὰ τοῦ ἕλκους, εἶθ' ἔξωθεν ὀθονίῳ περιε-
λίξας, ὁσάκις ἂν οὐρεῖν προθυμηθῶσι, κατὰ τοῦ δακτύλου φέρειν τὸ οὖρον ἐπέτρεψα. καὶ μὴ λύειν
ἄχρις ἂν ἀκριβῶς θεραπευθῶσι. συνεχώρησα δὲ καὶ ἐν ἀγρῷ μὴ παρόντος ἰατροῦ, καταχέειν αὐτὸ
ἑλκῶν, ὅταν ἐν τοῖς κάτω μέρεσιν ᾖ τοῦ θώρακος μέχρι ποδῶν ἄκρων. πίνειν δὲ οὖρον ἕνεκα τῆς ὀρθο-
πνοίας.

πυρίας, καθὼς γεγράφασιν ἔνιοι, οὐκ ἀνεχαίτισεν αὐτῶν γε καὶ ἄλλων πλείστων φαρμάκων, ἃ βοηθεῖ τῷ πάθει τούτῳ. καὶ μέντοι καὶ πιών τις οὖρον, οὐκ ἀπηλλάγη τοῦ πάθους.

Περὶ σιάλου. ρθ.

Τούτου τὴν δύναμιν χρὴ γιγνώσκειν εἶναι διάφορον, ἔν τε τοῖς τῶν ζώων εἴδεσι, καὶ καθ' ἕκαστον αὐτῶν ὑπεινοῦ τε καὶ ναυτεροῦ, ἐδηδοκότος τε καὶ νενηστευκότος, πεπωκότος τε καὶ ἀπότου. ὡς γὰρ τὰ οὖρα καὶ αἱ χολαὶ καὶ οἱ ἱδρῶτες, οὕτω καὶ τὸ πτύελον. ἀσθενὲς μὲν γὰρ ἐδηδοκότων τε καὶ πεπωκότων ἐστίν. ἁλμυρὸν δὲ καὶ δριμὺ τὸ τῶν ὑπερδιψησάντων τε καὶ πεινησάντων. ἐν τῷ μέσῳ δὲ ἀμφοῖν ἐστι, τὸ τῶν ἀπεπτηκότων μὲν, οὐδέπω δὲ ἐδηδοκότων ἢ πεπωκότων. τούτῳ τοιγαροῦν τῷ ἐπὶ τῇ τελευτῇ εἰρημένῳ σιάλῳ καὶ αἱ τροφοὶ τῶν νηπίων τὰς λιχῆνας αὐτῶν ἰῶνται, βρέχουσαι τὸν μικρὸν δάκτυλον, εἶτα ἀνατρίβουσαι τὸν τόπον, καὶ τοῦτο ποιοῦσι συνεχῶς. ἀλλὰ καὶ πυροὺς μασησάμενοι τῶν ἀγροίκων τινὲς, δοθιῆσιν ἐπιτιθέασιν. διαφορεῖ τε γὰρ αὐτοὺς καὶ πέπτει ταχέως. καθόλου δὲ τὴν οὐσίαν τὸ πτύελον ἐναντιώτατόν ἐστι τοῖς ἀναιροῦσι θηρίοις. ἐγὼ γὰρ χωρὶς ἐπῳδῆς ἐθεασάμην ἐπὶ σιάλῳ νήστεως μόνῳ, τὸν σκορπίον ἀποθανόντα.

Περὶ κόπρου. ρι.

Κόπρος διαφορητικωτάτην ἔχει δύναμιν. ἔστι δὲ ἡ τῶν ἀνθρώπων μὲν διὰ τὴν δυσωδίαν βδελυρά. βοῶν δὲ, καὶ αἰγῶν, καὶ κυνῶν, ὅταν ὀστᾶ φάγωσιν, οὔτε δυσώδεις εἰσὶ, καὶ πεῖραν ἱκανὴν ἔδωκεν οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ πολλοῖς τῶν ἔμπροσθεν ἰατρῶν. ἐγὼ γοῦν καὶ αὐτὸς οἶδα θαυμαστῆς δυνάμεως πειραθεὶς ἀνθρωπείας τε καὶ κυνείας κόπρου.

Περὶ τῆς κυνείας κόπρου. ρια.

Λεκτέον δέ σοι πρῶτον περὶ τῆς κυνείας κόπρου ᾗ συνεχῶς ἐχρῆτό τις τῶν ἡμετέρων διδασκάλων. ὀστᾶ διδοὺς ἐσθίειν κυνὶ μόνα δυοῖν ἐφεξῆς ἡμερῶν, τὴν ἐν τῇ τρίτῃ ἡμέρᾳ ἐκκρινομένην κόπρον λαμβάνων, ἐξήραινε καὶ ἀπετίθετο, καὶ ἐπὶ τῆς χρείας ἐλείου. ἐχρῆτο δ' αὐτῇ πρός τε συνάγχας ἀναμιγνὺς τοῖς ἄλλοις ἁρμόττουσι πρὸς τὸ πάθος φαρμάκοις. ἐπὶ δὲ δυσεντερικῶν, τῷ ἐφεψημένῳ γάλακτι διὰ τῶν κοχλάκων, ξηρὰν λείαν ἐπιπάττων τὴν κόπρον, παρεῖχε λανθάνων τοὺς πολλούς. τούτων μὲν οὖν τῶν δύο χρήσεων, τῆς κυνείας κόπρου, πάνυ πολλὴν ἔχω πεῖραν ὡς φαρμάκου θαυμασίου, καθάπερ καὶ ἐπὶ τῶν κακοηθεστάτων ἑλκῶν ἐμίγνυον τῆς κυνείας κόπρου βραχὺ τοῖς πρὸς τὰ τοιαῦτα ἕλκη δοκίμοις φαρμάκοις, καὶ σαφῶς ἰσχυρότερον ἑαυτοῦ τὸ φάρμακον ἐγίνετο, καὶ εἴπου διαφορεῖσθαί τι καὶ ξηρᾶναι δέοι, κἀκείνοις τοῖς φαρμάκοις ἐμίγνυον.

Περὶ ἀνθρωπείας κόπρου. ριβ.

Περὶ ἀνθρωπείας κόπρου, τοιάνδε πεῖραν ἔχω. συνεχῶς τις τὴν φάρυγγα φλεγμαίνων, ἠνωχλεῖτο σφοδρῶς, ὡς κινδυνεύειν ἀποπνιγῆναι. καὶ δὴ καὶ φλεβοτομεῖσθαι διὰ τὸν κίνδυνον ἠναγκάζετο. τούτῳ τις ἐντυχὼν ἐπηγγείλατο πεῖραν δώσειν φαρμάκου, καὶ καλεῖσθαι αὐτὸν ἠξίου πρὸ τῆς φλεβοτομίας, αὖθις ἐν φλεγμονῇ γινομένης τῆς φάρυγγος. καὶ τοίνυν κληθεὶς, εἶτα διαχρίσας, φαρμάκῳ τινὶ ταχέως ἐθεράπευσε τὸν ἄνθρωπον. ἦν δὲ κόπρος ξηρὰ, μετὰ μέλιτος ἀττικοῦ χριομένη. δίῃτα δὲ τὸ παιδίον οὗ τὴν κόπρον ἔμελλε λήψεσθαι, καθάπερ αὐτὸς ἐκεῖνος ὁ θεραπεύσας ἐδίδαξεν, ἐπὶ θέρμων ἐδωδῇ, τούτων δὴ τῶν συνήθως ἐσθιομένων μετ' ἄρτου καλλίστου. ἐδίδου δὲ καὶ οἶνον πίνειν παλαιόν. ἅπαντα ταῦτα σύμμετρα κατὰ τὸν ὄγκον, ὡς ἀκριβῶς εὐπεπτῆσαι τὸ παιδίον. τῇ δὲ τρίτῃ ἡμέρᾳ τὸ ἐκκριθὲν κόπριον ἐλάμβανε. καὶ ξηραίνων ἐχρῆτο παραπλησίως τῇ κυνείᾳ κόπρῳ, καθὰ προείρηται.

Περὶ λυκείας κόπρου. ριγ.

Τὴν δὲ τῶν λύκων κόπρον, ἐπότιζέ τις κωλικοὺς, οὐ μόνον ἐν τοῖς παροξυσμοῖς, ἀλλὰ καὶ ἐν τοῖς διαλείμμασιν, ὅσοι γε χωρὶς φλεγμονῆς ἔπασχον. εἶδον τε τινὰς αὐτῶν οὐκέτι ἁλόντας τῷ πάθει. καὶ τοὺς παθόντας οὐκέτι ἰσχυρῶς, οὐδὲ συνεχῶς. ἐλάμβανε δὲ κἀκεῖνος τὴν λευκοτέραν κόπρον τῶν λύκων μᾶλλον, ἥ τις ὀστᾶ φαγόντων αὐτῶν, ἀπεκρίνετο. ἐλάμβανε δὲ τὴν οὐδέπω πεπτωκυῖαν ἐπὶ τὴν γῆν. ἐπὶ θάμνοις γὰρ πολλάκις εὑρίσκεται ἡ κόπρος αὕτη, καὶ ἐπὶ βοτάναις εὐανθέσιν. ἐθαύμασα δὲ ἐπ' αὐτῆς ὅτι καὶ περιαπτομένη πολλάκις ὠφέλησεν. εὑρίσκεται δὲ ἐν αὐτῇ καὶ αὐτῶν τῶν ὀστῶν τι τοῦ βρωθέντος ζώου, διαπεφευγὸς τὴν μάσησιν, καὶ τὴν πέψιν, ὃ καὶ αὐτὸ κόπτων, καὶ λεαίνων, ἐδίδου πίνειν τοῖς κωλικοῖς, ἅλας καὶ πεπέρεως ἤ τινος τοιούτου ἐπιμιγνύων, εὐωδίας χάριν. ἐδίδου δὲ μετ' οἴνου λεπτοῦ τὴν σύστασιν. ποτὲ δὲ καὶ μεθ' ὕδατος. τὸ γοῦν περιαπτόμενον τῆς κόπρου τοῖς λαγόσι τοῦ κάμνοντος, ἐκέλευεν ἔχειν ἄρτυμα μάλιστα ἐξ ἐρίου λυκοβρώτου προβάτου. εἰ δὲ μὴ, ἐκ δέρματος ἐλάφου. καὶ τὸν ἱμάντα τὸν περιελιττόμενον τοῖς λαγόσι καὶ αὐτὸ τὸ περιέχον τὴν κόπρον ἐκέλευεν εἶναι ἐξ αὐτοῦ. ἡμεῖς δὲ καὶ εἰς χυτρίδιον ἀργυροῦν μέγεθος κυάμου ἐμβαλόντες τῆς κόπρου, περιήψαμεν ἐνίοις ἕνεκα πείρας. ἐθαυμάσαμεν οὖν ἑωρακότες φανερῶς ὠφεληθέντας.

Περὶ αἰγείας κόπρου. κεφ. ρλδʹ.

Συνεχέστατα δὲ κόπρῳ ταύτῃ χρώμεθα τῇ τῶν αἰγῶν, δριμείας καὶ διαφορητικῆς οὔσης δυνάμεως. καὶ τοῖς σκιρρουμένοις ὄγκοις ἁρμόττει· οὐ παλαιοῖς μόνον, ἀλλὰ καὶ τῶν ἄλλων μορίων. ἔγωγ' οὖν ἐπὶ γόνατος ἔχοντος ὄγκον χρόνιον δύσλυτον, ἐχρησάμην αὐτῇ δι' ὀξυκράτου, καταπλάττεσθαι κελεύσας ἄλευρον κρίθινον ἐμβαλλομένης τῆς κόπρου· καὶ θαυμαστῶς ὁ ἄνθρωπος ὤνητο. ἀγροῖκος δὲ ἦν ὁ θεραπευθείς. ἐπὶ γὰρ τῶν μαλακῶν σωμάτων δριμύτερον ἐστὶ τὸ φάρμακον. καὶ μέντοι καὶ καυθεῖσα, λεπτομερεστέρα γίνεται. διὸ πρὸς ἀλωπεκίας ἁρμόττει, καὶ πάνθ' ὅσα ῥυπτόντων δεῖται φαρμάκων. οἷον λέπρας, λειχῆνας καὶ τὰ ὅμοια. καὶ τοῖς πρὸς παρωτίδας καὶ βουβῶνας καταπλάσμασι μιγνυμένη, διαφορεῖ. πρὸς γοῦν τὰ τῶν ἐχιδνῶν δήγματα, καὶ πολὺ 10 μᾶλλον ἔτι τὰ τῶν ἄλλων θηρίων, ἰατρός τις τῶν ἐν ἀγροῖς ἰατρευόντων ἐχρῆτο δι' ὄξους αὐτῇ, καὶ διέσωζε πάνυ πολλούς. ὁ δ' αὐτὸς οὗτος καὶ τοῖς ἰκτερικοῖς ἐδίδου τὰς σπυράθους πίνειν δι' οἴνου. καὶ πρὸς ῥοῦν γυναικεῖον σὺν λιβανωτῷ.

Περὶ κόπρου βοός. κεφ. ρλεʹ.

Ὡσαύτως δὲ καὶ τῶν βοῶν αἱ κόπροι, βραχεῖαν ἔχουσι διαφοράν· οὖσαι καὶ αὗται ξηραντικῆς δυνάμεως. ἔχουσι δὲ καὶ τὴν ἑλκτικήν. ἰατρὸς δέ τις φαρμάκων ἔμπειρος, τοὺς ὑδεριῶντας βολβίτῳ καταχρίων, ἐν ἡλίῳ κατέκλινε. καὶ πολλοὺς ὠφέλησεν. ὑγρὰν δὲ ἐλάμβανε ταύτην τῷ ἔαρι ὁπότε νέμονται τὴν πόαν αἱ βόες· καὶ ξηραίνας ἀπετίθετο. καὶ πρὸς χοιράδας δὲ οὗτος αὐτῇ ἐχρῆτο, καὶ τῶν σκιρρωδῶν ὄγκων ἁπάντων σὺν ὄξει καταπλάττων.

Προβατεία κόπρος. κεφ. ρλςʹ.

20 Ὁ δ' αὐτὸς οὗτος, καὶ τῇ τῶν προβάτων κόπρῳ ἐχρῆτο πρὸς ἀκροχορδόνας, καὶ μυρμηκίας, καὶ θύμους, καὶ ἥλους ὄξει δεύων αὐτήν. ἀλλὰ καὶ τὰ πυρίκαυστα τῶν ἑλκῶν εἰς οὐλὴν ἦγε, μιγνὺς κηρωτῇ ῥοδίνῃ.

Περιστερῶν κόπρος. κεφ. ρλζʹ.

Τῇ δὲ κόπρῳ τῶν νομάδων περιστερῶν ὡς θερμαίνοντι φαρμάκῳ καὶ τὸ αὐτὸ συνεχῶς εἰς πολλὰ χρώμεθα μετὰ καρδαμώμου σπέρματος, ἀντὶ νάπυος λειοτάτην αὐτὴν μίσγων, ἐπὶ τῶν φοινιγμοῦ δεομένων παθῶν χρονίων. ὁποῖόν ἐστι, ἰσχιάς, ἡμικρανία, κεφαλαία, σκοτώματα, καὶ τὰ κατὰ τὰς νόθας πλευράς, καὶ ἢ ὠμοπλάτας, ἢ τένοντας, ἢ ψόας, ἢ ἀλγήματα χρόνια, καὶ νεφρῶν, καὶ ποδῶν, καὶ ἄρθρων, ὅταν γε μήπω σύστασις πώρων ᾖ ἐν τοῖς ἄρθροις.

Ἀλεκτορεία κόπρος. κεφ. ρληʹ.

30 Τῇ δὲ τῶν ἀλεκτορίδων κόπρῳ ἐχρησάμην καὶ αὐτὸς ἐπὶ τῶν ἀπὸ μυκήτων ἐδωδῆς πνιγῆναι κινδυνευόντων, ἐπιπάττων αὐτὴν λειουμένην κυάθοις τρισὶν ἢ τέτρασιν ὀξυκράτου ἢ ὀξυμέλιτος. καὶ προφανῶς ὠφέλησεν διὰ ταχέως. ἤμεσαν γὰρ ὀλίγον ὕστερον οἱ πνιγόμενοι, φλεγματώδη παχύτατον χυμόν. ἐφ' ᾧ τελέως ἐπαύσαντο τοῦ συμπτώματος. ὁ δὲ διδάξας με ἰατρὸς καὶ τοῖς χρονίοις κωλικοῖς αὐτὴν ἐδίδου δι' οἰνομέλιτος. τινὲς δὲ καὶ τοῖς συναγχικοῖς αὐτὴν διδόασι πίνειν. ἔστι δὲ αὕτη τῆς τῶν περιστερῶν ἀσθενεστέρα. δεῖ δὲ καὶ ταύτην λαμβάνειν ἐκ τῶν ἐν τοῖς ἀγροῖς διαιτωμένων ἀλεκτορίδων οὐ τῶν ἐγκεκλεισμένων.

Περὶ κόπρου χηνός, ἱέρακος, πελαργῶν, καὶ χερσαίων κροκοδείλων. κεφ. ρλθʹ.

Ἡ δὲ τῶν χηλῶν, καὶ ἱεράκων, καὶ πελαργῶν κόπρος, καὶ τῶν λοιπῶν, περὶ ὧν ἔνιοι ληρήσαντες ἔγραψαν, ἄχρηστος εἶναι τῇ πείρᾳ ἐκρίθη. ἡ δὲ τῶν χερσαίων κροκοδείλων καὶ δυσπόριστος.

40 Ῥύπος προβάτων ἐξ οὗ ὁ οἴσυπος. κεφ. ρμʹ.

Ῥύπος ὁ ἐπιτρεφόμενος τοῖς τῶν προβάτων ἐρίοις, ἐξ οὗ τὸν καλούμενον οἴσυπον σκευάζομεν, πεπτικῆς ἐστὶ δυνάμεως παραπλησίως τῷ βουτύρῳ. βραχὺ δέ τι καὶ διαφορητικὸν ἔχει. σκευάζεται δὲ ὡς φησὶ Διοσκορίδης ὁ οἴσυπος τὸν τρόπον τοῦτον. λαβὼν ἔρια ῥυπαρὰ τὰ ἐν ταῖς μασχάλαις τῶν προβάτων εὑρισκόμενα κονδρά, καὶ οὖλα καὶ μαλακά, ἔκπλυνε θερμῷ ὕδατι, ἐκθλίβων αὐτῶν πάσαν τὴν ῥυπαρίαν, εἶτα τούτων τὸ ἀπόπλυμα εἰς κρατῆρα πλατύστομον βαλών, καὶ ἐπιχέας ἕτερον ὕδωρ ζέον ἀνατάρασσε, λαμβάνων ἐκ τοῦ ὑγροῦ ποτηρίῳ, ἢ ἐτέρῳ τινί, καὶ ἐξ ὑψηλοῦ καταράσσων, ἕως ἂν ἀφρίσῃ. εἶτα καταρραίνε θαλάσσῃ, εἰ πάρεστι, εἰ δὲ μή, ψυχρῷ ὕδατι. καὶ ἔα καταστῆναι. καὶ μετὰ τὸ ψυγῆναι ἀνελοῦ τὸ ἐπιπολάζον μυακίῳ, καὶ βαλὼν εἰς ἕτερον ἀγγεῖον, καὶ ἐπιβαλὼν ψυχρὸν ὕδωρ ὀλίγον, ἀνάκοπτε ταῖς χερσίν. εἶτα ἀποχέας τὸ ὕδωρ, ἐπίβαλε ἕτε-50 ρον θερμόν, καὶ ἀνατάρασσε ὁμοίως ὡς προείρηται. καὶ ἐπίρραινε θαλάσσῃ, ἢ τῷ ψυχρῷ. καὶ ἔα καταστῆναι καὶ μετὰ τὸ ψυγῆναι πάλιν ἀνελοῦ μυακίῳ, καὶ ἀνάκοπτε τῇ χειρὶ ὁμοίως. καὶ πάλιν ἐκ τρίτου ἐπίχεε θερμὸν ὕδωρ, καὶ τὸ αὐτὸ ποίει καθὼς προείρηται, ἄχρις ἂν λευκὸς καὶ λιπαρὸς ὁ οἴσυπος γένηται, καὶ μηδὲν ἀποθάρσεως ἔχει. καὶ οὕτω λαβὼν ἐν ἀγγείῳ κεκραμείῳ, τίθει ἐν ἡλίῳ ἐπὶ ἡμέρας τινάς, καὶ φύλαττε, καὶ πάντα δὲ τὰ προειρημένα ἐν ἡλίῳ θερινῷ ποίει. οὕτω γὰρ χρησιμώτερον

γὰρ χρησιμώτερον γίνεται καὶ λευκὸν, καὶ οὐδὲν ἔχον σκληρὸν, καὶ συνεστραμμένον. ὥσπερ ὁ δολούμενος κηρωτῇ, ἢ ζύμῃ. ποιεῖ δὲ καὶ πρὸς τὰ περὶ δακτύλιον καὶ ὑστέραν σὺν μελιλώτῳ καὶ βουτύρῳ. καὶ ἕτερα πλεῖστα. ὁ δὲ κεκαυμένος οἴσυπος ποιεῖ τὴν ἐξ αὐτοῦ συναγομένην αἰθάλην, ἢ λιγνὺν χρησιμωτάτην, πρὸς διαβεβρωμένους, καὶ ψωρώδεις κανθοὺς, καὶ τετυλωμένα βλέφαρα, καὶ τὰ χερσοῦντα. καίεται δὲ ἐνίοτε καὶ ὑπ᾽ ὀστράκου καινοῦ, ἄχρις ἂν πυρωθὲν ἀποβάλλῃ τὸ λίπος. κείσθω δὲ τὸ ὄστρακον ἐπ᾽ ἀνθράκων. εἶτα συνάξας τὸ κεκαυμένον, καὶ λειώσας, χρῶ πρὸς τὰ εἰρημένα.

Περὶ σαρκῶν. γαληνοῦ. ρκα.

Οὐχ ἅπασαι τῶν ζώων αἱ σάρκες, ἄνθρωπον τρέφουσιν, ἀλλ᾽ ἐνίων εἰσὶ καὶ θανάσιμοι. ἔνιαι δ᾽ οὐχ ὡς τροφὴ μόνον προσφέρονται. ἀλλ᾽ ὡς βοήθημα. καὶ τῶν τρεφόντων δὲ, οὐ τὴν αὐτὴν ἅπασαι δύναμιν ἔχουσιν. πάντων μὲν οὖν ἐδεσμάτων ἡ σὰρξ τῶν ὑῶν ἐστι τροφιμωτάτη, καὶ εὔχυμος, καὶ εὐπεπτοτέρα πάντων. τά τε ἄλλα, καὶ διὰ τὴν πρὸς ἀνθρώπους ὁμοιότητα. τὰ δὲ βόεια κρέα, τροφὴν μὲν καὶ αὐτὰ δίδωσιν, οὔτε ὀλίγην, οὔτε εὐδιαφόρητον. αἷμα μέντοι παχύτερον ἢ προσήκει γεννᾷ. καὶ εἰ φύσει τις εἴη μελαγχολικώτερος τὴν κρᾶσιν, ἁλώσεται τινὶ πάθει τῶν μελαγχολικῶν, ἐν τῇ τούτων ἐδωδῇ πλεονάσας. τοιαῦτα δ᾽ ἐστὶ πάθη, καρκῖνος. ἐλέφας. λειχῆνες. ψώρα. τεταρταῖος πυρετός. ἥ τε ἰδίως ὀνομαζομένη μελαγχολία. καὶ σπλὴν δὲ ἐνίοις ηὐξήθη διὰ τοιοῦτον χυμὸν, ᾧ καχεξίαι τε καὶ ὕδεροι πολλάκις ἐπηκολούθησαν. ξηρότερος γὰρ καὶ θερμότερος πάμπολυ τὴν κρᾶσιν ἐστὶ βοῦς, ὑός. οἱ δὲ μόσχοι τῶν τελείων βοῶν ἀμείνους ἔχουσιν εἰς πέψιν τὰς σάρκας, ὡς ὑγρότεροι τὴν κρᾶσιν. οὕτως δὲ καὶ οἱ ἔριφοι τῶν αἰγῶν, ἀμείνους. ἧττον μὲν γὰρ βοὸς ἡ αἲξ ξηρὰ τὴν κρᾶσιν. ἀλλ᾽ ἀνθρώπῳ καὶ αὐτὴ παραβαλλομένη, πολλῷ παραλλάττει. ὑγροτάτην δὲ ἔχουσι καὶ φλεγματώδη σάρκα οἱ ἄρνες. ἡ δὲ τῶν προβάτων σὰρξ, περιττωματικωτέρα τέ ἐστι καὶ κακοχυμοτέρα. κακόχυμος δὲ καὶ ἡ τῶν αἰγῶν μετὰ δριμύτητος. ἡ δὲ τῶν τράγων μετὰ δριμύτητος, χειρίστη καὶ πρὸς εὐχυμίαν καὶ πέψιν. ἐφεξῆς δὲ ἡ τῶν κριῶν. εἶθ᾽ ἡ τῶν ταύρων. ἐν ἅπασι δὲ τούτοις ἡ τῶν εὐνουχισθέντων ἀμείνω. τὰ δὲ πρεσβυτικὰ, χείριστα πρὸς πέψιν ἐστὶ, καὶ εὐχυμίαν, καὶ θρέψιν. ὥς τε καὶ τῶν ὑῶν αὐτῶν, καίτοι γε ὑγρῶν ὄντων τὴν κρᾶσιν. οἱ γηράσαντες ἰνώδη, καὶ σκληρὰν, καὶ ξηρὰν, καὶ διὰ τοῦτο δύσπεπτον ἴσχουσι τὴν σάρκα. καὶ ἡ τοῦ λαγωοῦ δὲ σὰρξ, αἵματος μὲν παχυτέρου γεννητική. βελτίονος δὲ εἰς εὐχυμίαν κατὰ βοῦς καὶ πρόβατα. κακόχυμος δὲ οὐδὲν ἧττόν ἐστι, καὶ ἡ τῶν ἐλάφων, καὶ σκληρὰ, καὶ δύσπεπτος. ἡ δὲ τῶν ἀγρίων ὄνων ἐπεὶ καὶ ταύτην τινὲς ἐσθίουσιν, ὥσπερ καὶ τὴν τῶν ἡμέρων ὄντων ἐν ἀλεξανδρείᾳ, κακοχυμοτάτη τε καὶ δυσπεπτοτάτη, καὶ κακοστόμαχος. καὶ πρὸς ἔτι καὶ ἀηδὴς κατὰ τὰς ἐδωδάς. καθάπερ καὶ ἡ τῶν ἵππων τε καὶ καμήλων. καὶ τούτων γὰρ ἐσθίουσιν ὀνώδεις τε, καὶ καμηλώδεις ἄνθρωποι τήν τε ψυχὴν, καὶ τὸ σῶμα. καὶ τὰ τῶν ἄρκτων κρέα ἔνιοι προσφέρονται. καὶ τὰ τούτων ἔτι χείρω, τῶν λεόντων τε καὶ παρδάλεων. περὶ δὲ τῶν κυνῶν, τί δεῖ καὶ λέγειν; ὡς τοὺς νέους τε καὶ λιπαροὺς αὐτῶν ἐσθίουσι παμπολλοί. εἰσὶ δὲ τὰ τούτων κρέα πάντα, ξηρότατα φύσει, καὶ δριμεῖαν τροφὴν παρέχονται τῷ σώματι. καὶ περὶ τοὺς τρόπους δὲ τῶν σκευασιῶν αὐτῶν μᾶλλον, ἢ ἧττον τρέφει. καὶ μᾶλλον καὶ ἧττον πέττεται. ὅσα μὲν γὰρ ὀπτῶντες, ἢ τηγανίζοντες ἐσθίουσι ξηροτέραν τροφὴν διδόασι τῷ σώματι. ὅσα δὲ ἕψοντες καὶ ἀρτύοντες προσφέρονται μεταξὺ τούτων εἰσίν. καὶ αὐτῶν δὲ τούτων οὐ μικρὰ διαφορὰ γίνεται παρὰ τὸν τῆς ἀρτύσεως τρόπον. καὶ διὰ ταῦτα ξηραίνειν μὲν θέλων τὸ σῶμα, τῶν ξηροτέρων τῇ κράσει ζώων δώσεις τὴν σάρκα. θερμαίνειν δὲ βουλόμενος τῶν θερμοτέρων, καὶ ψυχροτέρων, καὶ ὑγροτέρων ὁμοίως τοῖς καταλλήλοις δώσεις.

Περὶ τῶν ἐν τοῖς πεζοῖς ζώοις ἄκρων. ρκβ.

Ταῦτα μὲν οὖν αὐτάρκη σοι καθόλου περὶ τῆς τῶν πεζῶν ζώων σαρκὸς ἀκηκοέναι. περὶ δὲ τῆς τῶν ἄλλων μορίων ὧν ἔχει τὰ ζῶα δυνάμεως ἐφεξῆς ἄκουε. ἄκρεα μόρια καλοῦσι συνήθως ἄνθρωποι ῥύγχη, πόδας καὶ ὦτα. ἥκιστα μὲν γὰρ πιμελὴν ἔχει ταῦτα. ἥκιστα δὲ τὴν σαρκώδη φύσιν. ἐπικρατεῖ δὲ ἐν αὐτοῖς τό τε νευρῶδες, καὶ τὸ δερματῶδες. γεγύμνασται δὲ τῇ πολλῇ κινήσει ταῦτα τὰ μόρια μᾶλλον. ἔστι δὲ διὰ τοῦτο καὶ γλισχρότερα. εἰκότως οὖν ἐλάττω μὲν τροφὴν δίδωσι τῷ σώματι. ῥᾷον δὲ ὑπέρχεται κατὰ γαστέρα διὰ τὴν γλισχρότητα. βελτίους δὲ οἱ πόδες τῶν ὑῶν εἰσὶ, τοῦ ῥύγχους. ὥσπερ καὶ τοῦτο τῶν ὤτων. ἡ δὲ γαστὴρ χαυνοτέρα τε καὶ ἀναιμοτέρα τῆς γλώττης. καὶ διὰ τοῦτο καὶ ψαφαρωτέρα. καὶ πέττεσθαι ῥᾳδίως δυναμένη χωρὶς ἐπιμιξίας τῶν παρακειμένων αὐτῇ ἐντέρων.

Περὶ ἀδένων. ρκγ.

Πάντων ἀδένων κοινὸν, τὸ ἡδεῖς τε καὶ ψαθυροὺς φαίνεσθαι κατὰ τὴν ἐδωδήν. οἱ δὲ ἐν τοῖς τιτθοῖς ὅταν ἔχωσι γάλα. καὶ τῆς ἐκείνου τι γλυκύτητος ἐμφαίνουσι, καὶ μάλιστα ἐπὶ τῶν ὑῶν. ἡ δὲ ἐξ αὐτῶν τροφὴ, καλῶς μὲν πεφθέντων, ἐγγὺς τῇ κατὰ τὰς σάρκας ἐστί. ἐλλιπέστερον δὲ κατεργασθέν-

πων τὸν ὠμόν, ἢ τὸν φλεγματώδη χυμὸν γεννᾷ. τῶν μὲν ὑγρῶν ἀδένων, τὸν φλεγματώδη. τῶν δὲ σκληροτέρων τὸν ὠμόν.

Περὶ ὄρχεων. ρκδ'.

Τῶν ἀδενωδῶν σωμάτων εἰσὶ καὶ οἱ ὄρχεις. οἱ μὲν οὖν τῶν ὑῶν, ἢ προβάτων, ἢ τράγων ὄρχεις ἐσθιόμενοι εἰσὶ δύσπεπτοι, καὶ κακόχυμοι, διὰ τὸ ἐνυπάρχειν ἐν αὐτοῖς βρομῶδες. εἰς ὅσον δὲ ἡ τῶν ὑῶν σὰρξ τῆς τῶν ἄλλων ἐστὶ βελτίων, εἰς τοσοῦτον καὶ οἱ ὄρχεις πεφθέντες καλῶς, τρόφιμοι γίγνονται. μόνοι δὲ οἱ τῶν ἀλεκτρυόνων ὄρχεις ἄριστοι κατὰ πάντα, καὶ ἥδιστοι, καὶ τροφὴν χρηστὴν τῷ σώματι διδόασι, καὶ μάλιστα τῶν σιτευθέντων.

Περὶ νεφρῶν. ρκε'.

Κακόχυμοι εἰσὶ φανερῶς, καὶ δύσπεπτοι, ἐμφαίνοντες ἐν τῇ γεύσει, καὶ τὴν τοῦ οὔρου ποιότητα.

Περὶ ἐγκεφάλου. ρκς'.

Φλεγματικώτερον ἐστιν ἔδεσμα ἐγκέφαλος, καὶ παχύχυμον, καὶ βραδύπορον, καὶ δύσπεπτον, μάλιστα δὲ καὶ κακοστόμαχον, ἅπας ἐγκέφαλος. ἐξαπατώμενοι δὲ ἀπὸ τῆς μαλακότητος αὐτοῦ ἔνιοι διδόασιν αὐτὸν τοῖς ἀσθενοῦσιν, ὄντα πρὸς τοῖς ἄλλοις καὶ ναυτιώδη. μᾶλλον οὖν ὅταν ἐμέσαι τινὰ βουληθείης ἀπὸ τροφῆς, ἐγκέφαλον αὐτῷ δίδου λιπαρῶς ἠρτυσμένον ἐν τοῖς τελευταίοις προσενέγκασθαι. φυλάττου δὲ ἐπὶ τῶν ἀνορέκτων. μετὰ δὲ τῶν θερμαινόντων τε καὶ τεμνόντων σκευασθεὶς βελτίων ἑαυτοῦ γίνεται.

Περὶ τῶν ἐν πεζοῖς ζώοις σπλάγχνων. ρκζ'.

Τὸ μὲν ἧπαρ πάντων τῶν ζώων παχύχυμον ἐστὶ καὶ δύσπεπτον, καὶ βραδύπορον. ἄμεινον δὲ ἐν αὐτοῖς οὐκ εἰς ἡδονὴν μόνον, ἀλλὰ καὶ εἰς τὰ ἄλλα, τὰ τῶν σύκοις ξηροῖς σιτευθέντων χοίρων, καὶ διὰ τοῦτο συκωτῶν καλουμένων. ὁ δὲ σπλὴν κακόχυμος εἶναι πεπίστευται, μελαγχολικοῦ αἵματος γεννητικὸς ὑπάρχων. ἀμφοῖν δὲ εὐπεπτότερος ὁ πνεύμων, ὅσῳ καὶ ἀραιότερος, εἰς δὲ θρέψιν παμπόλλῳ τοῦ ἥπατος ἥττων. ἣν οὖν δίδωσι τροφὴν τῷ σώματι φλεγματικωτέρα μᾶλλον ἐστὶ διὰ τὸ ἐν αὐτῷ χονδρῶδες σῶμα τῆς τραχείας ἀρτηρίας. ἡ δὲ καρδία δύσπεπτος, καὶ βραδύπορος. εἰ δὲ πεφθείη τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι κακόχυμον δέ.

Περὶ κοιλίας, καὶ ἐντέρων, καὶ μήτρας ἐν τοῖς πεζοῖς ζώοις. ρκη'.

Κοιλία καὶ μήτρα, καὶ ἔντερα τὰ ἐν τοῖς πεζοῖς ζώοις σκληρότερα ἐστὶ τῶν σαρκῶν. διὸ κἂν καλῶς πεφθῇ οὐκ ἀκριβὲς αἷμα, καὶ ἄμεμπτον, ἀλλὰ ψυχρότερόν τε, καὶ ὠμότερον ἐργάζεται.

Περὶ τῆς τῶν ἀγρίων ζώων σαρκός. ρκθ'.

Ἡ σὰρξ πάντων τῶν ἐν τοῖς ὄρεσι διαιτωμένων ἐστὶ σκληροτέρα, καὶ πιμελῆς ὀλίγιστον μετέχει. διὸ καὶ ἀπέριττος ἡ ἐξ αὐτῶν ἐστὶ τροφὴ μᾶλλον τῶν ἡμέρων.

Περὶ τῆς ἀπὸ τῶν πτηνῶν ζώων σαρκός. ρλ'.

Τὸ γένος ἁπάντων τῶν πτηνῶν ζώων ὀλιγοτροφώτερόν ἐστι, εἰ παραβάλλοιτο τῷ γένει τῶν πεζῶν, καὶ μάλιστα τῶν ὑῶν. εὐπεπτοτέρα γε μὴν ἡ σὰρξ ἐστὶ τῶν πτηνῶν, καὶ μάλιστα πέρδικος, ἀτταγῆνος τε, καὶ περιστερᾶς, ἀλεκτορίδος τε, καὶ ἀλεκτρυόνος. ἡ δὲ τῶν κιχλῶν, καὶ κοσσύφων, καὶ τῶν μικρῶν στρουθίων, καὶ τῶν πυργίτων σκληροτέρα τούτων ἐστί. καὶ μᾶλλον ἔτι τούτων αὐτῶν ἥτε τῆς τρυγόνος, καὶ ἡ τῆς φάττης, καὶ τῆς νήττης. ὁμοία δὲ τῇ τῶν ἀλεκτορίδων ἐστὶ, τῶν φασιανῶν εἰς πέψιν, καὶ τροφὴν, ὑπερέχουσα κατὰ τὴν ἐδωδὴν τῇ ἡδονῇ. σκληροτέρα δὲ, καὶ δυσπεπτοτέρα καὶ ἰνωδεστέρα τούτων ἡ τοῦ ταῶνος. κοινὸν δὲ πᾶσι τοῖς πτηνοῖς ζώοις, ὥσπερ καὶ τοῖς τετράποσι γινώσκειν χρὴ τὴν τῶν ἔτ' αὐξανομένων τὴν σάρκα πολὺ βελτίονα τῆς τῶν ἀκμαζόντων εἶναι. μέσην δὲ ἀμφοῖν τὴν τῶν ἀκμαζόντων. μοχθηρὰ δὲ ἡ τῶν γεγηρακότων, καὶ ἡ τῶν νηπίων. ἡ μὲν γὰρ τῶν νέων βλεννώδης, καὶ ὑγρὰ, καὶ περιττωματικὴ, καὶ ῥᾷον ὑπέρχεται κατὰ γαστέρα. ἡ δὲ τῶν πρεσβυτέρων σκληρὰ, καὶ ξηρὰ, καὶ νευρώδης, καὶ διὰ τοῦτο πεφθῆναι μοχθηρά. ταῦτά μοι μέμνησο καθόλου περὶ τῶν ζώων πάντων. οὐ σμικρὰ δὲ διαφορὰ, καὶ τῶν ἐν λίμναις, ἢ ἕλεσιν, ἢ τελματώδεσι χωρίοις διαιτωμένων πρὸς τὰ κατ' ὄρη, καὶ ξηροὺς τόπους. ἀνάλογον γὰρ τοῖς χωρίοις καὶ αἱ σάρκες τῶν ζώων, ἤτοι ξηραὶ, καὶ ἀπέριττοι, καὶ πεφθῆναι ῥᾴους, ἢ ὑγραὶ, καὶ περιττωματικαὶ, καὶ δυσπεπτότεραι γίνονται.

Περὶ χηνῶν, καὶ στρουθοκαμήλων. ρλα'.

Περιττωματικὴ τούτων ἡ σὰρξ ἐστὶ, καὶ δυσπεπτοτέρα τῆς τῶν εἰρημένων πτηνῶν, οὐ μὴν τά γε πτερύγια τῶν εἰρημένων χεῖρον ἔχει.

Περὶ γεράνων. ρλβ'.

Ἡ δὲ τῶν γεράνων σὰρξ ὅλη σκληρὰ, καὶ ἰνώδης, πολλῷ δὲ μᾶλλον τῆς σαρκὸς αὐτῶν σκληρότερα τὰ πτερά.

Περὶ τῆς κατὰ τὰ μόρια τῶν πτηνῶν ζώων διαφορᾶς. ρλγ'.

Τὰ μὲν σπλάγχνα τὴν αὐτὴν ἀναλογίαν ἔχει πρὸς τὰς σάρκας ἐν τοῖς πτηνοῖς ζώοις ἣν καὶ ἐν τοῖς πεζοῖς ἔχειν εἴρηται. τὰ δ' ἔντερα ἄβρωτα σχεδὸν πάντων αὐτῶν ἐστί. αἱ γαστέρες δὲ αὐτῶν ἐδώδιμοί τε εἰσὶ, καὶ τρόφιμοι, καὶ τινὲς αὐτῶν καὶ ἡδεῖαι, καθάπερ ἡ τῶν χηνῶν. ἐφεξῆς δ' ἡ τῶν ἀλεκτορίδων.

τειόντων. ἐπαινοῦσι δ' ἔνιοι ψευδῶς τὴν τοῦ στρουθοκαμήλου κοιλίαν, ὥς τι φάρμακον πεπτικὸν ἔχου-
σαν. ἔνιοι δὲ πολὺ μᾶλλον ταύτης τὴν τῆς αἰθυίας γαστέρα θαυμάζουσιν. ἀλλ' οὔτε αὗται πέττονται
ῥᾳδίως, οὔτε τῶν ἄλλων σιτίων εἰσὶ πεπτικὸν φάρμακον. τὰ δὲ πτερύγια κάλλιστα μὲν τὰ τῶν εὐτρό-
φων, καὶ νέων. χείριστα δὲ τὰ τῶν ἰσχνῶν, καὶ γεγηρακότων. οἱ δ' ὄρχεις ἄριστοι, καὶ μάλιστα τῶν
σιτευθέντων ἀλεκτρυόνων. ἔτι δὲ μᾶλλον τῶν διὰ γάλακτος ὀῤῥοῦ τὰς τροφὰς προσενηνεγμένων. καὶ
γὰρ εὔχυμοι, καὶ τρόφιμοι, καὶ πεφθῆναι ῥᾷστοι. διαχώρησιν δὲ οὔτε προτρέπουσιν, οὔτε ἐπέχουσιν.
ἐγκεφάλους δὲ βελτίονας ἔχει πολλῷ τὰ πτηνὰ ζῶα τῶν ἐν τοῖς πεζοῖς, ὅσῳ καὶ ξηροτέρους, καὶ
μάλιστα τῶν ὀρείων ὀρνίθων.

Περὶ ᾠῶν. ρλδ.

Ὠὰ ἀμείνω τά τε τῶν ἀλεκτορίδων ἐστὶ, καὶ τῶν φασιανῶν. φαυλότερα δὲ τὰ τῶν χηνῶν, καὶ στρου-
θοκαμήλων. κάλλιστα μὲν οὖν εἰς τροφὴν τοῦ σώματός ἐστι τὰ τρομητὰ καλούμενα. τὰ δὲ ῥοφητὰ ἧττον
μὲν τρέφει, ῥᾷον δὲ ὑποχωρεῖ. τὰς δὲ ἐν τῇ φάρυγγι τραχύτητας διὰ κραυγὴν, ἢ χυμοῦ δριμύτητα
ἐκλεαίνει περιπλαττόμενα τοῖς πεπονθόσι τόποις, καὶ προσμένοντα, ὥσπερ τι κατάπλασμα, καὶ
τῷ τῆς ὅλης οὐσίας ἀδήκτῳ ἐκθεραπεύοντα τὰς τραχύτητας. τῷ δὲ αὐτῷ λόγῳ, καὶ τὰς κατὰ
τὸν στόμαχον, καὶ γαστέρα, καὶ κύστιν ἰᾶται τραχύτητας. ἐν ὄξει δὲ ἑψηθέντων ᾠῶν εἰ βρωθείη ξηραίνουσι
τὰ κατὰ τὴν γαστέρα ῥεύματα. καὶ εἰ μίξαις δὲ αὐτῷ τι τῶν πρὸς δυσεντερίαν, ἢ κοιλιακὴν διάθεσιν
ἁρμοττόντων, εἶτα ἐπ' ἀνθράκων τηγανίσας δοίης φαγεῖν, οὐ μικρὰ τοὺς κάμνοντας ὠφελήσεις.
ἐπιτήδεια δέ ἐστιν εἰς ταῦτα ὀμφάκιον, καὶ ῥοῦς ἐπιπαττόμενος, καὶ ἡ τέφρα τῶν κοχλίων ὅλων
καέντων, τά τε γίγαρτα τῆς σταφυλῆς, καὶ τὰ μύρτα, καὶ τὰ παραπλήσια. τὰ δὲ ἑφθὰ ᾠὰ δύσπεπτα,
καὶ βραδύπορα, καὶ τροφὴν παχεῖαν ἀναδίδωσι τῷ σώματι. τούτων δὲ μᾶλλον ἔτι βραδυπορώτερά τε,
καὶ παχυχυμότερα τὰ κατὰ θερμὴν σποδιὰν ὀπτηθέντα. τὰ δὲ ταγηνισθέντα χειρίστην ἔχει τροφὴν
εἰς ἅπαντα. καὶ γὰρ ἐν τῷ πέττεσθαι κνισσοῦται, καὶ παχὺν χυμὸν γεννᾷ, καὶ μοχθηρὸν, καὶ περιττω-
ματικόν. ἀμείνω δὲ τῶν ἑφθῶν τε καὶ ὀπτῶν ἐστι τὰ καλούμενα πηκτὰ μετ' ἐλαίου, καὶ γάρου καὶ οἴνου
βραχέος ἀναδευθέντα, καὶ ἐπὶ διπλώματος ἑψηθέντα μέχρι μετρίας συστάσεως. τὰ γὰρ ἐπι-
πλέον παχυνθέντα παραπλήσια τοῖς ἑψηθεῖσι καὶ ὀπτηθεῖσι γίνεται. τὸ αὐτὸ δὲ χρὴ ποιεῖν κατὰ
τῶν ἐπιχεομένων ταῖς λοπάσιν ᾠῶν, ἔτι ἐγχύλων ὄντων ἀπὸ τοῦ πυρὸς αἴροντες τὴν λοπάδα.

Εἰς ὅσα ὡς φάρμακον ἐνεργεῖ τὰ ᾠά. ρλε.

Ἐπὶ δυσεντερικῶν, καὶ κοιλιακῶν διαθέσεων διδόμενον τὸ ᾠὸν τῷ προειρημένῳ τρόπῳ ἄριστον φάρ-
μακον τῷ πάθει γίνεται. τὸ δὲ λευκὸν, καὶ λεπτὸν τῶν προσφάτων ᾠῶν ἀδηκτότατόν ἐστι φάρμακον
οὐ μόνον ἐπ' ὀφθαλμῶν προσαγόμενον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ὅσα τῶν ἀδηκτοτάτων δεῖται
φαρμάκων, ὡς τὰ καθ' ἕδραν τε καὶ τὰ αἰδοῖα ἕλκη, καὶ τὰ κακοήθη πάντα τοῖς ξηραίνειν ἀδήκτως
αὐτὰ πεφυκόσι μιγνύμενα, ὁποῖός ἐστιν ὁ πομφόλυξ, καὶ τὰ ὅμοια. ἔστι δὲ καὶ ἡ λέκιθος ὁμοίας δυνά-
μεως, καὶ διὰ τοῦτο μίγνυται κηρωταῖς ἀδήκτοις ἑψηθέντων, ἢ ὀπτηθέντων τῶν ᾠῶν. ὅσῳ δὲ ξηρό-
τερα γέγονε τοσοῦτον ἀπόλλυσι τοῦ παρηγορικοῦ. τὰ δὲ ὄστρακα τῶν ᾠῶν καυθέντα, ἴσχαιμον γίνεται
φάρμακον.

Περὶ τῆς ἀπὸ τῶν ἐνύδρων ζώων τροφῆς. ρλϛ.

Τῶν ἐν ὕδατι διαιτωμένων ζώων, καὶ γένη πάμπολλα, καὶ εἴδη τούτων εἰσὶ, καὶ διαφοραὶ τούτων πολ-
λαί. λεχθήσονται δὲ νῦν ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν, ὅσα πρὸς τὴν ἰατρικὴν, ἢ ὑγιεινὴν χρείαν ἐξ
αὐτῶν παραλαμβάνεται. καθόλου τοίνυν χρὴ γινώσκειν ὡς καλλίστη σάρξ ἐστιν ἰχθύων τῶν ἐν καθαρᾷ
θαλάττῃ διαιτωμένων. καὶ μᾶλλον ὅταν ὑπὸ ἀνέμων καταιγίζηται ὁ τόπος. καὶ μήτε γεώδεις αἰγια-
λοὶ, μήτε λεῖοι παραλαμβάνουσι τὸ ὕδωρ, ἀλλ' ἤτοι ψαμμώδεις, ἢ τραχεῖς, καὶ λιθώδεις. εἰ δὲ καὶ
πρὸς τὰ βόρεια τῶν πνευμάτων εἶεν οἱ τόποι ἐστραμμένοι, πολὺ βέλτιον. πρόδηλον δὲ ὡς καὶ θάλαττα
θαλάττης ἀμείνων ἐστὶ, καθόσον ἤτοι καθαρὰ τελέως ἐστὶν, ἢ δέχεται ποταμοὺς μεγάλους τε καὶ πολλούς.
οἵ τε γὰρ ἐν τῇ τοιαύτῃ θαλάσσῃ διαιτώμενοι ἰχθύες, καθόσον πλεονεκτοῦσι τῶν λιμναίων, κατὰ το-
σοῦτον ἀπολείπονται τῶν ἐν τῇ καθαρᾷ θαλάττῃ διαιτωμένων. καὶ γὰρ καὶ οἱ κατὰ τὴν σκεπεινὴν καὶ
ἀκύμονα θάλατταν διαιτώμενοι χείρονα τὴν σάρκα κέκτηνται. τῶν δὲ ἐν ταῖς λιμνοθαλάτταις διαι-
τωμένων ἰχθύων ἡ σὰρξ, μεταξύ πως τῶν ποταμίων, καὶ τῶν θαλασσίων γίνεται. περιττωματικὴ
δὲ σάρξ ἐστι καὶ βλεννώδης ἱκανῶς, τῶν ἐν ἰλυώδει, καὶ ῥυπαρῷ ὕδατι διαιτωμένων. ἔτι δὲ χείρων τῆσ-
δε, καὶ ἡ τῶν ἐν λίμναις διαιτωμένων σάρξ. εἰ δὲ καὶ σμικραί τινες αἱ λίμναι τύχοιεν οὖσαι, καὶ μήτε
ποταμοὺς μεγάλους δεχόμεναι, μήτε πηγὴν ἔχουσαι, μήτε ἀπόῤῥοιαν σαφῆ, πολὺ δή τι χείρους. εἰ δὲ
μηδὲ ὅλως ἀποῤῥεῖ τι τοῦ ὕδατος, ἀλλ' ἦ στάσιμον, ἱκανῶς μοχθηρά. τῶν δὲ ἐν ἕλεσι, καὶ τέλμασι, καὶ
ὅσα τοιαῦτα χωρία διαιτωμένων, ἐσχάτως μοχθηρὰ ἡ σάρξ. τῶν δὲ ἐν τοῖς ποταμοῖς γινομένων ἀμείνους
οἱ κατὰ τοὺς τοιούτους ποταμοὺς, ἐν οἷς ὀξὺ καὶ πολὺ τὸ ῥεῦμα. τῶν δὲ κατὰ τοὺς λιμνάζοντας ποτα-
μοὺς ἰχθύων ἡ σὰρξ οὐκ ἀγαθὴ πεφθῆναι. καὶ τὴν μὲν χρηστὴν τροφὴν ὀλιγίστην ἔχουσι. καὶ χείριστοι δὲ γί-
νονται οἱ κατὰ τὰς ἐκβολὰς τῶν ποταμῶν ὅσοι κοπρῶνας ἐκκαθαίρουσιν, ἢ βαλανεῖα, ἢ μα-
γειρεῖα, καὶ τὸν τῆς ἐσθῆτός τε, καὶ τῶν ὀθονίων ῥύπον, ὅσα τε ἄλλα τῆς πόλεως ἐστὶν, ἃ παραῤῥέουσι

καθάρσεως δεόμενα. καὶ μάλιστα ὅταν ᾖ πολυάνθρωπος ἡ πόλις. καὶ διὰ τὰς τροφὰς δὲ βελτίους γίγνονται, καὶ χείρους. ἔνιοι μὲν γὰρ εὐποροῦσι καὶ πόας καὶ ῥιζῶν χρηστῶν, καὶ διὰ τοῦτο κρείττους εἰσίν. ἔνιοι δὲ ἰλυώδη τε πόαν ἐσθίουσι, καὶ ῥίζας κακοχύμους. καὶ τινὲς αὐτῶν ὅσοι κατὰ ποταμοὺς διαιτῶνται, μεγάλην διαῤῥέοντας πόλιν, ἀποπατήματα ἀνθρώπων, καὶ τινὰς τοιαύτας προσφέρονται μοχθηρὰς τροφάς. χείριστοι δὲ οὗτοι, ὡς ἔφην εἰσί. κἂν βραχὺ πλείονι χρόνῳ διαμείνωσι μετὰ τὴν θήραν, διασήπονται παραχρῆμα, καὶ μοχθηρότατον ὄζουσιν. ἀηδεῖς δὲ καὶ βρωθῆναι πάντες οὗτοι καὶ πεφθῆναι, καὶ τὴν μὲν χρηστὴν τροφὴν ὀλιγίστην ἔχουσι, περίττωμα δὲ οὐκ ὀλίγον καὶ κακοχυμίαν ἀθροίζουσιν ἐν τοῖς σώμασι, τῶν ὁσημέραι προσφερομένων αὐτούς.

Περὶ κεφάλου. ρλζ.

Ὁ κέφαλος ἁπάντων μάλιστα τῶν ἰχθύων τοῖς ὕδασιν ἀμφοτέροις χρῆται, ποταμίοις τε καὶ θαλαττίοις. ὁ μὲν οὖν ἐν θαλάττῃ διατρίβων κέφαλος, τὰς μικρὰς καὶ πολλὰς ἀκάνθας οὐκ ἔχει. ἡδίων τέ ἐστι καὶ ἀλιπὴς ἡ τούτου σάρξ. οἱ δὲ ἐν τοῖς ποταμοῖς διατρίβοντες κέφαλοι μεστοὶ τῶν ἀκανθῶν εἰσί. λιπαροὶ δὲ κατὰ τὴν γεῦσιν, καὶ χείρους μὲν κατὰ τὴν ἐδωδὴν, χείρους δὲ καὶ πεφθῆναι. καὶ κακοστόμαχοι, καὶ κακόχυμοι, καὶ βρομώδεις. πολλῷ δὲ κρείττων ἑαυτοῦ ὁ κέφαλος γίνεται ταριχευθείς.

Περὶ λάβρακος. ρλη.

Λάβραξ τῶν πελαγίων ἐστὶ ἰχθύων, τουτέστιν τῶν εἰς τὸ βάθος ἀποχωρούντων τῆς θαλάσσης. ἡ οὖν τούτου σὰρξ, ὥσπερ καὶ τῶν ἄλλων πελαγίων ἰχθύων αἵματος λεπτοτέρου ἐστὶ γεννητική, εἰ δὲ ἐπαναβαίνει τοῖς ποταμοῖς, γίγνεται παραπλήσιος, τῷ κεφάλῳ.

Περὶ τρίγλης. ρλθ.

Καὶ αὕτη τῶν πελαγίων ἐστὶν ἰχθύων. τετίμηται δὲ ὑπὸ τῶν ἀνθρώπων, ὡς ὑπερέχουσα τῇ κατὰ τὰς ἐδωδὰς ἡδονῇ. σκληροτέραν δὲ μᾶλλον ἁπάντων τῶν ὁμογενῶν ἔχει τὴν σάρκα, καὶ ἀλιπῆ, καὶ ψαθυρὰν, καὶ διὰ τοῦτο τρέφει μᾶλλον τῶν ἄλλων ἰχθύων, ὅταν πεφθῇ καλῶς. θαυμάζουσι δὲ τινὲς τὸ ἧπαρ αὐτῆς, καὶ τὸν ἐγκέφαλον ἡδονῆς ἕνεκεν. αἱ δὲ τὰς καρκινάδας ἐσθίουσαι τρίγλαι δυσώδεις εἰσί, καὶ ἀηδεῖς, καὶ δύσπεπτοι, καὶ κακόχυμοι. διαγνώσκονται δὲ αὗται, ἔκ τε τῆς ὀσμῆς, καὶ τῆς γεύσεως, ἀλλὰ καὶ ἀναπτύξας τὴν κοιλίαν, εὑρήσεις ἐν αὐτῇ τὰς καρκινάδας. συνεχῶς δὲ ἡ τρίγλη θαλασσία ἐσθιομένη ἀμβλυωπίαν ποιεῖ.

Περὶ πετραίων ἰχθύων. ρμ.

Πετραίους ὀνομάζουσιν ἰχθύας τοὺς διατρίβοντας ἔνθα πέτραι τε εἰσὶ καὶ ἀκταί, ἄριστος δὲ ἐν αὐτοῖς ἐστὶ ἡδονῆς ἕνεκα ὁ σκάρος. μετ᾽ αὐτὸν δὲ κόσσυφοί τε, καὶ κίχλαι, καὶ μετὰ τούτους ἰουλίδες, καὶ φωκίδες, καὶ πέρκαι. τροφὴ δὲ ἐξ αὐτῶν οὐ μόνον εὔπεπτος, ἀλλὰ καὶ ὑγιεινοτάτη ἐστὶν αἷμα γεννῶσα μέσον τῇ συστάσει.

Περὶ κωβίου. ρμα.

Αἰγιάλιος ἰχθὺς οὗτός ἐστι, μικρὸς ἀεὶ διαμένων, ὥσπερ καὶ ἄλλοι τινές, ἄριστος δὲ εἰς ἡδονήν τε ἅμα καὶ πέψιν ἀνάδοσίν τε καὶ εὐχυμίαν ἐστὶν, ὁ κατὰ τοὺς ψαμμώδεις αἰγιαλοὺς, ἢ τὰς πέτρας, καὶ ἀκτάς, ὁ δὲ ἐν τοῖς στόμασι τῶν ποταμῶν, ἢ λίμναις, οὐδ᾽ ἡδὺς ὁμοίως ἐστὶν οὔτε εὔχυμος, οὔτε εὔπεπτος, εἰ δὲ καὶ μοχθηρὸν τὸ ὕδωρ εἴη, χείριστος καὶ ὁ κατ᾽ αὐτὸ κωβιὸς γίγνεται. λευκῷ δὲ ζωμῷ ἑψόμενος ὡς τακερωθῆναι τούτου. καὶ πινόμενος ὁ ζωμὸς, κοιλίαν ὑπάγει. ὀπτὸς δ᾽ αὖ δι᾽ ἁλῶν ἐσθιόμενος τὰς τεινεσμώδεις προθυμίας ἰᾶται.

Περὶ μαλακοσάρκων. ρμβ.

Τῶν δὲ μαλακοσάρκων καλουμένων εἰσὶν ὀνίσκοι, καὶ μύραιναι, βούγλωτταί τε καὶ ψῆτται. καὶ τούτων δ᾽ ἔνιοι μὲν, ἐν ποταμοῖς καὶ λίμναις γίγνονται. ἔνιοι δ᾽ ἐν θαλάττῃ. διὰ τοῦτο ποτὲ μὲν ἥδιστοι καὶ τρόφιμοι εὑρίσκονται, ποτὲ δὲ μοχθηροὶ καὶ κακόχυμοι.

Περὶ σκληροσάρκων. ρμγ.

Τῶν σκληροσάρκων ἰχθύων εἰσὶ δράκοντες, καὶ κόκκυγες, καὶ σκορπίοι, ὀρφοί τε καὶ γλαῦκοι, γόγγροι τε, καὶ φάγροι, καὶ ἀμίαι, καὶ οἱ μικροὶ θυννοι, καὶ πηλαμίδες. δυσκατεργαστότεροί τε τῶν μαλακοσάρκων εἰσὶ, καὶ παχέος χυμοῦ γεννητικοὶ, καὶ διὰ τοῦτο ἰσχυροτέρας γαστρὸς δεόμενοι εἰς πέψιν.

Περὶ ὀστρακοδέρμων. ρμδ.

Κήρυκες καὶ πορφύραι, καὶ τὰ λοιπὰ ὄστρεα καὶ χῆμαι καλεῖται ὀστρακόδερμα. κοινὸν μὲν οὖν ἁπάντων τῶν τοιούτων, ἁλυκὸν ἔχειν χυμὸν ἐν τῇ ἰδίᾳ σαρκὶ, καὶ λαπακτικὸν τῆς ἡμετέρας γαστρὸς, ἐν ἑκάστῳ δὲ αὐτῶν παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἡ τοιαύτη ἐνέργεια ἐστί, τὰ μὲν γὰρ ὄστρεα μαλακωτάτην ἔχει τῶν ἄλλων τὴν σάρκα καὶ μᾶλλον ὑπάγει τὴν γαστέρα. καὶ χωρὶς ἑψήσεως ἐσθίουσιν αὐτὰ τινές. τὰ δὲ σμικρὰ χημία, καὶ πορφύραι καὶ κήρυκες, καὶ τὰ τοιαῦτα σκληρὰν, καὶ δυσπεπτοτέραν ἔχει τὴν σάρκα, καὶ ἧττον ἐκείνων ὑπέρχεται κατὰ κοιλίαν. ὥσπερ δὲ δύσπεπτον ἔχει τὴν σάρκα τὰ σκληρόσαρκα, οὕτω καὶ δύσφθαρτα. διὰ τοῦτο διδόασιν αὐτὰ πολλάκις τοῖς διαφθείρουσιν ἐν τῇ κοιλίᾳ τὴν τροφὴν ὑπὸ κακοχυμίας, ἑψῶντες καὶ ἀποχέοντες δὶς, καὶ τρὶς τὸ ὕδωρ ἄχρις ἀποθῆται τὴν ἁλυκὴν ποιότητα. γίγνεται δὲ οὕτω σκευασθέντα, καὶ σταλτικὰ γαστρός. εἰ δ᾽ ἑψήσας ἀποχέοις τὸ πρῶτον ὕδωρ, εἶτ᾽ ἀρτύσας ἅλσιν ἢ γάρῳ μάλιστα, δοίης πιεῖν τὸν ζωμὸν, ὑπαχθήσεται τοῦ πιόντος ἡ γαστὴρ ἱκανῶς.

Περὶ μαλακοστράκων. ρμε.

Ἀστακοὶ καὶ πάγουροι, καρκῖνοί τε καὶ κάραβοι, καὶ καρίδες, ὅσα τ᾽ ἄλλα λεπτὸν μὲν ἔχουσι τὸ περιέχον

ὄστρακον

ὄστρακον. σκληρὸν δὲ ἧττον ἐκείνων ἔχει χυμὸν τὸν ἁλυκὸν, ἔχει δ' οὖν ὅμως οὐκ ὀλίγον. ἔστι δὲ σκληρόσαρκα πάντα καὶ δύσπεπτα καὶ τρόφιμα προσενεχθέντα δηλονότι. ἔστι δὲ καὶ τούτων ἡ σὰρξ ὥσπερ καὶ τῶν ὀστρέων ἐπισχετικὴ τῶν κατὰ τὴν κοιλίαν, ὅταν ἀποτεθῇ τὸν χυμὸν προσενεχθέντα, καὶ τοίνυν καὶ ταῦτα δύσφθαρτα ἐστὶν ὁμοίως.

Περὶ μαλακίων. ρμς.

Μαλάκια καλεῖται τὰ μήτε λεπίδας ἔχοντα, μήτε τραχὺ, μήτε ὀστρακῶδες τὸ δέρμα, ἀλλὰ μαλακόν. ἔστι δὲ τοιαῦτα, πολύποδές τε καὶ σηπίαι, καὶ τευθίδες, ὅσα τε τούτοις ἔοικε. σκληρόσαρκα δὲ ταῦτα ἐστὶ, καὶ δύσπεπτα, καὶ βραχὺ ἔχοντα ἐν ἑαυτοῖς τὸν ἁλυκὸν χυμόν. εἰ μέν τι πεφθείη, τροφὴν οὐκ ὀλίγην δίδωσι τῷ σώματι. πλεῖστον οὖν καὶ ταῦτα τὸν ὠμὸν χυμὸν ἐργάζεται.

Περὶ σελαχίων. ρμζ.

Τραχὺ καὶ λάμπον ἐν τῇ νυκτὶ τὸ δέρμα τῶν τοιούτων ζώων ἐστί. διὸ καὶ τινὲς ἀπὸ τοῦ σέλας ἔχειν ὀνομάζεσθαι οὕτω φασὶν αὐτά, μαλακὴν δὲ ἔχει ἐν αὐτοῖς σάρκα. νάρκαι τε καὶ ῥινῶν, ὑπιοῦσαν τε μετρίως κατὰ γαστέρα, καὶ πέπτεται μὲν οὐ χαλεπῶς. τρέφει δὲ οὐ μετρίως.

Περὶ ἐχίνων θαλαττίων. ρμη.

Δι' οἰνομέλιτος αὐτοὺς προσεσθίουσι τινὲς, καὶ διὰ γάρου γαστρὸς ὑπαγωγῆς ἕνεκα, καὶ λοπάδας δὲ αὐτῶν σκευάζουσιν. ἔστι δὲ τῶν ὀλιγοτρόφων ἐδεσμάτων. καὶ μέσων τῇ κατὰ τὸ παχύνειν καὶ λεπτύνειν τοὺς χυμοὺς δυνάμει.

Περὶ τῶν ταριχευομένων πάντων ζώων πεζῶν τε καὶ πτηνῶν καὶ ἐνύδρων. ρμθ.

Οὐ σμικρὰ διαφορὰ τῶν ταριχευομένων σαρκῶν ἐστὶ, ἐν τῷ ταριχεύεσθαι τινὰς τούτων. ὅλῳ γὰρ τῷ παντὶ διαλλάττουσιν. ὡς πολλάκις ὑγροῦ τῇ κράσει ζώου ταριχευθεῖσαν σάρκα ξηραντικωτέραν εἶναι μακρῷ τῆς φύσει ξηρᾶς ἀταριχεύτου. ἐπιτήδεια μὲν οὖν ἐστὶ πρὸς ταριχείαν σώματα ζώων, ὅσα σκληράς τε ἅμα καὶ περιττωματικὰς ἔχει τὰς σάρκας. τὰ δὲ ἤτοι πάνυ μαλακὴν, ἢ πάνυ σκληρὰν, ἢ ξηρὰν, καὶ ἀπέριττον ἔχοντα τὴν ἕξιν τοῦ σώματος, οὐκ ἐπιτήδεια ταριχεύεσθαι. ὥσπερ γὰρ ξηρὰ σώματα βύρσαις ὅμοια γίνεται ταριχευθέντα, οὕτως ὅσα λίαν ὑγρὰ διαρρεῖ, καὶ τήκεται τοῖς ἁλσὶν ὁμιλοῦντα. πρόδηλον οὖν ὡς ὅσα σκληρὰ, καὶ νευρώδη, καὶ οἱονεὶ δερματώδη, καὶ βυρσώδη, ταριχευθέντα γίνεται δύσπεπτα πάντα. τὰ δ' εὔθετα εἰς ταριχείαν λεπτομερῆ γίνεται. καὶ λεπτύνει ἐσθιόμενα τοὺς παχεῖς, καὶ κολλώδεις χυμούς, τὰ δὲ παλαιὰ πάντα ταρίχη μοχθηρά.

Περὶ γάρου. ρν.

Γάρος δυνάμεως ἐστὶν ἱκανῶς θερμῆς, καὶ ξηρᾶς. καὶ διὰ τοῦτο πρός τε τὰ σηπεδονώδη τῶν ἑλκῶν ἐχρήσαντο τινὲς αὐτῷ τῶν ἰατρῶν. ἐνίασι τε αὐτὸν καὶ τοῖς δυσεντερικοῖς καὶ τοῖς ἰσχιαδικοῖς.

Περὶ ἅλμης. ρνα.

Ἅλμη ταριχηρῶν ἰχθύων ὁμοίως τῷ γάρῳ πρὸς τὰ σηπεδονώδη τῶν ἑλκῶν ἁρμόζει, καὶ ἰσχιάδας, καὶ δυσεντερίας ἐνιεμένη. τῇ γὰρ δριμύτητι τοὺς μὲν τὸ ἰσχίον ἐνοχλοῦντας χυμοὺς ἐπισπᾶται. καὶ διὰ τῶν ἐντέρων ἐκκενοῖ. τὰ δὲ σηπεδονώδη τῶν ἑλκῶν ἐν τῇ δυσεντερίᾳ περικλύζει τε καὶ ξηραίνει. μάλιστα δὲ τῇ τῶν ταριχηρῶν σιλούρων, καὶ τῇ τῶν μαινίδων ἅλμῃ πρὸς τὰ τοιαῦτα κέχρηνται τινὲς τῶν ἰατρῶν. καὶ ἡμεῖς δ' ἐπὶ τῶν ἐν στόματι σηπεδονωδῶν ἑλκῶν ἐχρησάμεθα. τῇ δὲ τῶν κολυμβάδων ἐλαιῶν ἅλμῃ συνεχῶς χρώμεθα ἐπὶ δυσεντερικῶν, προενιέντες αὐτὴν πρὸ μιᾶς ὥρας τῶν ἐσχαρωτικῶν ἐνεμάτων, πρὸς τὸ προκαθαίρειν τὰ ἕλκη.

Περὶ πιμελῆς καὶ στέατος. ρνβ.

Ἁπάσης πιμελῆς δύναμις ἐστὶν ὑγραντική τε, καὶ θερμαντικὴ τῶν ἀνθρωπίνων σωμάτων. αἱ δὲ καθ' ἕκαστον αὐτῶν διαφοραὶ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττόν εἰσι. διαφέρει δὲ πιμελὴ στέατος τῷ πάχει, διότι τοῖς γεωδεστέραν ἔχουσι τὴν ὅλην φύσιν ζώοις, τὸ στέαρ γίνεται. καθάπερ τοῖς ὑγροτέροις, ἡ πιμελή, διὰ τοῦτο τοιγαροῦν ἡ μὲν πιμελὴ τήκεται ῥᾳδίως ὑπὸ πυρὸς, οὐ ῥᾳδίως δὲ πήγνυται. τὸ δὲ στέαρ οὐ τήκεται ῥᾳδίως, κἂν παγῇ, φαίνεται πολὺ σκληρότερον τῆς πιμελῆς. ὑγροτάτη δὲ ἡ τῶν ὑῶν πιμελὴ σχεδὸν ἁπάντων τῶν ζώων ἄλλων, μαλακτικωτέρα δὲ ἐλαίου, καὶ πεπτικωτέρα. καὶ διὰ τοῦτο τοῖς πρὸς τὰς φλεγμονὰς καταπλάσμασι μίγνυται. τοῖς δὲ δακνωμένοις κατὰ τὸ ἀπευθυσμένον ἢ τὸ κῶλον, καὶ ἐπὶ δυσεντερικῶν, καὶ τεινεσμωδῶν προθυμιῶν, αἴγειον μᾶλλον ἐνίεμεν στέαρ, οὐχ ὅτι ἀμβλυντικὸν ἐστὶ δριμύτητος, ἀλλ' ὅτι πήγνυται ῥᾳδίως διὰ πάχος. τὸ γὰρ ὕειον ἀπορρεῖ ὥσπερ τὸ ἔλαιον. τὸ δὲ χήνειον στέαρ ἔστι μὲν τοῦ ὑείου θερμότερον. ἔστι δὲ καὶ λεπτομερὲς πάνυ. καὶ διὰ τοῦτο ἐνίεμεν αὐτὸ ἐπὶ τῶν κατὰ τὸ βάθος τῶν σωμάτων δακνωμένων. τῇ γὰρ λεπτομερείᾳ διέρχεται ὅλα τὰ σώματα. καὶ πᾶσι τοῖς δάκνουσι κεραννύται ἰχῶρσι, καὶ ἀμβλύνει τὴν δῆξιν. μεταξὺ δὲ τοῦ ὑείου καὶ τοῦ χηνείου, τὸ τῶν ἀλεκτορίδων καὶ ἀλεκτρυόνων ἐστί. τὸ δὲ τῶν ταύρων, πολὺ θερμότερον, καὶ ξηρότερον ἐστὶ τῆς τῶν ὑῶν πιμελῆς. τὸ δὲ μόσχειον ἀπολείπεται τοῦ τῶν ταύρων, θερμότητί τε, καὶ ξηρότητι. ὁμοίως καὶ τὸ τῶν ἐρίφων ἀπολείπεται τοῦ τῶν αἰγῶν, καὶ τῶν τράγων. αὐτὸ δὲ πάλιν τὸ τῶν τράγων ἀπολείπεται τοῦ τῶν λεόντων. διαφορητικώτατον γὰρ τὸ τῶν λεόντων, καὶ λεπτομερέστατον ἐστὶ σχεδὸν ἁπάντων τῶν ἐν τοῖς τετράποσι. ὅθεν οἰκείοις χρονίοις ἐσκλη

ἐρυμμένοις καὶ ἀγκύλαις προσαγόμενον, διαφορητικώτατόν ἐστι. τὸ δὲ τῶν ταύρων ἐν τῷ μέσῳ τέ-
τακται τοῦ τε τῶν ὑῶν, καὶ τῶν λεόντων. καὶ διὰ τοῦτο ἑκατέρῳ γένει μίγνυται τῶν φαρμάκων,
τοῖς τε τὰ σκιρρώδη θεραπεύουσι, καὶ τοῖς τὰ φλεγμαίνοντα πέττουσιν, ὁποῖόν ἐστι τὸ τετραφάρ-
μακον, καὶ βασιλικὸν καλούμενον. τὸ δὲ τῶν ἐχιδνῶν στέαρ φασί τινες ἁρμόζειν ἐπὶ ἀρχὰς ὑπο-
χύσεων. τὸ δὲ τῶν ἄρκτων στέαρ ἀλωπεκίαις ἁρμόττειν ἀληθῶς ἔγραψαν. ἔνιοι δὲ ἰχθύων ἐπαινοῦσι
στέαρ πρὸς ὑποχύσεις καὶ ὠταλγίας, καὶ φασὶ παντὸς ἰχθύος στέαρ ταῦτα ποιεῖν δύνασθαι. χρο-
νίζον δὲ ἅπαν θερμότερον αὐτὸ γίνεται καὶ λεπτομερέστερον, καὶ διὰ τοῦτο καὶ διαφορητικώτερον.
ὑπάρχει δὲ τοῦτο ἅπασι τοῖς χρονίζουσιν ὅσα γε μὴ φθάνει σαπῆναι. κεφάλαιον δὲ ἐστι τοῦ λόγου τοῦδε
κοινόν, οὗ μεμνῆσθαι χρὴ κατὰ τὴν τῶν ζώων κρᾶσιν ἀεί. ἡ διαφορὰ τῆς ἐν αὐτοῖς γινομένης πιμελῆς
10 ἢ στέατος κατὰ τὴν διαφορὰν τοῦ γένους. τὸ μὲν γὰρ ἄρρεν τοῦ θήλεος ἀεὶ ξηρότερόν ἐστι, καὶ θερμό-
τερον. τὸ δὲ εὐνουχισθὲν ἄρρεν, ὅμοιον τῷ θήλει, καθάπερ καὶ τὸ νέον ἅπαν. οὕτω δὲ καὶ τὸ ἄγριον τοῦ
ἡμέρου, θερμότερον καὶ ξηρότερον.

Περὶ μυελοῦ. ρνγ.

Πᾶς μυελὸς μαλακτικῆς τῶν σκληρυνομένων τε καὶ σκιρρουμένων σωμάτων ἐστὶ δυνάμεως, εἴτ' οὖν
μύες, εἴτε τένοντες, εἴτε σύνδεσμοι τοῦτο πάσχοιεν, εἴτε σπλάγχνα. μάλιστα δὲ ἐπειράθην ἀεὶ τοῦ τῶν
ἐλάφων. ἐφεξῆς δὲ αὐτῷ τοῦ τῶν μόσχων. ὁ δὲ τῶν ταύρων, καὶ τράγων δριμύτερός ἐστι, καὶ ξηραντι-
κώτερος. καὶ διὰ τοῦτο οὐ δύναται διαλύειν σκληρότητας σκιρρώδεις. ἐκ δὲ τῶν περὶ στέατος εἰρη-
μένων, καὶ περὶ μυελοῦ τεκμαίρεσθαι χρὴ περὶ τῶν ὑπολοίπων μεθόδων.

Περὶ πνεύμονος. ρνδ.

Πνεύμων ἄρνειος καὶ χοίρειος καιόμενοι καὶ λεῖοι ἐπιτιθέμενοι τὰ ἐξ ὑποδημάτων παρατρίμ-
20 ματα ἰῶνται. ὁ δὲ τῆς ἀλώπεκος πνεύμων σκελετευθεὶς καὶ λεῖος κατὰ βραχὺ πινόμενος, τοὺς
ἀσθματικοὺς ἰᾶσθαι πεπίστευται.

Περὶ κεφαλῶν. ρνε.

Κεφαλὰς μαινίδων ταριχηρὰς καίων τις ἐχρῆτο πρὸς τὰς ἐν ἕδρᾳ ῥαγάδας, καὶ τὰ σηπόμενα τῶν
ὀδόντων οὖλα, καὶ πρὸς γαργαρεῶνα ἐσκιρρωμένον. ἡ δύναμις δὲ αὐτῶν ξηραντική ἐστι, οὐ πάνυ
δριμεῖα. ἕτερος δὲ κεφαλὴν ὅλην λαγωοῦ καίων ἐχρῆτο πρὸς ἀλωπεκίας μετὰ στέατος ἀρνείου. αἱ
δὲ τῶν ἐχιδνῶν κεφαλαὶ καιόμεναι ἐν χύτρᾳ ὡς τεφρωθῆναι, εἶτα λειούμεναι μετὰ ἀφεψήματος
παχυτάτου θέρμων πικρῶν, καὶ ἐπιχριόμεναι τοῖς κροτάφοις, ῥεῦμα ὀφθαλμῶν πολυχρόνιον
ἵστησιν. ἡ δὲ τέφρα αὐτῶν καθ' ἑαυτὴν λειοτάτη γινομένη, καὶ ὡς ξηροκολλύριον προσφερομένη,
ἀμβλυωποῦντας μεγάλως ὠφελεῖ.

Περὶ κεράτων. ρνϛ.

Κέρασιν ἐλάφου, καὶ αἰγὸς κεκαυμένοις, πολλάκις ἐχρησάμεθα εἴς τε τὸ λαμπρύνειν τοὺς ὀδόντας,
30 καὶ προστέλλειν τὰ οὖλα τὰ πλαδαρά. φασὶ δὲ ὡς τὸ τῆς ἐλάφου κέρας μετὰ τὸ πλυθῆναι εἰ καυ-
θείη, δυσεντερίαν καὶ πτύσιν αἵματος, καὶ τὰς καλουμένας κοιλιακὰς διαθέσεις ἐκθεραπεύει. καὶ
ἰκτερικοῖς δίδοται ὠφελίμως. ἐπὶ πάντων δὲ δίδοται κοχλιαρίων δύο τὸ πλῆθος. μίγνυται
δὲ κεκαυμένον, καὶ πεπλυμένον, καὶ κολλυρίοις ὀφθαλμικοῖς τοῖς πρὸς τὰ ῥεύματα τῶν ὀφθαλ-
μῶν. ἔστι δὲ τῶν τοιούτων κολλυρίων ἡ δύναμις ξηραντική. τὸ δὲ τῆς αἰγὸς κέρας φασὶ ποιεῖν, ἐπί τε
κνησμονῆς τοῦ σώματος, καὶ τὰ ψωρώδη ἕλκη σμώμενον.

Περὶ ὀνύχων. ρνζ.

Ὄνυχας αἰγῶν ἔνιοι καίοντες, εἶτα τὴν τέφραν ὄξει δεύσαντες, ἀλωπεκίας καταχρίουσιν. ἔστι δὲ λε-
πτυντικῆς δυνάμεως. οἱ δὲ τοὺς τῶν ὑῶν ὄνυχας καίοντες, τοῖς κωλικοῖς τὴν τέφραν ἐν ποτῷ διδόα-
σιν. ἔνιοι δὲ τοὺς τῶν ὄνων ὄνυχας καυθέντας ἐπιληπτικοὺς φασὶ θεραπεύειν πινομένους συνεχῶς.
40 ἐλαίῳ δὲ φυραθέντας, χοιράδας διαφορεῖν. μετὰ γάλακτος δὲ γυναικείου λειωθεῖσαν τὴν αὐτῶν τέ-
φραν εὖ μάλα, καὶ ἀναπλασθεῖσαν εἰς κολλύριον, τὰς ἐν ὀφθαλμοῖς οὐλὰς σμήχειν, σὺν γάλακτι
ἐγχριομένην.

Περὶ τῶν ἐν τοῖς ποσὶ τῶν ἵππων λειχήνων. ρνη.

Λειχῆνας ἵππων λειωθέντας σὺν ὄξει καὶ ποθέντας, ἐπιληψίαν ἰᾶσθαι φασίν, ἔνιοι δὲ καὶ πρὸς παντὸς
θηρίου δῆγμα κελεύουσιν αὐτοῖς χρῆσθαι.

Περὶ ἐρίων ῥυπαρῶν, καὶ καθαρῶν κεκαυμένων. ρνθ.

Ἔρια ῥυπαρὰ καὶ οἰσυπηρὰ καλούμενα χρησίμως παραλαμβάνεται ἐπὶ τῶν τεθλασμένων, ἢ ὁ-
πωσοῦν πεπληγότων μορίων εἰς τὰς ἐπιβροχὰς συνεργοῦντα εἰς τὴν ὠφέλειαν διὰ τὸν ῥύπον.
ὅπως δὲ χρὴ ἐκ τούτων συνάγειν τὸν οἴσυπον, ἤδη προείρηται ἐν τῷ περὶ τοῦ τῶν προβάτων ῥύπου
τόπῳ. ἐν τῷδε τῷ λόγῳ, τὰ δὲ πεπλυμένα ἔρια, ὕλη τις ἐπιτήδειος γίνεται πρὸς τὸ δέχεσθαι τὰ
50 μόρια τὰς ἐπιβρεχομένας ὑγρότητας. καυθέντα δέ, δύναμιν ἔχει δριμεῖαν τε ἅμα καὶ θερμήν,
ἅμα λεπτομερεῖ, ὡς καὶ τὰς πλαδαρὰς σάρκας τὰς ἐπὶ τῶν ἑλκῶν, ἀποτήκειν τάχιστα. βάλλε-
ται δὲ καὶ εἰς φάρμακα ξηραντικά. καίε δὲ αὐτὰ χύτραν καινὴν πληρῶν, εἶτα πωμάζων ὀπὰς
πλείονας ἔχοντι τῷ πώματι.

Τρίχες κεκαυμέναι. ρξ.

Παραπλησίως τοῖς κεκαυμένοις ἐρίοις, θερμαντικῆς τε καὶ ξηραντικῆς δυνάμεως εἰσίν.

Ὀστέα κεκαυμένα. ρξα'.

Ὀστᾶ κεκαυμένα διαφορητικῆς τε καὶ ξηραντικῆς ἐστι δυνάμεως ἅπαντα. μάλιστα δὲ φασὶν ἔνιοι δύνασθαι τὰ τῶν ἀνθρώπων τοῦτο ποιεῖν. τόν γε μὴν ὕειον ἀστράγαλον κεκαυμένον, εἶτα πινόμενον, ἐμπνευματώσεις καὶ στρόφους ἔφασαν θεραπεύειν. ἔγνων δ' ἔγωγε τινὰ τῶν καθ' ἡμᾶς ἀνθρώπων, ὀστᾶ κεκαυμένα ποτίζοντα, μὴ γινωσκόντων τῶν πινόντων, ἔτι πίνοιεν, ὅπως μὴ μυσάττοιντο. πολλῶν ἐπιληψίαν τε, καὶ ἀρθρῖτιν τεθεραπευκέναι.

Περὶ δερμάτων. ρξβ'.

Δέρμα προβάτου τοῦ νεωστὶ ἐκδεδαρμένου, περιτεθὲν τοῖς μεμαστιγωμένοις, ἐναργῶς ὠφελεῖ παντὸς ἑτέρου μᾶλλον, ὡς ἐν ἡμέρᾳ καὶ νυκτὶ μιᾷ θεραπεύειν αὐτούς. συμπέπτει γὰρ καὶ διαφορεῖ τὰ ὕφαιμα. δέρμα ὑαίνης τινὲς ἐναποκείμενον ἐν οἴκῳ, ἔχοντες τῆς χρείας καλούσης, ἐμβάλλουσιν αὐτὸ τοῖς ὑπὸ λυσσῶντος κυνὸς δεδηγμένοις. κωλύει γὰρ ἰδιότητί τινι περιπεσεῖν τὸν δηχθέντα τῷ ὑδροφοβικῷ πάθει. καὶ τοῖς ἤδη πεπτωκόσι τῷ πάθει βοηθεῖ. δέρματα δὲ παλαιὰ μάλιστα τῶν καττυμάτων καέντα, τῆς τέφρας αὐτῶν λειοτάτης ἐπιπαττομένης, παρατρίμματα ἐξ ὑποδημάτων τὰ μὴ φλεγμαίνοντα, ἰᾶται. τὰ γὰρ φλεγμαίνοντα παροξύνει.

Περὶ αἰθύης. ρξγ'.

Αἰθύης κοιλίαν φρυχθεῖσα, καὶ μετὰ λείοις ἁλσὶ μιχθεῖσαν εὐπεψίαν παρέχειν φασὶ τοῖς ἀπέπτουσι.

Περὶ ἀλωπέκων. ρξδ'.

Ἀλώπεκας τινὲς ζώσας ἐν ἐλαίῳ ἑψοῦντες, θεραπεύουσιν ἀρθριτικούς, πυέλους γὰρ τοῦ ἐλαίου θερμοῦ πληροῦντες, οὕτως ἐμβιβάζουσιν αὐτοῖς ὅλους τοὺς ἀρθριτικοὺς ἐνδιατρίβειν χρόνῳ συχνῷ κελεύοντες. διαφορητικώτατον δὲ γίγνεται τὸ τοιοῦτον ἔλαιον, ὥστε αὐτὸ ἐπὶ τὴν ἐπιφάνειαν ἕλκειν τὰ ἐν τῷ βάθει τῶν σωμάτων περιεχόμενα, καὶ κατὰ τοῦτο τὰς ὀδύνας ποιοῦντα, ἢ διὰ πάχος τῆς οὐσίας, ἢ διὰ τὴν ψύξιν, ἢ δριμύτητα σφοδράν, ἢ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον. ἐκ τούτου γὰρ συνέβαινεν οὐ μόνον τοὺς αὐτοὺς τοῖς ἄρθροις αὐτῶν ὄγκους, ἀλλὰ καὶ τὸ σύμπαν σῶμα πληθωρικῶς διακείμενον κενοῦσθαι. καὶ διὰ τοῦτο μεγίστην ὠφέλειαν ἐπακολουθεῖν. τῶν μὲν ἐν τοῖς ἄρθροις περιεχομένων αἰτίων διαφορουμένων, μηδενὸς ἔτι ἐπιρρέοντος τοῖς πεπονθόσι μορίοις, ἀπερίττου τοῦ σώματος παντὸς γινομένου. ἀφυλάκτως δὲ διαιτωμένοις αὖθις ἄρχεται μὲν τὸ πάθος, οὐ μὴν οὕτω σφοδρὸν ὡς ἔμπροσθεν. καὶ γὰρ ἀπαθοῦς ὄντος ἔμπροσθεν τοῦ σώματος ἡ μοχθηρὰ δίαιτα τὸ πάθος εἰργάσατο. τὸ αὐτὸ δὲ ποιεῖ καὶ ὕαινα ὅλη τῷ ἐλαίῳ, ὥσπερ ἡ ἀλώπηξ ἑψωμένη.

Ἀράχνης ὑφάσματα. ρξε'.

Γεγράφασι τινὲς ἀφλέγμαντα φυλάττειν τὰ ἐπιπολῆς ἕλκη.

Περὶ βατράχων. ρξϛ'.

Βάτραχοι λιμναῖοι ὕδατι ἑψηθέντες καὶ ἁλσὶ συμμέτροις, καὶ ἐλαίῳ βραχεῖ ἀρτυθέντες, τοῖς δηχθεῖσιν ὑπὸ ἰοβόλων ἑρπετῶν, ἄκος μέγα γίνεται, πινομένου τοῦ ζωμοῦ. ἄλλο. βάτραχος σὺν ἐλαίῳ ἑψηθεὶς, καὶ καταιονουμένου τοῦ ἐλαίου, παύει πολυχρονίους ὀδύνας τενόντων. καὶ ἀρθριτικοὺς παρηγορεῖ, καὶ σκληρίας μαλάττει. βατράχου καυθέντος ἡ σποδὸς ἐπιπασσομένη κατὰ μήνιγγος τρωθείσης, ἢ φλεβὸς ῥαγείσης ἵστησι τὴν αἱμορραγίαν.

Περὶ γαλῆς. ρξζ'.

Γαλῆν σκελετευθεῖσαν, καὶ πινομένην φασὶν ἰᾶσθαι ἐπιληπτικούς, ὅλης δὲ ζώσης ἐν χύτρᾳ καυθείσης, τὴν τέφραν χοιράδας ἰᾶται σὺν μέλιτι, ἢ τερεβινθίνῃ, ἢ βουτύρῳ ἐπιτιθεμένη.

Περὶ γῆς ἐντέρων. ρξη'.

Γῆς ἔντερα λειωθέντα, καὶ νεύροις διῃρημένοις ἐπιτιθέμενα, παραχρῆμα θαυμαστῶς συνίησιν. καὶ πᾶσαν δὲ τὴν ἀπὸ σιδήρου ἢ λίθου, ἢ ἑτέρου τινὸς πληγὴν κολλᾷ. καὶ μάλιστα ἐν τοῖς νευρώδεσι καὶ δυσκολλήτοις μορίοις, ἢ ῥισίν, ἢ ὠσί, καὶ τοῖς ὁμοίοις. δεῖ δὲ αὐτὰ λειοῦν μετὰ τῆς γῆς ἐν ᾗ εὑρίσκεται, εἰ μὴ δριμείας ἢ ἁλυκῆς μετέχει ποιότητος. πινόμενα δὲ τὰ τῆς γῆς ἔντερα, ὅσον ε' ἢ ζ' σὺν γλυκεῖ, οὔρησιν κινεῖ. καὶ ἑλμίνθων γένος ἅπαν ἐκβάλλει, ὁμοίως πινόμενα, ἢ ὡς βούλει. τὴν δὲ πλατεῖαν ἕλμινθα, ἐκβάλλει μετ' ὀξυμέλιτος πινόμενα, καὶ ἴκτερον δὲ τὸν δυσίατον ἐκκαθαίρει δι' οὔρων ὁμοίως μετὰ γλυκέος πινόμενα, ζ'. καὶ καθ' ἑαυτά, καὶ μετὰ σμύρνης σταγονίτιδος, ὅσον ἐρεβίνθου μέγεθος, χρῶ θαρρῶν. ἐν ἐλαίῳ δὲ ῥοδίνῳ ἑψηθέντα, ὤτων ἀλγήματα θεραπεύει ἐγχεομένου τοῦ ἐλαίου θερμοῦ. χρὴ δὲ εἶναι γῆς μὲν ἐντέρων δραχμὰς ἕξ. ῥοδίνου δέ, λι. α'. καὶ ὀδόντων δὲ ὀδύνας παύει, τῷ κατὰ μῆλον τοῦ ὀδυνωμένου ὀδόντος ὠτὶ ἐγχεόμενον τὸ ἔλαιον θερμόν. καὶ ὑποθυμιώμενα δὲ ἐπ' ἀνθράκων, παύει τὰς ὀδύνας τῶν ὀδόντων, δεχομένου τοῦ κάμνοντος τὸν καπνὸν διὰ χώνης, εἰς τὸν ὀδυνώμενον ὀδόντα. μύλην δὲ ἄρσεως δεομένην, αἴρει χωρὶς ὀδοντάγρας, κεκαυμένα λεῖα, καὶ ἐπιπασσόμενα κατὰ τὸν κύκλον τοῦ ὀδυνωμένου ὀδόντος. δεῖ δὲ προπεριχαράσσειν ἀκριβῶς. ἡ δὲ τέφρα τῶν ἐπ' ὀστράκου καυθέντων ἀκριβῶς γῆς ἐντέρων λειοτάτη προσαγομένη ὡς ξηροκολλύριον, μεγάλως βοηθεῖ ταῖς ἀρχομέναις ὑποχύσεσι. καὶ τοῖς τριχιῶσι βλεφάροις βοηθεῖ, προεκτιλλομένων ἡμῶν τὰς περιττὰς τρίχας, ἔπειτα ἐπιπαττόντων διὰ μήλης τοῖς τόποις τῆς τέφρας αὐτῶν. κωλύει γὰρ τὴν τῶν παρὰ φύσιν τριχῶν παλιγγενεσίαν. λεῖα δὲ ζ' πινόμενα μετὰ οἰνομέλιτος νήστει αὐτῷ ἡμέρας πλείους, λίθους τοὺς ἐν κύστει θρύπτει, καὶ κατὰ βραχὺ ἐξουρεῖσθαι ποιεῖ. τὰ δ' ἐν τοῖς ἀποστήματα ῥύσει, καὶ πρὸς τὴν δια-

χώρησιν ἄγει ποθέντα, ζ', ἢ θ', πρὸς δύναμιν λεῖα ἐν ὕδατος κυάθοις γ'. εἰ δέ τις αὐτὰ ἐναποκείμενα ἐν μέλιτι φυλάττει λεῖα, ἕξει βοήθημα κάλλιστον σκορπιοπλήκτοις. οὔρων δὲ συστροφὰς λύει, ἃς καλοῦμεν γαγγλία, καταπασσόμενα καθ᾽ ἑαυτὰ λεῖα, καὶ τὰς ἐν μασθοῖς ἀποστάσεις, αὐτὰ καθ᾽ ἑαυτὰ καταπλασσόμενα. πυοποιεῖ γὰρ ἐπιπασσόμενα, ῥήσσει, ἐπουλοῖ, ὠφελεῖ, καὶ ἐρυσιπέλατα κεκαυμένα λεῖα μετὰ ὄξους ἐπιχριόμενα. ποδαγρῶν φλεγμονὰς λύει λεῖα μετὰ μέλιτος, ὡς κηρωτῆς ἔχειν πάχος, ἐπιχριόμενα τοῖς τόποις, καὶ διὰ τρίτης λυθέντα προεπιχρισθέντων τῶν τόπων ῥοδίνῳ. καὶ ῥοδίνῃ δὲ κηρωτῇ λεῖα ἀναλαμβανόμενα, κάλλιστα τὰς ὀδύνας τῶν ποδῶν παρηγορεῖ. ἐν κεφαλῇ οὐκ ἐᾷ λευκὰς γίνεσθαι προσυφθείσας τοῖς εἰωθόσι μίγμασιν, εἰ ἐπιχρίοιντο αὐτοῖς λείοις αἱ τρίχες μετ᾽ οὔρου παιδός. δεῖ δὲ καίειν αὐτὰ ἐπ᾽ ὀστράκου καὶ οὕτως χρῆσθαι ἐν τῷ οὔρῳ. δίδου δὲ καὶ ὑδρωπικοῖς ζ' σὺν οἰνομέλιτι. τοῖς δὲ νεφροὺς ἢ κύστιν ἑλκουμένοις δίδου ζ'. λεῖα μετὰ ἑψήματος κεκραμένου. καὶ χοιράδας δὲ κατὰ βραχὺ μειοῖ, τοῖς τόποις περιαφθέντα ζῶντα, τοσαῦτα τὸν ἀριθμὸν ἐν ῥάκει δεθέντα, ὅσαι εἰσὶν αἱ χοιράδες. παύει πᾶσαν κεφαλαλγίαν, καὶ ἡμικρανίαν ἐπιχριόμενα λεῖα τοῖς κροτάφοις. κατώρυχα δὲ ἐστὶ ταῦτα τὰ γῆς ἔντερα. περιϊόντα δὲ καὶ ἡλιοφανῆ φαινόμενα χειμῶνας καὶ ὄμβρους προμηνύει.

Περὶ δράκοντος θαλάσσης. ρξθ'.

Δράκοντος θαλασσίου φολίδας καύσας καὶ τῇ σποδιᾷ λειοτάτῃ ὑποχρίων, ἰάσῃ θολεροὺς ὀφθαλμοὺς ἀμβλυώττοντας. καὶ οἷς ζωΰφια τινὰ οἷον κώνωπες πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι δοκεῖ.

Περὶ ἐχίδνης. ρο'.

Ἐχίδνης σὰρξ θερμαίνει καὶ ξηραίνει ἰσχυρῶς ἐσθιομένη. χρὴ δὲ κόψαντα τὴν κεφαλὴν καὶ τὴν οὐρὰν ἀποδέρειν, καὶ ἐξελεῖν τὰ ἐντόσθια πάντα, καὶ ἀποπλύνειν τὴν σάρκα τρισὶν ὕδασιν. ἔπειτα ἑψεῖν ὡς ἐγχέλυν σὺν ὕδατι, καὶ πράσῳ, καὶ ἀνήθῳ βραχεῖ, καὶ ἐλαίῳ συμμέτρῳ. ἑψηθέντων δὲ τῶν σαρκῶν, ἀρτύειν ἁλσὶ συμμέτροις καὶ διδόναι ἐσθίειν, καὶ ῥοφεῖν τὸν ζωμόν. ὅτι δὲ καθαίρουσιν αἱ τῆς ἐχίδνης σάρκες οὕτως ἐσθιόμεναι διὰ τοῦ δέρματος ὅλον τὸ σῶμα, διαγνῶναί σοι πάρεστιν, ἐξ ὧν ἐπειράθην ἔτι νέος ὤν. ἄνθρωπος νοσῶν τὸν καλούμενον ἐλέφαντα, εἰδεχθὴς ἦν καὶ δυσώδης. καλύβην οὖν αὐτῷ πήξαντες πλησίον τῆς κώμης, διέτριβεν ἐν αὐτῇ. θερισταῖς δὲ πλησίον αὐτοῦ θερίζουσιν, ἐκομίσθη οἶνος ἐν κεραμίῳ. ὡς δὲ ἧκεν ὁ καιρὸς τοῦ πίνειν, ἐξαιρούντων τὸν οἶνον εἰς κρατῆρα, συνεξέπεσεν ἔχιδνα μικρά. χαρίζονται τοίνυν δῆθεν ἀπὸ φιλανθρωπίας τὸν οἶνον, τῷ τὸν ἐλέφαντα νοσοῦντι, ἄμεινον κρίνοντες εἶναι, τεθνάναι μᾶλλον, ἢ ζῆν αὐτόν, ὁ δὲ πιὼν τὸν οἶνον, ὑγιὴς ἐγένετο θαυμαστόν τινα τρόπον. ὅλον γὰρ αὐτοῦ τὸ δέρμα τὸ ὀχθῶδες ἀπέπεσεν ὡς τῶν ὀστρέων τὸ σκέπασμα. ὅσον δὲ ὑπόλοιπον ἔμεινε, μαλθακὸν ἱκανῶς ἐφαίνετο, καθάπερ τῶν καράβων, καὶ καρκίνων, ὅταν ἀποπέσῃ αὐτῶν τὸ ὄστρακον, καὶ ἐπὶ ἑτέρων δὲ πλείστων τοιοῦτον τὸ γεγονὸς, καὶ οἱ πρὸ ἡμῶν ἀρχαῖοι ἱστόρησαν. καὶ ἡμεῖς δὲ ἐθεασάμεθα πολλοὺς ἰαθέντας διὰ τῶν ἐχιδνῶν. ὅθεν καὶ τῇ θηριακῇ μίγνυμεν αὐτάς.

Ἐχῖνος θαλάττιος. ροα'.

Ἐχῖνος θαλάττιος ἐσθιόμενος, τῇ ἄνω κοιλίᾳ λυσιτελεῖ, καὶ τοῖς τὰ σιτία ἀπεστραμμένοις, ὄρεξιν ἐντίθησι. παρέχει δὲ καὶ οὔρων εὔροιαν τῇ κύστει, ἐκκαθαίρων, σὺν τῷ καὶ τὴν κοιλίαν ἠρέμα ὑπομαλάσσειν.

Ἐχῖνος χερσαῖος. ροβ'.

Ἐχίνου χερσαίου ξηραινομένη ἡ σὰρξ καὶ πινομένη κατὰ βραχὺ βοηθεῖ τοῖς ἐλεφαντιῶσι, καὶ καχέκταις, καὶ σπασμώδεσι, καὶ νεφριτικοῖς. ἔτι τε τοῖς τὸν ἀνὰ σάρκα ὕδερον νοσοῦσιν. ἔστι γὰρ ἡ δύναμις αὐτοῦ διαφορητική τε, καὶ ξηραντική. καὶ τὸ ἧπαρ δὲ αὐτοῦ ξηραινόμενον ἐν ἡλίῳ, καὶ πινόμενον, πάνυ βοηθεῖ τοῖς ἐλεφαντιῶσιν. ἐχίνων δὲ ἀμφοτέρων τοῦ τε θαλαττίου, καὶ τοῦ χερσαίου κεκαυμένων ἡ τέφρα, ῥυπτικῆς ἐστι, καὶ διαφορητικῆς, καὶ καθαιρετικῆς δυνάμεως. διὸ καὶ τὰ ὑπερσαρκοῦντα ἕλκη καθαίρει, καὶ καταστέλλει πάντα, καὶ τὰ ῥυπαρὰ ἐκκαθαίρει. ἐχίνου χερσαίου καυθέντος ἡ σποδιὰ πίττῃ ὑγρᾷ ἀναμιχθεῖσα, ἀλωπεκίας ἰᾶται. πινομένη δὲ αὐτοῦ ἡ τέφρα σὺν οἰνομέλιτι λιθιῶντας νεφροὺς ἰᾶται, καὶ τὸν ἀνὰ σάρκα ὕδερον. πίνεται δὲ ὅσον κοχλιαρίου τὸ ἥμισυ τῆς τέφρας. δυσουρίας δὲ πάσης ἐξ οἵας δήποτε προφάσεως γινομένης, ἔστι ἐχῖνος λυτήριος, εἰ τὰ ἐντόσθια αὐτοῦ ὑποθυμιαθείη ὑπὸ τὸν κάμνοντα περισκεπομένου αὐτοῦ πάντοθεν. τάχιον γὰρ λύει τὸ πάθος. χρὴ δὲ ταριχεύσαντα τὰ ἐντόσθια, καὶ ξηραίνοντα ἀποτίθεσθαι. μὴ παρόντων δὲ τούτων, ὑποθυμιᾶν τὴν σάρκα ξηρὰν, ἢ τὸ δέρμα. πολλῶν δὲ οὔρων ἐστὶ τὰ ἐντόσθια κινητικά, ὅσον τοῖς τρισὶ δακτύλοις ξηρὰ λεῖα πινόμενα μετὰ οἴνου. ἡ κεφαλὴ δὲ αὐτοῦ καιομένη, καὶ μετὰ στέατος ἀρκείου ἐπιχριομένη, οὐ μόνον ἐστὶν ἀλωπεκιῶν ἴαμα, ἀλλὰ καὶ ἐξ οὐλῶν ἄγειν τρίχας δύναται. τὸ δέρμα δὲ αὐτοῦ κεκαυμένον καὶ μετὰ στέατος ἐπιχριόμενον μάλιστα ἀρκείου ἰᾶται ἀλωπεκίας. ὅλος δὲ ὁ χερσαῖος ἐχῖνος, ζῶν, ἐν ἐλαίῳ καθεψόμενος πυρὶ μαλακῷ, ἐπὶ πλεῖστον τὸ ἐξ αὐτοῦ ἔλαιον ἀλειφόμενον, ἰσχίων ὀδύνας χρονίας ἰᾶται. γίνεται δὲ δι᾽ αὐτοῦ καὶ ψίλωθρον οὕτως. βαλὼν τὸν ἐχῖνον ζῶντα ἐν χύτρᾳ πυκνότατον ἐχούσῃ πῶμα, χωρούσῃ δὲ ξ ιβ', ἐπι-

βαλε αὐτῇ ἐλαίου ξε΄ ϛ΄ μόνους. καὶ χρίσας ἀκριβῶς τὸ στόμα τῆς χύτρας γύψῳ, ὥστε μηδαμόθεν διάπνοιαν ἔχειν, τίθει εὐθέως ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἡμέρας μ΄. ἔπειτα ἀνοίξας τρυπάνισον καινῇ τρυπάνῃ ἀκριβῶς. καὶ διηθήσας διὰ ῥάκους, χρῶ. ἐπίχριε δὲ τὸν τόπον ἐν ἡλίῳ, καὶ ἀνάτριβε ἐπὶ πολὺ, ἄχρι ἱδρώσουσιν. ἔπειτα καταντλα ὕδατι γλυκεῖ, καὶ λοῦε. φύλαττε δὲ μὴ τῶν ἄλλων τόπων ἅπτεσθαι, τῶν ψιλοῦσθαι μὴ δεομένων.

Ἱππόκαμποι θαλάττιοι. ρογ΄.

Οὗτοι ἐσθιόμενοι ὀπτοὶ, καὶ καταπλαττόμενοι ἐπὶ τὸ δῆγμα τοὺς λυσσοδήκτους ἰῶνται. δεῖ δὲ αὐτοὺς λειοῦν σὺν ὀξυμέλιτι, καὶ μέλιτι.

Περὶ κανθαρίδων. ροδ΄.

Κανθαρίδων ἱκανὴν πεῖραν ἔχομεν ἐπὶ τῶν ψωρωδῶν ὀνύχων. ἐξαίρουσι γὰρ αὐτοὺς μετὰ τῶν ἐπιτηδείων μιγνύμεναι φαρμάκων. μιγνύουσι δὲ αὐτὰς ἄλλαις σηπτικαῖς δυνάμεσιν, καὶ ταῖς λεπρικαῖς ἐκθείοις. τῶν ἡμετέρων δὲ διδασκάλων τὶς καὶ εἰς οὐρητικὸν φάρμακον ὀλίγον τι τῶν κανθαρίδων ἐνέβαλλε χωρὶς πτερῶν, καὶ ποδῶν. ἐπιτηδειότεραι δὲ εἰσὶ πρὸς ἅπερ ἔφημεν ὡς ἐγὼ ἐπειράθην, ἐκ τῶν πυρῶν, ὅσαι μηλίνας ζώνας ἐγκαρσίους ἔχουσιν ἐν τοῖς πτεροῖς, καὶ μᾶλλον ἐὰν ἐμβαλὼν ἑαυτὰς ζώσας εἰς ἀγγεῖον κεράμιον, εἶτα περιτιθεὶς τῷ στόματι τοῦ ἀγγείου ἀραιὸν ὀθόνιον, εἶτα ζέσας ὄξος ἐν λοπάδι, κατέχῃς τὸ τῶν κανθαρίδων ἀγγεῖον ἀπεστραμμένον κάτω. ὥστε τὸν ἀναφερόμενον ἀτμὸν τοῦ ὄξους διὰ τῆς ὀθόνης δέξασθαι τὰς κανθαρίδας, ἄχρις ἂν ἀποθάνωσιν.

Καρκίνοι ποτάμιοι. ροε΄.

Καρκίνους ποταμίους ὠμοὺς τρίψας καὶ μίξας γάλακτι δίδου πίνειν, καὶ θεραπεύσεις παντὸς ἑρπετοῦ δῆγμα. καὶ μάλιστα σκορπίου πληγὴν ἰάσῃ, καὶ τὸν ἀπολλύμενον ὑπὸ λαγὼ θαλαττίου πόσεως, ὀξέως θεραπεύσεις. δῆλον δὲ ὅτι τὴν ἔνδον αὐτοῦ σάρκα λειοῦν προσήκει σὺν τῷ γάλακτι. βοηθοῦσι δὲ ὁμοίως διδόμενοι καὶ τοῖς φθισικοῖς, καὶ ἑψώμενοι ἐν λευκῷ ζωμῷ, καὶ ἐσθιόμενοι, ἐπιρροφουμένου τοῦ ζωμοῦ. ἡ γε μὴν τέφρα τοῦ κεκαυμένου καρκίνου ξηραντικὴ ὁμοίως τοῖς ἄλλοις καιομένοις. ἰδιότητι δὲ τινὶ τῆς ὅλης οὐσίας θαυμαστῶς ἐπὶ τῶν λυσσοδήκτων ἐνεργεῖ, καὶ μόνη μὲν, ἀλλὰ καὶ μετὰ γεντιανῆς, καὶ λιβάνου, πολὺ μᾶλλον. εἶναι δὲ χρὴ, τοῦ μὲν λιβάνου μίαν μοῖραν, πέντε δὲ τῆς γεντιανῆς, καὶ τῆς τέφρας τῶν καρκίνων μοίρας δέκα. καὶ ἄλλως μὲν οὖν καυθείσῃ ἐχρησάμεθα ποτὲ ὡς ἐπὶ τὸ πολὺ, δὲ καθ᾽ ὃν ὁ ἡμέτερος διδάσκαλος ἐχρῆτο· τὴν δὲ λοπάδα ἐρυθροῦ χαλκοῦ, καθ᾽ ἣν ἐπιθεὶς ζῶντας τοὺς καρκίνους, ὑπέκαιε, ξύλοις ἀμπελίνοις μάλιστα, ἄχρις ἂν τεφρωθῶσιν, ὡς εὐκόλως λειοῦσθαι. οὕτως εἶχεν ἀεὶ ἕτοιμον παρεσκευασμένον ἐπὶ τῆς οἰκείας τὸ φάρμακον, ὥρᾳ θέρους καίων τοὺς καρκίνους αὐτοὺς τῷ μηνὶ αὐγούστῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ὀκτωκαιδεκάτης οὔσης τῆς σελήνης. πίνειν δὲ καθ᾽ ἑκάστην ἡμέραν ἐδίδου τὸ φάρμακον τοῖς λυσσοδήκτοις, ἄχρι τῆς μ΄ ἡμέρας, ἐπιπάττων ὕδατι κοχλιάριον εὐμέγεθες. εἰ δὲ οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μετὰ ἡμέρας τινὰς τοῦ δηχθῆναι προὐνοεῖτο τοῦ δεδηγμένου, δύο κοχλιάρια καθ᾽ ἑκάστην ἡμέραν ἐδίδου ὡς ἀναπληρωθῆναι τὰς μ΄ δόσεις. ἐχρῆτο δὲ καὶ κατ᾽ αὐτοῦ τοῦ τραύματος, τῷ διὰ τῆς βρυττίας πίσσης φαρμάκῳ. μίαν μὲν λαμβάνων τῆς πίσσης λι. ὄξους δὲ δριμυτάτου ἕνα ξε. ὀποπάνακος δὲ, Γο. γ΄. καρκίνου ποταμίου κεκαυμένου τέφραν μέλιτι ἀναμίξας, ἰάσῃ μὲν ἴχνη ὑπὸ κρύους ἐρρωγότα, καὶ δακτύλων ῥαγάδας. ἰάσῃ δὲ καὶ τὰ κακοήθη, καὶ καρκινώδη ἕλκη.

Περὶ καράβου. ροϛ΄.

Καράβου ὄστρακον καύσας καὶ λειώσας δίδου πίνειν μετ᾽ ἀκράτου, καὶ παύσεις τὴν κάτω κοιλίαν ῥευματιζομένην. ἐκκαθαίρει δὲ καὶ λιθιῶντας νεφροὺς, ψαμμώδη οὖρα πολλὰ ἄγων.

Κάστορος ὄρχις. ροζ΄.

Ὀνομάζουσι καστόρειον, ἔνδοξόν τε καὶ πολύχρηστον φάρμακον. ἐνταῦθα δὲ, τὴν καθόλου αὐτοῦ δύναμιν ἐροῦμεν, πρὸς ἣν ἀποβλέπων τις, εὑρίσκειν ἐν αὐτῷ δυνήσεται τὰς κατὰ μέρος χρήσεις. θερμαίνει δὲ καὶ ξηραίνει. ἔστι δὲ καὶ λεπτομερὲς ἱκανῶς τοῦτο τὸ φάρμακον, εἴθ᾽ ὑγρῷ σώματι προσφέροιτο δεομένῳ ξηρότητος, εἴτε ψυχρῷ δεομένῳ θερμότητος, εἴτ᾽ ἐπὶ τῶν διὰ πλήρωσιν σπωμένων ἔνθα χρὴ κενῶσαι τὰ παρὰ φύσιν ἐν τοῖς νεύροις περιεχόμενα. μεγάλην μὲν ὠφέλειαν ἐπιδείκνυται, βλάβην δὲ οὐδὲ μίαν οὐδενὶ προστίθεται μορίῳ, καὶ μάλιστα ὅταν μὴ σφοδρῷ τινι πυρετῷ περιέχοιτο ὁ ἄνθρωπος. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τοῖς τρέμουσι διὰ πλῆθος ὑγρῶν παχέων, καὶ γλίσχρων χυμῶν, ὠφελιμώτατον ἐστι πινόμενον. ὠφέλιμον δὲ καὶ ἐπὶ τῶν ὑπὸ λυγμοῦ ἐνοχλουμένων, διὰ πλῆθος ὑγρῶν ψυχρῶν, καὶ γλίσχρων ἐμπεπλασμένων τῷ στόματι τῆς γαστρός. εἰ δὲ διὰ ξηρότητα, καὶ κένωσιν ἄμετρον, ἢ διὰ δῆξιν δριμέων ὑγρῶν λυγμὸς, ἢ σπασμὸς γίνοιτο, φεύγειν χρὴ τὴν τοῦ καστορείου χρῆσιν ὡς ἐναντιωτάτην. καὶ τῶν πυρεσσόντων δὲ τοῖς μὴ πάνυ θερμῶς πυρέττουσιν, ἀλλ᾽ ὡς ἂν εἴποι τις χλιαρὸν ἔχουσι πυρετὸν, οἷς ἐν καταφοραῖς, καὶ λήθαργοις μάλιστα γίνεται, πάνυ πολλοῖς μὲν καστόρειον ἐδώκαμεν, ἅμα πεπέρεως κοχλιαρίου ἑκατέρου διὰ μελικράτου ποτίζοντες. ἐβλάβη δ᾽ οὐδεὶς εἰς οὐδέν. ἐπὶ δὲ τῶν ληθαργικῶν, ἢ καὶ καταφορικῶν πυρετῶν, διὰ ῥοδίνου ἐλαίου λύσαντες, ἐπεθήκαμεν τῇ κεφαλῇ, καὶ τῷ αὐχένι. καταμηνίων δὲ ἐπισχημένων διὰ πάχος ἐν τῷ αἵματι, καὶ πλῆθος, προκενώσας ἀπὸ σφυροῦ μετρίως, εἶτα διδοὺς κοχλιάριον μετὰ γλίχος

καλαμίνθου, ἐπειράθην ἀεὶ τοῦ φαρμάκου κινοῦντος κάθαρσιν. ἐκβάλλει καὶ χόρια καὶ τὰ ἐπιμήνια, καὶ τὰ δεύτερα μετὰ μελικράτου ὁμοίως πινόμενον. τοὺς δὲ ἐμπνευματωμένους τὴν γαστέρα, καὶ στροφουμένους ἐπὶ παχεῖ καὶ φυσώδει πνεύματι δι' ὀξυκράτου πινόμενον ὀνίνησι. δίδοται δὲ καὶ τοῖς ὀρθοπνοϊκοῖς μετ' ὀξυμέλιτος, ἢ μελικράτου, καὶ ἐπ' ἀνθράκων δὲ ὑποθυμιᾶται χαίνοντος τοῦ κάμνοντος, καὶ δεχομένου τὸν καπνόν.

Κυνὸς ποταμίου ὄρχις. ροη.

Εἰσὶν εὔχρηστοι οὗτοι, πρὸς ἃ καὶ οἱ τοῦ κάστορος ὄρχεις, ἀσθενέστεροι ἐκείνων μέντοι. κυνὸς δὲ ποταμίου δέρμα ὑπόδημα γινόμενον, ἄκρων ποδῶν, καὶ νεύρων παραμυθεῖται νόσον.

Κυνὸς χερσαίου σκύλαξ. ροθ.

Εὔτροφος συγκατακείμενος τῷ στομάχῳ, ἢ ἄλλῳ τινὶ τῶν ἔνδον νοσοῦντι ἴαμα τῆς νόσου γίνεται, αὐτὸς ἀντιλαμβανόμενος τὸ πάθος. δεῖ δέ φασιν αὐτὸν θανόντα, θάπτειν ἐμμελῶς.

Κύκνου νεοττός. ρπ.

Ἁπαλὸς ἑψηθεὶς ἐν ἐλαίῳ, νεύρων ἄκος παράδοξον γίνεται.

Κηρύκων ὄστρακα κεκαυμένα. ρπα.

Κηρύκων ὄστρακα κεκαυμένα ξηραντικῆς ἱκανῶς ἐστι δυνάμεως, ὅθεν μιγνύμενα τοῖς ἐπιτηδείοις φαρμάκοις, διαφορεῖ σκληρουμένας φλεγμονάς, παραπλησίας δέ ἐστι δυνάμεως, καὶ τὰ τῶν πορφυρῶν, καὶ τῶν ὀστρέων ὄστρακα.

Κορυδαλὸς τὸ πτηνὸν ζῷον. ρπβ.

Τὸ σμικρὸν ὃ κατὰ τὰς ὁδοὺς πολλάκις ὁρῶμεν, ἑψόμενον ἐν λιτῷ ζωμῷ, καὶ ἐσθιόμενον, τοὺς κωλικοὺς ὠφελεῖ. χρὴ δὲ συνεχῶς καὶ πολλάκις ἐσθίειν αὐτὸ μετὰ τοῦ ζωμοῦ. πλειστάκις γὰρ αὐτὸς ἐπειράθην τῆς ἐξ αὐτοῦ ὠφελείας. ἔχει δὲ ἐπὶ τῆς κεφαλῆς τοῦτο τὸ ζῷον ἐπανάστασιν, οἷον τινὰ λόφον ἐκ τῶν πτερῶν αὐτοφυῆ.

Κοχλίας χερσαῖος. ρπγ.

Σκληρὰν ἔχει τὴν σάρκα, καὶ διὰ τοῦτο ἐσθιόμενος, δύσπεπτος γίνεται. ὁ δὲ ἐξ αὐτοῦ σκευαζόμενος ζωμός, ἑψομένου δι' ὕδατος καὶ ἀνήθου, ἐλαίου τε καὶ γάρου ὑποβρέχει τὰ κατὰ κοιλίαν εἰ ποθείη. εἰ δὲ ἀποχέοις τὸ πρῶτον ὕδωρ, καὶ τὸ δεύτερον ἐν ᾧ ἕψεται, τῷ τρίτῳ δὲ ἑψήσεις μέχρι τακερὰν ἀκριβῶς γενέσθαι τὴν σάρκα, καὶ δώσεις ῥευματιζομένῳ τινὶ τὴν κοιλίαν, ἐφέξει γαστέρα. ἡ δὲ ἐκ τῶν κοχλιῶν ὑγρότης μόνη καθ' ἑαυτὴν ἄνευ τῆς σαρκὸς λαμβανομένη, ἣν καλοῦσι μύξαν κοχλίου, μιγνυμένη λιβανωτῷ, ἢ ἀλόῃ, ἢ σμύρνῃ, ἢ τισὶ τούτων, ἢ πᾶσιν, ἄχρι κηρωτῆς ἔχειν πάχος, ἐξαίρετον γίνεται φάρμακον. καὶ ξηραίνει καλῶς τοὺς ἀπὸ μύξους ὄγκους τῶν ὤτων. ἔστι δὲ καὶ ἀνακόλλημα ξηραντικὸν τῶν εἰς ὀφθαλμοὺς ῥευμάτων, ἐπιτιθέμενον κατὰ τοῦ μετώπου. ὁπόταν μέντοι πολὺ τῆς μύξης αὐτῶν ἐθέλοις λαμβάνειν, κατακέντησον αὐτῶν τὴν σάρκα γραφίῳ. προΐασι γὰρ ὑγρασίαν οὐκ ὀλίγην. καὶ μάλισθ' ὅταν μὴ πρὸ πολλῶν ἡμερῶν τεθηρευμένοι ὦσιν. ἀνακολλᾷ δὲ ἡ ὑγρότης αὕτη καὶ τὰς ἐν βλεφάροις τρίχας. ἐγὼ δὲ ποτὲ κατ' ἀγρὸν ἐπὶ νευροτρώτου ἅμα θλάσει πονοῦντος, ἐπέθηκα τὴν σάρκα τῶν κοχλιῶν, λειώσας αὐτὴν μετ' ἄχνης ἀλεύρου, τῆς ἐν τοῖς τοίχοις τῶν μυλώνων εὑρισκομένης. καὶ χωρὶς φλεγμονῆς τὸ τραῦμα ἐκολλήθη. ἦν δὲ σκληρόσαρκος ὁ ἄνθρωπος. εἰ δέ τις εὐποροίη, κάλλιον μιγνύειν ἐπὶ τῶν τοιούτων, σμύρναν ἢ λιβανωτὸν, ἢ τὴν φρυκτὴν ῥητίνην λειοτάτην. κόπτεσθαι δὲ ἡ σὰρξ ἐν ὅλμῳ πρότερον, καὶ μετὰ ταῦτα λειοῦσθαι, καὶ ἐπιτιθεμένη ξηραντικὴ γίνεται πάντων τῶν περιττὴν ὑγρότητα ἐχόντων μορίων. ὡς καὶ τοῖς ὑδέροις ἁρμόττειν. καὶ σὺν τοῖς ὀστράκοις δὲ λειωθέντες οἱ κοχλίαι ἐπιτίθενται κατὰ τῆς γαστρὸς ὅλης ἐπὶ τῶν ὑδέρων, κατά τε τῶν ἐν τοῖς ἄρθροις ὄγκων ἐπὶ τῶν ἀρθριτικῶν, καὶ γίνεται μὲν ἡ πρόσθεσις αὐτῶν δυσαφαίρετος. ξηραίνει δὲ ἱκανῶς. προσκεῖσθαι δὲ διὰ παντὸς αὐτοῖς προσήκει, ἄχρις ἂν ἀποπέσωσιν αὐτόματοι. ταυτὸ δὲ ποιήσεις, κἀπὶ τῶν δυσλύτων ἐκ πληγῆς ὄγκων, ἢ ἐκ προσθλάσεως γινομένων ἐν ὠσί. ξηραίνει γὰρ ἅπαντας αὐτοὺς, κἂν γλίσχρον, καὶ παχὺ κατὰ βάθος περιέχηται. ὅλοι δὲ κοχλίαι μετὰ τῶν ὀστράκων καιόμενοι, μιγνυμένης αὐτοῖς κηκῖδος ὀμφακίτιδος, καὶ πεπέρεως μεγάλως ὠφελοῦσι δυσεντερίας, ἐφ' ὧν οὐδέπω ἐστὶ σηπεδονώδη τὰ ἕλκη. εἶναι δὲ χρὴ τῆς μὲν πεπέρεως μέρος ἕν, τῆς δὲ κηκῖδος μέρη δύο. τέσσαρα δὲ μέρη τῆς τέφρας τῶν κοχλιῶν. ἀκριβῶς δὲ ποιήσας λεῖα ταῦτα, ἅμα τε μίξας, ἀπόθου. καὶ ἐπὶ τῆς χρείας ἐπίπαττε ὅσον κοχλιάριον μετὰ τῶν τοῖς ὄψοις. ἢ μεθ' ὕδατος θερμοῦ, ἢ δι' οἴνου δίδου πίνειν. χωρὶς δὲ τινὸς ἐπιμιξίας καὶ αὕτη ἡ τέφρα τῶν κεκαυμένων κοχλιῶν ξηραντικῆς ἐστι δυνάμεως, ἐχούσης δέ τι διὰ τὴν καῦσιν, καὶ θερμόν.

Μαινὶς ταριχηρά. ρπδ.

Κεφαλὴ καυθεῖσα τὰς ὑπερφυομένας σάρκας ἐν τοῖς ἕλκεσι, μάλιστα οὔλοις ὀδόντων, καταστέλλει ἐπιπαττομένη. καὶ τύλους ἐκβάλλει, οὓς ἥλους καλοῦσι. καὶ τὰς ἐν δακτυλίῳ ἐξοχάδας μαραίνει.

Νάρκη. ρπε.

Νάρκη ζῶσα προστιθεμένη, πολυχρόνιον πόνον κεφαλῆς ἀπωθεῖται. καὶ προπίπτοντα δακτύλια ἔσω τρέπει. τεθνεῶσα δέ, ἢ οὐδ' ὅλως, ἢ ἐπ' ὀλίγον ταῦτα ποιεῖ.

Ὀνίσκος θαλάττιος. ρπς.

Ἑψηθεὶς ὕδατι σὺν ἀνήθῳ καὶ ἡδυνθεὶς ἁλσὶ μετρίοις, καὶ βραχεῖ ἐλαίῳ, ἰᾶται πᾶσαν ἐντέρων νόσον

καὶ κοιλίας μάλιστα, ἐφ' ὧν δριμύτης ἐνοχλεῖ.

Ὀστρέων ὄστρακα. ρπζ.

Πάντα λειότατα γινόμενα ὡς χνοώδη γενέσθαι, ἕλκεσι κακοήθεσιν ἁρμόττει, καὶ μάλιστα ἐπὶ τῶν ἐν τοῖς χείλεσι γινομένων διαβρωτικῶν ἑλκῶν, δοκιμώτατόν ἐστι φάρμακον, ἀδήκτως αὐτὰ ἐπουλοῦν. μετέχει γὰρ τῆς στυπτικῆς δυνάμεως, δι' ἣν σκληρὰ, καὶ γεώδη γέγονεν. ἀπόλλυσι δὲ ταύτην διὰ τῆς καύσεως. μετ' ὄξους δὲ ἢ ὀξυκράτου, ἢ οἰνομέλιτος λειούμενα τὰ ὄστρακα, ἐπιτήδεια τοῖς σηπεδονώδεσι γίνεται, πρὸς τὴν ἕξιν δηλονότι τοῦ κάμνοντος τὸ κατὰ μῆλον ὑγρὸν μιγνὺς, καυθὲν δὲ τὸ τῶν ὀστρέων ὄστρακον, λεπτομερέστερον γίνεται τοῦ τῶν κηρύκων ὀστράκου, ἐπειδὴ καὶ ἧττον ἐκείνου σκληρότερόν ἐστιν αὐτῶν τὸ σῶμα. ἡ δὲ πλυθεῖσα τούτων ἡ τέφρα, χρήσιμον γίνεται φάρμακον ἐπὶ τῶν ὑγροτέρων ἑλκῶν εἰς ἀναπλήρωσιν, καὶ συνούλωσιν. κἀγὼ τῷ τῶν ὀστρέων ὀστράκῳ οὕτως ἐσκευασμένῳ ἀεὶ χρῶμαι πρὸς τὰς ἐκ ῥευμάτων χρονίας, καὶ δυσαρκώτους κοιλότητας, κἂν σηραγγώδεις ὦσι, καὶ βαθεῖαι, περιτιθεὶς ἔξωθεν αὐτὸ μετὰ στέατος ὑείου παλαιοῦ. καὶ εἰς γε τὸν κόλπον αὐτὸν ἐμβαλὼν τι τῶν τὰ τοιαῦτα σαρκούντων, οἷόν ἐστι καὶ τὸ κεκαυμένον διαφανὲς, ὃ καλοῦσι σπεκλάριον. καὶ λαμπρύνει μὲν τοὺς ὀδόντας ἡ τῶν ὀστρέων τέφρα, ὥσπερ ἡ τῶν κηρύκων, καὶ πορφυρῶν, οὐ μόνον τῷ ῥυπτικῷ τῆς δυνάμεως, ἀλλὰ καὶ τῷ τραχεῖ τῆς οὐσίας. διὸ οὐκ ἀναγκαῖον ἐπὶ τούτων σφόδρα λειοῦν αὐτὰ, τὰ δὲ πλαδαρὰ τῶν ἑλκῶν, ξηραίνει πλυθέντα, καὶ λειότατα γινόμενα.

Πορφυρῶν ὄστρακα. ρπη.

Πορφυρῶν ὄστρακα δι' ὄξους ποθέντα, σπλῆνας οἰδαλέους ἰᾶται. ἀποθυμιώμενα δὲ, τὰς ὑστερικῶς πνιγομένας ὠφελεῖ. καὶ ἐκβάλλει τὰ κατεχόμενα χόρια καὶ δεύτερα. τῶν δὲ κεκαυμένων ἡ τέφρα ποιεῖ πρὸς ὅσα καὶ ἡ τῶν κηρύκων.

Ῥίνη θαλαττία. ρπθ.

Ταύτην καύσας ἐπίπλαττε τοῖς παχυτέροις τὰ σώματα ἐν βαλανείῳ.

Περὶ σηπίας. ρϙ.

Σηπίας ἀποπνιγείσης ἐν ὄξει, τὴν ἅμα ἐλαίῳ τὸ ὄξος δὸς πίνειν, σώσεις τὸν ἱπποκάμπης θαλαττίας φάρμακον εἰληφότα. τὸ δὲ ὄστρακον τῆς σηπίας, ῥυπτικῆς, καὶ ξηραντικῆς ἐστι δυνάμεως, καὶ λεπτομεροῦς. διὸ καὶ καυθέντι χρώμεθα πρὸς ἀλφοὺς, ἐφήλιν τε, καὶ φακοὺς, καὶ ψώρας ἀλλὰ καὶ τοῖς ἀμμωνιακοῖς ἁλσὶ μιχθὲν ἀποτήκει τὰ ἐν τοῖς ὀφθαλμοῖς πτερύγια. ἄκαυστον δὲ λεῖον, ὀδόντας λαμπρύνει. σμώμενον καὶ τὰς ἐν ὀφθαλμοῖς οὐλὰς ἀποσμήχει. καὶ τὰ ἐν αὐτοῖς ἕλκη ἀναξηραίνει. καὶ τὰς ἐν τοῖς βλεφάροις μεγάλας τραχύτητας ἃς συκώσεις καλοῦμεν, ἐκδαπανᾷ.

Σκίγκος. ρϙα.

Σκίγκου τὰ περὶ τοὺς νεφροὺς, ὡς ἐντατικὰ τῶν αἰδοίων πίνεται. καὶ ἀντιπεπονθέναι γε μάλιστα αὐτοῖς δοκεῖ, θρίδακος σπέρμα μεθ' ὕδατος πινόμενον. ἔνιοι δὲ καὶ τὸ τῆς φακῆς ἀφέψημα μετὰ μέλιτος πινόμενον, παύειν φασὶ τὰς ἐντάσεις τοῦ αἰδοίου.

Τελλῖναι. ρϙβ.

Τελλινῶν ταριχηρῶν καυθέντων ἡ τέφρα μετὰ κεδρίας προσαγομένη, κωλύει τὰς ἐν τοῖς βλεφάροις περιττὰς τρίχας πάλιν φυῆναι.

Τέττιξ. ρϙγ.

Τέττιξι ξηροῖς χρῶνται τινὲς ἐπὶ τῶν κωλικῶν διαθέσεων μετὰ πεπέρεως ἴσων τὸν ἀριθμὸν κόκκων. καὶ διδόασιν, ἢ τρεῖς, ἢ πέντε, ἢ ἑπτὰ, κατὰ τὰ διαλείμματα τῶν παροξυσμῶν. ὀπτῶντες δὲ αὐτοὺς ἄλλοι, διδόασιν ἐσθίειν τοῖς πεπονθόσι τὴν κύστιν, καὶ τοῖς λιθιῶσιν.

Ὕαινα. ρϙδ.

Ὕαιναν ζῶσαν ἐν ἐλαίῳ ἑψωμένην ὅλην ὥσπερ ἐπὶ τῶν ἀλωπέκων προείρηται, διαφορητικὸν ἐργάζεται τὸ ἔλαιον, χρησιμώτατον ἀρθριτικοῖς. ἡ δὲ χρῆσις γινέσθω, ὡς ἐπὶ τῆς ἀλώπεκος προείρηται.

Χελιδόνες. ρϙε.

Χελιδόνων τῶν πτηνῶν καιομένων ἡ τέφρα σὺν μέλιτι διαχριομένη, συνάγχας ἰᾶται. καὶ ὅλως ὅσα κατὰ φάρυγγα, καὶ γαργαρεῶνα σὺν ὄγκοις γίνεται πάθη. χρῶνται δὲ τῇ τέφρᾳ ἔνιοι, καὶ πρὸς ὀξυδορκίαν, ὡς ξηροκολλυρίῳ.

Περὶ ἐκλογῆς τῶν καλλιστευόντων φαρμάκων. ρϙϛ.

Ἀγαρικὸν ἄμεινον, τὸ κτηδόνας ἔχον εὐθείας.

Ἀκακίαν ἐκλέγου κιῤῥὰν, καὶ εὐώδη.

Ἀλόην ἐκλέγου τὴν λιπαρὰν, καὶ ἄλιθον, λείαν, ἢ στίλβουσαν, πυκνὴν, ὑπόξανθον, καὶ εὔθρυπτον, ἡπατίζουσαν, ῥᾳδίως ὑγραινομένην, εὐώδη, ἐπιτεταμένην τὴν πικρίαν. τὴν δὲ μέλαιναν καὶ πάνυ σκληρὰν, ἀπεκλέγου.

Ἄμωμον ἐκλέγου τὸ πρόσφατον, καὶ λευκὸν, ὑπέρυθρον. οὐκ ἐκπεπιεσμένον, λελυμένον δὲ, καὶ διακεχυμένον. σπέρματος ἤδη πλῆρες ὁμοίου βοτρυδίοις. βαρὺ σφόδρα καὶ εὐῶδες, δίχα εὐρῶτος, καὶ δριμύτατον τὴν γεῦσιν. ἁπλοῦν τὴν χρόαν, καὶ μὴ ποικίλον. δολοῦσι δὲ αὐτὸ τινὲς τῇ ἀμωμίδι ἐμφερεῖ οὔσῃ. αἱρεῖ δὲ τὰ θραύσματα παρ' αὐτοῦ, ἐκλεγόμενος κλάδους τοὺς ἀπὸ μιᾶς ῥίζης.

Ἀμμωνιακὸν θυμίαμα ἐκλέγου τὸ ἄξυλον, καὶ λιβανωτίζον τοῖς χόνδροις, καθαρὸν, πυκνὸν, μηδεμίαν ἔχον λιπαρείαν. οἷον κοείου ὀσμὴν ἔχον, πικρὸν τῇ γεύσει.

Ἀσπάλαθος καλός ἐστιν ὁ βαρύς. καὶ μετὰ τὸ φλοιωθῆναι ὑπέρυθρος, ἢ πορφυρίζων, πυκνὸς εὐώδης,

πικρίζων τῇ γεύσει.

Α σφαλτος ἡ καλλίστη, πορφυροειδὴς, στίλβουσα, εὔτονος τῇ ὀσμῇ καὶ βαρεῖα. ἡ δὲ μέλαινα φαύλη. δολοῦται γὰρ πίττης μιγνυμένης.

Α ψίνθιον. βέλτιον ἐστὶ τὸ ἐν πόντῳ καὶ ἐν καππαδοκίᾳ γινόμενον. Βδέλλιον.

Β έλτιον ἐστὶ τὸ τῇ γεύσει πικρὸν, ταυροκολλῶδες τῇ χροιᾷ. λιπαρὸν διὰ βάθους καὶ εὐμάλακτον. ἀμιγὲς ξύλων καὶ ῥυπαρείας, εὐῶδες ἐν τῇ θυμιάσει. προσεοικὸς τῷ ὄνυχι. Ελλέβορον.

Μ έλανα μὲν ἐκλέγου. εὔτροφον. λεπτὴν ἔχοντα τὴν ἐντεριώνην. δριμὺ ἐν τῇ γεύσει καὶ πυρῶδες.

* τοιοῦτος δ᾽ ἐστὶν ὁ ἐν τῷ ἑλικῶνι καὶ παρνασῷ. καὶ ἐν ἀντικύρῳ γινόμενος. λευκὸν ἐλλέβορον ἐκλέ-

* γου. Εὐφόρβιον ἐκλέγου τὸ διαυγὲς καὶ δριμύ.

Ι ξὸς καλὸς ἐστὶν, ὁ λεῖος πρασίζων τῷ χρώματι κατὰ τὸ ἐντός. ἐκτὸς δὲ ὑπόξανθος, μηδὲν ἔχων τραχύτη-

10 τος ἢ πιτυρῶδες. συνάγεται δὲ ἀπὸ δρυὸς, καὶ ἐκ μηλέας. καὶ ἀπίου καὶ ἐξ ἄλλων δένδρων.

Ι χθυοκόλλα, καλὴ ἐστὶ μὴ γλαυκή. ὑπόπαχυς, οὐ ψωρώδης. τάχιστα τηκομένη.

Κ άλαμος ἀρωματικός. καλός ἐστιν ὁ πυῤῥὸς, πυκνογόνατος. καὶ εἰς πολλοὺς σκινδαλάμους θραυόμενος, γέμων ἀραχνίων. τὴν σύριγγα, ὑπόλευκος. ἐν δὲ τῇ διαμασήσει γλίσχρος. στυπτικὸς, ὑπόδριμυς.

Κ αρδάμωμον ἄριστον ἐστὶ τὸ ἐκ τῆς ἀρμενίας κομιζόμενον. ἐκλέγου δὲ τὸ δυσθραυστον, πλῆρες, μεμυκός.

Κ ασίαν ἐκλέγου τὴν κιῤῥὰν, εὔχρουν. κοραλλίζουσαν. στενὴν, λείαν. μακρὰν, παχεῖαν τοῖς σωλῆσι. δηκτικὴν ἐν τῇ γεύσει. καὶ στύφουσαν μετὰ ποσῆς πυρώσεως ἀρωματιζούσης. οἰνίζουσαν. ἡ δὲ ἐμπόρφυρος καὶ παχεῖα ὄζει καλουμένη, ῥοδίζουσα τῇ ὀσμῇ.

Κ ηρὸς ἄριστος ἐστὶν, ὁ ὑπολίπαρος. εὐώδης, καθαρὸς ὁ ποντικός.

Λ άδανον κράτιστον ἐστὶν, τὸ εὐῶδες, ὑπόχλωρον. εὐμάλακτον, μαλακὸν, λιπαρὸν, ἀμέτοχον ψάμμιου. τοιοῦ-

20 τον δὲ ἐστὶ τὸ ἐν κύπρῳ γινόμενον. Κόμμι.

Η ν ἔνιοι ξυλοκόλλαν καλοῦσιν, ἀρίστη ἐστὶν ἡ ῥοδιανὴ, ἔστι δὲ λευκὴ διαυγής. ἡ δὲ μέλαινα, χείρων. κόμμι δὲ λάμβανε τὸ σκωληκοειδὲς, τὸ ὑελίζον. διαυγές. ἄξυλον. εἶτα τὸ λευκὸν, τὸ δὲ ῥητινῶδες καὶ ῥυπαρὸν, ἄχρηστον. Κόστος.

Κ άλλιστος ἐστὶν ὁ ἀῤῥαβικὸς, λευκὸς ὢν καὶ κοῦφος. κάλλιστος δ᾽ ἐστὶν καὶ ὁ συριακὸς τὴν χροιὰν πυξώδης, πληκτικὸς τῇ ὀσμῇ. ἄριστος δὲ ἐστὶν ὁ πρόσφατος λευκός. πλήρης δι᾽ ὅλου. πυκνὸς, ξηρὸς ἀτερηδόνιστος. τῇ γεύσει δηκτικός. πυρώδης. δολοῦσι δὲ αὐτὸν ἔνιοι, ῥίζαν ἐλενίου μίσγοντες. εὐχερὴς δὲ ἡ διάγνωσις. ὅτι οὐ πυροῖ τὴν γεῦσιν τὸ ἐλένιον, ὅτι τὴν εὐωδίαν εὔτονον, καὶ πληκτικὴν παρέχει. Κρόκος.

Α ριστος ἐστὶν ὁ κωρύκιος. πρόσφατος δὲ καὶ εὔχρους. ὀλίγον ἔχων τὸ λευκὸν ἐπὶ τῆς ἕλικος. ἐπιμήκης. ὁ λα-

30 μπρής. εὔτροφος πλήρης ἄθραυστος. ἀλιπής. βάπτων μὲν τῇ παραπιέσει τοὺς δακτύλους εὐχερῶς. οὐκ εὐρωτιῶν. ἐπακτικὸς ἐν τῇ ὀσμῇ. καὶ δριμύς, ὁ γὰρ μὴ τοιοῦτος ἢ παλαιός ἐστιν ἢ βεβρεγμένος. πρὸς δὲ τὸ εὐλέαντον εἶναι, δεῖ ἐν ἡλίῳ ψύχειν ἐπ᾽ ὀστράκῳ καινῷ. Κροκόμαγμα.

Σ κευάζεται οὕτως κρόκου ∠ ρ̄. ῥόδων ξηρῶν ∠ ν̄. ἀμύλου ∠ ν̄. σμύρνης φωλλίτιδος. ∠ ν̄. κόμεως ∠ ν̄. λείου οἴνῳ εὐώδει. καὶ ἀνάπλασσε τροχίσκους. ξηραίνων ἐν σκιᾷ, καὶ χρῶ.

Κ ύπρος ἐστὶν ἀρίστη, ἡ βαρυτάτη καὶ πυκνή. ἀδρὰ. καὶ δυσθραυστος. τραχεῖα εὐώδης. μετά τινος δριμύτητος.

Λ ίβανος πρωτεύει ὁ ἄῤῥην. στρογγύλος ἄτμητος. λευκὸς, τμηθεὶς δ᾽ ἔνδοθεν, λιπαρός. δολοῦται δὲ πιτυΐνῃ ῥητίνῃ. ἢ κόμμει. εὐχερὴς δὲ ἡ διάγνωσις. λιβάνου δὲ ὁ φλοιὸς, διαφέρει, ὁ παχὺς καὶ λιπαρὸς, εὐώδης καὶ λεπυρώδης, ἢ ὑμενώδης. δολοῦται δὲ μιγνυμένου φλοιοῦ στροβίλου ἢ πίτυος.

40 ἐλέγχεται δὲ πυρί. οἱ γὰρ ἄλλοι θυμιαθέντες, καπνὸν ἐμποιοῦσιν. ὁ δὲ, καίεται μετ᾽ εὐωδίας ὡς λίβανος. Μαλαβάθρου φύλλον.

Κ αλόν ἐστι τὸ πρόσφατον καὶ ὑπόλευκον ἐν τῷ μελανίζειν. ἄθραυστον. ὁλόκληρον. πληκτικὸν τῇ ὀσμῇ. καὶ εὐῶδες ἐν τῷ λειοῦσθαι, ὡς μὴ δ᾽ ἄλλο μύρον. τὸ δὲ λεπτοκοπημένον καὶ πάνυ εὐρωτιῶσαν ἔχον τὴν καρποφορίαν, φαῦλον.

Μ υελὸς κράτιστος ἐστὶν ὁ ἐλάφειος. εἶτα ὁ μόσχειος. εἶτα ὁ ταύρειος. καλὸς δέ ἐστιν ὁ θέρους συνεγγίζοντος τῷ φθινοπώρῳ λαμβανόμενος. ἐν γὰρ τοῖς ἄλλοις καιροῖς αἱ μολοπιαί. θεραπεύεται δὲ εἰς ἀπόθεσιν ὁ πρόσφατος μαλαχθεὶς παραχεομένου ὕδατος. εἶτα δι᾽ ὀθονίου διυλίζεται. καὶ αὖθις πλύνεται, ἄχρις ἂν τὸ ὕδωρ γένηται καθαρὸν, κἄπειτα ἐν διπλώματι τακεὶς, καὶ ἀρθείσης πτερῷ τῆς ἐπαναγομένης ῥυπαρείας. μετὰ δὲ τὸ παγῆναι, ἀποτίθεται ἐν ὀστρακίνῳ καινῷ ἀγγείῳ. ἀπο-

50 ξυομένης ἐπιμελῶς τῆς ὑποστάθμης, ἥτις ὑφίσταται μετὰ τὸ τακῆναι καὶ διηθῆναι. Πάνακος ῥίζαι.

Β ελτίους εἰσὶν αἱ ξηραὶ καὶ λευκαὶ, καὶ τεταμέναι. καὶ ἄβρωτοι. πυρώδεις ἐν τῇ γεύσει. καὶ ἀρωματίζουσαι. ὁ δὲ ὀπὸς τοῦ πάνακος ἄχρηστος ἐστὶν ὁ πικρότατος ἐν τῇ γεύσει. ἔξωθεν μὲν χλωρὸς, ἔνδοθεν δὲ λευκός. λιπαρὸς, ταχέως διειμένος. βαρύοσμος. θερμαίνων τῇ γεύσει.

Σμύρνα

Σμύρνα.

Σμύρνα πρωτεύει ἡ τρωγλοδυτικὴ ὑπόχλωρος καὶ διαυγὴς οὖσα. εὐώδης. δριμεῖα. ἡ δὲ τῇ χροιᾷ πισσώδης, ἄχρηστος ἐστί.

Στακτὴ καλὴ ἡ εὐώδης. λεία. καὶ ἀμιγὴς ἐλαίου.

Στύραξ διαφέρει ὁ ξανθὸς καὶ λιπαρὸς. ῥητινώδης. θρόμβους ἔχων ὑπολεύκους. εὐώδης σφόδρα. καὶ ἐν τῷ μαλάσσειν, ἀνιεὶς ὑγρασίαν μελιτώδη.

Τραγάκανθος.

Καλλίστη ἡ διαυγὴς καὶ λεία. λεπτοτάτη καὶ καθαρὰ. ὑπόλευκος.

Υοσκύαμον.

Χρηστέον τῷ τὰ λευκὰ ἄνθη φέροντι.

Χαλβάνη ἐστὶν ἀρίστη, ἡ λιβανοειδὴς. χονδρώδης. καθαρὰ. καὶ ἄξυλος. ἔχουσα δέ τι καὶ τοῦ σπέρματος μεμιγμένου. ὀσμὴ βαρεῖα. οὔτε δὲ ἄκρως ὑγρὰ. οὔτε ξηρὰ πάνυ.

Λίθον γαγάτην προκειτέον τὸν ταχέως ἐξαπτόμενον. καὶ ἀσφαλτίζοντα ἐν τῇ ὀσμῇ.

Μελαντηρία ἐστὶν ἀρίστη ἡ θειόχρους λεία. ὁμαλὴ. καθαρὰ. καὶ ἐν τῇ θίξει μελαινομένη ταχέως.

Πομφόλυξ.

Αρίστη ἐστὶν ἡ κυπρία. ἐν δὲ τῷ ὄξει φυραθεῖσα ἀποφορὰν ἔχει χαλκοῦ. χροιὰν δὲ ὥσπερ ἰώδη. ἔστι δὲ βορβορύζουσα τῇ γεύσει καὶ ἐπ' ἄνθρακας διαπύρους ἐπιπνευθεῖσα, ἰώδη τὴν χροιὰν ἐμφαίνουσα.

Ἐκ τῶν Ὀρειβασίου πρὸς Εὐστάθιον καὶ Εὐνάπιον. περὶ δυνάμεως τῶν ἁπλῶν φαρμάκων. ὅσα μέσα ἐστὶ τῶν θερμαινόντων καὶ ψυχόντων.

Αδίαντον ἀσπάραγος. μυακάνθινος. βρύον τὸ καὶ σπλάγχνον λεγόμενον. γλυκυῤῥίζης ὁ χυλὸς. ἔλαιον τὸ γλυκύτατον. κηρός. κύαμος. λύκιον. λωτὸς ἢ τρίφυλλον. κυτινίου ὁ φλοιὸς. πιτυρέως ἡ ῥίζα. στροβιλίου τὸ ἐλαιώδη μοῦ. σχίνου ἄνθος. φακὸς. χία γῆ καὶ σαμία. καδμία. λιθάργυρος.

Ὅσα θερμαίνει μετρίως. ρϛζ.

Αγνου τὰ φύλλα καὶ τὸ σπέρμα. ἀκαλύφης ὁ καρπὸς καὶ τὰ φύλλα. ἀμύγδαλα γλυκέα. ἀναγαλλίδες ἀμφότεραι. ἀτρακτυλίς. γλυκυῤῥίζης ἡ ῥίζα. ἐλαίας ἡ ῥίζα. καὶ ὁ πέπειρος καρπὸς. ζύμη. ἠρύγγιον ῥητῖναι πᾶσαι. σύγκος ξηρὸς. σχίνου ἄνθος. φοινίκων ὁ καρπὸς. κοχλίων ἡ τέφρα. κυνοκράμβη. βατραχίου ἡ πόα. καὶ ἡ ῥίζα. γλίχων. δάφνης τὰ φύλλα, καὶ μᾶλλον ὁ καρπὸς. ἧττον δὲ ὁ φλοιὸς τῆς ῥίζης. δίκταμνον. ψευδοδίκταμνον. ἐλελίσφακος. ἐρύσιμον. ἐρία κεκαυμένα. βρυωνίας ῥίζα. ἀριστολοχίας ῥίζα. ἀσφοδέλου ῥίζα. δαῦκος. χαμαιδάφνη. δρακοντίου ἡ ῥίζα. ἔλαιον ῥαφάνινον. ἐρεβίνθων αἱ τρεῖς διαφοραί. ἰξός. καυκαλίς. λιβυστικὸν. ναρθηκος σπέρμα. σαγαπηνὸν. σατύριον. σέλινον. σίον. σίνον. στύραξ. ὕδνον. πέπερι. ὑπερικόν. ἅλες. αἷμα. χολὴ. οὖρον. θεῖον. σάρκες ἐχιδνῶν. σίελον. στέαρ. ἅλμη τῶν ταριχηρῶν ἰχθύων.

Ὅσα θερμαίνει τῆς πρώτης τάξεως. ρϛη.

Αλόη. ἀνθεμίς. ἀγαρικὸν. ἀψίνθιον, λάπαθον. λινόσπερμα. μαλαβάθρου φύλλον. ναρδόσταχυς. νάρδος κελτικὴ. οἶνος νέος. ὀῤῥὸς γάλακτος. τυρὸς. σῦκα ξηρά.

Ὅσα θερμὰ τῆς δευτέρας τάξεως. ρϛθ.

Αμόργη. ἄνηθον τὸ ξηρὸν, τὸ δὲ χλωρὸν ἔλαττον. ἀρτεμισία. βάλσαμον. ἐλαφόβοσκον. κάλαμος ἀρωματικὸς. κρόκος. λιβανωτὸν. μαστίχη. λεία. μέλι. οἶνος. πίσσα. μελισσόφυλλον. πράσιον. πρόπολις. σικύου ἀγρίου ὁ χυλὸς. σκάνδιξ. σκύλλα. σκολύμου ἡ ῥίζα. σμύρνα. τερεβίνθου ὁ φλοιὸς. καὶ τὰ φύλλα. καὶ ὁ καρπὸς. τῆλις. χαμαιλέοντος ἑκατέρου ἡ ῥίζα. χαμαιπίτυς. ὤκιμον.

Ὅσα τῆς τρίτης τάξεως τῶν θερμαινόντων. σ.

Αβρότονον, καὶ μᾶλλον τὸ κεκαυμένον. ἔλαιον. αἰγείρου τὰ ἄνθη. καὶ ἡ ῥητίνη. ἄκορον. ἄμωμον. ἀμάρακον. ἄμμι. ἄνηθον κεκαυμένον. ἄνισον. ἀρκευθος. ἀσάρου ἡ ῥίζα. βράθυ. ἐλλέβορος. ἑκάτερος ἐπίθυμον. ἡδύοσμον. καλαμίνθη. θύμβρα. καλάμου φαγμίτου ὁ φλοιὸς. καρῶον. κασία. κέδροι ἀμφότεροι. κνίκου σπέρμα. κόνυζαι. κύμινον. λιβανωτοῦ αἰθάλη. μαλάβαθρον. μελάνθιον. μήου αἱ ῥίζαι. μῶλυ ἢ πήγανον ἄγριον. ἢ βισαρὰ. ῥοδοδάφνη. οἶνος παλαιὸς. ὀρίγανοι πᾶσαι. ὀποπάναξ. πετροσέλινον. πήγανον. ῥαφανὶς. σάμψυχον. σμύρνιον. ὕσσωπον. χαλβάνη. χαμαίδρυς.

Ὅσα τῆς δ'. τάξεως θερμά. σα.

Αδάρκη. ἀμπελόπρασον. εὐφόρβιον. ἔλαιον κέδρινον. κόστος. κρόμμυον. λεπίδιον. νάπυ. σκόρδιον. στρουθίου ἡ ῥίζα. τιθυμάλλων ὀποί. καὶ τὰ καυστικὰ πάντα.

Ὅσα ψύχει.

Αγρωστις μετρίως. ἀλσίνη χωρὶς στύψεως. ἄπια μετρίως ψύχουσι καταπλασσόμενα. βαλαύστιον. βάτου φύλλα. καὶ οἱ βλαστοί. καὶ ὁ χλωρὸς καρπὸς, καὶ τὸ ἄνθος. βρόμος μετρίως. θαλάσσιον βρύον.

γλαύκιον μετρίως. θρυάκιον ψύχει πάνυ. καλάμου φραγμίτου μετρίως τὰ φύλλα. κώνειον ἄκρως. λειχὴν ὁ ἐπὶ τῶν πετρῶν. μήκων πᾶσα. μηλέας ὁ καρπός. ἐλαίας ὁ καρπός. καὶ τὰ φύλλα. ἔλαιον μύρσινον. σησάμινον. βαλάνινον. ἐλξίνη ἡ περδικιὰς μετρίως. ἔλυμος. ἴου τὰ φύλλα καὶ ὁ χυλός. περσικοῦ. κιτρίου ἡ σάρξ. μυκῆται ψύχουσιν ἱκανῶς. ὀμφακίου χυλὸς ἱκανῶς. ἄμυλον μετρίως. ῥόδινον μετρίως. πάτος ἀπὸ παλαίστρας. σόγχος ὁ μὴ ξηρός. τρίβολοι ἀμφότεροι. φοίνικος τῶν κλάδων ὁ χυλός. σαμία γῆ μετρίως. κιμωλία γῆ. ναξίας ἀκόνης τὸ ἀπότριμμα. μολύβδαινα μετρίως. μόλιβδος ψιμμύθιον. σάνδυξ. τυρὸς μαλακὸς καὶ νεοπαγὴς, ψύχει μετρίως.

Ὅσα ψύχει τῆς πρώτης τάξεως. σβʹ.

A κακία ἄπλυτος. ἀτράφαξυς ψύχει ἄνευ στύψεως. γίγαρτα. κέγχρος κριθαί. πλάτανος. ῥάμνος. 10 σέρις.

Ὅσα τῆς δευτέρας τάξεως τῶν ψυχόντων. σγʹ.

A κακία πεπλυμένη. ἀρνόγλωσσον. βλίτον. κηκὶς ὀμφακίτης. κολοκύνθη. σικὺς πέπων. στρύχνος κηπαῖος. φακὸς ὁ ἐπὶ τῶν τελμάτων. φύκος χλωρὸν, τὸ περὶ τὴν ὄχθην τῆς θαλάσσης ἐξαιρούμενον. ψυλλίου τὸ σπέρμα.

Ὅσα ψύχει κατὰ τὴν τρίτην τάξιν. σδʹ.

A ἀείζωα ἀμφότερα. ἀνδράχνη. μανδραγόρας. κιχώριον τὸ ὀξύ. πολύγονον. ποταμογείτων. ὑοσκύαμος, ὁ τὸ ἄνθος καὶ τὸ σπέρμα τὸ λευκὸν ἔχων. Ὅσα ψύχει κατὰ τὴν δʹ. τάξιν. σεʹ.

O πὸς μηκώνειος. καὶ κώνειον.

Ὅσα ξηραίνει ἀδήκτως. σςʹ.

A καλήφης, ἢ κνίδης ὁ καρπός. καὶ τὰ φύλλα. ἀμόργη. ἀναγαλλίδες ἀμφότεραι. βρώμος. ἀρνόγλωσσον. ἔλαιον γλυκὺ ἄναλον πλυθέν. ζύμη ὠθιασταὶ ταῦτα ἐκ βάθους καὶ διαφορεῖ. θέρμος πικρὸς. 20 ἵππουρις ἰσχυρῶς. ἰσάτις. ἰτέας τὸ ἄνθος καὶ τὰ φύλλα μετά τινος στύψεως. ἔνιοι δὲ καὶ χυλὸν ἐξ αὐτῶν ποιοῦντες ἀδήκτως ξηραῖνον φάρμακον ἔχουσιν εἰς πολλὰ χρήσιμον. πολυχρηστότερον δὲ ἐστὶν ἀδήκτως ξηραῖνον καὶ στῦφον φάρμακον, χαλκοῦ λέπος καυθὲν, μετὰ τοῦ καὶ λεπτομερὲς εἶναι. κέγχρος. κενταύρειον λεπτὸν, ἰσχυρῶς ξηραίνει. κερασίου τὸ κόμμι. κέδρινον. κύαμος ἔξωθεν ἐπιτιθέμενος. κυπαρίσσου ἅπαντα τὰ φύλλα τε καὶ τὰ ἄλλα πάντα μόρια. κυπέρου ἡ ῥίζα. στροβίλου τὸ ἐλαῶδες μὲν ἐν ὕδατι βραχέν. νυμφαίας ἡ ῥίζα. σίραιον, ὅ ἐστιν ἕψημα, πάνυ ξηραίνει. πενταφύλλου ἡ ῥίζα. πολυπόδιον. σμύρνη. σαρκοκόλλα. στοιβή. φαλάγγιον. γῆ πᾶσα. καδμία. ἀσίας πέτρας ἄνθος τὰς πλαδαρὰς σάρκας ἐκτήκει. πομφόλυξ πλεονάκις πλυθεῖσα. πιτυΐς γενναίως. ὠοῦ τὸ λευκὸν καὶ λεπτόν. ὁμοίας δὲ φύσεως εἰσὶ καὶ αἱ λέκυθοι τῶν ὠῶν.

30

Ὅσα ξηραίνει ἁπλῶς. σζʹ.

A γνου τὰ φύλλα καὶ τὸ σπέρμα. ἀγρώστεως ἡ ῥίζα μετρίως. ἀδίαντον. ἀείζωα ἀμφότερα. ἀμάραντον ῥοῦμα ξηραίνει πινόμενον. βρυωνίας ῥίζα. ἀναγύρου τὰ φύλλα ξηρά. ἄπιοι μετρίως καταπλασσόμενοι. ἀριστολοχία. ἀσπάραγος. μυακάνθινος. ἀσφοδέλου ἡ ῥίζα, καὶ μᾶλλον ἡ τέφρα. βαλαύστιον πάνυ. τῶν βάτων ἄωρος καρπός. δρυὸς πάντα τὰ μόρια. φηγοῦ ὁμοίως. βολβὸς καταπλασσόμενος. ἠρύγγιον. ἰσάτις. ἰτέας τοῦ φλοιοῦ ἡ τέφρα ἰσχυρῶς. καννάβεως ὁ καρπός. παιονίας ἡ ῥίζα. δάφνης τὰ φύλλα σφοδρῶς. καὶ μᾶλλον ὁ καρπός. κύπρινον ἔλαιον. δάφνινον. σχίνινον. ἔλυμος καταπλασσόμενος. καρδάμωμον. καυκαλίς. δαῦκος. κοιλία. καὶ μᾶλλον ἡ ἀπὸ συκίνης τέφρα. κράμβη. οἱ δὲ καυλοὶ αὐτῆς, ἰσχυρῶς ξηραίνουσαν ποιοῦσι τέφραν. κεδρίς. κέδρου τὰ φύλλα, καὶ ἡ ῥίζα. ὀμφάκινον. πλατάνου ὁ φλοιὸς καὶ τὰ σφαιρία μετρίως. πολυπόδιον. ἄμυλον. ἅλες. νίτρον. γύψος κεκαυμένος μᾶλλον. καδμία πᾶσα. πάντα τὰ μεταλλικὰ καὶ τὰ λιθώδη καὶ τὰ γεώδη. 40 ὄστρακον τὸ ἐκ τῶν κλιβάνων. πιτύα πᾶσα. κόπρος. ἡ δὲ τῶν χηνῶν καὶ ἱεράκων ἄχρηστος, διὰ πολλὴν δριμύτητα. ῥύπος. σάρκες. κεφαλαί τε αἱ ξηρῶν μαινίδων. κέρας ἐλάφου καὶ αἰγός. καστόριον. ὀστᾶ κεκαυμένα ἰσχυρῶς. τρίχες κεφαλῆς. σηπίας ὄστρακον. ἔρια κεκαυμένα. καρκίνων ἡ τέφρα. γάρον ἱκανῶς. ἅλμη.

Ὅσα ξηραίνει κατὰ τὴν πρώτην τάξιν. σηʹ.

A νθεμίς. ἀρκεύθου ὁ καρπός. κριθῶν. κριθαί. ἄλφιτα. κρόκος. λιβανωτός. μάραθρον. ῥοδοδάφνη. οἶνος νέος. σικύου πέπονος σπέρμα. καὶ ἡ ῥίζα τέλεως.

Ὅσα ξηραίνει κατὰ τὴν δευτέραν τάξιν. σθʹ.

A ἶρα. ἀμάρακον. ἄσφαλτος. ἄνηθον. βάλσαμον. γίγαρτα. πηγάνιον. ἐλαφόβοσκον. κάλαμος ἀρωμα- 50 τικός. λιβανωτοῦ ὁ φλοιός, καὶ τὰ φύλλα τοῦ δένδρου, καὶ τὸ σπέρμα. μῆον. μαστίχη. μέλι. ναρδόσταχυς. νάρδος κελτική. οἶνος. ὄροβος. ὀποπάναξ, πίσσα. ῥάμνος. ῥαφανίς. σκάνδιξ. σκολύμου ἡ ῥίζα. σμύρνη. σχῖνος. τερεβίνθου ὁ καρπός. καὶ τὰ φύλλα. φακοί. φύκος ὑγρὸν καὶ χλωρόν. φύλλον μαράθρου. μαλάβαθρον. χαλβάνη.

Ὅσα ξηραίνει

Ὅσα ξηραίνει κατὰ τὴν τρίτην τάξιν. σθʹ.

Α βρότονον καὶ μᾶλλον τὸ κεκαυμένον. ἀγαρικία. ἄκορον. ἀλόη. ἄμμι. ἄνηθον κεκαυμένον. ἀνήθου σπέρμα. ἄρκευθος. ἄσαρον. ἀψίνθιον. βράθυ. ἐλλέβορος. ἐπίθυμον. θύμβρα. καλαμίνθη. καλάμου φραγμίτου φλοιὸς ὁ κεκαυμένος. κάρου. κασία. κέδροι. κόνυζαι. λιβανωτοῦ αἰθάλη. μελάνθιον. κιτρίου τὸ σπέρμα. οἶνος ὁ ἱκανῶς παλαιὸς. ὄξος. ὀρίγανον. πενταφύλλου ῥίζα. πετροσέλινον. σμύρνη. πήγανον ἥμερον. πράσιον. ῥοῦς. σάμψυχον. σίσυμβρον(?). ὕσσωπον. χαμαίδρυς. χαμαιλέοντος ἑκατέρου αἱ ῥίζαι. χαμαιπίτυς. Ὅσα ξηραίνει κατὰ τὴν τετάρτην τάξιν. σιʹ.

Α μπελόπρασον. κέδρινον ἔλαιον. νάπυ. πήγανον ἄγριον. σκόροδον.

Ὅσα μέσα τῶν ξηραινόντων καὶ ὑγραινόντων ἐστίν. σιαʹ.

Α γρώστεως αἱ ῥίζαι καταπλασσόμεναι. ἔλαιον τὸ γλυκύτατον.

10 Ὅσα ὑγραίνει κατὰ πρώτην τάξιν. σιβʹ.

Α λσίνη. βούγλωσσον. γλυκυρρίζης ὁ χυλὸς. θρίδαξ μετρίως. ἴου τὰ φύλλα μετρίως. μηλέας περσικῆς ὁ καρπὸς. μύκητες. ῥόδινον. σατύρειον. στρατιώτης ποτάμιος.

Ὅσα ὑγραίνει κατὰ τὴν δευτέραν τάξιν. σιγʹ.

Α νδράχνη. ἀτράφαξυς. βλίτον. κολοκύνθη. μηλέας ἀρμενιακῆς ὁ καρπὸς. σίκυς. πέπων. φακὸς ὁ ἐπὶ τῶν τελμάτων. * Ὅσα ὑδατώδη ψυχρότητα ἔχει. σιδʹ.

Α κακία. ἀλσίνη. ἀνδράχνη. ἀρνόγλωσσον. ἀτράφαξυς. βάτου τὰ φύλλα. βλίτον. βρύον θαλάττιον. γλαύκιον. δορύκνιον. ἰξὸς. ἰτέα. κολοκύνθη. κοτυληδών. κώνειον. πολύκνημον(?) δένδρον. μαλάχη ἥμερος. μήκων. μῆλα. πρεκόκκια. μύκητες. πλάτανος. πολύγονον. ποταμογείτων. σιδηρίτης. σίκυς ἐδώδιμος. σαλίχνες(?). σόγχος. τρίβολος. φακὸς ὁ ἐπὶ τῶν τελμάτων. ψυλλίου τὸ σπέρμα. μόλιβδος.

20 Ὅσα λεπτομερῆ. σιεʹ.

Α βρότονον κεκαυμένον. ἄγνος. σκάνδιξ. αἰγείρου ἄνθη. τὰ ἀγαλλίφης(?) ὁ καρπὸς. καὶ τὰ φύλλα. ἄμωμον. ἄκορον. ἀσάρου ἡ ῥίζα. βρυωνίας ῥίζα. ἀρτεμισία(?). ἀπαρίνη. ἀριστολοχία. ἀρνόγλωσσον ξηρὸν. ἀσφοδέλου ἡ ῥίζα. καὶ μᾶλλον ἡ κεκαυμένη. βάλσαμον. βράθυ. νάπυ. βάτου ἡ ῥίζα. γλυκυρρίζης ἡ ῥίζα. ἔλαιον παλαιὸν. κίκινον. ἐλαφόβοσκον. εὐφόρβιον. ζύμη. ἰτέας ὀπὸς. καλαμίνθη. κάλαμος ἀρωματικὸς καλάμου φραγμίτου ὁ φλοιὸς κεκαυμένος. κασία. καρπάσιον. κέγχρος. κέδρινον ἔλαιον. κοκκυμηλέα. κόμμι. μαστίχη. μελάνθιον. ὀπὸς κυρηναϊκὸς. ὀποβάλσαμον. πήγανον. πιτυΐνου ὁ καρπὸς. πρόπολις. τερέβινθος. ῥόδινον ἔλαιον. σαγαπηνὸν. σάμψυχον. σέσελις. σικύου σπέρμα. σῦκα ξηρὰ μετρίως. σχίνου ἄνθος. τέφρα. τίτανος. ἁλὸς ἄνθος. ὕσσωπον. ἅλες. ἁλκυόνιον. τὸ μήλινον. νίτρον. ἀρσενικὸν κεκαυμένον. θεῖον. καδμία. κίσσηρις κεκαυμένη. κονία. ἀσίας πέτρας ἄνθος. μελαντηρία. μίσυ. χαλ-

30 κὸς. χρυσοκόλλα. ζεῦλυξ(?). φῦκος. στέαρ λέοντος. καὶ παρδάλεως. καὶ ὑαίνης πάνυ. καστόρειον. σηπίας ὄστρακον κεκαυμένον. ὄρια κεκαυμένα. Ὅσα παχυμερῆ. σιςʹ.

Α ρυογλώσσου(?) ἡ ῥίζα. βαλαύστιον. γίγαρτα. ζιγγίβερ. κρόμμυον. σικύς. λεπίδες πᾶσαι. σῶρι. στυπτηρία.

Ὅσα ῥωστικά. σιζʹ.

Κ ασία. κηκὶς ὀμφακῖτις. στοιχὰς. φοίνικος ὁ καρπὸς. ἀψίνθιον. μαστίχη.

Ὅσα συμπεπτικά. σιηʹ.

Α μωμον. σταφὶς ἥμερος. κηρὸς. λάδανον. κόλλα ἡ εἰς τὰ βιβλία. κρόκος. λιβανωτὸς. πίσσα. μαστίχη αἰγυπτία. ῥόδινον ἔλαιον. μύρσινον. στύραξ. χαλβάνη. χόνδρος. χοίρειον στέαρ. καὶ μόσχειον. καὶ ὕειον. βούτυρον. ὕσσωπον. Ὅσα ἐκπυητικά. σιθʹ.

Υ δωρ εὔκρατον καταντλούμενον. ὑδρέλαιον εὔκρατον. πύρινον ἄλευρον. ἄρτος. χόνδρος. χοίρειον στέαρ

40 καὶ μόσχειον. βούτυρον. λιβανωτὸς. πίσσα. ῥητίνη.

Ὅσα μαλακτικά. σκʹ.

Ο σα θερμαίνει μὲν οὐ μὴν σφοδρῶς ἅμα τῷ μηδὲ ξηραίνειν σφοδρῶς. ἔστι δὲ ταῦτα αἴγειον στέαρ. καὶ τὸ τῆς ἀλεκτορίδος. καὶ χοίρειον. καὶ ταύρειον. καὶ τράγειον. μυελὸς ἐλάφειος. καὶ μόσχειος. ἀμμωνιακὸν θυμίαμα. στύραξ. χαλβάνη. βδέλλιον. ἔλαιον σικυώνιον. ἔλαιον κρίνινον. ἔλαιον τὸ γλυκύτατον. ἀρτεμισίας(?). ἀλθαίας ἡ ῥίζα. σικύου ἀγρίου ἡ ῥίζα. μαλάχης ἀγρίας τὰ φύλλα. μαστίχη χία. καὶ αἰγυπτία. τερεβινθίνη. ῥητίνη κολοφωνία. ὀποπάναξ. ῥύπος ὁ ἀπὸ τῶν ἀνδριάντων. πάτος ὁ ἀπὸ παλαίστρας. βούτυρον. ὕσσωπος.

Ὅσα σκληρύνει. σκαʹ.

Α εἴζωον. ἀνδράχνη. ψύλλιον. φακὸς ὁ ἐπὶ τῶν τελμάτων. στρύχνος. σκληροῦται δὲ τὰ ἐσκληρυ-

50 μένα μόρια, ἢ διὰ ξηρότητα, ἢ διὰ πλῆθος, ἢ διὰ πῆξιν. εἰ μὲν οὖν διὰ ξηρότητα σκληρὸν γένηται μόριον, ὑγραίνειν αὐτὸ παντὶ τρόπῳ προσήκει. εἰ δὲ διὰ πλῆθος, κενοῦν τὸ πλῆθος χρή. εἰ δὲ διὰ πῆξιν σκληρωθείη, τοῖς μετρίως θερμαίνουσι διαλύειν τὴν πῆξιν χρή. ἡ γὰρ πῆξις, ἐκ ψύξεως γίνεται. τὰ δὲ σφοδρῶς θερμαίνοντα, πήγνυσι μᾶλλον.

γάσμα γενόμενον τῷ βασιλεῖ τῶν περσῶν.

Γ επέρεως ἀδάρκης σταφίδος ἀγρίας. πυρέθρου. νίτρου Ἀλεξανδρινοῦ. ἴσα πάντα. τελευταῖον δὲ προστιθεὶς, γεντιανῆς καὶ ἀριστολοχίας μικρᾶς. κενταυρείου μικροῦ. συκίου ἀγρίου ῥίζης. ἀφρονίτρου λευκοῦ. ἁλὸς. ἀμμωνιακοῦ πάντα ἴσα. ὅλον μὲν τὸ σῶμα κατέπλαττον τούτῳ τῷ φαρμάκῳ ἐν τῷ λουτρῷ. τὴν δὲ χεῖρα τὴν πεπονθυῖαν διέβρεχον ἅλμῃ ἐκ σπόγγου λευκοῦ γεγενημένῃ ἀπὸ ἁλῶν ἀμμωνιακῶν.

Ὅσα ῥύπτει. σκβ'.

Α ἰγεία κόπρος κεκαυμένη καὶ ἄκαυστος. καὶ τῶν ὀστρακοδέρμων πάντων τὰ ὄστρακα. σηπίας ὄστρακα. ἐχῖνοι χερσαῖοι καὶ θαλάσσιοι ἡ τέφρα. ὀῤῥὸς γάλακτος. βρυωνίας ἡ ῥίζα. μέλι. ἀμύγδαλα ἐδώδιμα, καὶ αὐτὸ τὸ δένδρον. ἀναγαλλίδες ἀμφότεραι. ἀνεμῶναι πᾶσαι. ἀρνογλώσσου τὰ φύλλα. 10 καὶ μάλιστα τὰ ξηρά. ἀριστολοχία. ἄρον. ἀσπάραγος. μυακάνθινος. σταφὶς ἀγρία. ἀσφοδέλου ἡ ῥίζα. ἀτραφάξυος ὁ καρπὸς. ἀψινθίου ὁ χυλὸς. βολβὸς καταπλασσόμενος. ἐλλέβορος ἑκάτερος. ἐλξίνη ἤτοι περδικιὰς. ἰτέας ὁ καρπὸς. καλάμου φραγμίτου ἡ ῥίζα λεία μετρίως. κυάμου ἡ σὰρξ. λαμψάνη καταπασσομένη. λειχὴν ὁ ἐπὶ τῶν πετρῶν. λευκοΐου πάντα τὰ μόρια. πλατάνου ὁ φλοιὸς τῆς ῥίζης. πράσιον. μεῖον. πρόπολις μετρίως. πτελέας τὰ φύλλα. καὶ ὁ φλοιὸς. καὶ ἡ ῥίζα. πιτυσαίνη. τερεβινθίνη, πλέον τῆς μαστίχης. σαγαπηνὸν μετρίως. συκία. πέπονος ἅπαντα τὰ μόρια. σικύου ἀγρίου ῥίζα. τεῦτλον. τιθύμαλλος. φοῦ. χαμαιπίτυς. ἁλκυόνια πάντα. γῆ χία, καὶ σαμία μετρίως. σμιρις ἱκανῶς. κέρας ἐλάφου. καὶ αὐτὸς κεκαυμένον καὶ ὅσα ἂν εὑρίσκοις νιτρώδη καὶ πικρὰ, ταῦτα ἐκκαθαίρειν δύναται τοὺς πόρους πάντα. ὅσα δέ ἐστι λεπτομερῆ γλυκέα, ῥύπτει ἀδήκτως τῶν ἑλκῶν τὸν ῥύπον καὶ τοῦ παντὸς δέρματος. καθάπερ ὄροβοι κύαμοι. κριθαὶ. θέρμοι, καὶ τὰ ὅμοια.

20

Ὅσα ἀναστομωτικά. σκγ'.

Τ ὰ δὲ ἀναστομωτικά ἐστι θερμὰ οὐ πάνυ καὶ παχυμερῆ. τὰ γὰρ σφοδρῶς θερμαίνοντα, καίει. καὶ ἐσχάραν ἐργάζεται. ἀνεμῶναι πᾶσαι. κρόμμυον. σκόροδον. ταύρου χολή. ἰξίνη καὶ ἀμαράκινον ἀπόσταθμη.

Ὅσα ἀραιωτικὰ τοῦ δέρματος. σκδ'.

Α ραιωτικὰ δέ ἐστι τὰ μὲν μετρίως θερμαίνοντα καὶ ἀλύπως, οὐδαμῶς δὲ ξηραίνοντα. ἀραιωτικὸν γάρ ἐστιν ὄροβον ἄλευρον. ναρκίσσου βολβὸς. φαλάγγιον μετρίως. ὠῶν τὸ λευκόν. χαμαίμηλον. ἀλθαία. σικύου ἀγρίου ῥίζα. κόστος. λιβανωτὸς. νίτρον. ἀβρότονον. ἔλαιον παλαιόν.

Ὅσα ὑπνωτικά. σκε'.

Υ δωρ ψυχρόν. ἀείζωον. ἀνδράχνη. στρόβιλος χλωρὸς. ψύλλιον. φακὸς ὁ ἐπὶ τῶν τελμάτων. μανδραγόρου τὰ μῆλα. καὶ ἁπλῶς ὅσα ψύχει μὴ ξηραίνοντα.

Ὅσα σηπτικά. σκς'.

Α ρσενικόν. σανδαράχη. χρυσοκόλλα. κανθαρὶς. πιτυοκάμπη. κεδρία. ἐλλέβορος μέλας.

30

Ὅσα καταστάλτικὰ τῶν ὑπεροχῶν. σκζ'.

Ε λατήριον. σικύου ἀγρίου ῥίζα. ὤχρα. μανδραγόρας. ἀσίας πέτρας ἄνθος. τὰ ὄστρακα τῶν ὀστρέων. ἐχῖνοι ἀμφότεροι καυθέντες ζῶντες τοῖς σώμασιν. αἱματίτης λίθος ξηρὸς λειωθεὶς, ὡς χνοώδης γενέσθαι. κύαμος. λεπὶς χαλκοῦ. χρυσοκόλλα.

Ὅσα ἐπουλωτικά. σκη'.

Ο σα στύφει καὶ ξηραίνει. στυπτηρία. κηκὶς ὀμφακῖτις. χαλκὸς κεκαυμένος, καὶ μάλιστα εἰ πλυθείη. τὰ τῆς ῥόας σίδια ξηρά. σκωρία μολίβδου. λιθάργυρος. ἔλκυσμα. μόλιβδος κεκαυμένος. τὰ τῶν ὀστρακοδέρμων ὄστρακα πάντα. ὕελος. κίσσηρις, καὶ μάλιστα κεκαυμένη, καὶ οἴνῳ ἐσβεσμένη. πεκλάειον κεκαυμένον. ψιμμύθιον. πομφόλυξ. σπόδιον πεπλυμένον. χρυσοκόλλα. στίμμι κεκαυμένον. 40 διφρυγὲς. σαρκοκόλλη. πάντα τὰ προειρημένα ἐὰν ἐπιπάττῃς τοῖς ἕλκεσιν, ἐπουλοῖς τὰ ἕλκη. μετὰ δὲ τοῦ δάκνειν, ἐπουλοῖ χάλκανθον κεκαυμένον. καδμία. λεπὶς χαλκοῦ καὶ σιδήρου, καὶ μάλιστα στομώματος. ἰὸς. ἄσβεστος κεκαυμένη. καὶ πεπλυμένη.

Ὅσα ἑλκοῖ ἐπιπολαίως. σκθ'.

Κ οινοσβάτου τὰ φύλλα. τεύτλου ῥίζα σκόροδον. γλήχων. ὕσσωπον. ὀρίγανον. σηπίας ὄστρακα. ἀσφοδέλου ῥίζα. λινόσπερμα. καὶ τὰ ἁλικὰ. καὶ τὰ δριμέα. καὶ τὰ πικρά.

Ὅσα καυστικά. σλ'.

Κ ανθαρὶς. διφρυγὲς. φὺξ ὄξους κεκαυμένη. ἀνεμώνη ἡ τὸ φοινικοῦν ἄνθος ἔχουσα. σκόροδον. τέφρα καὶ μάλιστα συκίνη. νίτρον ὀπτὸν. χαλκὸς κεκαυμένος. στυπτηρία. κηρύκων ὄστρακα κεκαυμένα. κεφαλαὶ μαινίδων. ἀρσενικὸν. κάχρυ. σταφὶς ἀγρία. κόκκος κνίδειος. πύρεθρον. νάπυ. τίτανος. ἡ μὲν ἄσβεστος καίει. ἡ σβεσθεῖσα δὲ, ἐσχαροῖ.

Ὅσα ἑλκτικά. σλα'.

Α νεμῶναι πᾶσαι. ἀναγαλλίδες ἀμφότεραι. δίκταμνος. τερέβινθος. ταψία. κυκλάμινος. ναρκίσσου 50 ἡ ῥίζα. πρόπολις ἰσχυρῶς. ζύμη. κόπρος πᾶσα. σαγαπηνόν. ὀπὸς ὅ, τε κυρηναϊκὸς καὶ ὁ μηδικὸς. σιλφίου ὀπὸς καὶ ἡ ῥίζα. σπαργάνιον. ᾧ οἱ στρουθοπώλαι χρῶνται. ὅ, τε καρπὸς καὶ ὁ τῶν ῥάβδων χυλὸς γενναίως. τερεβινθίνη μᾶλλον τῶν ἄλλων ῥητινῶν. θεῖον. κόπρος βοῶν. καὶ μᾶλλον τῶν ἐσθιόντων ὀρόβους. καλαμίνθη καταπλασσομένη. κόστος ἀποτριβόμενος μετ' ἐλαίου. ἰσχυρῶς δὲ ἕλκει ὁ ἰξός.

Ὅσα.

Ὅσα διαφορητικά. σλγ΄.

Α βρότονον. ἀγαρικόν. ἀδίαντον. αἰγίλωψ. ἀγνοῦ ἀλείφης ὁ καρπὸς καὶ τὰ φύλλα. ἱκανῶς ἀκτῆς. ἀρτεμισία. ἀνίσου σπέρμα. ἀριστολοχίας ῥίζα. ἀσφοδέλου ῥίζα. καὶ μᾶλλον κεκαυμένη. ἀνδράφαξις. βολβὸς. βράθυ. βρύον ὃ καὶ σπλάγχνον καὶ ὕπνον καλεῖται. δαῦκος. ἀλθαία. ἔλαιον γλυκύ, ἔλαιον παλαιόν. ἔλαιον ῥαφάνινον, καὶ κίκινον. θαψία. καλάμου φραγμίτου ὁ φλοιὸς κεκαυμένος, ἱκανῶς διαφορεῖ. κράμβης φύλλα. καὶ κρίνου. λάπαθον. λινόζωστις. μαλάχη ἀγρία. μέλι. περιστερεῶνος. μηλέας τὰ φύλλα. καὶ οἱ βλαστοί. ῥοδοδάφνη. ἐλατήριον. ἀγρία συκῆ. ὀποβάλσαμον. ὀπὸς κυρηναϊκὸς σφοδρότατον. παλιούρου τὰ φύλλα. καὶ ἡ ῥίζα. πήγανον. πίσσα. πράσον. τερεβινθίνη. ῥόδινον ἔλαιον μετρίως. ῥύπος ὁ ἐκ τῶν ἀνδριάντων παχὺς. σάμψυχον. συκίου ἀγρίου ἡ ῥίζα. ζιγγιβέ-
10 ρεως. τῶν ἰσχάδων αἱ δριμύτεραι τῶν ὀλύνθων μᾶλλον. τεῦτλον χωρὶς τοῦ θερμαίνειν. ἰσχυρότερον δὲ τὸ λευκόν. χαλβάνη. ἅλες οἱ κεκαυμένοι μᾶλλον. ἁλὸς ἄνθος. νίτρον. ἀλκυόνια πάντα. σαμία γῆ. ὑοσκύαμος. τυρὸς ἁπαλὸς. ὀξυγαλάκτινος μετρίως. βούτυρον. πιτύα πᾶσα. κόπρος πᾶσα πάνυ. ὕσσωπον μετρίως. σάρκες ἐχιδνῶν ἰσχυρῶς. στέαρ, μᾶλλον δὲ τὸ τῶν λεόντων. ὀστᾶ κεκαυμένα ἐχιδνῶν καὶ ἡ τέφρα.

Ὅσα στύφει. σλδ΄.

Α γριελαία. ἀχράδος τὸ φυτόν. σχῖνος. σέλινον. ἀείζωα. μήκων. κύτισος. ἀλόη. ἀκαλήφη ἡ κνίδη. γίγαρτα. ἄπιοι. κρόκος. ἀλθαία. τερέβινθος. βάλανος. ὑοσκύαμος. κισσός. νυμφαία. φοίνικες. ὠοῦ τὸ χλωρὸν ὀπτόν. παλίουρος. ἱππουρίς. αἷμα πεπηγός. κύπρος. οἰνάνθης. κράμβη δὶς ἑψηθεῖσα. πιτύα λαγωοῦ. σπόγγος κεκαυμένος. ῥάμνος. πολλὰ δὲ καὶ ἄλλα ἐστὶ στύφοντα. ἅτινα πᾶσίν ἐστι γνώριμα.

Ὅσα σπέρμα γεννᾷ. καὶ προσκαλεῖται ἐν ἐδέσμασί τε καὶ φαρμάκοις.
καὶ τροφαῖς φαρμακώδεσι. σλε΄.

20 Τῶν ἐδεσμάτων τὰ τροφιμώτερα πάντα. καὶ τὰ φυσώδη. καὶ φάρμακα δὲ ὅσα πνευματώδη καὶ θερμά. βολβοὶ μὲν οὖν καὶ ἐρέβινθος. καὶ στρόβιλοι. καὶ κύαμοι. καὶ σῦκα, ἐδέσματά εἰσι πολύσπερμα. σκίγκος τε. καὶ σατύρειοι. καὶ τὰ ὅμοια φάρμακα. καὶ τροφαὶ δὲ ἅμα καὶ φάρμακα. τό, τε τῆς λυγὸς σπέρμα. καὶ τὸ εὔζωμον. καὶ τὸ ὄρμινον.

Ὅσα ἐπέχει σπέρμα. σλς΄.

Ο σα ψύχειν πέφυκεν ἐδέσματά τε καὶ φάρμακα. παχύνοντά τε καὶ πηγνύντα, ἐπέχει τὸ σπέρμα. οἷον θριδακίναι. σικύαι. βλίτα. ἀνδράφαξις. κολοκύνθη. μόρα. μηλοπέπονες. ὅσα δὲ ξηραίνει τὴν ἀρχὴν, οὐδὲ ἐπιτρέπει γενέσθαι σπέρμα. κἂν θερμαντικὴν φύσιν ὑπέχει καθάπερ τὸ πήγανον. εἰ δὲ μὴ θερμὰ εἴη, πολὺ μᾶλλον ξηραίνει. καὶ οὐ συγχωρεῖ γενέσθαι σπέρμα. ὡς ἡ νυμφαίας ῥίζα.

30 Περὶ τροφῶν δυνάμεως. σλζ΄.

Χ ρὴ δὲ εἴπερ τι ἄλλο τὰς τῶν τροφῶν δυνάμεις ἐπίστασθαι τὸν τῆς ὑγείας φροντίζοντα. τὰ μὲν οὖν τῆς λεπτυνούσης δυνάμεως, ἐμφράττει τε τὰς στενὰς διεξόδους καὶ ἀπορρύπτει τὰ προσπλαττόμενα γλίσχρα. τέμνει καὶ τὰ παχέα. συνάγει δὲ τοῖς χρονίσασι κατὰ τὴν ἐδωδὴν αὐτῶν, ὀρρώδη τε, καὶ χολώδη περιττώματα. κἂν ἔτι μᾶλλον πλεονάσῃ τις μελαγχολικὸν τὸ αἷμα καθίσταται. χρὴ οὖν ἀπέχεσθαι αὐτῶν τῆς συνεχοῦς χρήσεως. καὶ μάλιστα τῶν χολωδῶν τῇ κράσει. ἁρμόζει γὰρ μόνοις τοῖς τὸ φλέγμα καὶ τὸν ὠμὸν χυμὸν, καὶ γλίσχρον, καὶ παχὺν ἠθροικόσι. τὰ δὲ τῆς παχυνούσης, τρόφιμα ἱκανῶς ἐστι, κἂν ἐν τῇ γαστρὶ, καὶ τῷ ἥπατι πεφθῇ προσηκόντως, εὔχυμον αἷμα γεννᾷ. πλείονα δὲ, καὶ ἧπαρ, ἐμφράττει. τούτων δὲ τινὰ μέν ἐστι παχύχυμα μόνον, ὡς ἡ φακή. τινὰ δὲ γλίσχρα, ὡς ἡ μαλάχη. τισὶ δὲ ἄμφω συμβέβηκε παχυχύμοις τε, καὶ γλίσχροις εἶναι. ὥσπερ τῇ σαρκὶ
40 τῶν ὀστρακοδέρμων. ἀσφαλεστέρα τοίνυν ἐστὶν ἡ λεπτύνουσα δίαιτα, πρὸς φυλακὴν ὑγείας τῆς παχυνούσης μᾶλλον. ὀλιγότροφος δὲ οὖσα, τόνον οὐκ ἐντίθησιν, οὐδὲ ῥώμην ἐν τοῖς σώμασιν. καὶ χρὴ ποτὲ καὶ τῶν πολυτρόφων προσφέρεσθαι μετρίως, ἵν᾽ ἵνα τῆς ἀτονίας ἀντιλαμβάνεσθαι χρή. μάλιστα δὲ ἂν ἀκινδύνως μεταλαμβάνοιεν τῆς παχυνούσης διαίτης, οἱ γυμνασίοις τε προσέχοντες. καὶ καθεύδοντες ἐφ᾽ ὅσον ἂν βούλωνται. πάντες δὲ ὅσοι πρὸ τῶν σιτίων, οὐκ οἷοί τε εἰσὶ γυμνάζεσθαι, φευγέτωσαν τὰς παχυχύμους τροφάς. μέγιστον γὰρ κακὸν εἰς τὴν τῆς ὑγείας φυλακὴν, ἡ παντελὴς ἀργία καθέστηκεν. ὥσπερ γε ἡ σύμμετρος κίνησις, μέγιστον ἀγαθόν. τὰ δὲ μεταξὺ τῶν λεπτυνόντων τε καὶ παχυνόντων ἐδεσμάτων, κάλλιστα πάντων ἐστί, σύμμετρον αἷμα γεννώντων κατὰ τὴν σύστασιν. καταλληλος μὲν οὖν ἡ τοιαύτη τροφὴ τοῖς σώμασιν ἡμῶν ἐστι. βλαβερὰ δὲ ἡ παχύχυμος. ἣν ἀεὶ χρὴ φεύγειν. φυλάττεσθαι δὲ χρὴ καὶ τὴν ποικιλίαν τῶν τροφῶν, καὶ μάλιστα ἐὰν ἐξ ἐναντίων
50 ὦσι δυνάμεων. οὐ γὰρ πέττεται τὰ ληφθέντα προσηκόντως.

Ὅσα λεπτύνοντά ἐστιν ἐν τροφαῖς. σλη΄.

Σ κόροδα. κρόμμυα. κάρδαμα. πράσα. νάπυ. πέπερι. σμύρνιον. πύρεθρον. ὀρίγανον. καλαμίνθη. ὕσσωπον. σισύμβριον. γλήχων. θύμα. θύμβρα χλωρὰ προσφερομένη, ξηρανθεῖσα δὲ ἤδη φάρμακόν ἐστι. τοῖς δὲ εἰρημένοις ἐφεξῆς ἐστι, εὔζωμα. σίχ. σέλινα. πετροσέλινα. ὤκιμα. ῥαφανίδες. κράμβη. τεῦτλα. μά-

ἔαθρον. κορίανον. πήγανον. ἄνηθον. λιβυστικόν. κύμινον. καππάρεως, καὶ τερεβίνθου καρπὸς. κα-
ρόου σπέρμα. ἀνίσου. δαύκου. καὶ πάντων τῶν εὐωδῶν, καὶ δριμέων, καὶ θερμῶν ἐπιφανῶς. τῶν
δὲ ἰσχυρῶς λεπτυνόντων ἐστὶ τὸ τοῦ πηγάνου σπέρμα, καὶ κανάβεως. ὡς εἶναι φαρμακώδη ταῦτα
λοιπόν. τῶν δὲ δημητρείων σπερμάτων εἰς λεπτύνουσαν δίαιταν ἄλυποι κριθαὶ μόναι. δεύτερον δὲ οἱ
ἐκ τῶν πυρῶν ἄρτοι κλιβανῖται. τῶν δὲ ἄλλων ἀπέχεσθαι πειρᾶσθαι. πλὴν εἰ μὴ διὰ μακροῦ
πισοῦ, ἢ φακοῦ γεύεσθαι τις θέλοι. πλείστην δ' ἂν ἔχοι ἐδεσμάτων χρῆσιν εἰς λόγον λεπτυνούσης
διαίτης, ἀπό τε τῶν πετραίων ἰχθύων, καὶ τῶν ὀρείων ὀρνίθων τῶν μικρῶν. καθόλου γὰρ πάντα
τὰ γεγυμνασμένα τῶν ἀγυμνάστων βελτίω. καὶ τὰ ξηροτέραις τροφαῖς χρώμενα, τῶν ὑγροτέ-
ραις. καὶ τὰ καθαρὸν καὶ λεπτὸν ἀναπνέοντα τὸν ἀέρα. καὶ τῶν ἰχθύων ὅσοι μαλακὴν ἅμα, καὶ
10 ψαφαρὰν ἔχουσι τὴν σάρκα. τῶν δὲ ἤτοι σκληρὰν, ἢ γλίσχραν ἐχόντων, ἀπέχεσθαι παντάπασιν.
ἔχεις δὲ γνωρίσματα πάσης ζώου σαρκὸς, τό τε ψαφαρὸν, καὶ τὸ μαλακόν. οἷς μὲν γὰρ ἂν ὑπάρ-
χῃ τὸ συναμφότερον εἰς κόρον ἐσθίειν. οἷς δὲ θάτερον μόνον, ἐσθίειν μὲν ποτὲ, φυλάττεσθαι δὲ εἰς κό-
ρον. καὶ ταῖς ἀλεκτορίσι δὲ, εἰ γυμνάζοιτό τις, οὐ κωλύω χρῆσθαι, καὶ περιστεραῖς, καὶ τρυγόσι,
καὶ μάλιστα ταῖς ἐν ἀγρῷ διαιτωμέναις, καὶ ἐν ὀρεινοῖς τόποις. χρὴ δὲ μὴ προσφάτους ἀλλ' ἑώ-
λους, μεινάσας ἡμέραν μίαν τοὐλάχιστον μετὰ τὴν σφαγὴν, οὕτως ἐσθίειν, οὐ τρυγόνας μόνον, καὶ ἀ-
λεκτορίδας ἀλλὰ καὶ πέρδικας, καὶ πάντα τὰ μετρίως σκληρὰν ἔχοντα τὴν σάρκα. καὶ οἱ τα-
ριχευθέντες τῶν ἰχθύων ἱκανώτατα λεπτύνουσι, καὶ τέμνουσι τοὺς παχεῖς, καὶ γλίσχρους χυμούς.
ἐκλέγεσθαι δὲ καὶ τούτων τοὺς μαλακοσάρκους. τοὺς δὲ κητώδεις φυλάττεσθαι. δι' ὄξους δὲ ἄμεινον, καὶ
ὀξυμέλιτος ἐσκευασμένα προσφέρεσθαι τῶν ἐδεσμάτων τὰ πλεῖστα. καὶ προταριχεύειν αὐτῶν ὅ-
20 σα δυνατόν. καὶ τῶν ὀπωρῶν δὲ ἥκιστα ἄν τις βλάπτοιτο τῶν λαπαττουσῶν τὴν κοιλίαν λαμβανόν.
τὰ δὲ βραδυπορώτερα χείρω. καὶ μᾶλλον εἰ σκληρὰ τυγχάνωσιν. ἀλλὰ τούτων μὲν μὴ γεύεσθαι μη-
δενὸς, πλὴν τῶν εἰς ἀπόθεσιν ἐπιτηδείων. οἷά περ ἐστὶ ἀπίων τε, καὶ μήλων, καὶ σταφυλῶν οὐκ
ὀλίγα γένη. τὰ δὲ μαλακώτερα μᾶλλον ἐσθίειν. ὅσα δὲ σφοδρῶς αὐστηρὰ, καὶ στρυφνὰ, μοχθηρὰ τῇ
τοιαύτῃ διαίτῃ. ἐπιτηδειότερα δὲ πάντων ἐστὶν, ἰσχάδες τε, καὶ κάρυα, καὶ πιστάκια, καὶ τῶν ἀμυ-
γδάλων αἱ ὑπόπικραι. ἐλαίας δὲ οὔτε ἐπαινεῖν ἔχοιμι ἂν, οὔτε ψέγειν. τῶν δὲ γλυκέων οὐκ ἐδεσμά-
των μόνον, ἀλλὰ καὶ πομάτων, τὸ μέλι σχεδὸν μόνον ἀκριβῶς γεννᾷ λεπτὸν χυμόν. καὶ τῶν οἴνων
δὲ οἱ λεπτοὶ, καὶ λευκοὶ τέμνουσι τοὺς παχεῖς χυμοὺς, καὶ καθαίρουσι δι' οὔρων. χρησιμώτατον δὲ εἰς
λεπτύνουσαν δίαιταν τὸ ὀξύμελι μάλιστα ὑπάρχει.

Ὅσα παχύχυμα. σλθ.

Οἱ ἰπνῖται, ἢ κλιβανῖται τῶν ἄρτων. καὶ οἱ μὴ καλῶς ἐσκευασμένοι. καὶ τὰ γλεύκους, καὶ σεμι-
30 δάλεως πέμματα. καὶ τὰ ἴτρια καλούμενα. καὶ πᾶν ἄζυμον ἐκ πυρῶν σκευαζόμενον πέμ-
μα. καὶ οἱ δι' αὐτῶν σκευαζόμενοι πλακοῦντες. ἔστι δὲ καὶ ἡ σεμίδαλις, καὶ ὁ χόνδρος ἱκανῶς πα-
χύχυμα. τὸ δὲ ἄμυλον μετρίως. καὶ οἱ λοβοὶ δὲ εἰσὶ παχύχυμοι, καὶ θέρμοι. καὶ τῆς φακῆς ἡ ἔνδον
σὰρξ. τὸ γὰρ λέπος ἔχει τι ῥυπτικόν. παχύχυμον καὶ οἱ κύαμοι φρυγέντες. καὶ τὰ καλούμενα μα-
λάκια. τευθίδες. σηπίαι. πολύποδες. καὶ οἱ κητώδεις τῶν ἰχθύων. ἐξ ὧν εἰσὶν οἱ θύννοι. μετριώτεραι
δὲ αὐτῶν εἰσὶν αἱ πηλαμύδες. ἱκανῶς δὲ παχύχυμα τὰ ὄστρεα, καὶ οἱ κήρυκες. πορφύραι τε, καὶ χῆ-
μαι. λεπάδες. κτένες. πίνναι. καὶ πάντα ἁπλῶς τὰ ὀστρακόδερμα ἑψηθέντα. ἐγχέλυές τε, καὶ
κοχλίαι. ἐλάφειά τε κρέα. καὶ αἴγεια. καὶ βόεια. καὶ λάγεια. χοίρειον ἧπαρ. νεφροί. ὄρχεις μετρίως.
γάλα τὸ ἑψηθέν. τυροὶ πάντες. οἱ δὲ νέοι, καὶ ὀξυγαλάκτινοι, ἧττον ὀξύγαλα πυρίεφθον. καὶ τὸ πρω-
40 τόγαλα καλούμενον. καὶ τῶν ὠῶν ὅσα μέχρι τελείας πήξεως ἑψοῦσι. μᾶλλον δὲ τὰ ὀπτά. καὶ ἔτι
μᾶλλον τὰ τηγανιστά. φοίνικες. κάστανα. βολβοί. γογγύλαι. μύκητες. ὕδνα. κῶνοι οἱ καὶ στρόβιλοι κα-
λούμενοι. σῦκα τὰ μὴ καλῶς πέπειρα. μετρίως σάρξ. σίκυα, καὶ μάλιστα πλεονασθέντα κατὰ τὴν ἐδω-
δήν. μῆλα τὰ μήπω πέπειρα. καὶ τῶν οἴνων, οἱ γλυκεῖς, αἵματος παχέος εἰσὶ γεννητικοί. καὶ μᾶλ-
λον ἔτι τὸ ἕψημα. καὶ ὁ νέος οἶνος. καὶ οἱ παχεῖς, καὶ οἱ μέλανες οἶνοι.

Ὅσα τῶν παχυνόντων καὶ λεπτυνόντων ἐστὶ μέσα. σμ.

Οἱ κάλλιστα κατασκευασθέντες ἄρτοι. καὶ σάρκες τῶν ἀλεκτορίδων, καὶ φασιανῶν, καὶ περδίκων,
καὶ περιστερῶν, ἀτταγήνων τε, καὶ τῶν μικρῶν στρουθίων ἁπάντων κάλλιστα ἐδώδιμα γίνονται. ἔτι
τε πετραίων ἰχθύων, αἰγιαλείων τε, καὶ πελαγίων. κωβιῶν, τε καὶ σμυραίνων, καὶ βουγλώττων. καὶ
πάντων ἁπλῶς τῶν ὁμοίως ἰχθύων. ὅσοι μήτε γλισχρότητά τινα, μήτε δυσωδίαν ἔχουσι κατὰ τὴν
50 ἐδωδήν. σῦκά τε καὶ πέπονες. καὶ λαχάνων ἀγρίων, ἡ σέρις. τοῦτο δὲ κοινὸν γένος ἐστὶ πλειόνων. τὰ δὲ
κατ' εἶδος ἕκαστον αὐτῶν, ὄνομα κέκτηται παρὰ τοῖς ἀττικοῖς. οἷον θριδακίνη, καὶ χονδρίλη. καὶ
γιγγίδια. καὶ ἄλλα μυρία τῶν ἀγρίων λαχάνων ἃ καλοῦσι, σέρεις. τούτου τοῦ γένους ἐστὶ, ὅ τε ἔλειος,
καὶ μυακάνθινος ἀσπάραγος. καὶ ὁ τῆς χαμαιδάφνης. καὶ ὁ τῆς βρυωνίας. οἶνός τε ξανθὸς ἅμα, καὶ
γλυκὺς, καὶ διαυγής. οἷός ἐστι ὅ τε ἀριούσιος, καὶ ὁ λέσβιος. καὶ ὁ γλυκὺς φαλερινός. καὶ ὁ τμω-
λίτης.

λίτης. χρηστὸν γὰρ οὗτοι πάντες αἷμα, καὶ σύμμετρον τῷ πάχει γεννῶσιν.

Ὅσα γλίσχρον χυμὸν γεννᾷ. σμα.

Τῶν πυρῶν ὅσοι βαρεῖς, καὶ πυκνοί, καὶ διὰ βάθους ξανθοί, γλίσχρον γεννῶσι χυμόν. ὅσοι δὲ κοῦφοι καὶ ἀραιοί, καὶ λευκοὶ τὰ εἴδη, ἧττον γεννῶσι γλίσχρον χυμόν. ἔστι δὲ καὶ ἡ σεμίδαλις, καὶ ὁ χόνδρος, ἱκανῶς γλίσχρα. τένοντες, καὶ ἀπονευρώσεις, καὶ τὰ περὶ τὰ χείλη μόρια. καὶ γλῶσσα. χοίρειον κρέας. καὶ ἡ τῶν ἀρνῶν σάρξ. τὸ τοῦ σησάμου σπέρμα. καὶ φοίνικες οἱ λιπαροί.

Ὅσα ὠμὸν χυμὸν γεννᾷ. σμβ.

Φοίνικες οἱ χλωροί, χυμῶν ὠμῶν ἐμπιπλῶσι τοὺς ἐσθίοντας. καὶ ἡ ῥίζα τῆς γογγυλίδος. καὶ ἡ σὰρξ τῶν ὀστρακοδέρμων, ἀποβάλλουσα τὸν ἁλυκὸν χυμὸν ἀπὸ πλείονος ἑψήσεως. καὶ τὰ μαλάκια καλούμενα. οἷον πολύποδες. σηπίαι. ὅσα τε ἄλλα τοιαῦτα. καὶ τὰ κητώδη τῶν ἐν θαλάσσῃ. διὸ προταριχεύοντες ταῦτα, εἰς χρῆσιν ἄγουσι. τοιαῦτα δ' εἰσὶν ἦτρα, καὶ κοιλίαι, καὶ μῆτραι τῶν τετραπόδων. ὀξύγαλα. θέρμοι. σταφυλὴ ἐπισχεθεῖσα κατὰ γαστέρα.

Ὅσα ψυχρὸν χυμὸν γεννᾷ. σμγ.

Οἱ σικύων πάνυ ἐμφορούμενοι, ψυχρὸν χυμὸν ἀθροίζουσιν. ἔτι δὲ καὶ οἱ κοιλίας, καὶ ἦτρα, καὶ μήτρας τῶν τετραπόδων ἐσθίοντες ζώων. καὶ ὀξύγαλα, καὶ μῆλα τὰ μήπω πέπειρα. +

Ὅσα μελαγχολικὸν χυμὸν γεννᾷ. σμδ.

Κρέα βόεια. αἴγεια. καὶ μᾶλλον τὰ τῶν ταύρων τε καὶ τράγων. ἔτι δὲ μᾶλλον προβάτων τε, καὶ λαγωῶν. καὶ ἀγρίων συῶν. κρέα ταριχευθέντα τῶν τετραπόδων ζώων. τῶν δὲ θαλαττίων ἰχθύων, θύννοι. καὶ φάλαιναι καὶ τὰ κητώδη πάντα. κοχλίαι. κράμβαι. καὶ τῶν δένδρων οἱ βλαστοί, δι' ἅλμης τε, καὶ ὀξάλμης συντιθέμενοι. οἷον σχίνου καὶ τερεβίνθου. καὶ τῆς κινάρας ἡ σάρξ. καὶ ἡ φακὴ δὲ μελαγχολικώτατόν ἐστιν ἔδεσμα. καὶ μετὰ ταύτην οἱ πιτυρίαι τῶν ἄρτων. οἵ τε ἐκ τῆς τίφης, καὶ τῶν ἄλλων μοχθηρῶν σπερμάτων. οἵ τε παλαιοὶ τυροί. καὶ ὁ βίκος. καὶ τῶν οἴνων οἱ παχεῖς, καὶ μέλανες.

Ὅσα χολώδη χυμὸν γεννᾷ. σμε.

Τὰ κεράτια. τῆς κινάρας ὁ χυλὸς πικρόχολός ἐστι. ἄμεινον οὖν ἐστιν ἀποζέσαντας αὐτήν, ἐσθίειν. καὶ πάντες δὲ οἱ γλυκεῖς χυμοί, ὕλη τῇ ξανθῇ χολῇ γίνονται. καὶ οἱ γλυκεῖς οἶνοι.

Ὅσα ἐστὶ περιττωματικά. σμϛ.

Φάτται. χῆνες. ἰχθύες. πλὴν τῶν πετραίων. σπλάγχνα πάντα. νωτιαῖος μυελός. ἐγκέφαλος. ὄρνιθες οἱ ἐν τοῖς ἕλεσι, καὶ ταῖς λίμναις. ἐρέβινθοι. κύαμοι χλωροί. κύαμος αἰγύπτιος. οἱ νέοι τῶν χοίρων. προβάτων ἡ σάρξ. καὶ πάντων τῶν νέων ζώων. καὶ τῶν ἀργῶς βιούντων. καὶ τῶν ἰχθύων οἱ ποτάμιοι, καὶ λιμναῖοι. καὶ οἱ ἐν ἰλυώδει ὕδατι διαιτώμενοι. καὶ πάντα τὰ ἐν θαλάττῃ κητώδη.

Ὅσα ἀπέριττα. σμζ.

Τράχηλοι τῶν ζώων. οὐραί, καὶ πτερύγια. ἡ τῶν ἀγρίων ζώων σάρξ. καὶ τῶν ἐν ξηροῖς τόποις διαιτωμένων.

Ὅσα πολύτροφα. σμη.

Συῶν τῶν ἡμέρων αἱ σάρκες πάντων ἐδεσμάτων εἰσὶ τροφιμώταται. βοῶν ἐγκέφαλος. ὄρχεις. καρδία. νωτιαῖος μυελός, καὶ οἱ λοιποί. χηνῶν τὰ πτερύγια. καὶ μᾶλλον τῶν ἀλεκτορίδων, καὶ πάντων τῶν πτηνῶν αἱ κοιλίαι. κοχλίαι, καὶ μᾶλλον τρίσεφθοι γινόμενοι. τῶν ὀστρακοδέρμων τὰ σκληρόσαρκα. οἷον πορφύραι. κήρυκες. καὶ τὰ ὅμοια. ἀστακοί. πάγουροι. καρκῖνοι. κάραβοι. καρίδες. καὶ ὅσα τοιαῦτα. καὶ τὰ μαλάκια καλούμενα. οἷον πολύποδες. σηπίαι. τευθίδες. καὶ τὰ παραπλήσια. καὶ τῶν σελαχίων νάρκη μέν, καὶ τρυγὼν μετρίως. ῥῖναι δὲ μᾶλλον. τρίγλαι, κωβιοὶ ἔλαττον. γάλα τὸ μὲν παχύτερον μᾶλλον. τὸ δὲ ὑγρότερον, ἔλαττον. τῶν ἄρτων ὁ σιλιγνίτης τροφιμώτατος. ἐφεξῆς δὲ ὁ σεμιδαλίτης. καὶ τρίτος ὁ συγκομιστός. πυροὶ ἑφθοί. σεμίδαλις, χόνδρος. κύαμοι σαρκοῦσι τὴν ἕξιν οὐκ ἐσφιγμένῃ, καὶ πυκνῇ σαρκί. ἀλλὰ χαυνοτέρᾳ μᾶλλον. ἐρέβινθοι τρέφουσι μᾶλλον. φάσηλοι, καὶ ὦχροι τελέως πλέον. δόλιχοι οὓς λοβοὺς καλοῦσι, τρέφουσι πισῶν οὐκ ἧττον. κάστανα. φακή. οἱ γλυκεῖς φοίνικες. σταφίδες αἱ γλυκεῖαι, καὶ λιπαραί. γογγύλαι. βολβοὶ τροφιμώτατοι. καὶ μᾶλλον οἱ δίσεφθοι. μέλι τὸ ἀπαφρισθέν, ἐπιτήδειον πρὸς τὴν ἀνάδοσιν, καὶ θρέψιν γίνεται. οἶνος ἅπας τρέφει τῆς παχύτητος μετέχων. οἱ μὲν οὖν ἐρυθροί, καὶ παχεῖς, καὶ στύφοντες, μᾶλλον. ἧττον δὲ τούτων τρέφουσιν οἱ λευκοί τε ἅμα, καὶ παχεῖς, καὶ αὐστηροί. πάντων δὲ ἧττον, οἱ λευκοί, καὶ λεπτοί. καὶ πάντα δὲ τὰ παχύχυμα εἰ καλῶς πεφθείη, τρέφει πάνυ.

Ὅσα ὀλιγότροφα. σμθ.

Τὰ ἄκρα τῶν ζώων, μῆτρα. γαστήρ. ἦτρα. οὐραί. ὦτα. πιμελή. στέαρ. ἅπαν τὸ γένος τῶν ὀρνίθων, ὀλιγοτροφώτερόν ἐστι, παραβαλλόμενον τῷ γένει τῶν πεζῶν. καὶ ἡ τῶν γεγηρακότων σὰρξ ὀλιγοτροφωτέρα τῶν ἔτι αὐξανομένων. τῶν δὲ ἰχθύων ἡ τροφή, αἵματός ἐστι λεπτοτέρου γεννητική. τῶν δὲ ὀστρακοδέρμων τὰ μαλακόσαρκα, οἷα τὰ ὄστρεα, ὀλιγοτροφώτερα. ἄρτοι κρίθινοι. τὰ ἐκ κριθῶν ἄλφιτα. ἄρτοι πιτυρίαι. καὶ οἱ ῥυπαροὶ πάντες. καὶ οἱ πλυτοί. ἄμυλον. μάζα ἐξ ἀλφίτων.

κειθῆς. βρόμος. κέγχρος, καὶ μᾶλλον ἔλυμος. ὄρυζα. κύαμοι χλωροί. μήκωνος σπέρμα. συκάμινα. ἀμύ-
γδαλα. πιστάκια. κοκκύμηλα. περσικά. ἀρμενιακά. πρεκόκκια. ἐλαῖαι, καὶ μάλιστα αἱ δρυπεπεῖς.
λεπτοκάρυα. καὶ μᾶλλον τὰ βασιλικὰ κάρυα. σηκικά. κράνια. προῦμνα. βάτινα. καὶ ἵππαεις, καὶ μᾶλ-
λον ἡ ταριχευθεῖσα. τῆς τερμίνθου τὰ ἀκρεμόνια. κράμβαι. τεῦτλα. ῥάφανος. νᾶπυ. καὶ ἀσπάρα-
γοι πάντες. σταφυλῖνος. δαῦκος. καρός. κρόμμυα. σκόροδα. πράσα. ὠμὰ μὲν οὐδὲ ὅλως τροφὴν δίδω-
σιν. ἑψηθέντα δὲ δὶς, ἢ τρὶς, ὀλιγίστην. ῥόαι. ἄπιοι. κολοκύνθαι. σταφίδες αἱ αὐστηραὶ καὶ ἀλιπεῖς.
μέσα δέ πως ἐστὶ τῶν ὀλιγοτρόφων, φάσηλοι. ὦχροι. λάθυροι. σῦκα δὲ οὐχ ὁμοίως ταῖς ἄλλαις ὀπώραις,
ὀλιγότροφα. σομφώδη δὲ ποιεῖ τὴν σάρκα. σταφυλαὶ δὲ ἔλαττον τῶν σύκων φέρουσι, χαύνη, καὶ πλα-
δαρὰ σαρκί.

Οσα εὔχυμα. σν.

Ε ὐχυμότατον ἐστὶ τὸ ἄριστον γάλα, σχεδὸν ἁπάντων ὧν προσφερόμεθα. ἄριστον δὲ τὸ τῶν εὐεκτούντων
10 ζώων, ὅταν ἀμελχθὲν πινόμενον εὐθέως ἔτι θερμὸν, ὠὰ τρομητὰ, καὶ ῥοφητὰ, τῶν τε ἀλεκτορί-
δων, καὶ τῶν φασιανῶν. ὄρνιθες, καὶ ἰχθύες, ὀλίγου δεῖν ἅπαντες εὔχυμοι, πλὴν τῶν ἐν ἕλεσι,
καὶ λίμναις, καὶ ποταμοῖς ἰλυώδεσι, καὶ θολεροῖς διαιτωμένων. τῇ δὲ ὀσμῇ καὶ τῇ γεύσει τὴν
διάγνωσιν ποιεῖσθαι χρὴ τῶν ἰχθύων. καὶ γὰρ δυσώδεις, καὶ ἀηδεῖς, καὶ βλεννώδεις εἰσὶν, ὅτι τὴν
δίαιταν ἔχουσιν ἐν ὕδατι μοχθηρῷ. αἱ δὲ σάρκες τῶν ζώων τῶν τετραπόδων, ὅταν καλῶς πεφθῶ-
σιν, αἵματος ἀρίστου εἰσὶ γεννητικαὶ, καὶ μάλιστα τῶν εὐχύμων. ὁποῖον ἐστὶ τὸ γένος τῶν ὑῶν. πάντα
δὲ τὰ ὦτα, τὰ χείλη μόρια. καὶ τὰ ἄλλα τὰ ἄκρα. καὶ τὰ πτερύγια τῶν ὀρνέων, ἔντερά τε καὶ μῆ-
τραι. καὶ οὐραὶ δὲ ἧττον τῶν σαρκῶν εἰσὶν εὔχυμοι. οἱ δ᾽ ἀδένες πεφθέντες καλῶς, ὁμοίως ταῖς σαρξὶν
εὔχυμοι. καρδία οὐ κακόχυμος. οἱ πόδες δὲ βελτίους τῶν ὑῶν εἰσὶ τοῦ ῥύγχους, καὶ τῶν ὤτων. καὶ τῶν
20 ἀγρίων ζώων αἱ σάρκες, εὐχυμώτεραι τῶν ἡμέρων εἰσίν. ἄρτος καθαρὸς καλῶς ἐσκευασμένος, εὔ-
χυμος. χόνδρος. πτισάνη καλῶς ἐσκευασμένη. κύαμοι. κάστανα οὐ κακόχυμα. σῦκα πέπειρα. καὶ στα-
φυλὴ πέπειρος. ἡ δὲ κρεμασθεῖσα ἄμεμπτος. ἰσχάδες ἀναδοθεῖσαι μὲν εὐθέως, εὔχυμοι. χρονίσασαι
δὲ ἐν τῇ γαστρὶ κακόχυμοι γίγνονται, καὶ φθειρῶν γεννητικαί. μετὰ δὲ καρύων ἐσθιόμεναι, κάλλιστον
ἐστὶ ἔδεσμα τοῖς ἐσθίουσι. τὰ δὲ σῦκα, καὶ τὰς ἰσχάδας οὐ σμικρὰ βλάπτονται οἱ συνεχῶς ἐσθίοντες.
θρίδαξ ὡς ἐν λαχάνοις αἷμα χρηστὸν γεννᾷ. καὶ μετὰ ταύτην ἴντυβοι. οἱ δὲ εὐώδεις οἶνοι εὔχυμοι. τῶν
εὐχυμοτάτων δὲ, ὁ φαλερινὸς ἐστὶ ὁ γλυκὺς, καὶ ὁ τμωλίτης.

Οσα κακόχυμα. σνα.

Γ αἰτων ἀπέχεσθαι τῶν κακοχύμων ἐδεσμάτων συμβουλεύω, κἂν εὔπεπτα ὦσι. λανθάνει γὰρ ἐν χρό-
νῳ πλείονι μοχθηρὸς χυμὸς ἐν ταῖς φλεψὶν ἀθροιζόμενος ἐξ αὐτῶν, ὃς ἐπειδὰν ἀφορμῆς ὀλίγης
30 εἰς σῆψιν ἐπιλάβηται, πυρετοὺς κακοήθεις ἀπεργάζεται. ἔστι δὲ κακοχυμοτάτη τῶν προβάτων ἡ
σὰρξ, καὶ τῶν αἰγῶν. ἡ δὲ τῶν τράγων χειρίστη. ἐφεξῆς δὲ ἡ τῶν κριῶν. εἶτα τῶν ταύρων. ἐν πᾶσι δὲ τού-
τοις αἱ τῶν εὐνουχισθέντων ἀμείνους. τὰ δὲ πρεσβύτερα χείριστα. τῶν λαγωῶν δὲ ἡ σὰρξ, αἵματος μὲν
ἐστὶ παχυτέρου γεννητική. βελτίονος δὲ, εἰς εὐχυμίαν, ἢ κατὰ βοῦν, καὶ πρόβατον. κακόχυμος δὲ οὐ-
δὲν ἧττον καὶ αὐτὴ, καὶ ἡ τῶν ἐλάφων. νεφροὶ, καὶ οἱ τῶν τελείων ὄρχεις κακόχυμοι, πλὴν τῶν ἀλε-
κτρυόνων. ἐγκέφαλος. νωτιαῖος μυελός. πλὴν τῶν ἐν τοῖς ἀλεκτρυόσιν. πλὴν ὠὰ τηγανιστά. τυροὶ
ἁπαλοὶ, βολῖται. ἀμανῖται. τῆλις. φακῆ. βρόμος. ἐρέβινθος οὐκ εὔχυμος. ἡ δὲ ὀλύρα τοσούτῳ ἐστὶ
χείρων πυρῶν, ὅσῳ τίφης, καὶ βρώμου κρείττων. μελίνη. κέγχρος. καὶ ὅσα τοιαῦτα, οὐκ εὔχυμα.
δράκοντες. καλλιώνυμοι. σκορπίοι. τραχοῦροι. τρίγλαι. ὀρφοί. γλαῦκοι. ζύγαιναι. γόγγροι. φάγροι.
καὶ ὅσα ἄλλα ἐν θαλάττῃ εἰσὶ κητώδη ζῶα, ἅπαντα κακόχυμα. καὶ οἱ ὡραῖοι καλούμενοι καρποὶ
40 πάντες, κακόχυμοι. μῆλα τὰ μήπω πέπειρα. ἄπιοι, πρὶν πεφθῆναι. περσικά. ῥοιαί. μέσπιλα. κρά-
νια. προῦμνα. κεράτια. καὶ ὁ τῆς τερεβίνθου καρπός. κινάρα καὶ μᾶλλον ὅταν σκληρὰ γένηται.
σίκυα, πέπονες. κολοκύνθη τούτων μὲν ἀμείνων ἐστὶ, ἀλλὰ καὶ αὐτὴ διαφθαρεῖσα κατὰ τὴν γαστέρα,
κακόχυμος ἱκανῶς γίγνεται. σῦκα δὲ ἧττον τῶν ἄλλων ὡραίων ἐστὶ κακόχυμα, καὶ αἱ ἰσχάδες. τοῖς δὲ
πλεονάζουσιν ἐν αὐτοῖς, οὐ πάνυ χρηστὸν αἷμα γεννᾶται. ὅθεν αὐτοῖς καὶ τὸ τῶν φθειρῶν πλῆθος
ἕπεται. τῶν δὲ λαχάνων οὐδὲν μὲν εὔχυμον ἐστὶ, ἐν μέσῳ δὲ εὐχύμων ἐστὶ, καὶ κακοχύμων. θρίδαξ. ἴν-
τυβα. καὶ μαλάχη. βλίτον. ἀτράφαξις. αἱ δὲ ῥίζαι τῶν λαχανωδῶν φυτῶν, κακόχυμοι μὲν ὅσαι δρι-
μεῖαι. καθάπερ ἡ τῶν κρομμύων, καὶ πράσων, καὶ σκορόδων, καὶ ῥαφανίδων, καὶ δαύκου. μέσαι δὲ
εὐχύμων τε καὶ κακοχύμων αἱ τῶν γογγυλίδων εἰσὶ, καὶ τῆς καλουμένης καροῦ. ὠκιμον κακο-
χυμώτατον. γογγυλὶς ὠμοτέρα. κράμβη. βολβοὶ μὴ καλῶς ἑψηθέντες. κρόμμυα δὲ καὶ σκόρο-
50 δα, καὶ πράσα δίσεφθα γενόμενα τὴν κακοχυμίαν ἀποτίθενται. κακόχυμα δὲ ἐσχάτως εἰσὶ πάν-
των, ἃ καλοῦσιν ἄγρια λάχανα. οἶνοι παχεῖς ἅμα, καὶ δυσώδεις, καὶ ἀηδεῖς, καὶ αὐστηροὶ κακόχυ-
μοι. οἷος ἐστὶ ὁ φαῦλος βιθυνὸς, ὁ ἐν μεγάλοις κεραμίοις. ὁ γὰρ ἐν τοῖς μικροῖς, οὔτε εὔχυμος ἐστὶ, οὔτε
κακόχυμος.

Οσα εὔπεπτα. σνβ.

Α ρτων οἱ καλῶς σκευασθέντες. ἰχθύων οἱ πετραῖοι πάντες. κωβιός. νάρκη. φυκίς, παραβαλλομένη τῷ

γένει τῶν

γένει τῶν πτηνῶν. ὀρνίθων δὲ ἡ σὰρξ παραβαλλομένη τῷ γένει τῶν πεζῶν, εὐπεπτοτέρα τυγχάνει. καὶ μάλιστα πέρδικος, ἀτταγῆνος, καὶ περιστερᾶς. καὶ φασιανῶν, τὰ πτερύγια τῶν χηνῶν. καὶ μᾶλλον τὰ τῶν ἀλεκτορίδων. καὶ καθόλου μάλιστα τὰ τῶν εὐτρόφων, καὶ νέων πτερά. χείριστα δὲ τὰ τῶν ἰχνῶν, καὶ γεγηρακότων, σιτευθέντων δὲ δι' ὀρροῦ γάλακτος χηνῶν τὸ ἧπαρ. καὶ τῶν ὁμοίως τραφέντων ἀλεκτρυόνων οἱ ὄρχεις εὐπεπτότατοι. τὰ κρέα τῶν ὑῶν εἰς πέψιν ἐπιτήδεια. τοῖς μὲν ἀκμάζουσι καὶ διαπονουμένοις, τὰ τῶν ἀκμαζόντων. τοῖς δὲ ἄλλοις, τὰ τῶν ἔτι αὐξανομένων. οἱ δὲ μόσχοι βελτίους εἰς πέψιν τῶν τελείων βοῶν. καὶ οἱ ἔριφοι τῶν αἰγῶν. καθόλου δὲ πάντων τῶν ἔτι αὐξανομένων ἡ σὰρξ εὐπεπτοτέρα τῶν παρακμαζόντων ἐστί, καὶ τῶν ἐν ξηροῖς τόποις διαιτωμένων εὐπεπτωτέρα τῆς τῶν ἄλλων ὑπάρχει. τὸ βασιλικὸν κάρυον πέττεται μᾶλλον τοῦ λεπτοκαρύου. βολβοὶ οἱ δίσεφθοι, μᾶλλον πέττονται. ὠὰ τρομητὰ, καὶ ῥοφητά. θρίδακες. ἴντυβοι. μαλάχη. κολοκύνθη ἑφθὴ, ὅταν μὴ διαφθαρῇ. οἱ γλυκεῖς οἶνοι, τῶν αὐστηρῶν πέττονται μᾶλλον. ἄμεινον δὲ εἰς πέψιν ἐστὶ τὸ ἥδιον ἑκάστῳ.

Ὅσα δύσπεπτα. ϖγ.

Α ἰγεία σὰρξ. βοεία. ἐλαφεία. χειρίστη δὲ ἡ τῶν τράγων ἐστὶ σὰρξ πρὸς πέψιν. ἐφεξῆς δὲ ἡ τῶν κριῶν, καὶ ἡ τῶν ταύρων. καὶ τὰ πρεσβύτερα δὲ τῶν ζώων, χείριστα. καὶ οἱ γηράσαντες τῶν ὑῶν, ἰνώδη, καὶ ξηρὰν, καὶ διὰ τοῦτο δύσπεπτον, ἔχουσι τὴν σάρκα. γαστὴρ δὲ δύσπεπτος. ἔντερα. μήτρα. καρδία. ἧπαρ. ὦτα. οὐρά. νεφροί. ἐγκέφαλος. νωτιαῖος μυελός. καὶ οἱ τῶν τελείων ζώων ὄρχεις. χῆνες, πλὴν τῶν πτερυγίων. φαττῶν δὲ καὶ κιχλῶν, καὶ κοσσύφων, καὶ τῶν μικρῶν στρουθίων, σκληροτέρα ἐστὶν ἡ σὰρξ. καὶ μᾶλλον τῆς παλαιᾶς τρυγόνος. καὶ νήττης. δυσπεπτωτέρα δὲ καὶ ἰνωδεστέρα τούτων ἐστὶν ἡ τοῦ ταῶνος. καὶ ἡ τῶν ὠτίδων. καὶ κοιλίαι πᾶσαι αἱ τῶν πτηνῶν δύσπεπτοι, διὰ τὸ σκληρὸν τῆς οὐσίας. ψευδῶς γὰρ ἐπαινοῦσί τινες τὴν τοῦ στρουθοκαμήλου, καὶ αἰθυίης. κοχλίαι δύσπεπτοι. ὀξύγαλα. τυρὸς παλαιός. ὁ δὲ νέος, καὶ μάλιστα ὁ ὀξυγαλάκτινος καλλίων. πορφύρων ἡ σὰρξ, καὶ κηρύκων, καὶ τῶν ἄλλων ὀστρακοδέρμων τὰ σκληρὰν ἔχοντα τὴν σάρκα, δύσπεπτος. ἀστακοί. κάραβοι. καρκῖνοι. πάγουροι. καρῖδες. καὶ πάντα τὰ τοιαῦτα. πολύποδες. σηπίαι. τευθίδες. καὶ πάντα τὰ καλούμενα μαλακόδερμα. βάτοι. λειόβατοι. ῥῖναι. δράκοντες. κόκκυγες. καλλιώνυμοι. σκορπίοι. τραχοῦροι. ὠὰ ἑφθά. τηγανιστά. τυροὶ ἑφθοί. ἄλφιτα. τίφη. βρῶμος. κύαμοι. δόλιχοι. φάσηλοι. λάθυροι. ἐρέβινθος. ὄρυζα. θέρμοι. μελίνη. κέγχρος. καὶ ὅσα τοιαῦτα. φακός. σήσαμον. κάστανα. μῆλα. ἄπιοι, πρὶν πεπανθῆναι. σῦκα τὰ μήπω πέπειρα. σταφυλαὶ ὀξεῖαι, καὶ αὐστηραί. φοίνικες πάντες. κεράτια. ὤκιμον. γογγυλὶς ἡ ὠμοτέρα. βολβοὶ ὠμότεροι. σταφυλῖνος. δαῦκος. καρός. καὶ πᾶσαι αἱ ῥίζαι τῶν λαχάνων. καὶ αὐτὰ τὰ λάχανα πάντα, πλὴν θρίδακος. καὶ ἰντύβων. οἴνων οἱ παχεῖς, καὶ νέοι δύσπεπτοι. πολλῷ δὲ μᾶλλον τούτων, δυσπεπτότερον ἐστὶ τὸ ὕδωρ.

Ὅσα εὐστόμαχα καὶ ῥωστικά. ϖδ.

Φ οίνικες αὐστηροί. μῆλα. κυδώνια. ἐλαῖαι αἱ ἐν ἅλμης. ἐπιτηδειότεραι δὲ, αἱ μετ' ὄξους συντιθέμεναι. σταφίδες αὐστηραί. ἡ ἐν τοῖς στεμφύλοις ἀποτιθεμένη σταφυλή. τὸ βασιλικὸν κάρυον, τοῦ λεπτοκαρύου μᾶλλον, καὶ πολὺ πλεῖον σὺν ἰσχάσιν. γιγγίδιον τὸ παραπλήσιον τῷ σκάνδικι. καὶ πάνυ ἐστὶν εὐστόμαχον, καὶ ὠμὸν, καὶ ἑφθὸν ἐσθιόμενον. μακροτέρας δὲ ἑψήσεως οὐκ ἀνέχεται. κινάρα πάνυ. ῥαφανίς. γογγυλίς. καρδάμωμον. καὶ ὁ ἔλειος ἀσπάραγος. καὶ ὁ τῆς χαμαιδάφνης. καὶ ὁ τῆς ὀξυακάνθου. καὶ ὁ τῆς βρυωνίας. βολβοὶ εἰς ὄρεξιν ἐπεγείρει καὶ κάππαρις ταριχευθεῖσα. κιτρίου τὸ ἐκτὸς ῥώννυσιν ἐν φαρμάκου μοίρᾳ λαμβανόμενον. ὁ αὐστηρὸς οἶνος ῥώννυσι στόμα γαστρὸς καὶ κοιλίαν μάλιστα κατὰ δυσκρασίαν θερμὴν πεπονθυῖαν.

Ὅσα κακοστόμαχα. ϖε.

Τ εῦτλα κακοστόμαχα, ὡς καὶ δηγμὸν ἐμποιεῖν, ὅταν πλείονα βρωθῇ. ὤκιμον. γογγυλὶς ἡ ὠμοτέρα. βλίτον. ἀνδράφαξυς, εἰ μὴ μετ' ὄξους καὶ ἐλαίου, καὶ γάρου προσφέροιντο. τῆλις ἀνατρέπει. καὶ σήσαμον. γάλα τοῖς μὲν ψυχρὰν ἔχουσι τὴν γαστέρα ὀξύνεται. τοῖς δὲ θερμὴν, κνισσοῦται. εἰκότως οὖν βλαβερὸν ὑπάρχει τοῖς πυρέττουσι. πλεῖον δὲ εἴ τις τοῦ μέλιτος προσενέγκοιτο, πρὸς ἔμετον ὁρμᾷ. πέπων μὴ πεφθεὶς καλῶς, χολερικοὺς ἀποτελεῖν εἴωθε. καὶ μηλοπέπων ὁμοίως. ἐγκέφαλος πᾶς κακοστόμαχος, καὶ ναυτιώδης. ὥσπερ καὶ ὁ τῶν ὀστῶν μυελός. οἶνος ὁ μέλας, καὶ αὐστηρὸς, ῥᾳδίως ἀποξύνεται. καὶ εἰς ἔμετον ὁρμᾷ, καὶ ὁ παχὺς, καὶ ὁ νέος.

Ὅσα ἄφυσα. ϖς.

Γ ισὸς. φάσηλος. κύμινον. λιβυστικόν. ἄγνου σπέρμα. κανάβεως ὁ καρπός. κύαμοι φρυγέντες. βολβοὶ ἐπὶ πλεῖον ἑψηθέντες δεύτερον. καὶ ἐν ἐλαίῳ μετ' ὄξους ἐσθιόμενοι. μέλι τὸ κατὰ τὴν ἕψησιν ἀποθέμενον πάντα τὸν ἀφρόν. φύσας καταῤῥηγνύουσιν ἄρτοι κρίθινοι. μέσοι δὲ εἰσὶ τῶν ἀφύσων, καὶ φυσωδῶν, φάσηλοι. ὦχροι. λάθυροι.

Ὅσα φυσώδη. ϖζ.

Ε ρέβινθοι. θέρμοι. μελίνη. κέγχρος. καὶ ὅσα τοιαῦτα. κύαμοι. λοβοὶ δὲ ἧττον τῶν κυάμων. μᾶζα ἐξ ἀλφίτων. ὀποὶ πάντες. καὶ μᾶλλον ὁ κυρηναϊκός. σιλφίου ὀπὸς, καὶ ἡ ῥίζα. σύκου ὀλιγοχρόνιος ἡ φῦσα γίνεται, διὰ τὸ ὑπορχεῖσθαι ῥᾳδίως. τὰ δὲ ἀκριβῶς πέπειρα ἐγγύς ἐστι τοῦ μηδ' ὅλως βλα-

πτει, ὁμοίως ταῖς ἰσχάσιν. οἱ χλωροὶ φοίνικες φυσώδεις εἰσί. γογγυλὶς ἡ ὠμοτέρα. γάλα ῥᾳδίως ἐν τῇ γαστρὶ πνευματοῦται. βολβοὶ ὠμότεροι. μέλι τὸ μὴ τελέως ἑψηθέν. οἱ γλυκεῖς οἶνοι, φῦσαν βραδύπορον γεννῶσιν. οἵ τε γλυκεῖς ἅμα, καὶ αὐστηροί. γλεῦκος ὁμοίως ὥσπερ ἐστὶ ὁ νέος οἶνος.

Ὅσα ῥύπτει. τέμνει. ἐκφράττει. σνη.

Γ Πτισάνη ῥύπτει. τῆλις. μηλοπέπων. σταφίδες αἱ γλυκεῖαι. κύαμοι. ἐρέβινθοι, καὶ μᾶλλον οἱ μέλανες. κάππαρις, λεπτομερής ἐστιν ἱκανῶς. καὶ ἀπορρύπτει, καὶ καθαίρει, καὶ ἐκφράττει, μάλιστα δι' ὀξυμέλιτος, ἢ δι' ὀξελαίου πρὸ τῶν ἄλλων ἁπάντων σιτίων ἐσθιομένη. τεύτλου ὁ χυλὸς ῥύπτει, καὶ μᾶλλον ὅταν μετὰ νάπυος, ἢ ὄξους ἐσθίηται. βολβοὶ λεπτυντικὴν ἔχουσι δύναμιν, καὶ ἐκφρακτικήν. κρόμμυα, καὶ σκόροδα, καὶ πράσα λεπτύνει, καὶ τέμνει τοὺς παχεῖς, καὶ γλίσχρους χυμούς. 10 καὶ τὸ ὀρρῶδες τοῦ γάλακτος, λεπτύνει πάχος χυμῶν. σῦκα ῥύπτει, διὸ καὶ πολλὰ ψαμμώδη τῶν νεφρῶν ἐκκενοῦσιν. ἰσχάδες λεπτύνουσι, καὶ τέμνουσι. καὶ νεφροὺς ἐκκαθαίρουσι. ἀμύγδαλα ῥύπτει, καὶ λεπτύνει. καθαίρει τε τὰ σπλάγχνα. καὶ τὰς ἐκ θώρακος, καὶ πνεύμονος ἀναπτύσεις τῶν ὑγρῶν εὐπετεστέρας ἐργάζεται. πιστάκια χρήσιμα εἰς εὐρωστίαν ἥπατος, καὶ κάθαρσιν τῶν ἐμφραττόντων αὐτὸ χυμῶν, κατὰ τὰς διεξόδους αὐτοῦ. ῥαφανὶς λεπτομεροῦς ἐστι δυνάμεως. μέλι λεπτομερέστατόν ἐστι, μάλιστα τὸ γινόμενον ἐκ θερμῶν καὶ ξηρῶν φυτῶν, διὸ καὶ τὸ μελίκρατον ἐπιτήδειόν ἐστι πρὸς τὴν τῶν πτυέλων ἀναγωγήν. ὀξύμελι τὰ μὴ παντάπασι γλίσχρα, καὶ παχέα, ῥᾳδίως ἀνάγει. καὶ τὰ σπλάγχνα ἀλύπως διακαθαίρει. πάνυ δὲ ὠφελεῖ τοὺς κατὰ θώρακα, καὶ πνεύμονα, τὸν παχὺν ἠθροικότας χυμόν. οἱ δὲ λεπτοὶ τῶν οἴνων, καὶ παλαιοὶ μετὰ δριμύτητος ἐπιτήδειοι. ὁ δὲ ὑδατώδης οἶνος, τουτέστιν ὁ λευκός, καὶ λεπτότατος, ἐπιτήδειός ἐστιν εἰς τὴν τῶν ἐκ πνεύ- 20 μονος ἀναγωγήν, ῥώννυσι γὰρ καὶ τοὺς χυμοὺς ὑγραίνει, καὶ τέμνει μετρίως. καὶ ὁ γλυκὺς δὲ οἶνος ἐν τοῖς ὀξέσι νοσήμασιν εἰς ἀνάκτησιν ἐπιτήδειος. οἷον ἐπὶ τῆς περιπνευμονίας, καὶ πλευρίτιδος, ἤδη πέψεως γινομένης.

Ὅσα ἐμφράττει. σνθ.

Γ Γάλα τὸ ὀλίγον ἔχον τοῦ ὀρροῦ. πολὺ δὲ τὸ τυρῶδες, οὐκ ἀσφαλές ἐστι τοῖς ἐν αὐτῷ πλεονάζουσι. βλάπτει μὲν γὰρ καὶ νεφρούς. ὅσοι γε ἐπιτηδείως ἔχουσιν εἰς λίθων γένεσιν. ἐμφράξεις τε καθ' ἧπαρ ἐργάζεται τοῖς ἑτοίμως παθεῖν δυναμένοις. ἰσχάδες ἥπατι καὶ σπληνὶ φλεγμαίνοντι βλαβεραί. καθάπερ τὰ σῦκα. καὶ πάντα δὲ τὰ γλυκέα βλάπτει σπλῆνα, καὶ ἧπαρ. τὸ δὲ μελίκρατον ἀνεπιτήδειον, οἷς εἰς ὄγκον αἴρεται τὰ σπλάγχνα σκιρρούμενα. καὶ οἰδισκόμενα, καὶ φλεγμαίνοντα. οἱ λιπαροὶ φοίνικες ἐμφρακτικοί. καὶ μάλιστα οἱ ὠμοί. καὶ πάντα ὅσα διὰ ἰτρίων, καὶ σεμιδάλεως σκευάζεται. ἐμφρακτικὰ γάρ, καὶ σπληνὸς αὐξητικά, καὶ λίθων ἐν νεφροῖς γεννητικά. ὁμοίως δὲ 30 καὶ τὸ ἑψημένον ἄλευρον μετὰ γάλακτος. καὶ χόνδρος ἀνεπιτήδειος τοῖς τὸ ἧπαρ εὐέμφρακτον ἔχουσι. καὶ τοῖς πρὸς λίθων γένεσιν ἐπιτηδείους τοὺς νεφρούς. οἶνος γλυκὺς ἐμφράττει. καὶ τὰ σπλάγχνα αὐξάνει. ἤτοι διαφυσᾷ.

Ὅσα βραδύπορα. σξ.

Γ Ἅπαντα ὅσα διὰ ἰτρίων, καὶ σεμιδάλεως σκευάζεται, βραδύπορα. κύαμοι φρυγέντες. οἱ καθαροὶ τῶν ἄρτων. φακῆ τοῦ λέπους ἀφῃρημένου. ἐγκέφαλος. νωτιαῖος μυελός. ἧπαρ. καρδία, πυρὸς ἑφθός. ὠὰ ὀπτά. τηγανιστά. θέρμοι. φάσηλοι. πισοί. σήσαμον. μῆλα. ἄπια μηδέπω πέπειρα. κεράτια. οἶνοι γλυκεῖς. καὶ μᾶλλον ὁ αὐστηρός, καὶ μέλας, ἄνευ γλυκύτητος. καὶ ὁ παχὺς καὶ νέος πᾶς. τὸ δὲ ὕδωρ βραδυπορώτερον.

Ὅσα εὔφθαρτα. σξα.

Γ Περσικά. ἀρμενιακά. πρεκόκκια. καὶ πᾶσι δὲ τοῖς ὡραίοις καρποῖς ὅσοι ταῖς κράσεσιν ἐστὶν ὑγροί, συμβέβηκε φθείρεσθαι κατὰ γαστέρα, ὅταν μὴ φθάσῃ καλῶς, καὶ ταχέως ὑπελθεῖν τὴν γαστέρα. πάν- 40 τα δὲ ὅσα κακόχυμα μέν ἐστιν, ὑγρὰ δέ, καὶ ὀλισθηρά, καὶ ὑπιέναι ῥᾳδίως δυνάμενα, ἐσθίεσθαι πρότερα χρὴ τῶν ἄλλων. οὕτω γὰρ αὐτὰ ταχέως ὑπέρχεται. καὶ τοῖς ἄλλοις προηγεῖ. εἰ δὲ ὕστατα ληφθείη, συνδιαφθείρει καὶ τὰ ἄλλα.

Ὅσα δύσφθαρτα. σξβ.

Τ Αἱ μικραὶ χῆμαι, πορφύραι, κήρυκες, ὅσα τε ἄλλα τῶν ὀστρακοδέρμων σκληρὰν ἔχει τὴν σάρκα, δίδομεν τοῖς φθείρουσι τὴν τροφὴν ὑπὸ κακοχυμίας, ἑψῶντες δίς, ἢ τρὶς ἐν ὕδατι καλλίστῳ. μετατιθέντες αὐτὰ εἰς ἕτερον καθαρὸν ὕδωρ ζέον, ὅταν ἤδη τὸ πρότερον ἁλμυρὸν γίνηται. καὶ ἀστακοὶ δέ, καὶ πάγουροι, καρκῖνοί τε, καὶ κάραβοι, καὶ καρίδες. ὅσα τε ἄλλα τοιαῦτα δύσφθαρτον ἔχουσι τὴν σάρκα παραπλησίως τοῖς σκληροσάρκοις τῶν ὀστρακοδέρμων.

Ὅσα ὑπάγει τὴν γαστέρα. σξγ.

Φ Φακῆ. κράμβη. καὶ τῶν θαλαττίων ἁπάντων τὰ ὀστρακόδερμα. καὶ κοχλίαι σύνθετον ἔχουσι τὴν φύ- 50 σιν ἐξ ἐναντίων δυνάμεων. αὐτὸ μὲν γὰρ τὸ στερεὸν ἑκάστου σῶμα βραδύπορόν ἐστι, καὶ σταλτικὸν τῆς γαστρός. ἡ δὲ ὑγρότης ἐρεθίζει πρὸς ἔκκρισιν. εἴ τις οὖν ἑκαθεψήσας φακῆν, ἢ κράμβην. ἢ ἕτερόν τι τῶν εἰρημένων. εἶτα ἡδύνας τὸ ἀφέψημα δι' ἐλαίου, καὶ γάρου, καὶ πεπέρεως. εἶτα δοίη πιεῖν ὅτῳ βούλεται, θεάσεται διαχωροῦσαν ἐπὶ τῷ πόματι τὴν γαστέρα. καὶ τῶν θαλαττίων δὲ ἐχίνων, καὶ κογχαρίων πάντων οἱ ζωμοί. καὶ τῶν παλαιῶν ἀλεκτρυόνων ὑπάγουσι. τὴν δὲ κράμβην ὑπάγειν βου

λόμενοι, πλησίον τῆς κακκάβης κειμένης μετὰ τοῦ ὕδατος, ἐν ᾧπερ ἂν ἑψημένη τύχοι, ἀναπῶντες εὐθέως, ἐμβάλλομεν ἐν τῷ ἐλαιογάρῳ. χρὴ δὲ πάνυ καθεψεῖν ταύτην. ἄρτοι πιτυρῖται ὑπάγουσι. τήλεως ὁ χυλὸς ἑψηθεὶς μετὰ μέλιτος λαμβανόμενος, ἐπιτήδειός ἐστιν ὑπάγειν ἅπαντας τοὺς ἐν τοῖς ἐντέροις χυμοὺς μοχθηρούς. ὀλίγον δὲ εἶναι χρὴ τὸ μιγνύμενον αὐτῷ μέλι, μήπως γένηται δακνώδης τῷ στομάχῳ. ἐλαῖαι ἁλμάδες, ὑπάγουσι πρὸ τῶν σιτίων ἐσθιόμεναι. γάλα τὸ μὲν ὑγρότερον ὑπάγει μᾶλλον. τὸ δὲ παχύτερον ἧττον. ὁ δὲ ὀρρὸς τοῦ γάλακτος, σφοδρῶς λαπάττει. ἐμβάλλειν δὲ αὐτῷ μέλιτος ἀρίστου χρὴ τοσοῦτον ὅσον ἡδῦναι μόνον, ἵνα μὴ ἀνατροπὴ τοῦ στομάχου γένηται. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἁλῶν ἐμβάλλειν, ὅσον μὴ λυπῆσαι τὴν γεῦσιν. τὰ τῶν πάνυ νέων ζώων κρέα, ῥᾷον ὑπέρχεται κατὰ γαστέρα. ὁμοίως καὶ τῶν σελαχίων, νάρκη, καὶ φυσῶν ὑπέρχεται μετρίως. μαλάχη. καὶ τεῦτλον ὑπέρχεται μετρίως. ὅ τε νεοπαγὴς τυρὸς μετὰ μέλιτος. ἀτράφαξις. κολοκύνθη. πέπονες. μηλοπέπονες. σῦκα. ἰσχάδες. σταφυλαὶ γλυκεῖαι. καὶ μάλιστα ὅταν ὦσιν ὑγραί. συκάμινα πρῶτα ληφθέντα. κάρυον τὸ ἔτι ὑγρὸν, πρὸς διαχώρησιν ἐπιτήδειον. καὶ τὰ κοκκύμηλα τὰ ξηρὰ ὁμοίως προαποβραχέντα μελικράτῳ, ἢ ὕδατι, ἐσθιέσθω, πλέον γὰρ ἔχοντα τοῦ μέλιτος, ἱκανῶς λαπάττει γαστέρα. κἂν μόνα τις αὐτὰ φάγῃ. κἂν πολὺ μᾶλλον ῥοφήσῃ τοῦ μελικράτου. πρόδηλον δὲ ὅτι συντελέσει τῇ τῆς γαστρὸς ὑπαγωγῇ. μετὰ δὲ τὴν προσφορὰν τῶν τοιούτων, ἐπιπίνειν οἴνου γλυκέος, καὶ διαλείπειν βραχύν τινα χρόνον, καὶ οὕτως ἀριστᾶν. μόρα. κεράσια. πρεκόκκια. περσικὰ. καὶ πάντα τὰ ὑγρὰ, καὶ ὑδατώδη. καὶ ὅλως ὅσα μηδεμίαν ἰσχυρὰν ἔχειν φαίνεται ποιότητα τοῖς γευομένοις, ἢ ὀσμωμένοις, αὐτὰ μέσης πώς ἐστι δυνάμεως τῶν τε ὑπαγόντων, καὶ ἐπεχόντων. τὸ μέλι μόνον εἴ τις μὴ ἀφεψήσας ἐκλείχοι, καλῶς ὑπάγει. καὶ μελίκρατον τὸ ἐπ' ὀλίγον, ἢ μηδὲ ὅλως ἑψηθὲν ὑπέρχεται. οἶνος ὁ γλυκὺς συμβάλλεται τῇ κατὰ γαστέρα διεξόδῳ. γλεῦκος ὑπάγει.

Ὅσα ἐπέχει γαστέρα. σξδ'.

Φοίνικες οἱ αὐστηροί. σταφίδες αἱ αὐστηραί. βάτινα. προῦμνα. μῆλα τὰ στύφοντα. καὶ ἄπιοι. καὶ ῥοιαί. ὁμοίως ἀστακοί. πάγουροι. καρκῖνοι. κάραβοι. καρίδες. ὅσα τε ἄλλα τοιαῦτα τῶν μαλακοστράκων, ἔλαττον μὲν τῶν ὀστρακοδέρμων ἐπέχει. ἔχει δὲ καὶ αὐτὰ τὸν ἁλυκὸν χυμὸν, ὅταν δ' αὐτὸν ἀποθῆται τῷ ὕδατι, ὥσπερ τῶν ὀστρέων, καὶ τῶν ὀστρακοδέρμων ἡ σὰρξ, ἐπισχετικὴ γίνεται γαστρός. καὶ φακὴ δὲ, καὶ κράμβη δύσεφθοι γενόμεναι γαστρὸς ἐφεκτικαὶ γίνονται. καὶ ξηραίνειν βουληθέντες ὑγρὰν γαστέρα, ὅταν ἤδη μετρίως ἕψεσθαι δοκῇ ἡ κράμβη, τὸ πρῶτον ὕδωρ ἀποχέοντες, ἐμβαλοῦμεν εὐθέως ἐν ἑτέρῳ θερμῷ. κἄπειτα πάλιν ἐν ἐκείνῳ καθεψῶμεν ὡς τακερὰν γενέσθαι. χρὴ δὲ μήτε ἀέρος, μήτε ὕδατος ψυχροῦ ψαύειν τὸ δὶς ἑψόμενον. οὐκέτι γὰρ ἀκριβῶς γίνεται τακερὸν, οὐδ' ἂν ἐπιπλεῖστον ἑψηθῇ. ἀφαιρεθεῖσα δὲ ἡ φακὴ τοῦ λέμματος, τὸ ἰσχυρῶς στυπτικὸν ἀπόλλυσι. καὶ οὐχ ὁμοίως ξηραίνει τὰ κατὰ γαστέρα. εἰ μέντοι αὐτὴν δὶς ἑψήσας ἀποχέοις τὸ πρότερον ὕδωρ. εἶτα ὀλίγον ἁλῶν, ἢ γάρου μίξας, ἐμβάλλοις τι τῶν ἐφεκτικῶν γαστρὸς, ἄχρι τοῦ μὴ λυπῆσαι τὴν γεῦσιν, ἥδιστόν τε, καὶ ὠφελιμώτατον ἐργάσῃ φάρμακόν τε ἅμα, καὶ σιτίον. ἄλφιτα δι' οἴνου αὐστηροῦ ποθέντα, ξηραίνει γαστέρα. ὄρυζα ἐπέχει. ἔλυμος. ἤτοι μελίνη. ἢ κέγχρος. λάγεια κρέα. οἶνος αὐστηρὸς, καὶ μέλας ἄνευ γλυκύτητος. καὶ ὁ λευκὸς, καὶ αὐστηρός. καὶ ὁ κιρρὸς, καὶ αὐστηρός.

Ὅσα θερμαίνει. σξε'.

Πυροὶ ἑφθοί. καὶ οἱ ἀπ' αὐτῶν ἄρτοι. τίφη. βρόμος. τῆλις. οἱ γλυκεῖς φοίνικες. μῆλα τὰ γλυκέα μετρίως. σήσαμον. αἱ γλυκεῖαι τῶν σταφυλῶν. διὸ καὶ διψώδεις εἰσὶν αἱ γλυκεῖαι σταφίδες μᾶλλον, μετρίως. σέλινον. σμύρνιον. εὔζωμον. ῥάφανος. γογγύλη. νάπυ. κάρδαμον. πύρεθρον. σταφυλῖνος. κάρος. σκόροδον. κρόμμυον. πράσον. τυρὸς παλαιός. οἶνος ὁ γλυκὺς, μετρίως θερμός. διὸ καὶ διψώδης ἐστίν. ὁ δὲ κιρρὸς, θερμότερος τοῦ μέλανος. ὁ δὲ ξανθὸς θερμότατός ἐστιν ἄκρως. εἶτα ὁ κιρρός. εἶτα ὁ ἐρυθρός. εἶτα ὁ γλυκύς. εἶτα ὁ λευκὸς ἁπάντων ἧττον θερμαίνει. ὁ δὲ παλαιότατος, ἱκανὸς θερμός.

Ὅσα ψύχει. σξς'.

Κριθαὶ κατὰ πάντας τοὺς τρόπους τῆς χρήσεως. κέγχρος. ἔλυμος. ὕδνα. κολοκύνθη ἑφθή. πέπονες. μηλοπέπονες, σίκυα. κοκκύμηλα. συκόμορα. αἱ αὐστηραὶ, καὶ ὀξεῖαι σταφυλαί. αἱ αὐστηραὶ σταφίδες. μῆλα τὰ στύφοντα. καὶ τὰ ὀξέα. καὶ τὰ ἀπαλώτερα. καὶ αἱ τοιαῦται ἄπιοι. καὶ ῥοιαὶ αἱ στύφουσαι. φοίνικες, ψυχρὸν ἔχουσι χυμὸν, καὶ χυλόν. θρίδαξ. ἴντυβοι μετριώτερον. ἀνδράχνη. μήκωνος σπέρμα. ὕδωρ. οἶνος ὑδατώδης, οὐ σαφῶς θερμαίνει. διὸ καὶ τοῖς πυρέττουσιν ἀκινδυνότερον δίδοται. οἶνος ὁ λευκὸς, καὶ αὐστηρὸς, ἥκιστα ὡς οἶνος θερμαίνει. ὁ δὲ λευκὸς ἅμα, καὶ αὐστηρὸς, καὶ παχὺς, καὶ νέος αἰσθητῶς ψύχει. ψύχει δὲ καὶ τὸ ὄξος. λεπτομερὲς γὰρ ὑπάρχει. διὸ τὰ νεῦρα πλέον τῶν ἄλλων τῶν ψυχόντων βλάπτει. μέσα δέ πως τῶν θερμαινόντων, καὶ ψυχόντων ἐστὶ, ἄρτοι πλυτοί. ἄμυλον. αἱ οἰνώδεις τῶν σταφυλῶν.

Ὅσα ξηραίνει. σξζ'.

Φακῆ. κράμβη. ἄλφιτα. ἄγνου σπέρμα. ὄροβοι δὶς ἑψηθέντες, καὶ ἀπογλυκανθέντες πολλάκις ὕδατι. βελτίους δὲ εἰσὶν οἱ λευκοί. καὶ ὅσοι δὲ ὀπτῶντες, ἢ τηγανίζοντες ἐσθίουσι, ξηροτέραν τροφὴν δι-

δῶσι τῷ σώματι. καὶ ὅσα δὲ ψιλῶς ἔχει γάρου καὶ οἴνου, ξηρότερα τῶν οὐκ ἐχόντων ἐστὶ. μεγίστη δὲ ἐν τῇ σκευασίᾳ διαφορὰ γίγνεται κατὰ τὴν τῶν ἐμβαλλομένων αὐτοῖς δύναμιν, σπερμάτων τε, καὶ λαχάνων, καὶ φυτῶν. ἁπάντων μὲν τῶν ξηραινόντων. ἀλλ' ἢ πλεῖον, ἢ ἧττον.

Ὅσα ὑγραίνει. σξη'.

Γ πιστάνη. κολοκύνθη ἑφθή. πέπονες. μηλοπέπονες. σικυοί. κάρυα χλωρὰ. καὶ κοκκύμηλα. συκάμινα. συκόμορα. θριδακίνες. ἴντυβοι. μαλάχη δὲ, καὶ βλῆτα, καὶ ἀτράφαξις ὑδατωδέστατα λαχάνων εἰσί. κύαμοι χλωροὶ ὑγραίνουσι, καὶ ἐρέβινθοι. ὕδωρ θερμὸν μὲν ὑγραίνει, καὶ θερμαίνει. ψυχρὸν δὲ ψύχει, καὶ ὑγραίνει.

Ὅσα κεφαλὴν βλάπτει. σξθ'.

Φ οἶνοι πάντες. ζωμόν. τῆλις. βάτινα κεφαλαλγεῖ. ὁ κιρρὸς οἶνος κεφαλαλγής. καὶ γνώμης ἅπτεται μᾶλλον τοῦ μέλανος. καὶ ὁ αὐστηρὸς, καὶ ὁ εὐώδης κεφαλαλγής. ὁ δὲ ὑδατώδης οὔτε κεφαλαλγὴς, οὔτε νεύρων ἅπτεται. ὁ δὲ ὀλιγοφόρος παύει τὰς κεφαλαλγίας τὰς γινομένας διὰ χυμοὺς τοὺς ἐν τῇ γαστρί. ἀλλὰ καὶ ἐπιτήδειος κεφαλῇ, εἰ μή τις ἰσχυρὰν αὐτὴν ἔχει πάνυ. τὸ ἀπόβρεγμα τῶν σταφυλῶν ἃ καλοῦσι στύγα, κεφαλαλγεῖ. καὶ ἡ ἐν τοῖς στεμφύλοις ἀρτὶ τεθειμένη σταφυλή.

ΤΕΛΟΣ.

ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

περὶ τῶν ἱερῶν.

ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ ΠΕΡΙ ΠΟΙΟΥΜΕΝΩΝ ΚΕΝΟΥΜΕΝΩΝ προσφερομένων καὶ περὶ ἀέρων. ἀνέμων. τόπων ὑδάτων. φοινισμῶν. σιναπισμῶν. καὶ τῶν ὁμοίων λόγος τρίτος.

Περὶ τρίψεως παρασκευαστικῆς.

Πρὸ τῶν γυμνασίων θερμαίνειν τὸ σῶμα χρή, τρίψει τε χρωμένους τῇ διὰ σινδόνων, καὶ τῇ δι' ἐλαίου. τρίβειν τε γυμναῖς ταῖς χερσίν, ἄχρις ἂν θερμανθείη καλῶς, καὶ μαλαχθείη τὸ σῶμα. ἐπανθήσῃ τε ἔρευθος εὐανθὲς καὶ εἰς ὄγκον ἀρθείη τὸ τριβόμενον μόριον.

Περὶ γυμνασίων. β.

Κίνησις σφοδρὰ τὸ γυμνάσιόν ἐστιν. ὅρος δὲ τῆς σφοδρότητος, ἡ τῆς ἀναπνοῆς ἐστὶν ἡ ταχυτέρα ἀλλοίωσις. τὸ δὲ γυμνάσιον, δυσπαθῆ τε παρασκευάζει τὰ ὀργανικὰ μόρια, καὶ εὔτονα πρὸς τὰς ἐνεργείας· τήν τε τῆς τροφῆς ὁλκὴν ἰσχυροτέραν, καὶ τὴν θρέψιν βελτίονα, διὰ τὴν ἐγγινομένην τοῖς σώμασι θερμότητα. ἐκκαθαίρει δὲ καὶ τοὺς αἰσθητικοὺς πόρους, καὶ τοὺς ἀδήλους διὰ τὴν τοῦ πνεύματος ἰσχυρὰν κίνησιν. ἐπεὶ οὖν τῇ ἀναδόσει συνεργεῖν χρή, μήτε πλῆθος ὠμῶν χυμῶν, καὶ ἀπέπτων σιτίων, μήτε χυμὸν κατὰ τὴν κοιλίαν, ἢ τὰ ἔντερα περιέχεσθαι. κίνδυνος γὰρ αὐτὰ ἀχθῆναι πρὸς ἅπαντα τὰ τοῦ ζώου μόρια, πρὶν χρηστὰ γενέσθαι πεφθέντα. δῆλον οὖν ὡς καὶ πρὸ τῶν σιτίων τὰ γυμνάσια χρὴ παραλαμβάνειν. γνώρισμα δὲ τῆς εὐκαιρίας, τῶν οὔρων ἡ εὔχροια. τὸ μὲν γὰρ ὑδατῶδες οὖρον, ἄπεπτον εἶναι σημαίνει τὸν ἐκ τῆς γαστρὸς ἀναδοθέντα χυμόν. τὸ δὲ πυρρόν, καὶ χολῶδες, ἐκ πολλοῦ κατειργάσθαι. τὸ δὲ μετρίως ὠχρόν, ἀρτὶ πέψεως γεγενημένης σημεῖόν ἐστι. τηνικαῦτα τοίνυν ἄγειν ἐπὶ τὰ γυμνάσια, προαποτεθέντος τοῦ τε ἐν τῇ κύστει, καὶ τῇ γαστρὶ περιττώματος.

Περὶ τῶν ἰδίων γυμνασίων. γ.

Τὸ μὲν οὖν κοινὸν ἁπάντων τῶν γυμνασίων ἐστί, θερμότητος αὔξησις ἐγγινομένη τοῖς σώμασιν. τὰ δὲ διὰ τῶν καθ' ἕκαστα. τὸ μὲν εὔτονον, γυμνάσιόν ἐστι, τὸ βιαίως εἰς εὐτονίαν παρασκευάζον τούς τε μῦς καὶ τὰ νεῦρα. ταῦτα δέ ἐστι, τὸ σκάπτειν, καὶ φορτίον ἀράμενον μένειν, ἢ κατὰ χώραν μένειν, ἢ προβαίνειν μικρόν. καὶ δὴ περιπατεῖν. τούτου τοῦ γένους ἐστὶ καὶ τὸ ἀναρριχᾶσθαι διὰ σχοινίου. καὶ πλεῖστα ἄλλα ὁμοιότροπα. τὰ δὲ τάχιστα γυμνάσια χωρὶς εὐτονίας, καὶ βίας, δρόμοι τέ εἰσι, καὶ ἀκροχειρισμοί, καὶ τὸ διὰ σμικρᾶς σφαίρας γυμνάσιον. ὅσα δὲ εὔτονα τῶν γυμνασίων ἐστί, τούτοις ὡς σφοδροῖς αὖτις χρῷτο, κινήσεις ταχείας προστιθείς. ἔτι τῶν γυμνασίων, τὰ μὲν ὀσφὺν μᾶλλον, ἢ χεῖρας ἢ σκέλη διαπονεῖ. τὰ δέ, τὴν ῥάχιν, ἢ τὸν θώρακα. ἢ τὸν πνεύμονα μόνον. χρὴ δὲ γυμνάζεσθαι μέχρις ἂν εἰς οἶκον αἴρηται τὸ σῶμα, καὶ εὐανθὲς ὑπάρχῃ. καὶ αἱ κινήσεις ἕτοιμοι, ὁμαλῶς, καὶ εὔτονοι γίγνωνται. ἐν τούτῳ δὲ καὶ ἱδρῶτα θεάσῃ θερμὰ ἀτμῷ συμμιγῆ. παυέσθω δὲ τηνικαῦτα πρῶτον, ἐπειδὰν τι τῶν εἰρημένων ἀλλοιωθῇ. δὴ εἰ φανείη συστελλόμενος ὁ τοῦ σώματος ὄγκος, αὐτίκα παύειν. ὡσαύτως καὶ εἰ τὸ τῆς χροιᾶς εὐανθὲς μαραίνοιτο, παύεσθαι. καὶ μὲν δὴ καὶ τὸ τῶν κινήσεων ὀξύ, ἐπειδὰν ἐνδιδόναι που φαίνοιτο, καταπαύειν αὐτίκα. καὶ εἰ περὶ τὸν ἱδρῶτα φαίνοιτό τις, ἢ κατὰ πλῆθος, ἢ κατὰ ποιότητα μεταβολή. ἐὰν γὰρ ἐλάττων τε, ἢ ψυχρότερα γίγνηται καταπαύειν δεῖ. καταχέοντα τὸ ἔλαιον ἀποθεραπεύειν τε τοὐντεῦθεν. εἰθ' ἑξῆς τῇ ἀποθεραπευτικῇ τρίψει χρῆσθαι. ὡς εἰώθασιν οἱ παιδοτρίβαι ποιεῖν.

Περὶ τῶν ἰδίων τρίψεων. δ΄.

Τῶν τρίψεων ἡ μὲν σκληρὰ, δεσμεῖ τὰ σώματα. ἡ δὲ μαλακὴ, λύει. ὥστε ὅσα ἐκλύεται πέρα τοῦ μετρίου σώματα, σκληρῶς ἀνατριπτέον. ὅσα δ' ἔσφιγκται, μαλακῶς. εἰ δέ τις συμμέτρως ἔχει, εὔδηλον ὡς οὔτε μαλακῶς, οὔτε σκληρῶς. ἀλλ' ὅσον οἷόν τε τὰς ὑπερβολὰς ἑκατέρας φυλαττομένους. ἡ δὲ πολλὴ τρίψις, τὴν ἰσχνότητα παρέχεται. ἡ δὲ μέση, τὴν συμμετρίαν.

Περὶ ἀναφωνήσεως. ε΄.

Γυμνάσιον ἐστὶ θώρακος, καὶ τῶν φωνητικῶν ὀργάνων ἡ ἀναφώνησις, καὶ πρός γε τούτῳ, τῆς φυσικῆς θερμασίας. καθαίρουσα, καὶ λεπτύνουσα, καὶ τονοῦσα, τά τε τοῦ σώματος μέρη στερεὰ, καὶ εὔτονα, καὶ δυσπαθῆ κατασκευάζουσα. χρῶ δὲ ἀναφωνήσει, ἐπὶ ἀσθματικῶν, ὀρθοπνοϊκῶν, φθισικῶν, καὶ ἀλγημάτων χρονίων, περὶ τὸ στέρνον γιγνομένων, ἢ τὸ μετάφρενον. καὶ ἐπὶ ἀποστημάτων ἐν θώρακι μετὰ τὴν ῥῆξιν. καὶ ἐπὶ βραγχώδους φωνῆς, τῆς διὰ πλείστην ὑγρότητα γιγνομένης. καὶ ἐπὶ τεταρταϊζόντων πυρετῶν ἁρμοδιώτατα ἐκμοχλεύουσα τὸν πεπηγότα χυμόν. ἀλλὰ καὶ διὰ τὴν ὑγρότητα τοῦ στομάχου, ἣν ἰδίως αὐτὸς ὁ τεταρταῖος πυρετὸς ἐπιφέρει. ἁρμόζει δὲ καὶ στομαχικοῖς. μάλιστα δὲ τοῖς συνεχῶς ἐμοῦσι. καὶ ὀξυρεγμιώδεσι. τοῖς δὲ περὶ κεφαλὴν πάθεσιν, ἀνάρμοστος. δεῖ δὲ τὸν μέλλοντα ἀναφωνήσειν, κοιλίας ἀποπειρᾶσθαι, τρεψάμενον ἡσυχῇ τὰ κάτω μέρη, καὶ τὸ πρόσωπον νιψάμενον, προδιαχυθέντα ἠρέμα, προλαλήσαντα μετρίως, διαστήσαντα ἐκ τῶν ὕπνων, καὶ περιπατήσαντα, οὕτως ἐπὶ τὰς ἀναφωνήσεις παραγίνεσθαι. ἐν δὲ ταῖς ἀναφωνήσεσιν, ἡ εὐμέλεια, καὶ ἡ εὐφωνία, καὶ χρυσοφωνία, οὐδὲν ἂν συμβάλλοιτο πρὸς ὑγείαν. ὁ δὲ τῶν βαρυτέρων φθόγγων ἦχος χρήσιμος. ὥστε τοῦτον ἀσκητέον. οὕτω γὰρ πλεῖστος ἀὴρ κατὰ τὴν ἀναπνοὴν ἑλκόμενος διαστέλλει τὸν θώρακα, καὶ τὴν κοιλίαν, καὶ τοὺς καθ' ὅλον τὸ σῶμα πόρους εὐρύνει, καὶ διΐστησι. διόπερ ἐν ταῖς ἀναφωνήσεσιν, ἢ συντόνοις ἀναγνώσεσι τῶν πλεοναζόντων ὑγρῶν ποιοῦνται τὰς ἐκκρίσεις. τοῖς μὲν συντονώτερον ἀναγινώσκουσι μᾶλλον, καὶ δι' ἱδρώτων. τοῖς δὲ ἐπιεικέστερον ἐντεινομένοις, διὰ τῆς ἀδήλου διαπνοῆς. καθ' ὅλον γὰρ τὸν ὄγκον τοῦ σώματος ἡ τάσις γίγνεται ἐν τοῖς ἀναγνώσμασι, καὶ ταῖς ἀναφωνήσεσι. συμβαίνει δὲ διὰ τὸν ἐκ τῆς κινήσεως γιγνόμενον λεπτυσμὸν, πολλῶν πτυσμάτων ἀναφραττομένων, καὶ μύξης, καὶ φλέγματος ἔκκρισιν γενέσθαι. τοῖς γε μὴν θερμασίας δεομένοις διὰ ψυχρότητα, τίς ἂν εἴη προσφορωτέρα βοήθεια τῆς κατὰ τὴν ἀναπνοὴν ἐνεργείας; δεῖ τοίνυν ἀναγινώσκειν πολλάκις ἀνιέντας τὸ σῶμα ἅπαν, καὶ κεχυμένης τῆς σαρκὸς εἰς ἀραίωσιν τοῦ σώματος, διϊστῶντας ἐπιτηδείως τὴν τραχεῖαν ἀρτηρίαν, καὶ τὰς ἄλλας διεξόδους τοῦ πνεύματος. καὶ τὰς βαρυτάτας φθέγγεσθαι φωνὰς εὐμελῶς. χρηστέον δὲ ταῖς διὰ φωνῆς ἐνεργείαις. οὔτε εἰκῆ, οὔτε ἀπερισκέπτως. ἀλλὰ μήτε φαύλων, καὶ διεφθαρμένων ὑγρῶν μεστοὺς ὄντας, μήτε ἐπὶ μεγάλαις, καὶ φανεραῖς ἀπεψίαις πρὸς τὸ διὰ τῆς φωνῆς γυμνάσιον ἀφικνεῖσθαι. ὅπως ἂν μὴ πλείων ἀνάδοσις διεφθαρμένων χυμῶν, ἢ ἀτμῶν, εἰς τὸ σῶμα γένηται.

Περὶ αἰώρας. ς΄.

Τὰ μὲν ἄλλα γυμνάσια ἐπὶ τῇ τοῦ σώματος κεῖται κινήσει. ἡ δὲ αἰώρα, συμμιγής ἐστι, ἔκ τε κινήσεως, καὶ στάσεως. τῶν μὲν πλείστων τοῦ σώματος μερῶν ἀτρεμεῖν δοκούντων. παντὸς δὲ ὑπὸ τῆς φορᾶς κινουμένου. ἐντεῦθεν ὠφελιμώτατόν τε, καὶ προσηνέστατον γυμνάσιον αἰώρα, οὔτε κόπον ἐμποιοῦσα τοῖς σώμασι, κινοῦσα τε αὐτὰ σχεδὸν παραπλησίως τοῖς μεγάλοις γυμνασίοις. δύναται δὲ πᾶσα αἰώρα, ῥιπίζειν τε καὶ ἐπεγείρειν τὸ ἔμφυτον θερμὸν. σκορπίζειν τε πλῆθος ὕλης. καὶ τονοῦν τὴν ἕξιν. ἐπεγείρειν τὰ νεναρκηκότα τῶν ἐνεργημάτων. διαφοραὶ δὲ αἰώρας, πλεῖσται μὲν. ἰδιαίτατα δὲ αὗται. ἡ μὲν ἐπὶ κλίνης, ἢ κρεμαμένης, ἢ ὑπὸ βάθρας ἐχούσης κατὰ τοὺς γωνιαίους πόδας. ἡ δὲ ἐν φορείῳ. διπλῆ δὲ καὶ ἥδε. ἤτοι καθεζομένων τῶν αἰωρουμένων, ἢ κατακειμένων. ἡ ἐπὶ ζεύγους. ἡ ἐν πλοίῳ. θετέον ἐν αἰώρας μέρει καὶ τὴν ἱππασίαν. τῇ μὲν οὖν ἐπὶ κλίνης αἰώρᾳ χρηστέον ἐπὶ πυρεσσόντων, ἢ χρονίαν νόσον νοσούντων, ἐν ᾗ συντακέντα τὰ σώματα, οὐ μάλα ὀρθοῦσθαι δύναται. ἐπί τε τῶν ἐκ πυρετικῆς κακοπαθείας, ἄρτι ἀρχομένων ἀναλαμβάνειν. καὶ ἐπὶ τῶν ἐλλεβοριζομένων. χρηστέον δὲ αὐτῇ καὶ ἐπὶ τῶν νεφριτικῶν. ἠρέμα γὰρ καταπραΰνει τὴν ταραχὴν τοῦ πνεύματος, καὶ εἰς ὕπνον προσκαλεῖται. χρηστέον δὲ καὶ ἐπὶ τῶν ληθαργικῶν, καὶ ἐπὶ ἀνορέκτων. ἐν φορείῳ δὲ κατακειμένους αἰωροῦμεν ληθαργικῷ πυρετῷ συνεχομένους, καὶ ἡμιτριταϊκῷ, καὶ ἀμφημερινῷ. ὑδερικούς. ἀποπληκτικούς. παρετικούς. νεφρικούς. ποδαγρικούς. καθεζομένους δὲ ἐν φορείῳ αἰωροῦμεν, τοὺς ἐν ἀνέσει εἰλικρινεῖ τοῦ πυρετοῦ γενομένους. ἡ δὲ ἐπὶ ζεύγους αἰώρα μοχλευτικόν τι ἔχει, καὶ κινητικὸν τῶν χρονίων νοσημάτων. ἔστι δὲ καὶ ταύτης ἡ μὲν, σφοδροτέρα. ἡ δὲ ἠπιωτέρα. τῇ μὲν οὖν ἠπιωτέρᾳ, χρηστέον ἐπὶ τῶν περὶ τὴν κεφαλὴν διαθέσεων. καὶ ἐπὶ τῶν τὰ ἔντερα ῥευματιζομένων. τῇ δὲ σφοδροτέρᾳ, ἐπὶ τῶν κατὰ θώρακα, καὶ στόμαχον παθῶν. ἐπί τε οἰδημάτων, καὶ ὑδρωπικῶν, καὶ ἀποπληκτῶν. τοὺς δὲ σκοτωματικοὺς, καὶ ἡμικρανικοὺς ἀπεστραμμένους, εἰς τοὐπίσω τῆς ὁδοιπορίας, δεῖ καθίζειν ἐπὶ τῷ ζεύγει. καὶ ἠρέμα κινεῖν. πολλοὺς μὲν γὰρ ἴσμεν

θεραπευθέντας τούτῳ τῷ τρόπῳ, μηδενὸς τῶν ἄλλων βοηθημάτων προσδεηθέντας. δεῖ δὲ ὑπτιωτέραν ἐπ᾽ αὐτῶν εἶναι τὴν καθέδραν. ἡ δὲ διὰ πλοίου αἰώρα, ἡ μὲν περὶ γῆν γιγνομένη, καὶ ἐν ἀκύμονι θαλάσσῃ, ἁρμόζει ὑδρωπικοῖς. ἐλεφαντιῶσιν. ἀποπληκτικοῖς. παρῳδηκόσιν. στόμαχον δὲ κατ᾽ ἀρχὰς μὲν, ἀναφέρει. μικρὸν δὲ ὕστερον, ἐν ἔθει γίγνεται. ἡ δὲ διαπόντιος αἰώρα σφοδροτάτη ἐστὶ, καὶ μεταβολάς τε πλείστας, καὶ μεγίστας ἐργάζεται, τῆς ψυχῆς συμμιγοῦς οὔσης ἔκ τε ῥαθυμίας, καὶ φόβου, καὶ κινδύνου. ποτὲ μὲν χαιρόντων, ποτὲ δὲ ἀγωνιζόντων τῶν πλεόντων. πάντα δὲ ταῦτα συντιθέμενα, ἱκανά ἐστι πᾶσαν χρονίαν νόσον ἐκμοχλεῦσαι τε καὶ ἐξαγαγεῖν τοῦ σώματος. καὶ μέντοι καὶ τὸ συμμιγὲς ἔκ τε ἀκινησίας, ἔκ τε τῆς κινήσεως τοῦ σώματος, εὐφορίας ἐστὶ, εἴπερ ἄλλο τι, ποιητικόν.

Περὶ ἱππασίας. ζ'.

Ὀλίγη χρῆσις ἐπὶ τῆς ἱππασίας ἐστὶ τῶν νοσούντων. οὐ πολλὴν γὰρ ὠφέλειαν τὸ ἔργον παρέχεται. εἰ μὲν γὰρ ἠρέμα ἐλαύνοιτο ὁ ἵππος, οὐδὲν ἄλλο ἐργάζεται, πλὴν κόπον, καὶ μάλιστα βουβώνων κατὰ τὴν ἔκπτυξιν τῶν σκελῶν τε, καὶ τὴν ἀποκρέμασιν. εἰ δὲ ἀποδιώκοιτο ὁ ἵππος, κλονεῖ ἅπαν τὸ σῶμα ἐπιπόνως. ὅμως δὲ καὶ οὗτος ὁ τρόπος ἔχει τι χρήσιμον ἐπὶ τῶν ἰσχυόντων. τονοῖ γὰρ ὑπὲρ πάντα τὰ ἄλλα γυμνάσια, καὶ πνεῦμα καὶ σῶμα, μάλιστα δὲ στόμαχον. καθαίρει δὲ καὶ αἰσθητήρια. καὶ ὀξύτερα ἐργάζεται. θώρακι δὲ κάκιστον τὸ γυμνάσιον ἐστίν. ἐπὶ πάσης δὲ αἰώρας, καὶ παντὸς γυμνασίου, χρὴ μάλιστα φροντίδα τίθεσθαι, ἐν ὑπτίῳ χωρίῳ ἐπιτελεῖσθαι. καὶ ἀέρι καθαρῷ. καὶ οὐ μόνον τὰ ἄλλα γυμνάσια, ἀλλὰ καὶ τὸ διὰ πλοίου.

Περὶ ἀφροδισίων, ἐκ τῶν Ῥούφου. η'.

Φυσικὸν μὲν ἔργον ἡ συνουσία ἐστὶ. οὐδὲν δὲ τῶν φυσικῶν βλαβερόν. παρὰ δὲ τὴν ἄμετρόν τε, καὶ συνεχῆ χρῆσιν, καὶ κατὰ καιρὸν τὸν οὐ προσήκοντα παραλαμβανομένη, βλαβερὰ γίνεται. πολλῷ δὲ μᾶλλον βλαβερὰ ἡ συνεχὴς χρῆσις γίγνεται, τοῖς τὸ νευρῶδες ἀσθενὲς ἔχουσιν, ἢ θώρακα, ἢ νεφροὺς, ἢ ὀσφὺν, ἢ ἰσχία, ἢ πόδας. ἔστω δέ σοι τεκμήρια καὶ τάδε. σύμπασα γὰρ ἡ ἰσχὺς τοῦ ἀνθρώπου, ἀσθενεστέρα γίγνεται ἐν τῇ χρήσει. ἡ δὲ ἰσχύς ἐστι, τὸ ἐν ἡμῖν ἔμφυτον θερμόν. ὅθεν αἱ ὄψεις οὐκ ἀγαθαὶ τῷ μισγομένῳ. καὶ ἔξωχροι γίνονται. καὶ οὔτε ἀκριβῶς ὁρῶσιν, οὔτε ἀκούουσιν ὡς χρή. οὔτε ἄλλην τινὰ αἴσθησιν ἐρρωμένην κέκτηνται. καὶ μὲν δὴ καὶ ἐπιλήσμονες οἱ τοιοῦτοι, καὶ τρομώδεις εἰσί. καὶ τὰ ἄρθρα ὀδυνηροί, μάλιστα τῶν ἰσχίων, καὶ οἱ μὲν, νεφριτικοὶ γίγνονται. οἱ δὲ, καὶ κατὰ κύστιν νόσημα ἔχουσι. τοῖς δὲ καὶ στόματα ἀφθώδη γίγνεται. καὶ ὀδόντων πόνοι. καὶ γαργαρεώνων φλεγμοναί. πολλοὶ δὲ ἄνδρες ἐπὶ τοῖς πολλοῖς ἀφροδισίοις, καὶ αἷμα ἀνέπτυσαν. τὸ μέν τι, τῇ βιαίᾳ κατοχῇ τε καὶ ἐντάσει τοῦ πνεύματος. τὸ δέ τι τῇ κοινωνίᾳ τῶν ἀπὸ θώρακος ἐπὶ τοὺς ὄρχεις φερομένων φλεβῶν, καὶ ἀρτηριῶν. γυνὴ δὲ ἥκιστα ἐπὶ ταῖς μίξεσι πτύει αἷμα, τῇ τε ἄλλῃ τοῦ σώματος ὑγρότητι, καὶ τῷ ἧσσον πονεῖσθαι ἐν τῇ μίξει. καὶ διὰ τὰς εἰωθυίας κάτω καθάρσεις. ὥστε κἂν τύχῃ γυναῖκα πτύσαι αἷμα, μέγα ἴαμα ταῖς καθάρσεσιν αὐτῇ γίγνεται. διὰ ταῦτα μὲν δὴ τὰ εἰρημένα παρακελεύονται τῶν ἰατρῶν οἱ ἀγαθοὶ, ἤν τε πάρεστί τι τῶν εἰρημένων νοσημάτων, ἤν τε προσδόκιμον ᾖ διὰ τὴν φυσικὴν ἀσθένειαν τοῦ ἀνθρώπου, ἀπέχεσθαι τῶν ἀφροδισίων. ἄχρι μὲν δὴ τούτων τὰς βλάβας, καὶ τὰς συμπαθείας, ἐφ᾽ ὅσον δυνατὸν ἦν ἡμῖν εἰπεῖν, διὰ βραχέων εἰρήκαμεν. ῥητέον δὲ νῦν καὶ τὰς ὠφελείας. οὐ γὰρ πάντῃ ἀνωφελῆ, καὶ πᾶσι κακὰ τὰ ἀφροδίσιά ἐστι. ἐάν γε τὸν καιρὸν τῆς χρήσεως, καὶ τὸ μέτρον, καὶ τὴν ὑγιεινὴν κατάστασιν τοῦ χρωμένου σκοπεῖν ἐθέλοις. ὠφέλειαι δὲ αἱ ἐκ τῶν ἀφροδισίων εἰσὶν αἵδε. πλησμονήν τε κενῶσαι. καὶ ἐλαφρὸν ποιεῖν τὸ ὅλον σῶμα. καὶ εἰς αὔξησιν προτρέψαι. καὶ ἀνδρωδέστερον ἀποφῆναι. τῇ δὲ σκληρᾷ ἕξει ἐκ διαλειμμάτων πλειόνων, ἡ χρῆσις ὠφέλιμος. μαλάσσει γὰρ τὰ ὄργανα, καὶ ἀνευρύνει τοὺς πόρους. καί τι τοῦ φλέγματος ἐκκαθαίρει. καὶ συνεστηκότα δὲ τὸν λογισμὸν διαλύει. καὶ ὀργὰς μεγίστας ἐπανίησι. διὸ καὶ τῷ μελαγχολικῷ κατηφεῖ, καὶ μισανθρώπῳ ὄντι, ὥστε μέγιστον ἴαμα ἐπιτηδειότατον μίσγεσθαι. καὶ καθίστησι δὲ εἰς τὸ σωφρονέστερον, καὶ τοὺς κατ᾽ ἄλλον τρόπον ἐκμανέντας. καί τινας ἐπιλήπτους ἔπαυσε, καὶ βαρυνομένους τὴν κεφαλὴν, καὶ ἀλγοῦντας, τῇ μεταβολῇ τοῦ ἡβάσκειν. Ἱπποκράτης δὲ ἐν λόγῳ, τοῖς ἀπὸ φλέγματος νοσήμασιν, εἶναι κράτιστα τὰ ἀφροδίσια ἔφη. πολλοὶ δὲ καὶ ἐκ νόσων ἄτροφοι ἀνεκομίσθησαν ἐπὶ τῇ χρήσει αὐτῶν. οἱ δὲ, εὐπνούστεροι ἀντὶ δυσπνουστέρων ἐγένοντο. καὶ εὐσιτότεροι ἀντὶ ἀποσίτων. οἱ δὲ καὶ ὀνειρωγμῶν συνεχῶν ἀπηλλάγησαν. φύσεις δὲ πρὸς ἀφροδίσια ἐπιτήδειοι, αἱ θερμότεραι, καὶ ὑγρότεραι, καὶ πλέον τῶν ἄλλων εἰς τὴν χρῆσιν εὔφοροι. ἥκιστα δὲ αἱ ξηραί, καὶ ψυχραί. καὶ ἡ μὲν τῶν ἀκμαζόντων, εὔθετος. ἡ δὲ τῶν γερόντων, οὐδαμῶς. ὥρα δὲ τὸ μὲν ἔαρ, ἐπιτήδειον. ἄθετον δὲ, τὸ φθινόπωρον, καὶ τὸ θέρος. ἀλλ᾽ οὐδὲ ὁ χειμὼν ἐπιτήδειος τῷ ψύχειν. καὶ δίαιτα θερμοτέρα, καὶ ὑγροτέρα, εἰς λαγνείαν εὔφορος. δύσφορος δὲ, ἡ ξηραίνουσα καὶ ψύχουσα. καὶ δὴ αἱ τε ὑγραὶ δίαιται πρὸς μίξεις τῷ ἀδυνάτῳ μίσγεσθαι ἐπιτήδειοι. χρὴ τοίνυν τὴν μὲν δίαιταν ὑγρὰν καὶ θερμὴν ὑπάρχειν. εἴη δ᾽ ἂν πόνων μὲν μετριότης, καὶ σίτου εὐωχία. οἶνος μὲν οὖν ἔστω κιρρὸς τῇ χροιᾷ, λεπτὸς δὲ τῇ συστάσει. ἄρτοι καθαροὶ ἔστωσαν πρόσφατοι. κρέα ἐρίφων, καὶ ἀρνῶν, καὶ χοίρων. πιόνων.

πτηνῶν. ἀλεκτορίδες. ἀτταγῆνες. πέρδικες. χῆνες. νῆτται. ἰχθύων δὲ οἱ πολύποδες. καὶ ὅσα μαλακό-
σαρκα λέγεται. λαχάνων δὲ ὅρμινον. ἐρύσιμον. εὔζωμον. γογγυλὶς δίσεφθος, καὶ, τακόρα χυνομέ-
νη. ταῦτα γὰρ ὡς φαρμακώδη δίδοται. ὀσπρίων δὲ, κύαμοι. ἐρέβινθοι. ὦχροι. φάσηλοι. πισοί. λο-
βοί. πνεύματός τε ἐμπιπλῶντες, καὶ ἀφθονίαν τροφῆς παρασκευάζοντες. μεγάλως δὲ ἐπαινῶ καὶ
τὴν καλλίστην σταφυλὴν εἰς τὴν νῦν δίαιταν. ὑγραίνει γὰρ, καὶ αἵματος, καὶ πνεύματος ἐμπίπλησι
τὸ σῶμα. τὸν δὲ μέλλοντα ἀφροδισίοις χρῆσθαι πλησμονὰς προσφάτους φυλάττεσθαι χρὴ, καὶ
ἀπεψίας, καὶ μέθας, καὶ ἐνδείας. κακὸν γὰρ ἐπὶ περιττώμασι μίσγεσθαι, καὶ ἀπὸ γυμνασίων,
καὶ λουτρῶν. καὶ κόπους δὲ φυλακτέον, καὶ ἐμέτους γεγενημένους, καὶ διαῤῥοίας γαστρὸς προσ-
φάτους. τὰς γὰρ χρονίους ἔστιν ὅτε ξηραίνει τὰ ἀφροδίσια. κάλλιστον δὲ τὸ μισγόμενον ἐπὶ σιτίοις μίσ-
10 γεσθαι, μὴ ἐμπλησθέντα. καὶ γὰρ πρὸς ἰσχὺν συμφέρει. καὶ αἱ γιγνόμεναι ψύξεις, ἧσσον γίγνονται.
καὶ εἰ μὲν ἐπὶ τῷ ἀρίστῳ τις προθυμηθείη, ἀναπαύσασθαι χρὴ μέχρι καταστῇ τὸ σιτίον. εἰ δὲ ἐπὶ τῷ δεί-
πνῳ, ὕπνου ἀνάγκη πρὸς ὀλίγον. καὶ τὰς σφοδρὰς δὲ ἐπιθυμίας οὐκ ἐπαινῶ. ἀλλὰ κελεύω πλέ-
ον ἀντέχειν. καὶ μᾶλλον οἷς νόσημά ἐστι, ῥᾷον ἐκ τῆς χρήσεως βλαπτόμενον.

Περὶ ἀμμοχωσίας, καὶ τῶν ἄλλων πυριῶν, ἐκ τῶν Ἀντύλλου, θ'.

Ηλίῳ παρέχουσιν ἑαυτούς. οἱ μὲν ἀνάλειπτοι. οἱ δὲ, ἠλειμμένοι. καὶ οἱ μὲν καθήμενοι, ἢ κατακείμενοι. οἱ
δὲ ἑστῶτες, καὶ περιπατοῦντες, ἢ τρέχοντες. καὶ τῶν κατακειμένων, οἱ μὲν, ἐπὶ στρωμνῆς. οἱ δὲ, ἐπὶ δέρ-
ματος. οἱ δὲ, ἐπὶ ψάμμου, ἢ ἁλῶν. ἡ μὲν οὖν χωρὶς ἀλείμματος ἐπίκαυσις, σύμμετρός τε παραλαμ-
βανομένη. τὴν μὲν ἄδηλον διαπνοὴν, ἐπιτείνει, καὶ ἱδρῶτας ἐξάγει. κοιλίαν δὲ, ἵστησι. καὶ σαρκὸς
μέν ἐστι συντηρητική. πιμελῆς δὲ καθαιρετική. καὶ οἰδημάτων, τῶν τε ἄλλων, καὶ μάλιστα τῶν ὑδρω-
20 πικῶν κατασταλτική. πνεῦμα δὲ δασύτερον, καὶ παχύτερον ἐργάζεται. καὶ διὰ τοῦτο ἄσθματος,
καὶ ὀρθοπνοίας παροξυντική. κεφαλῇ δὲ χρονίως ἐψυγμένῃ, ὠφέλιμος. λυπασθῇ γὰρ, καὶ στερε-
ὰν αὐτὴν ἀπεργάζεται. δεῖ μέντοι προκενοῦν τὴν κοιλίαν ἐπὶ τούτων. μὴ προγενομένης γὰρ κάτω
κενώσεως, πολέμιος ἡ ἡλίωσις τῇ κεφαλῇ. ἡ δὲ μετὰ λίπους ἡλίωσις, τὰ μὲν ἄλλα τὰ αὐτὰ δύνα-
ται. ξηραίνει δὲ τὸ σῶμα μᾶλλον, ὥσπερ ἐποπτώμενον τῷ λίπει, διὸ καὶ μᾶλλον μελαίνει τὴν ἐπι-
φάνειαν. διὰ δὲ τῆς ἀδήλου διαπνοῆς ἧσσον διαφορεῖ καὶ αὕτη, καὶ τῇ ἐρείῳ παραπλησίως πυκνοῦ-
σα τὴν σάρκα. οἱ δὲ καθήμενοι ἢ ἑστηκότες, σφοδρότερον ἐπικαίονται τῶν περιπατούντων,
καὶ μᾶλλον τῶν τρεχόντων. κατακείμενοι δὲ ἐπὶ στρωμνῶν, οὐ μεγάλως ὀνίνανται. ἀλλὰ καὶ μᾶλ-
λον πληροῦνται τὴν κεφαλήν. ἐπὶ δέρματος δὲ πυρώμενοι, μεγάλως ὠφελοῦνται. οἵ τε ὑδρω-
πικοὶ, καὶ ἰσχιαδικοί. νεφριτικοί. πάρετοι. ἐλεφαντιῶντες. παρῳδηκότες κατὰ τὰς ἀναλήψεις,
30 κοιλιακοί τε, καὶ περὶ κύστιν χρόνιον ἔχουσι νόσημα. ἀπόπληκτοί τε καὶ ὑστερικῶς πνιγόμε-
ναι. καὶ ἔτι μᾶλλον αἱ ὑπὸ λευκοῦ ῥοῦ ἐνοχλούμεναι. δεῖ δὲ εὐμέγεθες εἶναι τὸ δέρμα. καὶ ἐλαίῳ ἠλεῖ-
φθαι αὐτό. καὶ ἐστρῶσθαι ἐπὶ ψάμμου λεπτῆς σεσησμένης. καὶ προθερμανθέντι τῷ δέρματι κατα-
κλίνειν τὸν πάσχοντα, ἐσκεπασμένον τὴν κεφαλὴν ὠμῷ λίνῳ. μείναντα δὲ ἐφ' ἑνὶ σχήματι ἐπὶ πο-
λὺ, ἐπειδὰν ἱκανῶς ἐκπυρωθῇ τὸ σῶμα, στρέφεσθαι κελεύειν κυλιόμενον. καὶ πάλιν ἐπὶ τὸ ἄλλο
πλευρὸν ἐκταθέντα ἡσυχάζειν. καὶ τοῦτο ποιεῖν πλεονάκις. ὁ αὐτὸς δὲ τρόπος καὶ ἐπὶ ψάμμου πα-
ραλαμβανέσθω, ἀλλασσομένου συνεχῶς τοῦ τόπου. δεῖ δὲ ὑπηρέτην παρεῖναι, καὶ θερμοτάτην ψάμ-
μον ἀναλέγοντα ἐπιβάλλειν τῷ σώματι τοῦ κεχωσμένου. εἰ μὲν οὖν θάλασσα παρείη χρηστέον τῇ ψάμ-
μῳ αὐτῆς. καὶ γὰρ προσηνεστέρα, καὶ ξηραντικωτέρα ἥδε τῆς ψάμμου πυρία, τῆς διὰ τοῦ δέρματός ἐστιν. εἰ
δὲ ποτάμιος ἡ ψάμμος εἴη, μᾶλλον τῷ δέρματι χρηστέον. καὶ γὰρ ἡ ποτάμιος ψάμμος, καὶ οἱ ἀτμοὶ ὑγρό-
40 τεροί εἰσιν ἐκ τῶν ἀναθυμιάσεων. ἀφθονίας δὲ οὔσης ἁλῶν, πολὺ βέλτιόν ἐστι λεπτῶν ἁλῶν ὑπο-
κειμένων κατακλίνειν. δεῖ δὲ τὸ βάθος οὐκ ἔλαττον εἶναι τριῶν παλαιστῶν. ἂν γὰρ μὴ ὦσι βαθεῖς, εὐ-
διάπνευστος ἡ ἀπ' αὐτῶν θερμασία γίγνεται, ἅτε δὴ ἀνάδοσιν ἐκ βάθους οὐκ ἔχουσα.

Περὶ φλεβοτομίας, ἐκ τῶν Γαληνοῦ, ι'.

πὸ μὲν τῶν ὁμοιομερῶν τοῦ σώματος, ἐλέχθησαν διὰ τῶν ἄλλων πραγματειῶν, αἱ πρῶται τῶν
ἐνεργειῶν ἐπιτελούμεναι. διὰ δὲ τῶν ὀργανικῶν, αἱ δεύτεραι. σκεπτέον τοίνυν τὰ κατὰ τὸ σῶμα πε-
ριεχόμενα τῶν ὑγρῶν ἥντινα ὠφέλειαν, ἢ βλάβην ἐργάζηται τοῖς μορίοις αὐτοῦ, δι' ὧν τὰς ἐνερ-
γείας ποιεῖται. τὸ δὲ ἀθροιζόμενον πλῆθος διττῶς λέγεται. ἢ γὰρ πρὸς δύναμιν λέγεται τὸ πολὺ,
ἢ πρὸς τὴν εὐρυχωρίαν τῶν περιεχόντων τοὺς χυμοὺς ἀγγείων. καθάπερ γὰρ ὁ τὸ φορτίον βαστάζων
οὐκ εὐθὺς ἅμα τῷ βαρύνεσθαί τε, καὶ κάμνειν, ἤδη καταπέπτωκε, καὶ νενίκηται πρὸς αὐτοῦ. κατὰ
50 τὸν αὐτὸν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ πλήθους βαρύνηται, δυνατόν ἐστιν ἀντέχειν αὐτὴν ἐπὶ πο-
λύ. καὶ μηδέπω νοσεῖν τὸν ἄνθρωπον. ἐπὶ πλέον δὲ ἀμεληθέντι καταπίπτει ἡ δύναμις. τούτους μὲν
οὖν μεγάλως ὀνίνησιν ἡ φλεβοτομία, πρὶν νικηθῆναι τὴν δύναμιν. καὶ μὴ ὑποκειμένου δὲ ἐν τῷ σώ-
ματι πλήθους αἵματος, ὠφέλιμος ἡ φλεβοτομία γίγνεται, ἀρχομένης φλεγμονῆς διὰ πληγήν τι-
να προηγησαμένην, ἢ διὰ τὴν ἀσθένειαν τοῦ μορίου, χυμῶν ἀθρόως ἐκ τοῦ σώματος εἰς αὐτὸ συναχθέν-

τῶν. διότι γὰρ ἀθρόως ἐπί τι μέρος παραγινόμενον τὸ αἷμα ἤτοι ἐναρκῶσεν, ὡς διαφθεῖραι τὴν ἐνέργειαν αὐτοῦ, ἢ βλάβην ἀξιόλογον ἤνεγκεν. ὃ ἐπὶ τῆς ἀποπληξίας ὁρῶμεν γινόμενον. ἔστι δὲ ὅτε ἀγγεῖον διαῤῥήγνυσιν, ὡς ἐπὶ τῶν αἱμοπτοϊκῶν συμβαίνει. πειρᾶσθαι οὖν χρὴ πλεονάσαν τὸ αἷμα, κενοῦν αὐτὸ διὰ ταχέων πρὶν ἄρξασθαι τί μέγα κακὸν ἐργάσασθαι περί τινα τῶν μορίων τοῦ σώματος. παραληπτέον δὲ τὴν φλεβοτομίαν, καὶ νοσήματος μεγάλου προσδοκωμένου. ἐστήσαν οὖν πολλοὺς τῶν ποδαγρικῶν, ἐτῶν ἤδη τριῶν, ἢ τεσσάρων ἐνοχλουμένους, ἀλείμμασιν ἐκ διαλειμμάτων ἰασάμην, ἤτοι καθαίρων τὸν πλεονάζοντα χυμὸν ἐν ἀρχῇ τοῦ ἦρος, ἢ αἵματος ἀφαιρῶν. καὶ γὰρ ποδαγρικοῖς, καὶ ἀρθριτικοῖς, ἐπιληπτικοῖς τε, καὶ μελαγχολώδεσιν, ἢ αἷμα πρόσθεν ἐπτυκόσι, σκοτωματικοῖς τε, καὶ συνεχῶς ἁλισκομένοις κυνάγχαις, ἢ περιπνευμονίαις, ἢ πλευρίτισιν,
10 ἢ ὀφθαλμίαις σφοδραῖς. ἢ καθόλου φαμὲν μεγάλῳ νοσήματι περιπίπτουσι συνεχῶς, τὴν φλεβοτομίαν ἀναγκαιοτάτην εἶναι ἁπάντων φημί. σκοπητέον δὲ ἐπὶ πάσης φλεβοτομίας, τήν τε τοῦ πλήθους ποσότητα, καὶ ποιότητα. μέγεθός τε νοσήματος, ἤτοι παρὸν, ἢ προσδοκώμενον. ἡλικίαν ἀκμάζουσαν. καὶ πρὸ τούτων γε πάντων, δυνάμεως ῥώμην, ἢ ἀῤῥωστίαν. ἐφεξῆς δὲ τὴν φυσικὴν ἕξιν ὅλου τοῦ σώματος. ὥραν τε τοῦ ἔτους. καὶ χώραν. καὶ τὴν παροῦσαν κατάστασιν τοῦ περιέχοντος. καὶ τὸν προγεγενημένον βίον. καὶ δίαιταν. καὶ πλῆθος ἐδεσμάτων, ἢ πομάτων. καὶ μάλιστα εἰ πολυτροφῶν ὁ ἄνθρωπος προσενηνεγμένος τύχοι. καὶ εἰ τὰ συνήθη γυμνάσια παραλέλειπται. καὶ εἰ συνήθεις τινὲς ἐπεχημέναι εἰσὶν ἐκκρίσεις. βαρύνοντος δὲ τοῦ πλήθους, καὶ ἐνοχλοῦντος, οὐ πάντως αἵματος ἀφαιρετέον. ἔσθ᾽ ὅτε γὰρ ὠμός τις χυμὸς ἤθροισται κατὰ τὰ σώματα, διὸ προσέχειν δεῖ ἀκριβῶς, μέχρι μὲν πόσου ἡ δύναμις ἔῤῥωται. μέχρι δὲ πόσου καὶ αὐτὸς ὁ χυμὸς ἔφυ-
20 κται. ὅπερ διαγνώσῃ ἐκ τῶν οὔρων, καὶ τῶν ἄλλων σημείων. προκαταλυθεῖσα γὰρ ἐπὶ τῶν τοιούτων διαθέσεων, ἐν ταῖς φλεβοτομίαις ἡ δύναμις, εἴωθε καταπίπτειν εἰς ἔσχατον, ὥστε μηκέτι ταύτην ἀνακτήσασθαι δύνασθαι. τούτου δὲ γινομένου κίνδυνος οὐ σμικρὸς ἕπεται. καὶ μάλισθ᾽ ὅταν ἐπιπεσόντος πυρετοῦ ἐν καταστάσει θερινῇ, στομάχου μοχθηρῶς διακειμένου, ἢ τοῦ σώματος ὅλου μαλακοῦ, καὶ φύσει ὑγροῦ τὴν κρᾶσιν ὄντος. διαφθείρονται γὰρ οἱ τοιοῦτοι καὶ συγκόπτονται τάχιστα, κἂν μὴ μέγας αὐτοῖς ἐπιπέσοι πυρετός. οὐ μὴν οὐδ᾽ εἰ χειμὼν εἴη, ἢ τὸ χωρίον ψυχρὸν, ἥτε φύσις τοῦ ἀνθρώπου ψυχροτέρα παραληπτέον τὴν φλεβοτομίαν. τοὺς γὰρ οὕτω διακειμένους τρέψεσι μετρίαις, καὶ χρίσμασι μετρίως θερμαίνουσι, καὶ πόμασι τμητικοῖς ἰώμεθα.

Περὶ μέτρου κενώσεως, ια'.

Μέγεθος νοσήματος, καὶ ῥώμη δυνάμεως, οἱ πρῶτοι σκοποὶ φλεβοτομίας εἰσίν. οὓς αὐξανομένους
30 μὲν, ἐπιδείκνυσθαι πλέονα τὴν κένωσιν χρή. μὴ αὐξανομένους δὲ, καθαίρειν χρὴ τὴν ποιότητα τῆς κενώσεως, εἰς ὅσον ἐμειώθη ἡ δύναμις, καὶ τὸ μέγεθος τοῦ νοσήματος. συνεπισκοπεῖσθαι δὲ ἑξῆς ὁποία ποτέ ἐστιν ἡ φύσις τοῦ ἀνθρώπου. τοὺς μὲν γὰρ ἰσχνοὺς τῷ σώματι μετρίως, μεγάλας τε φλέβας ἔχοντας, καὶ πολυαίμους, ἀφειδέστερον κενώσεις. τοὺς δὲ φλέβας μὲν στενοτέρας ἔχοντας, λευκοὺς δὲ τῷ σώματι, καὶ ἁπαλοσάρκους φειδομένως. αἷμά τε γὰρ ὀλίγον οὗτοι ἔχουσι, καὶ εὐδιαφόρητοί εἰσι. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδὲ τοὺς παῖδας φλεβοτομήσεις, ἄχρι τεσσαρεσκαιδεκαετοῦς ἡλικίας. οὐ δὲ μὴν τοὺς γεγηρακότας, καὶ μάλιστα δυνάμεως ἀσθενοῦς ὑποκειμένης. δυνάμεως δὲ ἰσχυρᾶς ὑποκειμένης, καὶ τῆς χρείας κατεπειγούσης, καὶ τοὺς ἑβδομηκονταετεῖς φλεβοτομήσεις.

Ποίας τμητέον φλέβας, ιβ'.

Ἀντισπάσεως μὲν ἕνεκα ἑκάστοτε τὰς κατ᾽ εὐθεῖαν τῶν αἱμοῤῥαγούντων τέμνε φλέβας. οἷον δεξιοῦ
40 μυκτῆρος αἱμοῤῥαγοῦντος, τὴν ἐν τῇ δεξιᾷ χειρί. εὐωνύμου δὲ, τὴν ἐν τῇ εὐωνύμῳ. σπληνὸς δὲ πάσχοντος τὴν ἐν τῷ μεταξὺ τοῦ παραμέσου, καὶ τοῦ μικροῦ δακτύλου φλέβα τέμνε τῆς χειρός. ἢ τὴν ἐν ἀγκῶνι τὴν ἔνδον. καὶ ἐπὶ πλευριτικῶν δὲ, τὴν κατ᾽ εὐθὺ τῆς πασχούσης πλευρᾶς τέμνε. καὶ ὀδύνας δὲ ὀφθαλμῶν ἰσχυροτάτας, θαυμαστῶς ὠφελεῖ, ἡ κατ᾽ εὐθὺ τοῦ πάσχοντος ὀφθαλμοῦ φλὲψ τμηθεῖσα, ἡ ὠμιαία καλουμένη κατ᾽ ἀγκῶνα. αἱ μὲν γὰρ ἐνδότεραι φλέβες τμηθεῖσαι ὠφέλιμοι ἐπὶ τῶν κάτω τοῦ τραχήλου πεπονθότων μερῶν. αἱ δὲ ἔξωθεν τῶν κατὰ πρόσωπον, καὶ κεφαλήν. αἱ δὲ μέσαι, ἀμφοτέρων. ἁμαρτηθείσης δὲ τῆς φλεβοτομίας, κατὰ μὲν τὴν μέσην φλέβα νεῦρον ὑποκείμενον διαιρεῖται. κατὰ δὲ τὴν ἔνδον, ἀρτηρία ὑποκειμένη. καὶ χρὴ φυλάττεσθαι τέμνειν ταύτην ἄνευ μεγάλης ἀνάγκης. τὴν γὰρ ὠμιαίαν φλέβα τέμνειν ἀκινδυνότερον. καὶ μεγάλης γινομένης ἐπὶ ταύτης πολλάκις διαιρέσεως, οὔτε φλεγμοναὶ ἐπηκολούθησαν, οὔτε ὀδύναι. διὸ χρὴ ταύτην μὲν
50 θαῤῥοῦντας τέμνειν, μετὰ πολλῆς δὲ τῆς εὐλαβείας τὴν ἔνδον. φεύγειν δὲ πειρᾶσθαι καὶ τὴν μέσην. ὥσπερ δὲ τὰ εἰρημένα μόρια ταῖς κατ᾽ ἀγκῶνα φλεβοτομίαις ὠφελεῖται, κατὰ τὸν αὐτὸν τρόπον ὅσα κατωτέρω τούτων, τουτέστι κατ᾽ ἰσχίον, καὶ μήτραν, καὶ κύστιν, ταῖς ἐπ᾽ ἰγνύας, ἢ περὶ τὰ σφυρὰ. νεφροὶ δὲ ἐπαμφοτερίζουσι. καὶ γὰρ καὶ ἐπὶ τῇ κατ᾽ ἀγκῶνα φλεβοτομίᾳ ὀνίνανται, καὶ ἐπὶ τῇ κάτω. οἶδα δὲ ἰσχιάδας θεραπευθείσας ἐν ἡμέρᾳ μιᾷ ὑπὸ τῆς διὰ τῶν σκελῶν κενώσε-

ὡς, ὅσαι μὴ διὰ ψῦξιν, ἀλλὰ πεπληρωμένων τοῦ αἵματος τῶν κατ' ἰσχίον ἀγγείων ἐγένοντο. χρὴ δὲ ἐπὶ μὲν τῶν ἀρχομένων φλεγμονῶν ἁπασῶν, ἀντισπαστικῶς ποιεῖσθαι τὴν φλεβοτομίαν. οἷον, ποδὸς φλεγμαίνοντος, ἐκ τῆς χειρὸς φλεβοτομεῖν. ἐπὶ δὲ τῶν κεχρονισμένων παθῶν, μάλιστα μὲν ἐξ αὐτῶν τῶν πεπονθότων μορίων. εἰ δὲ μή, ἐκ τῶν πλησίον.

Πῶς φλεβοτομητέον ἐκ τῶν Ἀντύλου ιγ'.

Καταπείροντες μὲν φλεβοτομοῦμεν, ἐπειδὰν ἄδηλα ᾖ τὰ ἀγγεῖα. ἀνακείροντες δὲ ἐπειδὰν ᾖ φανερά. καὶ ἐπερείδοντες μὲν τὴν χεῖρα ἐπὶ τῶν ἀδηλοτέρων, καὶ εἰωθότων ἐν τῇ πληγῇ συγκάμπτειν τὸν ἀγκῶνα. δεῖ δὲ μὴ πᾶν διαιρεῖν τὸ ἀγγεῖον. ἀναφερομένων γὰρ αὐτοῦ τῶν χειλῶν ἡ ῥύσις οὐ γίνεται μετ' ἀκοντισμοῦ. οὔτε δὲ τὸ κάτω μέρος τοῦ ἀγγείου διαιρεῖν χρή, τὸ πρὸς τὴν κορωνίδα, ἀλλὰ τὸ ἄνω τὸ πρὸς τὴν ἔκφυσιν τοῦ βραχίονος ἀνανεῦον. τοῦ γὰρ ἄνω διαιρεθέντος, εὔμορφος ἐξακοντισμὸς τοῦ αἵματος γίνεται. πρὸς τούτοις δὲ χρήσιμος ἡ τοῦ ἄνω μέρους τοῦ ἀγγείου διαίρεσις, ὅτι οὐκ ἔστιν ἀποτυχεῖν τοῦ ἀγγείου.

Περὶ μεγέθους διαιρέσεως Ἀντύλου ιδ'.

Ἐπὶ μὲν τῶν κενώσεως ἀθρόας δεομένων, μεγάλην ἐμβλητέον διαίρεσιν, καὶ ἐφ' ὧν πάχος τεκμαιρόμεθα συμπεριέχεσθαι τῷ αἵματι. ἐφ' ὧν δὲ περισπάσαι, καὶ ἀποστρέψαι βουλόμεθα αἵματος φοράν. οἷον ἐπὶ τῶν ἀναγόντων αἷμα, ἢ ῥινῶν αἱμορραγούντων, ἢ ἑτέρου τινὸς μέρους, μικρὰν σφόδρα τὴν διαίρεσιν ποιεῖσθαι χρή. οὐ γὰρ κενώσεως δέονται, κενούμενοι ὑπὸ τοῦ πάθους, ἀλλ' ἀνθολκῆς, καὶ περισπασμοῦ. δεῖ οὖν ἐπὶ τούτων συγχωρεῖν τὸ αἷμα ῥεῖν πολλῷ χρόνῳ διὰ τῆς φλεβός. μικραῖς δὲ διαιρέσεσι χρηστέον, καὶ ἐπὶ τῶν φρενιτικῶν, καὶ τῶν μαινομένων, ἢ ἄλλως παραφρονούντων, ὥστε ταχεῖαν τὴν κόλλησιν τῆς διαιρέσεως γενέσθαι. συμβαίνει γὰρ τοὺς παραφρονοῦντας πολλάκις λαθόντας λῦσαι τὸν δεσμὸν τῆς χειρός. καὶ εἴ γε τύχοι μεγάλην εἶναι τὴν διαίρεσιν, ἐπακολουθεῖ ὁ ἐκ τῆς αἱμορραγίας κίνδυνος. ἐπὶ δὲ τῆς μικρᾶς, καὶ θρόμβος ἐνιστάμενος τῷ στομίῳ τῆς διαιρέσεως, κωλύειν δύναται τὸ αἱμορραγεῖν. ἔτι δὲ μικραῖς διαιρέσεσι χρηστέον, ἐπὶ τῶν μικρῶν ἀγγείων. μεγάλαις δὲ, ἐπὶ τῶν μειζόνων. εἰ γὰρ ἐπὶ τῶν μεγάλων ἀγγείων μικρὰ γένοιτο διαίρεσις, ἐνθρόμβωσις ἐξ ἀνάγκης γίνεται.

Περὶ σχήματος διαιρέσεως, Ἀντύλου ιε'.

Σχήματα δὲ τρία διαιρέσεως εἰσί. τὸ μὲν, ἐπικάρσιον. τὸ δὲ, εὐθύ, οὐχὶ κεῖρον, ἀλλὰ σχίζον τὴν φλέβα κατ' εὐθύ. τὸ δὲ μεταξὺ τούτων, προσαγορευόμενον δὲ λοξόν. τῷ μὲν οὖν ἐπικαρσίῳ χρηστέον, ἐφ' ὧν οὐδ' ὅλως ἐπαφαίρεσιν λαβεῖν δοκιμάζομεν. καμφθέντος γὰρ τοῦ ἀγκῶνος παρατίθεται τὰ χείλη τῆς διαιρέσεως. μάλιστα δὲ ἐπιτήδειον τοῦτο σχῆμα, ἐπειδὰν μεγάλην τὴν διαίρεσιν βουληθῶμεν ἐμβάλλειν. τὸ δὲ λοξὸν σχῆμα χρήσιμον, ἐφ' ὧν ἐπαφαιρέσεως χρεία. καὶ ὅτι οὐκ ἀποτυγχάνομεν τοῦ ἀγγείου οὕτω διαιροῦντες. ἀλλὰ καὶ ὁ ἐξακοντισμὸς τοῦ αἵματος ἐκ τῆς λοξῆς διαιρέσεως εὐμορφότερος πρὸς τὴν ὄψιν γίνεται τοῖς θεωμένοις. οἷον ἐπιστρεφομένου, καὶ εἱλουμένου τοῦ αἵματος ἐν τῇ πηδήσει. τὸ δὲ ἐπιμῆκες κατ' εὐθὺ σχῆμα ἐπιτήδειον, ἐφ' ὧν οὐ μόνον αὐτῆς τῆς ἡμέρας ἐπαφαιροῦμεν ἀλλὰ καὶ μετὰ μίαν, ἢ δύο ἡμέρας. καμφθέντος γὰρ τοῦ ἀγκῶνος, διΐστανται ἀπ' ἀλλήλων τὰ χείλη τῆς διαιρέσεως. ἐπιτήδειος δὲ ἡ κατ' εὐθὺ διαίρεσις, ἐφ' ὧν παρατροπὴ τῶν χειλῶν τῆς διαιρέσεως εἴωθε γίνεσθαι. ἧττον δὲ εὔμορφος ἐπὶ τούτῳ τῷ σχήματι ὁ ἀκοντισμὸς τοῦ αἵματος γίνεται.

Τίς καιρὸς φλεβοτομίας Γαληνοῦ ις'.

Ἐν πάσῃ καὶ ἡμέρας καὶ νυκτὸς ὥρᾳ, χρείας κατεπειγούσης, φλεβοτομήσεις. σκοπὸν ἔχων ἐπὶ μὲν τῶν πυρεττόντων, τὴν παρακμὴν τοῦ παροξυσμοῦ. ἐπὶ δὲ τῶν, ἤτοι δι' ὀφθαλμίαν, ἢ δι' ἄλλο τι τοιοῦτον χωρὶς πυρετοῦ δεομένων φλεβοτομίας, τὸ μέγεθος σκόπει τῆς ὀδύνης, ἢ τῆς φλεγμονῆς. ἐν ᾗ γὰρ ὥρᾳ θεάσῃ τὴν ὀδύνην πραϋνομένην, φλεβοτομήσεις. μηδενὸς δὲ τοιούτου κατεπείγοντος, ἄμεινον ἐστὶν ἕωθεν φλεβοτομεῖν, οὐκ εὐθέως ἅμα τῷ τῶν ὕπνων ἐξαναστῆναι, ἀλλὰ προεγρηγορηκότας χρόνον ὥρας μιᾶς. καὶ προλούειν δέ τινας ἄμεινον. καὶ προπεριπατήσαντας τινάς. ἐφ' ὧν δὲ προφυλακῆς χάριν τινὰς φλεβοτομοῦμεν, ἐγχωρεῖ καὶ μετὰ τὸ πρᾶξαι τινὰ τῶν συνήθων ἔργων φλεβοτομεῖν.

Περὶ ἐπαφαιρέσεως Γαληνοῦ ιζ'.

Ἐφ' ὧν μὲν ἁπλῶς κενῶσαι βουλόμεθα, κατὰ τὴν αὐτὴν ἡμέραν γινέσθω ἡ ἐπαφαίρεσις. ἐφ' ὧν δὲ ἀντισπάσαι, κἂν δύο ταῖς ἑξῆς ἡμέραις γίγνοιτο, βέλτιόν ἐστι. καὶ ἐφ' ὧν κενώσεως μὲν χρεία πολλῆς. οὐκ ἰσχυρὰ δὲ ἡ δύναμις, ἐπὶ τούτων χρὴ ταμιεύεσθαι τὴν κένωσιν. καὶ τὴν πρώτην ἀφαίρεσιν ἐλλιπεστέραν ποιησάμενον, ἐπαφαιρεῖν αὖθις. εἰ δὲ βούλει, καὶ τρίτον. ὅταν δὲ ζέοντος αἵματος πλῆθος ἀνάπτῃ πυρετὸν ὀξύτατον, ὡς ἐπὶ τῶν συνόχων, ἀθρόας ἐστὶ κενώσεως χρεία. καὶ χρὴ πειρᾶσθαι κενοῦν ἄχρι λειποθυμίας ἐπισκοπούμενον τὴν ῥώμην τῆς δυνάμεως, διὰ τῶν σφυγμῶν. ἐπ' ἐνίων γὰρ οἶδα ἄχρι λιτρῶν ἓξ ἀφαιρῶν εὐθέως. ῥέοντος τοίνυν τοῦ αἵματος προσέχειν δεῖ ἀεὶ τῶν σφυγμῶν ἐφαπτόμενον, ὡς μή ποτε λάθοις σαυτὸν ἀντὶ λειποθυμίας, θάνατον ἐργαζόμενος.

Περὶ ἀρτηριοτομίας Γαληνοῦ ιη'.

Ἀρτηρίας διαιροῦσιν οἱ ἰατροὶ ταῖς μὲν ἐν τοῖς κροτάφοις, ἐπὶ τῶν ἐν ὀφθαλμοῖς ῥευμάτων, ὅταν

θερμὰ καὶ πνευματώδη ὑπάρχῃ. τὰς δὲ ὄπισθεν τῶν ὤτων, ἐπὶ τῶν σκοτωματικῶν. καὶ μάλιστα ὅσοι χρονίοις νοσήμασι κεφαλῆς θερμοῖς καὶ πνευματώδεσι κάμνουσιν. ἔτι δὲ καὶ δι' ἕτερα πλεῖστα πάθη περὶ τὴν κεφαλὴν συνιστάμενα χρόνια κέχρηνται τινὲς, τέμνοντες τὰς ὄπισθεν τῶν ὤτων ἀρτηρίας. τινὲς δὲ ὀκνοῦσιν ἀρτηρίαν διαιρεῖν, διὰ τὸ δυσεπίσχετον τῆς αἱμορραγίας. καὶ ὅτι τῆς διαιρέσεως εἰς οὐλὴν ἰούσης, ἀνεύρυσμα γίνεται ἐπί τινων.

Ἴσχαιμον ἀρτηριακόν. ιθ'.

Αἱμορραγίας μὲν οὖν ἐπακολουθούσης ἐκ τῆς ἀρτηρίας, χρὴ ταύτην τοῖς ἀγκίστροις ἀνασπῶντας διατεμεῖν ὅλην ἐγκαρσίως. εἶτα ἀλόην, καὶ λιβάνου μάνναν λειώσαντας, καὶ δεύσαντας τοῖς λευκοῖς τῶν ὠῶν ἀναλαβεῖν λαγωαῖς θριξὶν ἁπαλαῖς, ὅτι πλεῖστον τοῦ φαρμάκου, καὶ ἐπιθεῖναι τῇ διαιρέσει. εἰρήσεται δὲ ἐπὶ πλέον περὶ τούτου ἐν τῷ περὶ αἱμορραγίας τόπῳ, ἐν τοῖς τραυματικοῖς.

Περὶ σικυάσεως ἐκ τῶν Ἀντύλου. κ'.

Οὔτε ἐν ἀρχαῖς τῶν παθῶν, οὔτε ἐπὶ τῶν πληθωρικῶν σωμάτων σικύαις χρησόμεθα, ἀλλ' ὅταν κενωθῇ τὸ πᾶν, καὶ μηκέτι ἐπιρρέῃ τῷ σικυαζομένῳ μορίῳ. μὴ δὲ χρεία τε γένηται κινῆσαι, καὶ μοχλεῦσαι, καὶ ἑλκύσαι τὸ καταλιμπανόμενον ἐν τῷ μορίῳ ἄχρηστον ῥεῦμα. φυλάττεσθαι δὲ χρὴ σικύαν προσάγειν πλησίον τῶν μαστῶν. ἐμπίπτοντες γὰρ εἰς τὰς σικύας οἱ μαστοὶ, καὶ οἰδισκόμενοι, σφόδρα δυσχερῆ τὴν ἄρσιν ποιοῦνται. τότε δὲ δεῖ σπόγγοις ἐκ θερμοῦ παραλαμβάνειν τὰς σικύας. εἰώθασι γὰρ οὕτως ἀνίεσθαι. εἰ δὲ μὴ οὕτως ἐνδιδοῖεν, τρυπᾶν τὰς σικύας δεῖ. χρὴ δὲ εἰδέναι ὡς οὐ μόνον τοπικὴ φλεβοτομία βλάβην παρέχεται, πρὸ τοῦ τὸ σύμπαν σῶμα κενωθῆναι διὰ τῶν πεπονθότων μορίων ἀφαιροῦσα τοῦ αἵματος. ἀλλὰ καὶ σικύα. καὶ φλεβοτομία μὲν ἧττον ἐπισφαλής. πρὸς λόγον γὰρ τῆς κατὰ τὴν ὕλην ἐπιφορᾶς, καὶ τὴν ἀπόκρισιν τοῦ αἵματος ποιεῖται. ἡ δὲ σικύα τῇ τε προσβολῇ βιαίως ἐπισπωμένη τὴν ὕλην, καὶ πολὺν ἐπιλαμβάνουσα τόπον. οὐ μὴν οὐδὲ ἀξίαν αἰσθητὴν ποιουμένη διαίρεσιν, ἐπισπᾶται μὲν ἀξιολόγως ὕλην. κενοῖ δὲ, οὐ πρὸς λόγον τῆς ἐπελθούσης. καὶ καθ' ὑποχόνδρια μὲν ἀκαίρως προσβληθεῖσα, μάλιστα ἐν τοῖς συνόχοις πυρετοῖς, ἢ ἡμιτριταϊκοῖς καὶ μάλιστα εἰ καὶ τὰ τῆς διανοίας τοῦ κάμνοντος ῥεμβώδη, καὶ δυσαισθησία κρατεῖ, πνιγμοὺς, καὶ θανάτους αὐθημερινοὺς ἐργάζεται. ἐπὶ δὲ κεφαλῆς ἀκαίρως προσβληθεῖσα, ληθάργους. καὶ τάχους. ὀφθαλμῶν προπτώσεις ἐπιφέρει. οἷς δ' ἂν εὐτυχηθείη διαφεύγειν ταῦτα, πάντως τι χρόνιον ἐντεῦθεν περὶ τὴν κεφαλὴν ἐπακολουθεῖ πάθος.

Περὶ ἐγχαράξεως ἐκ τῶν Γαληνοῦ. κα'.

Τὸ φλέβα διαιρεῖν πολλάκις τοῦ ἔτους οὐκ ἐπιτήδειον νομίσας, ἅμα γὰρ τῷ αἵματι, πολὺ συνεκκρίνεται τὸ ζωτικὸν πνεῦμα. τούτου δὲ ἀναλισκομένου πυκνότερον, ὅ, τε ὅλος ὄγκος καταψύχεται καὶ πάντα τὰ φυσικὰ ἔργα χείρω γίνεται. ἐδοκίμασα οὖν ἀπὸ τῶν ἀκυροτέρων, οἷον τῶν σκελῶν, τὴν ἀφαίρεσιν ποιήσασθαι. ἄριστον δὲ τὸ βοήθημα εἰς τήρησιν τῆς ὑγείας, καὶ εἰς ἀνάκτησιν αὐτῆς ὁπότε παρατραπείη. ὠφελεῖ δὲ ἡ ἐγχάραξις καὶ ὀφθαλμοὺς χρονίως ῥευματιζομένους, καὶ τὰς ἄλλας περὶ κεφαλὴν διαθέσεις, καὶ τὰς περὶ θώρακα, καὶ συνάγχας. τὰς δὲ ἐν ἑκάστῳ μορίῳ γινομένας σφηνώσεις τοῦ αἵματος, μετὰ τὸ κενῶσαι τὸ σύμπαν σῶμα, λύειν χρὴ διὰ τῆς τοπικῆς ἐγχαράξεως.

Περὶ βδελλῶν ἐκ τῶν Γαληνοῦ. κβ'.

Τὰς βδέλλας λαβόντας, χρὴ φυλάττειν ἡμέραν μίαν, αἷμα ὀλίγον εἰς διατροφὴν αὐτῶν ἐμβαλόντας. ἐπὶ δὲ τῆς χρείας τὸ βδελλιζόμενον μέρος προεκνιτρούσθω, καὶ ἀποπλυνέσθω γλυκυτάτῳ ὕδατι ἀκριβῶς. ἔπειτα χριέσθω αἵματι μετὰ τὸ πυριαθῆναι. εἶτα λαβόντας τὰς βδέλλας, χρὴ ἐμβάλλειν εἰς ὕδωρ καθαρόν. ἔπειτα σπόγγῳ ἀπομάττοντας τὸ λιγνυῶδες αὐτῶν, οὕτω προσάγειν. ἐμφυεῖσαι γὰρ, οὐ παύονται ἕλκουσαι ἄχρις ἂν προσπάσωμεν ἅλας τοῖς στόμασιν, ἢ νίτρον, ἢ σποδόν. μετὰ δὲ τὸ ἐκπεσεῖν, πυριατέον σπόγγοις τοὺς τόπους. καὶ εἰ αἱμορραγοίη, κηκῖδα κεκαυμένην, ἢ ὀθόνην κεκαυμένην, ἢ σπόγγον ὑγρᾷ πίττῃ βάψας, καὶ καύσας ἐπίπασσε. ἐπιθεὶς ἄνωθεν χάρτην ὄξει βεβρεγμένον.

Περὶ καθάρσεως ἐκ τῶν Ἀντύλου. κγ'.

Τοὺς ὑγιεινῶς ἔχοντας τὰ σώματα ἐργῶδες καθαίρειν, καὶ γὰρ ἰλιγγιῶσι, καὶ στροφοῦνται, καὶ δυσχερῶς αὐτοῖς ἡ κάθαρσις προχωρεῖ, καὶ πρὸς τούτοις ἔτι ταχέως ἐκλύονται οἱ τοιοῦτοι καθαιρόμενοι. χρὴ δὲ καθαίρειν βουλομένους, προλεπτύνειν, καὶ τέμνειν τοὺς παχεῖς καὶ γλίσχρους χυμούς. καὶ τοὺς πόρους ἀναστομοῦν δι' ὧν οἱ χυμοὶ μεταλαμβάνονται, καὶ ἕλκονται πρὸς τῶν καθαρτικῶν φαρμάκων. καὶ τοὺς μὲν ὀρρώδεις, καὶ λεπτοὺς χυμοὺς ἐν ἀρχῇ τῶν νοσημάτων κενῶσαι χρή. ἀναμένειν δὲ πέψιν ἐπὶ τῶν παχέων τε, καὶ γλίσχρων. οἷόν ἐστι τὸ φλέγμα, καὶ ἡ μέλαινα χολή. καὶ ἐπὶ πάντων δὲ τῶν χρονίων νοσημάτων ἀεὶ τὸν πεπασμὸν ἀναμένειν χρή. ἐν δὲ τοῖς ὀξέσιν ὅταν κεκίνηνται αἱ ὗλαι, καὶ κατ' ἀρχὰς φαρμάκευε, πλὴν μετὰ εὐλαβείας πολλῆς. ἐν κινήσει γὰρ, καὶ φορᾷ, καὶ ῥυσειόντων τῶν χυμῶν, δέος μήπως τι τῶν σπλάγχνων ἀσθενὲς φύσει ὑπάρχον τὴν ὕλην κινηθεῖσαν ὑποδέξηται, καὶ μάλιστα ὁ θώραξ. τοὺς δὲ καθ' ἕν τι μόριον ἐστηριγμένους χυμοὺς, οἷον ἐν ταῖς φλεγμοναῖς γίγνονται τῶν σπλάγχνων, οὐ χρὴ φαρμακεύειν πρὶν πεφθῆναι.

ὁκόσοι γὰρ

» ὁκόσοι γὰρ τὰ φλεγμαίνοντα, φησὶν Ἱπποκράτης, ἐν ἀρχῇσι φαρμακίῃσι λύειν ἐπιχειροῦσι, τοῦ μὲν
» ξυντεταμένου, καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν· οὐ γὰρ διαδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ὑγιει-
» νὰ καὶ ἀντέχοντα τῷ νοσήματι, ξυντήκουσιν. ἀσθενέος γὰρ τοῦ σώματος γινομένου, ἐπικρατέει τὸ νό-
» σημα. ὁκότε δὲ τὸ νόσημα ἐπικρατήσει, ὀλεθρίως ἔχει. ὑπὲρ μὲν οὖν τῆς τῶν ὅλων μεταγωγῆς κε-
χρήμεθα καθαρτικοῖς ἐπὶ κεφαλαίας. καὶ σκοτώματος. ἡμικρανίας. ἐπιληψίας. ἄσθματος.
ὀρθοπνοίας. ἰσχιάδος. ἀρθρίτιδος. ποδάγρας. νεφρίτιδος. ἐπί τε τῶν κατὰ κύστιν, καὶ ὑστέραν δια-
θέσεων, εἰ χρόνιαι εἶεν. ὁμοίως δὲ κἀπειδὰν ῥεῦμα συνεχῶς ἐνοχλοίη ὠσὶν, ἢ μυκτῆρσιν, ἢ ὀφθαλμοῖς, ἢ
στόματι, ἢ στομάχῳ, ἢ ὅλῃ τῇ ἐπιφανείᾳ. καὶ μήτε ξηραίνηται πρὸς τῶν ἄλλων βοηθημάτων, μήτε στῆ-
ναι δυνατὸν ἄλλως. εἴωθε γὰρ ἡ διὰ τῆς κοιλίας κάθαρσις, τοὺς ῥευματισμοὺς ἐπέχειν. ἐνταῦθα
10 γὰρ τακτέον καὶ τὴν ὑπὲρ αἱμορροΐδων ἐποχῆς παραλαμβανομένην κάθαρσιν τοῦ μελαγχολικοῦ
χυμοῦ μετὰ τὴν φλεβοτομίαν. ἕνεκεν δὲ τοῦ διαμοχλεῦσαι, καὶ κινῆσαι διάθεσιν χρονίαν χρώμεθα
καθαρτικοῖς ἐπὶ παρέσεως. ἀποπληξίας. ἀφωνίας. νωθρείας. καρώσεως. βαρῶν ἐμμόνων, καθ'
ὅτι ἂν τύχοι μέρος τοῦ σώματος. ὑπὲρ δὲ τοῦ μεταποιῆσαι τὴν τοῦ σώματος κρᾶσιν, χρώμεθα κα-
θαρτικοῖς τῶν χρονίων πυρετῶν. οἷον ἀμφημερινῶν. τεταρταίων. μανίας. μελαγχολίας. ἐκστάσεως.
καχεξίας. ἀτροφίας, τῆς διὰ χυμὸν μοχθηρὸν γεγονυίας. ἐπί τε τῶν ἐλέφαντος. ψώρας. λέπρας.
ἐξανθημάτων. φθειριάσεως. ἐπί τε ἑλκῶν αὐτομάτων, καὶ δυσαλθῶν, καὶ ῥευματικῶν διαθέσεων.
χάριν δὲ τοῦ τὸ περικείμενον, καὶ ἐνοχλοῦν ἐξαγαγεῖν ὑγρὸν, χρώμεθα καθαρτικοῖς. ἐπὶ ὑδρωπος.
ἰκτέρου. ἐνταῦθα δὲ τακτέον, καὶ τοὺς τῆς κοιλίας ῥευματισμοὺς, ἐφ' ὧν παραλαμβάνομεν κα-
θαρτικά. ἐνίοτε γὰρ δριμὺ καὶ ἀχρεῖον ὑγρὸν ἐγκαθήμενον τοῖς χιτῶσι τῆς γαστρὸς, ἢ τῶν ἐντέρων,
20 παραπλησίως τοῖς δριμέσι βαλανίοις, καὶ τοῖς δριμέσι κλυσμοῖς ἐρεθίζει τὰ ἔντερα. καὶ ὁμοῦ μὲν
αὐτὰ ὑπομιμνήσκει, καὶ προθυμίαν ἐργάζεται πρὸς ἀπόκρισιν. ὁμοῦ δὲ τῇ δριμύτητι ἐπισπᾶται
τὸ ὑγρὸν ἐκ τῶν κύκλῳ τοῦ σώματος, καὶ τοῦ παντὸς ὄγκου. ἐπὶ τούτων οὖν εὔλογον καθαρτικοῖς
χρῆσθαι πρὸς τὸ ἐξελάσαι τὸ τοιοῦτον ὑγρὸν ἐκ τοῦ σώματος. καὶ καθαρὰν ποιῆσαι τήν τε γαστέρα,
καὶ τὰ ἔντερα. καθόλου δὲ χρηστέον τοῖς καθαρτικοῖς φαρμάκοις, ἐπὶ τῶν εὐτόνων τῇ δυνάμει, καὶ
προθύμων τῇ προαιρέσει, στόμαχόν τε εὔτονον ἐχόντων, καὶ πολλὴν ὕλην ἀχρείαν ἐν τῷ σώματι συλ-
λεγόντων. οἱ δὲ κατάσιμοι, καὶ ὑπέρισχνοι, πρὸς κάθαρσιν ἀνεπιτήδειοι. ἔτι δὲ οἱ πολύαιμοι, καὶ
οἱ συνεχῶς λειποθυμοῦντες, καὶ οἱ δυσανάκτητοι, καὶ οἱ ταχέως ἐμοῦντες ἐπὶ πάσῃ προφάσει. ἔτι
δὲ παῖδες. καὶ γέροντες. καὶ γυναῖκες ἰσχυρῶς τοῖς καταμηνίοις καθαιρόμεναι. καὶ οἱ καθαροὶ τὸ
σῶμα σφόδρα. καὶ οἱ κατὰ τὴν δίαιταν ἠκριβωμένοι καὶ οἷς σφόδρα ἐστέγνωται ἡ κοιλία κατὰ φύ-
30 σιν. καὶ οἱ δυσεντερίᾳ, καὶ κοιλιακῇ διαθέσει ῥᾷον ἁλισκόμενοι πάντες οὗτοι πρὸς κάθαρσιν ἀνε-
πιτήδειοι. ἀρκτέον τοίνυν ἀπὸ τῶν χολὴν καθαιρόντων φαρμάκων.

Χολῆς ξανθῆς καθαρτικόν. Ἀλόη. κδ.

Α λόη τὸ μὲν ὅλον οὐ κενοῖ. τὴν παρακειμένην δὲ ἐν τῷ στομάχῳ, καὶ κοιλίᾳ, καὶ ἐντέροις χολὴν ἐξά-
γει ἀλύπως, καὶ ἡσυχῇ, σὺν τοῖς ὑποκειμένοις σκυβάλοις. δοτέον οὖν αὐτὴν τοῖς τὴν κεφαλὴν
ἐνοχλουμένοις διὰ τὰς ἐκ τοῦ στομάχου ἐπ' αὐτὴν γινομένας συνεχεῖς ἀναθυμιάσεις. ὑποτέμνει γὰρ
τὴν χορηγίαν τῶν ἀχρείων ἀναθυμιάσεων. δοτέον δὲ αὐτὴν καὶ τοῖς ὀφθαλμιῶσι διὰ τὴν αὐτὴν
αἰτίαν. καὶ τοῖς διὰ χολῆς παράθεσιν διψῶσιν, οἷς ἡ γλῶσσα, καὶ τὸ στόμα ῥᾳδίως ἀναξηραίνεται.
καὶ τοῖς περὶ στόμαχον πυρώσεως, ἢ ἄσης, ἢ τινὸς ἀηδίας ἀναφερτικῆς ἀντιλαμβανομένοις. δοτέον
δὲ καὶ τοῖς ὠχροτέροις παρὰ λόγον γεγονόσι. καὶ ἐφ' ὧν μὲν δέεται ἐξαγωγῆς τὰ περιττώματα.
40 κλυσμὸς δὲ παραληφθῆναι ἐπ' αὐτῶν οὐ δύναται διά τινα αἰτίαν. δοτέον δὲ τῆς ἀλόης ὅσον ∠. β.
μετὰ μελικράτου. ἀγαθὸν δὲ καὶ εἴ τις αὐτὴν λαμβάνει καθημέραν, ἢ ἀπὸ δείπνου, ἢ ἕωθεν πρὸ τρο-
φῆς μᾶλλον. λειώσας δὲ τὴν ἀλόην ἀνάπλαττε σὺν χυλῷ τοῦ φλοιοῦ τοῦ κισσοῦ. εἰ δὲ μὴ παρείη, χρῶ χυλῷ
κράμβης. ἐχέτωσαν δὲ τὰ καταπότια μέγεθος ἐρεβίνθου, καὶ δίδου τρία, ἢ πέντε, καθ' ἑκάστην τῷ
δεομένῳ. δυνατὸν δὲ καὶ μετὰ τερεβινθίνης αὐτὴν ἀναπλάττειν, καὶ μετὰ μέλιτος ἑφθοῦ. ἐπιρροφεῖν
* δὲ χρὴ ἐν τῷ καταπίνειν, ἢ μετὰ τὴν κατάποσιν μελίκρατον. τὰ γὰρ καθαρτικὰ τὸ πᾶν αἴτιον ἐκ
τοῦ σώματος ἕλκουσι, δίκην σικύας, εἰς τὰ κάτω μόρια προσομιλοῦντα, καὶ κενοῦντα, διὰ γαστρός.

Σκαμμωνία. κε.

Η δὲ σκαμμωνία, ἄγει μάλιστα χολὴν ξανθήν. καρδιαλγὴς δέ ἐστι, καὶ δύσοσμος, καὶ ἀτερπὴς, καὶ
ἄγαν διψώδης. οὕτως γὰρ τῶν καθαρτικῶν πάντων κακοστομάχων χωρὶς τῆς ἀλόης, πάντων μάλι-
50 στα κακοστομαχωτέρα ἐστὶν ἡ σκαμμωνία. παραφυλακτέον οὖν αὐτὴν ἐπὶ τῶν ἀσθενῆ ἐχόντων τὸν
στόμαχον, καὶ ἐπὶ τῶν πυρεττόντων. κουφοτάτη γὰρ οὖσα, ῥᾳδίως ἀναρπάζεται εἰς τὸ σῶμα. καὶ
συγκινεῖ μὲν πᾶσαν τὴν ἐν αὐτῷ ἀκαθαρσίαν. κωλύεται δὲ ὑπὸ τῆς πυρετικῆς θερμασίας πρὸς
τὴν ἔκκρισιν τὰ περιττώματα ἀγαγεῖν. δοτέον οὖν αὐτὴν τοῖς ἀπυρέτοις, καὶ εὐστομάχοις,
καὶ τοῖς δυσεμέσι, καὶ τοῖς μὴ ῥᾳδίως λειποθυμοῦσιν. ἡ δὲ δόσις, ∠. β. ἢ πλεῖον, ἢ ἔλαττον,

πρὸς δύναμιν. μικτέον δὲ αὐτῇ, καὶ ἅλας, καὶ θύμου κόμην, ἢ γλήχωνα ἐμβαλεῖν. ἐπὶ δὲ τῶν ἀσχημόνων ἀλόην, μίσγειν βέλτιον. δίδοται δὲ καὶ καθ' ἑαυτὴν μετὰ μέλιτος, ἢ χυλοῦ πτισάνης. ἐφ' ὧν βουλόμεθα λάθρα διδόναι.

Πέπλιον. κϛ.

Ταύτης τὸ σπέρμα, ἐνίοτε δὲ καὶ μετὰ τῶν ἀκρεμόνων, ξηράνας ἐν σκιᾷ, κόψας, σήσας δίδου δρ. δ. ἐν μελικράτῳ, ἐπιρραίνων ὄξους βραχύτατον. μετὰ γὰρ τὴν ξανθὴν, χολὴν, καὶ μέλαιναν, καὶ φλέγμα ἄγει, καὶ φυσῶν ἐστὶ καταρρηκτικὸν, καθώς που καὶ Ἱπποκράτης φησί. μάλιστα οὖν ἁρμόζει τοῖς φυσώδεσι τῶν παθῶν, ἃ δὴ μελαγχολίας κατάρχει. ἁρμόζει δὲ καὶ σπληνὸς ἐμπνευματώσεσι χρονίαις, καὶ ὑστέρας, καὶ κώλου, καὶ σομφοῖς οἰδήμασιν ἐν τῷ ἐπιγαστρίῳ.

Ἐλλέβορος μέλας. κζ.

Καθαίρει κάτω τὴν μέλαιναν, καὶ τὴν ξανθὴν χολὴν ἐκ παντὸς τοῦ σώματος αὐτὰς ἕλκων. οὐ μέντοι γε μετά τινος περισκελίας. διὸ καὶ τοῖς πυρέττουσι περιοδικῶς, καὶ χρονίως προσάγομεν αὐτόν. δίδοται δὲ καὶ μαινομένοις, ἑτεροκρανικοῖς, ὑπὸ κεφαλαλγίας χρονίας ἐνοχλουμένοις. μάλιστα δέ ἐστιν ἐπιτηδειότατος, σπλάγχνοις τε καὶ ὑστέρᾳ, καὶ κύστει φαρμακείας δεομένοις. μεγίστη δὲ αὐτοῦ δύναμις ἐστὶ, τὸ ἰδίως ἐξάγειν ἔτι ἂν ἀναμίγνυται τῷ αἵματι φθαρτικόν. ὅθεν καὶ ἐπὶ τῶν χρονιζόντων ἰκτέρων χρήσιμος. καὶ τοῖς περὶ τὴν ἐπιφάνειαν γιγνομένοις τραχυσμοῖς. οἷον λέπραις. λειχῆσι, καὶ τὰ ὅμοια. καὶ τοῖς ἐλεφαντιῶσι δὲ ἐπιτήδειος. ἡ δὲ δόσις, δρ. γ. ἢ πλέον, ἢ ἔλαττον. τῶν περὶ τὰς ῥίζας λεπτῶν ξυλαρίων ἀποβρεχομένων πρὸς ὀλίγον ὕδατι. εἶτα ἀφαιρουμένου τοῦ φλοιοῦ, καὶ ξηραινομένου ἐν σκιᾷ, καὶ κοπτομένου, καὶ σηθομένου. δίδοται δὲ μετὰ γλυκέος, ἢ ὀξυμέλιτος. δεῖ δὲ προσπλέκειν αὐτῷ ἢ δύσματος χάριν πετροσελίνου, καὶ δαύκου βραχύ. εἰ δὲ δραστικώτερον βούλει καθαίρειν, μίσγε καὶ σκαμμωνίας βραχύ.

Περὶ τῶν χολὴν μέλαιναν ἀγόντων. κη.

Τοῖς δὲ χολὴν μέλαιναν ἄγουσι χρηστέον προηγουμένως ἐπὶ μελαγχολικῶν. στομαχικῶν. ἀπαροξυξυνόντων. ὀργίλων. μισανθρώπων. ἀναχωρητικῶν. καὶ τῶν ἐν ἀναλήψει δεομένων καθάρσεως. καὶ ἐπὶ ἕξεων καταξήρων. ὀλιγαίμων. μυωδῶν. καὶ ἐν μετοπώρῳ μάλιστα πυρώδει.

Ἐπίθυμον. κθ.

Ἐπίθυμον τὴν μέλαιναν χολὴν κάτω καθαίρει. δοτέον δὲ αὐτοῦ κεκομμένου, καὶ σεσησμένου τοῖς τελείοις δρ. ιβ. μετὰ γλυκέος, καὶ ὀξυμέλιτος, καὶ ἁλῶν ὀλίγων. συμφέρει δὲ πάθεσι φυσώδεσι, καὶ ὑποχονδριακοῖς. καὶ οἷς τὸ ἧπαρ βαρύνεται, καὶ δυσπνοϊκοῖς. παραπλησίως δὲ τῷ ἐπιθύμῳ καὶ τὸ ἐπὶ τῆς στοιβῆς φυόμενον, καὶ τὸ ἐπὶ τῆς θύμβρας καλούμενον ἐπίθυμβρον καθαίρει, πλὴν ἀσθενέστερον ἑκάτερον τῇ δυνάμει.

Πολυπόδιον. λ.

Ἄγει χολὴν μάλιστα μέλαιναν καὶ φλέγμα. δίδου δὲ τῆς ῥίζης καθαρμένης δρ. ϛ. ἐγχέων αὐτῷ μελίκρατον ὑδαρόν. δύναται δὲ καὶ ἐπὶ τάριχος ξύσαντα φαγεῖν πρὸ τοῦ ἀρίστου. καθαίρει δὲ μετρίως καὶ ἐν ζωμῷ ὄρνιθος, καὶ ἐν πτισάνῃ ἡ ῥίζα ἑψηθεῖσα ἀλύπως, καὶ μετρίως.

Γλήχων. τραγορίγανον. λευκάνθεμον. ἄλυσσον. λα.

Γλήχων ἄγει μέλαιναν χολὴν πλῆθος ὀξυβάφου ποθεῖσα ἐν μελικράτῳ. παραπλησίως δὲ καὶ τραγορίγανον. δὲ καὶ παρθένιον τε ὃ καὶ λευκάνθεμον καλεῖται. πλῆθος ἑκάστου δρ. ϛ. τὸ αὐτὸ καθαίρει. καὶ ἄλυσσον δὲ τῶν αὐτῶν ἐστὶ καθαρτικόν. δίδοται δὲ καὶ αὐτὸ δρ. ϛ. βέλτιον δὲ διδόναι ταῦτα σὺν ὄξει, καὶ ἁλσὶν ὀλίγοις, καὶ ὕδατι, ξηρὰ λεῖα ἐπιπάσσοντα τῷ ποτῷ.

Ἀρμένιον ᾧ χρῶνται οἱ ζωγράφοι. λβ.

Καθαίρει τὴν μέλαιναν χολὴν, καὶ ἅπαν τὸ συμμεμιγμένον τῷ αἵματι παχὺ, καὶ γλίσχρον, ὅθεν δίδοται τοῖς μελαγχολικοῖς, καὶ ἐλεφαντιῶσι, καὶ τοῖς παραπλησίοις, καὶ νεφριτικοῖς, καὶ ἀσθματικοῖς. ἡ δὲ δόσις δρ. δ. ἢ πλέον, ἢ ἔλαττον.

Κενταύρειον τὸ λεπτόν. λγ.

Χολὴν παχυτάτην καθαίρει, καὶ μύξαν. διὸ ἁρμοδίως δίδοται σπληνικοῖς, καὶ ἰσχιαδικοῖς. πίνεται δὲ αὐτοῦ τὸ ἀφέψημα ἀποζεσθὲν τῷ ὕδατι. ἔστω δὲ τοῦ μὲν κενταυρείου δρ. ϛ, ὕδατος δὲ κοτύλης μέτρον. ἑψείσθω δὲ εἰς τὸ ἥμισυ.

Περὶ φλεγματαγωγῶν. λδ.

Τοῖς δὲ φλεγματαγωγοῖς χρηστέον ἐπί τε τῶν ψυχροτέρων ἕξεων, καὶ ἡλικιῶν, καὶ νοσημάτων. οἷον παρέτων. ἀποπληκτικῶν. παρῳδηκότων. οἰδήμασι σομφοῖς. ἐπί τε τῶν ἀπομυττομένων πολλὰ καὶ παχέα, καὶ ἰσχιαδικῶν τῶν ὑπὸ φλέγματος ἐνοχλουμένων, καὶ ἐπὶ τῶν ἀνὰ σάρκα ὑδέρων.

Κολοκυνθίς. λε.

Καθαίρει φλέγμα καὶ χολὴν, καὶ μυξώδη. ὅθεν νεύρων, καὶ νευρωδῶν σωμάτων ἐστὶ καθαρτικόν. δίδοται οὖν καταλλήλως ἐπὶ πάντων τῶν περὶ τὴν κεφαλὴν παθῶν. ἐπί τε ὀρθοπνοϊκῶν, καὶ τῶν ὁμοίων. ἐπί τε ἰσχιαδικῶν, ἐπὶ ἀρθριτικῶν. καὶ τοῖς περὶ νεφροὺς, καὶ κύστιν χρονίαν ἐσχηκόσι διάθεσιν. ἔστι δὲ καὶ τοῖς ἄλλοις νοσήμασι κατάλληλος, ὅσα δυσμόχλευτον, καὶ οἷον σκιρρώδη ἔχοντα τὴν διάθεσιν. δίδοται δὲ πλῆθος δρ. β. τῆς ἐντεριώνης ἐν μελικράτῳ κυάθοις δυσίν. ἐπὶ δὲ τῶν ἀσθενεστέρων, δρ. α. ἐκλεκτέον δὲ λευκὴν, καὶ ἁπαλὴν τὴν ἐντεριώνην, ἡ γὰρ ξηροτέρα, καὶ ἡ μελανίζουσα φαύλη. κοπτέσθω δὲ, καὶ λεαινέσθω ἐπιμελῶς, καὶ σηθέσθω πολλάκις. καὶ ἐπὶ τῆς χρείας.

τῆς χρείας λειούσθω μετὰ τοῦ μελικράτου ἐν θυίᾳ εὖ μάλα. πάσχει γάρ τι τοιοῦτον. κοπεῖσα μὲν, πρὶν βραχῆναι, λεπτοτάτη φαίνεται. τῷ δὲ μελικράτῳ ἐμβληθεῖσα, καὶ διαβραχεῖσα, διοιδαίνει σφόδρα ὥστε ἀπιστεῖσθαι βλεπομένη, ὅτι διεσήθη. τῶν οὖν ἀνοιδησάντων αὐτῆς μορίων, ἐνίοτε προσίσχεταί τινα τῇ γαστρὶ, ἢ τῷ στομάχῳ. μάλιστα δὲ ἐν ταῖς ἕλιξι τῶν ἐντέρων διὰ τὴν μαλακότητα. καὶ δριμέα ὄντα τῇ φύσει, καὶ δακνώδη προσκαθεζόμενα, ἑλκοῖ τὰ ἔντερα. καὶ συμπαθείας νευρικὰς ἐπιφέρει, στρόφους τε, καὶ ἐιλεώδη? ὅθεν μετὰ πολλῆς προσοχῆς χρὴ λειοτάτην αὐτὴν ποιεῖν σὺν τῷ μελικράτῳ. πραότερον δὲ καθᾶραι βουλόμενος, λαμβάνειν δεῖ κολοκύνθιδα εὐμεγέθη καὶ ταύτην ἀνοίξαντα, ἄνωθεν κενῶσαι ἅπαν τὸ σπέρμα. εἶτα τὸ γναφαλῶδες αὐτῆς βαλὼν ἐν αὐτῇ χωρὶς τοῦ σπέρματος, καὶ πλήσας αὐτὴν ἑψήματος, ἢ οἴνου γλυκέος παλαιοῦ, ἔα βρέχεσθαι ἡμέραν, καὶ νύκτα. εἶτα σηρώσας ῥάκει τὸν οἶνον, καὶ θερμάνας, δίδου πίνειν. καθαίρει δὲ κάλλιστα καὶ ἰκτερικοὺς, καὶ τοὺς περὶ τὴν ἐπιφάνειαν ἐξανθήσεις πελιδνὰς ἐσχηκότας.

Τιθύμαλλοι. λϛʹ.

Ἄγει φλέγμα, καὶ χολήν. δίδοται δὲ αὐτοῦ τὰ κλωνία χλωρὰ ληφθέντα. καὶ ἐν ὀστρακίνῳ τινὶ ἐπ' ὀλίγον φρυγέντα. εἶτα λειωθέντα. μίγνυται δὲ αὐτῶν ℔. δʹ. ἢ γʹ. σὺν ἀλφίτοις ἐν ὕδατι, καὶ πίνεται. τὰ γὰρ ξηρανθέντα κλωνία, ἀδυναμώτερά εἰσι. τοῦ δὲ χαρακίτου τιθυμάλλου λαβὼν τὴν ῥίζαν, ξήρανον ἐν σκιᾷ. εἶτα ἐπὶ τῆς χρείας τὸν φλοιὸν ἀφελὼν. καὶ κόψας. σήσας. στήσας ℔. δʹ. ἔμβαλε οἴνῳ γλυκεῖ παλαιῷ. καὶ ἔα βρέχεσθαι ἡμέραν, καὶ νύκτα. καὶ διηθήσας διὰ ῥάκους, καὶ θερμάνας βραχὺ δίδου πίνειν τὸν οἶνον, καθαίρει κάλλιστα. ὥστινας ἐπὶ πάντων αὐτῷ κεχρῆσθαι, ὡς ἀποκρύφῳ. καλῶς, καὶ ἀλύπως καθαίρει. καὶ ὁ ὀπὸς τοῦ τιθυμάλλου, τοῦ περὶ τὰ ὕδατα ἐν τοῖς ὑγροῖς τόποις καὶ ὕλαις φυομένου, ἀναλαμβανόμενος ἀλατίοις, ἢ ἄρτῳ ξηρῷ λείῳ, καὶ διδομένου ἐκ τούτου ὅσον καρύου ποντικοῦ. μέγα μέντοι γε μετὰ ψυχροῦ ὕδατος. ὁ δὲ ὀπὸς τοῦ τιθυμάλλου δίδοται ὑπόπινων, ἢ μετὰ ἰσχάδων ἢ μετὰ ἀλφίτων σταγόνες δʹ. ἢ εʹ. σφόδρα δὲ ἑλκοῖ τὴν γλῶσσαν. καὶ τὰ περὶ ξ καὶ θερμασίαν πολλὴν κατὰ κοιλίαν ποιεῖ ποθέν.

Ἴριον. λζʹ.

Ἰρίου τὸν φλοιὸν ξηράνας. κόψας. σήσας, δίδου ℔. εʹ. ἢ ϛʹ. βρέχων ὡς προείρηται ἐν τῷ γλυκεῖ, καὶ ἀχυρωδῶν. καθαίρει δὲ μᾶλλον φλέγμα. ἐφ' ὅσον δὲ βούλει φθείρεσθαι τὴν γαστέρα, μὴ ἀπόνιπτε ὕδατι τὸν δακτύλιον, ἀλλ' ἀπόματτε ῥάκει λινῷ. ὅταν δὲ ἱκανῶς καθαρθῆναι δόξῃ σοι ἀπόνιπτε ὕδατι ψυχρῷ τὸν δακτύλιον. καὶ τὰ ἄκρα τῶν χειρῶν, καὶ τῶν ποδῶν ἐντίθει τῷ ὕδατι, καὶ στήσεται ἡ φορά.

Ἐλατήριον. ληʹ.

Καθαίρει φλέγμα, καὶ χολήν. δίδου δὲ ὀβολοὺς τρεῖς μετὰ γάλακτος εὐθυμελγοῦς, ὅσον κοτύλης μιᾶς. ὁ δὲ ὀβολὸς ἔχει κεράτια τρία.

Κνίδιος κόκκος. λθʹ.

Καθαίρει μᾶλλον τὰ ὑδατώδη, καὶ ὀρρώδη. καθαίρει δὲ καὶ φλέγμα, καὶ χολὴν μετρίως. ἔστι δὲ πυρώδης, καὶ ὀξύτατος. δίδοται δὲ ὅσον κόκκοι λʹ. εἰ δὲ πρᾳότερον βούλει καθᾶραι, δίδου κοκκία κʹ. ἢ ιεʹ. δίδου δὲ τὸ ἐντὸς τῶν κοκκίων, τρίψας μετὰ ἀλφίτων, καὶ οἴνῳ ἐμβαλὼν κέλευε πίνειν. ἐπὶ δὲ τῇ πόσει, ἐλαίου ῥοδίνου, ἢ μηλίνου βραχὺ δεῖ καταῤῥοφεῖν, ὥστε μὴ καίειν τὴν φάρυγγα. βέλτιον δὲ λειώσαντα ἀναπλάττειν καταπότια σὺν μέλιτι ἑφθῷ.

Ἀγαρικόν. μʹ.

Ἀγαρικὸν καθαίρει φλέγμα, καὶ χολὴν, ἀλλ' οὐκ ὀξέως. δίδου δὲ ∠. βʹ. μετὰ μελικράτου, ἢ ὀξυμέλιτος. ἔστι δὲ κακοστόμαχον, διὰ τὸ κοῦφον εἶναι, καὶ ἐπιπολαστικόν.

Κνίκου σπέρμα. μαʹ.

Καθαίρει φλέγμα, οὐ μὴν ἰσχυρῶς. λειώσας δὲ τοῦ σπέρματος ∠. εʹ. ἔμβαλλε ζωμὸν ὄρνιθος, ἢ πτισάνης. καὶ διηθήσας, δίδου πίνειν. οἱ δὲ τὸ ἐντὸς τοῦ κνίκου λαβόντες ὅσον ∠. αʹ. λειοῦσι σὺν ἀμυγδάλοις, καὶ ἀνίσῳ. καὶ σὺν μέλιτι ἑφθῷ καταπότια ἀναπλάσσοντες παρέχουσιν ἰκτερικοῖς. ἁρμόδιον μὲν, πρᾳότερον δέ.

Λαθυρίς. μβʹ.

Καθαίρει μᾶλλον φλέγμα. δοτέον δὲ κόκκους ιεʹ. τῶν μειζόνων. τῶν δέ γε μικροτέρων. κʹ. καὶ τοῖς μὲν ἐνεργέστερον καθαρθῆναι δεομένοις, διαμασᾶσθαι προστακτέον. τοῖς δὲ μὴ πάνυ ἐμπράκτως, μηδὲ πολλῆς κενώσεως δεομένοις, ὁλοσχερῆ καταπίνειν. μάλιστα εἰ κακοστόμαχος εἴη ὁ λαμβάνων.

Ἀριστολοχίας κληματίτιδος ὁ καρπός. μγʹ.

Ξηρὸς λεῖος ∠. βʹ. πλῆθος πίνεται, καὶ καθαίρει φλέγμα, καὶ χολήν. ἔστι δὲ εὐστόμαχος.

Λινόζωστις. μδʹ.

Εἰ μὲν ταύτης ἀφεψήσας τῶν ἁπαλῶν φύλλων ἐσθίοις, ἐκκοπροῖ ἱκανῶς. εἰ δὲ τὸ ἀφέψημα οἴνῳ κεράσας πίνοις, μετρίως ἐκκοπροῖ.

Σικύου ἀγρίου ῥίζης ὁ φλοιός. μεʹ.

Ὁ μὲν φλοιὸς πλῆθος ὀβολῶν δύο, τουτέστι κερατίων ϛʹ. πινόμενον μετὰ μελικράτου ἄγει φλέγμα ἱκανὸν ἀλύπως, μετὰ τοῦ μὴ ἀδικεῖν τὸν στόμαχον.

Στύραξ. μϛʹ.

Λιπαρὸς ξανθὸς δίδοται ὅσον ∠. βʹ. πλῆθος, σὺν τερεβινθίνῃ ἰσοσταθμῷ εἰς τὰ καταπότια. ἄγει γὰρ φλέγμα ἱκανὸν ἀλύπως.

Θύμος. μζʹ.

Θύμου τοὺς κορύμβους, κόψας, σήσας, δίδου μετὰ ὀξυκράτου, καὶ ἁλῶν ὀλίγων ὅσον ∠. δʹ. ἢ γʹ. καθαίρει γὰρ ἀλύπως, καὶ ἱκανῶς φλέγμα, καὶ χολήν.

Κυκλαμίνου. μη´.

Κυκλαμίνου ῥίζης λειοτάτης ∠. γ´. ἢ δ´. πρὸς δύναμιν, σὺν ὑδρομέλιτι πινομένη καθαίρει φλέγμα, καὶ χολήν. μάλιστα δὲ δι᾽ ἱδρώτων καθαίρει. ὅθεν ποιοῦντα δεῖ κατακλίνεσθαι, καὶ σκέπη θάλπειν τὸ σῶμα, καὶ συνεργεῖν τῇ τῶν ἱδρώτων ἐκκρίσει. Σκόρδιον. μθ´.

Σκόρδιον λειότατον, ὅσον ∠. β´. σὺν ῥοδομέλιτι πινόμενον, ἄγει φλέγμα.

Χαμαιπίτυς. ν´.

Λειοτάτη πινομένη ὅσον ∠. β´. μετὰ σύκων, ἢ μέλιτος ἑφθοῦ ἀναληφθεῖσα εἰς καταπότια, καὶ διδομένη, ἄγει φλέγμα ἱκανόν. Βδέλλιον. να´.

Βδέλλιον τὸ ἀραβικὸν διαυγές τε, καὶ ξανθὸν, πλέον πινόμενον ὅσον ∠. β´. πλῆθος μεθ᾽ ὑδρομέλιτος, καθαίρει φλέγμα. Περὶ ὑδραγωγῶν. νβ´.

Τοῖς δ᾽ ὕδωρ καθαίρουσι, χρηστέον ἐπί τε τῶν ὑδρωπικῶν τῶν φυσικῇ τῇ ὕδρῳ νοσούντων. ἐπί τε γυναικῶν ἐνοχλουμένων ὑπὸ λευκοῦ ῥοῦ χρονίως. καὶ ἐπὶ τῶν ἕλκη ῥευματικὰ ἐχόντων.

Λεπὶς χαλκοῦ. νγ´.

Ὕδωρ καθαίρει. δίδοται δὲ ∠. α´. S´. μετὰ μελικράτου. οὐ μόνον δὲ ὕδωρ ἄγει, ἀλλὰ καὶ φλέγμα. ἄγει δὲ ὕδωρ καί τινα τῶν προειρημένων. οἷον κόκκος κνίδειος, καὶ κνίκος. ἡ δὲ τοῦ ἀγρίου σικύου ῥίζα ἁρμοδιωτάτη τοῖς ὑδρωπικοῖς ἐστι καὶ ἀλυποτάτη. Εὐφόρβιον. νδ´.

Ἄγει μὲν φλέγμα, μᾶλλον δὲ ὕδωρ. ἔστι δὲ ὀξύτατον, ὡς οἶδα, καὶ πυρωδέστατον. ὅθεν καὶ κωλικοῖς δίδοται, καὶ τοῖς ψυχροτέρας ἔχουσι τὰς κοιλίας. τοῖς δὲ ἄλλοις ταρακτικόν ἐστιν ἰσχυρῶς, καὶ διψωδέστατον. μίσγε δὲ αὐτῷ τινὰ τῶν εὐωδῶν σπερμάτων, διδοὺς αὐτοῦ ὅσον τριόβολον σὺν μελικράτῳ. βέλτιον δὲ σὺν ἑφθῷ μέλιτι εἰς καταπότια αὐτὸ ἀναπλάσσειν. Χαμελαία. νε´.

Καθεψηθεῖσα ἐν μελικράτῳ, καὶ πινομένη ὑδατώδη μᾶλλον καθαίρει. καθαίρει δὲ καὶ φλέγμα, καὶ χολήν. ἐμβαλλέσθω δ᾽ αὐτῆς ὅσον ∠. ε´. εἰς δύο κοτύλας ὕδατος. καὶ ἑψήσθω ἕως λειφθῇ τὸ ἥμισυ. ἐπὶ τέλει δὲ τῆς ἑψήσεως, ἐπίβαλλε μέλιτος τὸ σύμμετρον. καὶ βραχὺ ἑψήσας, καὶ διηθήσας δίδου πίνειν. ἔνιοι δὲ κόψαντες λείαν τὴν χαμελαίαν καὶ βαλόντες αὐτῆς ∠. β´. ἀψινθίου δὲ κόμμεως τὸ διπλάσιον, ἀναλαβόντες μέλιτι ἑφθῷ, καταπότια διδόασιν.

Αἵματος καθαρτικά. νϛ´.

Τὸ δὲ αἷμα καθαίρει, πρασίου κεφαλωτοῦ ὁ χυλός. λινόζωστις. λευκόϊον. μαλάχη ἀγρία. καὶ ἐλελίσφακος. Μέθοδος συνθέσεως τῶν καθαιρόντων φαρμάκων. νζ´.

Τὰ μὲν κατ᾽ ἰδίαν καθαίρειν δυνάμενα ἁπλᾶ φάρμακα, ὡς τύπῳ φάναι, τοιαῦτά τινά εἰσι τὰ προγεγραμμένα. οὐ χαλεπὸν δὲ καὶ τὰς μίξεις αὐτῶν ποιεῖσθαι τοῖς ἤδη ἐκ τῶν προρρηθέντων μεμαθηκόσι τὴν ἑκάστου δύναμιν. δεῖ γὰρ εἰ μέν τις τῶν εἰρημένων δύο ἐθέλοι μιγνύναι, τὸν ἥμισυ σταθμὸν τῆς δόσεως ἑκάστου παραλαμβάνειν. εἰ δὲ τρία, τὸ τρίτον. εἰ δὲ πλείω ἀναλόγως. ποιούμεθα δὲ τὰς μίξεις αὐτῶν, ὅταν μὴ ἓν τὸ ἐνοχλοῦν τύχῃ. οἷον φλέγμα. ἢ χολή. ἢ ὕδωρ, ἀλλὰ πάντα ἅμα. καὶ εἰ μὲν δόξομεν ὁμοτίμως πλεονάζειν τοὺς χυμοὺς, ἐξ ἴσης αὐτὰ ἐμβάλλομεν ἐν τῇ σκευασίᾳ. ἑνὸς δὲ χυμοῦ μᾶλλον τῶν ἄλλων πλεονεκτοῦντος, πλέον ἐμβάλλομεν τῶν δυναμένων τὸν τοιοῦτον χυμὸν κενοῦν. πρῶτον μὲν βούλομαι τὰ ἐν τροφῇ μαλακτικὰ φάρμακα, γαστρὸς ὑπαγωγὰ ὑποθέσθαι. ἐν τροφῇ γὰρ φαρμακείη ἄριστον, φησὶν Ἱπποκράτης, ἵνα καὶ τοῖς ὑγιαίνουσι μὲν, ἐστεγνωμένοις δὲ φυσικῶς τὴν γαστέρα, χρήσιμος ἡ θεωρία γένηται. τάχιστα δὲ καὶ τοῖς ἐκ νόσου ἀνακομιζομένοις ἔτι δὲ καὶ τοῖς χρονίαν νόσον νοσοῦσιν, ἀρωγὰ ταυτὶ τὰ φάρμακα γενήσεται πανταχοῦ ἐν ταῖς καθαρσίαις μισγόμενα ἔμπου, ἢ δεύτερον τῶν ἁπλῶν φαρμάκων. ἤτοι εἰς τὸ μαλάξαι τὴν γαστέρα. ἢ καὶ τὸν πλεονάζοντα χυμὸν κατ᾽ ὀλίγον, λεληθότως ἐκκενοῦν βουλόμενοι. ἀρξώμεθα τοιγαροῦν ἀπὸ τῶν προπομάτων. Οἴνου καθαρτικοῦ χολῆς σκευασία ἐκ τῶν Θέωνος. νη´.

Κασσίας γο. α´. σκαμμωνίας οὐγγίαν α´. οἴνου ℥. ε´. ταῦτα λειότατα γενόμενα, ἐμβαλλέσθω ὀθονίῳ. καὶ ἀκριβῶς περισφιγχθὲν τὸ ῥάκος ἀποκρεμάσθω εἰς τὸν οἶνον. καὶ ἐάσθω βρέχεσθαι ἡμέρας ε´. εἶτα ἐκ τοῦ οἴνου τούτου δίδου πρὸ τροφῆς κρᾶσιν τελείαν σὺν ὕδατι θερμῷ. πεπίστευται χολὴν καθαίρειν. Οἶνος φλέγματος ἀγωγός. νθ´.

Ἀσφοδέλων κεκαθαρμένων οὐγγίαν α´. ναρδοστάχυος ∠. γ´. οἴνου ℥. ε´. σκεύαζε ὡς προείρηται, καὶ χρῶ. πεπίστευται τοὺς φλεγματικοὺς κουφίζειν.

Οἶνος μελαγχολικοῖς ἐπιτήδειος. ξ´.

Λαβὼν πολυποδίου γο. α´. κόψας. σήσας. ἐνδήσας εἰς ὀθόνιον, ἀποκρέμασον εἰς οἴνου ℥. ε´. καὶ ἔα ἡμέρας ζ´. βρέχεσθαι. καὶ δίδου κρᾶσιν, ὡς εἴρηται.

Ἄλλος πολυποδίτης. ξα´.

Οἴνου γλυκυτάτου ℥. ϛ´. μαστίχης γο. β´. ἐπιθύμου ∠. δ´. πολυποδίου ῥιζῶν μὴ παλαιῶν ἐξυσμένων λι. β´. τὰς ῥίζας τοῦ πολυποδίου κεκαθαρμένας κόπτων ἁδρομερῶς ἕψε μετὰ τοῦ γλυκέος.

τοῦ γλυκέος, ἐπιβαλὼν καὶ τὸ ἐπίθυμον, καὶ τὴν μαστίχην. ὅταν δὲ ἀποτειπωθῇ, ἄρας ἀπὸ τοῦ πυρὸς, ἔα ψυγῆναι. καὶ διηθήσας ἐπίπασσε ναρδοστάχυος κεκομμένου, καὶ σεσησμένου ℈. γ΄. βέλτιον δὲ ἐν θυίᾳ αὐτὸ ἑνῶσαι. εἶτα ἀναλαμβάνειν ὀστρακίνοις ἀγγείοις μικροῖς πεπισσωμένοις. καὶ χρίσας τὸ στόμα φύλαττε. δίδου δὲ ἐν τῷ ἀρίστῳ κράσιν μεγάλην μεσαζόντων τῶν σιτίων, κεράσας θερμῷ. ἔστι δὲ ἡδύτατον, καὶ ἐνδρεγὲς, ὅπερ ἐν Βαβυλῶνι τῆς Φοινίκης σκευαζόμενον εὐδοκιμεῖ πανταχῇ πλωϊζομένοις.

Οἰνόμελι ἐκκοπρωτικόν. ξβ΄.

Οἴνου ξ. ε̄. μέλιτος ξ. ᾱ. μαστίχης γο. γ̄. λειώσας τὴν μαστίχην, καὶ ἐνδήσας ὀθόνῃ, ἀποκρέμασον ἐν τῷ οἰνομέλιτι. καὶ ἔα βρέχεσθαι ἡμέρας ζ΄. καὶ δίδου πρὸ τροφῆς κράσιν μίαν κεκραμμένην θερμῷ. ἔστι δὲ ἐκκοπρωτικὸν κάλλιστον, καὶ εὐστόμαχον. κενοῖ δὲ καὶ φλέγμα.

Οἰνόμελι ξανθῆς χολῆς ἀγωγόν. ξγ΄.

Σκαμμωνίας δραχμὴν μίαν. ναρδοστάχυος ∠. ᾱ. κόψας. σήσας, ἐνδήσας ὀθόνῃ, βρέχε εἰς οἴνου ξ. ε̄. καὶ μέλιτος ξ. ᾱ. καὶ χρῶ.

Οἰνόμελι φλέγματος ἀγωγόν. ξδ΄.

Λαβὼν κνίκου σπέρματος κεκαθαρμένου ∠. δ΄. καὶ οἴνου ξ. ε΄. καὶ μέλιτος ξέστην ᾱ. κόψας ἁδρομερῶς τὸν κνίκον, καὶ ἐνδήσας ὀθόνῃ ἀπόβρεχε, καὶ χρῶ ὡς προείρηται.

Οἰνόμελι χολὴν μέλαιναν κενοῦν. ξε΄.

Πολυποδίου ∠. γ̄. οἴνου ξ. ε̄. μέλιτος ξ. α΄. κόψας. σήσας. ἀπόβρεχε, καὶ χρῶ.

Κονδῖτον ξανθοχόλοις. ξϛ΄.

Πεπέρεως ∠. γ΄. σκαμμωνίας γο. ᾱ. σελίνου σπέρματος ∠. ᾱ. οἴνου ξ. ε̄. μέλιτος ξ. ᾱ. προλεάνας τὰ εἴδη καθ' ἑαυτά. ἔπειτα καὶ σὺν τῷ μέλιτι. εἶτα τὸν οἶνον ἐπιβαλὼν ἔα ἡμέρας ε̄, καὶ χρῶ.

Κονδῖτον φλεγματικοῖς. ξζ΄.

Λαθυρίδων γο. ᾱ. πεπέρεως γο. ᾱ. ἀνίσου, σελίνου σπέρματος, ἀνὰ γο. ᾱ. οἴνου ξ. ε̄. μέλιτος ξ. ᾱ. σκεύαζε ὡς προείρηται, καὶ χρῶ.

Κονδῖτον μελαγχολικοῖς. ξη΄.

Πολυποδίου γο. ᾱ. πεπέρεως γο. ᾱ. σελίνου σπέρματος ∠. ᾱ. οἴνου ξ. ε̄. μέλιτος ξ. ᾱ. σκεύαζε ὡς προείρηται καὶ χρῶ.

Ἀψινθάτου σκευασία πνευμάτων, καὶ κόπρου, κενωτικοῦ. ξθ΄.

Λιβυστικοῦ ∠. ᾱ. ϛ΄. κυμίνου ∠. ᾱ. ναρδοστάχυος ℈. β΄. σχοίνου ἄνθους ℈. ϛ̄. μαστίχης ℈. ϛ̄. οἴνου ξ. ε̄. μέλιτος ξ. ᾱ. κόψας. σήσας. λείου μετὰ τοῦ μέλιτος. καὶ ἑνώσας τὸν οἶνον, ἀναλάμβανε, καὶ χρῶ μετὰ ἡμέρας ε̄. πρὸ τοῦ ἀρίστου.

Ἀψινθάτου χολῆς ξανθῆς ἀγωγόν. ο̄.

Κόστου ∠. ᾱ. μαστίχης ∠. δ̄. ῥόδων ξηρῶν. ∠. β΄. ναρδοστάχυος ∠. β΄. σχοίνου ἄνθους ∠. ᾱ. ἀλόης γο. ᾱ. σκαμμωνίας, γο. ᾱ. μέλιτος ξ. ᾱ. οἴνου ξ. ε̄. σκεύαζε, καὶ χρῶ ὡς προείρηται.

Ἀψινθάτου φλεγματικοῖς. οᾱ.

Μαστίχης ∠. δ΄. κόστου ∠. δ̄. φύλλου ἰνδικοῦ ∠. ᾱ. ναρδοστάχυος ∠. α. σχοίνου ἄνθους ∠. ᾱ. κασσίας. ∠. ᾱ. πολυποδίου γο. ᾱ. μέλιτος ξ. ᾱ. λαθυρίδων κεκαθαρμένων γο. ᾱ. οἴνου ξ. ε̄. σκεύαζε καὶ χρῶ ὥσπερ προείρηται.

Ῥοσάτον ξανθῆς χολῆς ἀγωγόν. οβ.

Ῥόδων ἐξωνυχισμένων νεαρῶν λι. ᾱ. οἴνου παλαιοῦ ξ. ϛ̄. μέλιτος ξ. ᾱ. τὰ ῥόδα προμαρανθέντα ἡμέραν μίαν, ἐμβάλλεται εἰς τὸν οἶνον καὶ βρέχεται ἡμέρας θ̄. εἶτα διηθεῖται ὁ οἶνος, καὶ ἐπιβάλλεται τῷ μέλιτι προλειωθέντι μετὰ σκαμμωνίας, γο. ᾱ. χρὴ δὲ κόπτειν, καὶ σήθειν τὴν σκαμμωνίαν, καὶ οὕτως λειοῦν σὺν τῷ μέλιτι. ἀναλαβὼν δὲ εἰς ἀγγεῖα, καὶ πωμάσας ἀκριβῶς, ἀποκρέμασον εἰς λάκκον ψυχροῦ ὕδατος, καὶ ἔα ἡμέρας ζ. ἢ θ̄. εἶτα ἀνασπάσας, ἔα ἄλλας λ̄. ἡμέρας, καὶ οὕτως προπόματι χρῶ.

Ῥοσάτον φλέγματος, καὶ ὀρρώδους, καὶ μελαγχολικοῦ χυμοῦ κενωτικόν. ογ΄.

Εἰ μέντοι προσλάβοι κόκκου κνιδίου γο. ᾱ. ἡ μὲν προειρημένη γραφὴ αὐτὴ τῆς σκαμμωνίας, κενοῖ τὸ ὀρρῶδη χυμὸν, καὶ φλέγμα. εἰ δὲ λαθυρίδα μόνην, φλέγμα κενοῖ. εἰ δὲ ἐπίθυμον μόνον, τὸν μελαγχολικὸν χυμὸν κενοῖ.

Ῥοδομέλιτος καθαρτικοῦ σκευασία. οδ΄.

Μέλιτος λι. ᾱ. ῥόδων χυλοῦ λι. ᾱ. μαστίχης ∠. δ΄. πεπέρεως ∠. β΄. ζιγγιβέρεως ∠. β΄. σκαμμωνίας ℈. η̄. ἕψει τὸ ῥοδόμελι ἕως σύστασιν λάβῃ μέλιτος ὑγροτέρου. εἶτα ἐπίπασσε τὴν σκαμμωνίαν, καὶ τὴν μαστίχην λειοτάτην ποιήσας, καὶ ἕψε ἐπ' ὀλίγον. καὶ ἄρας ἀπὸ τοῦ πυρὸς, ἕνωσον τοῖς λοιποῖς ἐν τῇ θυίᾳ. καὶ ἀναλάμβανε, καὶ δίδου κοχλιάριον. κενοῖ ξανθὴν χολήν. τινὲς δὲ ἁπλουστέραν τὴν σκευασίαν ποιῆσαι βουλόμενοι, προβρέξαντες ὀλίγῳ ὕδατι τὴν σκαμμωνίαν. εἶτα ζέσαντες, καὶ τὸν ἐπίπαγον αὐτῆς ἀφαιροῦντες διηθοῦσι. καὶ λειοποιήσαντες ἐπιβάλλουσι τῷ ῥοδομέλιτι. καὶ συνέψουσιν, ὡς προείρηται. εἰ μέντοι λαθυρίδων γο. ᾱ. ἡ προειρημένη σκευασία τοῦ ῥοδομέλιτος λάβοι χωρὶς τῆς σκαμμωνίας καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου λάβοι γο. ᾱ. τὸν μελαγχολικὸν χυμὸν. κενοῖ. δραστικώτερον δὲ γίγνεται, ἐὰν ἀντὶ τοῦ πολυποδίου, ἐπίθυμον λάβοι.

Ὀξοῦς καθαρτικοῦ σκευασία. οε.

Σ καμμωνίας Γο. α. ὄξους ξε. ε. λείου ἅμα καὶ ἔα ε. ἡμέρας καὶ δίδου εἰς ἔμβαμμα σὺν τῇ τροφῇ κοχλιάριον α, ἢ β. καθαίρει ξανθὴν χολήν. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας ἐμβάλλοις λαθυρίδων Γο. α, καθαίρει φλέγμα. εἰ δὲ ἐπιθύμου Γο. ε. ἐμβάλλοις, κενοῖ τὸν μελαγχολικὸν χυμόν.

Ὀξυμέλιτος καθαρτικοῦ σκευασία. ος.

Μ έλιτος ἀπηφρισμένου ξε. α. ὄξους δριμυτάτου ξε. α. ἕψει ἅμα μέχρι μελιτώδους συστάσεως. εἶτα ἐπιβαλὼν ἐπιθύμου κεκομμένου, καὶ σεσησμένου Γο. α. χρῶ ἐμβάμματι, ἢ μεθ' ὕδατος δίδου πίνειν κοχλιάρια β. τὸ δὲ ὥραι τέταρτην ἰῆσει. χολὴν κενοῖ. εἰ δὲ μὴ παρείη ἐπίθυμον, σκαμμωνίας ἔμβαλλε Γο. α.

Ἄλλο ὀξύμελι.

Μ έλιτος ἀπηφρισμένου ξε. α. ὄξους ξε. α. ἕψε ἅμα μέχρι συστάσεως. εἶτα ἐπίβαλλε κνίκου τὸ σπέρμα τὸ κεκαθαρμένον, καὶ λελειωμένον, Γο. α. καὶ ἔα ἡμέρας ε. καὶ χρῶ ὡς βούλει. κενοῖ φλέγμα.

Ἄλλο.

Μ έλιτος, καὶ ὄξους ἀνὰ ξε. α. ἕψει, καὶ ἐπίβαλλε τοῦ θύμου λεπτοτάτου Γο. α. καὶ ἔα ἡμέρας, καὶ χρῶ. κενοῖ τὸν μελαγχολικὸν χυμόν. τὰ δὲ ἐμβαλλόμενα ἅπαντα ταῖς προειρημέναις σκευασίαις τοῦ ὀξυμέλιτος ἀποδεθέντα ἀποβρεχέσθωσαν.

Ἄλλο ὀξύμελι. οζ.

Ο ξύμελι καθαῖρον πᾶσαν κακοχυμίαν. ὑσσώπου κόμης Γο. α. S'. ὀριγάνου Γο. α. γλήχωνος Γο. α. S'. πρασίου Γο. α. ἐπιθύμου, κνίκου σπέρματος. θύμου κορύμβων, ἀγαρικοῦ, ἀνὰ Γο. α. πολυποδίου Γο. β. σκαμμωνίας Γο. α. καὶ γρ. ς. ὄξους ξε. α. S'. ὕδατος ξε. α. μέλιτος λι. β. ἑψήματος Γο. ς. προβρέξας τὰς βοτάνας τῷ ὄξει καὶ τῷ ὕδατι, ἕψει εἰς ἀποτρίτωσιν. καὶ διηθήσας, ἐπίβαλλε τὸ μέλι. καὶ πάλιν ἕψει μέχρι καλῆς συστάσεως. καὶ λειώσας ἕνωσον ἐν τῇ θυίᾳ λειότατα γενόμενα, καὶ σεσησμένα λεπτῷ κοσκίνῳ. σκαμμωνίαν. ἐπίθυμον. ἀγαρικόν. καὶ δίδου συμμέτρως μὲν καθᾶραι βουλόμενος δόσιν γρ. ιε. μέσως δὲ, η. γρ. τὴν δὲ τελείαν τοῖς ἰσχυροῖς, Γο. α. τινὲς δὲ, καὶ ἀλυπιάδος βάλλουσιν Γο. α.

Ἄλλο πνεύματος κενωτικόν.

Ο ξους ξε. α. μέλιτος ξε. α. ἀψινθίων < δ. πεπέρεως Γο. α. ζιγγιβέρεως οὐγγίαν α. πετροσελίνου < δ. σελίνου σπέρματος. ἄμεως. λιβυστικοῦ. ἀνίσου. ἐπιθύμου ἀνὰ < δ. κυμίνου < β. ἀνήθου σπέρματος < β. πολυποδίου Γο. α. σκεύαζε καὶ χρῶ, ὡς προείρηται. ἁρμόδιον κωλικοῖς.

Ὀξύμελι κωλικοῖς ἁρμόζον, καὶ νεφριτικοῖς. οη.

Κ ενταυρείου Γο. α. ἀλυπιάδος νεαρᾶς Γο. β. πηγάνου χλωροῦ οὐγγίας β. πρασίου. ἀγαρικοῦ, κασίας, ἴρεως, ὑσσώπου, γλήχωνος ἀνὰ < δ. σκίλλης Γο. α. ὄξους ξε. γ. μέλιτος ξε. α. προβρέξας πάντα τῷ ὄξει, ἕψει εἰς ἀποτρίτωσιν. καὶ διηθήσας ἐπίβαλλε τὸ μέλι. καὶ ἕψει μέχρι συστάσεως μέλιτος ὑγροτέρου. ἔπειτα ἐπίπασσε σκαμμωνίας λεπτοτάτης Γο. α. ναρδοστάχυος Γο. α. καὶ τοῦ διὰ μαράθρων καθαρτικοῦ Γο. α. καὶ ἑνώσας χρῶ. οὕτω προκενώσας τὸν κωλικευόμενον ἐκκοπρωτικῷ κλυστῆρι. ἔπειτα λαβὼν τοῦ ὀξυμέλιτος κοχλιάριον, ἀνάλυε μετὰ χυλοῦ πτισάνης καὶ δίδου. χρῶ δὲ ὁμοίως καὶ ἐπὶ νεφριτικῶν τῶν φλεγματικωτέρων. κενοῖ φλέγμα ἀλύπως, καὶ ὑπάγει.

Ὀξύμελι πικρόν. οθ.

Μ αράθρου χλωροῦ μετὰ τῶν ῥιζῶν δεσμίδιον α. σελίνου μετὰ τῶν ῥιζῶν, πηγάνου χλωροῦ ἀνὰ δεσμίδιον α. ὄξους ξε. β. S'. ζυπέσι λίβας ε. μέλιτος λι. α. S'. ἕψει τὰς βοτάνας σὺν τῷ ὄξει εἰς ἀποτρίτωσιν. καὶ διηθήσας, ἐπίβαλλε τῷ ὄξει τὸ μέλι. ἕψει μέχρι μέλιτος ὑγροτέρου λάβῃ σύστασιν. ἔπειτα λειώσας ἐν θυίᾳ, ἀλόης πρωτείας Γο. α. καὶ σήσας, ἐπίβαλλε αὐτῇ κατὰ βραχὺ τοῦ ὀξυμέλιτος. καὶ ἑνώσας ἀναλάμβανε καὶ χρῶ. παρέχων κοχλιάριον α. ἐπιρροφείτω δὲ ὕδωρ θερμόν. καθαίρει κεφαλὴν ἄκρως. ἔστι δὲ καὶ εὐστόμαχον.

Ὀξύμελι μαλακτικὸν τοῦ προσομιλήτου.

Γ λήχωνος. ὀριγάνου. θύμβρας. ἀγρείας. πολυποδίου ἀνὰ Γο. α. σελίνου ῥιζῶν < δ. ἀνήθου ῥιζῶν γρ. ς. ἀγαρικοῦ. ἐπιθύμου. σκαμμωνίας ἀνὰ Γο. α. μέλιτος ξε. α. ὄξους ξε. α. βρέχε τὰ εἴδη καὶ ἕψε ὡς τὸ ὀξύμελι. ὅταν δὲ λάβῃ καλὴν σύστασιν, ἆρας ἀπὸ τοῦ πυρὸς, πρόσπλεκε αὐτῷ σκαμμωνίαν, ἐπίθυμον, ἀγαρικόν. καὶ δίδου Γο. γ. μεθ' ὕδατος θερμοῦ.

Φοῦσκα μαλακτικὴ κοιλίας. π.

Κ υμίνου Γο. γ. ὑσσώπου Γο. α. S'. ἄμμεως Γο. α. S'. γλήχωνος οὐγγίαν α. S'. πετροσελίνου < δ. θύμου κορύμβων < δ. ζιγγιβέρεως Γο. α. κνίκου σπέρματος Γο. α. πεπέρεως < δ. ἐπιθύμου < δ. ἁλῶν καππαδοκικῶν, Γο. θ. κόψας. σήσας. φύλαττε ξηρόν. καὶ ἐπὶ τῆς χρείας δίδου κοχλιάριον α. συγκεράσας ὀξυκράτῳ.

Ἄλλη πάνυ δόκιμος. πα.

Κ υμίνου Γο. γ. γλήχωνος Γο. β. S'. μαλάθρου Γο. β. σελίνου σπέρματος Γο. β. ἀνίσου Γο. β. γρ. η. σκαμμωνίας Γο. δ. ἐπιθύμου Γο. γ. ἁλῶν κοινῶν Γο. η. ἢ λι. μίαν.

κόψας. σήσας. δίδου κοχλιάριον α΄, σὺν ὀξυκράτῳ. καθαίρει ἀδιαστρόφως.

Γάρου καθαρτικοῦ σκευασία. πβ΄.

Σκαμμωνίας ∠. δ΄. πεπέρεως κόκκοι ν΄. γάρου μέλανος ℔. γ΄. μίξας χρῶ ἐμβάμματι ἢ ὡς βούλει. καθαίρει χολήν. Ἄλλο.

Κνίκου κόκκοι κ΄. πεπέρεως κόκκοι ν΄. γάρου ℔. γ΄. τὸ σπέρμα τοῦ κνίκου λειώσας, σήσας, χρῶ, καθαίρει φλέγμα. εἰ δὲ ἀντὶ τοῦ κνίκου λαθυρίδας ἐμβάλλοις, δραστικώτερον ποιήσεις. εἰ δὲ πολυποδίου ∠. δ΄. ἐμβάλλοις, μελαγχολικὸν χυμὸν κενοῖ. δραστικώτερον δὲ γίνεται, εἰ ἀντὶ πολυποδίου, ἐπιθύμου ∠. δ΄. ἢ γ΄. ἐμβάλλοις.

Μέλιτος μαλακτικοῦ σκευασία. πγ΄.

Μαλάθρου χλωροῦ δεσμίδιον χειροπληθὲς. ὕδατος ∠. γ΄. ἕψει ἕως λειφθῇ ξ. α΄. καὶ διηθήσας, ἐπίβαλλε μέλιτος λίτραν μίαν. καὶ ἕψει ἕως μελιτώδους συστάσεως, καὶ δίδου κοτύλας γ΄. καθαίρει χολὴν ξανθήν. εἰ δὲ ἀντὶ τοῦ μαλάθρου κνίκου σπέρματος τὸ αὐτὸ ἐμβάλλοις ℔. α΄. καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου, ἢ ἐπιθύμου, ℔. α΄. συνεψήσεις, καθαίρει τὸν μελαγχολικὸν χυμόν.

Ὑδρόγαρον μαλακτικόν. πδ΄.

Γάρου ℔. α΄. πεπέρεως κόκκοι ν΄. σελίνου σπέρματος, ὀβολοὶ α΄. ὅ ἐστι κεράτια γ΄. μέλιτος κοχλιάριον α΄. σκαμμωνίας ℈. α΄. S΄. ἢ. β΄. ἑψήσας τὰ λοιπὰ καὶ ἄρας ἀπὸ τοῦ πυρὸς, ἔνσον τὴν σκαμμωνίαν. καὶ δίδου πρὸ τροφῆς. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας κνίκου σπέρματος κόκκων κ΄. τὸ ἐντὸς ἐμβάλλοις, καθαίρει τὸ φλέγμα. εἰ δὲ πολυποδίου ∠. δ΄. ἐμβάλλοις, καθαίρει μελαγχολικὸν χυμόν.

Οἰνόγαρον καθαρτικόν. πε΄.

Γάρου μυάκια, β΄. οἴνου μυάκιον α΄. πεπέρεως κόκκοι ν΄. λιβυστικοῦ ℈. α΄. σκαμμωνίας ℈. α΄. μέλιτος βραχὺ, χρῶ. καθαίρει χολήν. εἰ δὲ κνίκου κόκκων κ΄. τὸ ἐντὸς ἐμβάλλοις ἀντὶ τῆς σκαμμωνίας, καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου ∠. δ΄. τὸν μελαγχολικὸν χυμὸν καθαίρει.

Ὀξύγαρον καθαρτικόν. πϛ΄.

Σελίνου σπέρματος ∠ α΄. πεπέρεως, κόκκοι, ν΄. κυμίνου ὀβολὸν α΄. ὀποῦ κυρηναϊκοῦ τὸ ἴσον σκαμμωνίας ℈. α΄. γάρου ℔. α΄. ὄξους ℔. γ΄. χρῶ. καθαίρει χολήν. εἰ δὲ ἀντὶ τῆς σκαμμωνίας κνίκων κόκκων κ΄. τὸ ἐντὸς ἐμβάλλοις, καθαίρει φλέγμα. εἰ δὲ πολυποδίου ∠. δ΄, τὸν μελαγχολικὸν χυμὸν κενοῖ.

Ζωμοὶ μαλακτικοί. πζ΄.

Ὕδατος ξ. α΄ ἐλαίου μυάκιον α΄. γάρου βραχύ. ἁλὸς σύμμετρον. ἀνήθου βραχὺ, ἕως χυλοποιηθῇ τὰ πάντα ἕψε. εἶτα ἔμβαλλε κνίκου κόκκων ν΄. τὸ ἐντὸς. καὶ δίδου κενοῖ φλέγμα. εἰ δὲ πολυποδίου ∠. δ΄. κόψας, σήσας ἐπιπάττοις ζωμῷ πέρδικος. ἢ φασιανοῦ, κενοῖ τὸν μελαγχολικὸν χυμόν. τὴν μέντοι σκαμμωνίαν οὐκ ἐδικαίωσα ἐμβαλεῖν ἐν τοῖς ζωμοῖς, διὰ τὸ, τῇ πείρᾳ βασανισθεῖσαν ἀκατάλληλον εὑρεθῆναι.

Γάλα καθαρτικόν. πη΄.

Ὀνείου, ἢ αἰγείου γάλακτος κύαθος α΄, σκαμμωνίας ℈. β΄. ἑνώσας δίδου. κενοῖ χολήν. εἰ δὲ κνίκου κόκκων κ΄. τὸ ἐντὸς, ἐμβάλλοις, κενοῖ φλέγμα. τὸ μέντοι πολυπόδιον, ἢ ἐπίθυμον οὐκ ἐδικαίωσα βαλεῖν εἰς τὸ γάλα, διὰ τὸ χρώννυσθαι τὸ γάλα. καὶ μὴ λανθάνειν τὸν λαμβάνοντα. πολλοὶ γὰρ διὰ δειλίαν οὐ βούλονται καθαίρεσθαι.

Ἐλαῖαι καθαρτικαί. πθ΄.

Πεπέρεως ∠. α΄. ἐπιθύμου ∠. α΄. σιλφίου ∠. α΄. ἡδυόσμου χλωροῦ ∠. α΄. γλίχωνος κόμης ∠. α΄. κυμίνου ∠. α΄. πηγάνου ∠. α΄. σκαμμωνίας, ℔. α΄. φοινίκων λιπαρῶν ℔. β΄. μέλιτος ξ. α΄. ὄξους ξ. τὸ ἥμισυ. ἐλαίας ἀπὸ ἅλμης ρκ΄. ἀριθμῷ. λειότατα πάντα τὰ προειρημένα ποιήσας κατ᾽ ἰδίαν, καὶ μετὰ τοῦ ὀξυμέλιτος. ἔπειτα ἀμυχὰς ἐμβαλὼν ἑκάστῃ ἐλαίᾳ τρεῖς. ἔμβαλλε τῇ σκευασίᾳ. καὶ ἐάσας ἡμέρας ὀλίγας, χρῶ. διδοὺς ἐν τροφῇ ἐλαίας τρεῖς. καὶ τοῦ ζωμοῦ κοχλιάριον α΄, ἢ καὶ δύο πρὸς δύναμιν.

Ὀξυπόριον καθαρτικόν. ϙ΄.

Τὰ διὰ κυδωνίων μήλων συνήθως σκευαζομένῳ πεπτικῷ φαρμάκῳ, ὅσον ἐν κοχλιάριον, προσπλέκων σκαμμωνίας ℈. β΄. τὴν ξανθὴν χολὴν κενώσεις ἀλύπως. εἰ δὲ λαθυρίδων κόκκους κ΄. ἐμβάλλοις, κενοῖ φλέγμα. εἰ δὲ πολυποδίου, ἢ ἐπιθύμου λειοτάτου ∠. δ΄. ἐμβάλλοις, κενοῖ τὸν μελαγχολικὸν χυμόν. ὁμοίως καὶ τῷ διοσπολιτικῷ πεπτικῷ φαρμάκῳ χρώμενος, τὸ αὐτὸ ἐργάσῃ, καὶ μάλιστα ἐφ᾽ ὧν φλέγμα ἐν τῷ θώρακι ἀπόκειται. εἰ δὲ τῷ διὰ καλαμίνθης πεπτικῷ φαρμάκῳ προσπλέξοις τὰ καθαίροντα φάρμακα, κενώσεις πᾶσαν τὴν περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος κακοχυμίαν. οἷον ψώρας, λιχῆνας, καὶ τὰ ὅμοια.

Ὀξυπόριον διὰ φοινίκων. ϙα΄.

Ζιγγιβέρεως. πεπέρεως. κυμίνου. πετροσελίνου, ἀνὰ ℔. α΄. σκαμμωνίας ὀπτηθείσης ἐν ζύμῃ, καὶ λειωθείσης λεπτοτάτως, ℔. β΄. S΄. φοινίκων λιπαρῶν σαρκὸς ℔. δ΄. πηγάνου φύλλων, ℔. α΄. μέλιτος λι. α΄. ὄξους ξ. α΄. ἕψει πρῶτον τὸ μέλι, καὶ τὸ ὄξος. καὶ τοὺς φοίνικας, ἕως τὸ τρίτον τοῦ ὄξους λειφθῇ. εἶτα λείου τὸ πήγανον μετὰ τοῦ λειψάνου τῶν φοινίκων. καὶ ἐπιπάσας τὰ ξηρὰ λειότατα γενόμενα, καὶ ἑνώσας ἐπίβαλλε κατὰ βραχὺ τὸ ἑψηθὲν ὀξύμελι, καὶ ἑνώσας χρῶ, ὡς θαυμασίῳ, καὶ διὰ πολλῆς πείρας φαρμάκῳ. ἡ δὲ τελεία δόσις κοχλιάρια β΄. τοῖς στεγνοκοιλίοις

ἀκμαίου ὄντος τοῦ φαρμάκου. εἰ δὲ μὴ πάνυ εἶεν ἐστεγνωμέναι κατὰ τὸ μέτρον τῆς ὑποβάσεως τοῦ φαρμάκου, δοτέον ποτὲ μὲν κοχλιάριον α΄. S΄. ποτὲ δὲ κοχλιάριον α΄. μόνον ὑπάγει ξανθὴν χολὴν ἄκρως. διὸ καὶ ἐπιεικῶς δίδοται ἐπωφελῶς, καὶ φιταΐζουσιν. ὅταν δὲ πέψις χρηστὴ ἐν τοῖς οὔροις φανῇ, καὶ φλέγμα κενοῖ μετρίως. χρῶ δὲ θαρρῶν ἐν παντὶ καιρῷ ὡς ἀδιαστρόφῳ, καὶ ἀπειεργῷ. ἐγὼ δὲ καὶ τοῖς χρονίως ἔτι πυρέττουσιν, ἔδωκα μετὰ τὸ φανῆναι τὴν πέψιν ἐν τοῖς οὔροις, καὶ παραχρῆμα ἰάθησαν. ἐφ' ὧν δὲ μελαγχολικὸν βούλει καθάραι πρόσπλεκε τῇ δόσει ἐπιθύμου γράμματα α΄. ἢ πρὸς δύναμιν. εἰ δὲ φλέγμα πολὺ ἐπίκειται, ἐπίβαλλε καὶ ἀγαρικοῦ, ἤτοι ἰσίου. ⊢ α΄. κενοῖ γοῦν μετρίως φλέγμα. καὶ τὸ πέπερι. πήγανον. κύμινον.

Καθαρτικὸν διὰ κυδωνίων μήλων. ϛβ΄.

Μήλων κυδωνίων πεπείρων, εὐμεγέθων, εὐωδεστάτων, ζύμῃ περιπλασθέντων, καὶ ὀπτηθέντων. τῆς σαρκὸς κεκαθαρμένης, Γο. δ΄. μέλιτος ἀπηφρισμένου Γο. α΄. πεπέρεως ∠. β΄. ζιγγιβέρεως ∠. β΄. σκαμμωνίας ∠. ϛ΄. ἕκαστον ἰδίᾳ λειότατα ποιήσας, καὶ ἑνώσας. δίδου κοχλιάριον. α΄.

Καθαρτικὸν ὀρειβασίου διὰ κιτρίου. ϛγ΄.

Κενοῖ κεφαλήν. ποιεῖ στομαχικοῖς κοιλιακοῖς. καὶ τοῖς μὴ δυναμένοις ἰσχυρὸν λαβεῖν καθαρτήριον διὰ ἀτονίαν. ὅθεν καὶ παιδίοις δίδοται ἀκριβῶς ἀβλαβῶς. ἔστι γὰρ εὐστόμαχον. κιτρίου τοῦ λέπους, καὶ τῆς σαρκὸς λι. α΄. ὕδατος ξ. α΄. S΄. μέλιτος ξ. τὸ ἥμισυ πεπέρεως Γο. α΄. σκαμμωνίας Γο. α΄. τὸ κίτριον τεμὼν εἰς λεπτά, ἕψει μετὰ τοῦ ὕδατος, ἕως λειφθῇ ξ. τὸ ἥμισυ. εἶτα διηθήσας ἐπίβαλλε τῷ ἀφεψήματι. τὸ μέλι καὶ ἕψει μέχρι καλῆς συστάσεως. καὶ λεάνας τὸ λείψανον τῶν ἑψηθέντων κιτρίων. ἐπίπασσε αὐτοῖς τὰ ξηρὰ λειότατα. καὶ συλλεάνας ἐπίβαλλε τῷ ἑψηθὲν ὑδρόμελι. καὶ ἑνώσας χρῶ, διδοὺς κοχλιάριον α΄.

Καθαρτικὸν διὰ μαράθρου. ϛδ΄.

Σφόδρα καλόν. ἐπιθύμου. ζιγγιβέρεως. πεπέρεως. σκαμμωνίας, ἀνὰ Γο. α΄. μαράθρου χλωροῦ. πηγάνου χλωροῦ. σελίνου ῥιζῶν χλωρῶν ἀνὰ Γο. γ΄. ὕδατος ξ. γ΄. μέλιτος λίτρας γ΄. τῷ ἀφεψήματι τριτωθέντι ἐπιβαλὼν τὸ μέλι, ἕψει μέχρι καλῆς συστάσεως. εἶτα ἐπίπασσε τὰ ξηρά, καὶ δίδου κοχλιάριον α΄. μέγα.

Ἄλλο εὐστόμαχον πάνυ. ϛε΄.

Μαράθρου. κυμίνου. γλήχωνος. σελίνου ἑκάστου χειροπληθὲς. ὕδατος ξ. γ΄. ἕψε μέχρι λειφθῇ ξ. α΄. καὶ διηθήσας, ἐπίβαλλε τὸ μέλι ἴσον. καὶ ἕψε μέχρι μελιτώδους συστάσεως. καὶ ἐπίπασσε ἐν θυίᾳ, σκαμμωνίας λειοτάτης Γο. α΄. πεπέρεως Γο. α΄. μαστίχης λείας, Γο. δ΄. καὶ ἑνώσας, δίδου κοχλιάριον α΄. ἁρμόζει τοῖς φυσώδεσι.

Τὸ διὰ μαράθρου σκευαζόμενον συνήθως τοῖς μελαγχολικοῖς. ϛϛ΄.

Σκαμμωνίας Γο. β΄. ζιγγιβέρεως. πεπέρεως ἀνὰ Γο. α΄. πετροσελίνου ⊢. ιβ΄. ἐλλεβόρου μέλανος φλοιοῦ ⊢. ϛ΄. ἐπιθύμου Γο. α΄. μέλιτος λι. γ΄. μαράθρου χυλοῦ, λίτρας γ΄. ἕψει τὸν χυλὸν μετὰ τοῦ μέλιτος, μέχρι συστάσεως μελιτώδους καὶ ἐπίχεε κατὰ βραχὺ ἐν τῇ θυίᾳ τοῖς ξηροῖς κεκομμένοις, καὶ σεσησμένοις. καὶ ἑνώσας χρῶ. ἡ δόσις κοχλιάριον α΄.

Καθαρτικὸν μελαίνης χολῆς ὀρειβασίου ϛζ΄.

Ὕδατος ξ. γ΄. μέλιτος Γο. θ΄. ἐπιθύμου Γο. α΄. κόψας, σήσας, ἕψει ἅμα ἕως λειφθῇ τὸ τρίτον τοῦ παντὸς. καὶ δίδου πίνειν πρὸς δύναμιν. ἐμοὶ δὲ δοκεῖ τὸ τέταρτον διδόναι. τοῖς δὲ εὐέκτοις καὶ τὸ ἥμισυ.

Ἄλλο καθαῖρον μέλαιναν χολὴν καὶ ξανθήν. ϛη΄.

Σκαμμωνίας. ἐπιθύμου ἀνὰ Γο. α΄. S΄. πετροσελίνου, ζιγγιβέρεως, ἡδυόσμου ἀνὰ ∠. β΄. ἀναλάμβανε μέλιτι. καὶ δίδου καρύου ποντικοῦ μέγεθος.

Πάσιλλος καθαρτικὸς χολῆς ξανθῆς. ϛθ΄.

Πεπέρεως. μαστίχης. στροβιλίων. σταφίδων ἐκπυρηνισμένων, ἑκάστου κοκκία ι΄. κυμίνου κόκκους. ι΄. ιε΄. σκαμμωνίας ⊢. β΄. ἢ πλέον, ἢ ἔλαττον. μέλιτος βραχύ. λεάνας ἅμα δίδου. ὡς πάσιλλον αὐτοῦ μία δόσις. καθαίρει ἀλύπως.

Βουκέλατον. ρ΄. *καθαρτικὸν*

Ζύμης ἐκ σεμιδάλεως, λι. β΄. σκαμμωνίας Γο. α΄. μαράθρου σπέρματος. κυμίνου φύλλου ἑκάστου κεράτια ϛ΄. πεπέρεως κόκκοι λγ΄. ἁλῶν κοινῶν σύμμετρον. ἐλαιογάρου κοχλιάρια β΄. κόψας, σήσας τὰ ξηρά, καὶ μαλάξας σὺν τῇ ζύμῃ, καὶ ποιήσας ἀρτίσκους μικρούς, πλάτος ἔχοντας διπλάσιον μιλιαρισίου. δίδου ὀπτᾶσθαι μάλιστα ἐν κλιβάνῳ. καὶ δίδου τὴν τελείαν δόσιν Γο. β΄. τοῦ ἄρτου ἐσθίειν ὡς ἂν καὶ βούλοιντο. νῆστις μέντοι γε χρῶ. ἔστι γὰρ ἀλυπότατον καὶ κενοῖ χολήν.

Ἀλοηδάρια ἀλύπως καθαίροντα.

Ἀλόης Γο. γ΄. ἀγαρικοῦ Γο. β΄. S΄. σκαμμωνίας Γο. α΄. βδελλίου ∠. δ΄. κόμεως σκώληκος Γο. β΄. ἀνάπλασσε χυλοῦ κράμβης. ἐπὶ δὲ τῶν πλαδώντων στομάχων, χυλοῦ τοῦ κιτρίου τῆς σαρκός. καὶ ποίει ἐρεβίνθου μεγάλου μέγεθος. καὶ δίδου τοῖς τελείοις ζ΄. νῆστις. εἰ δὲ βούλει καὶ πρὸ δείπνου καὶ μετὰ δεῖπνον. εἰ δὲ μαλάξαι. τρία δίδου.

Ἄλλο καθαῖρον ἀλύπως.

Σκαμωνίας Γο. β̄. βδελλίου Γο. ᾱ. ἀλόης ∠. δ̄. ἀγαρικοῦ ∠. δ΄. κόμεως ∠. δ̄. χυλῷ κράμβης ποίει ἐρεβίνθου καλοῦ μέγεθος. καὶ δίδου μετὰ δεῖπνον. ἐὰν μαλάξαι βούλει γ̄. εἰ δὲ καθᾶραι βούλει. ε̄. ἢ τὸ πολὺ. ζ̄.

Φλέγματος ἀγωγὸν Ὀριβασίου ρᾱ.

Ἀφνίδων νεαρῶν Γο. β̄. εὐφορβίου Γο. ᾱ. μέλιτος τὸ ἀρκοῦν, ὡς γενέσθαι ἐκλειγματῶδες. ἡ δόσις κοχλιαρίου τὸ ἥμισυ. ἐπὶ δὲ πλεοναζόντων τῶν χυμῶν, καὶ πλεῖον δοθὲν, πλείω ὠφέλησε. χρῶ ὡς καλλίστῳ.

ἄλλο φλέγματος κενωτικόν.

Ἀνίσου σπέρματος, πεπέρεως, κασίας, κολοκυνθίδος ἐντεριώνης, ἀνὰ ∠. δ΄. κόκκου κνιδίου, κνίκου σπέρματος ἀνὰ ∠. δ̄. μέλιτος τὸ ἀρκοῦν, ὡς ἐκλειγματῶδες γενέσθαι. δίδου κοχλιάριον ᾱ. S. τοῖς τελείοις.

ἄλλο.

Ἀνίσου, σελίνου, ἄμεως, πεπέρεως, κόκκου κνιδίου, κνίκου σπέρματος, λαθυρίδων, ἀνὰ ∠. δ΄. κασίας ∠. β΄. μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. δίδου τῷ τελείῳ τὴν δόσιν κοχλιάρια δύο.

Μελαγχολικοῦ χυμοῦ καθαρτικὸν, Φιλαγρίου ρβ΄.

Ζιγγιβέρεως ∠. α΄. σελίνου σπέρματος ∠. β΄. ὀποῦ κυρηναϊκοῦ, πεπέρεως, λιβυστικοῦ ἀνὰ ∠. α΄. ἐπιθύμου ∠. δ΄. ἀναλάμβανε μέλιτι, ὡς ἐκλειγματῶδες εἶναι. καὶ δίδου κοχλιάρια β΄.

ἄλλο.

Ἐπιθύμου, ἀγαρικοῦ, ἀλόης, ἀνὰ ∠ δ΄. ἐλλεβόρου μέλανος φλοιοῦ ∠. α΄. ὑσσώπου, ἴρεως, ἀψινθίου χυλοῦ ἀνὰ ∠. δ΄. βδελλίου, κόμεως ἀνὰ ∠. α΄. εἰ δὲ μὴ παρείη χυλὸς τοῦ ἀψινθίου, βάλε τῆς κόμης τὸ ἴσον. καὶ ἀναλάμβανε μέλιτι. καὶ δίδου πρὸς δύναμιν. κενοῖ τὸν μελαγχολικὸν, καὶ τὸν φλεγματικὸν χυμόν.

Χολῆς καὶ φλέγματος, καὶ μελαγχολίας, καὶ τῶν λοιπῶν, κοινὸν καθαρτήριον ργ΄.

Λαθυρίδων. κολοκυνθίδος ἐντεριώνης. χαμαιλέας φύλλων ξηρῶν. σκαμμωνίας. ἐπιθύμου. πολυποδίου. ἀνίσου. ἀνὰ ∠. ι΄. ἑκάστου. θύμου κεχυμένου. πεπέρεως. μαστίχης. καρποβαλσάμου. κασίας. σελίνου σπέρματος. χαμαιπίτυος ξηρᾶς ἀνὰ ∠. ε΄. ἀψινθίου χυλοῦ, ἢ τῆς κόμης ∠. ε΄. μέλιτος τὸ ἀρκοῦν, ὡς ἐκλειγματῶδες γενέσθαι. δίδου κοχλιάριον α΄. ἢ πλέον πρὸς δύναμιν. χρῶ δὲ αὐτῷ μὴ ἁπλῶς ἐπὶ πάντων. ἀλλ᾽ ἐφ᾽ ὧν τεκμαίρῃ πλεονάζειν ὁμοτίμως ἐν τῷ σώματι πάντας τοὺς χυμούς. καὶ διὰ ῥοδομέλιτος.

Ἀλοηδάρια ἐκ τῶν Φιλαγρίου διὰ ῥοδομέλιτος μαλακτικά ρδ΄.

Ἀλόης Γο. ς΄. κόστου. ναρδοστάχυος. καρποβαλσάμου. σχοίνου ἄνθους. ἀνὰ Γο. α΄. κασίας Γο. α΄. ἀγαρικοῦ ∠. δ΄. κρόκου ∠. δS΄. κενταυρείου κόμης ⊣. δ΄. μέλιτος Γο. β΄. ῥόδων χυλοῦ Γο. δ΄. ἐπιθύμου Γο. α΄. ῥέου ⊣. η΄. ἀσάρου ⊣. δ΄. ξυλοβαλσάμου ⊣. ς΄. μαστίχης ⊣. η΄. ἀνάπλαττε ῥοδομέλιτι. καὶ δίδου πρὸς δύναμιν.

ἄλλο διὰ ῥοδομέλιτος.

Μαλακτικὸν κοιλίας ἀλυπότατον. χρῶ δὲ αὐτῷ ἐπὶ τῶν πονούντων τὰ ἄρθρα, καὶ μάλιστα τὰ τῶν ἰσχίων ἀλγήματα, καὶ τῆς ὀσφύος. ἔστι δὲ καὶ τοῦ ἥπατος ἐκφρακτικόν. ἰσίου ⊣. η΄. ἀγαρικοῦ ∠. δ΄. ἀλόης Γο. β΄. ναρδοστάχυος ⊣. η΄. σχοίνου ἄνθους ⊣. η΄. κρόκου ⊣. δ΄. κασίας γράμματα. ις΄. κόστου ⊣. η΄. καρποβαλσάμου γράμματα. η΄. ῥοδομέλιτος Γο. γ΄, καὶ ⊣. η΄. λειώσας ἀνάπλαττε καταπότια διὰ τοῦ ῥοδομέλιτος. καὶ δίδου. ε΄. μετὰ τὸ δεῖπνον, εἰ βούλει καθ᾽ ἑκάστην ἡμέραν. ἢ παρὰ μίαν. ἢ ὡς ἂν δοκιμάσῃς. ἀντιποιεῖται γὰρ καὶ τὸν στόμαχον, καὶ τὰ ἄρθρα. καθαίρει δὲ ἐξαιρέτως φλέγμα. συνήθως δὲ ἀριστᾶν, καὶ δειπνεῖν.

Χολῆς, καὶ φλέγματος ἀγωγὸν ρε΄.

Ἀψινθίου κόμης κεκομμένης, καὶ σεσησμένης. ἀλόης λειοτάτης ἀνὰ Γο. α΄. ἀναλάμβανε ὀπῷ τιθυμάλλου, μάλιστα τοῦ μυρσινίτου. καὶ ἀνάπλαττε κολλύρια φασήλου μέγεθος. καὶ δίδου τρία μόνα.

Ἀλοηδάριον ἐκ τῶν Φιλαγρίου ρς΄.

Ξανθῆς χολῆς καὶ φλέγματος κενωτικόν. κολοκυνθίδος ἐντεριώνης. ἀλόης. σκαμωνίας, ἀνὰ ∠. ε΄. ἀψινθίου χυλοῦ, ἢ τῆς κόμης ∠. ε΄. ἀνάπλασσε χυλῷ κράμβης. καὶ ποίει καταπότια ὀρεβίνθου μέγεθος. καὶ δίδου τοῖς τελείοις, κάπαρ εἰσὶ καλά.

ἄλλο.

Δια πείρας πολλῆς, καὶ αὐτό. κενοῖ δὲ τοὺς τρεῖς χυμούς. ἀλόης. ἐπιθύμου. σκαμωνίας, ἀνὰ ∠. β΄. κολοκυνθίδος. ἀγαρικοῦ ἀνὰ ∠. α΄. ἀναλάμβανε χυλῷ κράμβης, καὶ δίδου καταπότια. ιε΄.

Ἄλλα τὰ ἐν τύρῳ σκευαζόμενα.

Σκαμωνίας Γο. β΄. ἀλόης ∠. α΄. μαστίχης. βδελλίου. πεπέρεως. ἀψινθίου ἀνὰ ∠. α΄. χυλῷ τοῦ μέσου τοῦ κυτίνου, καὶ τοῦ λέπους, ἀναλάμβανε. καὶ ποίει καταπότια. καὶ δίδου. ζ΄. ἢ. θ΄. εἰ δὲ βούλει καλῶς καθᾶραι, ἐχέτωσαν τὰ διδόμενα καταπότια σταθμῷ ⊣. δ΄. S. καὶ πλεῖον.

Ἀλοηδάριον Ὀριβασίου ρζ΄.

Ἐπὶ τῶν ὀφθαλμιώντων μάλιστα. κενοῖ δὲ μᾶλλον χολὴν ξανθὴν, καὶ μέλαιναν. σκαμωνίας Γο. α΄. ἐλλεβόρου μέλανος φλοιοῦ Γο. α΄. ἁλῶν ἀμμωνιακῶν, ∠. α΄. πάνακος ῥίζης ∠. β΄. πεπέρεως. γλήχωνος ἀνὰ ∠. α΄. πλάσσε δι᾽ ὕδατος κυάμοις ἑλληνικοῖς ὅμοια. καὶ δίδου ζ΄, μέσην δόσιν. ἵνα ἔχωσι τὰ

ζ′ ∠ α′, καὶ ὀβολοὺς β′.

Ἄλλο Ὀριβασίου ρη′.

Ἀλόης Γο. β′. ναρδοστάχυος, ἀσάρου. μαστίχης. κρόκου. ξυλοβαλσάμου, ἀνὰ ∠. ς′. κασίας ∠. ιβ′. ἐπιθύμου ∠. ιβ′. πλάσσε ὀροβιαῖα μέγεθος, διὰ ἀφεψήματος γλίχωνος. καὶ δίδου κοχλιάρια κα′. τοῦτο τεταρταίους ἰᾶται. δύναται καὶ μέλιτι ἑφθῷ αὐτὰ ἀναπλάττειν.

Ἅλες καθαρτικοί ρθ′.

Ἅλος ἀμμωνιακοῦ, Γο. ς′. σιλφίου ∠. β′. σελίνου σπέρματος ∠. β′. ζιγγιβέρεως ∠. α′. πεπέρεως ∠. γ′. φύλλου. ναρδοστάχυος. σκαμμωνίας Γο. α′. γλίχωνος ∠. α′. ἡ δόσις κοχλιάριον, κενοῖ χολήν. Ἄλλο.

Ἅλος ἀμμωνιακοῦ Γο. ς′. ζιγγιβέρεως ∠. β′. πεπέρεως ∠. γ′. ναρδοστάχυος ∠. α′. γλίχωνος ⳨. δ′. S. σελίνου σπέρματος ∠. α′. φύλλου ⳨ α′. λαθυρίδων, Γο. α′. δίδου κοχλιάριον. κενοῖ φλέγμα. Ἄλλο.

Ἅλος ἀμμωνιακοῦ Γο. ς′. ζιγγιβέρεως ∠. δ′. πεπέρεως ∠. β′. ἀνίσου. σελίνου σπέρματος ἀνὰ ∠. β′. φύλλου ⳨. α′. ἐπιθύμου Γο. α′. δίδου κοχλιάριον. κενοῖ τὸν μελαγχολικὸν χυμόν.

Ἅλατα ὑπακτικά.

Κενοῦνται τὴν περικειμένην ἐν τῇ γαστρί, καὶ ἐντέροις φλέγμα. καὶ τοὺς λοιποὺς χυμοὺς καθαίρει μετρίως, καὶ χολήν. ἁρμοδιώτατον δέ ἐστιν ἀρθριτικοῖς. σκοτωματικοῖς. τούτῳ ἔτερός τις στομαχικευόμενος, καὶ καταπίπτων συνεχῶς ἐπιληπτικῶς ἐχρήσατο. καὶ σφόδρα ηὐχαρίστησεν. ἔστι δὲ ἄνοσον τοῖς συνήθως αὐτῷ χρωμένοις. πετροσελίνου Γο. γ′. μαστίχης ⳨. γ′. ζιγγιβέρεως ∠. γ′. πεπέρεως. εὐφορβίου, ἀνὰ ⳨. ς′. ἁλῶν ἀμμωνιακῶν, ∠. ιε′. σκαμμωνίας ∠. ς′. ἡ δόσις κοχλιαρίου τὸ ἥμισυ, ἐν τῷ ἀρίστῳ μετὰ κρεῶν, ἢ ὄρνιθος, ἢ ἰχθύος εἰς ἔμβαμμα. σταθμὸς δὲ ἔστω ⳨. δ′. S. εἰ δὲ δραστικώτερον βούλοιο καθαίρειν δίδου νηστικῷ ἕωθεν μετὰ χυλοῦ πτισάνης, ἢ μετὰ μελικράτου ⳨. ς′. τοῖς δὲ ἰσχυροτέροις, καὶ ζ′ δίδου. τοῖς δὲ ἀσθενεστέροις ⳨. γ′. ἢ δ′. S.

Ἄλλο.

Καθαρτικὸν καθαῖρον ἀκινδύνως. μὴ ἀνατρέπον στόμαχον, διδόμενον ἐν παντὶ καιρῷ, καὶ πάσῃ ἡλικίᾳ. καὶ παιδίοις ἐκκρίνει σκύβαλον. καὶ πᾶσαν ὕλην διεφθαρμένην ἀπὸ κεφαλῆς, ἕως ὀνύχων. ἀπαλλάσσει πιτυριάσεων, καὶ τῶν λοιπῶν περὶ τὴν κεφαλὴν γινομένων ἐξανθημάτων, ποιεῖ σκοτωματικοῖς. ὀφθαλμιῶσι. θεραπεύει πάντα τὰ περὶ τὴν ἐπιφάνειαν γιγνόμενα ἐξανθήματα. ἀπαλλάσσει τριταῖον. τεταρταῖον. ἀμφημερινὸν, ἐν τοῖς διαλείμμασι διδόμενον. πέψεως δηλονότι χρηστῆς ἐν τοῖς οὔροις προφανείσης. μᾶλλον δὲ τῶν ἄλλων, χολὴν κενοῖ. ἔχει δὲ οὕτως. ζιγγιβέρεως, πετροσελίνου, ἐπιθύμου, σιλφίου, ἄμεως, σελίνου σπέρματος, κυμίνου, λιβυστικοῦ, πεπέρεως, ἀνὰ ∠ δ′. σκαμμωνίας Γο. γ′. S. ἁλῶν ἀμμωνιακῶν πεφρυγμένων, Γο. ζ′. φρύξας τοὺς ἅλας, κόπτε μετὰ τῶν λοιπῶν. τὴν δὲ σκαμμωνίαν λεάνας, σήσας, ἕνωσον ἐν τῇ θήκῃ. καὶ δίδου ⳨. θ′. μετὰ χυλοῦ πτισάνης, ἢ μελικράτου ἀκρατεστέρου.

Ἄλλο παραπλήσιον ὀξύτερον πάνυ διὰ πείρας ἀδιάστροφον. μᾶλλον τὴν χολὴν κενοῦν.

Ἄμεως ⳨. ς′. σελίνου σπέρματος ⳨. γ′. πεπέρεως, πετροσελίνου, ἐπιθύμου. κυμίνου ἀνὰ ⳨. δ′. S. σκαμμωνίας Γο. α′. ἁλῶν κοινῶν, Γο. ε′. ἁλῶν ἀμμωνιακῶν Γο. δ′. ἡ δόσις κοχλιάριον. α′, μετὰ πτισάνης.

Ἄλλο διὰ πείρας πάνυ κάλλιστον.

Ἐπιθύμου ⳨. ιη′. θύμου κορύμβων ⳨. η′. ἁλὸς ἀμμωνιακοῦ ⳨. η′. πεπέρεως ⳨. β′. κυμίνου αἰθιοπικοῦ, ἀνίσου ⳨. β′. μαστίχης ⳨. ιβ′. κόψας, σήσας, φύλαττε. ἐπὶ δὲ τῆς χρείας λαβὼν σκαμμωνίας ⳨. β′. καὶ λεάνας μετὰ μέλιτος ὀλίγου, ἐπίβαλλε τοῦ ξηρίου ⳨. β′. μόνα. καὶ ἑνώσας δίδου μετὰ πτισάνης χυλοῦ, ἢ μελικράτου.

Καθαρτικὸν φλέγματος ἀγωγὸν τοῦ Διογένους ρι′.

Εὐφορβίου. πεπέρεως. ἁλὸς ἀμμωνιακοῦ, ἀνὰ Γο. α′. λειώσας ποίει ξηρίον. καὶ δίδου ἐν ᾠῷ ῥοφητῷ κοχλιαρίου τὸ ἥμισυ. τοῦτο καθαίρει φλέγμα μόνον. ἡ δόσις ἡ τελεία ⳨. δ′. S.

Ἄλλο ξανθὴν χολὴν καθαῖρον.

Σκαμμωνίας Γο. α′. κόστου, ναρδοστάχυος ἀνὰ ⳨. δ′. S. ἐρυθροδάνου εἴξης λειοτάτης ⳨. β′. ἡ τελεία δόσις ⳨. γ′. ἡ μέση. β′. ἡ ἐλαχίστη. α′.

Ἄλλο κενοῦν καὶ μελαγχολικὸν χυμόν.

Σκαμμωνίας εἰς μῆλον ὀπτηθείσης ∠. ε′. κόστου. ναρδοστάχυος. ἀνὰ ⳨ δ′. S. καρυοφύλλου ⳨. α′. S. ἐρυθροδάνου εἴξης ⳨. β′. ἐπιθύμου ⳨. β′. ἡ τελεία δόσις ⳨. ς′. ἡ μέση δ′. S. ἡ ἐλαχίστη. γ′.

Ὑδραγωγὸν καθαρτικὸν Ὀριβασίου ἄγον φλέγμα καὶ ὕδωρ. ρια.

Πεπέρεως, πηγάνου σπέρματος, ῥινήσματος ἐλεφαντίνου, εὐφορβίου ἴσα. ἡ δόσις ⳨. γ′. μετὰ μελικράτου, ἢ κονδίτου. ποιεῖ καὶ κωλικοῖς, καὶ ὑδερικοῖς.

Ὑδραγωγόν.

Πετροσελίνου. ἀνίσου. θύμου κορύμβων ἀνὰ ∠. γ′. χαμελαίας φύλλων ξηρῶν ∠. ι′. μέλιτος τὸ ἀρκοῦν ὡς ἐλιγματῶδες γενέσθαι. δίδου τὴν τελείαν δόσιν κοχλιάρια. δ′. S. εἰ δὲ ἐπιτεῖναι βούλει πρόσμιγε τοῖς προειρημένοις λεπίδος χαλκοῦ ∠. ς′. καὶ δίδου τὴν τελείαν δόσιν, κοχλιάριον. γ′.

Περὶ τῶν ἱερῶν. ἱερὰ Λογαδίου, ριβ′.

Κ κολοκυνθίδος ἐντεριώνης, γο. β΄ S. σκίλλης ὀπτῆς. ἀγαρικοῦ. ἀμμωνιακοῦ θυμιάματος. θύμου. σκαμμωνίας, ἀνὰ ∠ κ΄. ἐλλεβόρου μέλανος φλοιοῦ. ὑπερικοῦ ἀνὰ ∠ ι΄. ἐπιθύμου. βδελλίου. πολυποδίου ξηροῦ. ἀλόης. χαμαίδρυος. πρασίου. κασσίας. ἀνὰ γο. α΄. σμύρνης τρωγλίτιδος. πεπέρεως λευκοῦ. πεπέρεως μακροῦ. πεπέρεως μέλανος. κινναμώμου. κρόκου. ὀποπάνακος. σαγαπηνοῦ. καστορίου. πετροσελίνου. ἀριστολοχίας μακρᾶς, ἀνὰ ∠ δ΄. μέλιτι ἀναλάμβανε. ἡ δόσις ∠ δ΄. ἡ τελεία. ἡ δὲ μέση ∠ γ΄. ἡ δὲ πάνυ ἐλαχίστη, ∠ β΄. ἐπίβαλλε τῇ δόσει ἁλῶν λειοτάτων κοχλιαρίου τὸ ἥμισυ.

Καθαρτικὸν ἄλυπον ποιοῦν ἰσχιαδικοῖς, καὶ πρὸς τοὺς περιοδικῶς ὀχλουμένους χρονίως.

Κ κολοκυνθίδος ἐντεριώνης γο. α΄. νίτρου γο. β΄. λειώσας καλῶς, δίδου τοῖς εὐτονοῦσιν ∠ α΄. μεθ' ὑδρομέλιτος κράσεως μεγάλης νήστεσι. τοῖς δὲ ἀσθενοῦσι, κεράτια θ΄. χρῶ θαρρῶν.

10 Ἄλλο δόκιμον πρὸς ἀρχὰς μανίας. μελαγχολικοῖς. παραλυτικοῖς. ἰσχιαδικοῖς. σκοτωματικοῖς. ἐπιληπτικοῖς ἀλωπεκίαις. κεφαλαλγίαις.

Ε Ἐλλεβόρου μέλανος. σκαμμωνίας ἀνὰ ∠ η΄. ἁλῶν ἀμμωνιακῶν ∠ δ΄. κόμεως ∠ α΄. ἀνάπλασσε καταπότια ἐρεβίνθου μέγεθος, χυλῷ κράμβης. καὶ δίδου τοῖς τελείοις σταθμῷ ℈ ε΄. ἡ μέση δόσις ℈ δ΄. ἡ ἐλαχίστη ℈ γ΄. τοῖς πάνυ ἀσθενοῦσιν. ἔστιν ἡ γραφὴ Ὀρειβασίου κεφάλαιον οζ΄. λείπει δὲ τούτῳ τρία εἴδη.

Καθαρτικὸν τοῦ πρὸς ὁμιλίτου.

Ε Ἐπιθύμου γο. γ΄. ἰσίου γο. α΄. ἀγαρικοῦ ∠ δ΄. εὐφορβίου ∠ ς΄. ναρδοστάχυος. φύλλου. κόστου. πεπέρεως ἀνὰ ∠ λ΄. καρυοφύλλου ℈ ς΄. ἡ δόσις ℈ ς΄. μετὰ μελικράτου. εἰ δὲ ξανθὴν χολὴν εὕροις σὺν τοῖς ἄλλοις δυσὶ χυμοῖς ὑποκειμένην, πρόσθες τῇ δόσει ἐπὶ τῆς χρείας καὶ ἄλλην σκαμμωνίαν, ὅσην δ' ἂν συνορᾷς πρὸς δύναμιν. ἔχει ἡ δόσις ἰσίου κεράτια ε΄. ἐπιθύμου ℈ α΄ S. ἀγαρικοῦ κεράτια β΄ S. εὐ-
20 φορβίου κεράτια γ΄.

Ἱερὰ Γαληνοῦ. ριγ΄.

Κ κολοκυνθίδος ἐντεριώνης, γο. β΄ S. χαμαίδρυος. ἀγαρικοῦ. σκίλλης ὀπτῆς. ἀμμωνιακοῦ θυμιάματος. σκαμμωνίας. ἐλλεβόρου μέλανος φλοιοῦ. στοιχάδος. ὑπερικοῦ ἀνὰ γο. β΄. ἐπιθύμου. εὐφορβίου ∠ η΄. πολυποδίου ξηροῦ. βδελλίου. ἀλόης. πρασίου. κασσίας. ἀνὰ γο. β΄. σμύρνης τρωγλίτιδος. σαγαπηνοῦ. κρόκου. ἀριστολοχίας μακρᾶς. πεπέρεως λευκοῦ. πεπέρεως μακροῦ. πεπέρεως κοινοῦ. κινναμώμου. ὀποπάνακος. καστορίου. πετροσελίνου ἀνὰ ∠ δ΄. μέλιτος τὸ ἀρκοῦν. δίδου τὴν τελείαν δόσιν ∠ δ΄. τὴν μέσην ∠ γ΄. τὴν ἐλαχίστην ∠ β΄. μετὰ μελικράτου, καὶ ἁλῶν λειοτάτων κοχλιαρίου τὸ ἥμισυ. μέγιστον δὲ ἀγαθόν ἐστιν αὐτῆς, ὅτι καθαίρει ἐκ τοῦ βάθους καθ' ὑπερβολὴν ποικίλους χυμούς. οὔτε ἔκλυσιν, οὔτε θλίψιν, οὔτε ἀτονίαν, οὔτε ἀνορεξίαν, οὔτε ἄλλην ἀπορίαν τῷ πάσχοντι παρέχουσαν. ἀλλὰ μᾶλλον εὔπνους, καὶ εὐθύμους, καὶ εὐτόνους ἐργάζεται, ὡς θαυμάζειν τὴν ὑπερβολήν. ἰᾶται
30 γοῦν ἡμικρανικὰς διαθέσεις, σκοτωματικάς, ἐπιληψίας, μανίας, μελαγχολίας, ληθάργους, καὶ τὰ ὅμοια. ἀμβλυωπίας. δυσηκοΐας. φωνῆς ἀποκοπάς. ἀσθματικούς. στομαχικούς. διαθέσεις χρονίας. σπληνικούς. νεφριτικούς. κωλικούς. ἰσχιαδικούς. ἀρθριτικούς. ποδαγρικούς. ἔμμηνια ἄγει. ἁρμόζει τρομώδεσι, καὶ παρέτοις. λιχῆνας ἀγρίας, καὶ πάντα τὰ περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος γινόμενα ἐξανθήματα. καὶ ἐλεφαντιῶντας. καὶ τοὺς χρονίους τῶν περιοδιζόντων πυρετῶν θεραπεύει, καὶ πάντα τὰ κακοήθη τῶν ἑλκῶν.

Ἱερὰ Ἀρχιγένους ἐκ τῆς πρὸς Μάρσον ἐπιστολῆς περὶ μελαγχολίας, ριδ΄.

Κ κολοκυνθίδος ἐντεριώνης, γο. β΄ S. χαμαίδρυος. ἀγαρικοῦ. πρασίου. στοιχάδος, ἀνὰ ∠ ι΄. ὀποπάνακος γο. α΄. σαγαπηνοῦ, γο. α΄. πετροσελίνου. ἀριστολοχίας στρογγύλης. πεπέρεως λευκοῦ, ἀνὰ ∠ ε΄. κινναμώμου. ναρδοστάχυος. σμύρνης τρωγλίτιδος. πολίου. κρόκου. γλήχωνος. ἀνὰ ∠ δ΄. ἀναλάμβανε μέλιτι
40 ἀπηφρισμένῳ, ὡς ἔχειν εὔπου πάχος. καὶ ἀπόθου ἐν ὑελείῳ ἀγγείῳ. ἡ τελεία δόσις ∠ δ΄. ἐν ἄλλῳ ℈ γ΄. μετὰ μελικράτου ἁλῶν προσεμβαλλομένων. ὅσον κοχλιάριον μικρόν. κακοσίτως γάρ πως διακειμένου τοῦ κάμνοντος, δραστικὴν ἐμποιεῖ τὴν παρασκευήν, οὐ μόνον τῷ πλήθει τῶν διὰ τῆς κοιλίας ὑπεξαγομένων, ἀλλὰ καὶ τῇ ἰδιότητι τῆς διαθέσεως αὐτῆς, ἰδίαν χολὴν μέλαιναν ἐλαττοῦσα. πλευρίτιδι γοῦν πρῶτον ἐσκευάσθη. καὶ τοῖς φυσώδεσι τῶν παθῶν ἐστι καταλληλότατον. καὶ εὐπνοίας ποιητικώτατον. καὶ τοῖς παραποδισμοῖς τῶν τροφῶν ἀντιπαθέστατον. καὶ χρώματος σμηκτικώτατον. τὸ μὲν αἷμα καθυλίζον. τὸ δὲ φαύλως ἀνακαιόμενον πνεῦμα διαυγέστερον ἐξάπτον. ἀλλ' οὐκ ἐγκώμιον πρόκειται ὑπεξελθεῖν τῆς μὴ μάτην κληθείσης ἱερᾶς. μακρὸν γὰρ ἂν εἴη. τῶν δὲ μελαγχολικῶν διαθέσεων, οὐδὲν ἂν εὕροιμεν συγκρίνειν ἀληθινώτερον φάρμακον. καὶ πολλοὺς οἶδα διὰ τῆς συνεχοῦς χρήσεως μηδενὸς ἄλλου δεηθέντας, κἂν εἰ μηδεμίαν χολὴν ὅλως ἀποκρίνοιεν. οὐ γὰρ οἱ
50 ἀποκρίνοντες τὴν μέλαιναν μόνοι, μελαγχολικοὶ καλοῦνται, ἀλλὰ οἱ ἔχοντες ἤδη ἐν τοῖς στερεοῖς τὴν κατασκευήν. καὶ τὰς τῶν μηνίγγων δὲ καχεξίας εὖ μάλα ἐκτρίβει. ὅθεν ἐπιληψίας, καὶ τὰς ἐντεῦθεν μανίας θαυμαστῶς ἀποσκευαζόμενον φαίνεται. εὗρον δὲ ἐγὼ τὴν γραφὴν ταύτην ἐν δυναμερῷ ἀπὸ ῥώμης μοι κομισθέντι σφόδρα ἐπαινουμένην ἐπὶ μαινομένων. μελαγχολικῶν. ἰσχιαδικῶν. παραλυτικῶν. σκοτωματικῶν. ἐπιληπτικῶν. κεφαλαλγικῶν. ἀλωπεκιῶν. οὐκ εἶχε δὲ πίνακα, οὐ

δὲ πέπερι. οὐδὲ γλίχωνα.

Ἱερὰ Ῥούφου πρὸς μελαγχολίας, ριε'.

Κολοκυνθίδος ἐντεριώνης, Γο. β'. S. χαμαιπίτυος ∠. ι'. χαμαίδρυος ∠. ι'. κασίας ∠. ε'. ἀγαρικοῦ, πεπέρεως πρασίου ἀνὰ ∠. ι'. ὀποπάνακος Γο. α'. σαγαπηνοῦ, πετροσελίνου, ἀριστολοχίας στρογγύλης. πεπέρεως λευκοῦ ἀνὰ ∠. ε'. κινναμώμου, ναρδοστάχυος, κρόκου, σμύρνης, τρωγλίτιδος. πολίου, ἀνὰ ∠. δ'. ἀναλάμβανε μέλιτι. καὶ δίδου δραχμὰς δ', τὴν τελείαν δόσιν. μετὰ μελικράτου, καὶ ἁλῶν. ἔχει τι πρὸς τὴν γνώμην συμφέρον, τῷ ἄγειν ἀπὸ κεφαλῆς τὰ πλεῖστα. ὅθεν ἰλίγγοις, καὶ καρηβαρίαις, καὶ γλαυκώμασι προμελετωμένοις, ἐπιληπτικοῖς, παραλυτικοῖς πάθεσι. τοῦτο τὸ φάρμακον, ἰδίως προσάγειν εἴωθα, εἰ δέοι μνήμην ἀνακαλέσασθαι. τῷ δὲ μελαγχολικῷ οὐ σμικρὰ καὶ ἡ τυχοῦσα ὠφέλεια ἐξ αὐτοῦ γίγνεται. διὸ πολλάκις καθαρτέον αὐτῷ. τὰ μὲν γὰρ ἄλλα φάρμακα, ἄλλα ἄλλως σκευάζονται, καὶ πρὸς ἕτερά τινα νοσήματα ἐπιτηδειότερα. εἰ δέ τις χρῆσθαι βούλοιτο πρὸς τὰ μελαγχολικά, ἔστι χρήσιμον τοῦτο. χρήσθω δὲ καὶ ἑκάστης ἡμέρας ὅσον κυάμου πλῆθος τῆς ἀντιδότου, οὐ καθάρσεως χάριν. μεγάλα γὰρ ὀνίνησιν εἰς τὰς πέψεις. καὶ τὸ ἄφυσον ἔχει. δοκεῖ δέ μοι, ἐπὶ ταῖς γυναικείαις καθάρσεσι συμφέρειν πίνειν μαλάχης σπέρμα ∠. β'.

Ἱερὰ Ἰούστου ποιοῦσα πρὸς ὅσα καὶ αἱ προειρημέναι, ρις'.

Ἐπιθύμου Γο. δ'. S. πρασίου. στοιχάδος. χαμαίδρυος. ἐλλεβόρου μέλανος φλοιοῦ. σκαμμωνίας. ἀγαρικοῦ. πεπέρεως λευκοῦ. πεπέρεως κοινοῦ. πεπέρεως μακροῦ. σκύλλης ὀπτῆς, ἀνὰ Γο. β'. κολοκυνθίδος ἐντεριώνης. εὐφορβίου. ἀλόης. κρόκου. γεντιανῆς. πετροσελίνου σπέρματος. ἀμμωνιακοῦ θυμιάματος. σαγαπηνοῦ ἀνὰ Γο. α'. ὀποπάνακος. πολίου. κινναμώμου. κασίας. σμύρνης τρωγλίτιδος. ναρδοστάχυος. σχίνου ἄνθους. γλίχωνος ἀνὰ ∠. δ'. ἀριστολοχίας μακρᾶς, καὶ στρογγύλης ἀνὰ ∠. β'. μέλιτος ἀπηφρισμένου τὸ ἱκανόν. ἡ τελεία δόσις, ∠. δ'. S. μετὰ μελικράτου, καὶ ἁλῶν λειοτάτων, ὅσον κοχλιάριον μικρόν.

Ἱερὰ Ἀντιόχου, ριζ'.

Χαμαίδρυος. ἀγαρικοῦ. κολοκυνθίδος ἐντεριώνης. στοιχάδος ἀνὰ ∠. ι'. ὀποπάνακος. σαγαπηνοῦ. πετροσελίνου. ἀριστολοχίας. πεπέρεως λευκοῦ ἀνὰ ∠. ε'. κινναμώμου. ναρδοστάχυος. σμύρνης τρωγλίτιδος. κρόκου φύλλων ἀνὰ ∠. δ'. μέλιτος τὸ ἀρκοῦν, ποιεῖ πρὸς μελαγχολίας. μανίας. ἐπιληψίας. καὶ πᾶσι τοῖς τρυγῶδες αἷμα περιέχουσιν.

Ὅπως χρὴ ἐπιβοηθεῖν τοῖς πιοῦσι φάρμακον, καὶ μὴ καθαιρομένοις, ριη'.

Εἰ δέ τις πιὼν φάρμακον μὴ καθαίροιτο, μελίκρατον ἀκρατέστερον δίδου καταρροφεῖν συνεχῶς. καὶ νίτρου βραχυτάτου τετηκότος ἐν ὕδατι. κάλλιστον δὲ πλειστάκις πειράσας ἔγνων, μαστίχης λειοτάτης διδόναι ὅσον ⊢. ιβ'. μεθ' ὕδατος χλιαρωτέρου. βέλτιστον δὲ καὶ βαλανεῖον προστίθεσθαι τῷ δακτυλίῳ δι' ἁλῶν, καὶ νίτρου, καὶ μέλιτος. καὶ μῆλον δὲ ἐνίοτε διαμασηθὲν, ἤνυσε τὸ δέον. τονωθὲν γὰρ τὸ στόμα τῆς γαστρὸς ἐκθλίβει κάτω τὰ περιττώματα.

Κατὰ πόσας αἰτίας οὐκ ἐκκρίνει ἡ γαστὴρ καθαρτηρίου δοθέντος.

Κατὰ ε' αἰτίας. ἢ διὰ τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος φύσεως. ἢ διὰ βραχύτητα τοῦ δοθέντος φαρμάκου. ἢ διὰ κόπρον ἐσφηνωμένην σκληρὰν κατά τινα τῶν ἐντέρων. ἢ δι' οὔρων τὴν ὁρμὴν τῆς φύσεως πεποιημένης. ἢ δι' ἀποτυχίαν καθαίροντα πρὸς τὸ βλάπτειν μηδὲν τὸ σῶμα τροφὴ γίνεται τοῦ ζώου. τὸ δὲ εἰς φάρμακον δηλητήριον ἐκτρέπεται. Ἱπποκράτης δὲ περὶ ὑπερκαθάρσεως οὕτω λέγει. ὅταν ὑπερκάθαρσις καταλάβῃ τὸν ἄνθρωπον, εὐθὺς ἐς βαλανεῖον ἐμβιβάσας αὐτὸν, οἰνοῦντες ἐπιπίνειν οἰκεῖον καὶ πρὸ τοῦ βαλανείου, καὶ μετὰ τὸ βαλανεῖον κιρρὸν τὸ χρῶμα καὶ λευκὸν τῇ συστάσει. καὶ ἡ ἐμὴ πεῖρα τὸ αὐτὸ εὗρε δοκιμώτερον πάντων, ὥστε μὴ καταφρονήσῃς.

Ἐπιμέλεια τῶν ὑπερκαθαιρομένων Ὀρειβασίου, ριη'.

Ἐπὶ τῶν ὑπερκαθαιρομένων, συστέλλειν χρὴ τὸ ποτὸν, καὶ ὕπνους ἐπιτρέπειν. διδόναι δὲ οἶνον αὐστηρὸν κατὰ βραχὺ μετὰ κρηναίου ὕδατος. καλὸν δὲ καὶ τὸ ἄλευρον τοῦ ἀλφίτου φώξαντας, ἐπιπάσσειν τῷ ποτῷ. ἢ κωδύαν μήκωνος λείαν, καὶ κηκίδος βραχύ. ποιεῖ δὲ καλῶς καὶ φακῆς λελεπισμένης ἄλευρον σὺν ὄξει, καὶ τεύτλῳ μέλανι ἑψηθείσης. προσλαβούσης καὶ ῥοῦν, ἢ κωδύας βραχύ. καὶ ἄπιοι ξηροὶ ἐκπιεζόμενοι ποιοῦσι, καὶ κυδώνια. εἰ δὲ ἐπιμένει ἡ φορὰ, χρηστέον τοῖς δραστικωτέροις, πρὸς κοιλιακοὺς ἀναγεγραμμένοις. ἐπὶ δὲ τῶν δυσκόλως ἐμούντων ὕδωρ χλιαρὸν δίδου πίνειν πολὺ, καὶ κέλευε ἐμεῖν. δακτύλου ἢ πτεροῦ καθέσει. καὶ τοῦτο ποίει δὶς, καὶ τρὶς ἐφεξῆς. ἔπειτα μήλινον ἔλαιον, καὶ οἶνον θερμαίνας, καὶ ῥάκει λινῷ τοῦτο βάπτων, πρόσαγε τῇ γαστρί. καὶ διαστήσας βραχὺ τῆς θηριακῆς ἀντιδότου, ὅσον κυάθου μέγεθος, λύσας μετ' οἴνου, δίδου πίνειν.

Περὶ ἐμέτων τοῦ Ῥούφου, ριθ'.

Ἐπειδὴ ἐν τοῖς συντόνοις ἐμέτοις πολλάκις ἄτοπά τινα παρακολουθεῖν εἴωθεν, καλῶς ἔχει τρόπους εἰπεῖν πρότερον, ὅπως ἔνεστιν εὐπετῶς ἐμεῖν. καὶ γὰρ φλέγμα κινεῖ ὁ ἔμετος. καὶ κουφίζει κεφαλήν. καὶ τὸν προθυμότερον φαγόντα. ἢ οἴνου πλείονος λαβόντα, βλαβῆναι κωλύει. βοηθεῖ δὲ ἡ δι'

ἐμέτων κάθαρσις, καὶ ταῖς ὑπεράγαν ἐξογκώσεσι τοῦ σώματος. ἀρήγει καὶ τοῖς ὑπερβαλλόντως καταπυκνωμένοις τὰς δὲ ῥευματικὰς διαθέσεις πάσας, ὠφελεῖ ὁ ἔμετος ἐξιᾶται. οἷον ἑλκώσειν νεφρῶν καὶ κύστεως. καὶ δακτυλίου. καὶ τῶν ἄλλων μορίων. ἐλεφαντιῶντας. καὶ καρκίνους. καὶ τὰς καχεξίας τοῦ σώματος. καὶ τὰς ἀρθριτικὰς διαθέσεις. τοῖς τε ὑδρωπικοῖς καταλλήλως. καὶ μάλιστα τοῖς ἀνὰ σάρκα ἔχουσι τὸν ὕδερον.

Ἰκτερικοῖς τε καὶ ἐπιληπτικοῖς. τοῖς ἀπὸ στομάχου τὴν ἀρχὴν τῆς διαθέσεως λαβοῦσι. τοῖς γὰρ ἐν τῇ κεφαλῇ τὴν διάθεσιν ἔχουσιν ἐπιληπτικοῖς, ἀκατάλληλος ὁ ἔμετος. βοηθεῖ δὲ καὶ τρόμοις. παρέσεσιν. ἀποπληξίαις. ὀρθοπνοίαις. μελαγχολίαις. λιχηνώδεσιν. ἐναντιοῦνται δὲ ἔμετοι, αἵματος ἀναγωγῇ. πνίξεσιν ὑστερικαῖς. ναυτιώδεσι φύσεσι. λειποθυμίαις. τοῖς ὑπὸ πνιγμοῦ συνεχῶς ὀχλουμένοις. καὶ τοῖς ἀπὸ τῆς τυχούσης προφάσεως ὀδυνωμένοις τὴν κεφαλήν. καὶ τοῖς ὑποψίαν ὑποχύσεως ἔχουσι. καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τοὺς ὀφθαλμοὺς πάθεσιν. ἔστω δὲ τὰ προσαγόμενα ἐμετικά, μὴ στρυφνὰ καὶ ξηρά. ἀλλὰ τὰ μέν, γλυκύτερα. τὰ δέ, δριμύτερα. δοκεῖ δὲ ἐν τούτοις ῥαφανὶς εὐδοκιμεῖν, καὶ εὔζωμον. καὶ τάριχος παλαιός. καὶ ὀρίγανος χλωρά. καὶ κρόμμυον ὀλίγον. καὶ πράσον. συνεργεῖ δὲ τοῖς ἐμέτοις καὶ πτισάνη. μέλιτός τι προσλαβοῦσα, καὶ τὰ λιπαρὰ τῶν κρεῶν. ἀλλ' ὅμως οὐ χρὴ ἀφεψήσαντα τὰ εἰρημένα ἢ τὰ τοιαῦτα, τοὺς χυλοὺς αὐτῶν μόνους λαμβάνειν. ἀλλ' ὅλους τοὺς ὄγκους καταπίνειν. μὴ δὲ μὴν περὶ τὴν μάσησιν ἐπιπολὺ ἐνδιατρίβειν χρὴ τὸν ἐμεῖν μέλλοντα. τῇ μέντοι ἑψήσει, μαλακὰ πάντα ἔστω. δῆλον δέ που καὶ τῶν οἴνων τοὺς γλυκυτέρους αἱρετέον. οὗτοι γὰρ ἐπιπλαστικώτεροι καὶ χλιαρῷ χρῆσθαι τούτῳ. χρὴ δὲ καὶ ἀμύγδαλα εἰς μέλι βάπτοντας ἐσθίειν. καὶ παλακοῦντος γεύεσθαι τηνικαῦτα. καὶ σικύου τὸ σπέρμα βρέχοντας, μέλιτι προσφέρεσθαι. καὶ ἡ ῥίζα δὲ τοῦ ἡμέρου σικύου καὶ πέπονος ῥίζα λεία μετὰ μέλιτος, κινεῖ ἔμετον. καὶ κελτικῆς ῥίζα λειωθεῖσα ὅσον ∠ ζ. ἐν μελικράτῳ καὶ ποθεῖσα, καθαίρουσιν ἄνω ἰσχυρῶς. ὥστε ἐνίοτε καὶ ὑπερκάθαρσιν ἐπακολουθεῖν. οἱ δὲ ἰσχυροτέροις βουλόμενοι χρῆσθαι, ναρκίσσου βολβὸν ἑψήσαντες ἐν ὕδατι, τῷ μὲν ἀφεψήματι κεραννύουσι τὸν οἶνον. αὐτὸν δὲ τὸν βολβὸν ἐσθίουσιν ἑψηθέντα μετ' ἐλαίου καὶ ἁλῶν βραχυτάτων. πρέπει δὲ εἰς ἔμετον, καὶ μύρον ἴρινον. καὶ πολλῷ μᾶλλον τὸ κύπρινον. εἴ τις διαχρίσας τοὺς δακτύλους ἐρεθίζοι. ἔμετον δὲ ἀλύπως κινεῖ καὶ ὑσσώπου ἀφέψημα. καὶ θύμου. καὶ κνίκου σπέρμα λειωθὲν σὺν σησάμῳ, μετὰ μελικράτου πλείστου πινόμενον. καὶ καρδάμου σπέρμα. ὁμοίως ἔλαιον σησάμινον. ῥαφάνινον. ναρκίσσινον. δαφνοειδοῦς φύλλα χλωρὰ τρία ἐσθιόμενα. κάλλιστον δὲ καὶ τοῦ ῥαφάνου ἀφέψημα καὶ ἰσχάδων ἀπόβρεγμα. ἐν ταὐτῷ μίξας καὶ χλιάνας, δίδου πίνειν. τὰ μὲν οὖν πλεῖστα καὶ περιεργότερα τῶν ἐμετικῶν, παραιτητέον. δοτέον δὲ τὰς ῥαφανίδας νήστις προσισιτηκόσι. καὶ προεμέτασιν ἀπὸ δείπνου. ἔστωσαν δὲ αἱ ῥαφανίδες δριμεῖαι σφόδρα. καὶ κατατετμήσθωσαν εἰς λεπτὰ πέταλα. ἀποβρεχέσθω δὲ τὰ τμήματα ἀφεσπέρας ἐν ὄξει καὶ μέλιτι. ἐσθιέσθω δὲ πλεῖθος. καὶ ἐπιρροφείτω συνεχῶς τοῦ ὀξυμέλιτος. εἶτα βαδίσας ἠρέμα ὅσον ὥρας β. καὶ ὕδωρ χλιαρὸν πιὼν πλεῖστον, ἐμείτω δακτύλου ἢ πτεροῦ καθέσει.

Σκευασία ῥαφανίδων δι' ἐλλεβόρου λευκοῦ. ρκ.

Σκευάζονται δὲ καὶ ἄλλον τρόπον αἱ ῥαφανίδες ἐπὶ τῶν χρονίων παθῶν. καὶ μοχλείας ἰσχυροτέρας δεομένων. ἐλλεβόρου γὰρ τοῦ λευκοῦ καὶ καλλίστου τῶν καρφίων ∠ ς. εἰς ῥαφανίδας καταπείρονται. προδιακεντουμένων καλάμῳ τῶν ῥαφανίδων. ἔπειτα εἰς τὰ κεντήματα καθιεμένων τῶν τοῦ ἐλλεβόρου καρφίων. μείναντα δὲ ταῦτα ὅλην νύκτα ἐν ταῖς ῥαφανίσι τῇ ἐπιούσῃ ἡμέρᾳ ἐπαίρονται. ἐγκαταλιπόντα τὴν δύναμιν αὐτῶν ταῖς ῥαφανίσιν. εἶτα τὰς ῥαφανίδας χρὴ διατέμνειν καὶ ἀποβρέχειν τῷ ὀξυμέλιτι. καὶ διδόναι ὁμοίως ἐσθίειν. δεῖ δὲ κατανοεῖν ἀκριβῶς μή τι τοῦ φλοιοῦ τοῦ ἐλλεβόρου, ἐναπομείνῃ ταῖς ῥαφανίσι.

Τίσι δοτέον τὸν ἐλλέβορον. καὶ τίσι μὴ δοτέον. ἐκ τῶν Ἀντύλλου καὶ Ποσειδωνίου. ρκα.

Αὐτὸν δὲ τὸν ἐλλέβορον δοτέον τοῖς χρονίως καὶ ἰσχυρῶς νοσοῦσι. καὶ τὴν ἐκ τῶν ἄλλων βοηθημάτων ἀφῃρημένοις ἐλπίδα. δοτέον αὐτὸ ὑδρωπικοῖς ἐλεφαντιῶσι. καχέκταις. παραλελυμένοις χρονίοις ἐπιληπτικοῖς καὶ μελαγχολικοῖς. ἀρθριτικοῖς τε καὶ ποδαγρικοῖς. τὸ δὲ ἐξαριθμεῖν ἐφ' ὧν παθῶν εὐδόκιμος ἐστὶν ὁ ἐλλέβορος, οὐ ῥᾴδιον διὰ τὸ πλεῖθος. ἄμεινον λέγειν τινὰ νοσήματα πρὸς ἐλλεβόρου βλάπτονται. ἀνεπιτήδειος μὲν οὖν ἐλλέβορος, αἵματος ἀναγωγῇ. ὀρθοπνοίᾳ πνιγώδει, ἐπί τε μελετωμένοις ὑποχύσεως. ἐπί τε τῶν περὶ κεφαλὴν παθῶν. ὅσα ἐκ διαλειμμάτων βιαίως ἐπάγει τὰς ὀδύνας μετ' ἐρεύθους τοῦ προσώπου. καὶ τῆς τῶν ἀγγείων διατάσεως. ἐπί τε τῶν ὑστερικῶς πνιγομένων, καὶ τῶν συνεχῶς λειποθυμούντων.

Τί δύναται ἐλλέβορος ποιεῖν. ρκβ.

Δύναται ὁ ἐλλέβορος μεταποιῆσαι τὰ σώματα. καὶ μεθαρμόσαι τὴν κρᾶσιν αὐτῶν νεαρωτέραν καὶ ἰσχυροτέραν κατασκευάζων.

Ὅτι πολλοὶ λαβόντες ἐλλέβορον, οὐδὲν μὲν ἤμεσαν. ὠφελήθησαν δὲ τῷ καθαρθῆναι οὐδὲν ἧττον. ρκγ.

Γ ἄλλοι δὲ λαβόντες τὸν ἐλλέβορον. καὶ πέψαντες αὐτόν, ἐκαθάρθησαν μέν, οὐδὲν ὅλως. ὠφελήθησαν

δὲ οὐδὲν ἧττον τῶν καθαρθέντων.

Τίνες μᾶλλον ἐπιτήδειοι πρὸς ἐλλέβορον. ρκδ.

Ἄνδρες πρὸς ἐλλέβορον ἐπιτηδειότεροι τῶν γυναικῶν. καὶ τούτων αὐτῶν, οἱ ἰσχυρότεροι τὴν ἕξιν. οἱ δὲ γυναικώδεις καὶ οἱ τὴν ἕξιν καταπίμελοι σφόδρα. ἢ κατίσχνοι. ἢ τὸν θώρακα ἄσαρκοι. καὶ οἱ μὲν μακραύχενες ἀνεπιτήδειοι τῶν ἄλλων. καὶ παῖδες. καὶ οἱ γεγηρακότες ἀνεπιτήδειοι. καὶ οἱ ψυχροὶ τὴν κρᾶσιν σφόδρα. καὶ οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα. καὶ πολὺ αἷμα κεκτημένοι ἄθετοι. καὶ οἱ δυσεμεῖς. καὶ οἱ δειλοὶ τὸ ἦθος τῆς ψυχῆς.

Καιροὶ καθολικοὶ καὶ μερικοὶ ἐπιτήδειοι εἰς ἐλλεβορισμόν. ρκε.

Ὥρα δὲ ἡ ἐαρινὴ, ἐπιτηδειοτάτη. δεύτερον δὲ τὸ φθινόπωρον. θέρους δὲ ἀκατάλληλον. δῆλον δὲ ὅτι οὐδὲ χειμών. μὴ μεγάλης πάνυ ἀνάγκης καλούσης. καὶ τότε χειμῶνος μὲν, οἱ σφόδρα θερμοὶ τὴν κρᾶσιν. θέρους δὲ οἱ πρεσβύται. κατάστασις ἡ ἐπιτήδειος, αἰθέριος καὶ θερμὴ καὶ εὐήλιος. ἐπὶ δὲ νοσημάτων ἐφ᾽ ὧν μὲν διαλείμματά ἐστι, ἐν τοῖς διαλείμμασι δοτέον. ἐπὶ δὲ τῶν ἄλλων, ὁπόταν τύχῃ. ἐπὶ δὲ τεταρταίων καὶ ἐπὶ τῶν τὰ ἔντερα ῥευματιζομένων, ἐν αὐταῖς ταῖς ἐπισημασίαις.

Περὶ δοκιμασίας ἐλλεβόρου. ρκϛ.

Κράτιστος ἐλλέβορος, ὁ ἀπὸ μιᾶς ῥίζης πάνυ πολλὰ ἔχων κάρφη. καὶ ταῦτα σμικρὰ καὶ τετανὰ καὶ ἄρυσα. καὶ οὐκ ἀπολήγοντα εἰς ὀξύ. οὐδὲ μειουρίζοντα. λευκὰ δὲ σφόδρα ἔνδοθεν. ἐκτὸς δὲ ὠχρότερα ὑπάρχῃ βαρέα, ἐντεριώνην ἔχοντα εὔθρυπτα. οὐ καμπτόμενα διὰ μαλακότητα. ἀλλὰ καταγνύμενα καυληδόν. καπνῶδές τι ἐν τῇ θραύσει παρέχοντα καὶ ἀνιέντα. καὶ τοῦτο καθαρόν. τὸ γὰρ κονιορτῶδες, παλαιὸν δηλοῖ τὸν ἐλλέβορον. ὁ δὲ ἀγαθὸς διαμασηθεὶς, πρῶτον μὲν γλυκύτητος ἔμφασιν παρέχει. αὖθις δὲ δριμύτητος βραχείας. μετὰ δὲ τοῦτο, πύρωσιν ἰσχυρὰν ἐμποιεῖ περὶ τὸ στόμα. καὶ σίελον ἄγει πολύν. καὶ τὸν στόμαχον ἀνατρέπει. δεῖ δὲ ἔαρος ἀναλέγεσθαι τὸν ἐλλέβορον. ἔτι τῆς ῥίζης ἐγκυμονούσης.

Ὅπως χρὴ διαιτᾶν τοὺς μέλλοντας ἐλλεβορίζεσθαι. ρκζ.

Ἐπιμελέστατα διαιτᾶσθαι προσήκει τοὺς μέλλοντας ἐλλεβορίζεσθαι. τῶν γὰρ σωμάτων κατισχνωθέντων, οὐκ ἀκίνδυνος ἡ δόσις γίνεται. πρὸ δὲ ἡμερῶν τριῶν ἀπεχέσθωσαν κρεῶν. καὶ τῶν λοιπῶν παχυχύμων ἐδεσμάτων καὶ πομάτων. ἐθίζειν δὲ ἑαυτοὺς καὶ πρὸς ἔμετον. καὶ τρὶς καὶ τετράκις προεμεῖν ἀπὸ δείπνου. καὶ ἡ γαστὴρ ὑπαγέσθω. προειπόντα δὲ χρὴ τοῖς οἰκείοις τοῦ κάμνοντος τὸν ἐσόμενον ἀγῶνα. καὶ οὕτω χρῆσθαι τῷ βοηθήματι.

Πόσαι διαφοραὶ τῆς δόσεως τοῦ ἐλλεβόρου. ρκη.

Δίδοται δὲ διαφόρως ὁ ἐλλέβορος. οἱ μὲν γὰρ ἀφέψημα τοῦ ἐλλεβόρου διδόασιν. οἱ δὲ, ἀπόβρεγμα. οἱ δὲ, αὐτὴν τὴν οὐσίαν αὐτοῦ. καὶ οἱ μὲν ψαλλιστὸν διδόασιν αὐτόν. οἱ δὲ, κόψαντες καὶ σήσαντες. ὁ μὲν οὖν ψαλλιστὸς, ταχέως ἄρχεται καθαίρειν. ὡς ἐπίπαν μετὰ ὥρας, β. χολὴν δὲ καὶ φλέγμα ἐξάγων ἄνευ πολλοῦ σπαραγμοῦ. καὶ αὐτὸς συνεξεμηθεὶς ἐν ὥραις τέτρασιν ἢ πέντε, παύει τὴν κάθαρσιν. ὁ δὲ χνοώδης, σφόδρα μὲν βραδέως ἐνεργεῖ, ὡς καὶ μετὰ δ. ὥρας ἢ ε. πολλάκις ἄρχεσθαι. πάντα δὲ τὰ εἴδη τῆς χολῆς καὶ τοῦ φλέγματος, ἐξάγει. καὶ εἰς κίνδυνον συνολκῆς καὶ ὑπερκαθάρσεως καθίστησιν. ἐπὶ πλεῖστον δὲ χρόνον παρατείνει, καθαίρων. ἀλλὰ τήν γε ὠφέλειαν, πολλαπλασίω παρέχεται.

Περὶ ἀποβρέγματος ἐλλεβόρου. ρκθ.

Ἀπόβρεγμα ἐλλεβόρου δίδοται, γέρουσι καὶ παισί. καὶ τοῖς τὴν ἕξιν διερρυηκόσι. καὶ τοῖς νόσημα δύσλυτον ἔχουσι. δίδοται δὲ καὶ εἰς μελέτην ἐλεφαντιασμοῦ. χρὴ δὲ ε. δραχμὰς ἐν ὕδατος ὀμβρίου ἡμίσου κοτύλης βρέχειν, ἐψαλλισμένον ἡμέρας γ. ἔπειτα διηθήσαντα καὶ θερμάναντα, προσφέρειν ὅλον τὸ ἀπόβρεγμα.

Περὶ ἀφεψήματος ἐλλεβόρου. ρλ.

Ἀφέψημα δὲ ἐλλεβόρου δοτέον, τοῖς τε προειρημένοις καὶ τοῖς ἔτι τούτων εὐτονωτέροις. μαινομένοις τε καὶ μελαγχολικοῖς. σκευάζεται δὲ τὸν τρόπον τοῦτον. ἐλλεβόρου λίτραν μίαν. ὕδατος ὀμβρίου ξε. β. ψαλλίσας βρέχε ἐπὶ ἡμέρας, γ. ἔπειτα ἕψε ἐπ᾽ ἀνθράκων μαλακωτέρων. ἄχρις ἂν λειφθῇ τὸ τρίτον. ἔπειτα διηθήσας, ἐπίβαλλε τῷ ἀφεψήματι, μέλιτος ἀπηφρισμένου πρωτείου λι. β. καὶ ἕψε ἕως μελιτώδους συστάσεως. καὶ δίδου κοχλιάριον μέγα ἐκλείχειν. ἔξεστι δὲ καὶ ὕδατι θερμῷ κεράσαντα, διδόναι μετὰ ῥοφήματός τινος. οὔτε σπασμοὺς. οὔτε συνολκάς. οὔτε ὑπερκάθαρσιν τοῦτο ἐπιφέρει. μελέτην δὲ ἐμποιεῖ τῷ βουλομένῳ πρὸς ἐρεθισμόν. ὥστε θαρρούντως ἤδη τὸν ψαλλιστὸν λαμβάνειν.

Περὶ τοῦ ψαλλιστοῦ τοῦ κοπτομένου καὶ σηθομένου. ρλα.

Τοῖς δὲ ἀνασκευῆς καὶ μοχλείας πλείονος δεομένοις. καὶ ἰσχυροτέροις καὶ θαρραλεωτέροις. καὶ εὐκόλως ἐμοῦσι, τὸν ψαλλιστὸν δοτέον. τοῖς δὲ ἔτι τούτων τολμηροτέροις. ἢ καὶ ἐν ἔθει γινομένοις. κόψας καὶ σήσας λεπτοτάτῳ κοσκίνῳ δίδου. τὸν δὲ ψαλλιστὸν, οὕτω δίδου. τὰ κάρφη λαβὼν, τέμνε ψαλίδι, εἰς ἀλφιτώδη μεγέθη. ἢ πιτυρώδη. ἔπειτα ἐκμάξας ὀθονίῳ τὸν χνοῦν, καὶ ἀφελὼν τὰ πάνυ λεπτὰ θραύματα. ἵνα μὴ πνιγώδης γένηται, δίδου. τοῖς μὲν δειλοτέροις μετὰ πτισάνης χυλοῦ. ἢ ἄλυκος. συνεψήσαντες βραχύ. τοῖς δὲ ἰσχυροτέροις μεθ᾽ ὕδατος θερμοῦ. ἢ μελικράτου. ἀναγκάζοντες αὐτοὺς ἐπιρροφεῖν τοῦ μελικράτου καθαροῦ. ἢ τοῦ ὕδατος. πρὸς τὸ μὴ ἐγκαταλείπεσθαί τι τοῦ ἐλλε-
βόρου

βόρου ἐν τῇ φάρυγγι ἢ ἐν τῷ στομάχῳ. ἡ δόσις δὲ ἡ τελειοτάτη τοῖς ἰσχυροῖς. τοῦ μὲν ψαλλιστοῦ ∠. β ς. τοῦ δὲ κεμμυώδους, ∠. α. καὶ ὀβολοὶ β. τοῦ δὲ χνοώδους, ∠. α. καὶ ὀβολοὶ β. κόπτομεν δὲ τὸ κεμμυῶδες ἐν ὅλμῳ. καὶ σήθοντες λεπτοτάτῳ κοσκίνῳ. καὶ τὸ λεπτότατον ἀφαιροῦντες, δίδομεν αὐτοῖς τὸ ἁδρομερὸν μετὰ ἀρχύλου ἅλυκος. ἢ μάζης ἀλφίτων. τὸ δὲ λεπτὸν κόπτομεν καὶ σήθομεν ἀκριβῶς. κἄπειτα ξὺν μέλιτι καθέφθῳ στερεωτάτῳ ἀναπλάττοντες, εἰς τὰ καταπότια δίδομεν.

Τίνα δεῖ προπαρασκευάζειν ἐπὶ τῆς δόσεως. ρλβ.

Προπαρασκευαζέσθω δὲ αὐτοῖς πρὸς τὴν βοήθειαν τῶν σπαραγμῶν τε καὶ λειποθυμιῶν καὶ σπασμῶν, τάδε, ὕδωρ θερμὸν καὶ ψυχρόν. ἀφέψημα ὑσσώπου. μέλι. πήγανον. γλήχωνα. ὄξος. μῆλα. ἄρτος θερμός. οἶνος. ὀρνίθιον ἡψημένον. ἔλαιον κοινόν. καὶ σικυώνιον. ἅλες. χαλβάνη. καστόριον. ἀπόβρεγμα ἐλλεβόρου. ἔλαιον κύπρινον. ἢ ἴειον. ἢ ναρκίσσινον. πτερά. πταρμικόν. σικύαι διάφοροι. φορεῖον. κλίνη στρωμνὴν ἁπαλὴν ἔχουσα. κλυστήρ.

Πῶς ἐπιμελητέον αὐτῶν μετὰ τὴν πόσιν. ρλγ.

Εἰ μὲν εὐκόλως καθαίροιντο μετὰ τὸ πιεῖν τὸ φάρμακον, δώσομεν αὐτοῖς ψυχρὸν ὕδωρ καταρροφεῖν. ἢ διακλύζεσθαι. ἔπειτα ὀσφραίνεσθαι αὐτοῖς τινὶ τῶν τονωτικῶν κελεύσομεν καθαίρεσθαι ἢ κατακλίνεσθαι. καὶ ἐν ἡσυχίᾳ μένειν, μέχρι ὡρῶν δύο. πρὸς τὸ μὴ ταχύτερον τοῦ δέοντος ἐξεμεθῆναι τὸ φάρμακον. μετὰ δὲ ταῦτα κελεύσομεν κινεῖσθαι. ἀντίληψιν δὲ αὐτοῖς θέρμης πρῶτον περὶ τὸν στόμαχον. καὶ τὴν κατὰ πόσιν γίνεται. ἔπειτα σίελον αὐτοῖς εἰς τὸ στόμα πολὺ συνδοθήσεται. εἶτα μέρος τῆς τροφῆς καὶ τοῦ φαρμάκου μετὰ φλέγματος ἐμοῦσιν. ἔπειτα φλέγμα καὶ χολήν, καὶ τοῦ φαρμάκου. εἶτα καθαρὰν χολήν. πολλάκις δὲ καὶ ἡ γαστὴρ ὑπέρχεται κάτω. ὅτε δὲ καὶ εὐφορωτέρα ἡ κάθαρσις γίνεται, λύζουσι κούφως. καὶ τὸ πρόσωπον ἐνερευθὲς ἔσται. εὐκόλως δὲ ἰούσης τῆς καθάρσεως, καὶ τὸ πρόσωπον εὐχροήσει. καὶ ὁ λυγμὸς παύσεται. τοῖς ἢ κατὰ μέσην τὴν κάθαρσιν λύζουσι, μελίκρατον προσοίσομεν. ἢ ἀφέψημα πηγάνου. καὶ χλιαρὸν ὕδωρ ποτόν. εἶτα καθαρθέντας, λούσομεν. καὶ τροφὴν εὐστόμαχον προσοίσομεν. χρονιζούσης δὲ τῆς καθάρσεως, διδόναι χρὴ μελίκρατον θερμὸν καταρροφεῖν ἐναφεψημένου πηγάνου. ἢ ὑδρέλαιον. καὶ πτερὰ βάπτοντες κυπρίνῳ ἢ ἰρίνῳ ἐλαίῳ. ἢ τινὶ τῶν ὁμοίων ἐρεθίζειν καὶ κατακλίνοντες ἐν κλινιδίῳ κρεμαστῷ, κινεῖν. εἰ δὲ πάνυ ἐνοχλοῖντο πνιγόμενοι, ἀπὸ βρέγματος ἐλλεβόρου τρεῖς κυάθους προσοίσομεν. τῇ γὰρ ποιότητι συνεργεῖ πρὸς κάθαρσιν. εἰ δὲ ὁ κατὰ πνιγμὸν κίνδυνος, μὴ δὲ οὕτως παρηγοροῖτο, δριμυτάτῳ κλύσματι κενώσομεν. δώσομεν δὲ αὐτοῖς καὶ χαλβάνην ὅσον διόβολον καταπίνειν. οὐχ ἵνα ἔμετον κινήσωμεν. ἀλλ' ἵνα τὸν πνιγμὸν παύσωμεν. ἢ πταρμικὸν τῶν ἰσχυρῶν προσοίσομεν. κινοῦντες διὰ τῆς κρεμαστῆς κλίνης συνεχέστατα. καὶ πτερῶν καθέσει ἐρεθίζοντες. ἀρχομένων δὲ καθαίρεσθαι, παρηγορεῖν τὸν λυγμὸν ὡς προείρηται. εἰ δὲ καὶ σύντονος εἴη ὁ λυγμὸς, πταρμικῷ χρησόμεθα. καὶ σικύαις χρησόμεθα καθ' ὅλης τῆς ῥάχεως. καὶ μάλιστα κατὰ τοὺς σπονδύλους τοὺς μεγάλους τοῦ μεταφρένου. κατασπῶντες αὐτὴν ἐπὶ τὴν ῥάχιν. αἱ γὰρ ἐπίμοναι τῶν σικυῶν, πολλάκις ἀπευθύνουσι τὸν στόμαχον συνελκόμενον καὶ οἱονεὶ σκολιούμενον ὑπὸ τοῦ λυγμοῦ, τά τε ἄκρα διαδήσομεν. καὶ θάλψομεν καθιέντες εἰς ὕδωρ ψυχρόν.

Τὰς δὲ ἐπί τινων παρεπομένων συνολκὰς τῶν σκελῶν μάλιστα καὶ τῶν χειρῶν. εἰώθασι γὰρ τοῖς πλείστοις αὐτῶν συνεδρεύειν, παρηγορήσομεν λιπαίνοντες ἰσχυρῶς. θάλποντές τε καὶ πυριῶντες καὶ ἀνατρίβοντες τὰ ἄκρα. καὶ τοὺς ἐν ταῖς γαστροκνημίαις μῦς. ἔστω δὲ τὸ ἔλαιον σικυώνιον. ἢ τῶν μαλακτικῶν ἀκόπων. καὶ καστόριον δὲ τῷ ἀλείμματι προσπλέξομεν. καὶ ἐν ποτῷ προσενέγκωμεν. μάλιστα δὲ ὀνίνησι τοὺς συνηλκωμένους, λουτρὸν εἰ παρείη. εἰ δὲ μή, ἐν σκάφῃ ἢ τῇ καλουμένῃ βούτῃ ἐμβιβάσομεν. ἀλείψαντες ἐλαίῳ πολλῷ γλυκεῖ, ὅλον μὲν τὸ σῶμα. μάλιστα δὲ τὰ συνηλκωμένα μέρη. ἔστω δὲ τὸ ὕδωρ εὔκρατον. ὡς δυνηθῆναι πλείονα χρόνον ἐπιμεῖναι. παυσαμένου δὲ τοῦ σπασμοῦ καὶ τῆς καθάρσεως, αὐτίκα τρέφειν ἄρτον διδόντας οἴνῳ κεκραμένῳ διάβροχον. ἢ ὀμφακομέλιτι ἐπὶ τῶν σφόδρα κενωθέντων. εἰ δὲ καὶ θερμότητος αἴσθησις περὶ τὸν στόμαχον μετὰ τροφὴν γένοιτο. θερμῷ κεράσαντες τῷ ὀμφακομέλιτι δώσομεν πίνειν. ἐνίοτε δὲ καὶ ψυχρῷ τὴν δευτέραν κεράσαντες δίδου. αἱ δὲ μετὰ ταῦτα τροφαὶ, εὔχυμοι πᾶσαι ἔστωσαν. καὶ οἶνος λεπτὸς. καὶ πάνυ παλαιός.

Περὶ ὑπερκαθάρσεως. ρλδ.

Τὰς δὲ ὑπερκαθάρσεις στήσομεν, θερμῷ ποτίζοντες. καὶ τῇ διαδέσει τῶν ἄκρων. καὶ ῥίψει σφοδρᾷ. καὶ σικύαις κατὰ τῶν ὑποχονδρίων καὶ μεταφρένων τιθεμέναις. ἄκρως δὲ ἀψινθίου πόσις, ἐπέχει ἐμέτους. εἰ δὲ ἐπιμένοιεν, καὶ τοῖς ἀνωδύνοις ὑπνωτικοῖς χρησόμεθα. καὶ γὰρ τὰς καθάρσεις ἵστησι τὰ τοιαῦτα ξηραντικὰ ὄντα. καὶ ὁ ὕπνος δὲ σταλτικός ἐστιν ἐκκρίσεως. Ἐπιγίνεται μέντοι ὕπνος αὐτομάτως τοῖς καλῶς καθαρθεῖσι, διὰ τοῦ ἐλλεβόρου, πολὺς καὶ βαθύς. ἐὰν μὴ κινδυνεύειν μέλλωσιν οἷς τοσοῦτον δεῖ συγχωρεῖν ὑπνοῦν, ἐφ' ὅσον ἔχονται τῷ ὕπνῳ. εἰ δὲ ἱδρῶτες ἄμετροι ἐπιγένοιντο, στήσομεν ῥιπίζοντες τὸ σῶμα. καὶ σπογγίζοντες ἐκ ψυχροῦ. ἢ ὀξυκράτου ἐμπλάσμασί τε χρησόμεθα,

στύφουσί τε καὶ ἐμπλάττουσι. καὶ τῇ λοιπῇ ἐπιμελείᾳ τῇ ἐπὶ καρδιακῶν λεχθησομένῃ.

Ἐπιθέματα καθαρτικά. ρλε΄.

Ἐπίθεμα καθαρτικόν. κολοκυνθίδος ἐντεριώνης. εὐζώμου σπέρμα. πηγάνου ἀγρίου. ἐλατηρίου. κόκκου κνιδίου. λαθυρίδων κεκαθαρμένων. χαλβάνης. κηροῦ. νίτρου. ἐρυθροδάνου, ἀνὰ ∠. δ΄. ὀποπάνακος ∠. β΄. τερεβινθίνης, ∠. ϛ΄. κόπτε δεῖ τὸ φάρμακον. ἐπιβαλλομένης χολῆς ταυρείας κατὰ βραχύ, ὅσον ἐπιδέχεται. καὶ εἰ μὲν κατὰ τοῦ ὀμφαλοῦ ἐπιτεθῇ κατὰ βραχὺ μέχρι τοῦ ἐφηβαίου, τὴν κάτω κοιλίαν κινεῖ. εἰ δὲ κατὰ τῆς γαστρός, τὴν ἄνω δι' ἐμέτων. Ἄλλο.

Νίτρου ἐρυθροῦ. πελεκίνου σπέρμα. κολοκυνθίδος ἐντεριώνης. χολῆς ταυρείας. σταφίδος ἀγρίας. περιστερᾶς κόπρου. σικύου ἀγρίου ῥίζης. σκίλλης. λινοζώστεως ἴσον ἑκάστου κόψας. σήσας, ἀναλάμβανε τῇ χολῇ, καὶ μέλιτι ἀρκοῦντι. καὶ μαλαγματῶδες ποιήσας, χρῶ. Ἐπίθεμα ἄλλο.

Ἐπαγγελλόμενον αἷμα διὰ ῥινῶν ἄγει κατὰ τοῦ μετώπου ἐπιτιθέμενον. ὅταν δὲ βούλῃ στῆσαι φησὶ τὸ αἷμα, ἄρας αὐτό, ἀπόμαξον ἀκριβῶς τὸν τόπον σπόγγῳ ἐξ ὀξυκράτου. ἢ ὕδατος ψυχροῦ. κατὰ δὲ τοῦ ὑπογαστρίου ἐπιτιθέμενον τετράγωνον δακτύλων θ΄, κινεῖ καταμήνια. καὶ ἔμβρυα φθείρει. ἐπιτίθεται καὶ νεφροῖς ἐν τοῖς παροξυσμοῖς. ἡ δὲ σύνθεσις αὕτη, κηροῦ. χαλβάνης. εὐφορβίου. στρουθίου ῥίζης ἀνὰ Γο. α΄. ἀστραγάλων ἐλαφείων κεκαυμένων, ∠. δ΄. ἀψινθίου χυλοῦ ∠. δ΄. τερεβινθίνης ὑγρᾶς ∠. δ΄. τὰ ξηρὰ λειούσας, σήσας, λείου πάλιν μετὰ χολῆς μοσχείας, ὡς γλοιῶδες γενέσθαι. καὶ ἐπίχεε τὰ τηκτά. καὶ ἑνώσας χρῶ φησὶν ὡς παραδόξῳ.

Ἄλλη ἔμπλαστρος καθαρτική. ἣ χρῶμαι. καλουμένη χεζανάγκη.

Αὕτη ἐπιτιθεμένη τῷ ὀμφαλῷ, κινεῖ τὴν κάτω κοιλίαν. ἐπὶ δὲ τοῦ θώρακος καὶ τοῦ στομάχου ἐπιτιθεμένη, ἔμετον κινεῖ. μέχρις οὗ ἄρῃ τὸ σπλήνιον. ἔμμηνα δὲ ἄγει ταῖς γυναιξί. καὶ ἔμβρυα φθείρει κατὰ τοῦ ὑπογαστρίου, καὶ τῆς ὀσφύος ἐπιτιθεμένη. ἡ δὲ σύνθεσις αὕτη. κόκκου κνιδίου ∠. γ΄. λίθου ἀσσίου ∠. ι΄. ἐλλεβόρου λευκοῦ, ∠. δ΄. αἰγείου στέατος, ∠. ε΄. ἐλατηρίου ∠. δ΄. τιθυμάλλου ὀποῦ, ∠. δ΄. ἀμόργης ∠. ιβ΄. χολῆς ταυρείας, ∠. ϛ΄. ἀφρονίτρου, ∠. ε΄. θέρμων πικρῶν ἀλεύρου, Γο. β΄. ἀψινθίου κόμης, ∠. ϛ΄. τὰ μὲν ἄλλα, κόπτε. καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. ἔπειτα λείου ἐπιβαλὼν τὴν χολήν. εἶτα τὴν ἀμόργην. καὶ τήξας τὸ στέαρ κατάχει. καὶ ἑνώσας χρῶ.

Ἐπομφάλιον καθαρτικόν.

Τὸ αὐτὸ καὶ ἔμετον κινεῖ ἐπιτιθέμενον τῇ γαστρί. καὶ καταμήνια ἄγει τὰ μὴ διὰ μύσιν τῶν ἀγγείων ἐπεσχημένα. καὶ ἔμβρυα φθείρει ἐπιτιθέμενον τῷ ὑπογαστρίῳ καὶ τῇ ὀσφύϊ. ἀψίνθιον. κυκλαμίνου χυλὸν τῆς ῥίζης. ἀρτεμισίας. ἐλατηρίου, ἀνὰ ∠. ϛ΄. κολοκυνθίδος ἐντεριώνης ∠. ι΄. σικύου ἀγρίου ῥίζης. θέρμων ἀλεύρου. χελιδονίου. λευκοΐου σπέρμα ἀνὰ ∠. ϛ΄. ὀποπάνακος, ∠. β΄. κηροῦ ∠. ϙ΄. τερεβινθίνης, ∠. ν΄. κυπρίνου, ∠. ν΄. ἢ τὸ ἀρκοῦν. ἐπιτεθὲν δὲ καὶ κινῆσαν τὴν κοιλίαν, ἀναβαστάζειν αὐτὸ χρὴ εὐθέως. Ἄλλο ἐπομφάλιον καθαρτικὸν ποιεῖ καὶ κοιλιακοῖς.

Κηροῦ ⊢. θ΄. τερεβινθίνης, ⊢. ϛ΄. ἐλατηρίου ⊢. γ΄. σταφυλίδος ἀγρίας ⊢. α΄ S. κασσορείου. κεγχρίου. σαμψύχου. δαφνοκόκκων. κόκκου κνιδίου. θέρμων ξηρῶν. κολοκυνθίδος ἐντεριώνης. ἀνὰ Γο. α΄ S. σκαμμωνίας, Γο. α΄. χολῆς ταυρείας, Γο. α΄. κηροῦ Γο. β΄. στέατος χηνείου, Γο. γ΄. Ἄλλο.

Σικύου ἀγρίου ὀπόν. καὶ κυκλαμίνου χυλόν, μῖξον μέλιτι ἴσον. ἀκριβῶς αὐτὰ ἑνώσας ἐν ἡλίῳ. ἢ ἐπιθέρμῳ σποδιᾶς καὶ χρῶ ἐπιχρίων ἀπὸ ὀμφαλοῦ μέχρι ἐφηβαίου.

Ἐλατηρίου, ∠. γ΄. κολοκυνθίδος, ∠. α΄. σκαμμωνίας. λεπίδος χαλκοῦ. σικύου ἀγρίου ῥίζης ἀνὰ ∠. α΄. λαθυρίδων ∠. α΄. ἢ ἀντ' αὐτῶν, τιθυμάλλου ὀποῦ κόψας. σήσας, λέαινε μετ' ἐλαίου ἁλῶν πλεῖστον ἔχοντος. καὶ σφαῖραν ἐρίου ποιήσας μεγάλην. καὶ δεύσας τῷ φαρμάκῳ, ἐπιτίθει ὅπου βούλει. λέγω δὴ ἢ τῷ ὀμφαλῷ ἢ τῇ γαστρί. ἢ τῷ ὑπογαστρίῳ καὶ ὀσφύϊ. Ἄλλο ἐπομφάλιον.

Μεσπίλων χωρὶς γιγάρτων ⊢. ιη΄. σκαμμωνίας ⊢. ιβ΄. χαλκάνθου ⊢. ιϛ΄. σαγαπηνοῦ ⊢. λβ΄. λαθυρίδων ⊢. ιβ΄. κολοκυνθίδος τοῦ σπέρματος ⊢. ιβ΄. λεάνας ἀναλάμβανε ἐλαίῳ καὶ χρῶ.

Σύνθεσις ἐλαίου. ἤτοι ἀλείμματος καθαρτικοῦ.

Χολῆς ταυρείας, Γο. β΄. ἐλατηρίου Γο. α΄. κόκκου κνιδίου χλωροῦ Γο. δ΄. θέρμων χλωρῶν χυλοῦ Γο. ϛ΄. εὐφορβίου Γο. α΄. κολοκυνθίδος ἐντεριώνης Γο. α΄. στέατος ἀλώπεκος νεαροῦ Γο. ϛ΄. στέατος ἐχίδνης, Γο. α΄ S. μυοκόπρων ∠. δ΄. παιονίας χυλοῦ ∠. δ΄. κασσορείου ∠. δ΄. ἐλαίου κυπρίνου Γο. ϛ΄. ἐλαίου παλαιοῦ λίτραν μίαν. τὰ μὲν ξηρὰ κόπτε. καὶ σῆθε λεπτοτάτῳ κοσκίνῳ. τὰ δὲ στέατα προμαλάξας ἱκανῶς ἐν θυίᾳ. καὶ μάλιστα τὸ τοῦ ἀλώπεκος. ἰνωδέστατον γάρ ἐστιν. εἶτα τήξας ἐπ' ἀνθράκων μαλακωτάτων μετὰ τοῦ ἐλαίου, ἐπίπασσε αὐτοῖς τὰ λοιπὰ πάντα. καὶ ἕψε ἐπ' ὀλίγον ἐπὶ τῶν ἀνθράκων. καὶ ἀπόθου ἐν ἀγγείῳ κασσιτηρίνῳ. πωμάσας ἀσφαλῶς ἵνα μὴ διαπνεύσῃ. καὶ ἀπόθου ἐν οἴκῳ ἀνωτέρῳ. ἀνάστησον ἡμέρας λ΄. καὶ μετὰ ταῦτα χρῶ ἐπὶ πάντων, καὶ πρὸς πᾶσαν διάθεσιν. ἀλύπως γὰρ καθαίρει. ἰᾶται δὲ σὺν τοῖς λοιποῖς, καὶ τὰς τῆς διανοίας παραφοράς. ἔστι δὲ τὸ παραλαμβανόμενον ἐπὶ τῆς χρήσεως μέγιστον τὸ πλεῖστον, κοχλιάριος ϛ΄. ἐπ' ἐνίων δέ, καὶ ἓν μόνον. χρί-

σας

σας γὰρ τὸν ὀμφαλὸν, τελείαν ἐποιησάμην τὴν κένωσιν. εἰ δὲ ἀμέτρως φέροιτο ἡ γαστὴρ καὶ βούλει ἐπισχεῖν, σπόγγον ἐν οἴνῳ χλιαρῷ βάψας καὶ ἐκπιέσας, ἀποσπόγγιζε. καὶ στήσεται.

Ἄλλο ἐπίθεμα κατὰ τοῦ ὀμφαλοῦ ἐπιτιθέμενον. καὶ καθαῖρον τὴν σπλῆνα.

Ἐλλεβόρου μέλανος, γο. γ΄. ἐλλεβόρου λευκοῦ γο. δ΄. ἀμμωνιακοῦ θυμιάματος γο. γ΄. νίτρου ἀνὰ γο. γ΄. σκαμμωνίας, γο. β΄. πεπέρεως κόκκοι, λ΄. κόψας σήσας, ἀναλάμβανε τερεβινθίνῃ, ὡς μαλαγματώδες γενέσθαι. καὶ προσμήχων τὸν τόπον. καὶ προπυριῶν, ἐπίπλασσε τετράγωνον πενταδάκτυλον, καὶ ἐπιτίθει. ἐπὶ δὲ τὸν κτένα ἐπιτιθέμενον, φθείρει τὰ ἔμβρυα.

Ἐπίθεμα αἱματαγωγὸν. ὥστε ἀποκινῆσαι αἱμορροΐδας. ἢ ἔμμηνα γυναιξίν. ρλϛ΄.

Ἐλατηρίου. σμύρνης. στεαθίνου ἀλεύρου, ἀνὰ ℒ. δ΄. πηγάνου χλωροῦ φύλλων ℒ. β΄. χολῆς ταυρείας τὸ ἀρκοῦν. λειότατα τρίψας ἰδίᾳ ἕκαστον. ἔπειτα ἑνώσας ἐπίχεε τῆς χολῆς ὅσον ἐξαρκεῖ. ἐπὶ δὲ τῆς χρείας, χρῖε τὸν ὑπὸ τὸν ὀμφαλὸν τόπον καὶ τὰ περὶ ἐξ. ἐνίοτε δὲ καὶ τὴν ὀσφύν. καὶ ἄγει τὰ ἔμμηνα καὶ τὰς αἱμορροΐδας.

Περὶ τῶν τοπικῶν κενώσεων. ρλζ΄.

Περὶ μὲν οὖν τῶν καθαίρειν δυναμένων τὰ ἐν ὅλῳ τῷ σώματι γενόμενα περιττώματα, ἱκανὰ τὰ προειρημένα. καιρὸς δὲ ἤδη μεταβαίνειν ἐπὶ τὰς τοπικὰς κενώσεις. ἐκεῖνα δὲ ἐπὶ μνήμης ἔχειν ἀξιῶ σε παρ᾽ ὅλον τὸν λόγον. πρῶτον ἅπαν τὸ σῶμα καθαρὸν καὶ ἀπέριττον ποιεῖν τοῖς προειρημένοις καθαρτικοῖς φαρμάκοις. καὶ μετέπειτα, τοῖς τοπικοῖς κενοῦσθαι χρή. εἰ γὰρ πρὸ τῆς τοῦ παντὸς σώματος κενώσεως. ἢ καθάρσεως, διὰ τῶν τοπικῶν βοηθημάτων βουληθείης τὰς διαθέσεις τῶν μορίων ἐκθεραπεῦσαι, μεγάλοις κακοῖς περιβάλλοις τὸν κάμνοντα. πλείονα γὰρ ὁλκὴν τῆς ὕλης ἐπὶ τοὺς ἀσθενοῦντας τόπους ἐπισπάσῃ.

Ὅσα ὀφθαλμῶν καθαρτικὰ καὶ ἀποσμηκτικά. ρλη΄.

Τοῖς ἀποσμηκτικοῖς χρώμεθα ἐπὶ τῶν χρονίως κατεξηραμμένων ὀμμάτων. καὶ ψωρωδῶν βλεφάρων. καὶ κνησμωδῶν. τοῖς δὲ σμήχουσι καὶ ῥύπτουσιν, ἐπὶ ἀμβλυωττόντων ἢ ἀρχὴν ὑποχύσεως εἰληφότων. ἔστι δὲ ἀποσμηκτικὰ καὶ σμηκτικὰ πάντα ταῦτα. μέλι. ἔλαιον παλαιὸν κίκινον. ἀμυγδάλινον. καρύϊνον. χίνιον. τήλινον. δάφνινον. ἀνήθινον. σούσινον. νάρδινον. ἢ ὀποβάλσαμον. χυλοὶ δέ εἰσιν ὀφθαλμοὺς καθαίροντες, ὄμφακος. θρίδακος ἀγρίας. λυκίον. ἀκόρου ῥίζης χυλός. χαμαιδρύου. κενταυρείου. χελιδονίου. ὠκίμου. κρομμύου. πηγάνου ἡμέρου καὶ ἀγρίου. καὶ τὸ βισασᾶ. ῥοιᾶς χυλός. μαράθρου. ἀναγαλλίδων ἀμφοτέρων. πρασίου. τριφύλλου. ἐλλεβόρου λευκοῦ. καὶ ἀνεμώνης. ὀποὶ δὲ σμύρνης. θρίδακος ἀγρίας. σαγαπηνοῦ. πάνακος. ὀπὸς κυρηναϊκός. καὶ μηδικός. ἀμμωνιακὸν θυμίαμα. χαλβάνη. λίβανος. ἀπὸ δὲ ζώων, χερσαίας χελώνης αἷμα. αἰγείου ἥπατος ἰχώρ. ἢ σιλούρου. καὶ χολὴ δὲ σιλούρου. καὶ ὑαίνης. αἰγός. ἀλεκτορίδος. περδίκος. γυπός. ἄρκου. σκάρου καὶ καλλιωνύμου καὶ κολάζου. στέατα δὲ ἐχίδνης. ὀρνίθων. ἰχθύων ποταμίων. ὄρχεις κάστορος. κεκαυμένη δὲ ἡ τέφρα. χελιδόνων νεοσσοὶ κεκαυμένοι. σαῦραι κεκαυμέναι. κέρας ἐλάφων κεκαυμένον. μεταλλικὰ δέ, λίθος αἱματίτης. καὶ σχιστός. χαλκὸς κεκαυμένος. χάλκανθος. χαλκίτης. μίσυ. ἴασπις. καὶ λίθος μαγνῆτις. λίθος μόροχος. λευκογραφὶς λεγόμενος. λίθος ὁ γαλακτίτης. φυτὰ δέ, λιβανοῦ φλοιός. βρίκης καρπός. καὶ τὰ τούτοις ὅμοια.

Ὤτων καθαρτικά. ρλθ΄.

Μέλι. οἰνόμελι. γλυκὺς οἶνος. ἔλαιον καρύϊνον. ἀμυγδάλινον. καὶ αὐτὸ μετὰ χηνείου στέατος. ἴρινον μετ᾽ ὄξους ζιγγιβέρεως μετὰ στυπτηρίας. ἢ ὄξους ἢ ὕδατος. ἀφρόνιτρον μετὰ μέλιτος ἢ ὄξους. στυπτηρία μετὰ ὄξους. γῆρας ὄφεως μετ᾽ ὄξους. χολὴ βοός. χολὴ χοιρεία. χολὴ πάντων καὶ τῶν ἰχθύων. σεύτλου χυλός. καππάρεως φύλλων. χυλὸς ῥαφανίου. φλοιοῦ χυλός. λινοζώστεως χυλός. βδέλλιον. χαλβάνη. καστόρειον. κασία. ἐλλέβορος λευκὸς καὶ μέλας. στρουθίον. καππάρεως φύλλα μετ᾽ ἐλαίου ἑψημένα. ὀξύμελι. νίτρον. ὕδωρ θερμὸν ἅμα ἐγχεόμενα. εὐθετεῖ δὲ τὰ προειρημένα. τινὰ μὲν πρὸς κνησμονάς. τινὰ δὲ πρὸς ἕλκη. τινὰ δὲ πρὸς τὰ ἐμπίπτοντα τῷ πόρῳ. τινὰ δὲ πρὸς ῥύπου σκληρότητα. καὶ πρὸς ἤχους ἢ δυσηκοΐας. καὶ κώφωσις. ὠφελεῖ δὲ ταῦτα, καὶ κεφαλῆς ἀλγήματα χρόνια, καὶ ἐπιληψίας.

Ὅσα ἐκ ῥινῶν καθαίρει. ρμ΄.

Διὰ ῥινῶν δὲ καθαίρει τὴν κεφαλὴν, σεύτλου ῥίζης χυλός. ἐλατήριον. ἀναγαλλίδος τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης, ὁ χυλός. ἴρινον ἔλαιον. ἀμυγδάλινον. κυκλαμίνου ῥίζης χυλός. καὶ αὐτὴ ξηρὰ λεία ἐμφυσωμένη. πέπερι. νίτρον. χάλκανθον. μέλι. θλάσπη. ἐλλέβορος λευκός. εὐφόρβιον. στρουθίον. καστόρειον. καλαμίνθη. μελάνθιον. ἶρις. πράσιον. ἀνεμώνη. προσάγεται δὲ ταῦτα ταῖς ῥισί, χάριν τῶν περὶ τὴν κεφαλὴν χρονίων διαθέσεων. καὶ ἐπιληπτικοῖς μάλιστα καὶ ἰκτεριῶσιν ὀφθαλμοῖς. δυσηκοΐαις. ἀμβλυωπίαις. ῥινῶν σφηνώσεσι χρονίαις. καὶ ἐπὶ ὀσφρήσεως βλαβείσης. ἢ τοῖς κοινικῶς πεπωμένοις.

Ὅσα ὑγρασίαν ἕλκει ἐκ τοῦ στόματος. ρμα΄.

Σχῖνος. καὶ τὰ φύλλα αὐτῆς. καὶ τὸ ἀπορρέον αὐτῆς ῥητινῶδες. μαστίχης μετὰ σταφίδος ἀγρίας. πέπερι. κόκκος κνίδειος. σίνηπι μετ᾽ ὀξυμέλιτος. καὶ νίτρου ἀναγαργαριζόμενον, ἱκανὸν φλέγμα κενοῖ. λαπάθου ῥίζα μετ᾽ ὄξους ἑψηθεῖσα. πύρεθρον. καππάρεως φλοιός. σάρδινον ξύλον. μέλι. ὀρίγα-

νος. θύμος. γλίχων. ὕσσωπον. ῥοῦς μετὰ μέλιτος. στυπτηρία. χαλκῖτις. μίσυ. μυρίκης καρπός. τερε-
βινθίνης μετὰ μέλιτος. ὀμφακίου ὀπὸς μετὰ σιλφίου. καὶ ὁ κυρηναϊκὸς ὀπός. κασία. καὶ πᾶσαι αἱ
στοματικαὶ διάχρισαι. τὰ μέντοι δραστικὰ ἐπὶ τῶν κεχρονισμένων παθῶν παραληπτέον. προδια-
κλυζομένου ἐλαίου, ὅπως μὴ ἡ δριμύτης παρεμποδὼν γένηται τῇ χρίσει. προσακτέον δὲ ταῦ-
τα τοῖς περὶ τὴν κεφαλὴν πάθεσι πᾶσι κεχρονισμένοις. καὶ ἀμβλυωπίαις. καὶ βαρυηκοΐαις χω-
ρὶς ἀλγήματος γλώσσης καὶ γεύσεως παρέσεσι. παρωτίσι. συνάγχαις. ἐξανθήμασι περὶ κεφα-
λὴν ἢ πρόσωπον. καὶ τοῖς κοινωνικῶς πονουμένοις, ἀπὸ θεραπείας δὲ ἕνεκα παραληπτέον ὕδωρ ὕ-
στερον θερμὸν ἕψημα μελίκρατον. γάλα. ἀπόβρεγμα ψυχρῶν. ἢ πτισάνης χυλόν.

Ὅσα γάλα γεννᾷ καὶ κινεῖν πέφυκε. ρμβ'.

Γεννᾷ γάλα. καὶ κινεῖν πέφυκε πινόμενα, πτισάνη μετὰ μαλάθρου ἑψημένη, μάλιστα χλωροῦ. εἰ δὲ
10 μή, μετὰ τοῦ σπέρματος αὐτὰ τὰ μάλαθρα χλωρὰ ἐσθιόμενα καὶ ἄνηθον. σήσαμον. ἄνισον. λινόσπερ-
μα. κύμινον. κέγχρου ἄλευρον ἑφθόν, πυρὸν ἀφέψημα. ζωμόν, χλωρόν. σικύου σπέρμα. κατα-
χριόμενα δὲ τοῖς μαστοῖς, προσκαλεῖται καὶ κινεῖ γάλα. γῆς ἔντερα. μελάνθιον. ταύρου χολή. κρι-
θῶν βεβρεγμένων τὸ χύλισμα. ἀνδράχνης χυλόν. στέαρ χηνός. κηρός. θεῖον. σκωρία σιδήρου. ταῦτα
παραλαμβάνεται, ἐφ᾽ ὧν ἐκλείπει τὸ γάλα.

Πνεύμονος καὶ θώρακος καθαρτικόν. ρμγ'.

Κνίδης σπέρμα. γλαύκου σπέρμα. σελίνου σπέρμα. θύμος. ῥαφανίου σπέρμα. καὶ ἐσθιόμενα νάπυ.
σήσαμον. κάρδαμον. ἐρύσιμον. καρδάμωμον. σικύου σπέρμα. μελάνθιον. πέπερι. πήγανον. πόλιον.
πράσιον. δαφνίδες. κασία. ἄρον. δρακόντιον. βολβός. κρόμμυον. σκόροδον. κόστος. ἄμωμον. ναρδόστα-
20 χυ. θεῖον. στύραξ. χαλβάνη. τερεβινθίνη. σμύρνα. ὀποπάναξ. σκίλλα. ὀρίγανον. γλίχων. ὕσσωπον. ἀ-
βρότονον. βρυωνίας ῥίζα. ἀμύγδαλα πικρά. ἰσχάδες. ἀσταφίδες. ἐρεβίνθια. καὶ μάλιστα τὰ χλωρά.
μέλι ἕψημα. γλυκὺς οἶνος. καστόριον. ὀρόβιον ἄλευρον. πιτυΐδες. ἀμμωνιακόν. βδέλλιον. λίβανος. σίλ-
φιον. καὶ ὁ ὀπὸς αὐτοῦ. ἀριστολοχία. ἀρκευθίδες. στοιχάς. πράσα κεφαλωτὰ ἐσθιόμενα ἑφθὰ σὺν
πτισάνῃ. ᾠὸν νεαρὸν καταρροφούμενον. βούτυρον καθ᾽ αὑτὸ καὶ μετὰ μέλιτος. γλυκυρρίζης ὁ χυλὸς
καὶ αὐτὴ ἡ ῥίζα. τούτοις χρηστέον ἐπὶ ἀσθματικῶν καὶ ὀρθοπνοϊκῶν. καὶ ἐπὶ βηχικῶν ἐχρονισμέ-
νων. τὰ δὲ πλεῖστα αὐτῶν, καὶ ἐπὶ φθισικῶν καὶ ἐμπυϊκῶν ἥρμοσται. χάριν ἀνακωχῆς τῶν ἠθροι-
σμένων ἐν τῷ θώρακι. καὶ τῆς τῶν ἑλκῶν ἀνακαθάρσεως.

Περὶ ὑποκαπνισμῶν. ρμδ'.

Ὁ δὲ ὑποκαπνισμός, οὐ πᾶσι τοῖς περὶ τὸν θώρακα συνισταμένοις πάθεσιν ἐπιτήδειος. οὐδὲ γὰρ ἐπὶ
30 τῶν αἷμα πτυσάντων κατάλληλος τῇ τοῦ καπνιζομένου δριμύτητι ἀναστομουμένων πάλιν τῶν ἀγ-
γείων. οὔτε τοῖς ξηρὸν ἔχουσι νόσημα περὶ τὸν θώρακα. μόνοις δὲ τοῖς ἀσθματικοῖς καὶ ὀρθοπνοϊκοῖς.
καὶ ὅσοις διὰ πλῆθος ψυχρῶν χυμῶν ἐνοχλεῖται ὁ θώραξ. χρηστέον δὲ τοῖς ὑποκαπνισμοῖς τοῦ
σώματος ὅλου κεκενωμένου. καθίζοντες δὲ τὸν ἄνθρωπον. καὶ ἱματίοις περισκεπάζοντες, ὅλον κε-
λεύσομεν διαστῆσαι τὰ σκέλη. καὶ κάτω νεύειν, ὡς τὸ πρόσωπον ἐγγυτάτω τῶν γονάτων γενέσθαι.
τῷ δὲ στόματι κεχηνέναι. ἔπειτα μεταξὺ τῶν σκελῶν θεῖναι τὸ ἐπιθυμιώμενον. καὶ κελεύειν δέχε-
σθαι τὸν καπνόν. κρεῖττον δὲ εἰ διὰ χώνης δέχοιτο τὸν καπνόν. ἔστι δὲ τὰ θυμιώμενα ταῦτα. καστόριον
θυμιώμενον, τὴν κατὰ πνεύμονα καὶ ἐγκέφαλον ὑγρὰν καὶ ψυχρὰν διάθεσιν ἰᾶται. ἀριστολοχία ὁ-
μοίως. ἄσφαλτος. σανδαράχης. λάδανον. αἰγὸς ἄχυρα παλαιά. σχοινίον παλαιὸν θαλάσσῃ βρεχθὲν. τε-
ρεβινθίνη. χαμαιλεύκη. καλαμίνθη. στύραξ. μαστίχης. λίβανος. ἐρύσιμον. λαγωοῦ κόπρος καὶ πέρ-
40 δικος. δορκάδος κόπρος. σικύου ἀγρίου ῥίζα. κενταύρειον. μαράθρου σπέρμα. ἔστι δὲ ὑποκάπνισμα
διὰ πείρας ἡμῖν ἐξευρεθὲν τετράειδον. στύρακος. τερεβινθίνης. σανδαράχης. μαστίχης, ἴσα. πεπίστευ-
ται τὰς ἀσθματικὰς καὶ ἐμπυϊκάς. καὶ βηχώδεις. καὶ πνευματικὰς διαθέσεις ἰᾶσθαι. ὥσπερ καὶ
τὰ προειρημένα.

Κενωτικὸν λεπτῶν ἐντέρων. ρμε'.

Καθαίρει δὲ τὰ λεπτὰ ἔντερα, καρπὸς τῆς θαμαλλίδος. καὶ ὁ ὀπὸς αὐτῆς, ὅσον σταγόνες μετὰ ἰσχά-
δων. ἢ φοινίδων. ἀνδραφάξυος σπέρμα. κράμβης χυλός. ἐρεβίνθων ἀφέψημα. θύμβρας. πολυπο-
δίου ἀφέψημα. γλίχωνος ἀφέψημα. ἄγνου φύλλα. θύμου ἀφέψημα. χαμαίπιτυς. βούτυρον νεα-
ρὸν ἐκλειχόμενον συνεχῶς. χῆμαι ἑψηθεῖσαι πάνυ καὶ ἐσθιόμεναι, ἐπιρροφουμένου τοῦ ζωμοῦ. ἔ-
λαιον ὀμφάκινον πινόμενον. ῥόδινον. κίκινον. ἀγαρικὸν μεθ᾽ ὑδρομέλιτος. καθαίρει μετὰ περι-
σκελίας. ἔστι γὰρ κακοστόμαχον διὰ τὸ κοῦφον εἶναι. καὶ ἐπιπολάζειν τὸν στόμαχον. παρὰ ἀ-
50 λόη μεθ᾽ ὕδατος ψυχροῦ. ἢ ὑδρομέλιτος. ἢ γαλακτώδους πινομένη. καὶ ἀναπλασθεῖσα μετὰ
ἑφθοῦ μέλιτος καὶ καταπινομένη, ἀλύπως καθαίρει. στύραξ μετὰ τερεβινθίνης ἀναπλασθεὶς
καὶ καταπινόμενος. ἀψίνθιον. ἀβρότονον ὁμοίως. ἡ δὲ τῶν λεπτῶν ἐντέρων κάθαρσις, τὰς προσφά-
τους ἐμφράξεις καὶ τὰς γενέσεις τῶν ὠμῶν χυμῶν. καὶ τὰς στρογγύλας ἕλμινθας ἐξιᾶται. τού-
των δὲ καθαρθέντων. καὶ ὁ τῆς δολιχοδόχου κύστεως πόρος. ὁ εἰς τὴν νῆστιν ἐμφυόμενος, τὴν οἰκείαν

ἐνέργειαν ἐπιτελεῖ, μηδενὸς ἐμποδίζοντος. ἀλλὰ καὶ τὰς ἐμπνευματώσεις καὶ τοὺς ἰλίγγους καὶ τοὺς εἰλεοὺς, ἡ τούτων κάθαρξις ἐξιᾶται.

Κενωτικὸν τῶν σιμῶν τοῦ ἥπατος. ρμϛ.

Πολυπόδιον. λινόζωστις ἐσθιομένη ἑφθή. λαθυρίδες μετ' ὀξυμέλιτος. χαμαιλαία μετὰ ἀψινθίου καὶ ὑδρομέλιτος πινομένη. κράμβης χυλός. κυκλαμίνου ῥίζα. γάλακτος ὀῤῥός. ἡλιοτροπίου τοῦ σκορπιούρου χυλός. ζωμὸς ἀλεκτρυόνος παλαιοῦ. ἐρεβίνθων λευκῶν ὁ ζωμός. βοηθεῖ δὲ ταῦτα, ταῖς ἐπιπολὺ χρονιζούσαις φλεγμοναῖς περὶ τὰ σιμὰ τοῦ ἥπατος. τὰς γὰρ ἀρχομένας φλεγμονὰς, τὰ πρᾳότερα ὠφελεῖ.

Κενωτικὸν τῶν κυρτῶν τοῦ ἥπατος. ρμζ.

Ἀμώμου ἀφέψημα. χίνου ἄνθος. ἀκόρου ῥίζα. γλυπιανὴ μεθ' ὕδατος. ἀγαρικὸν μετ' οἰνομέλιτος. ἔστι δὲ κακοστόμαχον. δάφνης ὁ τῆς ῥίζης φλοιὸς σὺν οἴνῳ. ῥίον ποντικόν. γλυκυῤῥίζης χυλός. ἀμύγδαλα τὰ πικρὰ μάλιστα. ἀψινθίου κόμη. ἀνίσου. μαράθρου σπέρμα. νάρδου στάχυς. πεντάφυλλα ῥίζης χυλός. ἄγνου σπέρμα. δαύκου σπέρμα. πετροσελίνου. κενταυρείου ἀφέψημα. παιονίας ὁ καρπός. στῆσαμον πεφρυγμένον. δάφνης φύλλα. φοινίκων ὀστᾶ κεκαυμένα. σύμφυτον. πολύγονον. ἠριγέρων. σμύρνιον. ἱπποσέλινον. ἀγχαλλὶς ἡ τὸ κυανοῦν χρῶμα ἔχουσα τὸ ἄνθος. καπνὸς ἤτοι χελιδόνιον τὸ ἐν τοῖς φραγμοῖς φυόμενον. πελεκίνου σπέρμα. κέδρας ἐλαφείου κεκαυμένου. ἡδυόσμου χυλός. καὶ τὸ ἀφέψημα. καλαμίνθη. κόστος. τίλις πεφρυγμένη ἐπ' ὀλίγον. βάκχανον. ὀποβάλσαμον. μυρσίνης ἀγρίας ὁ φλοιὸς τῆς ῥίζης. κεδρῶν ἀπόβρεγμα. θέρμων. φοῦ. ἄσαρον. μῆον. πίσσα. ταῦτα ἰᾶται τὰς χρονιζούσας περὶ τὰ κυρτὰ τοῦ ἥπατος νόσους. εἴτε σὺν ὄγκῳ τινὶ γένοιντο, εἴτε δυσκρασία μόνη ἐγκαταμείνη μετ' ὀδύνης. εἴτε ἔμφραξις.

Σπληνὸς κενωτικόν. ρμη.

Ἐλλέβορος μέλας. ἐπίθυμον. πολυπόδιον. σκολοπένδριον. παιονίας ῥίζα. χαμαίδρυος ἀφέψημα. χαμαιπίτυος. κενταυρείου. μάλιστα τοῦ λεπτοῦ. γλίχωνος ἀφέψημα. καππάρεως φλοιός. κολοκυνθίδος ἀπόβρεγμα πινόμενον. λινόζωστις ἐσθιομένη. καὶ τὸ ἀφέψημα πινόμενον. λαθυρίδες μετ' ὀξυμέλιτος πινόμεναι. χαμαιλαία. θάλασσα θερμὴ πινομένη. βρίκης καρπὸς μετὰ πετροσελίνου. ἄγνου σπέρμα. ταῦτα τὰ καθαίροντα τὸν σπλῆνα, καὶ τὸ ἧπαρ ἐκφράττουσι. κωλύει δὲ τὰς καχεξίας καὶ τὰς ἡπατικὰς καὶ σπληνικὰς καὶ ἰκτερικὰς καὶ ὑδερικὰς διαθέσεις συνίστασθαι.

Νεφρῶν κενωτικὰ τὰ τμητικὰ πάντα. ρμθ.

Ἀρνογλώσσου ἡ ῥίζα. καὶ τὰ φύλλα καὶ ὁ καρπός. ξηρὰ λεῖα πινόμενα. ἀσπάραγος. μυακάνθινος. παιονίας ῥίζα. ἐρεβίνθων μελανῶν ἀφέψημα. ἀμύγδαλα μάλιστα πικρά. ἠρυγγίου ῥίζης ἀφέψημα. δαμασώνιον. ἀδίαντον. σελίνου σπέρμα. μαράθρου. δαύκου. πετροσελίνου. ἄμεως. ἀνίσου. λιβυστικοῦ. ἀσάρου ἀφέψημα. μήου. φοῦ. χίνου ἄνθος. σεσέλεως. ἀκόρου ῥίζα. ἀγρώστεως. ἀμπέλου δάκρυον. καὶ ὁ φλοιός. αἷμα τράγου ξηρόν. βοηθεῖ δὲ ταῦτα πινόμενα μετὰ τὸ παρακμάσαι τὰς φλεγμονάς. λύει γὰρ τοὺς μελετωμένους γενέσθαι σκίῤῥους. καὶ τὴν τῶν λίθων γένεσιν.

Κύστεως κενωτικά. ρν.

Οὖρα δὲ ἄγει ἀπὸ κύστεως, ἀκόρου ἀφέψημα πινόμενον ἀσάρου. ἀμαράκινον ἔλαιον. ἀμύγδαλα πικρὰ μετὰ γλυκέος πινόμενα. ἀλθαίας ῥίζης ἀφέψημα. ἀδιάντου ἀφέψημα. αἱματίτης λίθος λεῖος σὺν οἴνῳ πινόμενος. ἀλεκτορίδων κόπρος ξηρά. ἀγχούσης ἀφέψημα. ἀβροτόνου. ἀνίσου σπέρμα. αἷμα τράγου ξηρόν. ἀσφαλάξυος σπέρμα. ἀρτεμισίας ἀφέψημα. ἀριστολοχίας ἀφέψημα. βράθυος λειοτάτου γο. α. μεθ' ὑδρομέλιτος. ἐπὶ δὲ τῶν ἀπυρέτων μετ' οἴνου. βαλσάμου καρπός. βαλάνου ἀφέψημα. βδέλλιον. βάτου σπέρμα. βαλαύστιον. βρυωνίας ῥίζα. γλυκυῤῥίζης χυλός. γλίχων. γλυκυσίδης ὁ καρπός. δίκταμνον. δρακόντιον. ἐλάτης ἀφέψημα. ἐρυθροδάνου ἀφέψημα. ἐρπυλος. ἠρυγγίου ἡ ῥίζα. ἡλιοτρόπιον. ἠριγέρων. ἡδύοσμον. ἐλελισφάκου. ἐλαίας φύλλων ἀφέψημα. ταῦτα οὐκ ἐᾷ λίθων γένεσιν ἐν κύστει γενέσθαι. καὶ τὰς παχύτητας δὲ καὶ τὰς γλισχρώδεις ὑποστάσεις. ἔτι γε μὴν καὶ τὰς ψυρώδεις καὶ τὰς ἑλκώδεις διαθέσεις, ἐξιᾶσθαι πέφυκεν.

Ὅσα ἐντίθεται τῇ βαλάνῳ πρὸς ἐρεθισμὸν τῶν οὔρων. ρνα.

Ἐπειδὰν δὲ πληρωθεῖσα κύστις οὔρου, μὴ δύνηται συστέλλεσθαι καὶ ἐκθλίβειν τὸ οὖρον, ἐντίθεμεν εἰς τὴν βάλανον ταῦτα. νίτρον ὕδατι διειμένον. ἅλμην. χολήν. κυκλάμινον.

Λίθων κενωτικὸν τῶν ἐν νεφροῖς καὶ κύστει. ρνβ.

Τὰ αὐτὰ καὶ θραυστικὰ τυγχάνει τῶν λίθων. καρδάμωμον μετὰ δάφνης τῆς ῥίζης φλοιοῦ πινόμενον. κύπειρον. ἀμυγδάλινον ἔλαιον. παλιούρου σπέρμα. βδέλλιον. μαλάθρου ῥίζα. λιβανωτός. ὀξυμυρσίνης φύλλα. καὶ ὁ καρπὸς κερασίων. κοκκυμήλων ὀποί. ἀμύγδαλα πικρά. λαπάθου ῥίζης ἀφέψημα. ἀλθαίας σπέρματος ἀφέψημα. τριβόλου χλωροῦ ἀφέψημα. ἀδιάντου ἀφέψημα. ἀμπέλου δάκρυον. συάγρου κύστις ξηρά. λιθόσπερμον. τηκόλιθον. βετονίκη. σαξίφραγον. λίθοι οἱ ἐν τοῖς σπόγγοις, ἤλεκτρον.

Ὑστέρας κενωτικόν. ρνγ.

Αἷμα ἀπὸ ὑστέρας ἄγει ἐγκολπιζόμενα καὶ προστιθέμενα, ταῦτα. κασία μετὰ σμύρνης. καλάμου

ἀρωματικοῦ ἀφέψημα. ἀμαράκινον ἔλαιον. λευκόϊον. θύμου. θύμβρας ἀφέψημα. κενταυρείου ῥίζα. καὶ αὐτὸ τὸ κενταύρειον. ὀποπάναξ. ἄγνου καρπός. ἀμύγδαλα πικρά. καρύων τὰ ἐντὸς κεκαυμένα μετ᾽ οἴνου προστιθέμενα. ἀφέψημα ἀψινθίου, καὶ ὁ χυλός. σάμψυχον. σέσελι. χαλβάνη. κρίνου ῥίζα. χαμαιπίτυς. ἀρτεμισίας ἀφέψημα. δικτάμνου. κονύζης θηλείας. ἐρυθροδάνου ῥίζα. κνίδης καρπὸς μετὰ σμύρνης. ἐλατήριον. ἐλλέβορος μέλας. θέρμων ἀφέψημα. ῥαφανίδος φλοιός. στρούθιον. στέαρ ἐλάφου πρόσφατον. στέαρ χηνός. ῥητίνη τερεβινθίνη. χολὴ ταυρεία μετὰ μαστίχης. βρύον τὸ σπλάγχνον καὶ ὕπνον λεγόμενον. κύπρον. μύρον ἴρινον. χυλὸς κυκλαμίνου. ἄγχουσα. πεντάφυλλον. κύμινον. σισύμβριον. ἐλένιον. ἐλελίσφακον. ἡλιοτρόπιον. λινόζωστις. κόκκος κνίδιος. σταφὶς ἐκγιγαρτισμένη. τῖλις. σήσαμον. δαφνίδων τὸ ἐντός. ἀμυγδαλαίας πικρᾶς ῥίζα. κοχλίαι λεπτοί. βρία ὑσσώπως. θρίδακος ἀγρίας ὀπός. πράσα. κρομμύου χυλός. καλαμίνθης φύλλα. τοσαῦτα μὲν τὰ ἐν πεσσοῖς καὶ ἐγκολπισμοῖς, καὶ προσθέτοις παραλαμβανόμενα. παραφυλάττεσθαι μέντοι χρὴ, τὴν συνεχῆ χρῆσιν τῶν ἐν αὐτοῖς δριμυτέρων. εἴωθε γὰρ ἑλκώσεις ἐπιφέρειν.

Ὥστε πινόμενα ἄγει καταμήνια. ρνδ.

Πινόμενα δὲ ἄγει ἀπὸ ὑστέρας αἷμα. καὶ τῶν εἰρημένων μὲν τὰ πλεῖστα. καὶ πάντα δὲ τὰ διουρητικά. καὶ ἐρύσιμον δὲ καὶ ἄσαρον μετὰ μελικράτου. κάλαμος ἀρωματικός. συπηρεία. καστόριον. ἐρεβίνθων ἀφέψημα μετὰ πεπέρεως. καὶ πηγάνου. ἀσφοδέλου ῥίζης ἐν οἴνῳ ἑψηθείσης. γλήχωνος ἐν οἴνῳ ἑψηθέντα. ἠρυγγίου ῥίζης ἀφέψημα. ἀβροτόνου καρπός. ὀριγάνου. θύμου. θύμβρας. πηγάνου ἀφέψημα. μαράθρου ἀφέψημα. κέθμος. κύμινον. σίνηπι. πράσου σπέρμα. καὶ ὁ χυλὸς, καὶ τὸ ἀφέψημα. σμύρνιον. σίον. ὀρεοσέλινον. δαύκου σπέρμα. θλάσπι. μελάνθη. λευκοΐου σπέρμα. βαλσάμου καρπός. γλυκυσίδης καρπός. δαφνίδες. σμύρνα. καρδάμωμον. κυκλάμινον. σαγάπηνον. χαλβάνη. μαράθρου σπέρμα. ναρδόσταχυς. λινόζωστις. κόστος. κάλαμος ἀρωματικός. στύραξ. κενταυρείου τοῦ μεγάλου ἡ ῥίζα. βράθυ. ἶρις. ἀριστολοχία. κυδωνίων τὸ ἄνθος καὶ ὁ χυλός. λαπάθου ῥίζης ἀφέψημα. ἀρτεμισία. δίκταμνος. τούτων ἕκαστον ἑψόμενον σὺν οἴνῳ ἢ λειούμενον καὶ πινόμενον, αἷμα ἄγειν πεπίστευται. ἁρμόζει δὲ ταῦτα, ἐφ᾽ ὧν αἱ καθάρσεις ἐμποδίζονται. ἢ στάγδην καθαίρονται. ἢ μύσις ὑστέρας πάρεστι. βοηθεῖ δὲ καὶ ταῖς παρεγκλίσεσι. καὶ ταῖς ἀναδρομαῖς τῆς ὑστέρας καὶ πνίξεσι.

Σκυβάλων κενωτικά. ρνε.

Σκύβαλα δὲ κενοῖ πινόμενα στύραξ καταπινόμενος. μαστίχης μεθ᾽ ὕδατος ψυχροῦ λεία πινομένη, ὅσον ιβ. ἀλόης α. τερεβινθίνης κοχλιαρίων. σίνηπι. σκόροδον ἀπεζωσμένον μετ᾽ ἐλαίου καὶ γάρου. σῦκον μετὰ νίτρου. καὶ κνίκου σπέρματος τὸ ἐντός. καὶ πάντα δὲ τὰ προειρημένα ἐπὶ τῶν λεπτῶν ἐντέρων ἁρμόδια, ἐκκαθαίρει καὶ τὰ μεγάλα τῶν ἐντέρων.

Ἑλμίνθων κενωτικόν. ρνϛ.

Καὶ τὰς ἕλμινθας δὲ τάς τε στρογγύλας καὶ τὰς πλατείας. καὶ ἀσκαρίδας ἐκκαθαίρει τὰ ἐπὶ τῶν λεπτῶν ἐντέρων εἰρημένα πινόμενα. ἰδίως δὲ κενοῖ ταύτας, μυώτιδος χυλὸς μετὰ μέλιτος πινόμενος. ἢ μίλτου ὄξους κύαθον ἑκάστου. αἰγείρων ἐσθιόμενος. σαρδόνικον μετὰ σύκου ἐσθιόμενον. ἀβροτόνου ἀφέψημα. γῆς ἔντερα λεῖα ἑφθὰ μετὰ γλυκέος πινόμενα.

Ἱδρώτων κενωτικά. ρνζ.

Πινόμενα κινεῖ τοὺς ἱδρῶτας, κύμινον. δαφνίδες. ἄνισον. ἄγνος. ἕρπυλλον. καλαμίνθη. πόλιον. ῥαφάνου φλοιὸς ἐσθιόμενος. κόστος. σισύμβριον. δίκταμνον. ἀρτεμισία. καρδάμωμον. λιβανωτός. μέλι. γάλα βοός. κασσίας. χίνου ἀφέψημα. ὀπὸς κυρηναϊκὸς, ὅσον ἐρεβίνθου μέγεθος καταπινόμενος ἐπὶ τῶν ψυχροτέρων νοσημάτων. χαμαίδρυς. καστόριον μετὰ μελικράτου. κενταυρείου μεγάλου ῥίζα. καππάρεως ῥίζης φλοιὸς λιβυστικόν. πενταυρείου μεγάλου ῥίζα πετροσέλινον. μελάνθου. ταῦτα ποτὲ μὲν δι᾽ οἴνου. ποτὲ δὲ δι᾽ οἰνομέλιτος πίνεται. καὶ πεπίστευται ἱδρῶτας κινεῖν. καὶ πιστακίου δὲ καρπὸς ἐσθιόμενος, κινεῖ ἱδρῶτας ἀλύπως.

Περὶ ἱδρωτικῶν ἀλειφῶν.

Ἀλειφόμενα δὲ ἔξωθεν κινεῖ ἱδρῶτας, νίτρον μετ᾽ ἐλαίου. ἴρινον μύρον. ἀνήθινον. χαμαιμήλινον. δάφνινον. ῥαφάνινον. σικυώνιον. μυροβαλάνινον. ἀλθαία. κόστος. βάλσαμον. ἀριστολοχία. κασσία. κάλαμος ἀρωματικός. λιβανωτός. ἕκαστον σὺν ἐλαίῳ ἑψόμενον. θυμιώμενα δὲ, κινεῖ ἱδρῶτας. καστόριον μετὰ γλήχωνος. βαλσάμου καρπός. βδέλλιον. ἄγνου καρπός. χρηστέον δὲ ἐπὶ τῶν ἰκτερικῶν τούτοις καὶ ἐπὶ τῶν διὰ ψύξιν ἢ στύψιν τοῦ δέρματος μὴ ἱδρούντων.

Κενωτικὰ, καὶ φθαρτικὰ τῶν περὶ τὴν ἐπιφάνειαν τοῦ σώματος φθειρῶν παντοίων. ρνη.

Σανδαράχης. ἀριστολοχία. σταφὶς ἀγρία. θεῖον ἄπυρον. κιννάμωμον. κάλαμος ἀρωματικός. κασσία. πύρεθρον. τέφρα δρυΐνη. σικύου ἀγρίου ἡ ῥίζα.

Περὶ κλυσμῶν. ρνθ.

Πλείστων τῶν ἐπὶ λύμῃ συνισταμένων τῷ ζώῳ κακῶν, πρόξενος γίγνεται ἡ τῆς γαστρὸς ἐπίσχεσις. βάρος γὰρ κεφαλῆς παρέπεται καὶ σκοτοδινία. ἀνατροπή τε στομάχου. σπαραγμὸς ἐμετώδεις. ναυτίαι τε καὶ ἀνορεξίαι. στόματος ξηρότης καὶ πικρότης. ἐρυγαὶ ἀηδεῖς. καὶ βρομώδεις. καὶ πνεύ-

ματος

ματος δυσώδη. ὕπνοι μετέωροι. καὶ ἀηδεῖς. ἐμπνευματώσεις. στρόφοι. εἰλεοί. πληθωρικάς τε καὶ ἀρθριτικάς. καὶ ποδαλγικάς. καὶ ἰσχιαδικὰς νόσους γεννᾷ. παραύξουσί τε ἅπαντα καὶ κακοηθέστερα. καὶ χρονιώτερα ἀποτελοῦσιν. ἔσθ' ὅτε δὲ καὶ ὀλέθρια. χρεία δὲ γίνεται κλυσμῶν. καὶ ἐπὶ ἑτέρων διαθέσεων. ὧν ἐκ μέρους ποιησόμεθα μνήμην.

Τῶν μὲν οὖν ἐνιεμένων κλυσμῶν, οἱ μέν εἰσιν ἁπλοῖ καὶ ἁπαλοί. οἱ δὲ, δριμεῖς. οἱ δὲ, ἄλλην χρείαν παρέχουσι καὶ δύναμιν.

Τῶν μὲν οὖν ἁπαλῶν, ὕδωρ θερμὸν αὐτὸ καθ' αὑτὸ ποιεῖ, κομιδῆς ἕνεκα κοπρίων. ἐν συνεχέσι πυρετοῖς καὶ κακοήθεσι. καὶ καυσώδεσι. καὶ ἐπὶ τῶν ἐν μακρᾶς ἀσθενείας ἀναλαμβανομένων. ἐφ' ὧν δυσχερεῖς αἱ ἔφοδοι γίνονται. θερμότερον δὲ ἐνήσομεν. ἐμπνευματοῖ γὰρ χλιαρόν. ὑδρελαίῳ δὲ χρησόμεθα ἐπὶ κατοχῇ σκληρῶν κοπρίων. κἀπὶ τῶν, ἑλκώδη καὶ δακνώδη συναίσθησιν περὶ τὰ ἔντερα ἐχόντων. παραιτεῖσθαι μέντοι τὸ ὑδρέλαιον, ἐπειδὰν κεφαλῆς βάρος ᾖ. ἢ στόμαχος ἀνατρέποιτο, ἢ ἀνορεξία κρατείη. ῥόδινον δὲ ἀντὶ τοῦ ἐλαίου σὺν τῷ ὕδατι ἐνιέμενον, ἐπιτήδειον. ἔν τε καυσώδεσι πυρετοῖς. καὶ πυρώσεσιν ὑπερβαλλούσαις περὶ τὰ μέσα. καὶ μάλιστα περὶ τὸ κῶλον. κεφαλὴν δὲ συμπληροῖ. καὶ ἧττόν ἐστι ὀλισθηρὸν τοῦ ὑδρελαίου. ἐμβλητέον δὲ ῥόδινον ἔλαιον τέταρτον μέρος τοῦ ὕδατος. σὺν ᾠῷ δὲ καὶ πτισάνης χυλῷ ἐνίεμεν τὸ ῥόδινον, ἐπὶ τῶν καυσωδεστάτων πυρετῶν. ἢ δήξεως περὶ τὰ ἔντερα συνεδρευούσης. χαμαιμήλιον δὲ ἔλαιον καὶ ᾠοῦ τό τε πυρὸν καὶ τὸ λευκὸν, σὺν χυλῷ πτισάνης ἐνίεμεν εἰς νύκτα, ἐπὶ τῶν διακαῶν πυρετῶν κελεύοντες αὐτὸ κρατεῖν πᾶσαν τὴν νύκτα. καὶ γὰρ ὕπνον ἐπάγει ἡδὺν, καὶ τὰ αἴτια τοῦ πυρετοῦ τῇ ἑξῆς σὺν ἑαυτῷ ἐξάγει.

Βούτυρον δὲ μεθ' ὕδατος μὲν ἐνιέμενον, δήξεις καὶ στρόφους παρηγορεῖ. ὀλίγον δὲ εἶναι χρὴ τὸ βούτυρον ἐπὶ τούτων. ποιεῖ δὲ καὶ ἐφ' ὧν διὰ φλεγμονὴν τοῦ ἀπευθυσμένου κατέχεται τὰ σκύβαλα. καὶ ἐπὶ ῥυπαρῶν ἑλκώσεων περὶ τὸ ἔντερον. καὶ ἀφέψημα δὲ τήλεως ἐν ὕδατι ἑφθῆς χωρὶς λέπους ἐνιέσθω, ἐπὶ τῶν ἐκ φλέγματος ἀναπτομένων πυρετῶν, καὶ ἐπὶ τῶν ἐκ φλέγματος ἀναπτομένων πυρετῶν, καὶ ἐπὶ τῶν μαλακῶν, καὶ γυναικωδῶν σωμάτων. καὶ ἐπὶ τῶν δακνομένων τὸ ἔντερον. κεφαλὴν δὲ συμπληροῖ ἱκανῶς. διὸ ἐν πυρετοῖς εἰ μὴ ἀπαθὴς εἴη ἡ κεφαλὴ, οὐ χρηστέον αὐτῷ. Μαλάχης δὲ ἀφέψημα ἁρμόζει ἐπὶ στρόφων καὶ δηγμῶν. καὶ μάλιστα εἰ ξηρὸν ὑπόκειται σκύβαλον. λινοσπέρμου δὲ ἀφέψημα ἐπὶ σωμάτων. καὶ νοσημάτων καταξήρων ἁρμόδιον. χρήσιμον δὲ καὶ δήξεσι. καὶ ἄσαις. καὶ ἐπὶ τῶν σφόδρα διψώντων. κεφαλὴν δὲ, πληροῖ μὲν, οὐχ ὁμοίως δὲ τῇ τήλῃ. Πτισάνης δὲ χυλὸς, δύναται σκύβαλα διαλῦσαι σκληρά. καὶ σμῆξαι τὰ ἔντερα. καὶ δηγμοὺς παρηγορῆσαι. λύκος δὲ χυλὸς, καὶ δήξεων μέν ἐστι παρηγορητικός. μάλιστα δὲ ἁρμόζει καρδιακοῖς. καὶ διαφορουμένοις συγκοπτικῶς. πρὸς γὰρ τῷ τρέφειν καὶ τὴν δύναμιν ἀνακτᾶσθαι τὸ ἐνιέμενον. ἔτι δὲ καὶ ὄλισθον τοῖς ὑποκειμένοις σκυβάλοις παρέχεται. Πιτύρων δὲ χυλὸς, πυρετοῖς καταξήροις. καὶ κωλικαῖς ὀδύναις. καὶ ἑλκώσεσιν ἐντέρων, ἁρμόδιος, ῥύπτει γὰρ χωρὶς δήξεως. Ἀνδράχνης δὲ χυλὸς πυρετοῖς χρησιμώτατος. ἐπὶ δηγμῶν καὶ πυρώσεων. τῶν τε ἄλλως γινομένων, καὶ ἐφ' ὧν δι' ἔκκρισιν σκληρῶν ἢ δριμέων σκυβάλων ἢ δακτύλιος. ἢ τὸ ἀπευθυσμένον βλαβὲν, ἐρυσιπελατώδη διάθεσιν ἀνεδέξατο. μιγνύναι δὲ ἐπὶ τούτων χρὴ τὸν χυλὸν, καὶ ᾠόν. καὶ ῥόδινον. καὶ καθ' ἰδίαν δὲ ὁ χυλὸς τῆς ἀνδράχνης, ἐπιτήδειος πυρώσεως ἐρυσιπελατώδους. ἐν τῷ βάθει περὶ τὰ ἔντερα συνεδρευούσης. Γάλα δὲ ἐνίεται ἑλκώσεως οὔσης καὶ φλεγμονῆς περὶ τὰ ἔντερα. καὶ νεφροῖς καὶ κύστει καὶ ὑστέρᾳ. Ὀῤῥὸς δὲ γάλακτος ἐνιέμενος, ἐκκοπροῖ μὲν γενναίως. καὶ ἐξάγει τὰ ἐν τοῖς ἐντέροις εὑρισκόμενα περιττώματα πάντα. ῥύπτει δὲ καὶ τὰ ῥυπαρώτερα τῶν ἐν τοῖς ἐντέροις ἑλκῶν. χωρὶς δὲ πυτίας σκευαζέσθω. Ἔλαιον δὲ καθ' αὑτὸ ἐνιέμενον θερμὸν, ἁρμόδιον ἐπὶ φλεγμαινόντων ἐντέρων. ἐπιτήδειον δὲ καὶ ἐπὶ τῶν ἐσχατογήρων ἐφ' ὧν σκληροῦται τὸ σκύβαλον. μελίκρατον δὲ ἁρμόζει ἐνιέμενον ἐπὶ τῶν πραοτέρων πυρετῶν. καὶ ἐπὶ τῶν γυναικωδῶν σωμάτων. καὶ ἐπὶ παρακμαζόντων. οἷς ἀπευθυσμένον ἢ κῶλον κατέψυκται.

Πηγάνου δὲ ἀφέψημα καὶ ἀνήθου, καὶ κυμίνου, μετ' ἐλαίου διαλυτικὰ πνευμάτων ἐστὶ, διὸ κωλικοῖς ἐνίεται. εἶναι δὲ χρὴ ἐπὶ τούτων, δύο μὲν μέρη τοῦ ἀφεψήματος ἐνίεται. ἓν δὲ τοῦ ἐλαίου. Τήλεως δὲ ὁ χυλὸς βουτύρῳ καὶ τερεβινθίνης μιγνύμενος, ὡς εἶναι τὸ τέταρτον τοῦ χυλοῦ ἑκατέρων παρηγορητικώτατόν ἐστι τῶν περὶ τὸ ἔντερον στρόφων ἢ παλμῶν. καὶ γὰρ ἐπὶ πολὺ ἐμμένει ἀδήκτως. καὶ ἐξάγει τὰ περιττώματα ἀταράχως. χρησιμώτατον δέ ἐστι καὶ ἐπὶ τῶν περὶ τὴν ὑστέραν δήξεων. Πτισάνης δὲ χυλῷ μίγνυται, βούτυρον καὶ μέλι πάνυ ἐλάχιστον. καὶ γίνεται χρήσιμον ἐπὶ τῶν δι' ἕλκωσιν ἐντέρων κατεχομένων σκυβάλων. καὶ ἐπὶ τῶν ῥυπαρῶν, ἑλκῶν ἐν τοῖς ἐντέροις. Πηγάνινον δὲ ἔλαιον μετὰ βουτύρου. καὶ τερεβινθίνης, χρησίμως ἐνίεται ἐπὶ τῶν κωλικῶν ἀλγημάτων. ἐνίοτε δὲ πίσσης ὑγρᾶς ∠ γ̄. ἢ ἀσφάλτου ∠ δ̄. λεαίνοντες σὺν τῷ πηγανίνῳ ἐλαίῳ, ἐνίεμεν. καὶ παύει τὰς ὀδύνας. καὶ φλέγμα κενοῖ ἀλύπως. ἐνίοτε δὲ οἴνῳ γλυκεῖ βρύα ῥυπαρὰ ἑψήσαντες καὶ διηθήσαντες, συμπλέκομεν τῷ πηγανίνῳ ἐλαίῳ, ἐνίεμεν αὐτό. καὶ παύει

τὰς ὀδύνας τοῦ κώλου, ὡς εἶναι τοῦ μὲν οἴνου. μέτρα γ. τοῦ δὲ ἐλαίου, μέτρα β. Ἔτι δὲ κρεμαστήρων ἢ κύστεως, ὀδύνη παρείη, καὶ πετροσέλινον λειότατον ἐμπασσέσθω τῷ πηγανίνῳ ἐλαίῳ. ἐπὶ δὲ ἀλγημάτων ἀποστηματικῶν. ἢ ἀλγημάτων ἑλκωδῶν ἐν τοῖς ἐντέροις βούτυρον μετὰ μάννης ἐνίεμεν. ἢ μυελὸν ἐλάφειον. ἢ μόσχειον μετ᾽ ἐλαίου. Καταψύχρων δὲ ὄντων τῶν νοσημάτων. καὶ νωθρῶν ἀλγημάτων, χαλβάνην μετὰ τοῦ βουτύρου ἐνίεμεν, ὡς εἶναι τῆς χαλβάνης, ∠ α. τοῦ δὲ βουτύρου [illegible] ς. ἢ στύρακος ὀβολοὺς, γ μετὰ βουτύρου. Τοῖς δὲ δριμέσι κλύσμασι χρώμεθα, ἐπί τε ἰσχιαδικῶν. ληθαργικῶν. ὀρθοπνοικῶν. καὶ τῶν καταψύχρων νοσημάτων, ἐπί τε τῶν θανάσιμον φάρμακον εἰληφότων. καὶ διὰ ψύξιν ἢ θρόμβωσιν ἀναιρούντων. Ἐπὶ μὲν οὖν τῶν κατεψυγμένων ὅλον τὸ σῶμα ἀποπληκτῶν. ἰσχιαδικῶν τε καὶ νεφριτικῶν. καστορείου ὀβολοὺς δ. λείους μετ᾽ ἐλαίου ἐνίεμεν. νίτρον δὲ ἀντὶ ἁλῶν προσβάλλομεν, ὅταν βουλώμεθα δὶς ἢ τρὶς προθυμίαν ἐμποιεῖν πρὸς τὴν ἀπόκρισιν. οἱ γὰρ ἅλες, ἀθρόως μὲν δάκνουσιν. οὐ παραμένει δὲ αὐτῶν ἡ δῆξις ἐπὶ πολύ. κακωτικὸν δὲ κεφαλῆς καὶ συμπληρωτικὸν τὸ νίτρον. καὶ ἀνατρεπτικὸν στομάχου. τοῖς δὲ ἁλσὶν, οὐδὲν τοιοῦτον πρόσεστι. Δραστικὰ δέ ἐστιν ἐπὶ τῶν βραχέως ἐνεθέντων. γάρος τὸ ἀπὸ σιλούρων. θάλασσα ἅλμη. ἀφέψημα κενταυρείου. κολοκυνθίδος ἀριστολοχίας. σικύου ἀγρίου ῥίζης. ἀγαρικοῦ. θύμου. χαμαιπίτυος. κέγχρυος. οὗτοι γὰρ καὶ αἷμα ἄγουσι. καὶ αὐτῷ γε τούτῳ κουφίζουσι τὰς διαθέσεις.

Περὶ βαλανείων. ρξ.

Βαλανείοις χρώμεθα ποτὲ, δι᾽ ἀσθένειαν τῶν καμνόντων, οὐ δυναμένων χρῆσθαι κλύσμασι. ποτὲ δὲ, διὰ τὸ πρὸς τὸ ἀπευθυσμένον τὰ σκύβαλα εἶναι, καὶ μὴ δεῖσθαι κλύσματος. μάλιστα δὲ ἐπὶ πυρετῶν σφοδρῶν. καὶ διψωδῶν. καὶ ἀνάφορον ἐχόντων τὴν ὕλην. ἐφ᾽ ὧν ἐπὶ βλάβης ἐστὶν ἡ τῶν κλυσμῶν χρῆσις. ἀλυπότατα γὰρ ἐπὶ τούτων ἐξάγεται τὰ ἐγκείμενα περιττώματα διὰ τῶν βαλανείων. χρήσιμα δὲ καὶ τοῖς περὶ τὴν κεφαλὴν ψυχροῖς πᾶσι πάθεσιν. καταφορικοῖς καὶ παραφρόσι. Γίνεται δὲ αὐτῶν χρεία πολλάκις, καὶ ἐφ᾽ ὧν τὸ ἐνεθὲν διὰ κλυστῆρος οὐκ ἐκκρίνεται. σκευάζεται δὲ τὰ βαλάνια διαφόρως. καὶ γὰρ διὰ μέλιτος ἑφθοῦ, ἐφ᾽ ὧν μᾶλλον πνευμάτωσις ἐνοχλεῖ. καὶ θύμος δὲ λεῖος σὺν ἑφθῷ μέλιτι ἀναλαμβάνεται. καὶ κυκλάμινος λεία σὺν τῷ μέλιτι. καὶ ἀψίνθιον. ἢ ἀβρότονον. ἢ θέρμων ἄλευρον μετὰ μέλιτος. τοῦτο δὲ ἐπὶ ἑλμίνθων ἐπιτήδειον. ἢ ὕσσωπον. καὶ τραγορίγανον. καὶ ἐπίθυμον σὺν τῷ μέλιτι. τοῦτο ἐπὶ στομάχου ἀνατροπῇ χρήσιμον. Ἡ κόκκος κνίδειος μετὰ ῥητίνης ξηρᾶς. ἢ μέλιτος ἑφθοῦ. ἢ πύρεθρον σὺν τῇ ξηρᾷ ῥητίνῃ, ἢ νᾶπυ σὺν τῇ ξηρᾷ ῥητίνῃ. ἢ κενταύρειον σὺν πίσσῃ καὶ κηρῷ. ταῦτα δὲ χρήσιμα, ἐπὶ παρέσεως τῶν μορίων. ἢ ἄσφαλτος. πάνακος ῥίζης βραχύ. ὕσσωπον χαλβάνη. καὶ ῥητίνη ξηρά. χρήσιμον δὲ καὶ τοῦτο, ἐπὶ τῶν παρεθέντων ὅλον τὸ σῶμα. καὶ διὰ τοῦτο καὶ τὴν ἀποκριτικὴν δύναμιν καταπεσοῦσαν ἐχόντων. ποιεῖ δὲ καὶ ἐπὶ παρέσεως τοῦ ἀπευθυσμένου. ποιεῖ δὲ καὶ ἐπὶ ἀσκαρίδων. ἐνδέχεται δὲ ἀντὶ τοῦ μέλιτος, τῇ ξηρᾷ ῥητίνῃ χρῆσθαι ὡς εἴρηται. ἢ πίσσῃ. ἢ σύκῳ λιπαρῷ λειοτάτῳ. ἢ σταφίδι ἄνευ τῶν γιγάρτων. ἢ σαπώνῃ. καλλίστη δὲ βάλανος γίνεται ἐκ τῶν φύλλων τῆς λινοζώστεως χλωρῶν λειανθέντων. καὶ ἀναπλασθέντων. καὶ ξηραινομένων. ἐπὶ δὲ νηπίων, καὶ χόνδρος ἁλὸς ἐντίθεται.

Περὶ κροκύδων. ρξα.

Γίνεται προσθετῶν χρεία πολλάκις. ἐπὶ τῶν ῥαγάδας ἐχόντων ἐν δακτυλίῳ. ἢ κονδυλώματα. αὐξαίνεται δὲ ταῦτα ὑπὸ τῆς τῶν βαλανείων σκληρότητος. ὅθεν καὶ ἀναγκαζόμεθα κροκύσιν ἀντὶ τούτων κεχρῆσθαι. ὕλη δὲ καὶ τούτων ἅπασα ἡ προειρημένη. λειωθέντα σὺν μέλιτι. καὶ ἀναληφθέντα κροκύδι, ἐντίθεται τῷ δακτυλίῳ.

Περὶ ἀέρων Γαληνοῦ. ρξβ.

Χρηστὸς ἀήρ ἐστιν ἐν παντὶ καιρῷ, ὁ καθαρὸς ἀκριβῶς. εἴη δ᾽ ἂν οὗτος, ὁ μὴ ἐκ λιμνῶν. ἢ ἑλωδῶν χωρίων ἀναθυμιάσεως ἐπιθολούμενος. μηδὲ ἔκ τινος βαράθρου δηλητηρίαν αὔραν ἀποπνέων. διὸ ἐὰν ἔκ τινων ὀχετῶν ἐκκαθαιρόντων μεγάλην πόλιν ἐπιθολοῦνται, μοχθηρός ἐστι. καὶ μὴν καὶ ὅστις ὁμιχλώδης ἐστὶν, οὐκ ἀγαθός. ὥσπερ γε καὶ ὅστις ἂν ἐν κοίλῳ χωρίῳ πάντοθεν ὄρεσιν ὑψηλοῖς περιεχόμενος, μοχθηρὸς καὶ πνιγώδης. ὁ δὲ ἐν ὄρεσι καὶ ὑψηλοῖς χωρίοις μὴ δεχόμενος μηδεμίαν αὔραν, ὑγιεινότερος. ἐπιτήδειος ὀρθοπνοικοῖς. καὶ φθισικοῖς. καὶ πᾶσι τοῖς περὶ τὸν θώρακα καὶ κεφαλὴν πάθεσιν. Ὁ δὲ ἐν ταπεινοῖς χωρίοις, καθαρός. τοῖς συγκοπτομένοις ἐπιτήδειος. καὶ γέρουσιν. ὁ δὲ παραθαλάττιος, τοῖς ὑδρωπικοῖς καὶ τοῖς ῥευματικοῖς πάθεσι. καὶ ψυχροτέροις μάλιστα ἐπιτήδειος. καὶ νευρικαῖς συμπαθείαις. καὶ τοῖς ἀνορέκτοις. ὁ δὲ ἐν πετρώδεσι χωρίοις, χειμῶνος μὲν, χαλεπός. ψυχρὸς γάρ. θέρους δὲ πνιγώδης. κακὸς δὲ καὶ ὁ ἐκ μετάλλων ἀναθυμιώμενος. ὁ δὲ ἐκ τῶν ἀργιλωδῶν χωρίων, ἐκλυτικὸς στομάχου. ὁ δὲ ἐκ τῶν πυρρογείων τόπων, ξηραντικώτερος τοῦ προτέρου. ὁ δὲ ἐκ τῶν μαλακογείων, ἄριστος. καὶ περὶ τὰς ὥρας τοῦ ἔτους, ἐναλλαγαὶ περὶ τὸν ἀέρα γίνονται.

Ἐκ τῶν Ἀθηναίου.

Καὶ ἐν μὲν οὖν τῇ ἐαρινῇ ὥρᾳ, ὑγρὸς καὶ θερμὸς ὁ ἀήρ. ἐν δὲ τῇ θερινῇ, ξηρὸς καὶ θερμός. ἐν δὲ τῇ φθινοπωρινῇ, ψυχρὸς καὶ ξηρός. ἐν δὲ τῇ χειμερινῇ, ὑγρὸς καὶ ψυχρός. Πάλιν δὲ ἐν ἑκάστῃ τῶν

ὡρῶν, τρεῖς διαφοραὶ γίγνονται. πρώτη. καὶ μέση. καὶ ὑστάτη. τὰ μὲν οὖν μέσα, τὴν εἰλικρινεστάτην τῆς ὥρας ἔχει κρᾶσιν. τὰ δὲ πρῶτα καὶ ὕστατα, τῇ γειτνιώσῃ ὥρᾳ ἀπομειοῦνται. καὶ ἡ σελήνη δὲ κατὰ μῆνα ἐργάζεται διαφορὰς δ´, ἐν τῷ ἀέρι. ἡ μὲν οὖν πρώτη ἑβδομὰς, ἀπὸ νεομηνίας μέχρι τῆς ἑβδόμης, παρέοικε τῷ ἀέρι, ὑγρὰ καὶ θερμὴ οὖσα. ἡ δὲ δευτέρα ἑβδομὰς, μέχρι πανσελήνου, θερμὴ παραπλησία. ἡ δὲ τρίτη ἑβδομὰς, φθινούσης σελήνης, ψυχρὰ καὶ ξηρά. ἡ δὲ τετάρτη καὶ τελευταία, ψυχρὰ καὶ ὑγρά. καὶ καθ᾽ ἑκάστην δὲ ἡμέραν διαφοραὶ τοῦ ἀέρος γίγνονται. ὁ μὲν γὰρ ὄρθρος, ὑγρὸς καὶ θερμὸς τὸ ἔαρ. διὰ τοῦτο καὶ τὰ σώματα ἀνίεται. καὶ τῶν ὑγιαινόντων. καὶ τῶν νοσούντων. ὥστε καὶ τοῖς πυρέσσουσιν ὁ καιρὸς οὗτος ἀφορώτατος. τὰ δὲ μέσα τῆς ἡμέρας, θέρει παρέοικε. τὰ δὲ κατὰ τὴν δείλην, φθινοπώρῳ. τὰ δὲ περὶ ἑσπέραν, χειμῶνι. καὶ τῆς νυκτὸς δὲ τὰ πρῶτα, τῷ ἔαρι τῆς ἑσπέρας παρέοικε. τὰ δὲ μέσα, τῷ θέρει παρέοικε. καὶ τὰ ἄλλα ἀκολούθως.

Περὶ ἀνέμων, ἀδαμαντίου σοφιστοῦ. ρξγ´.

Ἐπεὶ δὲ ἐκ τῶν γῆς ἀναθυμιάσεων οἱ ἄνεμοι γεννῶνται, διοριστέον διὰ βραχέων καὶ περὶ τούτων. τοὺς μὲν ἀνέμους, ὠδίνει ἡ γῆ. τίκτει δὲ λιγνυώδεις ἀναθυμιάσεις. θερμότης γὰρ μεθ᾽ ὑγρότητος ἐναπειλημμένη, ξηροτέρας ἀναθυμιάσεις. καὶ διὰ λιγνυώδεις ποιοῦσα, τοὺς ἀνέμους γεννᾷ. ξηρὰν δὲ ἀναθυμίασιν ἀκουέτω, πρὸς σύγκρισιν τῶν ἄλλων. ὡς εἰ λέγοιμεν, διὰ ξηροτέραν. δώδεκα δὲ τὸν ἀριθμόν εἰσιν οἱ καθολικοὶ ἄνεμοι. ἀνατολικοὶ μὲν τρεῖς. εὖρος. ἀπηλιώτης. καὶ καικίας. ἄλλοι δὲ τρεῖς δυτικοί. λίβας. ζέφυρος. καὶ θρασκίας. εἷς δὲ ὁ μεσημβρινὸς καλούμενος νότος. καὶ εἷς ὁ βόρειος καλούμενος ἀπαρκτίας. ὡς εἶναι τοὺς εἰρημένους ὀκτώ, ἄλλοι δὲ τέσσαρες εἰσὶ μεταξὺ τῶν εἰρημένων. ἐκ τῶν διγωνιῶν τοῦ κόσμου ἐγειρόμενοι μεταξὺ ἀνατολῶν καὶ μεσημβρίας, ὁ εὐρόνοτος. μεταξὺ δὲ μεσημβρίας καὶ δύσεως, ὁ λιβόνοτος. καὶ μεταξὺ μὲν ἀνατολῶν καὶ ἤτοι ἀπαρκτίου, ὁ βορρᾶς. μεταξὺ δὲ βορρᾶ καὶ δυσμῶν, ἀργέστης. ὡς εἶναι τοὺς πάντας καθολικοὺς, ιβ´. οἱ δὲ ἄλλοι ὅσοι εἰσὶν ἐπιχώριοι, νόθοι καθεστήκασιν. αἱ δὲ ἄλλαι ἀναθυμιάσεις αἱ ἐκ τῆς γῆς γιγνόμεναι, ὑγρότεραι τούτων εἰσὶ τῶν, τὸν ἄνεμον γεννώντων. εἰ μὲν οὖν εἴη τὸ ἀναθυμιώμενον ὀλίγον τε καὶ λεπτὸν, ἀτμὶς νεφελώδης συνίσταται. εἰ δὲ καὶ λεπτὸν καὶ παχύτερον, ὁμιχλώδης. εἰ δὲ ἔτι παχύτερον, ὀρφνώδης. πλείστης δὲ καὶ παχυτάτης ἀναφερομένης ὑγρότητος, ἀτμὶς ἀναχεῖται τῷ περιέχοντι δροσώδης. Ἐκ τούτων τῶν τεσσάρων ἀναθυμιάσεων, συγκρινομένων, δρόσοι καὶ ὄμβροι καταφέρονται. πηγνυμένων δὲ, πάχναι. καὶ χιόνες. καὶ χάλαζαι πρὸς τὴν ποιότητα τοῦ κρύους. καὶ τὴν ποσότητα. οὐδὲ μία δὲ τούτων ἄνεμον γεννᾶν πέφυκεν, ἀργή τε οὖσα. καὶ ῥύμην οὐκ ἔχουσα. καὶ ἡ μὲν ὑγρὰ ἀναθυμίασις, ἥτις ὀνομάζεται ἀτμὶς, ποιεῖ δρόσους ἢ ὄμβρους. ἡ δὲ ξηροτέρα, ποιεῖ τοὺς ἀνέμους. καὶ ἔστιν ἡ ξηρὰ, τῇ ὑγρᾷ ἐναντία. πῶς δὲ κατὰ τὸ αὐτὸ πολλάκις ὄμβρος καὶ ἄνεμος γίγνεται, ἐροῦμεν. ὅτι ἐξ ἄλλου καὶ ἄλλου τόπου ἀναφέρονται. ὅταν μὲν γὰρ ἐκ διαφερόντων τῷ πλάτει τόπων αἱ ἐναντίαι ἀναθυμιάσεις γίγνωνται, τότε καὶ ὕει. καὶ πνεῖ. διατί δὲ ποτὲ μὲν μετὰ τὸν ὑετὸν ἄνεμοι γίγνονται. ποτὲ δὲ μετὰ τοὺς ἀνέμους ὁ ὑετὸς ἐπακολουθεῖ. λέγομεν. ὅτι τὸ ἐν τῇ γῇ θερμὸν, οὐκ ἔχει ἐν τῷ καιρῷ ἐκείνῳ ὑγρὸν ὃ ἐγκαύσει. καὶ διὰ τοῦτο μένει ἀργόν. λαβόμενον δὲ τοῦ ὑετείου ὑγροῦ, ἐκβάλλει. καὶ τῇ ἐγκαύσει τῆς ὕλης λιγνὺν ἐγείρων, τοὺς ἀνέμους ἐργάζεται. οἵτινες ἤδη δαπανηθέντος τοῦ ὕοντος νέφους, μένουσιν ἐν αἰθρίᾳ πνέοντες. ἢ ἐλαύνουσι τὸ γεννῆσαν αὐτούς. ὁ μὲν οὖν ὑετὸς, οὕτως ἀνέμους γεννᾷ. ἄνεμος δὲ, ὑετοὺς κατὰ τόνδε τὸν τρόπον γεννᾷ. Ἐδείξαμεν ὡς κοινὴ μὲν ἡ θερμότης ἀμφοτέραις ταῖς ἀναθυμιάσεσι. τῷ δὲ ποσῷ, ἡ ὑγρότης διάφορος. ὅταν οὖν πολὺ ᾖ τὸ θερμόν. δαψιλὴς δὲ ἡ ὑγρότης, τότε τὴν μὲν προσπελάζουσαν ἐπιπολῆς ὑγρότητα ἐκκαίει. καὶ ποιεῖ λιγνὺν ἅμα καὶ ἀτμούς. διαπνέουσαν δὲ τὸ θερμὸν ἐκ τῆς πολλῆς ὑγρότητος, ἐλαττοῦται κατὰ βραχύ. καὶ οὐκέτι ἐκκαίει τὴν ὑγρότητα. ἀλλὰ χέει, καὶ ἀτμοὺς ἀντὶ λιγνύος ποιεῖ. καὶ οὕτως διαδέχεται ὁ ὄμβρος τοὺς ἀνέμους. καὶ πολλάκις ἐπὶ πλείους ἡμέρας κατέχει ὁ ὄμβρος ἐκλυθέντος τοῦ θερμοῦ. καὶ μηκέτι ἰσχύοντος ἐκκαῦσαι τὴν ὕλην. διατί δὲ πολλοὶ καὶ συνεχεῖς βόρειοι καὶ ἐτήσιοι ἄνεμοι κατὰ τὸ θέρος γίγνονται. ὅτι ὁ ἥλιος ὑπὸ τὸν βόρειον πόλον εὑρὼν ὑγρασίαν πλείστην. τοῦτο μὲν ἐν χιόνι. τοῦτο δὲ ἐν ὕδασι πεπηγόσι. καὶ ταύτῃ τῇ κατὰ βραχὺ, μερίζει μὲν εἰς γένεσιν ποταμῶν καὶ λιμνῶν. ἐκχέει δὲ καὶ πηγὰς ἐπὶ τῆς γῆς. καὶ διὰ τοῦτο πολλὰς ἀναθυμιάσεις ἐργάζεται. ἃς εἰς φλόγα ἐκκαίων σὺν ταῖς ἐν τῇ γῇ πολλῷ τῷ χρόνῳ κεκρυμμέναις θερμότησι, λιγνυώδεις αὐτὰς ἐργάζεται. καὶ εἰς ἄνεμον χρονίου ῥύσιν ποιεῖ τὸ κατὰ βραχὺ ἐκκαιόμενον. κοινῶς μὲν οὖν πᾶς ἄνεμος, ἐκτενεστέραν ἀπόλαυσιν ἀέρος παρέχει τοῖς σώμασι. τῇ βίᾳ τῆς κινήσεως εἰσάγων τὸν ἀέρα. καὶ οἱ μὲν τοπικοὶ τῶν ἀνέμων, παραπλήσιοι τοῖς τόποις εἰσίν. ἀφ᾽ ὧν πνέουσιν. οἱ μὲν ἀπὸ ὑγιεινῶν χωρίων, ὑγιεινοί. οἱ δὲ ἀπὸ νοσερῶν, νοσεροί. ὅθεν ἐκ τῶν προειρημένων περὶ ἀέρος, καὶ περὶ τούτων δεῖ τεκμαίρεσθαι. συντόμως δὲ εἰπεῖν. ἅπαντες οἱ τοπικοὶ ἄνεμοι, τῶν καθολικῶν νοσερώτεροι εἰσί. καὶ γὰρ ἀνωμάλως διατίθενται τὰ σώματα. μήτε ὅλον τὸν ἀέρα συγκινοῦντες, μήτε δι᾽ ὅλης τῆς ἡμέρας πνέοντες. μάλιστα γὰρ οἱ ἐν τόποις, περὶ τὸν ὄρθρον μόνον

πνέουσιν· οὓς οἱ ναῦται ἀπογείους καλοῦσι. τῶν δὲ καθολικῶν ἀνέμων, οἱ μὲν ἀπὸ τῆς μεσημβρίας
νότοι καλούμενοι, θερμοὶ κατὰ τὴν κρᾶσιν ὑπάρχοντες ἀεί, ὡς ἐπίπαν μὲν εἰσὶ καὶ ὑγροί· μεταλλάτ-
τονται δὲ ἐνίοτε πρὸς τὰς ὥρας τοῦ ἔτους· καὶ γίγνονται θερμοὶ καὶ ξηροί· καὶ διὰ τοῦτο ποικίλα
νοσήματα γεννῶσιν· οἱ δὲ βορεινοί, ψυχροὶ τὴν κρᾶσιν εἰσί· καὶ διὰ τοῦτο καὶ ὑγιεινότατοι πάντων ἀνέ-
μων· καὶ μάλιστα ἐπὶ τῶν θερμοτέρων καὶ πολυσάρκων σωμάτων· εἰ δὲ ἀνατολικοὶ ἄνεμοι, ἰσχυρό-
τατοι σφόδρα καὶ τῶν κατὰ ξηρότητα συμβαινόντων νόσων ἀποτελεστικοί· οἱ δυτικοί, ὑγροὶ καὶ προ-
σηνεῖς· καὶ οἰκειότεροι μᾶλλον τοῖς σώμασιν ἡμῶν.

Περὶ ἐπισημασιῶν ἀστέρων. ρξδʹ.

Ἐπεὶ καὶ οἱ κατ᾿ οὐρανὸν ἀστέρες ἀνατέλλοντες κατὰ τοὺς τεταγμένους αὐτοῖς ὑπὸ τοῦ θεοῦ καιρούς· καὶ
δύοντες ὁμοίως τὸν ἀέρα ἀλλοιοῦσιν· ὡς συμβαίνειν ἐκ τούτου καὶ τοὺς ἀνέμους ἄλλοτε ἄλλως πνεῖν,
10 ἀναγκαῖον ἐνόμισεν ἐνταῦθα δηλῶσαι καὶ τοὺς καιρούς· ἐν οἷς αἱ τῶν σαφῶς ἀλλοιούντων τὸν ἀέρα
ἀνατολαὶ καὶ δύσεις γίγνονται· καὶ γὰρ τῶν ὑγιαινόντων τὰ σώματα· καὶ πολλῷ μᾶλλον τῶν νοσούν-
των, ἀλλοιοῦται πρὸς τὴν τοῦ ἀέρος κατάστασιν. Μηνὶ μαρτίῳ· ὅ ἐστι δύστρος, ὁ λεγόμενος ἵππος,
ἑῷος ἀνατέλλει, ιθʹ. Μηνὶ μαρτίῳ κγʹ· ἰσημερία ἐαρινή ἐστι καὶ μεγίστη ταραχὴ τοῦ ἀέρος. Μηνὶ
ἀπριλλίῳ αʹ· πλειάδες ἀκρόνυχοι φαίνονται. Μηνὶ ἀπριλλίῳ ιθʹ· πλειάδες ἑσπέριοι κρύπτονται.
Μηνὶ ἀπριλλίῳ καʹ· πλειάδες ἅμα ἡλίου ἀνατολῇ ἐπιτέλλουσι· καὶ ἔστι μεγίστη ἡ περὶ τὸν ἀέρα ταρα-
χή. Μηνὶ ξανθικῷ· τουτέστιν ὁ ἀπρίλλιος μήν, εἰς τὰς κζʹ· ὠρίων ἑσπέριος κρύπτεται. Μηνὶ ἀρ-
τεμισίῳ, ὅ ἐστι μαΐῳ εἰς τὴν πρώτην, ὑάδες ἅμα ἡλίου ἀνατολῇ ἐπιτέλλουσι. Μηνὶ μαΐῳ εἰς τὰς δʹ·
λύρα ἑσπέριος ἐπιτέλλει· καὶ ἀλλοιοῦται ὁ ἀὴρ ἱκανῶς. Μηνὶ μαΐῳ εἰς τὴν ϛʹ, αἲξ ἑῴα ἐπιτέλλει·
καὶ σφόδρα ἀλλοιοῦται ὁ ἀήρ. Μηνὶ μαΐῳ, ζʹ· πλειάδες ἑῷαι φαίνονται· καὶ ἄρχεται ὁ ἀὴρ καθί-
20 στασθαι. Μηνὶ μαΐῳ ιθʹ· ὑάδες ἑῷαι φαίνονται· καὶ ἀλλοιοῦται πάνυ ὁ ἀὴρ πρὸ μιᾶς ἢ δύο ἡμερῶν.
Μηνὶ μαΐῳ κδʹ· αἲξ ἑσπέριος κρύπτεται· καὶ κινεῖται ὁ ἀὴρ πρὸ δύο ἡμερῶν. Μηνὶ ἰουνίῳ, βʹ· ἀετὸς
ἑσπέριος ἐπιτέλλει. Μηνὶ ἰουνίῳ, ϛʹ, ἀρκτοῦρος δύει. Μηνὶ ἰουνίῳ, θʹ· δελφὶς ἑσπέριος ἐπιτέλ-
λει. Μηνὶ ἰουνίῳ κεʹ, ὠρίων ἑῷος ἄρχεται ἀνατέλλειν· εἰσὶ δὲ τροπαὶ θεριναί· καὶ ἀλλοιοῦται σφό-
δρα ὁ ἀήρ· πρὸ τριῶν ἡμερῶν. Μηνὶ ἰουλίῳ, γʹ· ὠρίων ὅλος ἐπιτέλλει. Μηνὶ ἰουλίῳ ιδʹ, ὁ κύων
ἑῷος ἐπιτέλλει. Μηνὶ ἰουλίῳ ιθʹ· κύων ἑῷος ἐπιτέλλει καὶ γίγνεται μεγίστη τοῦ ἀέρος ταραχή· ἐνίο-
τε καὶ πρὸ δύο ἡμερῶν. Μηνὶ ἰουλίῳ κεʹ· ἀετὸς ἑῷος δύει. Μηνὶ αὐγούστῳ ιεʹ· λύρα ἑῷος δύει.
Μηνὶ αὐγούστῳ ιθʹ· δελφὶς ἑῷος δύει· καὶ ἔστι ῥοπὴ τοῦ θέρους ἐπὶ τὸ ψυχρόν. Μηνὶ αὐγούστῳ κηʹ·
προτρυγητὴς ἑῷος ἐπιτέλλει· καὶ ὁ ἵππος δύει· ἔστι τέλος τῶν, ὧν μετὰ τὴν ἐπιτολὴν τοῦ κυνὸς ἡμερῶν,
μʹ. Μηνὶ σεπτεμβρίῳ, ζʹ· αἲξ ἑσπέριος ἐπιτέλλει. Μηνὶ σεπτεμβρίῳ, ιζʹ· ἀρκτοῦρος ἐπιτέλλει·
30 καὶ ἀλλοιοῖ τῇ ἑξῆς τὸν ἀέρα. Μηνὶ σεπτεμβρίῳ ιθʹ· στάχυς ἑῷος ἐπιτέλλει· ἀλλοιοῦται δὲ ὁ ἀὴρ πρὸ
δύο ἡμερῶν. Μηνὶ σεπτεμβρίῳ κεʹ· ἰσημερία φθινοπωρινή· καὶ ἔστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ
τριῶν ἡμερῶν· διὸ παραφυλάττεσθαι χρή, μὴ φλεβοτομεῖν μὴ δὲ καθαίρειν· μὴ δ᾿ ἄλλως τὸ σῶμα κι-
νεῖν σφοδρᾷ κινήσει, ἀπὸ ιεʹ τοῦ σεπτεμβρίου μηνός, μέχρι κδʹ τοῦ αὐτοῦ μηνός. Μηνὶ ὀκτωβρίῳ, ϛʹ·
στέφανος ἑῷος ἐπιτέλλει· καὶ ἔστι σφοδρὰ μεταβολὴ τοῦ ἀέρος. Μηνὶ ὀκτωβρίῳ, ζʹ· ἔριφοι ἑσπέριοι
ἐπιτέλλουσι. Μηνὶ ὀκτωβρίῳ, ιζʹ· ὑάδες ἑσπέριοι ἐπιτέλλουσι· καὶ ἱκανὴ ταραχὴ τοῦ ἀέρος γίγνεται.
Μηνὶ ὀκτωβρίῳ κγʹ· ἅμα ἡλίου ἀνατολῇ, πλειάδες δύουσι· καὶ ἔστι μεγίστη ταραχὴ τοῦ ἀέρος πρὸ μιᾶς
ἡμέρας. Μηνὶ νοεμβρίῳ, ϛʹ· πλειάδες ἑῷαι δύουσι· καὶ ἄρχεται καθίστασθαι ὁ ἀήρ. Μηνὶ
νοεμβρίῳ ιαʹ· λύρα ἑῷος ἐπιτέλλει. Μηνὶ νοεμβρίῳ καʹ· ὑάδες ἑῷαι δύουσι· καὶ ταραχὴ περὶ τὸν
ἀέρα γίγνεται τῇ ἑξῆς. Μηνὶ νοεμβρίῳ κζʹ· ὠρίων ἐπιτέλλει· καὶ στέφανος δύει. Μηνὶ δεκεμ-
40 βρίῳ, αʹ· κύων ἑῷος δύει· τετήρηται δὲ τοῖς πολλοῖς, εἴγε χειμάσειε ταύτῃ τῇ ἡμέρᾳ· ἐπιμένει γὰρ ὡς
ἐπίπαν ἡ ταραχὴ τοῦ ἀέρος, μέχρις ἡμερῶν λζʹ· εἰ δὲ εὐδιάσει, τὸ αὐτὸ σημαίνει. Μηνὶ δεκεμβρίῳ,
ιʹ· ἔριφοι ἑῷοι δύουσι. Μηνὶ δεκεμβρίῳ, ιαʹ αἲξ ἑῴα δύει· καὶ ταραχὴ δὲ γίγνεται μετὰ μίαν ἡ-
μέραν. Μηνὶ δεκεμβρίῳ, κγʹ· τροπαὶ χειμεριναί. Μηνὶ ἰαννουαρίῳ, δʹ· δελφὶς ἐπιτέλλει. Μη-
νὶ ἰαννουαρίῳ, εʹ· ἀετὸς ἑσπέριος δύει· ταραχὴ δὲ σφόδρα γίγνεται μετὰ δύο ἡμέρας. Μηνὶ ἰαν-
νουαρίῳ, κεʹ· ὁ λαμπρὸς ἀστὴρ ὁ ἐν τῷ λέοντι δύει. Μηνὶ φεβρουαρίῳ, ϛʹ· ζέφυρος πνεῖ. Μηνὶ
φεβρουαρίῳ, κβʹ· ἵππος δύει ἑσπέριος· καὶ ἔστι ταραχὴ ἱκανὴ τοῦ ἀέρος. Μηνὶ φεβρουαρίῳ, κεʹ· ἀρκτοῦ-
ρος ἑσπέριος ἐπιτέλλει. Καὶ εἰς κϛʹ, καὶ χελιδόνες πέτονται καὶ φαίνονται.

Περὶ ὑδάτων ἐκ τοῦ Ῥούφου. ρξεʹ.

Τῶν πινομένων ὑδάτων, πέντε εἰσὶν αἱ καθόλου διαφοραί· ὄμβριόν τε γάρ· καὶ πηγαῖον· καὶ φρεάτιον· καὶ
50 ποτάμιον· καὶ λιμναῖον· φαίνεται δὲ τούτων, τὸ μὲν ὄμβριον, κουφότατον καὶ εὐμεταβλητότατον· καὶ
τοῖς ἄλλοις πάθεσι πίνεσθαι κάλλιστον. παραχρῆμα ἰθούμενον καὶ ἐξαιρούμενον· πυρετῷ δὲ καὶ χολέρᾳ
καὶ ἰκτερικοῖς, ἀνάρμοστον· σήπεται γὰρ ῥᾳδίως καὶ ἀποχολοῦται· εὔθετον δὲ φάρμακον ὀφθαλμικοῖς,
ὅσα ῥεύματα ἐστὶν· ἢ ἑλκῶν· τοῖς δὲ ὀξυδερκέσιν, οὐ κατάλληλον· οὐδὲ ταῖς πλύσεσι τῶν μεταλλι-
κῶν φαρμάκων· στύψιν γὰρ ἔχει πλείω τοῦ πηγαίου· διὸ οὔτε ῥύπτει, οὔτε ἕψει ῥᾳδίως, οὔτε βρέχει· καὶ

τὰς ἐκκρίσεις ἐμποδίζει. χρονίζον δὲ, στρυφνότερον καὶ βραδυπορώτερον γίνεται. καὶ δυσδιαχω-
ρητικώτερον. βραδύτερον δὲ πέττεται καὶ ἀναδίδοται. γεννᾷ δὲ καὶ κατάῤῥους μάλιστα, εἰ ψυχρὸν πί-
νοιτο. τῶν δὲ πηγαίων ὑδάτων ὅσων αἱ πηγαὶ πρὸς ἄρκτους ἐῤῥώγασιν ἐκ πετρῶν λειβόμεναι. τὸν ἥ-
λιον ἀπεστραμμένον, ἀτέραμνά τε καὶ βραδύπορα τὰ τοιαῦτα ὕδατα. καὶ βραδέως θερμαίνεταί τε
καὶ ψύχεται. ὅσα δὲ πρὸς τὰς ἀνατολὰς ἐῤῥώγασιν αἱ πηγαί. καὶ διὰ πόρου τινός. ἢ γῆς καθαρᾶς διη-
θεῖται. θερμαίνεταί τε καὶ ψύχεται τάχιστα, ταῦτα ἐστὶν ἄριστα. εἰ μή τις ἀπὸ ὀχετῶν τινῶν αὐτοῖς
κακία προσγίγνοιτο. τὸ δὲ φρεάτιον, ψυχρὸν γεῶδες δυσέκκριτον. δυσαναδότον. καὶ διὰ τοῦτο τοῖς καυ-
σουμένοις στόμαχον ἢ γαστέρα, ἐπιτηδειότερον τοῦ πηγαίου. ποτάμια δὲ ὕδατα καὶ λιμναῖα, πάν-
τα τὰ κακά. πλὴν τοῦ νειλώου. τοῦτο γὰρ πάσαις ταῖς ἀρεταῖς κεκόσμηται. καὶ γὰρ καὶ πινόμενον ἡ-
10 δύ. καὶ μέτριον χρόνον ἐν κοιλίᾳ διατρίβει. ἄδιψόν τε ἐστί. καὶ εἰ ψυχρὸν τὶς πίνοι, ἀλυπότατον. καὶ εἰς
πέψιν καὶ ἀνάδοσιν χρήσιμον. ὅθεν εὐάρμοστον. καὶ ῥωμαλέον. καὶ εὔχροον. τὸ δὲ τῶν ἄλλων ποταμῶν
ὕδωρ, δυσκατέργαστον. καὶ κατάξηρον. καὶ διψῶδες. καὶ μάλιστα ὅταν μοχθηρά τινα χωρία διοδεύῃ.
ἀμείνους δέ εἰσι τῶν ποταμῶν, καὶ ὅσοι διὰ πηγῶν ἀενάων ῥέουσι. καὶ ὅσοι ἀμιγεῖς εἰσιν ἄλλοις ποτα-
μοῖς. τὸ δὲ λιμναῖον ὕδωρ. διά τε τὰ πέριξ τέλματα, ἰλυῶδες καὶ βαρὺ ὑπάρχον. διά τε τὴν στάσιν
καὶ ἀκινησίαν, οἷον νενεκρωμένον καὶ σεσηπός. ὥστε οὐδέποτε παρόντος ὕδατος ἑτέρου μεταδοτέον
τούτου τοῖς ἀσθενοῦσι. Καὶ περὶ δὲ τὴν γῆν καὶ τὰ κλίματα, διαφοραὶ τῶν ὑδάτων πλεῖσται γί-
γνονται. συντόμως δὲ εἰπεῖν, τὸ τῇ γεύσει συνηρμοσμένον. καὶ τὸ ἐκ τῆς πείρας τῶν ἐνοικούντων
μαρτυρούμενον, ἄριστον ἡγητέον. τὸ γὰρ ταχέως ἐκθερμαινόμενόν τε καὶ ψυχόμενον. καὶ ῥαδίως
ἕψουν κρέα τε καὶ τὰ ἄλλα πάντα, καὶ τὰ σιτία, ἐν τῇ γαστρὶ πέττει. Ὅσα δὲ τῶν ὑδάτων στύψιν
20 ἢ ἁλμυρίδα. ἢ νιτρώδιαν. ἢ παχύτητα. ἢ ἄλλο τι παρεμφαίνει γευομένοις, πονηρά. καὶ τὰ δύσοσμα.
καὶ ὅσα ἐπίπαγον ἴσχει. καὶ ὑπόστασιν ἰλυώδη καὶ στερεάν. καὶ ὅσα προσπήγνυται τοῖς χαλκείοις λι-
θώδως. καὶ ὅσα βδέλλας τρέφει. ἢ τοιαῦτα τινὰ μοχθηρὰ ζῶα. καὶ τὰ στάσιμα. καὶ τὰ ἑλώδη. καὶ τὰ ἐν
μετάλλοις χρυσοῦ. καὶ ἀργύρου. ἢ στυπτηρίας. ἢ θείου. ἢ τῶν ὁμοίων. ὅσοις τε ἐμπεφύκασι ῥίζαι οὐκ ἐ-
πιτήδειοι. καὶ οἷς γειτνιᾷ θερμὰ ὕδατα ἤγουν αὐτοφυῆ, πάντα τὰ τοιαῦτα πονηρά. ἄριστον οὖν τὸ
τοιοῦτον ὕδωρ. προεψήσαντας ἐν κεραμίοις ἀγγείοις. καὶ ψύξαντας. καὶ πάλιν θερμάναντας, πίνειν.
ἐν δὲ ταῖς ὁδοιπορίαις ἢ στρατοπέδῳ, βόθρους ὀρυκτέον ἐφεξῆς ἀπὸ τῶν ὑψηλοτάτων εἰς τὰ καταν-
τῆ καὶ διὰ τούτων ἀκτέον τὸ ὕδωρ. ἐμβάλλοντας εἰς τοὺς βόθρους ὅλους. γῆν γλυκεῖαν καὶ λιπαράν.
ἀφ᾽ ἧς οἱ κέραμοι γίγνονται. ἀεὶ γὰρ ἐν τοῖς βόθροις ἐγκαταλείπεται ἡ τοῦ ὕδατος κακία. καθόλου δὲ
ἅπαν ὕδωρ, βραδύπορον. καὶ δύσπεπτον καὶ φυσῶδες. καὶ μάλιστα τὸ ψυχρὸν, κατάῤῥου ποιητικόν. εἰ
30 δὲ λάχανα τὶς προσφερόμενος πίνοι ὕδωρ, κίνδυνος μᾶλλον. ἀχῶρας καὶ ψώρας. καὶ λέπρας. ἐξαν-
θήματα καὶ λιχῆνας. πιτυριάσεις. καὶ ἕλκη σηπόμενα. ἕρπητας καὶ σατυριάσεις. ἐκ τούτων τινὰ,
τὸν ἄνθρωπον ἔχει. καὶ προσέτι οὖρα δακνώδη. καὶ διαχωρήματα. καὶ μᾶλλον εἰ νιτρῶδες εἴη τὸ ὕδωρ.
ἀνάρμοστον δὲ καὶ θώραξι. καὶ ἡλκωμένῃ ἀρτηρίᾳ, τὸ νιτρῶδες. καὶ νεφροῖς καὶ κύστει. καὶ πᾶσιν ἕλκεσι.
βοηθεῖ δὲ τῷ μὲν νιτρώδει, τὰ ἀμβλύνοντα σιτία καὶ οἶνος. τῷ δὲ παχεῖ, τὰ τέμνοντα καὶ λεπτύνον-
τα. οἷον σκόροδα. καὶ τὰ παραπλήσια. τὰ δὲ στυπτηριώδη, οἶνος λεπτότατος. οὐρητικὸς καὶ τὰ πάν-
τα. καὶ πάντα τὰ τὰς ἐκκρίσεις προτρέποντα. δοκεῖ δὲ ὕδωρ ἁρμόζειν, κεφαλῆς ἀλγήμασιν. ἀμ-
βλυωπίαις. ἐπιληπτικοῖς. ἀρθριτικοῖς. ῥευματώδεσι. παραλελυμένοις καθ᾽ αὑτὸ καὶ μετὰ μέλιτος προ-
πινόμενον. οἰκειότερον δὲ ταῖς ὑστερικῶς πνιγομέναις. καὶ τοῖς, χολώδεις ἐμοῦσιν. ἢ μέλαν καὶ πυ-
ρῶδες. ὑφ᾽ ὧν στόμα κοιλίας δάκνεται. καὶ ἀτόνῳ κοιλίᾳ καὶ νήστει. καὶ τοῖς ἱδρωτικοῖς νέοις εὐσάρ-
40 κοις. καὶ τοῖς πιμελώδεσι πᾶσι. καὶ τοῖς ὑπὸ ῥήγματος θαιρομένοις. καὶ τοῖς αἱμοῤῥαγοῦσιν ἐκ τραύματος.
ἢ μυκτήρων. ἢ ἑτέρου τόπου. εὔθετεῖ δὲ καὶ καυσώδει πυρετῷ ἐν καιρῷ διδόμενον. εὔθετεῖ δὲ καὶ τοῖς
ὀνειρώττουσι συνεχῶς. καὶ γονοῤῥοϊκοῖς πινόμενον. εἰ δὲ καὶ νηχόμενοι καὶ προσβρεχόμενοι, ὠφελοῦν-
ται. καὶ γυναιξὶ ῥοώδεσι. καὶ κιττώσαις ἁρμόζει καὶ τοῖς λύζουσι καὶ τοῖς τὸ σῶμα δυσώδες ἔχουσι
ψυχρὸν πινόμενον. χλιαρὸν δὲ ἁρμόδιον ἐπιληπτικοῖς. κεφαλαλγικοῖς. ὀφθαλμιῶσιν. οὔλοις ὀδυν-
των. ἀναβιβρωσκομένοις. καὶ ὀδοῦσι τετραμμένοις. οὔλων ἀποστήματα. καὶ αἱμάσσουσι. καὶ φάρυγγι ἡλ-
κωμένῃ παρισθμίων ῥεύματι ἀπὸ κεφαλῆς. μελαγχολίᾳ πυρώδει. καὶ χολέρᾳ κατ᾽ ἀρχὰς καὶ
ἐμέτοις ἐν πυρετῷ χολώδει. ἁρμόζει δὲ τὸ χλιαρὸν ὕδωρ. καὶ ὅταν τῷ ψυχρῷ κώλυμα εἴη. καὶ τοῖς
ἕλκη ἔχουσι περὶ τὸ διάφραγμα. καὶ τοῖς αἷμα πτύουσι. καὶ ῥήγμασι τοῖς ἐν τῷ ὑπεζωκότι τὰς
πλευρὰς ὑμένι. Θερμὸν δὲ ὕδωρ ἁρμόζει, ὅπου δεῖ ἔκκρισιν παρασκευάσαι καὶ ὅπου λεπτῦναί
50 τι. καὶ ὅπου διαχέαι. ἢ τῆξαι. ἢ ἁπαλῦναι. ἢ ἀποπλῦναι. ἢ συμπέψαι. ἢ διαφορῆσαι βουλόμεθα. καθ-
όλου μὲν οὖν ταῦτα δύναται τὸ θερμὸν πινόμενον. κατὰ μέρος δὲ μύξαν ἄγειν. καὶ ἀναχρέμψει
συνεργεῖν. καὶ ὀδύνην παύειν πραΰνειν. καὶ μάλιστα ἐν ὑποχονδρίοις καὶ ἐν τέροις. ἔρυγὴν κι-
νῆσαι. καὶ φύσαν προσκαλέσασθαι. καὶ οὖρον ἀγαγεῖν. καὶ διαχώρημα. ἀγαθὸν δὲ καὶ πέψαι. καὶ ἀνα-
δοῦναι καὶ θρέψαι. καὶ αὐξῆσαι. γυναικείων ἀγωγόν. νεύροις καὶ ἄσθμασιν ἐπιτήδειον. καὶ πολυ-

εἴ τισι· καὶ περιπνευμονίᾳ· καὶ συνάγχῃ· εἴτε οὖν τρέφει· εἴτε οὐ τρέφει· εἴτε τῆς τροφῆς ὄχημα, οὐ πρόκειται ζητῆσαι ἐνταῦθα. ὃ δὲ εἰπεῖν ἀναγκαῖον, τοῦτ' ἐστὶν, ὡς ὕδατος χωρὶς πεφθῆναι τροφὴν ἀδύνατον. ὥσπερ οὐδὲ χωρὶς ὕδατος ἑψηθῆναί τι χρησίμως δυνατόν. τὸ δὲ ἀπὸ κονίας ὕδωρ πινόμενον, σπληνικοὺς ὠφελεῖ. καὶ εἴ τις ἄρτον ἐκ τοιούτου ὕδατος σκευάσας αὐτοῖς δοίη, ἱκανῶς ὠφελεῖ.

Περὶ λουτρῶν ἐκ τῶν Γαληνοῦ. ρξϛ′.

Τῶν λουτρῶν, τὰ μέν ἐστι γλυκέα. τὰ δὲ, ἄποια. τὰ δὲ, ἔχει ποιότητά τινα. καὶ τῶν ἑτέραν ποιότητά τινα ἐχόντων, τὰ μὲν ἐξ ἐπιτηδεύσεως ἡμετέραν ἔχει τὴν δύναμιν. τὰ δὲ, αὐτοφυῆ τὴν δύναμιν κέκτηται. πρῶτον μὲν οὖν περὶ τῶν γλυκέων ῥητέον. ἐπειδὴ τούτων ἡ χρεία, πλείων. τῶν γλυκέων τοίνυν ὑδάτων ἡ δύναμις, εὐκράτων μὲν ὄντων, ὑγρὰ καὶ θερμή. χλιαρῶν δὲ γινομένων, ὑγρὰ καὶ ψυχρά. θερμοτέρων δὲ τοῦ δέοντος ἀποτελεσθέντων, θερμὴ μέν. οὐκέτι δὲ ὁμοίως ὑγρά. φρίττειν μὲν γὰρ ἀναγκάζει τὰ σώματα. καὶ πυκνοῦσθαι τοὺς πόρους αὐτῶν. ὥστε μήτ' ἀπολαύειν ἔτι τῆς ἔξωθεν ὑγρότητος, μήτ' ἐκκενοῦσθαί τι τῶν ἔνδον περιττωμάτων. ἀλλὰ γὰρ ἀπὸ τῶν εὐκράτων ἀρκτέον. διαπαντὸς μὲν οὖν ὑγραίνει τὰ εὔκρατα. καὶ θερμαίνει καθ' ἑαυτά. συμβαίνει δὲ αὐτοῖς ἐνίοτε ἤτοι διαφορεῖν τὰς ὑγρότητας ἔκ τινων μορίων τοῦ σώματος, ἢ μαλάττειν. ἢ πέττειν. ἢ ῥωννύναι τὴν δύναμιν. ἢ καταλύειν. εἰς ταῦτα μέντοι καὶ ἡ ποσότης αὐτῶν οὐκ ὀλίγα συντελεῖ. ἁρμόδια δὲ τὰ τοιαῦτα τῶν λουτρῶν. λέγω δὴ τὰ γλυκέα καὶ εὔκρατα. ἐπί τε πυρετῶν καταξήρων καὶ αὐχμῶν. καὶ μάλιστα ἐπὶ τῶν ἀμέτρως διψώντων. ἐπί τε ἡλιώσεως ἰσχυρᾶς. καὶ ἐπὶ ψωρωδῶν ἐξανθημάτων. δεῖ δὲ καὶ τὸν ἀέρα τοῦ λουτροῦ ὑγρὸν κατασκευάζειν τοῦ ἐδάφους. καὶ τῶν τοίχων ὕδατι καταρραινομένων. θερμὰ δὲ κατ' ἐπιτήδευσιν ἡμετέραν κατασκευάζεται λουτρὰ ψύξιν ἐνοχλοῦσαν παῦσαι βουλόμενοι. ἢ κοπώδη διάθεσιν. ἢ σπασμόν. ἢ ὀδύνην παραμυθήσασθαι. γίνεται δὲ θερμὰ θερμαντικῶν τινων ἐγκαταμιγνυμένων τῷ ὕδατι. οἷον, γλήχωνος. ἢ ὀριγάνου. ὑσσώπου. θύμου. θύμβρας. ἐλελισφάκου. δάφνης, φύλλων. πυρέθρου. χαμαιπίτυος. πάνακος ῥίζης. κέγχρυος καὶ σπέρματος. καὶ τῶν παραπλησίων. Λουτροῖς δὲ διαφορητικοῖς χρώμεθα, ἤτοι τὴν ἕξιν τοῦ σώματος ἰσχναίναι βουλόμενοι. ὡς ἐπὶ τῶν κατὰ πιμελὴν καὶ ἐπὶ τῶν κατὰ πάθος ἐξῳδηκότων. ἢ τὸ πᾶν σῶμα. ἢ μέρος τι. οἷον ἐπιγάστριον. ὄρχεις. καὶ πόδας. ὡς ἐπὶ ὑδρωπικῶν. χρώμεθα δὲ ἐπὶ τῶν ῥευματιζομένων ἑλκῶν, διὰ πλῆθος ὑποκειμένων ἐν ὅλῳ τῷ σώματι. ἢ κιρσῶν ὑποκειμένων τῷ ἕλκει. γίνεται δὲ διαφορητικὰ τὰ λουτρὰ, ἐμβαλλομένων τῷ ὕδατι τινῶν τοιούτων. ἁλὸς. νίτρου. ἢ αὐτὴ ἡ θάλασσα θερμαινομένη. καὶ μέλι συμπλεκόμενον ὕδατι. ἢ σταφὶς ἀγρία συνεψομένη. τέφρα συκίνη. ἢ ἀμπελίνη ἀποπλυνομένη τῷ ὕδατι. ἀρκευθίδες συνεψόμεναι. καὶ ἀποπλυνόμενον ὕδατι θεῖον ἄπυρον. λιμνῆστις ὃ καλεῖται ἀδάρκη συνεψομένη, ἢ στυπτηρία. μαλακτικοῖς δὲ καὶ πραϋντικοῖς λουτροῖς χρώμεθα, ἐπὶ φλεγμονῆς καὶ σκληρίας τινὸς τῶν μορίων. τοιαῦτα δὲ γίνεται, μαλάχη συνεψομένη τῷ ὕδατι. τῆς τε ἡμέρου καὶ τῆς ἀγρίας. καὶ λινοσπέρμου. καὶ τήλεως. καὶ μελιλώτων. ἐπὶ δὲ τῶν ῥευματικῶν φλεγμονῶν, ἀρνόγλωσσον. ἢ πολύγονον ἐναφεψόμενον τῷ ὕδατι. ἢ σίδια ῥοιᾶς. ἢ βάτου φύλλα. ἐπὶ δὲ τῶν σπασμῶν, ἀπειλῶ τὴν φλεγμονήν. χρώμεθα μὲν τοῖς ἐπὶ τῶν ἄνευ ῥευματισμῶν φλεγμοναῖς, τοῖς ἤδη προειρημένοις. μάλιστα δὲ, ὑδρέλαιον τούτοις ὀνίνησιν. ἔχον μαλάχην. τῆλιν. λινόσπερμα. σκληρίας δὲ οὔσης χωρὶς φλεγμονῆς, τοῖς προειρημένοις διαφορητικοῖς χρησόμεθα.

Περὶ λουτρῶν αὐτοφυῶν Ἀρχιγένους. ρξζ′.

Τῶν δὲ αὐτοφυῶν λουτρῶν, τὰ μέν ἐστι λιτρώδη. τὰ δὲ, ἁλμυρά. τὰ δὲ, στυπτηριώδη, τὰ δὲ, ἀσφαλτώδη. τὰ δὲ, θειώδη. τὰ δὲ, σιδηρίζοντα. τὰ δὲ, χαλκοῦ ἔχει ποιότητα. τὰ δὲ σύνθετα, ἐκ τούτων ἐστί. τῶν τοιούτων δὲ πάντων, δύναμίς ἐστι ξηραντική. τινὰ δὲ αὐτῶν σὺν τῷ ξηραίνειν, καὶ θερμαίνει γενναίως. τινὰ δὲ σὺν τῷ ξηραίνειν, καὶ στύφει. καθάπερ τὰ στυπτηριώδη. ἐκ μέρους δὲ καὶ τὰ ἁλμυρά. καὶ τὰ χαλκοῦ ποιότητα κεκτημένα. Ἁρμόδια δέ ἐστι πάντα, τοῖς ὑγροῖς καὶ ψυχροῖς παρὰ φύσιν σώμασι καὶ νοσήμασι τοιούτοις χρονίζουσι. διαφερόντως κατάλληλα ἀρθρίτισι. ποδάγρα. παρέσεσι. νεφρίτισι. ἀσθματικοῖς. κατάγμασι πυρώσεως δεομένοις. ἕλκεσι ῥευματικοῖς. φλεγμοναῖς χρονιζούσαις. καὶ ἤδη σκληρουμέναις. ἤδη δὲ τὰ μὲν νιτρώδη καὶ ἁλμώδη, κεφαλῇ κατάλληλα. καὶ θώρακι ῥευματιζομένῳ. καὶ στομάχῳ καθύγρῳ. καὶ ὑδρωπικοῖς. καὶ οἰδήμασι πᾶσι. τὰ δὲ στυπτηριώδη, αἵματος ἀναγωγαῖς. ἐμετικῷ στομάχῳ. καὶ τοῖς ἀμέτρως ἀπὸ αἱμορροΐδων κενουμένοις. καὶ γυναιξὶν ἀτάκτως καθαιρομέναις. ἢ ὑπερκαθαιρομέναις. καὶ ταῖς χωρὶς φανερᾶς προφάσεως συνεχῶς ἐκτιτρωσκούσαις. ὀνίνησι δὲ καὶ τοὺς ὑπὲρ τὸ δέον ἱδροῦντας. καὶ τοὺς βραδυπεπτοῦντας. καὶ τὰ ἐν κνήμαις οἰδήματα. κιρσοῖς σύμφορα. τὰ δὲ θειώδη, νεύρων τε μαλακτικά, καὶ τῶν τεινεσμωδῶν πόνων παρηγορητικά. στόμαχον δὲ ἐκλύει καὶ ἀνατρέπει. κενοῖ δὲ τὴν ἐπιφάνειαν. καὶ διαφερόντως βοηθεῖ ἀδελφοῖς. λεύκαις. λέπραις. ψώραις. λειχῆσι. καὶ ἕλκεσι πολυχρονίοις. ἄρθρων ῥεύμασι. σπληνὶ σκιρρώδει. ἥπατι καὶ ὑστέρᾳ. παρειμέναις καὶ ἰσχιαδικοῖς. καὶ κνησμοναῖς. Τὰ δὲ ἀσφαλτώδη, κεφαλὴν συμπληροῖ. καὶ τὰ αἰσθητήρια κακοῖ. θερμαίνει δὲ ἐμμόνως. καὶ μαλάσσει σὺν χρόνῳ. καὶ μάλιστα τὰ περὶ τὴν ὑστέραν καὶ

κύστιν· καὶ κῶλον· τὰ δὲ χαλκοῦ ποιότητα ἔχοντα, στόμασι καὶ παρισθμίοις· καὶ σταφυλῇ· καὶ ὄμμα-
σι διαφερόντως ἐπιτήδεια· τὰ δὲ σιδηρίζοντα, στομάχῳ καὶ σπληνὶ καταλληλότητα. μικτῆς γὰρ
ὄντα ποιότητος κατὰ τὴν ἐπικράτειαν τῶν μεμιγμένων ἐνεργεῖ· δεῖ δὲ ὅτι μάλιστα τὰς εἰς τὰς αὐ-
τοφυῆ θερμὰ ὕδατα ἐμβάσεις, ἀθορύβως γίνεσθαι· ὅπως ἡ δύναμις ἀνειμένῳ τῷ σώματι ἐμπί-
πτουσα, ἐγκαταδύοιτο. τῶν γὰρ ταραχωδῶς ἐμβαινόντων, πυκνοῦται τὸ σῶμα θᾶττον· καὶ οὐκ εἰς βάθος δέχεται
τὴν ἀπὸ τοῦ ὕδατος ποιότητα· τοῖς δὲ ἀσφαλτώδεσι καὶ θειώδεσι κρουνοῖς τῶν ὑδάτων, οὐ δεῖ ὑποτιθέναι
τὰς κεφαλάς· δυσμαρῶς γὰρ κακοῦνται.

Περὶ ψυχρολουσίας ἐκ τῶν ὑγιεινῶν Γαληνοῦ. ρξη.

Ψυχρὰ λουτρὰ τοῖς ἀμέμπτως ὑγιαίνουσιν, ἁρμόδια· κρατύνει γὰρ πᾶν τὸ σῶμα· καὶ τὸ δέρμα σκληρὸν καὶ
πυκνὸν ἀποτελεῖ· κράτιστον δὲ ἔσται πρὸς τὴν τῶν ἀπὸ τῶν ἔξωθεν βλάβην. οὔ φημι δὲ συμφέρειν
10 αὐτὴν τοῖς κατὰ τὸ πρὸς τυχὸν διαιτωμένοις· ἀλλὰ μόνον τοῖς ἀκριβῶς βιοῦσι καὶ πόνοις· καὶ σιτίοις
κατὰ τὸ ἁρμόδιον χρωμένοις· ἔστωσαν δὲ μήτ᾽ ἐξ ἀφροδισίων, μήτε ἄλλως κοπώδεις· μήτε ἄπεπτοι· μή-
τε προεμέσαντες· μήτε τὰ κατὰ γαστέρα κεκακωμένοι· μήτε ἠγρυπνηκότες. σφαλερὸν γάρ, εἰ ἄλλως
τις χρῷτο. Δεῖ δὲ τοὺς ἀήθεις πρὸς ψυχρολουσίαν κατὰ βραχὺ ἐθίζειν· καὶ πρῶτον μέν, θέρους ἀξιω-
τέον ἄρχεσθαι τῆς χρήσεως· καὶ τὰς πρώτας, μὴ εἰς ἀκραιφνὲς ψυχρὸν ἐμβαίνειν· ἀλλ᾽ ἐκλελυμένον
τὸν ἐπίπαγον. εἶτα ἐν ἔθει κατὰ βραχὺ γιγνόμενος διὰ τοῦ χειμῶνος ὅλου, οὕτως ἤδη τὸ ψυχρὸν πα-
ρελθεῖν. ἔστω δὲ καὶ ἡ ἡμέρα καθ᾽ ἣν ἄρχεται, μὴ ἔχουσα ἄνεμον· ἤτοι νήνεμος. ἀλλ᾽ ὡς ὅτι μάλιστα καὶ
θερμοτάτη κατ᾽ ἐκεῖνον τὸν καιρόν· καὶ ἐν ὥρᾳ μεσημβρινῇ ἀρχέσθω. ἔστω δὲ ὁ μέλλων χρῆσθαι τῷ
ψυχρῷ, τὴν μὲν ἡλικίαν, περὶ πέμπτον καὶ εἰκοστὸν ἔτος· ἔστω δὲ καὶ τὴν ψυχὴν εὔθυμός τε καὶ σφόδρα· καὶ
πρῶτον ἀνατριβέσθω τὸ σῶμα, συνδόσιν ἐπιπλέον σκληροτέρᾳ τῇ τρίψει· ἐφεξῆς δὲ δι᾽ ἐλαίου τριβέ-
20 σθω τοῦ συνήθους. εἶτα γυμναζέσθω. ἔπειθ᾽ οὕτως εἰς τὸ ψυχρὸν καταβαινέτω· μὴ βλακεύων· ἀλλ᾽ ἀθρό-
ως ἐναλλέσθω. ἵνα καθ᾽ ἕνα χρόνον ἅπασι τοῖς τοῦ σώματος μέλεσι, περιχυθῇ τὸ ὕδωρ. τὸ γὰρ κατὰ
βραχὺ πλησιάζον, φρίκην ἐμποιεῖ. ἔστω δὲ τὸ ὕδωρ ὡς εἴρηται, μήτε χλιαρόν· μήτε ἀκραιφνὲς ψυ-
χρόν. ἀνελθόντος δὲ τοῦ ὕδατος, ὑπὸ πλειόνων ἀνατριβέσθω δι᾽ ἐλαίου, μέχρις ἂν ἐκθερμανθῇ τὸ
δέρμα· καὶ μετὰ ταῦτα, σιτία μὲν πλείω τῶν εἰωθότων προσφερέσθω· καὶ γὰρ ὀρέγονται πλειό-
νων ἤδη τῆς ψυχρολουσίας καὶ πέττουσιν ἄμεινον· καὶ διψῶσιν ἧττον· διὸ καὶ δοτέον αὐτοῖς, ἔλατ-
τον τὸ πόμα.

Περὶ τῆς ἐμβάσεως εἰς ἔλαιον, Γαληνοῦ. ρξθ.

Αἱ εἰς ἔλαιον ἐμβάσεις ἐπιτήδειοι, τοῖς χρονίως μετὰ ψύξεως πυρέττουσι, καὶ τοῖς κεκοπωμένοις· καὶ
τοῖς ἀλγοῦσι τὰ πρὸς τοῖς ὀστοῖς κείμενα νεῦρα· καὶ τοῖς σπωμένοις· καὶ τοῖς ἰσχυριῶσι. δεῖ δὲ τὸ μὲν πέ-
μπτον μέρος τοῦ ἐλαίου, πυρὶ θερμαίνειν· τὸ δὲ λοιπόν, ἐμβάλλειν τῇ ἐμβάσει· αὐτάρκως δὲ θερμὸν γί-
30 νεται, τὸ ἐν ταῖς μικραῖς ἐμβάσεσι τῶν μαλακείων ἐμβαλλόμενον. θερμανθὲν δὲ τὸ πέμπτον μέρος,
ἐμβαλλέσθω τῷ λοιπῷ· καὶ οὕτως ἐμβιβαζέσθω ὁ πάσχων.

Περὶ ἀποσπογγισμοῦ Ἀρχιγένους. ρο.

Ἀποσπογγισμὸν παραλαμβάνομεν, ἤδη μὲν τῶν ἄλλων μερῶν, ἤτοι τὸν ἐπικείμενον ῥύπον ἀπονίψαι· ἢ
ἰχῶρα· ἢ αἷμα· ἢ πύον· ἢ αὐτὰ τὰ φάρμακα· ἢ ἀπὸ δήξεως· ἢ κνησμοῦ ἐνοχλούμενα τὰ σώματα παρη-
γορεῖν πειρώμενοι· ἤδη δὲ τοῦ προσώπου, νεαροποιῆσαι καὶ ἀναζωπυρῆσαι τὸ πνεῦμα βουλόμενοι· ὡς
ἐπὶ τῶν λειποθυμούντων, ὕδωρ παραλαμβάνομεν· θέρους μὲν ψυχρόν· γαλακτῶδες δὲ χειμῶνος· ἤδη
δὲ τῶν νοσούντων, παραπεφυλαγμένως· οὐκ ἐν ἀρχῇ· οὐδ᾽ ἐν ἀναβάσει τοῦ παροξυσμοῦ· ἀλλ᾽ ἐν ἀκμῇ καὶ
παρακμῇ· ἐν γὰρ ταῖς ἀρχαῖς τῶν εἰσβολῶν ἀνακτώμεθα, ὀσφραντοῖς. ἀξιοῖ γὰρ ὁ Ἀρχιγένης ἐν
ὑπερβολῇ καύσου κατὰ τὰς ἀκμάς, οὐ μόνον τὸ πρόσωπον ἀποσπογγίζειν· ἀλλὰ καὶ τὸ στέρνον.

Περὶ προσκλύσματος. ροα.

Καὶ τὰ προσκλύσματα δὲ τοῦ προσώπου παραλαμβάνομεν ἤδη τῶν νοσούντων, διὰ τὰς προειρημένας
40 αἰτίας· καὶ θέρους μὲν ἐπὶ τῶν καυσωδεστάτων πυρετῶν, ψυχρὸν προσάγομεν· χειμῶνος δὲ θερμότερον.
ἐπὶ δὲ τῶν ἀπληστέρων πυρετῶν καὶ ἐπὶ στομάχου ἀνατροπῆς, καὶ ὀξυκράτου προσκλύζομεν· φυλακτέον δὲ
τὸν ἐγχρονισμόν· καὶ μάλιστα ἤδη τῶν εὐπαθῆ τὴν κεφαλὴν ἐχόντων· καταφορᾶς γὰρ καὶ ψύξεως κιν-
δυνώδους κατάρχει. χρώμεθα δὲ προσκλύσματι, καὶ ἐπὶ ῥευματιζομένων ὀφθαλμῶν· ὠκίμου ἀφεψή-
ματι, ὡς ἐναργεστάτῳ· καὶ στροβίλων κλωνίοις τεθλασμένοις ἀφεψήμασιν. ὑποκείσθω δὲ τῷ ἀνθερεῶνι,
σπόγγος ξηρός, πρὸς τὸ μὴ καταρρεῖν ὕδωρ ἤδη τὸ στέρνον.

Περὶ ἐπικαταιονήσεων. ροβ.

Καταιονήμασι χρώμεθα, ἐφ᾽ ὧν λουτρὸν παραλαμβάνειν διά τινα περίστασιν κωλυόμεθα· καὶ ἤδη τῶν
ἀγρυπνούντων ἐν πυρετοῖς καὶ παραφρονούντων χρώμεθα αὐτοῖς. διὸ ἀφεψήματι χαμαιμήλου· ἐνίο-
50 τε δὲ καὶ κωδειῶν· καὶ ἐλαίῳ δὲ κωδύας ἀφεψήσαντες καταιονοῦμεν τὴν κεφαλήν· καὶ παραχρῆμα
ὕπνον ἡδὺν ἐπιφέρει. Ἀρχιγένης δὲ τὸν ἑαυτοῦ διδάσκαλον Ἀγαθῖνον, ἐν ἀγρυπνίᾳ παρακοπτικῇ
καταιονήσας ἐλαίῳ πολλῷ θερμῷ τὴν κεφαλήν, παραχρῆμα τῆς παρακοπῆς ἔπαυσε καὶ τῆς ἀγρυ-
πνίας· ἤδη δὲ τῶν καυσικῶς σπωμένων ἐλαίῳ σικυωνίῳ θερμῷ· ἢ τινὶ τῶν παραπλησίων τὴν κεφα-
λὴν καταντλητέον· καὶ ἐφ᾽ ὧν τὸ νευρῶδες ἰσχυρῶς κεκάκωται. εἰ δὲ περίψυξις καὶ τρόμος τῇ κα-

κώσει τῶν νεύρων ἐπακολουθοίη, καὶ καστόρειον τῷ σικυωνίῳ παραμικτέον. ἐπὶ ποδαγρικῶν τε
καταιονοῦμεν. πρασίῳ ἐν ὕδατι. ἢ οἴνῳ ἡψημένῳ.

Περὶ ἐγκαθισμάτων. ρογ΄.

Ἐγκαθίσματα παραλαμβάνομεν, ἐπὶ τῶν φλεγμαινόντων μερῶν. ἢ δι᾽ ἀπορίαν βαλανείου, ἢ διὰ
τὴν τῆς δυνάμεως ἀσθένειαν. ἢ δι᾽ ἕτερόν τι κωλῦον. ἐπὶ μὲν οὖν φλεγμαινόντων νεφρῶν, χρώμε-
θα ἀφεψήματι τήλεως. μαλάχης ἡμέρου τε καὶ ἀγρίας. λινοσπέρμου. ἐπὶ δὲ λιθιώντων, τούτοις
μὲν αὐτοῖς διὰ τὴν φλεγμονήν, καὶ ἀρτεμισίας ἀφεψήματι. καὶ λιβανωτίδος. καὶ πετροσελίνου.
καὶ ναρδοστάχυος. τοῖς δ᾽ αὐτοῖς χρηστέον. καὶ ἐπὶ κύστεως. προσβαλόντες καὶ πήγανον, ἐπὶ ὑστέρας
δὲ, ἀρτεμισίας ἀφεψήματι. ἐλελισφάκου. καὶ δάφνης. καὶ τῶν ὁμοίων. ἐπὶ δὲ κώλου, σίνωνος. καὶ
πάνακος ἀφεψήματι. καὶ δάφνης, καὶ τῶν ὁμοίων. ἐπὶ δὲ ἕδρας μελιλώτου. κωδύων καὶ ῥόδων.
10 ἐπὶ δὲ ῥευμάτων ὑστέρας καὶ αἱμορροΐδων. ἐν ἕδρᾳ, ἀρνογλώσσου ἀφέψημα. πολυγόνου. σιδίων ῥό-
δων. βάτων. καὶ τῶν ὁμοίων. ἐπὶ δὲ φαυμάτων, σπασμὸν κατασπελλόντων, ὑδρέλαιον λιπαρόν.
σὺν χρηστέον μὲν οὖν πάντας καὶ ἐμβιβαστέον, μέχρι κατωτέρου τοῦ ὀμφαλοῦ. χρὴ δὲ προλελιπᾶ-
σθαι καὶ τὰ μὴ βρεχόμενα μέρη. καὶ μάλιστα τὴν κεφαλήν. καὶ σκέπτεσθαι ὅπως μὴ συμπληροῖ-
το.

Περὶ ἐμβροχῶν. ροδ΄.

Ἐμβροχὴ διαφέρει καταιονήσεως. ὅτι ἐπίμονον ἔχει τὴν ἐκ τοῦ προσαγομένου βοηθήματος ὠφέλειαν.
ἢ γὰρ ἔριον ἢ ῥάκκος βρέχοντες ἐπιτίθεμεν τοῖς πεπονθόσι μορίοις μετὰ τὴν καταιόνησιν. καταπλα-
σμάτων μὲν οὖν ἐλάττονα δύναμιν ἔχει. χρώμεθα δὲ αὐτῇ ἐπὶ κεφαλῆς. οὐ πάνυ τι πρὸς κατα-
πλάσματα εὐδιατιθεμένης. καὶ ἐπὶ τῶν δι᾽ ἀσθένειαν οὐ δυναμένων φέρειν τὸ βάρος τῶν κατα-
πλασμάτων. καὶ ἐπὶ ὑποχονδρίων φλεγμαινόντων περὶ τὰς ἀρχὰς τῶν νόσων. ἀκαίρου τηνι-
20 καῦτα τῆς χρήσεως τῶν καταπλασμάτων καθεστώσης. χρώμεθα καὶ ἐπὶ καταγμάτων καὶ θλα-
σμάτων καθεστώσης χρείας. ὅτε καὶ τὰ ἐμπλαστικὰ φάρμακα παραλαβεῖν οὐ δυνάμεθα.

Ἐκ τῶν Γαληνοῦ. περὶ πυριάσεων. καταιονήσεως. καταπλασμάτων καὶ σικυῶν. ροε΄.

Ἀραιοῦν εἰώθασιν αἱ πυρίαι τὸ δέρμα. καὶ εὐδιάπνευστον ἐργάζεσθαι. καὶ τὸ κατὰ τὰς φλεγμονὰς αἷ-
μα λεπτύνειν τε καὶ διαφορεῖν. ἀπορίττου δηλονότι τοῦ παντὸς τοῦ σώματος τηνικαῦτα ὑπάρχον-
τος. εἰ γὰρ περιουσίᾳ τινὶ περιττότητος καθ᾽ ὅλον τὸ δέρμα, πλέον ἐπὶ τὸ θερμαινόμενον μέρος ἑλκυ-
σθήσεται τοῦ διαφορουμένου. διὸ χρὴ καὶ πρὸ τῶν πυριάσεων κενοῦν ὅλον τὸ σῶμα. αἱ μὲν οὖν ὑγραὶ
πυρίαι. φλεγμοναῖς ἁρμόζουσιν, ὑπὸ χολωδεστέρων χυμῶν γεγονυίαις. αἱ δὲ ξηραὶ τοῖς ὑπὸ λε-
πτοῦ καὶ ὑδατώδους αἵματος. καὶ αἱ μὲν οὖν ἄδηκτοι πυρίαι, τοῖς δακνώδεσιν ἁρμόζουσι χυμοῖς.
αἱ δὲ δακνώδεις καὶ λεπτύνουσαι, τοῖς παχέσι καὶ γλίσχροις. θερμαίνειν δὲ ὑποχόνδρια κατα-
30 πλάσμασιν. ἢ καταιονήσεων, οὐ διαπαντὸς ἀσφαλές. ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων τῶν ἀρρώστων. ἐφ᾽ ὧν
οὐδὲν ἄλλο ἐστὶ περιττὸν ἐν ὅλῳ τῷ σώματι. τοῖς δὲ ἄλλοις ἅπασι, κακὸν ἔσχατον. Συμβαίνει δὲ ἐν
τοῖς πληθωρικοῖς νοσήμασι, τοὺς πλουσίους μᾶλλον τῶν πενήτων κακῶς θεραπεύεσθαι. κατ᾽ ἀρχὰς
μὲν γὰρ ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν. καί τοι μᾶλλον τῶν πε-
νήτων ἁλισκόμενοι, πληθωρικαῖς διαθέσεσιν, ὡς ἂν καὶ μᾶλλον ἐμπιπλάμενοι καὶ βιοῦντες ἀρ-
γότερον. οἱ θεραπεύοντες δὲ αὐτοὺς ἰατροί, διότι παραλέλειπται μέγιστον βοήθημα, τῇ διὰ τῶν ἄλλων
χρήσει νομίζουσιν ἀναπληρῶσαι ὁπόσον ἐνδεῖ. καὶ μέν τοι καὶ οἱ κάμνοντες οἰόμενοι. τὴν μὲν ἐπὶ
ἡσυχίας δίαιταν, ἀμέλειαν εἶναι. τὸ δ᾽ ὁτιοῦν πράττειν, ἐπιμέλειαν. ἀναγκάζουσι τοὺς ἰατροὺς ἑκά-
στης ἡμέρας προσφέρειν τι τοῖς ὑποχονδρίοις. βουλόμενοι δή που καὶ τοῖς ἰατροῖς αὐτὸ δὴ τοῦτο,
πρὸς τὸ δοκεῖν ἐνεργεῖν τι διαπαντός. ἐντεῦθεν γὰρ ἐλπίζουσι καὶ πλείω λήψεσθαι, αὐτοὶ κατα-
40 σκευάζουσι τὰς φλεγμονὰς ἐξ ὧν πράττουσι διαπαντὸς τοῖς ὑποχονδρίοις λαβόμενοι. συμβαίνει
τοιγαροῦν ἐν ἐκείνῳ τῷ χρόνῳ, τὰς φλεγμονὰς ἄρχεσθαι τοῖς πλουσίοις. ἐν ᾧ πλησίον ἤδη τῆς
λύσεως ἐστὶν ἐπὶ τῶν πενήτων τὸ νόσημα, φλεβοτομηθέντες γὰρ ἐν ἀρχῇ μάλιστα τοῦ συνόχου πυ-
ρετοῦ, οἵ τε πένητες καὶ οἱ δοῦλοι τῶν πλουσίων, οἱ πλεῖστοι μὲν ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἐκρίθη-
σαν. ἔνιοι δὲ ἐν τῇ ἑβδόμῃ. περαιτέρω δὲ οὐδεὶς τούτων. ἀλλ᾽ οἵ γε πλούσιοι. τὸ μὲν πλῆθος καὶ τὰ πε-
ριττώματα πλείω τῶν πενήτων καὶ δούλων ἔχοντες. παραλιπόντες δὲ τὸ τῆς φλεβοτομίας
βοήθημα, κἄπειτα καθ᾽ ἑκάστην ἡμέραν, καταιονούμενοί τε δι᾽ ἐλαίου θερμοῦ. καὶ καταπλατ-
τόμενοι τοῖς χαλαστικοῖς καταπλάσμασι, φλεγμονήν τινα συνισταμένην ἔχουσιν. ἤτοι περὶ τὸ
ἧπαρ. ἢ τὴν κοιλίαν. ἢ τῶν ἄλλων σπλάγχνων τινά. ἔνιοι μὲν, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν. ἔνιοι δὲ
ἐν τῇ πέμπτῃ. ἢ πάντως γε, ἐν τῇ ἕκτῃ. ἐθεάσω δὲ καὶ τὸ ἐν ἑαυτῷ τῷ χρόνῳ τῷ καταντλεῖσθαι
50 δυσπνοήσαντα, τοῦ περιττοῦ παντὸς ἐπὶ τὰς φρένας ἑλχθέντος ὑπὸ τῆς θερμασίας, οὕτως τε
εὐθὺς ἀπέθανε. καὶ οἱ ἄλλοι μυρίοι καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκουσι. σικύας δίκην τοῦ καταπλά-
σματος ἕλκοντος ἐπὶ τὰ σπλάγχνα, τὰ καθ᾽ ὅλον τὸ σῶμα περιττά. τινὲς δὲ καὶ αὐτῇ τῇ σικύᾳ
κατὰ τῶν ὑποχονδρίων ἐχρήσαντο. τοῦθ᾽ ἓν μόνον ἐννοοῦντες. κἀκεῖνοι τὸ φαίνεσθαι τι πράττειν ἀεὶ
περὶ τὸν κάμνοντα. κατ᾽ ἀρχὰς μὲν οὖν ἔτι φερομένων τῶν ῥευμάτων ἐπὶ τὸ πεπονθὸς, βέλτιόν ἐστιν ἀπο-

κρούεσθαι

κρούεσθαι καὶ ἀναστέλλειν. οὐχ ἕλκειν ἐπ' αὐτό, ἐπιτήδεια δὲ ἐν ἀρχαῖς τὰ στύφοντα σὺν τῷ ἐλαίῳ προσφερόμενα. ἅμα μὲν τόνον ἐντιθέντα τοῖς πάσχουσι μορίοις. ὡς μὴ ῥᾳδίως ἐπιδέχεσθαι τὰ ἐπιῤῥέοντα τῶν περιττωμάτων. ἅμα δὲ καὶ τῶν ἐν αὐτοῖς ἤδη περιεχομένων θλιβόντων τὸ λεπτὸν ἔντερον. εἰ δὲ ἡ τέφρα παύσαιτο διὰ τῶν ἀποκρουστικῶν βοηθημάτων, ἤτ' ἐκ τῆς στύψεως ἐπιγεννημένη πύκνωσις τοῖς πεπονθόσι κατέχει τὰ περιττώματα, καιρὸς ἤδη χαλᾷν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα περιττώματα. μάλιστα δὲ ὅταν εἰς ἧπαρ ἢ γαστέρα κατασκήψῃ τὰ περιττά, τοῖς στύφουσι μετρίως προσήκει κεχρῆσθαι ἐν ἀρχῇ μάλιστα. κύρια γὰρ ἱκανῶς ταῦτα τὰ μόρια. ἀλλὰ κἀπειδὰν καιρὸς ἤδη γίνηται τοῦ διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφεσθαι τὰ μόρια ταῦτα. ὥστε ἀφεψήσαντες ἐν ἐλαίῳ ἀψίνθιον, καταιονήσομεν. ἐφ' ὧν δὲ ἰσχυροτέρας στύψεως χρεία, ὀμφάκινον ἔσται τὸ ἔλαιον, ἐν ᾧ ἀφέψεται ἡ ἀψινθία. ἀπορροῦντες δὲ ἀψινθίου, μήλινον ἢ μαστίχινον ἢ σχίνινον ἀρκέσει πρὸς τοῦτο. Εἰ δὲ μικρότερος ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου μύρον ἐμβαλλέσθω. εἰ δὲ ἡ παρακμὴ τοῦ πυρετοῦ μὴ πάνυ πραεῖα γίγνοιτο, φυλάττεσθαι χρὴ τὴν νάρδον. χρῆσθαι δὲ τῷ μηλίνῳ. μὴ παρόντος δὲ τούτου, ῥόδινον μικτέον τῇ νάρδῳ. ὡσαύτως δὲ καὶ τὰ καταπλάσματα, σύνθετον ἐχέτω τὴν δύναμιν. ἔκ τε τῆς χαλαστικῆς καὶ λεπτομεροῦς. καὶ πικρᾶς καὶ στυφούσης. κώλου δὲ πάσχοντος, ἢ τῶν ἄλλων ἐντέρων τῶν λεπτῶν. ἢ τῶν καθ' ὑποχόνδρια μυῶν. ἢ περιτοναίου, μικτέον οὐδαμῶς ἐστὶ τὰ στύφοντα, καθάπερ οὔτε κύστεως. ἢ μήτρας. ὅταν ὡς εἴρηται μήτε ἐπιῤῥέῃ τι ἔτι. μήτε ἡ περιττὸν ἐν ὅλῳ τῷ σώματι. νεφροὶ δὲ καὶ θώραξ, ἐν τῷ μέσῳ τῶν εἰρημένων εἰσίν. οὔτε γὰρ στύψεως πολλῆς χρεία ἐπὶ τούτων, οὔτε μὴν ἐκλύειν συμφέρει. σπληνὸς δὲ φλεγμαίνοντος, ἐν ἀρχαῖς τὰ στύφοντα μικτέον. κεκενωμένου δὲ τοῦ σώματος, τὰ διαφοροῦντα. καὶ σικύαν δὲ εἰ χρεία γένοιτο. προκενωθέντος ὅλου τοῦ σώματος, χρησόμεθα οὐκ ἐν ἀρχῇ τῶν παθῶν.

Ἐκ τῶν λύκου περὶ καταπλασμάτων. περὶ τοῦ διὰ ζύμης καταπλάσματος. ροε.

Διαχεῖται τὰ ξυνεστῶτα. καὶ ἐκτῆξαι ἱκανώτατον, τὸ κατάπλασμα τοῦτο. καὶ σκόλοπας ἐπισπᾶται. καὶ σκίῤῥους προμαλάσσειν ἐν ἐλαίῳ αὐτάρκει. καὶ οὕτως ἐπιτιθέναι. σφοδρότερον δὲ αὐτὸ βουλόμενος ποιεῖν, νίτρον πρόσμιγε σύμμετρον. εἰ δὲ καὶ ὄξει διαλύσας τὴν ζύμην. καὶ πάλιν ἑψήσας παχυνεῖς τῇ ἑψήσει, ἐπιτηδειότατον ἔσται, πρὸς τοὺς ἐν σπληνὶ καὶ ἥπατι σκίῤῥους. εἰ δὲ καὶ θύμον καὶ γλήχωνα. ἢ ἀψίνθιον. ἢ ἀβρότονον μίξεις τῇ ζύμῃ, κάλλιστον ποιήσεις τὸ φάρμακον.

Περὶ τοῦ ἐξ ἄρτου καταπλάσματος. ρος.

Τὸ δὲ ἐξ ἄρτου κατάπλασμα, παναλκέστατον ἐστὶν πάσαις ταῖς φλεγμοναῖς. αἱ ποιήσεις δὲ αὐτοῦ, πολλαὶ πάνυ. καὶ γὰρ ψυχρῷ ὕδατι βραχεὶς. καὶ λειωθεὶς. καὶ προσλαβὼν ῥοδίνου βραχέος. καὶ χυλὸν κωνείου, ἐπιτήδειον γίνεται κατάπλασμα ταῖς ἐρυσιπελατώδεσι φλεγμοναῖς. ἢ ἀντὶ τοῦ ὕδατος, δι' ὄξους σκευάζεται. καὶ μᾶλλον οὕτως ἁρμόζει τοῖς ἐρυσιπέλασιν. ἀντὶ δὲ τοῦ ἐλαίου βούτυρον προσλαβὸν, ἐπιτήδειον γίνεται πρὸς τὰς δυσπέπτους φλεγμονάς. σκευάζεται δὲ καὶ οὕτως ὕδατι πολλῷ διαλύεται ὁ ἄρτος, ὡς χυλοῦ πάχος ἔχειν. καὶ τούτῳ μίγνυται ἔλαιον ἢ βούτυρον. εἶτα ἕψεται μέχρι συστάσεως. τοῦτο δὲ ἄμεινον πάντων ἐστὶν πρὸς τὰς φλεγμονὰς τὰς ἐν τραύμασι. καὶ πρὸς τὸ τάχιον ἐκπυῆσαι. τούτῳ δὲ χρώμεθα, ὅπου νεῦρον ἢ νευρῶδές τι τεθλασμένον εἴη ἔνδοθεν, ἐγὼ καὶ πίττης ὑγρᾶς μίγνυμι βραχύ. καὶ λυσιτελὲς ἀπεφήνατο κατάπλασμα. τοῦτο δὲ καὶ ταῖς ποδαγρικαῖς φλεγμοναῖς, ἐπιτήδειον ἐστίν.

Ἄλλη σκευασία τοῦ ἀρτομέλι.

Ταῖς χερσὶ διατρίψαντες τὸ ἔνδοθεν τοῦ χθεσινοῦ ἄρτου, καὶ ὅταν ὥσπερ σεμίδαλις διασκορπισθῇ, μέλι ἐν ζουλλίῳ θερμάναντες, ἐπιπάσσομεν τὸν οὕτως τεθρυμμένον ἄρτον. καὶ ἕψομεν, ὡς ἔχειν σύστασιν μετρίαν. εἶτ' ἐπιβάλλομεν ἔλαιον σύμμετρον. καὶ ἑνώσαντες καταπλάττομεν. τοῦτο ἐπιτήδειόν ἐστιν ταῖς καθ' ὑποχόνδριον φλεγμοναῖς. ἄμεινον δὲ τῷ μέλιτι ὀλίγον ὕδωρ μεμίχθαι. οὕτω γὰρ ἐν τῇ ἑψήσει διαχεῖται. καὶ τὸ ἐκ τῶν πυρίνων δὲ ἀλεύρων κατάπλασμα, σχεδὸν τὰ αὐτὰ δύναται ποιεῖν, τὰς αὐτὰς ἐπιδεχόμενον σκευασίας.

Περὶ τοῦ ἐκ πιτύρων καταπλάσματος. ροη.

Τὰ δὲ πίτυρα ὧδε χρὴ σκευάζεσθαι. ἐν ὅλμῳ κόψαντα. καὶ σήσαντα τὰ πίτυρα. ὡς λεπτότατα γενέσθαι, χρῆσθαι αὐτοῖς ἐπὶ σκίῤῥῳ ἐν παντὶ τόπῳ τοῦ σώματος συνισταμένῳ. καὶ μάλιστα ἐν ἥπατι. ἢ σπληνί. σκευάζειν δὲ αὐτὰ προσήκει, ὀξυμέλιτι. ἢ καὶ ἀμμωνιακὸν θυμίαμα λειώσαντες σὺν τῷ ὀξυμέλιτι, προσπλέξομεν τὰ πίτυρα. καὶ ἐπιπλάττοντες ἐπιθήσομεν ὡς μὴ ψυγῆναι τὸ κατάπλασμα. ποτὲ δὲ καὶ ἐπὶ τῶν φλεγμαινόντων διδύμων ὠφελιμώτατον τοῦτο τὸ κατάπλασμα. χωρὶς ὄξους δὲ σκευαζέσθω ἐπὶ τούτων. μελικράτῳ δὲ δηλονότι. ἁρμόζει δὲ καὶ τὸ κατάπλασμα τοῦτο καὶ δοθιῆσι. καὶ τοῖς ἄλλοις σκίῤῥοις καὶ φύμασιν. ἐπὶ δὲ τῶν ἰοβόλων ὄξει μᾶλλον δευόμενα τὰ πίτυρα, ἁρμοδιώτατα ποιεῖ καταπλάσματι.

Περὶ τοῦ διὰ συκῶν καταπότια. ροθ.

Σῦκα λιπαρὰ κόπτοντες ἀκριβέστατα, ὡς μηδὲν ἀναλλοίωτον ἐν αὐτοῖς φαίνεσθαι, ἔπειτα μίξαν-

τες ἴεινον μέρον βραχὺ, καταπλάττομεν. ποιεῖ δὲ πρὸς τὰς σκληρότητας τῶν νεύρων. καὶ τὰ ἠγκυλωμένα τῶν ἄρθρων. καὶ τὰ πλέον τοῦ μέτρου κεχαλασμένα. καὶ πρὸς σκίρρους μάλιστα τοῦ σπληνός. καὶ τοῦ ἥπατος. προσλαβὸν δὲ τὸ εἰρημένον κατάπλασμα νίτρον ὀλίγον, ῥήσσει ἀποστήματα καὶ σκώλωπας ἀνάγει. ἡ δὲ μίξις τοῖς σύκοις οὕτως πεποιημένοις. γλήχωνος. ἢ ὀριγάνου. ἢ θύμου. ἢ ἀψινθίου κόμης. λεπτότατα σήθες, ὑδρωπικοῖς ἁρμόζει. καὶ ἑψηθέντων δὲ τῶν σύκων ἱκανῶς, ἔπειτα λειωθέντων σὺν τῷ ἀφεψήματι, καὶ μιγνυμένου κεδρίνου ἐλαίου. ἢ πυρίνου. καὶ πάλιν ἑψομένων ἄχρι συστάσεως, ἁρμόζει ἀποστήμασι τοῖς μὴ ῥᾳδίως πεπαινομένοις. εἰ δὲ βούλει λίπος προσβαλεῖν ἢ βούτυρον μιγνύναι. ἢ πηγάνου φύλλα λεῖα, τὰς ἐν τοῖς ἐντέροις ἀπὸ πνεύματος γιγνομένας ὀδύνας ὀνίνησι. μιγνύσθω δὲ ὁμοίως καὶ κύμινον ἔλαιον.

10 Περὶ δρωπάκων καὶ πιττώσεως, Ἀρχιγένους. ρη.

Ὁ δρῶπαξ, καὶ πίττωσις ὑπό τινων καλεῖται. τοῖς χρονίοις δὲ μάλιστα νοσήμασιν ἁρμόζει. ὡς ἐπίπαν δὲ καὶ πρὸ τοῦ σιναπισμοῦ παραλαμβάνεται, εἰς τὸ παρασκευάσαι τὸ σῶμα τῷ νάπυϊ. καὶ μετὰ τὸν σιναπισμὸν δὲ, πρὸς τὸ ἐκκόψαι τὸ λείψανον τῆς διαθέσεως. Ὁ μὲν οὖν ἁπλούστερος δρῶπαξ ἐστὶν ἡ πίττωσις λεγομένη. πίττα δὲ ξηρὰ τήκεται μετὰ ἐλαίου πάνυ βραχυτάτου. ἔπειτα θερμὴ οὖσα, ἐπιχρίεται δέρματι. καὶ προξυρηθέντων τῶν τόπων, προσκολλᾶται. καὶ πρὶν τελέως ψυγῆναι, ἀποσπᾶται. καὶ πάλιν θερμανθέντος τοῦ ἐμπλάσματος παρὰ πυρὶ προσκολλᾶται. καὶ ὁμοίως πρὶν ψυγῆναι, ἀποσπᾶται. καὶ τοῦτο γίνεται πολλάκις. ὠφελιμώτατος δέ ἐστι τοῖς συνεχῶς ἐμοῦσι. καὶ τοῖς ἀπέπτουσι. καὶ κοιλιακαῖς διαθέσεσι καὶ τοῖς λοιποῖς μορίοις τοῖς ἀτροφοῦσιν. εἰς δὲ τὸν ἄλλον σκευαζόμενον κοινὸν δρώπακα. ὑπὲρ μὲν τοῦ θερμαίνειν, ἐμβάλλεται πέπερι. πύρε-
20 θρον. κάγχρυον. ἄσφαλτον. εἰ δὲ ξηραίνειν δέοι, θεῖον, ἄπυρον. ἅλες. τέφρα κληματίδων. εἰ δὲ ἀμύξαι, λιμνῆστις ἐκβάλλεται ἡ καλουμένη ἀδάρκη. ἢ εὐφόρβιον. ἕκαστον δὲ τούτων λεῖον γινόμενον, ἐμπάσσεται τοῖς τηκτοῖς. ἔστι δὲ ὁ συνήθως ἀπὸ πλείστων σκευαζόμενος δρῶπαξ ὁ καὶ γάλλι λεγόμενος. κολοφωνίας τῆς λιβανιζούσης καὶ πιτυΐνης. καὶ τῆς ῥυπαρᾶς ξυλώδους ἐκ τίνος τῆς ἐν τοῖς κεναμίοις κομιζομένης ἀποχύματος. πίσσης ξηρᾶς ἀνὰ ⋗. α. S. πίσσης ὑγρᾶς βρυττίας, λι. ϛ. κηροῦ λι. δ. νίτρου λι. α. ἀσφάλτου. χαλβάνης. ἀδάρκης. πυρέθρου ἐλλεβόρου λευκοῦ πεπέρεως ἀνὰ Γο. δ. θείου ἀπύρου. Γο. γ. καστορείου. ἀμμωνιακοῦ θυμιάματος. σταφίδος ἀγρίας, ἀνὰ Γο. β. ἐλαίου σικυωνίου λι. α. ὀποβαλσάμου, Γο. ϛ.

Ἄλλος δρῶπαξ κάλλιστος δόκιμος.

Πίσσης. κηροῦ. κολοφωνίας, ἀνὰ λι. α. νίτρου, Γο. ϛ. ἀσφάλτου Γο. γ. θείου ἀπύρου, Γο. α. S. πεπέρεως. εὐφορβίου. ἀδάρκης, ἀνὰ Γο. α. κανθαρίδων, ∠ δ. κυπρίνου ἐλαίου, Γο. δ. χρῶ. δεῖ δὲ ὡς προείρηται
30 τὸν δρώπακα, θερμὸν καταχρίειν. πάχος ἔχοντα κατὰ λόγον, τῆς τοῦ κάμνοντος δυνάμεως. προεξυρισμένων τῶν ἐν τοῖς χριομένοις τόποις τριχῶν. τοὺς δὲ εὐτόνως δρωπακιζομένους, καὶ λούειν προσήκει ἐπικειμένου τοῦ δρώπακος. καὶ γυμνάζειν οἷόν τε. ἀθρόως δὲ ἀποσπώμενος ὁ δρῶπαξ, δύναται τονῶσαι τὸ ἐνδεδωκὸς πνεῦμα, καὶ ἀνακαλέσασθαι πρὸς τὴν ἐπιφάνειαν. καὶ ἀπομυῆσαι τῶν ἰδίων ἑδρῶν. εἰσὶ δρώπακες καὶ ἐν τῷ θ. λόγῳ. κεφαλαίῳ νγ.

Περὶ σιναπισμοῦ Ἀρχιγένους. ρηα.

Τὸ ἀπὸ νάπυος κατάπλασμα, σιναπισμὸν καλεῖν πάντες εἰώθασι. δραστικώτατον δέ ἐστι βοήθημα. ἀλλ' ἐπὶ μὲν τῶν ὀξέων, οὐ πάνυ τι εὐδοκιμεῖ. πλὴν ἐπ' ὀλίγον. ἐπὶ γὰρ μόνων τῶν ἀργοτέρων καὶ νωθροτέρων, καὶ βαπτιζομένων ἐν τοῖς ὀξέσι παθήμασι χρώμεθα τῷ νάπυϊ. ἐπὶ δὲ τῶν χρονίων σχεδόν τι πάντων μετὰ τὸ μηδὲν ὠφελῆσαι λοιπὰ βοηθήματα, ὁ σιναπισμὸς ἀνυσιμώτα-
40 τος εὑρίσκεται. ἐπεὶ οὖν ἐπὶ πάντων σχεδὸν ἥρμοσται τῶν χρονίων, βέλτιον ἐστὶ λέγειν. ἐφ' ὧν οὐ δὲ χρηστέον αὐτῷ. ἐπὶ μὲν οὖν ἑλκώσεως πνεύμονος, οὐ παραλαμβάνεται σιναπισμός. οὐδ' ἐπ' ἄλλης ἐν τῷ βάθει ἑλκώσεως. ἀγριαίνεται γὰρ τὰ ἕλκη. καὶ παροξύνεται διὰ τὴν δριμύτητα. οὐ μὴν οὐδ' ἐπὶ τῶν ἐν τῇ ἐπιφανείᾳ ἡλκωμένων. οὐδ' ἐπὶ τῶν χονδρωδῶν μορίων. οἷον ὤτων. ἢ ῥινὸς ἄκρων. κατακαίεται γὰρ ὑπ' αὐτοῦ. καὶ μελαίνεται τὰ λίαν ἄσαρκα. τὰ δ' ἄλλα μόρια πάντα τοῦ σώματος καὶ τὰ πάθη, χαίρει τῷ βοηθήματι. ἐξαιρέτως δὲ τῇ κεφαλῇ ἐν ταῖς χρονίαις κεφαλαλγίαις. καὶ ἑτεροκρανίαις. καὶ σκοτώμασιν. ἐπιληψίαις τε καὶ μανίαις. καὶ θώρακι δὲ ἐπιτήδειος, ἐπὶ ὀρθοπνοίαις. ἄσθμασι. βηχὶ χρονίᾳ. ἐν κατάρρῳ δὲ καὶ τὴν κεφαλὴν σὺν τῷ θώρακι σιναπιστέον. καὶ στόμαχον δὲ καὶ ἔντερα ἐπὶ πάσαις ταῖς χρονίαις διαθέσεσι. καὶ μάλιστα ἀνορεξίαις. ἐπί τε νεφριτικῶν διαθέσεων. καὶ περὶ τὰς ψόας. καὶ ὀσφύος. καὶ καυλοῦ τε καὶ κύστεως. καὶ παρέ-
50 σεσι. καὶ πάντα δὲ τὰ παρειμένα καὶ κατεψυγμένα μόρια, χαίρει τῷ βοηθήματι. κατάλληλον δὲ καὶ ἀρθριτικοῖς. καὶ ἰσχιαδικοῖς. καὶ ποδαγρικοῖς. ἐντίθεται δὲ καὶ εἰς τὸ ἀπευθυσμένον. ἐν παρέσει τούτου, βάλανος ἐκ τοῦ νάπυος. καὶ μετὰ τὴν δῆξιν αἰρομένης τῆς βαλάνου, κλύζεται μελικράτῳ. ὁ δὲ τῆς σκευασίας τρόπος ἐστὶν τοιοῦτος.

Σκευασία τοῦ σιναπισμοῦ.

Ἰσχάδας λιπαρὰς χρὴ ἐν ὕδατι χλιαρῷ πρὸ μιᾶς ἡμέρας ἀποβρέξαι. τῇ δ' ἑξῆς θλίψαντα ἰσχυρῶς,

λεαίνειν

λεαίνειν εὖ μάλα. εἶτα νάπυ δριμὺ λαβὼν, τρῖβε κατ' ἰδίαν. παρεγχέοντα ἐν τῇ τρίψει κατὰ βραχὺ τοῦ ἀποβρέγματος τῶν ἰσχάδων, ὡς εὐλειότατον γενέσθαι. μὴ μὴν τοι ὑδαρές. εἶτα μάζαν ποιήσας ἑκατέρου ἰδίᾳ μίσγε πρὸς ἀλλήλας ὡς ἡ χρεία ἀπαιτεῖ. εἰ μὲν εὐτόνως βούλεσαι ναπίζειν· δύο μέρη τοῦ σινάπεως πρὸς ἓν τῶν ἰσχάδων. εἰ δὲ μέσως, ἑκατέρου ἴσον. εἰ δὲ πραοτέρως, τρίτον μὲν μέρος τοῦ νάπυος. δίμοιρον δὲ τῶν ἰσχάδων. ἐπὶ δὲ τῶν εὐαισθήτων σωμάτων. καὶ ἐφ' ὧν περὶ τὴν ἐπιφάνειαν ἐστὶ τὸ πάθος, ἄρτον ἀντὶ τῶν ἰσχάδων δεῖ συμπλέκειν τῷ σινήπι. γνωστέον δὲ καὶ τοῦτο. ὅτι ὄξει βρεχόμενον τὸ σίνηπι, ἀτονώτερον γίνεται. διαφορεῖ γὰρ τὸ ὄξος τὴν δύναμιν τοῦ σινάπεως. λεπτὸν δὲ γενόμενον τὸ κατάπλασμα, ἐπὶ πάντων τῶν προειρημένων ἐμπλαττέσθω εἰς ὀθόνιον. καὶ ἐπιρριπτέσθω τοῖς τόποις. ὅρων δὲ μῆκος ἐπὶ πάντων ὁρίσαι ἀδύνατον. διὸ δεῖ συνεχέστερον ἀναστέλλειν τὸ κατάπλασμα. καὶ κατανοεῖν δεῖ τὴν σάρκα εἰ ἀκριβῶς πεφοίνικται. μάλιστα δὲ τοῦτο χρὴ ποιεῖν ἐπὶ τῶν ἀναισθητοτάτων μερῶν. ἐφ' ὧν δὲ βουλόμεθα αὐτὸ ταχέως ἐνεργῆσαι, σπόγγοις ἀποτεθλιμμένοις ἐξ ὕδατος θερμοῦ, πυριατέον τὸν τόπον. ἐπικειμένου τοῦ καταπλάσματος, τουτέστι κατὰ τοῦ ῥάκους ἐπιθετέον τοὺς σπόγγους. μετὰ δὲ τὴν αὐτάρκη χρῆσιν, εἰς βαλανεῖον ἀκτέον. καὶ ἐμβιβαστέον τῷ θερμῷ. καὶ ἐκ δευτέρου καταπλυτέον τὸ μέρος ἀνάλειπτον. μετὰ δὲ τὸ λουτρὸν, ῥοδίνῳ χρίομεν τὸν τόπον. ἐπὶ δὲ τῶν σφόδρα περιοδυνούντων ἢ καὶ ἑλκωθέντων πτύγματι ἐξ ὑδροῤῥοδίνου. σκεπαστέον. καὶ καταπλαστέον μαλάχῃ ἑφθῇ λείᾳ σὺν ἄρτῳ. μετὰ δὲ τὸ λῆξαι τὸ ἄλγημα, κηρωτῇ ῥοδίνῃ μετὰ ψιμμυθίου χρηστέον. ἐφ' ὧν δὲ οὐχ οἷόν τέ ἐστι λουτρῷ χρήσασθαι. ἐπὶ μὲν τοῦ λοιποῦ σώματος. σπόγγοις ἐξ ὕδατος θερμοῦ πυριατέον. ἐπὶ δὲ τῶν περὶ κεφαλὴν καὶ μάλιστα τῶν ψυχρῶν διαθέσεων ἐλαίου θερμοῦ καταχύσει παρηγορητέον.

Ὅτι οἱ τῶν αἰγῶν σπύραθοι μετ' ὄξους καταπλαττόμενοι ἰδίως ἐπὶ ἰσχιαδικῶν ἁρμόζουσιν. ρλβ.

Αἰγῶν δὲ σπύραθοι λεανθέντες ἐν ὄξει, τὴν τοῦ σιναπισμοῦ χρείαν παρέχουσιν. ἰδίως δὲ ἰσχιαδικοῖς ἁρμόζει τοῦτο τὸ κατάπλασμα. πολὺ ἀνασιμώτερον σιναπισμοῦ πεπειραμένον ἐπὶ τῶν.

Τίνα δὲ ἕτερα ἐστὶ φοινίσσοντα. ρλγ.

Φοινίσσει καρδαμώμου σπέρμα. καὶ θερμαίνει καθάπερ τὸ νάπυ. ἐλενίου ἡ ῥίζα ὁμοίως. ἡ τῶν ἀγρίων περιστερῶν κόπρος. ᾗ πάνυ συνεχῶς χρῶμαι. καὶ μετὰ καρδαμώμου δὲ σπέρματος κεκομμένου καὶ σεσησμένου. ἀντὶ νάπυος αὐτῇ χρῶμαι. καὶ ἐπὶ ἰσχιάδος. καὶ ἡμικρανίας καὶ σκοτώματος. καὶ κεφαλαίας χρονίας. καὶ ἐπὶ ἀλγημάτων χρονίων. πλευρῶν. ἢ ὤμων. ἢ τενόντων. ἢ ψοῶν. καὶ πρὸς τούτοις ἐπὶ νεφριτικῶν. καὶ κωλικῶν διαθέσεων. καὶ ἀρθριτικῶν. καὶ ποδαγρικῶν. ὅταν μηδέπω σύστασις ᾖ πόρων. ἡ σκίλλα δὲ κοπεῖσα ἐν ἅλμῃ, δύναμιν ἔχει παραπλησίαν νάπυϊ καταπλασσομένη. πρὸς ὀλίγον δὲ καιρὸν ἐπιτιθέσθω. βραδύνουσα γὰρ ἑλκοῖ τὸν τόπον. χρηστέον δὲ αὐτῇ ἰδίως, ἐπί τε ὀρθοπνοϊκῶν κατὰ τοῦ θώρακος. ἐπί τε παρέσεως, ἡνίκα μὴ μόνον ἡ κίνησις, ἀλλὰ καὶ ἡ ἁπτικὴ αἴσθησις ἐκλέλοιπε. παρηγορητέον δὲ μετὰ ταῦτα τὰ μέρη, ὡς πρὶν ἐπὶ τοῦ σιναπισμοῦ προείρηται. ἰδίως δὲ τὰς ἀπὸ τῆς σκίλλης δήξεις παρηγορεῖ, κατάχυσις ἐλαίου. καὶ μάλιστα ῥοδίνου.

Περὶ τῆς βηρίδος. ἤτοι καρδαμωτικῆς. ἥτις καλεῖται καὶ λεπίδιον. ρλδ.

Τῶν δὲ σφόδρα ἐπωφελῶς φοινισσόντων ἐστὶ, καὶ ἡ ἰβηρίδα ἡ καὶ καρδαμωτίνη καλουμένη. περὶ ἧς ὁ Γαληνὸς ἐν τῷ περὶ ἰσχιάδος λόγῳ πλεῖστα γέγραφε. καὶ Ἀρχιγένης δὲ αὐτῇ ἐχρήσατο ἐπὶ σπληνικῶν καὶ ἰσχιαδικῶν. φησὶ δὲ ἐν τῇ πρὸς Ἀρίστωνα ἐπιστολῇ περὶ αὐτῆς οὕτως ὁ Ἀρχιγένης. ἐβουλόμην δέ σε χρήσασθαι καὶ τῇ ῥίζῃ τῆς ἐνθάδε νῦν ἰβηρίδος καλουμένης. ἔχει δὲ φύλλα, οἷον καρδάμου. ἔαρος εὐθαλέστερα. μῆκος δὲ, ὅσον πήχεως ἐλάττω. καὶ φύεται μὲν, ἐν ἀγεωργήτοις τόποις. θερείας δὲ, γαλακτικὸν ἄνθος προβάλλει. καὶ τότε δραστικώτατον. ῥίζαι δὲ ὀδώδασιν, οἷον καρδάμου. τὰς ῥίζας οὖν λαβὼν τῷ εἰρημένῳ καιρῷ. καὶ κόψας ἐπιμελῶς. εἰσὶ γὰρ δυσλέαντοι. καὶ λίπος ὑὸς τεταριχευμένου ἐπιβαλὼν εἰς ὅσον ἐμπλαστρῶδες γενέσθαι, κατάπλασμα. μὴ ἔλασσον ὡρῶν δ' ἔπειτα εἰς θερμὸν βαλανεῖον εἰσελθὼν ἀνάλειφος. μετ' ὀλίγην περιενόπισιν τοῦ σώματος ἐμβάσει δηκτικωτέρᾳ ἐνδιάτριβε. ἐξελθὼν δὲ οἰνελαίῳ λιπαρῷ περιαντληθεὶς καὶ περιμαξάμενος, σκέπε τὸ ἰσχίον ἐρίοις καθαροῖς. σιναπισμοῦ μὲν ὁ τρόπος. τὰς δὲ τῆς ὠφελείας ἐλπίδας μείζονας ἔχει διὰ τὸ φαρμακωδέστερον καὶ μετὰ ἥσσονος ἐπιμελεῖσθαι δήξεως.

Γαληνοῦ περὶ τῶν μετασυγκριτικῶν βοηθημάτων. ρλε.

Γ αύτων τῶν ἐπὶ πλεῖστον χρονιζόντων παθῶν, ὅταν μηδὲν ἀνύῃ τὰ βοηθήματα, τὴν μετασυγκριτικὴν ὑπὸ τῶν μεθοδικῶν ὀνομαζομένην θεραπείαν ἁπάντων, εἰώθασι ποιεῖσθαι. ἐγὼ δὲ ἐφ' ὧν ἤτοι δυσκρασία τις ὑγρὰ καὶ ψυχρὰ τοῖς πάσχουσι μορίοις ἐστίν. ἤτοι δυσαισθησία. ἢ ἀναισθησία, προσφέρω τὰ διὰ νάπυος ἢ θαψίας καὶ τῶν ὁμοίων αὐτοῖς φαρμάκων, ταῖς ξηραῖς δὲ καὶ θερμαῖς διαθέσεσιν, οὐ προσφέρω.

ΤΑ ΔΕ ΕΣΤΙΝ ΕΝ ΤΩΙ ΤΕΤΑΡΤΩΙ ΛΟΓΩΙ.

Περὶ ὑγιεινῆς διδασκαλίας τοῦ σώματος. καὶ περὶ διαγνώσεως δυσκρασιῶν τῶν τε κατὰ φύσιν καὶ παρὰ φύσιν. καὶ περὶ θεραπείας τούτων.

ΔΙΑΙΤΗΤΙΚΟΝ ὙΓΙΕΙΝΩ͂Ν ΠΑΡΑΓΓΕΛΜΑ΄ΤΩΝ ἘΚ ΤΩ͂Ν ὙΓΙΕΙΝΩ͂Ν ΓΑΛΗΝΟΥ͂ ΠΡΟΟΙ΄ΜΙΟΝ.

Ἧς περὶ τὸ σῶμα τοῦ ἀνθρώπου τέχνης μιᾶς οὔσης, δύο αὐτῆς ἐστὶ τὰ πρῶτα καὶ μέγιστα μόρια. τὸ μὲν πρῶτον ὑγιεινόν. τὸ δὲ ἕτερον θεραπευτικόν. ἐπεὶ δὲ καὶ τῷ ἀξιώματι καὶ τῷ χρόνῳ, προτέρα ἐστὶ ὑγεία νόσου, χρὴ δή που καὶ ἡμᾶς, ὅπως ἄν τις ταύτην φυλάξειεν, ἐσκέφθαι πρότερον. ἐφεξῆς δὲ καὶ ὡς ἄν τις ἄριστα τὰς νόσους ἐξιῷτο. λέγεται δὲ ὑγεία διττῶς. ἡ μὲν, ἀκριβής τε καὶ ἀρίστη. καὶ τελεία. καὶ ἄκρα. ἡ δὲ, ἀπολειπομένη μὲν ταύτης. οὐ μὴν ἤδη γέ πως τοσοῦτον, ὥστε καὶ νοσεῖν τὸ ζῶον. καὶ τῆς αὐτῆς ὑποβάσεως, οὐ μικρὰ διαφορὰ περὶ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τοῖς σώμασιν ἐγίνεται. πρότερον δὲ χρὴ διελθεῖν, ὅπως ἄν τις τῆς ἀρίστης τε καὶ ἀμέμπτου φύσεως διαφυλάττοι τὴν ὑγείαν. ἔτι δὲ τούτου πρότερον, ἥτις ποτέ ἐστιν ἡ ἀρίστη κατασκευὴ τοῦ σώματος, ἀναμνησθῆναι. ἔστι δὲ δή που κατὰ μὲν τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος ἐξηγουμένοις, ἡ εὐκρατοτάτην τε καὶ τὴν διάπλασιν τῶν μορίων ἀκριβῶς ἁρμόττουσαν ταῖς ἐνεργείαις αὐτῶν ἔχουσα. καὶ πρὸς τούτοις ἔτι τόν τε ἀριθμὸν ἅπαντα καὶ τὰ μεγέθη. καὶ τὴν πρὸς ἄλληλα σύνταξιν ἁπάντων αὐτῶν, χρηστὴν ταῖς ἐνεργείαις παρεχομένη. κατὰ δὲ τὰ γνωρίσματα, τὸ ἀκριβῶς εὔσαρκον σῶμα τοιοῦτόν ἐστι, ὃ μέσον ἰσχνοῦ τε καὶ πολυσάρκου. καὶ μήτε λάσιον μήτε ψιλὸν τριχῶν. μὴ δὲ μαλακώτερον τοῦ συμμέτρου. μὴ δὲ σκληρότερον. μὴ δὲ λευκὸν ἢ μέλαν. ἢ ἄφλεβον. ἢ εὐρύφλεβον. ἢ θυμικόν. ἢ ἄθυμον. ἢ ὑπνῶδες. ἢ ἀγρυπνητικόν. ἢ ἀμβλὺ τὴν διάνοιαν. ἢ πανοῦργον. ἢ ἀφροδισιαστικόν. ἢ τοὐναντίον. εἰ δὲ καὶ πᾶσιν εἴη τοῖς μορίοις ἀκριβῶς μέσον ἁπασῶν τῶν ὑπερβολῶν, ἔσται μὲν δή που καὶ κάλλιστον ὀφθῆναι τὸ τοιοῦτον, ὡς ἂν σύμμετρον ὑπάρχον. εἰς ἅπαντας δὲ τοὺς πόνους ἐπιτήδειον. ἕξει δὲ καὶ τὰ ἄλλα γνωρίσματα καθ᾽ ἕκαστον μόριον εὐκρασίας. περὶ ὧν ὡς οἷόν τε διὰ βραχέων δηλώσωμεν περὶ τὰ τέλη τοῦδε τοῦ λόγου. πολλὰ γὰρ τῶν σωμάτων εὔκρατα μὲν εἰ τύχοι ταῖς κεφαλαῖς, δύσκρατα τοῖς θώραξιν ἐστίν. ἢ τοῖς κατὰ γαστέρα καὶ τὰ γεννητικὰ μόρια. τινῶν δὲ ἐν τοῖς κώλοις ἐστὶν ἡ δυσκρασία. καὶ πολλοῖς καθ᾽ ἕν τι τῶν σπλάγχνων ἤ τι μόριον ἕτερον. καὶ περὶ τούτων δὲ, ἐν ταῖς μοχθηραῖς τῶν σωμάτων κατασκευαῖς μετὰ ταῦτα εἰρήσεται ἐν τῷδε τῷ λόγῳ. περὶ δὲ τῆς ἀρίστης κατασκευῆς, ἤδη λέγομεν ἕκαστον μόριον ἄμεμπτον ἔχει τὴν σύμπασαν οὐσίαν. εἰρήσεται δὲ πρῶτον μὲν, ὡς ἄν τις ἐξ ἀρχῆς παραλαβὼν ἄνθρωπον τοιοῦτον ὑγιαίνοντα διαπαντὸς, ἀποδείξει τοῦ βίου πέρας εἰ μή τι τῶν ἔξωθεν αὐτῷ συμπίπτει βιαίων.

Πῶς διαγινώσκεται τὸ ὑγιεινὸν βρέφος ἄρτι γεννώμενον. β.

Κριθήσεται δὲ τὸ ὑγιεινὸν, εὐθὺς ἐκ γεννητῆς. πρῶτον μὲν ἐκ τοῦ τὴν κυήσασαν ὑγιεινῶς ἐν τοῖς τῆς κυοφορίας βεβιωκέναι χρόνοις. εἶτα τεχθέντος καὶ ἐπὶ τῆς γῆς τοῦ βρέφους τεθέντος, αὐτὸ κλαυθμυρίσαι μετὰ τόνου τοῦ προσήκοντος. ἔκ τε τοῦ, πᾶσι τοῖς μορίοις καὶ ταῖς αἰσθήσεσιν, ἄρτιον ὑπάρχειν. καὶ τοὺς φυσικοὺς ἅπαντας πόρους ἀπαραποδίστους ἔχειν. ὤτων. ῥινῶν. φάρυγγος. οὐρήθρας. δακτυλίου. καὶ τὰς ἑκάστου μορίου φυσικὰς κινήσεις, μὴ νωθράς. μὴ δ᾽ ἐκλύτους ἔχειν. καὶ τὰς τῶν ἄρθρων κάμψεις τε καὶ ἐκτάσεις. μεγέθη τε καὶ σχήματα. καὶ τὴν αἴσθησιν ἀκριβῆ.

Περὶ παιδοτροφίας. γ.

Τὸ τοίνυν νεογενὲς παιδίον. ἔστω δὴ τὸ ἄμεμπτον ἐν πάσῃ τῇ κατασκευῇ, πρῶτον μὲν, τὸν ὀμφαλὸν ἀποτεμνέσθω. ἀπὸ τεσσάρων δακτύλων τῆς γαστρὸς σμιλίῳ ἐπὶ ἄκμων. παραιτουμένους τὴν ἄλλην ὕλην καλάμων τε καὶ ὑέλλων. χάριν τοῦ μηδεμίαν περίθλασιν γενέσθαι. εἶτα τὸ ἐν αὐτῷ περιεχόμενον αἷμα θρομβῶδες ἐκθλίβειν καὶ ἀποπωματίζειν ἐρίῳ ἐξεσμένῳ. ἔπειτα συμμέτροις ἁλσὶ καθ᾽ ἑαυτοῖς λεπτοτάτοις περιπαττομένοις. ἔσθ᾽ ὅτε δὲ καὶ σὺν ἐλαίῳ ἐπὶ τῶν ἀφροδροτέρων ἀποσμήχειν ὅλον τὸ σῶμα χυλῷ πτισάνης. ἢ τέλεως. καὶ ὕδατι χλιαρῷ περιπλύνειν τὸ ἐπικείμενον τῷ σώματι γλίσχρασμα χρή. καὶ δακτύλοις ἀποθλίβειν τὸ ἐγκείμενον ταῖς ῥισὶ γλινῶδες. ἀπο-

καθαίρειν τε καὶ τὸ στόμα καὶ τοὺς τῶν ὤτων πόρους· διαστέλλειν τε καὶ τὰ βλέφαρα· καὶ ἀποματτειν τοὺς ὀφθαλμοὺς. ἔλαιον αὐτοῖς ἐνστάξαντας. διαστέλλειν δὲ δακτύλοις καὶ τὸν δακτύλιον. παραχρῆμα γοῦν ἐκκρίνει διὰ τῆς ἕδρας τὸ καλούμενον συνήθως μηκώνιον· κατὰ δὲ τοῦ ὀμφαλοῦ, πυγμάτιον ἐλαίῳ βραχὺ ἐπιρρίπτειν· ἐσχηματισμένον ὀμφαλῶν τρόπον. παραιτεῖσθαι δὲ κύμινον αὐτῷ ἐπιπάττειν ὥς τινες διὰ τὸ δριμύ. εἶτα διπλώσαντας τὸν ὀμφαλόν. καὶ τῷ ὀθονίῳ ἐντυλίξαντας, πράως συντιθέναι αὐτὸν κατὰ τὸ μεσαίτατον. εἶτα σπαργανούσθω τὸ βρέφος κατὰ τὸ ἔθος. δοτέον δὲ αὐτῷ πρὸ πάσης τροφῆς, μέλι κάλλιστον ἀπηφρισμένον ἐκλείχειν παραιτουμένους τὸ βούτυρον ὡς κακοστόμαχον. εἶτα χλιαρὸν ὑδρόμελι παραστάζειν. εἶτα προαμέλξασα ἡ μήτηρ τῶν μαστῶν τὸ παχὺ· καὶ πυριάσασα αὐτοὺς ὕδατι θερμῷ, διδότω τὸ γάλα τῷ βρέφει. βέλτιον γὰρ μὴ λαμβάνειν τὸ τῆς μητρὸς γάλα, μέχρι τῆς τετάρτης ἡμέρας. λούειν δὲ χρὴ τὸ παιδίον διαστήσαν ὥρας τινὰς μετὰ τροφὴν, δὶς τῆς ἡμέρας. ἐκπεσόντος δὲ τοῦ ὀμφαλοῦ, μετὰ τὴν τρίτην ἢ τὴν τετάρτην ἡμέραν, κοχλίου ὄστρακον κεκαυμένον, ἐπίπασσε τῷ τόπῳ λείῳ. ἢ ἀστράγαλον χοίρου κεκαυμένον. ἢ μόλιβδον κεκαυμένον ἐπίχεε μετ' οἴνου, καὶ ἐπίδησον.

Περὶ ἐκλογῆς τιτθῆς. δ.

Πρὸ δὲ τούτων πάντων, ἐκλεκτέον τὴν τιτθὴν, οὔτε νεωτέραν ἐτῶν κ. οὔτε πρεσβυτέραν ἐτῶν μ. προτετοκυῖαν δὲ δὶς ἢ τρίς. ἄνοσον. εὐεκτοῦσαν. εὐμεγέθη τῷ σώματι. εὔστερνον μαστοὺς ἔχουσαν συμμέτρους. ἀρρυσώτους. θηλὰς μήτε μεγάλας, μήτε μικράς. μήτε στενοτέρας. μήτ' ἄγαν εὐρυτέρας. ἢ σηραγγώδεις. οἱ μὲν γὰρ μεγάλοι τιτθοὶ, πλέον τοῦ δέοντος παρασκευάζουσι τὸ γάλα. καὶ μένον ἐν αὐτοῖς, διαφθείρεται καὶ ἀδικεῖ τὸ βρέφος. μετὰ τοῦ, καὶ τὴν γυναῖκα βαρύνειν. οἱ δὲ μικροὶ, ὀλίγον παρέχουσι τὸ γάλα. καὶ αἱ μὲν μεγάλαι θηλαὶ, θλίβουσι τὰ οὖλα. κωλύουσι τὴν γλῶτταν συνεργεῖν τῇ καταπόσει. αἱ δὲ μικραὶ, δύσληπτοι. καὶ διὰ τοῦτο κακοπαθεῖν ταῖς σιαγόσιν. ἀλλὰ καὶ ἐκοντιζόμενον διὰ τῶν στενῶν πόρων τὸ γάλα, πλήττει τὸν ὑπαλείφοντα τὸ στόμα ὑμένα. καὶ ἄφθας γεννᾷ. αἱ δὲ εὐρύτεραι καὶ σηραγγώδεις θηλαὶ, ἀθρόον ἀφιεῖσαι τὸ γάλα, πνιγμοῦ αἴτιαι γίνονται. πρὸς τούτοις δὲ εἶναι χρὴ τὴν τιτθὴν, σώφρονα. ἀμέθυσον. ἀόργητον. καθαράν. εὔχυμον. καὶ μὴ ἐπίληπτον. ἔγω γοῦν ποτέ φησιν ὁ Γαληνὸς, παιδίου κλαίοντος ὅλης τῆς ἡμέρας. καὶ θυμουμένου, ἐπειδὴ ἐθεασάμην τὴν στρωμνὴν αὐτοῦ καὶ τὰ ἱμάτια ῥυπῶντα. καὶ αὐτὸ τὸ παιδίον ῥυπαρὸν, ἐκέλευσα αὐτό τε λούσασθαι. καὶ τὴν στρωμνὴν αὐτοῦ. καὶ τὰ ἱμάτια ὑπαλλάξαι. καὶ τούτου γενομένου, τοῦ τε κλαυθμοῦ, καὶ τῆς ὀργῆς ἐπαύσατο. καὶ καθύπνωσεν.

Δοκιμασία γάλακτος. ε.

Δοκιμαστέον δὲ τὸ γάλα, γεύσει καὶ ὄψει καὶ ὀσφρήσει. καὶ γὰρ γευομένοις, ἡδύ. καὶ θεωμένοις, λευκόν τε καὶ ὁμαλόν. καὶ μέσως ἔχον ὑγρότητός τε καὶ πάχους εἶναι αὐτὸ χρή. τὸ δέ γε μοχθηρὸν ἤτοι παχὺ καὶ τυρῶδες, ἢ ὑγρὸν καὶ ὀρρῶδες. ἢ πελιδνόν. ἢ διαφύσεις ἔχον αἵματος. ἢ ἀφρῶδες. ἢ βρομῶδες. ἢ δυσῶδες. ἢ ταχέως ἀποξυνόμενον. ἢ γευομένῳ πικρότητος. ἢ ἅλμης. ἢ τινὸς ἑτέρας ἀλλοκότου ποιότητος ἔμφασιν, παρέχον. ταῦτα μὲν οὖν ἔστωσαν γνωρίσματα. μοχθηροῦ τε καὶ χρηστοῦ γάλακτος οἷς τεκμαιρόμενος νοσώδη τὴν γυναῖκα εἶναι, ἐφ' ἑτέραν μεταβαίνειν. ἐπὶ δὲ τῶν εὐπορούντων, πλείονας δεῖ εἶναι τὰς τιτθάς.

Δίαιτα τιτθῆς. ς.

Γυμνάζειν δὲ τὴν τιτθὴν χρὴ, συμμέτροις γυμνασίοις. καὶ μάλιστα τοῖς ἄνω μέρεσι. τροφὰς δὲ εὐχύμους τε ἅμα καὶ εὐδιοικήτους. καὶ κατὰ καιρὸν τὸν προσήκοντα. καὶ κατὰ τὰ μέτρα τὰ δέοντα διδόναι. ὡσαύτως καὶ τὰ πόματα. ἀφεκτέον δὲ πράσων· κρομμύων, σκόρδων. ταρίχων. καὶ τῶν δυσωδῶν πάντων. καὶ τῶν βρωμωδῶν. καὶ τῶν πλείστων βρωμάτων. καὶ μάλιστα στροβίλων. ἐλαιώδη γὰρ ταῦτα. καὶ διὰ τοῦτο χολοποιά. καὶ ἐπιπολαστικά. ἀλλὰ καὶ ἀφροδισίων ὑπομνηστικά. ὧν παντάπασιν ἀπέχεσθαι χρὴ τὴν τιτθήν. ἐρεθίζονται γὰρ κατὰ τὰς συνουσίας αἱ ἐπιμήνιοι καθάρσεις. καὶ διὰ τοῦτο καὶ τὸ γάλα φθείρεται. καὶ μοχθηρὸν καὶ βραχύτατον γίνεται. τινὲς δὲ αὐτῶν, καὶ ἐν γαστρὶ λαμβάνουσιν. οὗ βλαβερώτερον οὐδὲν ἂν εἴη τῷ τρεφομένῳ βρέφει. ἐλαττουμένου δὲ τοῦ γάλακτος. ἢ φθειρομένου. ἢ καὶ παντάπασι σβεννυμένου. ἢ παχυνομένου. ἢ λεπτυνομένου, καλὸν μὲν ἑτέρας τιτθῆς γάλα διδόναι. μὴ ἐπιτρεπούσης δὲ τῆς ἐπιστάσεως, διαιτᾶν αὐτὴν τὴν τιτθήν. ὥστε μὴ νόσῳ περιπεσεῖν τὸ βρέφος. ἀποσβεννυμένου τοίνυν τοῦ γάλακτος, ἐπιθεωρητέον εἴτε τὸ πᾶν σῶμα νοσεῖ, ἢ ἐν μόριον. καὶ τὴν λυποῦσαν διάθεσιν ἀνασκευάζειν. εἰ δὲ δι' ἔνδειαν ἀπεσβέσθη τὸ γάλα, προσθετέον ταῖς τροφαῖς. καὶ εὐχυμοτέρας διδόναι. καὶ τῶν πλείονας περιαιρετέον. τήν τε κοιλίαν εἰ πλέον τοῦ δέοντος φέροιτο, συστρεπτέον. γυμνασίοις τε τῶν ἄνω μερῶν χρῆσθαι καὶ τρίψει τῶν μαστῶν. καὶ πυρίαις διὰ σπόγγων κηρωταῖς τε κατὰ τῶν μαστῶν ὑγροτέραις χρῆσθαι διὰ ἰρίνου ἐλαίου. ἢ τοῦ κυπρίνου. ἐκλείχειν τε λινόσπερμα μετὰ μέλιτος. ἢ γλυκέος. ἢ σήσαμον ὠμὸν μετὰ φοίνικος πατητοῦ ἴσα λεάνας, δίδου ἐσθίειν. καὶ πινέτω ζύθον. καὶ αὐθημερὸν πληθύνονται οἱ μαστοὶ τοῦ γάλακτος. δόξει δὲ ἡ γυνὴ ἅμα τῷ λαμβάνειν τὸ πότημα, πάντα ἑαυτῆς τὰ μέλη παραλελύσθαι, ἄχρις οὗ γένηται ἐν τοῖς μαστοῖς τὸ γάλα. ἢ ἕλμινθας ἁλιέων τὰς εὑρισκομένας ἐν τῇ ἰλύϊ τοῦ ποταμοῦ. ἃ καλεῖται

γῆς ἔντερα

γῆς ἐντέρα λειοτριβήσας ὅσον ε' ἢ ζ'. ἐπίβαλλε φοίνικας πατητούς. καὶ ἅμα λεάνας, δὸς ἐν ζύθῳ πίνειν. προλούσας τὴν γυναῖκα νῆστιν ἐπὶ ἡμέρας γ'. καὶ θαυμάσεις τὸ γάλα ὡς πολὺ καὶ καλόν. βέλτιον δὲ καὶ τὸ πρὸ τούτου ὁμοίως συλλεαίνειν τῷ ζύθῳ. καὶ διδόναι πίνειν. οἶνον δὲ διδόναι γλυκύτερον. καὶ μάραθρον ἢ ἄνηθον χλωρὸν, σὺν πτισάνῃ ἑψήσας, δίδου ῥοφεῖν. εἰ δὲ λεπτὸν εἴη τὸ γάλα, τὰ λαφρὰ ἀποδοκιμάζειν, ὡς ἐξυδατοῦντα τοὺς χυμούς. χρηστέον δὲ ἐν τροφῇ, χόνδρῳ. ᾠοῖς ῥοφητοῖς. ἄρτοις σεμιδαλίταις. καὶ χοιρείοις ποσὶ καὶ ἀκροκωλίοις. καὶ ὀρνιθίοις ἢ πιωτέρον. ἐριφίοις τε κρέασι. καὶ οἴνῳ γλυκεῖ. εἰ δὲ παχύτερον εἴη τὸ γάλα τῆς γυναικὸς, λεπτυνούσῃ τροφῇ χρηστέον. καὶ ἀτροφώτερον καὶ βαλανείοις συνεχέστερον. τὸ γὰρ παχύτερον γάλα, ἀποστήματα καὶ δοθιῆνας περὶ τὸ σῶμα τοῦ βρέφους γεννᾷ. καὶ ἡ γαστὴρ αὐτοῦ ἐπέχεται. ἀλλ' οὐδὲ τὰ οὖρα κατὰ λόγον φέρεται. ἔμετοί τε ἐνοχλοῦσι φλεγματώδεις. δυσκίνητόν τε καὶ δύσπνουν γίνεται τὸ βρέφος. καὶ ἀνόρεκτον. καὶ ἄχρουν. καὶ λήμας ἕξει παχείας. καὶ μύξας ὁμοίως. φῦσαί τε πολλαὶ διαχωροῦσιν. εἰ δὲ δριμύτερον γένηται τὸ γάλα, ἐκκρίσεις διὰ γαστρὸς τοῦ βρέφους πλείονες γίνονται μετὰ δήξεως. καὶ ἀνορεξία κρατεῖ. καὶ ἐξανθήματά τε δριμύτατα κατὰ τὸ σῶμα γίνεται. καὶ μάλιστα περὶ τὰ ἄνω μέρη. ἤδη δὲ καὶ τὰ κάτω. καὶ ἰσχνότερον τὸ βρέφος κατὰ βραχὺ γίνεται. ὅθεν παντοίῳ τρόπῳ κατακεραστέον τὸ σῶμα τῆς τιτθῆς βαλανείοις τε γλυκέσι. καὶ εὐχύμῳ τροφῇ. ἐπὶ πολὺ δὲ φερόμενον τὸ γάλα εἰ βούλει ἐλαττῶσαι, ἀτροφώτερα δίδου σιτία καὶ ἐλάχιστα. κατάπλαττε δὲ τοὺς μαστοὺς ἑφθῷ φακῷ. ἢ κύμινον μετ' ὄξους ἐπίχριε. ἢ λίθον λευκὸν τὸν ἁπαλόν. ᾧ εἰς τὰς οἰκοδομὰς χρώμεθα ὁμοίως μετ' ὄξους. ἢ ὑοσκύαμον μετ' ὄξους. ἢ ῥάκκος ὄξει βρέχων, ἐπιτίθει. καὶ συνεχῶς ἐπίβρεχε. καταντλεῖ δὲ θαλάσσῃ. ἢ ἅλμῃ θερμῇ. ἢ μυρσίνης ἀφεψήματι.

Πρὸς τὰ ῥέγχοντα βρέφη. ζ'.

Ἐπεὶ δὲ αἱ πλείους τῶν τιτθῶν ὡς εἴρηται, ἀνεπιτηδείοις χρώμεναι τροφαῖς, μοχθηρὸν τὸ ἑαυτῶν γάλα κατασκευάζουσι. καὶ ἐκ τούτου διαφόροις νοσήμασι περιβάλλουσι. καὶ τὰ τῆς ἀρίστης κατασκευῆς λαχόντα τῶν βρεφῶν. ἔσθ' ὅτε δὲ καὶ ἐκ τῶν ἔξωθεν προσπιπτόντων τῷ σώματι, νοσήματα ἐπιγίνονται, ἀναγκαῖον καὶ περὶ τῶν ἐνοχλούντων τοῖς βρέφεσι διαφόρων παθῶν καθόσον οἷόν τε, διὰ βραχέων διελθεῖν. εἰ μὲν οὖν παχυτέρᾳ τροφῇ τρεφόμενον τὸ βρέφος ἀθροίσει ἐν τῇ γαστρὶ φλέγμα. καὶ διὰ τοῦτο ῥέγχοι, λινόσπερμα μετὰ μέλιτος δοτέον ἐκλείχειν. ἢ κύμινον βραχὺ μετὰ μέλιτος. καὶ μελίκρατον ἐνστάζειν τῷ στόματι συνεχῶς θερμόν. εἰ δ' ἐπιμένοι θλιβόμενον, ἐλαίῳ τὸν λιχανὸν δάκτυλον κάμπτων, διάχριε τὰ παρίσθμια. καὶ παραπιέζων τὴν ῥίζαν τῆς γλώττης κάτω, ἐρέθιζε πρὸς ἔμετον. ἐμέσαν γὰρ, πάντων τῶν ὀχληρῶν ἀπαλλάττεται χρῆμα.

Πρὸς τὰ ἄφωνα γινόμενα βρέφη. η'.

Πρὸς δὲ τὰ ἄφωνα γινόμενα βρέφη, δι' οἱανδή ποτε πρόφασιν προηγουμένην. μάλιστα δὲ τοῦτο συμβαίνει ἐπεχομένης τῆς κοιλίας. κράμβης οὖν χυλὸν μετὰ ἐλαχίστου ἁλὸς δίδου πίνειν. ἢ ἔνσταζε. παραχρῆμα γὰρ λύει τὴν κοιλίαν. καὶ ἀποκαθίστησιν. ἀλλὰ καὶ βαλανιστέον τὸν δακτύλιον.

Περὶ ὀδοντιάσεως. θ'.

Περὶ δὲ τὸν ἕβδομον μῆνα. ἄρχεται τὰ βρέφη φύειν τοὺς ὀδόντας. καὶ νυττομένων καὶ κεντουμένων ὡς ἀπὸ σκόλοπος ἀπὸ διαιροῦντος τὰ οὖλα τοῦ ὀδόντος, φλεγμοναὶ ἐπιγίνονται. αὐτῶν δὲ τῶν οὔλων καὶ σιαγόνων. καὶ τενόντων, οἷς καὶ πυρετοὶ ὡς ἐπίπαν ἐπιγίνονται. παρέπεται δὲ καὶ κνησμὸς τῶν ἀκουστικῶν πόρων. καὶ τὰ ὦτα ὑγραίνεται. ἔνιοι δὲ καὶ ὀφθαλμίαις ἁλίσκονται. καὶ αἷμα ἐκ τῶν κανθῶν ῥεῖ. ἐκταράττεται δὲ καὶ τοῖς πλείστοις ἡ γαστὴρ, διὰ τὴν τοῦ στομάχου φλεγμονήν. καὶ τὴν τῆς γαστρὸς ἔκλυσιν. λιπαίνειν τοίνυν προσήκει, τένοντα καὶ σιαγόνας, τρυφερῶν ἐρίων. καὶ καθαρῶν περιβολῇ. τραχήλου καὶ ἰνίου διὰ γλυκέος ἐλαίου καὶ θερμοῦ. παρενστάζειν δὲ καὶ τοῖς ἀκουστικοῖς πόροις ἔλαιον θερμόν. ἐπιμενούσης δὲ τῆς φλεγμονῆς, καὶ κηρωτὴν ῥοδίνην ὑγρὰν ἐπιρρίπτειν τοῖς τόποις. ψωμίζειν δὲ τὸ παιδίον, ἐγκέφαλον. μάλιστα μὲν, λαγωοῦ ἑφθόν. ἢ ὀπτόν. εἰ δὲ μὴ, προβάτου. φυσικῶς γὰρ ὠφελεῖ. καὶ μέλιτι δὲ συμμέτρως ἑφθῷ, διαχρίειν τὰ οὖλα. παρασκευάζει γὰρ ἀταλαίπωρον τὴν ἔκφυσιν τῶν ὀδόντων. μηδὲν δὲ σκληρὸν αὐτοῖς διδόναι διαμασᾶσθαι, ἵνα μὴ τυλωδέστερα τὰ οὖλα γινόμενα, παρεμποδὼν γένωνται τῇ τῶν ὀδόντων ἐκφύσει. βαλανείῳ δὲ κατὰ τὰς ἀνέσεις τῶν πυρετῶν χρῆσθαι. μὴ σπουδάζειν δὲ τὴν κοιλίαν συστρέφειν. ἵνα μὴ ἀνάφορος γινομένη ἡ ὕλη, ἀδικήσῃ τε μάλιστα μὲν τοὺς ὀφθαλμούς. καὶ τοὺς πυρετοὺς δὲ σφοδροτέρους ἐργάσηται. καὶ τὴν τιτθὴν δὲ ὑδροποτεῖν ἀναγκαστέον. καὶ τὴν τροφὴν ἀδηκτοτάτην καὶ ῥοφηματώδη λαμβάνειν. φασὶ δὲ φυσικῶς βοηθεῖν τοῖς ὀδοντιῶσι παιδίοις, κολοκυνθίδος ἀγρίας ἡ ῥίζα. ἐν χρυσῷ ἢ ἐν ἀργυρῷ σωληναρίῳ φορουμένη. καὶ ἡ τοῦ βάτου ῥίζα καὶ ἔχεως ἄρρενος, μάλιστα τὸν ὀδόντα λαβών. καὶ ἐμβαλὼν τῷ ἀργυρείῳ, περίαπτε. φορείτωσαν δὲ ἀεὶ περὶ τὸν στόμαχον τὸν χλωρίζοντα ἴασπιν.

Πρὸς φλεγμονὰς ὀφθαλμῶν. ι'.

Λύκιον ἰνδικὸν μάλιστα. εἰ δὲ μή γε τὸ παταρικὸν, ἀνέσαι μετὰ γάλακτος, ἐπίχριε τὰ ἄνω βλέφαρα

σὺν ταῖς ὀφρύσιν. ἐνίοτε δὲ καὶ αὐτοῖς τοῖς ὀφθαλμοῖς ἔνσταζε. ἐξυδαρώσας αὐτὴν τῷ γάλακτι. θαυμαστῶς δὲ ποιεῖ καὶ τὸ, νείλου διάῤῥοδον κολλύριον ἐπιχριόμενον. ἀπόνιπτε δὲ καὶ αὐτοὺς τοὺς ὀφθαλμοὺς, ὠκίμου ἀφεψήματι.

Πρὸς λευκώματα παιδίων. ια.

Πρὸς δὲ τὰ γιγνόμενα τοῖς παιδίοις λευκώματα, ἀπὸ κλαυθμοῦ· στρύχνου μέλανος χυλὸν ἔγχριε.

Πρὸς φλεγμονὰς ὤτων καὶ ὑγρότητας. ιβ.

Πρὸς φλεγμονὰς δὲ καὶ τὰς ὀδύνας τῶν ὤτων, ᾠοῦ τὸ λευκὸν μετὰ γάλακτος γυναικείου, ἔνσταζε. ἢ γῆς ἔντερα ἑψήσας μετὰ ῥοδίνου, ἔνσταζε, πρὸς δὲ τὰς τῶν ὤτων ὑγρότητας, στυπτηρίαν διεὶς οἴνῳ. καὶ ἔριον καθαρὸν, καὶ ἁπαλὸν ἐν αὐτῷ βρέχων, ξήραινε ἐν ἡλίῳ. καὶ πάλιν βρέχων ξήραινε. καὶ τὸ αὐτὸ ἐκ τρίτου ποιήσας, φύλαττε ξηρὸν τὸ ἔριον. ἐπὶ δὲ τῆς χρείας λαβὼν ἐξ αὐτοῦ, ἐντίθει εἰς τὸ οὖς. πρὸς δὲ τὰ τοῖς ὠσὶν ἕλκη, χρῶ τροχίσκῳ τῷ, μύσα. ἀνείσας αὐτὸν μετὰ ἑψήματος καὶ ὄξους ὀλίγου. εἰ δὲ ὑπερσάρκωμα εἴη, πρῶτον καταστέλλε τῷ βιθυνοῦ τροχίσκῳ ἀνιὼν αὐτῷ σὺν οἴνῳ. ἔπειτα χρῶ τῷ μούσα ὡς προείρηται.

Περὶ σειριάσεως. ιγ.

Τῶν μετὰ πυρετοῦ συμβαινόντων παθῶν, ἡ καλουμένη ἐπὶ τῶν νηπίων σειρίασις, φλεγμονὴ τῶν περὶ τὸν ἐγκέφαλον καὶ μήνιγγας μορίων. ὥστε κοιλότητα τοῦ βρέγματος καὶ τῶν ὀφθαλμῶν παρακολουθεῖν, μετὰ πυρετοῦ καυσώδους καὶ ὠχριάσεως. καὶ ξηρότητος τοῦ σώματος καὶ ἀνορεξίας. σειρίασις δὲ κέκληται, ἀπὸ τῆς κατὰ τὸ βρέγμα κοιλότητος. σειρὸς γὰρ παρ' ἕλλησι λέγεται, σῶμα κοῖλον. εἰς ὃ φυλάττουσι σπέρματα. ὅθεν ὡς πρὸς φλεγμονὰς πάντα ποιεῖν χρή. παρηγοροῦντας. καὶ μετρίως ἐμψύχοντας τὴν κεφαλὴν, ἐκβρέχοντας κορίου χυλῷ μετὰ ῥοδίνου. καὶ τὸ σῶμα ὅλον αὐτῷ χριέσθω σύν. ἢ κολοκύνθης ξέσματα ἐπιτίθει τῷ βρέγματι. ἢ ἀμπέλου φύλλου. ἢ ἀνδράχνην μετὰ ῥοδίνου ἀνακόψας, χρίε τὸ βρέγμα. ἢ ἡλιοτροπίου τοῦ σκορπιούρου χυλῷ ἐπίβρεχε τὸ βρέγμα. ἢ ᾠοῦ τὸ πυρὸν μετὰ ῥοδίνου ἀνακόψας, χρίε τὸ βρέγμα. καὶ συνεχῶς ἄλλασσε.

Πρὸς τὸ ἱδρῶσαι τὸ βρέφος ἐν πυρετῷ. ιδ.

Καλάμου χλωροῦ καρδίαν λεάνας, ἄλειφε τὸ βρέγμα τῆς κεφαλῆς, καὶ τοὺς πόδας. καὶ περίβαλλε αὐτὸ ἱματίοις.

Περὶ τῆς ἐν στόματι ἄφθης. ιε.

Καὶ τῶν ἐν παρισθμίοις γινομένων φλεγμονῶν, εἰρήσεται τελεώτατα, ἐν τῷ περὶ τῶν ἐν τοῖς τελείοις συμβαινόντων περὶ τὰ μόρια ταῦτα παθῶν, λόγῳ. λέγω δὴ, ἐν τῷ ὀγδόῳ.

Πρὸς τὸ ἀναβάλλειν τὰς καταπινομένας ἀκάνθας ἢ κάρφη. ις.

Στυπτηρίαν ᾗ χρῶνται εἰς τὰ δέρματα, σὺν ἐλαίῳ λεάνας, διάχριε τὴν κατάποσιν. παραπιέζων ἱκανῶς τῷ δακτύλῳ τὴν ῥίζαν τῆς γλώττης καὶ ἀναβάλλει ῥαδίως.

Πρὸς τοὺς συνεχεῖς πταρμοὺς τῶν νηπίων καὶ κόρυζαν. ιζ.

Εὔκιμον ξηρὸν κόψας. καὶ σήσας, πρόσαγε ταῖς ῥισίν. ὥστε ἕλκεσθαι διὰ τῆς ἀναπνοῆς. ἢ ἐμφύσα τὸ αὐτὸ καὶ πρὸς κόρυζαν.

Πρὸς βῆχας παιδίων. ιη.

Στροβίλων ἐπ' ὀλίγον πεφωσμένων, < . δ. σικύου σπέρματος ἐπ' ὀλίγον πεφωσμένου, < . α. τραγακάνθου < . γ. μέλιτος ἀπηφρισμένου, γο. θ. σκεύαζε καὶ δίδου ἐκλείχειν. τὴν δὲ τραγάκανθαν, βρέχε οἴνῳ παλαιῷ γλυκυτάτῳ.

Ἄλλο ἱπποκράτειον.

Λέκυθον ᾠοῦ ὀπτόν. καὶ σησάμου διπλάσιον. καὶ ἁλὸς χόνδρον ἕνα σύμμετρον. λεάνας ἱκανῶς μετὰ μέλιτος, δίδου ἐκλείχειν. στροβίλια πεφωσμένα ἀριθμῷ, λ. ἀμύγδαλα λελεπισμένα, λ. λινόσπερμα, πεφωσμένου. γλυκυῤῥίζης χυλὸν ἀνὰ γο. ϛ. μέλιτος τὸ ἀρκοῦν, δίδου ἐκλείχειν. ποιεῖ δὲ καλῶς καὶ τὸ κύμινον μετὰ μέλιτος καὶ τὸ ἄμμι.

Πρὸς κοιλίαν παιδίων φερομένην. ιθ.

Ῥευματιζομένου δὲ τοῦ βρέφους τὴν κοιλίαν, τὸ μὲν λουτρὸν καὶ τὴν αἰώραν παραιτούμεθα. χρώμεθα δὲ ἐμβροχῇ στομάχου διὰ οἴνου καὶ μηλίνου. εἰ δὲ ἐπιταθείη ὁ ῥευματισμὸς, οἰνάνθην λειοτάτην καὶ ἀκακίαν καὶ μαστίχου, ἴσα ἕκαστα λειότατα ποιήσας, ἐπίβαλλε ᾠοῦ τὸ πυρόν. ὅσον ἐξαρκεῖ. καὶ ἀναμαλάξας ἐπίχριε τὸν στόμαχον. καὶ τὸ μετάφρενον. καὶ ἐπιτιθεὶς ἐρέας πορφύρας πτύγμα τι. καὶ ἐπίδησον. ποιεῖ γὰρ ἀλύπως. πρὸ δὲ πάντων, τὴν τιτθὴν διαιτᾶν χρὴ, τροφαῖς εὐχύμοις. καὶ πόμασι σταλτικοῖς. ἐὰν δὲ ἡ κοιλία τοῦ νηπίου ἀλευρώδη ἐκκρίνῃ, ἡδύοσμον λεάνας σὺν οἴνῳ μέλανι, ἐπιτιθέναι τῇ κοιλίᾳ. καὶ ἐπίδησον.

Πρὸς κοιλίαν ἐπεχομένην. κ.

Εἰ δὲ ἐπέχοιτο ἡ κοιλία, βαλανίῳ ἐρεθιστέον, ἢ μελικράτῳ μόνῳ κλυστέον. καὶ μέλι ταῖς τροφαῖς περιπλεκτέον. ἄνθος δὲ ἀρτεμισίας σὺν ἐλαίῳ τρίβε τὰ περὶ τὸν ὀμφαλὸν κύκλῳ. καὶ ῥύσει. περὶ δὲ ἑλμίνθων εἰρήσεται ἐν τοῖς καθολικοῖς συνθήμασιν ἐν τῷ θ. λόγῳ.

Περὶ ἐξανθημάτων παιδίων. κα.

Προείρηται ἤδη, ὡς μοχθηρᾷ τροφῇ χρησάμενα τὰ νήπια, διαφόροις περιπίπτει νοσήμασιν. ὥς τε σὺν τοῖς ἄλλοις, καὶ ἐξανθήματα. καὶ φλυκταίναι. καὶ κάθυγρα ἕλκη κατὰ τῆς ἐπιφανείας γίγνε-

σθαι. α

θαι. ἃ καλοῦσι βουβαστικά. καὶ ἕτερα παραπλήσια. τὴν μὲν οὖν ἅλμην καὶ τὸ οὖρον καὶ τὰ ἕτερα ἅ τινες προσάγουσι, παραιτούμεθα διὰ τὴν δριμύτητα. λύομεν δὲ αὐτὰ ἀφεψήματι ῥόδων. ἢ φακῆς. κἂν πλείονος στύψεως χρήζωμεν. μυρσίνης. ἢ σιδίων. τὰ δὲ μᾶλλον ἡλκωμένα, καταπλάσσομεν ἀρνογλώσσῳ. ἢ σέριδι μετ᾿ ἄρτου. ἢ πάλιν ἀλφίτων μετὰ ἀνδράχνης. ἢ ἀειζώου. ἢ κοτυληδόνος. ἢ ὑοσκυάμου. ἢ ῥόδοις χλωροῖς. ἢ ξηροῖς ἑψημένοις μετὰ μελιλώτου, καὶ φοίνιξι καταχρίομεν ἢ λιθάργυρον. μελίλωτα. στυπτηρίαν λεάνας μετ᾿ ὄξους. καὶ μύρσινον. ἢ ῥόδινον ἐπιβαλών, κατάχριε.

Ἄλλο πρὸς τὰ τῆς βουβάσεως ἕλκη.

Σκωρίαν μολίβδου καὶ ἀμύλου τὸ ἴσον λεάνας μετὰ στρύχνου χυλοῦ, καὶ ῥοδίνου ἐπιβαλών, ἐπίχριε.

Ἄλλο κάλλιστον.

Καδμίαν λεάνας μεθ᾿ ὕδατος, κατάχριε. ἢ κιμωλίαν μετ᾿ οἴνου.

Καθαργύρως ψιμμυθίου ἀνὰ γο. δ. σιδίων ξηρῶν λειοτάτων γο. ς. χυλοῦ στρατιώτων ποταμίου τὸ ἱκανὸν χρῶ. μὴ παρόντων δὲ στρατιώτων, φακοῦ τοῦ ἐπὶ τῶν τελμάτων τὸν χυλὸν λαβὼν χρῶ. ἢ τῆς εὑρισκομένης ἐν τοῖς ὕδασι χλωρᾶς πόας. παραπλησίας τοῖς στρατιώταις. καλῶς δὲ ποιεῖ καὶ ὁ τῆς σεραπιάδος χυλὸς τῆς τριόρχεως. Ἄλλο. Σκωρίαν σιδήρου λεάνας μετ᾿ οἴνου, ἐπίχριε. πάνυ γὰρ ἐστὶ καλόν. καλῶς δὲ ποιεῖ καὶ ἡ διὰ λαδάνου. καὶ ἡ διακηρωθὼν ἀνιέμεναι. ὠοῦ τὸ λευκόν. καὶ ῥοδίνῳ. ἢ μυρσίνῳ. Ἄλλο. πρὸς τὰ τῶν βρεφῶν ἐξανθήματα. καὶ φλυκταίνας μετὰ τὴν ῥῆξιν.

Καδμίας 𐅻 χαλκοῦ κεκαυμένου 𐅻. ἀκακίας. κρόκου ἀνὰ γο. α. σαγαπηνοῦ θίου γο. β. βρέχε τὴν σαγάπηνον ὕδατι. καὶ λειώσας ἀναλάμβανε αὐτῇ τὰ λοιπά. καὶ πλάσσε τροχίσκους. καὶ ἐπὶ τῆς χρείας ἀνέσας χυλῷ ἠειγέροντος. ἢ σέρεως. ἢ στρύχνου. καὶ ῥόδινον ἐπιβαλὼν, ἐπίχειε. ἐγὼ φησὶ χυλῷ ἠειγέροντος. ἢ σέρεως ἀναλαμβάνω τὴν τραγάκανθον καὶ τὰ λοιπά. καὶ ἀναπλάττω τροχίσκους.

Πρὸς τὰ ἐν κεφαλῇ ἕλκη. καὶ ἀχῶρας. κβ.

Ὧ ἐγὼ χρώμενος εὐδοκιμῶ. λιθαργύρου. ψιμμυθίου. ἀνὰ γο. η. βρίκης καρπῶν. λιβάνου ἀνὰ ∠. δ. οἴνῳ καὶ ἐλαίῳ ῥαφανίνῳ συλλεάνας, χρῶ. Ἄλλο. Ἀκακίας κιρρᾶς, γο. α. λαδάνου γο. δ. σμύρνης, γο. β. ὀπίου γο. α. ὕδατι λακίῳ. ἀναλάμβανε τροχίσκους. καὶ χρῶ συνεχῶς. Ἄλλο. Κοχλίους λευκοὺς ζῶντας ὀστράκῳ καύσας, ἐπίπασσε. Ἄλλο. Ἀλόην λειοτάτην μετ᾿ ἀρνογλώσσου, ξηροῦ λείου, χρῶ ξηρῷ. Ἄλλο. Βαλαύστιον ξηρὸν λεῖον ἐπίπασσε. ἢ ζῶν ὕδατι λεάνας ἐπίπασσε καὶ ἐπίχειε.

Βοτάνην ἣν ἐν Ἀλεξανδρείᾳ λιπαρῶνα καλοῦσι. τινὲς δὲ κνήστρον. καύσας καὶ τὴν τέφραν λεάνας μετ᾿ οἴνου, ἐπίχειε. χρῶ δὲ καὶ τοῖς λοιποῖς τοῖς μετὰ διορισμῶν ῥηθησομένοις ἐν τῷ περὶ τῶν καθολικῶν βοηθημάτων περὶ ἀχώρων ἐν τῷ ς. λόγῳ.

Πρὸς ἕλκος μελικηρῶδες τὸ λεγόμενον γλυκύ. ὃ καλεῖται συειστὴς ἀναλεία. κγ.

Λιθαργύρου. δαφνοκόκκων. ἴσα λεάνας μετ᾿ ὄξους καὶ ἐλαίου. ἐπίχειε. πεπείραται πολλάκις.

Πρὸς τὰ τῶν μεσομηρίων τρίμματα. κδ.

Μυρσίνην ξήρανον λείαν ἐπίπασσε. ἢ κύπρον μετὰ ῥόδων.

Πρὸς ἕδραν παιδίων προπίπτουσαν. κε.

Σερίπιδι βοτάνῃ ἀπόματτε τὸν δακτύλιον συνεχῶς. Ἀκακίαν μετὰ ἑψήματος καὶ οἴνου μέλανος λεάνας, χρῖε τὸν δακτύλιον. Ἄλλο. Κοχλίαν καύσας. λεάνας. ὅταν ἐκπορεύεται προαποπλύνας, ἐπίπασσε καὶ ἰάσῃ. Ὀστρέων ὄστρακα ὠμὰ κόψας. σήσας λεπτοτάτῳ κοσκίνῳ. ἐπίπασσε. Ἄλλο. Μύρτα χλωρὰ μετ᾿ οἴνου λεῖα ἐπιτίθει. καταντλήματι δὲ χρῶ τῷ τῶν χαλκέων ὕδατι. ἐν ᾧ τὸν σίδηρον ἀποβάπτουσιν. ἐγὼ δὲ χρῶμαι ἀεὶ ἅλμῃ χλιαρᾷ. καὶ πάνυ καλῶς ποιεῖ. ὁμοίως καὶ ἡ θάλασσα. χρῶ δὲ καὶ τοῖς ῥηθησομένοις ἐν τοῖς καθολικοῖς βοηθήμασι. καὶ πρὸς τὰ λοιπὰ δὲ πάθη. ῥηθήσεται δὲ ἐν ταῖς καθολικαῖς θεραπείαις.

Πρὸς τὰ ἐξόμφαλα βρέφη. κς.

Γίνεται παιδία ἐξόμφαλα. ἢ διατεινόμενα ἐπὶ πολὺ ἐν τῷ κλαυθμῷ, ἢ ἐκ πληγῆς. ἢ ἐκ πτώματος. πρὸς μὲν οὖν τὰ τοιαῦτα ἅλμην λεάνας, κατάχειε τὸν ὀμφαλόν. καὶ ξυσμάτια ὀθόνης ἐπιθεὶς, ἐπίδησον ἐπὶ ἡμέρας τρεῖς. καὶ πάλιν λύσας, τὸ αὐτὸ ποίει. θέρμους πικρούς. καὶ ὄνυχα ὄνου κεκαυμένων. καὶ πλινθάριον κεκαυμένον ἅμα λεάνας, ἐπιτίθει. καὶ ἐπίδησον. εἰ δὲ δραστικωτέρων χρεία γένηται, τοῖς πρὸς βουβωνοκήλας ῥηθησομένοις, χρῶ.

Κρεῖττον ὡς πρὸς τὰ ἐξόμφαλα παιδία. δι᾿ ἣν ποτ᾿ οὖν αἰτίαν ἐξέχοντα.

Πιτυΐνης γο. ις. ἄσβεστου γο. ι. μέλιτος γο. κ. τὴν στυπτηρίαν λεάνας, ἕψε ἐπ᾿ ἀνθράκων μετὰ μέλιτος. καὶ ὅταν σύστασιν καλὴν λάβοι, ἐπίβαλε τὴν πιτυΐνην. λείαν κινῶν συνεχῶς. καὶ ὅταν διαλυθῇ λαβὼν ἐκ τοῦ φαρμάκου πλάτυσμα, ἐπιτίθει κατὰ τοῦ ὀμφαλοῦ, ἀλλάσσων καθ᾿ ἡμέραν. κατὰ δὲ πλατύσματος, ἐπιτίθει φύλλον ἀρνογλώσσου. μάλιστα δὲ κισσοῦ. Ἄλλο. Στυπτηρίας σχι-

στῆς, ℥ ιε· τρυγὸς οἴνου αὐστηροῦ, ℥ ι· κικίδων, ∠ β· οἴνῳ διαλύσας ὥστε ἔχειν πάχος, ἐπίχριε τὸν ὀμφαλόν. καὶ ἐπιτίθει ἔξωθεν σπόγγον ὀξυκράτῳ βεβρεγμένον καὶ ἐκπιασθέντα.

Πρὸς τὰ δασέα παιδία. κζ.

Παχυτέρων καὶ πλειόνων αἰθαλωδῶν περιττωμάτων ἀθροιζομένων ὑπὸ τὸ δέρμα. ἐξ ὧν ἐστὶν ἡ γένεσις τῶν τριχῶν, δασύτερα παρασκευάζει τὰ νήπια. ἰσχάδας οὖν καύσας. καὶ λειώσας τούτου, ἀπότριβε τοὺς τετριχωμένους τόπους. Ἐξ ἄλλου ἀντιγράφου.

Ρητίνην φησὶν ἑψήσας ἐν ὕδατι, λοῦε τὸ παιδίον. καὶ ἀπόσμα ἐλαφρῶς. ἰσχάδων κεκαυμένων σποδῷ μετὰ ἀποβρέγματος κυαμίνου. Ἄλλο μῖγμα ἐπ' αὐτῶν ῥωστικόν.

Κυαμίνου ἀλεύρου. κιμωλίας ἀφρονίτρου. ὠῶν λευκοῦ. καὶ ὀστράκων. ἴσα λειώσας, χρῶ σμίγματι.

Πότε ἀπογαλακτιστέον τὰ νήπια. κη.

Μέχρις ἂν οὖν παγῇ τὸ νήπιον, γάλακτι τρεφέσθω. ἐστερεωμένου δὲ οἰνομέλιτος. ἢ γλυκέος οἴνου. ἢ γάλακτος. εἶτα καὶ ἄρτου ῥοφητά. τὰ γὰρ μασσήματα ἐπὶ τούτων, σιάλου ἀνάπλεα γίγνεται. ποτὸν δὲ διδόναι, οἶνον κεκραμμένον. ἤδη τοῦ βρέφους λαμβάνοντος ἀδεῶς τὴν σιτώδη τροφήν. ὅπερ ὡς ἐπὶ τὸ πολὺ γίγνεται περὶ τὸν εἰκοστὸν μῆνα, τότε λεληθότως καὶ κατ' ὀλίγον ἀποσυνηθίζειν ἀπὸ τοῦ μαστοῦ. εἰ δ' ἀπογαλακτισθὲν νόσῳ περιπέσοι, πάλιν αὐτὸ δεῖ μεταγαγεῖν ἐπὶ τὸ γάλα. καὶ μετὰ τὸ παύσασθαι τὴν νόσον, ἀναλαβεῖν τὸ σωμάτιον. καὶ οὕτως ἀπογαλακτίζειν.

Δίαιτα παιδίων μετὰ τὸν ἀπογαλακτισμὸν τῶν νηπίων, καὶ τῶν ἐφεξῆς ἡλικιῶν. κθ.

Ἀπογάλακτα δὲ γενόμενα τὰ νήπια, ἐν ἀνέσει καὶ ἱλαρότητι γυμνασίων. καὶ τροφὰς αὐτοῖς διδόναι ἐλαφρὰς. καὶ εὐχύμους. οἴνου δὲ πλείονος ἀπέχεσθαι δεῖ τὸν εὔκρατον τῷ σώματι. ἐμπίπλησι γὰρ ἐπὶ τῶν ὑγρῶν καὶ θερμῶν σωμάτων τὴν κεφαλὴν, ἀτμῶν ὁ οἶνος. οὐ μὴν τοῦ δὲ ψυχροῦ ὕδατος εἰς τὸ παντελὲς εἴργειν κελεύω τοὺς τοιούτους παῖδας. ἀλλ' ἐπί τε σιτίοις τὰ πολλὰ καὶ κατὰ τὰς θερμοτέρας ὥρας, ἐπιτρέπω χρῆσθαι τῷ καλλίστῳ ὕδατι. ἀπὸ δὲ τῶν ἑπτὰ ἐτῶν, ἐπὶ γράμματα φέρειν παραδιδόναι τε πρᾳέσι καὶ φιλανθρώποις διδασκάλοις. ἀπὸ δὲ τῶν ιδ. ἐτῶν μέχρι τῶν κα. ἁρμόζει μαθημάτων ἄσκησις φιλοσόφων λόγων. κωλυτέον χρῆσθαι ἀφροδισίοις. συναιρετέον δὲ καὶ τὸν πολὺν οἶνον. γυμνάσια δὲ πλείονα παραλαμβάνειν ἤδη. τοῖς δὲ ἤδη ἀκμάζουσι τῇ ἡλικίᾳ, δίαιτα ἁρμόζει ὑφειμένη καὶ ψυχῆς καὶ σώματος. καὶ τὰ γυμνάσια, ὁποῖά ποτ' ἂν εἴη κατὰ λόγον τούτοις ὑφαιρετέον. καὶ τὰς τροφὰς ἐκ περιαγωγῆς συσταλτέον. τῆς ἕξεως αὐτῶν ἤδη ἀρχὴν ἤδη ψύξεως λαμβανούσης. μέγιστον γνώρισμα τοῦ ἄριστα κατεσκευασμένου σώματος. λέγω δὴ τὴν περὶ ἕκαστον ὧν ἂν πράττῃ προθυμίαν αὐτῆς τῆς φύσεως. αὐτῆς ἑαυτῆς τὸ μέτρον ἐξευρισκούσης, ἐν ταῖς ἀρίσταις κατασκευαῖς. καὶ γὰρ γυμναζόμενοι καὶ ἀνατριβόμενοι. ἢ ὁτιοῦν ἄλλο πράττοντες, τότε πρῶτον ὀκνήσουσιν ὅταν αὐτάρκως γυμνασθῶσι. καὶ δὴ καὶ σιτίων τε καὶ πομάτων ἀποστήσονται τότε, ὅταν ἱκανῶς ἐμπλησθῶσιν, οὔτε πλέον τοῦ δέοντος ὀρεγόμενοι. οὔτ' ἔλαττον προσφερόμενοι. ὥστε οὐδεὶς φόβος οὔθ' ὑπερπονέσαι τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον, οὔθ' ὑπερεμπλησθῶσι σιτίων. αὐτὸ γὰρ ἑαυτῷ πάντ' ἐξευρίσκει τὸ ὑγιεινὸν σῶμα, ταῖς τῆς φύσεως ὁρμαῖς ἐπιτροπευόμενον. καὶ μάλιστα εἰ καλῶς εἴη τὰ τῆς ψυχῆς αὐτῶν παιδαγωγούμενα. πολλοὶ γὰρ ἔθεσι μοχθηροῖς ἐντραφέντες, ἀκολαστότερον ἢ ἀργότερον διαιτώμενοι, διαφθείρουσι φύσεις χρηστάς. ὥσπερ αὖ πάλιν ἔνιοι μοχθηρῶς φύντες τὸ σῶμα, βίῳ σώφρονι. καὶ γυμνασίοις εὐκαίροις ἐπανορθώσαντο τὰ πολλὰ. καὶ τῶν ἐλαττωμάτων. τὸ δὲ μέγιστον τῶν γυμνασίων. καὶ ὁ τρόπος τῆς χρήσεως αὐτῶν, εἴρηται ἐν τῷ πρὸ τούτου λόγῳ.

Δίαιτα γερόντων. λ.

Τὸ κατὰ φύσιν γῆρας, ἡ ξηρὰ καὶ ψυχρὰ κρᾶσις τῶν σωμάτων ἐστὶν, ἐκ πολυετίας γιγνομένη. κατὰ βραχὺ γὰρ τῆς τῶν σωμάτων οὐσίας ζῶν τῇ ἐμφύτῳ θερμασίᾳ ἀποῤῥυείσης. καὶ περαιτέρω τοῦ προσήκοντος ἤδη, ξηροτέρων τῶν ὀργάνων γιγνομένων, αἵτε ἐνέργειαι χείρονες ἐπιτελοῦνται. καὶ ἔτι ἀσαρκότερόν τε καὶ ἰσχνότερον ἑαυτοῦ γίγνεται τὸ ζῶον. ἐπὶ πλέον δὲ ἀποξηραινομένων, οὐκ ἀσαρκότερον μόνον, ἀλλὰ καὶ ῥυσὸν ἀποτελεῖται. καὶ τῶν κώλων ἀκρατές. καὶ σφαλερὸν ἐν ταῖς κινήσεσιν. ὁ τοίνυν γνοὺς τὴν διάθεσιν ἐπιστημονικῶς. ὅτι ξηρότης ἐστὶν μετὰ ψύξεως, ἀγαθὸς ἂν εἴη γερόντων ἰατρός. γνώσεται γὰρ ὡς ἡ τούτων ἐπανόρθωσις, διὰ τῶν ὑγραινόντων τε καὶ θερμαινόντων γίγνεται. τοιαῦτα δέ ἐστι, λουτρὰ θερμὰ γλυκέων ὑδάτων. καὶ οἴνου χρηστοῦ πόσις. ὅσαι τε τῶν τροφῶν ὑγραίνουσί τε ἅμα καὶ θερμαίνουσι. τρίψεις τε δι' ἐλαίου ἕωθεν συμμέτρως ἐπιτελούμεναι, ἐφεξῆς περιπάτων τε καὶ αἰωρήσεις ἄκοποι. στοχαζομένῳ τῆς τοῦ γέροντος δυνάμεως. οὐ γὰρ μικρά τίς ἐστι καὶ ἐν τοῖς γέρουσι διαφορά. διδόναι δὲ τροφὴν ὀλίγην μὲν, πολλάκις δὲ, καὶ γὰρ ἐὰν βραχύ τι τοῦ προσήκοντος μέτρου ὑπερβῶσιν οἱ γέροντες, οὐ σμικρὰ βλάπτονται. ἀσφαλέστερον οὖν ἐστὶν τοῖς ἀσθενοῦσι γέρουσιν, ὀλίγα μὲν προσφέρειν ἐν τροφαῖς. τρὶς δὲ τῆς ἡμέρας. περὶ μὲν τρίτην ὥραν, ἄρτον καλῶς ἐσκευασμένον πρόσφατον μετὰ μέλιτος καλλίστου ἀπηφρισμένου. περὶ δὲ ἑβδόμην ὥραν προτετριμμένοις καὶ γεγυμνασμένοις τὰ πρέποντα. γέρουσι γυμνάσια. καὶ λουσαμένοις,

ἐπὶ τὸ ἄριστον ἰέναι. καὶ πρῶτα μὲν προσφέρειν ὅσα λαπάττει γαστέρα· οἷα λάχανα ἐκ σεύτλου καὶ μαλάχης. ἐφεξῆς δὲ ἰχθύων πετραίων ἢ πελαγίων. κἄπειτα ἡσυχάζοντας ἐπὶ κλίνης βραχύ. εἶτα διακινήσαντα σύμμετρα εἰς ἑσπέραν δειπνοῦντες, τῆς μὲν τῶν ἰχθύων ἐδωδῆς ἀπεχέσθωσαν· προσφερέσθωσαν δὲ τῶν εὐχυμοτάτων καὶ δυσφθάρτων· οἷον ὄρνιν ἢ ἁπλοῦ ζωμοῦ. οἶνος δὲ τοῖς γέρουσι χρησιμώτατος. ἔστω δὲ τῇ φύσει θερμοτέρων· οἷός ἐστιν ὁ τῇ μὲν συστάσει λεπτός· τῇ δὲ χροιᾷ κιῤῥὸς ἢ ξανθός. ἓν μὲν οὖν τοῦτο μέγιστον ἀγαθὸν ἐξ οἴνου τοῖς γέρουσι γίνεται, τὸ θερμαίνεσθαι πάντα αὐτῶν τὰ μόρια. δεύτερον δὲ, τὸ διούρων καθαίρεσθαι τὸν ὀῤῥὸν τοῦ αἵματος. ὅσοι δὲ τῶν ὠχρῶν ἢ ξανθῶν οἴνων παχεῖς εἰσὶν, αἷμα γεννῶσιν οὗτοι καὶ τρέφουσι τὸ σῶμα· διὸ καὶ γίγνοιντο ἄν ποτε καὶ αὐτοὶ χρήσιμοι τοῖς γέρουσι. καθ' ὃ δηλονότι χρόνον, οὔτε ὀῤῥῶδες ὑγρὸν ἔχουσιν ἐν ταῖς φλεψί. καὶ δέονται
10 θρέψεως περισσοτέρας, ὥστε πολὺ γὰρ τῶν οὐρητικῶν οἴνων χρήζουσιν οἱ γέροντες, διὰ τὸ πλεονάζειν ἐν αὐτοῖς ὑδατῶδες περίττωμα. τῶν δὲ μελάνων καὶ στρυφνῶν καὶ παχέων καὶ τῶν ὁμοίων οἴνων, ἀπέχεσθαι αὐτοὺς χρή· μένουσι γὰρ ἐπὶ πλέον ἐν τῇ γαστρί· καὶ διὰ τοῦτο ἀδοίκοιει· γλυκεῖ δὲ, εἰ βούλοιτο χρῆσθαι γέρων, μετὰ τὸ λουτρὸν προσφερέσθω. γλυκὺν τε ἅμα καὶ ὠχρὸν κατὰ τὴν χροιάν. οὐ κωλύω δὲ τοῖς ἐσκευασμένοις διὰ μέλιτος οἴνοις χρῆσθαι καὶ μάλιστα ὅσοις τῶν γερόντων ὑποψία τίς ἐστιν ἐν νεφροῖς λίθον γίνεσθαι. ἢ καὶ ποδάγρα τίς. ἢ ἀρθρῖτις ἐνοχλεῖ. ἐπεμβάλλειν δὲ τῷ οἴνῳ τηνικαῦτα πετροσελίνου καὶ μόνον. ἀρκεῖ γὰρ τοῦτο τοῖς ἀρθριτικοῖς. ἐπὶ δὲ τῶν λιθιώντων, καὶ βετονίκη μίγνυται. καὶ κέστρου τῆς καλουμένης σαρξιφάγου. ἀπέχεσθαι δὲ χρὴ τοὺς γέροντας ἐδεσμάτων καὶ πομάτων, ὅσα γλίσχρα ἢ καὶ παχὺν ἐργάζεται χυμόν· οἷα ἐστὶ χόνδρος. τυροί. ὠὰ τὰ ἑφθά. κοχλίαι. βολβοί. μύκητες. φακή. καὶ τῶν ὀστρέων ἡ σάρξ. καὶ τὰ λοιπὰ τὰ προῤῥηθέντα ἐν τῷ περὶ
20 παχυχύμων τροφῶν χωρίῳ, ἐν τῷ β΄. λόγῳ. εἰ δ' ὑπ' ἀνάγκης ποτὲ χρῆσθαι τινὶ τῶν τοιούτων συμβαίνει, αὐτίκα προσφέρεσθαι τὸ διὰ καλαμίνθου φάρμακον. ἢ τὸ διὰ τριῶν πεπέρεως. εἰ δὲ μὴ παρείη τι τούτων, πέπερι κόπτοντας καὶ σήθοντας ἀκριβῶς ὡς χνοῶδες γίνεσθαι. ἅμα τε τοῖς ὄψοις ἐσθίειν. ἐπιπάττειν τε καὶ τῷ ποτῷ. καὶ σκόρδου γίνεσθαι. τηνικαῦτα συμφέρει. λυθείσης δὲ τῆς ἐμφράξεως καὶ ὑπαχθείσης τῆς κοιλίας. καὶ τὴν θηριακὴν ἀντίδοτον. ἢ τὴν μιθριδάτου. ἢ ἑτέραν τινὰ τῶν διαρωμάτων συγκειμένην, διδόναι. μετὰ δὲ τὴν τῶν τοιούτων χρῆσιν, μετιέναι ταχέως ἐπὶ τὴν ὑγραίνουσαν καὶ θερμαίνουσαν δίαιταν τὴν προειρημένην. διδόναι δὲ αὐτοῖς καὶ τὰ πέπειρα καὶ γλυκύτατα χλωρὰ σῦκα, πρὸ τῆς ἄλλης τροφῆς. καὶ κατὰ τὸν χειμῶνα δὲ, τὰς ἰσχάδας. εἰ μή τι σύμπτωμα κατὰ τὸ δεξιὸν μάλιστα ὑποχόνδριον παρῇ. ἐπειδὴ δὲ ὡς προείρηται, τὰ ὀῤῥώδη καὶ φλεγματώδη περιττώματα. κατὰ τὸ τῶν πρεσβυτῶν ἀθροίζεται σῶμα, τὴν οὔρησιν ἐφ' ἡμέρᾳ
30 προτρέπειν χρή. μὴ διὰ τῶν φαρμακωδῶν. ἀλλὰ σελίνου ἀφεψήματι μετὰ μέλιτος. καὶ τοῖς οὐρητικοῖς οἴνοις χρῆσθαι. ὑπάγειν τε τὴν γαστέρα δι' ἐλαίου χρηστοῦ. μάλιστα καταῤῥοφοῦντας αὐτὸ πρὸ τῶν σιτίων. εὔδηλον δὲ ὅτι καὶ τὰ λαχανώδη πάντα πρὸ τῶν ἄλλων σιτίων ἐσθίειν χρή. δι' ἐλαίου τε καὶ γάρου. λαπάττει δὲ γαστέρα. καὶ τὰ ξηρὰ κοκκύμηλα. μάλιστα τὰ ἀπὸ τῆς ἰσπανίας κομιζόμενα. τὰ δὲ δαμάσκηνα προβρεχέσθωσαν ἐν μελικράτῳ ἀκρατεστέρῳ· ἢ ἀφεψείσθω ἐν αὐτῷ καὶ τῶν ἀπὸ ἅλμης λευκῶν εἰ ἐγχωρεῖ, προλαμβάνειν. ἐπὶ πλέον δὲ ἐπισχεθείσης τῆς γαστρός. καὶ ἡ λινόζωστις διδόσθω ἑφθή. καὶ κνίκος σὺν πτισάνῃ. καὶ ἡ τερεβινθίνη δὲ ῥητίνη. λαμβάνειν δὲ ταύτης χρή, ἐνίοτε μὲν καὶ καρύου βασιλικοῦ μέγεθος, ἐνίοτε δυοῖν ἢ τριῶν. οὐ μόνον γὰρ ἀλύπως λαπάττειν πέφυκεν, ἀλλὰ καὶ τὰ σπλάγχνα διαῤῥύπτειν. καὶ τὸν πνεύμονα. καὶ νεφρούς. ἡ δὲ τελεία δόσις αὐτῆς ἐστὶν, Γο. α΄. ἐπιτήδειον δὲ αὐτοῖς καὶ τοῦτο. ἰσχάδας λιπαρὰς λαβών. καὶ ἀφελὼν τὸ ἐπικείμενον
40 αὐτοῖς ἔξωθεν δέρμα. ἔπειτα ὁλμοκοπεῖσθαι ἐπίβαλλε αὐταῖς κνίκου κεκαθαρμένου τὸ ἐντός. τὸ δέκατον τοῦ ἰσχάδων μέρος, ἢ πλέον ἢ ἔλαττον. εἶτα ἄμφω κοπτόμενα, μιγνύσθω. ἐκ τούτου δὲ λαμβάνειν μέγεθος ἰσχάδων δύο. ἢ τριῶν. ἱκανῶς δὲ δαψιλὲς οὐδέν. οὐδέποτε χρὴ τῶν εἰρημένων φαρμάκων λαμβάνειν. ἐν γὰρ τῷ παραχρῆμα χαίρουσιν ἔνιοι σφοδρῶς κενωθέντες. ὅσῳ δ' ἂν μᾶλλον ἐκκενωθῶσι, τοσοῦτον μᾶλλον ἡ γαστὴρ ἴσχεται κατὰ τὰς ἑξῆς ἡμέρας. ἐπισχεθείσης δὲ τῆς γαστρὸς αὐτῶν, ἐνιέναι χρὴ ἔλαιον μόνον θερμόν. καὶ γὰρ τὰ σκληρὰ τῶν σωμάτων. καί τις ὄλιθος ἐν τῇ διεξόδῳ γίνεται. καὶ τὸ σῶμα τῶν γερόντων αὐτὸ μαλάττεται, ταῖς ξηραῖς διφθέραις ὁμοίως ἐσκληρυσμένον.

Δίαιτα τοῖς ἐν ἀσχόλῳ βίῳ διάγουσι. λα΄.

Τὸν ἐν ἀσχόλῳ βίῳ διάγοντα, χρὴ σκοπεῖν. εἴτε γυμνάζεσθαι κατὰ τὸν ἔμπροσθεν βίον ἔθος εἶχεν, εἴτε
5 ἀγύμναστος λούεσθαι. καὶ γὰρ μετρίως φέρουσι τὸ τοιοῦτον ἔθος ἔνιοι. ὥς τινες αὐτῶν μὴ νοσεῖν συνεχῶς. ὅταν ὦσιν εὐδιάπνευστοι. τὴν μὲν δὴ τοιαύτην φύσιν σώματος, οὐ χρὴ μετάγειν ἐφ' ἕτερον ἔθος οὐδ' ὅλως. ὥσπερ οὐδὲ μίαν ἄλλην ὅσαι διὰ πολλοῦ χρόνου νοσοῦσιν. εἰ δὲ συνεχῶς τις νοσοίη, σκεπτέον ἐπ' αὐτοῦ τὴν αἰτίαν. εἴτε διὰ πλῆθος. εἴτε διὰ κακοχυμίαν νοσεῖ. εἰ μὲν δὴ πληθωρικὰς νόσους νοσεῖν φαίνοιτο, σκοπὸς ἔσται σοι καθόλου τὴν ὑγιεινὴν αὐτοῦ δίαιταν τηρεῖν. ὅπως ἀεὶ ξυμμέτρως ἕξει τοὺς

χυμούς. εἰ δὲ διὰ κακοχυμίαν νοσεῖν εἴωθεν, ἀρίστους ἐργάζεσθαι τοὺς χυμούς. πλῆθος μὲν οὖν ἀθροίζουσι τινὲς, ὅταν τὰ διαπνεόμενα τοῦ σώματος, ἐλάττω ᾖ τῶν λαμβανομένων. φυλακτέον οὖν ἐστὶν ἐπὶ τούτων τὴν συμμετρίαν, τῶν ἐσθιομένων τε καὶ πινομένων, πρὸς τὰ κενούμενα. σύμμετρα δέ ἐστιν ὡς σκεψαμένων ἡμῶν ἐν ἑκατέροις τὴν ποσότητα. τῶν τε προσφερομένων, καὶ τῶν κενουμένων. τοὺς μὲν γὰρ ἐν τῷ πρώτῳ βίῳ ἄντικρυς. πρὶν γυμνάσασθαι, εἰς τὸ βαλανεῖον εἰσιόντας. ἐπὶ τούτων νῦν σιτίοις μετρίοις χρῆσθαι. καὶ βραχὺ κινεῖσθαι. ὅσοι δὲ ἐγυμνάζοντο πρὸ τοῦ βαλανείου, νῦν ἐπ' ὀλίγον αὐξῆσαι τὰ κατ' ἔθος συμβουλεύω. ἀφελεῖν δὲ τι χρὴ καὶ τῶν τροφῶν. καὶ τὰ ποσότητα καὶ κατὰ ποιότητα σύμμετρα προσφέρειν. ποιότητα δὲ λέγειν, ὡς ἐπὶ τῶν χοιρείων κρεῶν. πλῆθος γὰρ εὐχυμίας ἀθροίζουσι τάχιστα. ἐπὶ λάχανα τοίνυν αὐτοὺς ἀκτέον καὶ ἰχθύας ὁμοίως καὶ ὄρνιθας. ὅσα μὴ πολύτροφα. τῶν δὲ κακοχυμίαν ἀθροιζόντων, οὐχ εἷς ἐστιν ὁ σκοπός. ὅτι μὴ δὲ τῆς κακοχυμίας ἡ ἰδέα μία. τινὲς μὲν γὰρ ψυχροτέραν καὶ φλεγματικωτέραν ἀθροίζουσι κακοχυμίαν. τινὲς δὲ θερμοτέραν καὶ χολωδεστέραν. ὥσπερ οἱ ἄλλοι, μελαγχολικωτέραν. φευκτέον τοίνυν ἐστὶν ἕκαστον τῶν σιτίων τε καὶ πομάτων, ὅσα πέφυκε γεννᾶν ἑτοίμως τὸν ἀθροιζόμενον αὐτοῖς χυμόν. εἴρηται δὲ περὶ αὐτῶν ἱκανῶς, ἐν τῷ περὶ τῶν εὐχύμων καὶ κακοχύμων ἐδεσμάτων τόπῳ, ἐν τῷ δευτέρῳ λόγῳ τῆσδε τῆς πραγματείας. ἐν ᾧ μὲν περὶ τῶν λεπτυνόντων ἐδεσμάτων εἴρηται. ἅτινα ἐπιτήδεια ἐστὶ τοῖς τὸν καλούμενον ὠμὸν χυμὸν ἀθροίζουσι. παχὺ μὲν ὑπάρχον τὸ αἷμα. οὐ μὴν ἀεὶ γλίσχρον. ἐπὶ πάντων δὲ τούτων κοινὸν βοήθημα, ἡ τῆς γαστρὸς σύμμετρος ὑπαγωγή. καὶ μάλιστα ὅσοις ἐστὶ φύσει σκληροτέρα ἡ γαστήρ. κοινὸν δὲ καὶ τὸ τῶν ἀφροδισίων σύμμετρον.

Περὶ σαρκῶν καθαιρέσεως. λϛʹ.

Ὅταν εἰς πολυσαρκίαν ἄμετρον ἐκπέσῃ τὸ σῶμα, τήκειν αὐτὸ καὶ καθαίρειν χρή. δέδεικται δὲ ἡ θερμοτέρα κρᾶσις, ἰσχνὸν ἐργαζομένη τὸ σῶμα. τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν πολυσάρκων ἀνθρώπων κρᾶσιν. εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δὲ ἤδη, ὡς ὀξέα γυμνάσια, κάλλιστα λεπτύνουσι. καὶ φάρμακα τὰ τοιαῦτα. καὶ τῆς ψυχῆς αἱ φροντίδες ἀποφαίνουσι τὴν κρᾶσιν ὅλην ξηροτέραν. καὶ αὐτὸ τὸ σῶμα λεπτότερον. τὰ μὲν οὖν τῆς λεπτυνούσης διαίτης, πρόδηλα. φάρμακα δὲ τὰ σφοδρότερα, πηγάνης τὸ σπέρμα. καὶ μᾶλλον ἀγρίου σὺν τοῖς κορύμβοις. ἀριστολοχία θ̄. καὶ τὸ λεπτὸν κενταύρειον. ἥ τε γεντιανὴ καὶ τὸ πόλιον. ὅσα τε τῶν οὐρητικῶν ἰσχυρά. καθάπερ τὸ πετροσέλινον. ἕκαστον γὰρ τούτων καὶ αὐτὸ καθ' αὑτὸ καὶ σὺν ἀλλήλοις, παῦσαι. λεπτῦναι τε τοὺς χυμοὺς ἱκανῶς καὶ κενῶσαι. ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες, ἱκανῶς λεπτύνουσι. καὶ αὐτὴ δὲ ἡ θηριακή, λεπτύνει τε καὶ διαφορεῖ. συγχριέσθω δὲ ἐλαίῳ ἐν ἑψημένῳ ἔχοντι σικύου ἀγρίου ῥίζης. καὶ ἀλθαίας. καὶ γεντιανῆς καὶ πάνακος ῥίζης. καὶ ἀριστολόχης θ̄. πόλιόν τε καὶ κενταύρειον. τροφὰς δὲ μὴ εὐθὺς ἐπὶ λουτροῖς διδόναι. ἀλλ' ἡσυχάζειν πρότερον ἐπιτρέπειν. ἤ τι τῶν συνήθων πράττειν. αὖθις δὲ ἐπὶ τὸ δεύτερον λουτρὸν ἄγειν. βέλτιον δὲ εἶναι καὶ τὸ ἐν τῷ λουτρῷ ὕδωρ, διαφορητικόν. εἰ μὲν αὐτοφυὲς ἔχοιεν, εἰ δὲ μὴ ἅλος ἄνθος. ἢ θαλαττίῳ ὕδατι μιγνύειν. εἶτα ἐδέσματα εὔογκα μὲν, ὀλιγότροφα δὲ διδόναι ὡς ἐμπίπλασθαι μὲν, ὀλίγην δὲ ἐξ αὐτῶν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα τροφήν. τοιαῦτα δέ ἐστι λάχανα. καὶ τῶν ἄρτων οἱ λιπαρώτεροι. καὶ τὰ παραπλήσια, ὅσα ἤδη ἐν τῷ β̄. λόγῳ προείρηται. οἴνοις δὲ χρῆσθαι, τοῖς λευκοῖς τῇ χροιᾷ. καὶ λεπτοῖς τῇ συστάσει. χρὴ δὲ μήτε πίνειν αὐτοὺς πρὸ τῆς τροφῆς, μήτε πλῆθος εἶναι τὸ πινόμενον. καὶ μὴν καὶ τὸ μονοσιτεῖν ἄμεινον. καὶ πρὸς λόγον τῶν γυμνασίων ἐλάττω προσφέρειν τὰς τροφάς. καὶ ξηροτριβία δὲ ἐκμαγείων παχυτέρων λεπτύνειν ἱκανή. καὶ τρίβειν δὲ τὸ σῶμα νίτρῳ. καὶ ἁλσὶ βραχυτέροις. τὸ μὲν οὖν πολὺ νόσον, ἐν λουτροῖς λεπτύνει. τὸ δ' ὀλίγον, ἐρεθισμός ἐστιν εἰς πολυσαρκίαν. καὶ εἰς εὐτροφίαν. ὠφελεῖ δὲ καὶ ἡλίωσις τοὺς πολυσάρκους. λεπτύνει δὲ καλῶς πινόμενον, καὶ τόδε. πετροσελίνου Γο. δ̄. πεπέρεως, Γο. β̄. ἀνίσου, ἀσάρου, ἀνὰ Γο. ᾱ. τόδε καὶ οὐρηθῆναι, ἀγαθόν. καὶ εἰς διαχώρησιν κοιλίαν.

Πῶς ἀναθρέψειν δεῖ τοὺς κατισχνωμένους. λγʹ.

Ἡ ἰσχνότης τοῖς σώμασιν ἐγγίνεται. τισὶ μὲν ἐπὶ τῇ καθ' ὅλον τὸ σῶμα δυσκρασίᾳ, κατά τὴν ἀναδοτικὴν δύναμιν, ἢ θρεπτικήν. ἢ ἀμφοτέρας ἀρρωστοτέρας οὔσας φύσει. πάντας δὲ τοὺς οὕτως ἔχοντας, ὀνίνησι τὰ εὔχυμα τῶν ἐδεσμάτων. καὶ γυμνάσια τὰ βραδέα καὶ μέτρια. καὶ τρίψεις ὁμοίως. καὶ ἁπλῶς ἅπαντα τὰ ἐναντία τοῖς προειρημένοις, ἐπὶ τῶν πολυσάρκων. ἐπιτήδειον δὲ αὐτοῖς ἐστι καὶ τὸ πιττοῦσθαι διημερῶν. καὶ γὰρ τῇ ἀναδόσει, συντελεῖ καὶ τῇ θρέψει. καὶ πολλούς γε τῶν ἰσχνῶν ἐστιν ἰδεῖν παχυνθέντας ἐπὶ τῷ τῆς πιττώσεως βοηθήματι. καὶ μάλιστα ὅσοις ἡ ἀναδοτικὴ δύναμις ἄρρωστος ἐστίν. ἡ θρεπτικὴ δὲ, οὐκ ἄρρωστος μέν. ἀλλὰ δι' ἀπορίαν ὕλης ἐπιτηδείου φέρειν ἱκανῶς οὐ δύναται. εἰ δὲ νήσεις λούοιντο, χρὴ πρὸ τοῦ λουτροῦ συνδόσιν ἀνατρίβειν μέχρι περ ἂν φοινιχθείη τὸ σῶμα. κἄπειτα σιτίοις χρῆσθαι μὴ πάνυ σκληρά. ἵνα μὴ ποιοῦντες τὸ δέρμα πυκνὸν καὶ σκληρὸν ἐργασώμεθα. δεῖ δὲ καὶ εὐθυμίας ἐμποιεῖν τοῖς ἀχροῦσι τε καὶ ἀφροφοῦσι. καὶ συγκινήσεις ψυχικάς.

Πῶς ἄν τις ἰάσαιτο τὰ κατισχνωθέντα μόρια. λδ.

Τὴν δὲ γιγνομένην ἔν μέρεσι τισὶν ἰσχνότητα πλείστην. ἢ διὰ πολυχρόνιον ἡσυχίαν αὐτῶν. ἢ διὰ καταγματικὴν ἐπιδέσεως τρόπον, εἰς τὸ πάθος τοῦτο ἔρχονται. χρὴ οὖν ῥωννύναι μὲν τὴν ἐν τῷ μορίῳ δύναμιν. ἐπισπᾶσθαι δὲ αἷμα δαψιλὲς τρίψεσί τε χρωμένους μετρίαις ἐπὶ τροφῇ. καὶ ἐπιτηδείαις τῷ μέρει κινήσεσι. καὶ θερμοῦ ὕδατος καταχύσεσι μετρίαις. ταῦτα δὲ δεῖ ποιεῖν μετὰ τροφήν, ἕως ἐρυθρὸν γινόμενον τὸ μέρος μετεωρισθῇ. καὶ εὐθέως παύεσθαι τῆς καταντλήσεως. δεῖ δὲ καὶ τῷ τῶν πιττῶν φαρμάκῳ χρῆσθαι, περὶ οὗ προείρηται ἐν τῷ πρὸ τούτου λόγῳ. ὅταν δὲ αἴσθησιν ψύξεως περὶ τὸ λελεπτυσμένον μόριον ὑπάρχῃ, σινδόσιν χρὴ ἀνατρίβειν αὐτό. καί τινι φαρμάκῳ θερμαίνοντι. καὶ θαψίᾳ δὲ καταχρίειν. ποτὲ μὲν, διὰ μέλιτος. ποτὲ δὲ διὰ κηρωτῆς.

Περὶ κόπων τῶν ἐπὶ γυμνασίοις. ἢ ἐξ ὁδοιπορίας γιγνομένων. λε.

Τῶν κόπων αἱ πρῶται καὶ ἁπλαῖ διαφοραὶ, τρεῖς. ἥ τε ἑλκώδης προσαγορευομένη. καὶ ἡ τονώδης. καὶ ἡ φλεγμονώδης. καὶ πρὸς ταῦτ᾽ ἔτι, ἡ ἐπὶ τῇ ξηρότητι συνισταμένη. ἣν κόπον ὀνομάζουσι καταχρώμενοι. οὐκ οὖσα κόπος. ἀλλὰ ξηρότης.

Περὶ τοῦ ἑλκώδους κόπου. λϛ.

Ὁ μὲν οὖν ἑλκώδης κόπος, ἐπὶ περιττωμάτων λεπτῶν τε ἅμα καὶ δριμέων καὶ δακνωδῶν συνίσταται. οὐ γὰρ ἐπὶ τούτων τὸ πλῆθός ἐστιν τὸ λυποῦν. ἀλλ᾽ ἡ τῶν ὑγρῶν δριμύτης. ἅτινα κατὰ τὸν καιρὸν τῶν γυμνασίων. ἢ τῶν ἄλλως συμβαινόντων σφοδρῶν κινήσεων, γεννᾶται κατὰ διττὴν αἰτίαν. ἤτοι τῶν παχυτέρων περιττωμάτων. χυθέντων μὲν καὶ λεπτυνθέντων, οὐ κατὰ πάντων δὲ ἀκριβωθέντων. ἢ τακείσης τινός. ἤτοι πιμελῆς. ἢ σαρκὸς ἁπαλῆς. ἐν ταῖς σφοδραῖς κινήσεσιν. ἀνάγκη γὰρ ἀπὸ τῶν τοιούτων λεπτῶν ὑγρῶν καὶ δριμέων ὑπαρχόντων. κεντεῖσθαί τε καὶ διατιτρώσκεσθαι τὸ δέρμα καὶ τὰς σάρκας. ὡς καὶ φρίκην ἐνίοτε γίγνεσθαι καὶ ῥῖγος. ὅταν ἰσχυρῶς ᾖ δριμέα τε ἅμα καὶ πολλά. ὄγκος δὲ ἐν τοῖς ὀδυνωμένοις μορίοις οὐχ ὑποπίπτει τῇ ὄψει. ἐπιπίπτει τε ὁ κόπος οὗτος μάλιστα τοῖς κακοχύμοις τε καὶ περιττωματικοῖς σώμασιν. ἐπιγίγνεται δὲ καὶ ταῖς προσφάτοις ἀπεψίαις, ὅταν ἤτοι γυμνάσωνται προπετέστερον. ἢ ἐν ἡλίῳ ἐπὶ πολὺ διατρίψωσιν. ἀλλὰ καὶ χωρὶς ἀπεψίας συνίσταται ἐν εὐχύμῳ σώματι. δι᾽ ὑπερβολὴν ἀμέτρων γυμνασίων. πυκνὸν δὲ καὶ φρικῶδες φαίνεται τούτοις τὸ δέρμα. καὶ ἀλγοῦσιν ὡς ἕλκος ἔχοντες. οἱ μὲν τὸ δέρμα μόνον. οἱ δὲ καὶ τὰς ὑπ᾽ αὐτὸ σάρκας. ἡ δὲ ἴασις, ἐξ ὑπεναντίου τῇ διαθέσει. διαφορῆσαι γὰρ χρὴ τὰ περιττώματα. καὶ πεπαῦσθαι τὸ πάθημα. διαφορηθήσεται δὲ, τρίψει τε πολλῇ καὶ μαλακῇ σὺν ἐλαίῳ γλυκυτάτῳ. μηδεμίαν ἔχοντι στύψιν, ὁποῖόν ἐστι τὸ γλυκύτατον σαβῖνον. ἐναντιώτατον δ᾽ ἐστὶ τούτοις, τὸ ὀμφάκινον. ἐν μὲν οὖν τῇ πρώτῃ τῶν ἡμερῶν, χρῆσθαι δεῖ τῷ ἐλαίῳ δαψιλεῖ μετὰ τρίψεως πολλῆς. ὑπὲρ τοῦ μηδόλως γενέσθαι αἴσθησιν κόπου. ἐν δὲ τῇ δευτέρᾳ χάριν τοῦ λῦσαι τὸν ἤδη γεγονότα. λύει δὲ αὐτὸν, γυμνάσιον σύμμετρον. καὶ τρίψις ἱκανή. πλειόνων ὑπηρετῶν ὁμοῦ ἐφαπτομένων, ὅπως μὴ καταψύχοιτο τὸ μέρος αὐτό. καὶ τάχιστα διαφοροῖτο τὰ περιττώματα. εἴωθεν δὲ ὁ κόπος οὗτος παρεκτείνειν ὡς τὰ πολλὰ μέχρι τῆς τετάρτης ἡμέρας. καὶ κατὰ τὴν δ. οὖν καὶ λουέσθω καὶ τρεφέσθω τὴν συνήθη τροφήν. τὰς μέντοι πρώτας ἡμέρας, βραχύτερα ἐστὶ τὰ λαμβανόμενα καὶ ὑγρότερα. καὶ μὴ δὲ γλίσχρον ἔχοντα. ἔστω δὲ καὶ τὸ λουτρὸν, μὴ θερμότερον τοῦ συμμέτρου. χαλᾶν γὰρ καὶ διαφορῆσαι τὸ σῶμα βουλόμεθα.

Περὶ τοῦ τονώδους κόπου. λζ.

Ὁ δὲ τονώδης κόπος, περίττωμα μὲν οὐδὲν ὅτι καὶ ἄξιον λόγου περικείμενον τοῖς σώμασιν ἔχει. κατὰ δὲ τοὺς μῦς καὶ τὰ νεῦρα ἐστὶ διάθεσις ἐπὶ ταῖς σφοδραῖς διατάσεσι γινομένη. ἃς ἐποιήσατο κατὰ τὰ γυμνάσια. συμβαίνει γὰρ ἐπὶ τούτων, τὰς ἐπὶ τοῖς μυσὶν εὐθείας ἶνας κάμνειν καὶ τείνεσθαι. ὡς ἐγγὺς εἶναι τοῦ σπασθῆναι. γίγνεται δὲ ὁ τοιοῦτος κόπος μάλιστα, εὐχύμοις ἀνδράσι. πονήσασιν οὐκ ὀξέα γυμνάσια. ἀλλὰ μᾶλλον εὔτονα. καὶ δεινῶς ὀκνηρούς. καὶ δυσκαμπεῖς ἐργάζεται τοὺς κοπωθέντας. οὐ μὴν φρικώδεις γίγνονται, ὥσπερ οἱ τῷ ἑλκώδει κόπῳ ἐμπεπτωκότες. ἀλλὰ καὶ τὸ σῶμα ἐπὶ τούτων οὐδὲν ἧττον τῶν ἑλκωδῶν καὶ αὐχμωδῶν ὁρᾶται προσεσταλμένον, καὶ θερμότεροι τοῦ κατὰ φύσιν ἁπτομένοις εἶναι δοκοῦσιν. ἴασις δὲ ἐπὶ τούτῳ μὴ χάλασίς ἐστι τῶν τεταμένων μορίων. τρίψις μὲν ἐπὶ τούτων ἁρμόδιός τε ἅμα καὶ μαλακή. δι᾽ ἐλαίου γλυκυτάτου χλιαροῦ γιγνομένη. ἀνάπαυσις δὲ πᾶσα καὶ ἡσυχία. καὶ λουτρὰ εὔκρατα μάλιστα, τὰ μὴ τοῦ συμμέτρου θερμότερα. καὶ διατριβὴ κατὰ τὸ θερμὸν ὕδωρ ἐπὶ πλέον γιγνομένη ὥστε καὶ εἰ δὶς τὸν τοιοῦτον λούσεις, ὀνήσεις μεγάλως. οὗτοι καὶ μετὰ τὸ βαλανεῖον ἀλείφεσθαι δέονται, πρὶν ἀμφιέννυσθαι. καὶ εἴ γε μετὰ ταῦτα ἱδρώσειεν ἀπομαξάμενοι αὖθις, ἀλείφεσθαι χρῄζουσι. καὶ μέντοι καὶ μετὰ τὴν ἑξῆς ἡμέραν ἀναστάντες ἐκ τῆς κοίτης μετὰ τὸ ἀποτρίψασθαι τὰ περιττώματα. καὶ δεόντως ὑπαχθῆναι τὴν γαστέρα ἀλειφθῆναι δέονται. μήτε ἄκρως ψυχρῷ τῷ ἐλαίῳ, μήτε σκληρᾷ τρίψει ἀνατριβόμενον. τροφὴν δὲ δοτέον τούτοις, ὀλίγην μὲν ποσότητι. εὔχυμον δὲ, καὶ μηδὲν γλίσχρον ἔχουσαν.

Περὶ φλεγμονώδους κόπου. καὶ τοῦ ὀστοκοπώδους. λη.

Ὁ δὲ δὴ τρίτος τῶν κόπων. ἐν ᾧ ὥσπερ τεθλασμένων καὶ φλεγμαινόντων αἰσθάνονται τῶν μορίων.

τηνικαῦτα συμπίπτειν εἴωθεν, ὅταν ἐπὶ σφοδροτάταις κινήσεσιν ἐκθερμανθέντες οἱ μύες, ἐπισπάσωνταί τι τῶν περικεχυμένων αὐτοῖς περιττωμάτων. καὶ μόνος οὗτος ἐξαίρει τοὺς μῦς ὑπὲρ τὸ κατὰ φύσιν. ὡς ἐοικέναι φλεγμονῇ τὴν διάθεσιν. καὶ διὰ τοῦτο καὶ ψαυόντων ὀδυνῶνται. καὶ θερμότεροι φαίνονται. ὀδυνῶνται δὲ μᾶλλον. ὅταν κινεῖσθαι προθυμηθῶσιν. εἰ δὲ καὶ περὶ τοὺς ἐν βάθει τένοντας. ἢ νεῦρα, τὴν αὐτὴν συμβαίνει γίνεσθαι διάθεσιν ἣν τονώδη ὀνομάζουσι τὸ πάθημα. τῷ βοηθῷ τῆς αἰσθήσεως. ἀήθεσι γυμνασίων ἀνθρώποις, ὁ τοιοῦτος κόπος ὡς τὰ πολλὰ συμπίπτει. ἡ δὲ ἴασις ἔχει τρεῖς σκοπούς, ὥσπερ τὰ φλεγμαίνοντα σύμπαντα, κένωσιν τοῦ περιττοῦ, καὶ ἀνάπαυσιν τοῦ τεταπεινωμένου μέρους. καὶ ἀνάψυξιν τοῦ φλογώδους. ἔλαιον τοίνυν πολὺ γλυκὺ χλιαρόν. αἵ τε τρίψεις μαλακώτεραι. καὶ ἡ ἐν τοῖς εὐκρατοτάτοις ὕδασι διατριβὴ πολυχρονιωτάτη, τοὺς τοιούτους ἰᾶται κόπους. εἰ δὲ καὶ βραχύ τι χλιαρώτερον, εἴη τὸ ὕδωρ, ὀνίνησι μᾶλλον τούτους. οὕτω δὲ καὶ ἡσυχία πολλὴ καὶ ἀλείμματα συνεχῆ. τροφὰς δὲ διδόναι, εὐχύμους μὲν, βραχυτέρας δὲ, καὶ οὐδὲν παντάπασι γλίσχρον ἐχούσας.

Περὶ τοῦ ἐπὶ ξηρότητα καὶ ἰσχνότητα κόπου. λθ.

Ἄλλη δὲ τετάρτη διάθεσις ἐστὶ παραπλησία μὲν ὑπάρχουσα κόπῳ. κόπος δὲ οὐκ οὖσα. τὸ μήτε ἑλκώδη. μήτε τονώδη. μήτε φλεγμονώδη διάθεσιν ἔχειν τι ὅμοιον. ἀλλὰ μηδὲ φρίκην τινά. μηδὲ ἄλγημα. μηδὲ τὸν πρὸς τὰς κινήσεις ὄκνον ὅμοιον τοῖς κόποις ἐπιφέρειν. ἰσχνότητα δὲ μόνην ἅμα ξηρότητι. γίνεται μὲν οὖν ἐν εὐχύμοις τε ἅμα καὶ γυμναστικοῖς σώμασιν. ὅταν ἀμετρότερον γυμνασθέντα, μὴ καλῶς ἀποθεραπευθῇ. διαφορεῖται γὰρ οὕτω τὰ περιττώματα. καὶ χαλᾶται τὰ τεταμένα σώματα. καὶ οὐδὲν ἄλλο ὑπολείπεται κατὰ τὸ σῶμα, πλὴν τῆς ξηρότητος. ἣν ἐκ τῆς ἀμετροτέρας κενώσεως ἔχον. ὥστε καὶ ἐπανόρθωσις τῆς διαθέσεως ταύτης, ἐν προσθέσει τε καὶ ἀναπληρώσει τοῦ κενωθέντος ἐστίν. οὐ δύναται δὲ αὕτη γίνεσθαι, τοῦ δέρματος ἠραιωμένου ὄντος. συναγαγεῖν οὖν τὸ δέρμα χρή. καὶ πυκνῶσαι. καὶ σφίγξαι. συνάγει δὲ καὶ στεγνοῖ τότε ψυχρὸν ὕδωρ καὶ τὸ ζέον. ἀλλ᾽ ὑπὸ μὲν τοῦ ψυχροῦ, κίνδυνος βλαβῆναι τὸν ἄνθρωπον. ἀραιόν τε ἅμα καὶ κενὸν ἐπὶ τῷ πλήθει τῶν γυμνασίων γεγενημένον. ἀπὸ δὲ τοῦ ζέοντος, βλάβη μὲν οὐδεμία. πυκνότης δὲ ἀσφαλὴς ἐπιγίνεται τῷ δέρματι. συναναλαμβανομένης καὶ τῆς ἐν ἀπολελειμμένης ἐν αὐτῷ θερμότητος ἐκ τῆς τοῦ ζεστοῦ δεξαμενῆς. ὅθεν ζεστοτέραν τὴν τοῦ θερμοῦ δεξαμενὴν ποιητέον. ἐκπηδάτωσαν δὲ ἐξ αὐτῆς εὐθέως εἰς τὴν ψυχράν, ὑπὲρ τοῦ μένειν ἐν αὐτοῖς τὸν ἐν τῷ δέρματι τόνον ἅμα τῇ θερμότητι. καὶ γὰρ ἧττον ἐν τῷ μετὰ ταῦτα χρόνῳ διαφοροῦνται. καὶ ῥᾳδίως εἴς τε τὰς σάρκας καὶ τὸ δέρμα τὴν τροφὴν ἀναλαμβάνουσι. τούτου δὲ μεῖζον ἀγαθὸν οὐδὲν ἂν εὕροις αὐτοῖς. φυλακτέον δὲ τὴν ἐν τῷ ψυχρῷ πολλὴν διατριβήν. ἀναλύει γὰρ τὴν ἐκ θερμολουσίας ὠφέλειαν, ἡ ψυχρολουσία. κατὰ μὲν οὖν τὴν πρώτην τῶν ἡμερῶν λουόμενος καθὼς εἴρηται, τροφὴν προσφερέσθω εὔχυμον καὶ ὑγροτέραν. κατὰ δὲ τὴν δευτέραν, ἀποθεραπευέσθω. τρίψει χρώμενος βραχεία τε ἅμα καὶ μαλακῇ. καὶ βραδεία. καὶ τῇ δεξαμενῇ θερμῇ. καὶ τοῦτο πραττέτω ἐφεξῆς ἡμέραις πολλαῖς.

Περὶ τῶν ἐπὶ ἀφροδισίοις κοπωθέντων. μ.

Ἀσθένεια δυνάμεως ἕπεται τῇ τῶν ἀφροδισίων ἀμέτρῳ χρήσει. καὶ μάλιστα ἐπὶ τῶν φύσει ἀσθενῶν σωμάτων. ἀραιοῦται δὲ αὐτοῖς καὶ τὸ δέρμα ἐκ τῆς σφοδρᾶς κινήσεως. καὶ πλείστη διαφόρησις γίνεται, καὶ διὰ τοῦτο ξηρότης. ἔσθ᾽ ὅτε δὲ καὶ ψύξις ἐπακολουθεῖ, διά τε τὴν ἀραιότητα, καὶ τὴν τοῦ θερμοῦ διαφόρησιν. καὶ τοὺς ἱδρῶτας. ἡ τοίνυν ἐπανόρθωσις τούτων ἐστὶ, διὰ τῶν συναγόντων καὶ σφιγγόντων καὶ ῥωννύντων τὸ δέρμα. ἐξ ὧν περ ἐστὶ καὶ τὸ σύμμετρον γυμνάσιον. καὶ ἡ ζεστοτέρα τοῦ θερμοῦ ἔμβασις. ἡσυχία τε καὶ ὕπνοι ἱκανοί. ἐδέσματα δὲ ἔστω τῷ πλήθει μὲν ἐλάττω. τῇ ποιότητι δὲ ὑγρότερα. καὶ συμμέτρως θερμότερα. ἵνα καὶ πέψις χρηστὴ γένηται. καὶ τὴν ἐκ τόπου ἐπανορθώσηται ξηρότητα.

Περὶ κόπων αὐτομάτων. μα.

Περὶ τῶν ἐπὶ γυμνασίοις. ἢ ἐξ ὁδοιποριῶν συνισταμένων κόπων προειπόντες, νυνὶ περὶ ἄνευ σφοδρᾶς κινήσεως αὐτομάτως γινομένων κόπων δηλώσομεν. νοσώδεις γάρ εἰσιν οἱ τοιοῦτοι, ὡς καὶ Ἱπποκράτει δοκεῖ. κόποι γὰρ αὐτόματοι φησί, φράζουσι νόσους. τρεῖς δὲ καὶ τούτων εἰσὶ διαφοραί. ἑλκώδους. τονώδους. φλεγμονώδους.

Περὶ ἑλκώδους αὐτομάτου κόπου. μβ.

Ὁ μὲν οὖν αὐτόματος ἑλκώδης κόπος, διὰ κακοχυμίαν λεληθότως ὑποτραφεῖσαν γίνεται. χυμῶν δριμέων τε καὶ λεπτῶν καὶ θερμῶν, ὡς διαβιβρώσκειν. καὶ κεντεῖν. καὶ νύττειν τὰ αἰσθητικὰ τῶν σωμάτων. καὶ ἐφόσον μὲν αὐτῇ κατὰ τὰς φυσικὰς ἀναμέμικται τῷ αἵματι, λανθάνειν αὐτῆς ἡ δύναμις νικωμένη ὑπὸ τῆς τοῦ αἵματος χρηστότητος. ὅταν δὲ εἰς τὰς σάρκας καὶ τὸ αἷμα μεταληφθῇ. καὶ μόνη ἐν στιχθείη, τὴν ἑλκώδη διάθεσιν καὶ αἴσθησιν ἐπιφέρει καὶ τότε μάλιστα ἐπιτείνεται τοῖς τοιούτοις. ἐπειδὰν κινεῖσθαι προσίλωνται. σκεπτέον δὲ περὶ τούτων. πότερον ἐν τῷ δέρματι. καὶ τῇ ὑπ᾽ αὐτὸ σαρκὶ μόνον περιέχεται ἡ κακοχυμία, ἢ καὶ σὺν τῷ αἵματι ἐν ταῖς κοιλίαις τῶν φλεβῶν ἐμπεριέχεται. γνωρίσματα δὲ τούτων ἔχεις, ἔκ τε τῶν οὔρων. καὶ τῆς περὶ τὸ δέρμα

δείξεως, καὶ ἐκ τῶν ἱδρώτων. ὅταν μὲν γὰρ ἅμα τῷ καὶ τοῖς οὔροις ἐμφαίνειν τὴν κακοχυμίαν. καὶ αἴσθησις αὐτῶν δακνώδης περὶ τὸ δέρμα γίγνεται. καὶ οἱ ἱδρῶτες ἀλλόκοτοι. καὶ τῇ χροιᾷ καὶ τῇ γεύσει φαίνονται, δῆλον ὡς κἀν ταῖς φλεψὶν ἡ κακοχυμία περιέχεται σὺν τῷ αἵματι. κἀν τῷ δέρματι καὶ τῇ σαρκὶ ἐστίν. εἰ μὲν οὖν ὀλίγη αἴσθησις τῆς κακοχυμίας γένοιτο, ἐν ἀσιτίᾳ διαφυλάξομεν ὅλην τὴν ἡμέραν τὸν ἄνθρωπον. ἡσυχάσαι καὶ ὑπνῶσαι κελεύσαντες. εἶτα ἑσπέρας ἀλείψαντές τε ἱκανῶς καὶ λιπαρῶς. καὶ λούσαντες εὐκρατοτάτῳ θερμῷ, εὔχυμόν τε καὶ ῥοφηματώδη δώσομεν ὀλιγίστην τροφήν. οὐκ ἀφεξόμεθα δὲ αὐτὸν οὐδὲ οἴνου. συμπέττει γὰρ τοὺς ἡμιπέπτους χυμοὺς, ὁ οἶνος. ἐπείπερ τι καὶ ἄλλο. καὶ ἱδρῶτας καὶ οὖρα προτρέπει. καὶ ὕπνοις συντελεῖ. εἰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις καταστάιη τὸ σύμπτωμα, κατ' ὀλίγον ἐπὶ τὰ συνήθη ἐπανάγειν χρὴ τὸν ἄνθρωπον. εἰ δὲ καὶ κατὰ τὴν ἑξῆς νύκτα καὶ τὴν ἑπομένην ἡμέραν ἔτι παραμένει, εἰ ἐπιταθείη, σκεπτέον ἤδη περὶ βοηθήματος ἰσχυροτέρου. τοὺς μὲν γὰρ τοιούτους σὺν μὲν ἰσχυρᾷ δυνάμει, δυοῖν θάτερον. ἢ φλεβοτομεῖν. ἢ καθαίρειν προσήκει. διορισάμενον ὁπότερον, λέγεται μᾶλλον ὡς ἐφεξῆς ἐρῶ. σὺν ἀσθενεῖ δὲ τῇ δυνάμει, φλεβοτομεῖν μὲν ἥκιστα. ὑποκαθαίρειν δὲ ἢ μετρίως, ἢ οὐδὲ ὅλως. εἰ μὲν γὰρ μετὰ πλήθους αἵματος ἰσχυρὰ παρῆν ἡ δύναμις, φλεβοτομητέον. ἢ τὰς συνήθεις ἐκκρίσεις ἐπισχημένας, κινητέον. δι' αἱμορροΐδας ἐν ἕδρᾳ. ἢ ἐπὶ γυναικῶν τὴν ἐμμήνων κάθαρσιν. μόνης δὲ συστάσης τῆς κακοχυμίας ἄνευ πλήθους αἵματος, ἐπὶ τὴν ἁρμόζουσαν τῷ πλεονάζοντι χυμῷ κάθαρσιν ἔρχεσθαι. λυπεῖ δὲ ποτὲ μὲν, ἤτοι ὁ πικρόχολος χυμὸς ἢ ὁ μέλας. ἢ φλέγμα ἁλυκὸν ἢ ὀξύ. ἢ τὸ ὀρρῶδες τῶν ὑγρῶν. ἀργότερον μὲν οὖν διαιτωμένου τοῦ ἀνθρώπου. καὶ τροφαῖς παχυχύμοις χρήσασθαι. καὶ μάλιστα ἐν χειμῶνι, ὁ φλεγματώδης ἀθροίζεται χυμός. ἐν πλείοσί τε πόνοις καὶ σιτίοις δριμυτέροις. καὶ ἐν θέρει, ὁ πικρόχολος ἀθροίζεται. ἐν φθινοπώρῳ δὲ καὶ ἐδέσμασι τοιούτοις. καὶ πολυχρονίοις πόνοις, ὁ μελαγχολικός. τεκμήρια δὲ τούτων λαμβάνειν χρὴ καὶ ἐκ τῆς χροιᾶς, καὶ ἐκ τῶν τοῦ ἀνθρώπου κινημάτων. καὶ τῶν οὔρων καὶ τῶν ἱδρώτων. καὶ τῆς δίψης. καὶ τῆς τῶν σιτίων ὀρέξεως. εἰ μὲν οὖν αἷμα ἐπικρατῇ τῶν λοιπῶν χυμῶν, σὺν ἰσχυρᾷ δυνάμει, φλεβοτομήσεις. τῆς δὲ κακοχυμίας ἐπικρατούσης μᾶλλον ἐπὶ ἰσχυρᾷ δυνάμει, κάθαρσιν κατάλληλον χρησόμεθα. μετὰ δὲ φλεβοτομίαν ἢ κάθαρσιν, διαιτᾶν χρὴ τὸν ἄνθρωπον, εὐχύμοις ἐδέσμασι. ῥυπτικόν τι κεκτημένοις, ὁποῖόν ἐστιν ἡ πτισάνη. καὶ μηδὲν γλίσχρον ἔχουσι. μήτε παχυχύμοις ἢ πολυτρόφοις. λουτροῖς τε εὐκρατοτάτοις χρῆσθαι. καὶ ἀλοιφῇ καὶ τρίψει μετρίᾳ. καὶ τὴν λοιπὴν δὲ δίαιταν καὶ ἐπιμέλειαν ποιεῖσθαι. ὡς ἐπὶ τοῦ ἐπὶ γυμνασίοις συνισταμένου κόπου, προείρηται. εἰ δὲ τὸ μὲν χρηστὸν αἷμα ὀλίγον ἦ. οἱ δὲ ὠμοὶ χυμοὶ πάμπολλοι. ἡ δὲ δύναμις, ἀσθενής, μήτε φλεβοτομεῖν, μήτε καθαίρειν. μήτε γυμνάζειν. ἀλλὰ μήτε κινεῖν ὅλως. μήτε λούειν. αἱ μὲν γὰρ φλεβοτομίαι, τὸ μὲν χρηστὸν ἐκκενοῦσι. τὸ δὲ μοχθηρὸν ὅπερ ἐν ταῖς μεγάλαις μάλιστα φλεψὶ ταῖς καθ' ἧπαρ τε καὶ μεσάραιον ἀθροίζεται, πρὸς ὅλον ἐπισπῶνται τὸ σῶμα. κάθαρσίς τε ἐπὶ τούτου. στρόφους τε καὶ δήξεις ἐργάζονται. καὶ λειποψυχίας συντόνους, πρὸς τῷ μηδὲν κενοῦν ἀξιολόγως. οἱ γὰρ ὠμοὶ χυμοὶ πάντες ἀργοὶ καὶ δυσκίνητοι εἰσὶ, διὰ τὸ πάχος καὶ τὴν ψυχρότητα. ἐμφράττουσιν οὖν ἁπάσας τὰς στενὰς ὁδούς. διὸ χρὴ τὸ κενούμενον ἐν ταῖς καθάρσεσιν, ἐπὶ τὴν γαστέρα παραγίγνεσθαι. καὶ διὰ ταύτην τὴν αἰτίαν, οὔτε αὐτὴ κενοῦται καὶ τοῖς ἄλλοις. διὰ δὲ τὴν αὐτὴν αἰτίαν οὔτε γυμνάζειν, οὔτε κινεῖν ὅλως. οὔτε λούειν τούτους προσήκει. ἅπασαι γὰρ αἱ τοιαῦται κινήσεις, εἰς ὅλον τὸ σῶμα ποδηγοῦσι τοὺς χυμούς. καὶ ἐμφράττουσι τὰς στενὰς διεξόδους. φυλακτέον οὖν αὐτοὺς ἐν πάσῃ ἡσυχίᾳ. καὶ δοτέον ἐδέσματά τε καὶ πόματα. καὶ φάρμακα λεπτύνοντά τε καὶ τέμνοντα. καὶ κατεργαζόμενα τὸ πάχος τῶν χυμῶν, ἄνευ τοῦ θερμαίνειν ἐπιφανῶς. οἱ γὰρ ὁπωσοῦν θερμανθέντες ἰσχυρῶς χυμοὶ, πανταχοῦ καὶ πανταχόσε τοῦ σώματος ἔρχονται. διαιτᾶν δὲ αὐτοὺς ἐπὶ ὀξυμέλιτι. μάλιστα ἐνίοτε καὶ πτισάνῃ. ἔστιν ὅτε δὲ καὶ μελικράτου διδόναι. καὶ γὰρ φθείρουσι τὴν λεπτὴν δίαιταν. εἴπερ τινες ἄλλοι, διὰ τὸ ὑποκείμενον πλῆθος. τῶν ὠμοτέρων χυμῶν. ἐπεὶ δὲ τὸ ὑποχόνδριον πᾶσι τοῖς τοιούτοις ἐπῆρται καὶ διαπεφύσηται. καὶ ἐχθίως ὅσαπερ ἂν προσαίρωνται πνευματοῦται, βέλτιον ἂν εἴη διδόναι αὐτοῖς σὺν τῇ τροφῇ, βραχύ τι πεπέρεως μάλιστα τοῦ μακροῦ. ἄμεινον δὲ καὶ τῷ διοσπολιτικῷ κεχρῆσθαι φαρμάκῳ. χρησιμώτατον δὲ αὐτοῖς τὸ ὀξύμελι. ἐκ μόνου μέλιτος καλλίστου καὶ ὄξους σκευαζόμενον. ὡς εἶναι τοῦ μὲν μέλιτος ἀπηφρισμένου, μέρη β. τοῦ δὲ ὄξους, μέρη α. ἢ πλέον. ἢ ἔλαττον. βέλτιον γὰρ ἐστὶ ταῖς τῶν λαμβανόντων αἰσθήσεσι κρίνειν τὸ σύμμετρον, οὐ ταῖς ἡμετέραις ὠφελείαις. τὸ γὰρ δὴ τῇ φύσει ἡδὺ, τοῦτο ὠφέλιμον. ἐναντιώτατον δὲ τὸ ἀηδέστατον. ὠφελεῖ τοῖς τοιούτοις παρὰ τῷ, καὶ τὸ ἀπόμελι. καὶ μάλιστα τὸ ὀξωθέν. λεπτυνθέντων δὲ ἐπὶ πλέον ἤδη τῶν χυμῶν, καὶ οἶνον διδόναι σύμμετρον λευκὸν καὶ λεπτόν. καὶ τὸ ἀπὸ μέλιτος δὲ καὶ τὸ ὀξυμέλιτι. ἐναφεψεῖν ποτὲ χρὴ ὕσσωπον καὶ γλήχωνα. ἐδέσμασι δὲ χρηστέον λεπτύνουσιν ἄνευ τοῦ θερμαίνειν σφοδρῶς. διάπερ ἐστὶ κάππαρις. ἢ δι' ὀξελαίου προσφερομένη. ὅταν οὖν ἅπαντά σοι χρηστὰ φαίνοιτο τελέως, τηνικαῦτα ἐπιχείρει πρὸς τὴν οἰκείαν δίαιταν κατὰ βραχὺ ἐπανάγειν. καὶ γυμνασίοις

συμμέτροις χρῆσθαι, καὶ λουτροῖς καὶ ἀλείμμασιν. ἐπιτήδειον δὲ αὐτοῖς ἐστι τό, τε διὰ τῆς ἐλάτης ἄκοπον ἄλειμμα. καὶ τὸ διὰ τῆς αἰγείρου. ὧν τὰς σκευασίας ἐν τοῖς ἀκόποις ἐροῦμεν. ἁρμόδιον δὲ αὐτοῖς καὶ τὸ χαμαιμήλινον ἔλαιον. καὶ τὸ ἀνήθινον. καὶ τὸ σαμψύχινον δὲ ἐν ὥρᾳ χειμερινῇ. σκευάζεται δὲ τὸ σαμψύχινον ἔλαιον, οὕτως. ἕψεται ἐν διπλώματι σὺν τῷ ἐλαίῳ τὸ σάμψυχον. ὁμοίως δὲ καὶ ἡ λιβανωτὶς πόα. εἰ δὲ μὴ ταῦτα ἔχεις, ῥίζαν σικύου ἀγρίου. ἢ τῆς ἀλθαίας. ἢ τῆς βρυωνίας. ἢ σεύτλου λαβών, ἕψαι σὺν τῷ ἐλαίῳ. διαφοροῦσι γὰρ ἱκανῶς.

Περὶ τονώδους αὐτομάτου κόπου. μγ.

Ὁ δὲ τονώδης αὐτόματος κόπος, ἐκ τῶν ἄνευ γυμνασίων. ἢ ἑτέρας τινὸς κινήσεως συστάς, δῆλον ὅτι πλῆθος ἐνδείκνυται χυμῶν. τῇ ὑπερπληρώσει διατείνων τὰ στερεὰ τοῦ ζώου μόρια. καὶ μάλιστα τὰς ἐν τοῖς μυσὶν ἶνας. ἑλκώδης δὲ αἴσθησις, οὐκ ἔστιν ἐν τούτῳ τῷ κόπῳ. ἀλλ' οὐδὲ ὄγκος τινὸς μέρους ὑποπίπτων τῇ ἁφῇ ἢ τῇ ὄψει. ἀλλὰ μόνου βάρους καὶ διατάσεως αἰσθάνονται. δῆλον δὲ ὅτι αἵματος πλεονάζοντος, ἄριστον βοήθημα ἡ φλεβοτομία ἡ ἀπ' ἀγκῶνος. ἢ τὰς ἐν τοῖς σφυροῖς ἀποσχάζειν φλέβας. μετὰ δὲ τὸ κενῶσαι τὸ πᾶν σῶμα, ἐπὶ τὴν χάλασιν τῶν τεταμένων μορίων ἰέναι. διά τε ἀλειμμάτων καὶ τρίψεων μαλακῶν. ἀναπαύσεώς τε καὶ ἡσυχίας. καὶ λουτροῖς εὐκράτοις. ῥοφαῖς τε χρωμένοις ἀδήκτως ῥυπτικόν τι ἐχούσαις. οἷα ἐστὶ πτισάνη. καὶ τὸ ἀπόμελι. καὶ τὰ παραπλήσια. συντόμως δὲ εἰπεῖν μετὰ τὴν φλεβοτομίαν, τῇ αὐτῇ ἐπιμελείᾳ κεχρῆσθαι δεῖ. τῇ προειρημένῃ ἐπὶ τῷ ἐπὶ γυμνασίοις τονώδει κόπῳ.

Περὶ τοῦ αὐτομάτου φλεγμονώδους κόπου. μδ.

Ὁ δὲ φλεγμονώδης κόπος ὅταν αὐτόματος χωρὶς κινήσεως τινὸς συνίσταται, διά τε τὸ μέγεθος τῆς ὀδύνης. καὶ ὅτι μετὰ θερμότητος τῶν φλεγμαινόντων ἐπιφανοῦς συνίστασαι, συνεξαίρων εἰς ὄγκον τοὺς μῦς, οὐδ' ὡρῶν δύο. μή τι γε ἡμερῶν δυεῖν ἢ τριῶν ἀνέχεται βραδυτῆτος. ἀλλ' αὐτίκα πυρετὸν ἐπιφέρει σφοδρότατον. εἰ μή τις ἐπιφθάσας ἀφέλοι τοῦ αἵματος. καὶ γὰρ θερμότατόν ἐστι τὸ τῶν τοιούτων αἷμα. καὶ πλείστης αὐτῆς δέονται τῆς κενώσεως, ἅπαντες σχεδὸν οἱ καταληφθέντες τῷ κακῷ. καὶ οἱ πολλοὶ αὐτῶν καὶ μετὰ τὴν φλεβοτομίαν πυρέττουσιν. ὅθεν οὔτε βλακεύειν, οὔτε ὀλίγον ἀφαιρεῖν προσήκει. ἀλλὰ καὶ ταχέως ἐκκενοῦν. καὶ μέχρι λειποθυμίας ἄγειν. εἰ μηδὲν ἕτερον κωλύοι μεῖζον. κάλλιον δὲ καὶ ἐπαφαιρεῖν ἐν τῇ αὐτῇ ἡμέρᾳ. τὸ μὲν πρότερον κενοῦντας, ὡς μὴ λειποψυχῆσαι τὸν ἄνθρωπον. τὸ δὲ δεύτερον, οὐδὲ τὴν λειποψυχίαν, προσήκει φοβεῖσθαι. μὴ φλεβοτομηθέντες δὲ οἱ οὕτως διακείμενοι, ἢ αὐτομάτως ἄλλοθεν αἱμορραγήσαντες, τύχης ἀγαθῆς εἰς τὸ σωθῆναι δέονται. καὶ ἢ οὐδὲ σώζονται. εἰ μὲν οὖν κατὰ κεφαλὴν καὶ τράχηλον μᾶλλον ἐρείδουσιν αἱ ὀδύναι, τὴν ὠμιαίαν καλουμένην φλέβα τέμνειν δεῖ. εἰ δὲ τοὐναντίον θώρακα καὶ νῶτα. καὶ ὀσφὺν ὀδυνῶνται, τὴν ἔνδον φλέβα τέμνε. δι' ὁμοτίμως τὸ πᾶν σῶμα, τὴν μέσην. εἰ μὲν οὖν ἐπὶ τῇ φλεβοτομίᾳ ὁ πυρετὸς ἐπιμένοι, τὴν ἐπιμέλειαν δεῖ ποιεῖσθαι. ὡς ἐν τῷ περὶ πυρετῶν τόπῳ δηλώσομεν. εἰ δὲ ἀπύρετοι γένωνται. ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ἐπὶ τῇ φλεβοτομίᾳ πτισάνης χυλόν. ἢ ἄλικος διδόναι μόνον. ὁμοίως δὲ καὶ τῇ β. εἰ δὲ κἂν τῇ τρίτῃ τῶν ἡμερῶν ἀπύρετος μένει, καὶ λούς. χρώμενος ἐλαίῳ δαψιλεῖ. δίαιτα δὲ κἂν λούσης, μετρίως θριδακίνης δίνου. εἰ δὲ μὴ παρείη, κολοκύνθης. καὶ χόνδρον ἄλικος. ὡς πτισάνην ἑψημένον. καὶ σεῦτλα δέ, καὶ μαλάχη. καὶ ἀνδράφαξι χρηστέον. μὴ παρούσης θριδακίνης. τῶν δὲ ἰχθύων τοὺς πετραίους διδόναι. ἢ ὀνίσκον ἐν λευκῷ ζωμῷ καλῶς ἑψηθέντα. ὑδροποσίᾳ χρώμενος. ὑδροποσίαν δὲ λέγω, οὐ τὴν τοῦ ψυχροῦ ὕδατος πόσιν. ἀλλὰ τὴν τοῦ θερμοῦ. μετὰ δὲ τὴν τρίτην εἰ εὔφορος μένει ὁ κάμνων, ἐπιρραίνειν δεῖ τῷ ποτῷ. καὶ οἴνου βραχὺ τοῦ λευκοῦ καὶ λεπτοῦ. καὶ τἄλλα κατ' ὀλίγον ἀνακομίζειν. εὐχύμῳ τε καὶ θερμαινούσῃ διαίτῃ χρώμενος.

Ἐκ τῶν Ἡροδότου ποταπῇ τινι πρὸς τὰς ψύξεις χρηστέον ἐπιμελείας. με.

Διττός ἐστιν ὁ τρόπος τῆς κατὰ τὴν ψύξιν ἐπιμελείας. καὶ γὰρ προφυλάξασθαι δεῖ εἰ μέλλουσιν γίνεσθαι τὴν ψύξιν. καὶ διορθώσασθαι τὴν ἤδη γινομένην. πρὸς μὲν οὖν τὸ μὴ ἁλῶναι ψύξει μέλλοντα ἀέρι ψυχρῷ ὁμιλεῖν, οὔτε προσιτηκέναι δεῖ, οὔτε προεμημεκέναι. οὔτε ἢ πεπτηκέναι. ἢ κεκοπῶσθαι. ἢ ἀπὸ κραιπάλης εἶναι. ἡ γὰρ ψύξις συμπαροδεύουσα τῇ ἀπὸ τῶν σιτίων ἀπεψίᾳ, νόσων αἰτία γίνεται. τοῖς δὲ ἀπὸ ἐνδείας οὖσιν, εἰς αὐτὰ καταβαίνει τὰ νεῦρα ἡ ψύξις. γυμνὰ τρόπον τινὰ ὄντα. καὶ τῆς οἰκείας ὕλης ἐστερημένα. διὸ τόν, παραδίδοσθαι ἀέρι ψυχρῷ μέλλοντα, προαλείφεσθαι χρὴ ὅλον τὸ σῶμα, ναρδίνῳ μύρῳ ἢ λευκίνῳ. τὰ δὲ πέλματα τῶν ποδῶν, κηρωτῇ τῇ διὰ δαφνίνου ἐλαίου ἐσκευασμένῃ καταχρίειν. ἢ αὐτὰς τὰς δαφνίδας λεαίας. ἀναλάμβανε κηρωτῇ καὶ χρῶ. τῶν δὲ ἀρχαίων τινές. ὀπὸν κυρηναϊκὸν ἡλίκον κέγχρῳ. κηρωτῇ περιπλάττοντες ἐν ταῖς τοιαύταις χρείαις ἔδωκαν καταπίνειν. καταπαύσαντας δὲ τὴν ἐν τῷ ψυχρῷ ἀέρι διατριβήν, οὐ δεῖ ἀποκαθίζειν. ἀλλὰ βαδίζειν πρότερον ἐν ἀλεεινοτέρῳ τόπῳ. κἄπειτα ἐπὶ λουτρὸν ἰέναι. καὶ τῷ θερμῷ ὕδατι ἐνδιατρίβειν ἐπὶ πολύ. μὴ παρόντος δὲ βαλανείου, παρὰ πυρὶ τὸ σῶμα ἀλειπτέον,

καὶ ἀνατριπτέον

καὶ διαιτεῖν τ' ἐστὶν ἐπιμελέστερον. διά τε ἑαυτῶν. καὶ δι' ἑτέρων. εἶτα προσφέρεσθαι τροφὴν θερμὴν δυνάμει καὶ ἐνεργείᾳ. οἶνον δὲ μήτε ἄγαν στρυφνόν. μήτε ἄγαν παλαιὸν διδόναι. καθάπτεται γὰρ ὁ τοιοῦτος τῶν νευρωδῶν μορίων, ἤδη ὑπὸ τῆς ψύξεως κεκακωμένων. καὶ μάλιστα κύστεως καὶ νεφρῶν. παραμενούσης δὲ τινὸς ψύξεως τῇ ἕξει, θεραπεία διὰ λουτροῦ, ἢ συγχρίσματος ἁρμόζει. καὶ δίαιτα παραπλησίως. καὶ ἄκοποι τὰ διὰ γλευκίνου ἐλαίου καὶ ἀμαρακίνου. καὶ τῶν ὁμοίως σκευαζομένων.

Πυκνωθέντος δέρματος θεραπεία Γαληνοῦ. μϛ.

Πυκνοῦται μέν ποτε τὸ δέρμα, διά τε κρύους καρτεροῦ. καὶ λουτρῶν, στυπτηριωδῶν ὑδάτων, ἤ τινος τῶν παραπλησίων. ἐγχωρεῖ δὲ ποτὲ καὶ μετὰ βαλανείων. ἢ μετὰ ἱδρώτων. ἢ ἄλλως πως ἀραιωθὲν τὸ δέρμα καὶ ψυχθὲν, πυκνωθῆναι. διαγινώσκεται μὲν οὖν ἡ διάθεσις, χροιᾷ τε λευκοτέρᾳ τῆς κατὰ φύσιν ξηρότητι καὶ πυκνώσει τοῦ δέρματος. καὶ τῷ δυσεκθερμάντῳ κατὰ τὰ γυμνάσια. οὔτε γὰρ ἱδροῦσιν, οὔτε εὐχροοῦσιν. εἰ δὲ καὶ βιασθέντες ὑπὸ πλείστων γυμνασίων ἱδρώσειαν, ψυχρότερον ἱδροῦσι. καὶ ἐλάχιστον. ἡ δὲ ἴασις τούτων, θέρμανσίς ἐστι καὶ τοῦ δέρματος ἀραίωσις. γυμνασίοις οὖν χρηστέον. καὶ βαλανείοις θερμοτέροις. ἄμεινον καὶ κάλλιον δεῖσθαι κατὰ τὸν πρῶτον οἶκον, ἐπὶ λίθου λείου καθήμενον, ἀντλεῖν. ἀλειφέσθωσαν καὶ ἐλαίῳ τινὶ τῶν χαλαστικῶν. οἷόν ἐστι τὸ γλυκύτατον μὲν, ἐτῶν δὲ δύο ἢ τριῶν. καὶ τῇ μὲν θερμῇ κολυμβήθρᾳ εὐκράτῳ χράσθωσαν ἐπὶ πολὺ, ἐν δὲ τῇ ψυχρᾷ μὴ χρονιζέσθωσαν. μήτε μὴν τὸ ὕδωρ ἔστω πάνυ ψυχρόν. ἐνδύσασθαι δὲ μέλλοντες, ἀλειφέσθωσαν τινὶ τῶν μετρίως θαλπόντων. οἷόν ἐστι τὸ ἀνήθινον ἢ κίκινον. μύροις δὲ γλευκίνῳ ἢ σουσίνῳ. ἢ ἰρίνῳ. ἢ ἀμαρακίνῳ. τροφαῖς δὲ συμμέτροις, μηδὲν γλίσχρον ἐχούσαις.

Πῶς ἐπιμελητέον ἐγκαύσεως. Ἡροδότου. μζ.

Ὥσπερ ἡ ψύξις τῶν ἐνδεῶν μᾶλλον καθάπτεται, οὕτως ἡ ἔγκαυσις τῶν ἐμπεπλησμένων. διὸ μέλλοντας ἡλίῳ θερινῷ ὁμιλεῖν, πλησμονὴν δεῖ καὶ δριμυφαγίαν παραφυλάττεσθαι. καὶ οἰνοφλυγίαν καὶ ἀπεψίαν. προϋγραίνειν δὲ τὰ σώματα λουτροῖς ἐκ ποτίμων ὑδάτων. καὶ τροφαῖς ὑγραινούσαις. προνοητέον δὲ κἂν ταῖς ὑπὸ τῷ ἡλίῳ διατριβαῖς. σκέπτεσθαι τὴν κεφαλὴν, κουφοτέρῳ τινὶ ἱματίῳ. ἢ φύλλοις ἀμπέλου. ἢ μυρσίνης. ἢ πολυγόνου. δίψους δὲ σφοδροῦ γινομένου, οὐκ ἀθρόον ἑλκυστέον πόμα ψυχρόν. πλείστοις γὰρ ἐντεῦθεν συνέβη παρέγχυσιν ὑδερικὴν γενέσθαι. ἑτέροις δὲ εἰς διάπυρον τὸν πνεύμονα, ἡ ἐκ τοῦ ὕδατος ψύξις εἰσδραμοῦσα, βῆχάς τε καὶ κόρυζας. ἐνίοτε δὲ καὶ φθίσιν ἐπήνεγκε. βέλτιον οὖν πρότερον κλύζειν ψυχρῷ τὸ πρόσωπον, καὶ εἰς χεῖρας καὶ πόδας. εἶτα διακλυσάμενος τὸ στόμα, κατὰ βραχὺ καταρροφεῖν ἐκ διαστημάτων. μετὰ δὲ τὸ παύσασθαι τῆς ἡλιώσεως, λούεσθαι εὐκράτῳ θερμῷ χρώμενον. σμήχεσθαι δὲ καὶ τῷ ψυχρῷ. εἰ δὲ μὴ παρείη βαλανεῖον, ὑδρελαίῳ ἢ ὑδροροδίνῳ διαβρέξαντας ὅσον τὸ σῶμα καὶ προαναψήσαντας μαλακαῖς χερσὶν ἐπὶ πολὺ, τότε εἰς τὸ ψυχρὸν καθάλλεσθαι, εἰ συνήθεις εἶεν μάλιστα. τοιούτου δὲ οὐδενὸς παρόντος, περιχυτέον ὕδωρ. μετὰ δὲ ταῦτα πόμα μὲν, ὕδωρ ἔστω. ἔδεσμα δὲ θρίδαξ. σέρις. σικύη. κολοκυνθίδες. καὶ ὁ οἶνος δὲ, ὑδαρέστερος τοῦ συνήθους ἔστω. ὄψον δὲ, ἰχθύς. τρυφερὰ ὄρνις κατοικίδιος ἐκ λευκοῦ ζωμοῦ. συνουσίας δὲ ἀπεχέσθω. κεφαλῆς δὲ σφόδρα θερμανθείσης. ἢ στομάχου ἔτι διακαιομένου. ὥστε ἔκλευκον καὶ κολλῶδες. καὶ μόλις ἀποπτυόμενον εἶναι τὸ σίελον. τότε ἄλλο σῶμα νωθρὸν εἰ φαίνοι. καὶ οἷον διαλελυμένον τὴν κεφαλὴν, ῥοδίνῳ ἐκβρεκτέον. ἢ χυλὸν ῥόδου. μετ' ἐλαίου ὀμφακίνου. ἢ πολυγόνου χυλοῦ. ἢ ἑλίκων ἀμπέλου. ἢ σέρεως. ἤ τινος ὁμοίου. τὸ δὲ σῶμα πᾶν, ἐκβρεκτέον, ὑδρελαίῳ. ἢ ὑδροροδίνῳ. κατὰ δὲ τοῦ στομάχου ὀθόνιον τρυφερὸν, ἐπιθετέον οἰνελαίῳ διάβροχον. ἢ κηρωτὴν ῥοδίνην. ἢ μηλίνην ἀψίνθιον ἔχουσαν. ἢ ἀνδραχνίνην. κάλλιστον δὲ καὶ ἀπόβρεγμα ἀψινθίου πίνειν, πρὸς τὸ ἀποσμῆξαι τὰ ἐν τῇ γαστρὶ ἠθροισμένα χολώδη. καὶ δριμέα περιττώματα. λυσιτελὲς δὲ καὶ ῥοδίνου διδόναι καταρροφεῖν, ὅσον κυάθου α.

Περὶ ἑωθινῆς τρίψεως Γαληνοῦ. μθ.

Ἑωθινὴν τρῖψιν παραλαμβάνομεν, μετὰ τὴν περιττωμάτων ἀπόκρισιν. μαλακὴν μὲν ἐξαιρέτως ἐπὶ τῶν ἐξηρασμένων πλέον τοῦ δέοντος. καὶ ἐπὶ τῶν κρύει καρτερῷ συνενεχθῆναι μελλόντων. καὶ ἐπὶ τῶν ψυχρολουτεῖν προειρημένων. καὶ ἐπὶ τῶν κοπώδη αἴσθησιν ἐχόντων. καὶ ἐφ' ὧν πύκνωσιν τοῦ δέρματος ἐπανορθώσασθαι βουλόμεθα σὺν ἐλαίῳ δαψιλεῖ. τὴν δὲ ἐπὶ ψύξει γιγνομένην πύκνωσιν ἰώμεθα. πρῶτον μὲν, ξηραῖς καὶ τραχείαις χρώμενοι ταῖς τρίψεσι. δεύτερον δὲ ταῖς δι' ἐλαίου θερμοῦ. ἀραιότητα δὲ γινομένην τοῦ δέρματος ἢ ἐπὶ λουτροῖς. ἢ ἐπὶ τρίψεσιν. ἢ ἐπὶ ἀφροδισίων χρήσεως, ὀλίγαις μὲν χρώμεθα ταῖς ξηραῖς τρίψεσιν. ὀλίγαις δὲ ἐφεξῆς αὐτῶν, καὶ ταῖς δι' ἐλαίου. καὶ τούτου τινὸς τῶν στυφόντων. τὰς δὲ ἐπὶ πλείοσι ποτοῖς ὑγρότητας, αἱ ξηραὶ τρίψεις μόναι θεραπεύουσι. διὰ σινδόνων ἐπιτελούμεναι. χωρὶς λίπους. ἢ σὺν τινὶ τῶν διαφορητικῶν.

Περὶ ἑσπερινῆς τρίψεως.

Ἡ δὲ ἑσπερινὴ τρῖψις, τοῖς κοπώδεσιν, ἢ ἐξηραμμένοις ἢ ἀτροφοῦσιν, ἐπιτήδειος. τὸ δὲ ἄριστον ἐπὶ τούτων, ἔλαττον γινέσθω. πλείων δὲ ὁ μεταξὺ χρόνος, ἄχρι τοῦ δείπνου, τὰ πολλὰ δὲ, ἐφ' ἡσυχίας. εἶτα καὶ

περιπατείτωσαν βραχέα. βέλτιον γὰρ ὑποβιβασθέντων τῶν σιτίων. εἰ δὲ καὶ ἀποπατήσειε τούτων προγεγενημένων, ἀκινδύνως ἡ ἀνάτριψις παραλαμβάνεται. ἀνατρίβειν δὲ ἐλαίῳ χρὴ γλυκεῖ· μὴ δὲ ὅλως ἐφαπτόμενον τῆς γαστρός· κίνδυνος γὰρ αὐτά τε τὰ σιτία χεῖρον πεφθῆναι. ἀναδοθῆναί τε τινὰ χυμὸν ἐξ αὐτῶν ἡμίπεπτον. ἀναθολωθῆναί τε τὴν κεφαλήν· ἀναστραφῆναί τε τὸν στόμαχον. ὅθεν ναρδίνῳ μύρῳ ἐπιχέειν τῇ γαστρὶ προσήκει, χωρὶς ἀνατρίψεως. περὶ ἀπεψίας. ν.

Κατὰ πόσους τρόπους ἡ ἀπεψία γίνεται. καὶ ὅπως δεῖ ποικίλως ἰᾶσθαι, τὰς ἐκ ταύτης ἐπιγινομένας βλάβας τῷ σώματι, ἐν τῷ περὶ τῶν τῆς κοιλίας παθῶν τόπῳ μετὰ ταῦτα δηλωθήσεται. νυνὶ δὲ ἀναγκαῖον εἰπεῖν ὅπως πρὸς τὰ κατεπείγοντα συμπτώματα ἰᾶσθαι χρή. ἐρυγῆς μὲν οὖν διασημαινούσης, βάρους τε ὄντος περὶ τὸ ὑποχόνδριον. καὶ ἐκ τούτου διαδιδομένης δυσφορίας τινὸς εἰς ὅλον τὸ σῶμα, οὐκ ὀκνητέον ἐλθεῖν ἐπὶ τὸν ἔμετον. ἀλλὰ χλιαρὸν πλεῖστον πίοντας, ἀναγκάζειν παντοίως ἐκκενωθῆναι τὰ σιτία. μένοντα γὰρ, καὶ στρόφων καὶ ἀλγημάτων. καὶ βάρους κεφαλῆς. καὶ κατάρρου. ἔσθ' ὅτε δὲ καὶ πυρετοῦ αἴτια γίγνεται. εἰ δέ τις φύσει τυγχάνει δυσεμής. ἢ δι' ἄλλην τινὰ πρόφασιν κωλύοιτο ἐμέσαι, συμπονείτω τις παντὶ τρόπῳ, τὸν τῆς τροφῆς ὑποβιβασμὸν καὶ τῇ ἐκ τῶν ὑποχονδρίων ὑποχωρήσει. πρὸς δὲ τούτοις, ὀρθοτέρα κατάκλισις ἐπιτηδευέσθω. συνεργεῖ γὰρ τῇ πέψει, εἴπερ τι καὶ ἄλλο, κἂν ἐγρηγορός τις εἴη, διὰ τὸ ἐμπεφορεῖσθαι μὴ δυνάμενος ὕπνου τυχεῖν. ἄσκυλτος δὲ διαμενέτω. καὶ τὸ αὐτὸ σχῆμα τῆς κατακλίσεως, διατηρείτω. αἱ γὰρ συνεχεῖς ἐπιστροφαὶ, πνεύματα τίκτουσι. τὰ δὲ πνεύματα, ἀνάρροπον ποιεῖ τὴν ὕλην. εἰ δὲ ἐπιμένοι τὸ σύμπτωμα, καὶ τοῦ διὰ μήλων καὶ κυδωνίων σκευαζομένου πεπτικοῦ ὀξυπόρου δοτέον ὅσον κοχλιάριον. εἰ δέ τις συνήθης εἴη ψυχροποσίας, ἢ δι' αὐτῆς πλείονος ἐσθάνεται, οὐκ ἀνάρμοστον ἀκραιφνοῦς ψυχροῦ κοτύλην ἀφελκύσασθαι. τάχιστα γὰρ τονωθὲν τὸ στόμα τῆς γαστρὸς, ἐξωθεῖται τὰ ἐν τῇ κοιλίᾳ. ναρδίνῳ δὲ μύρῳ τὴν γαστέρα ὑπαλείφειν δεῖ καὶ θάλπειν τὰ καθ' ὑποχόνδρια μόρια. καὶ ψηλαφήσει τῶν ἄκρων χρηστέον. ὑπελθούσης δὲ τῆς κοιλίας, ἐπὶ περίπατον ἰέναι, σχολαίως βαδίζοντας κατὰ σεισμοῦ χάριν τῶν ἐπὶ τὴν κεφαλὴν ἐκ τῆς ἀπεψίας ἀνενεγμένων ἀτμῶν. μετὰ δὲ ταῦτα ταῖς βιωτικαῖς πράξεσιν ἀπασχολητέον. εἶτα διαδεχέσθω λουτρόν. καὶ ἀλοιφὴ δι' ἐλαίου γλυκέος. λυσιτελὴς δὲ καὶ πρόποσις ἀψινθίου. τροφῇ δὲ εὐδιοικήτῳ χρηστέον. καὶ συμμέτρῳ. προσλαμβάνων τι τῶν εὐκοιλίων. οἷον, ἐχίνους. ἢ καρκίνους. ἔπειτα λάχανα. σεῦτλον. μαλάχην. ὀλίγον δὲ χρᾶσθαι οἶνον. θερμοτέρου δὲ, τῶν δὲ ἄλλων, φειδώ τις ἔστω. οἷον δριμυφαγίας. τραγημάτων. μελιτωμάτων. καὶ τῆς γλυκυζούσης ὀπώρας. δυσδιοίκητα γὰρ πάντα τὰ τοιαῦτα. τοὐντεῦθεν δὲ, ὕπνος ἀτάραχος, διαδεχέσθω. περὶ κραιπάλης Φιλουμένου. να.

Καὶ τὰς ἐξ οἴνου δὲ γινομένας ἀπεψίας. ἃς κραιπάλας καλοῦσι, σχεδὸν ὡσαύτως μεταχειριστέον. ἀναγκάζοντες αὐτοὺς ἐμεῖν ἀπὸ χλιαροῦ ὕδατος. ἢ αὐτῇ μόνου καθέσει δακτύλων ἢ πτερῶν. καὶ ἡσυχάζειν ἐπὶ κλίνης ἐλθόντες. καὶ ὕπνῳ τὴν ταραχὴν ἀποκαθιστῶντες. καὶ εἴ τις ἄρα πρὸς ψυχροποσίαν συνήθης εἴη. καὶ ἀλύοι τὸν στόμαχον καὶ τὴν γαστέρα, δοτέον αὐτῷ καταρροφεῖν ἐκ διαστημάτων. ἀκραιφνοῦς καθαροῦ ψυχροῦ κυάθους δύο ἢ τρεῖς. καταστάσης δὲ τῆς ταραχῆς, τροφὰς προσάξομεν εὐχυμοτέρας. καὶ μᾶλλον ἐμψυχούσας. ποτὸν δὲ, ὀλίγον ἔστω. οἶνος λευκὸς καὶ λεπτός. ἡ δὲ κρᾶσις ὑδαρεστέρα. ἄριστον δὲ ἐπὶ τούτων μετὰ λουτρὸν, ἡ τοῦ ἀψινθίτου οἴνου πόσις.

περὶ ὁμαλῶν δυσκρασιῶν Γαληνοῦ. νβ.

Διελόντες ὅπως ἄν τις ἀπὸ τῆς πρώτης ἡλικίας ἄχρι γήρως φυλάξειεν ὑγιαίνοντα τὸν ἄριστα κατεσκευασμένον ἄνθρωπον, μεταβησόμεθα νῦν ἐπὶ τοὺς εὐθὺς ἐξ ἀρχῆς νοσώδη κατασκευὴν σωμάτων λαχόντας. διτταὶ δὲ κατὰ γένος εἰσὶν, αἱ τῶν σωμάτων μοχθηραὶ κατασκευαί. ἔνιαι μὲν γὰρ αὐτῶν ὁμαλῶς ἔχουσιν ἅπαντα κεκραμμένα τὰ πρῶτα τοῦ σώματος. καὶ ὁμοιομερῆ καλούμενα μόρια. ἔνιαι δὲ, ἀνωμάλως. λέγω δὲ ὁμαλῶς μὲν, ὅταν ἐπί τινα δυσκρασίαν τραπῇ πάντα ὁμοῦ τὰ τοῦ ζώου μόρια. ψυχρότερα τοῦ προσήκοντος. ἢ θερμότερα. ἢ ξηρότερα. ἢ ὑγρότερα γινόμενα. καὶ κατὰ συζυγίαν δὲ τινὰ μὲν θερμότερα καὶ ξηρότερα. τινὰ δὲ ὑγρότερα καὶ ψυχρότερα. καὶ τινὰ μὲν, θερμότερα καὶ ὑγρότερα. τινὰ δὲ, ψυχρότερα καὶ ξηρότερα. καὶ μέντοι κατὰ τὴν τῶν ὀργανικῶν μορίων σύνθεσιν, ἔνια μὲν ὁμαλῶς. ἔνια δὲ ἀνωμάλως σύγκειται. τεθέαμαι γὰρ ἤδη τινὰς ἔχοντας κοιλίαν μὲν ψυχράν. κεφαλὴν δὲ θερμήν. ἑτέρους δὲ, κεφαλὴν μὲν ψυχράν. κοιλίαν δὲ, θερμήν. ἐθεασάμην δὲ καὶ γαστέρα κατὰ συμβεβηκὸς ἐκχολουμένην συνεχῶς. οὐκ οὖσαν φύσει θερμήν. ὥσπερ γε, καὶ ψυχομένην ἑτέραν. καίτοι γε οὐκ οὖσαν ψυχράν. οὕτω δὲ καὶ κεφαλήν. ἧπάρ τε καὶ σπλῆνα. καὶ πᾶν ἄλλο μόριον, ἀπολαύει ἐνίοτε τῆς τοῦ ἑτέρου δυσκρασίας. ἤτοι μηδὲν αὐτὸ φύσει βλαπτόμενον εἰς τὴν κρᾶσιν τὴν ἰδίαν. ἢ καὶ διακείμενον ἐναντίως. περὶ πρώτων οὖν ὁ λόγος ἔσται μοι, τῶν ἀρίστην κρᾶσιν κεκτημένων, ἵνα ὑπόδειγμα ταύτην ἔχῃς εὔκρατον οὖσαν. ἔπειτα, περὶ τῶν, ὁμαλὴν δυσκρασίαν ἐχόντων. δέδεικται μοι πολλάκις, ἀδύνατον εἶναι ἐπιμένειν ἐπὶ πολὺ δυσκρασίαν τινὰ μίαν. αὕτη γὰρ ἑαυτὴν προσκτᾶται τινὰ ἐξ ἀνάγκης ἑτέραν. γινώσκειν δὲ χρή. ὡς ὅσα σώματα νοσώδη κατασκευὴν ἔχει ἐν τῇ πρώτῃ γενέσει. ταῦτα

τὴν

τὴν ἀρχὴν μὲν, οὐδὲ ἀφικνεῖται ποτὲ εἰς τὸ γῆρας. εἰ δὲ ἄρα ἀφίκοιτο, ἐν γέ τι νόσημα χρόνιον ἴσχει.
προσθέμεθα δὲ ἐν τῷ νῦν λόγῳ, περὶ τὴν μοχθηρὰν κατασκευὴν ἐχόντων διελθεῖν. σκοποῦντες ὅ-
πως ἄν τις αὐτὰ φυλάττοι κατὰ τὸ πλεῖστον ὑγιαίνοντα. λεκτέον δὲ πρότερον τὰ κράσεων τὰ γνω-
ρίσματα. εἶτα ἐφεξῆς καὶ τῶν δυσκρασιῶν αἱ ἐπανορθώσεις.

Περὶ διαγνώσεως ἀρίστης κράσεως. νγ.

Εὐκρατώτερός ἐστιν ἄνθρωπος, ὅταν τῷ σώματι φαίνηται, μέσος ἀκριβῶς ἁπάντων τῶν ἄκρων σωμά-
των. ἰσχνότητός τε καὶ παχύτητος. μαλακότητός τε καὶ σκληρότητος. θερμότητός τε καὶ ὑγρότη-
τος. ξηρότητός τε καὶ ψυχρότητος. καὶ συνελόντι φάναι, τάς τε ψυχικὰς ἐνεργείας καὶ τὰς φυ-
σικὰς ἀμέμπτους ἔχει. μέσως δὲ ἔχει καὶ λείων τριχῶν καὶ δασειῶν. καὶ μέλανος. καὶ λευκοῦ κατὰ τὴν
10 χροιάν. τρίχας δὲ ἔχει. παῖς μὲν ὤν, πυῤῥοτέρας. ἀκμάζων δὲ, ξανθοτέρας.

Κράσεως θερμῆς γνωρίσματα. νδ.

Θερμοτέραν δὲ τῆς προσηκούσης κρᾶσιν τοῦ παντὸς σώματος νῦν λέγω τὴν ἐν τῇ καθ᾽ ὑγρότητα καὶ ξη-
ρότητα συμμετρίαν ἄμεμπτον. εὐθὺς μὲν οὖν οἱ ἀπ᾽ ἀρχῆς τοιαύτην φύσιν λαχόντες σώματος, ὑγιει-
νότεροι τῶν ἄλλων φαίνονται. καὶ φθέγγονται μὲν διηρθρωμένῃ φωνῇ. καὶ ἄδουσι. καὶ βαδίζουσι
θᾶττον. αὐξηθήσεται δὲ αὐτοῖς ἡ θερμασία, κατὰ τὴν ἀναλογίαν τῶν ἐτῶν. κατὰ δὲ τὴν ἀκμὴν τῆς
ἡλικίας, σαφῶς θερμότεροι φαίνονται. ὥς τε τοῖς ἀπὸ τῆς ξανθῆς χολῆς νοσήμασί τε καὶ συμπτώ-
μασιν, εὐάλωτον ὑπάρχειν. ἡ γάρ τοι πολλὴ θερμότης ἐκδαπανῶσα κατὰ βραχὺ τὴν ὑγρότητα,
ξηροτέραν ἐργάζεται τὴν κρᾶσιν. οὗτοι τῇ χροιᾷ ἐξέρυθροι εἰσί. καὶ μελανότριχες γίγνονται. προβαί-
νοντες δὲ, καὶ μετρίως δασεῖς. εὐρείας τε τὰς φλέβας ἔχουσιν. εἰσὶ γοῦν καὶ ἰσχνοί. οἱ γοῦν κατάπιμε-
20 λοι καὶ φλέβας εὐρείας ἔχοντες, οὐ φύσει εἰσὶ κατάπιμελοι. ἀλλ᾽ ἐπίκτητον ἔχοντες τὴν κρᾶσιν.

Ψυχρᾶς κράσεως σημεῖα. νε.

Ψυχρὸν ἁπτομένοις ἐστὶ τούτοις τὸ σῶμα, ἄτριχον. πιμελῶδες. ἡ χροιὰ δὲ τούτοις ἅμα ταῖς θριξὶ πυῤῥοτέ-
ρα. πολλῆς δὲ τῆς ψύξεως οὔσης, πελιδνοί τε εἰσί. καὶ μολιβδόχρους. καὶ στενὰς ἔχουσι τὰς φλέβας.
εἰ δὲ στενὰς ἔχει τὶς τὰς φλέβας, καὶ ἰσχνὸς ἐστὶν ἀνάγκης. καὶ οὗτος τὴν κρᾶσιν ἐπίκτητον ἔχει. καὶ οὐ
φύσει ἐστὶν ἰσχνός.

Ξηροτέρας κράσεως.

Δυσκίνητον. καὶ ξηρὸν. καὶ ἁλμυρὸν ὑπὸ πάντων τῶν ξηραινόντων ῥαδίως ἤδη τούτων γίνεται τὸ σῶ-
μα. καὶ γὰρ ἀσαρκότατοί εἰσι φύσει καὶ ἰσχνοί.

Σκληροτέρας ἕξεως σημεῖα. νζ.

Σὺν τῷ εἶναι τούτους ἰσχνοὺς καὶ ἀσαρκοτέρους, ἔτι καὶ σκληρὸν καὶ τραχὺ φαίνεται ἁπτομένοις τοῦ-
το τὸ σῶμα. ἡ δὲ ἰσχνότης οὐ μόνον ταῖς συμφύτοις ἕπεται κράσεσιν, ἀλλὰ καὶ ταῖς ἐπικτήτοις ἐξ
30 ἔθους μακροῦ ἤδη γίγνεται.

Ὑγροτέρας κράσεως σημεῖα. νη.

Ἡ δὲ ὑγροτέρα κρᾶσις, τὰ μὲν ἄλλα παραπλήσιος ἐστὶ τῇ εὐκράτῳ. μαλακωτέρα δὲ καὶ πολυσαρκωτέρα.
ἡ γὰρ μαλακότης, ἄχρηστος ἐστὶ τῆς ὑγρᾶς κράσεως. ὥσπερ γε ἡ παχύτης, οὐ τῇ συμφύτῳ μόνον ἕπε-
ται κράσει. ἀλλὰ καὶ ἐξ ἔθους τινὸς μακροῦ ἐπιγίνεται. ἴδιον δὲ ἐστὶν ὑγρότητος. καὶ τὸ βαρύνεσθαι τὸ
σῶμα ὑπὸ τῶν ὑγραινόντων πάντων.

Θερμῆς καὶ ὑγρᾶς κράσεως σημεῖα. νθ.

Μαλακωτέρα. καὶ πολυσαρκοτέρα τῆς ἀρίστης κράσεως ἐστὶν. ἤδη πλεῖστος δὲ αὐξηθεῖσα, τοῖς σηπεδο-
νώδεσιν ἑτοίμως ἁλίσκεται νοσήμασιν. εἰ δὲ ὀλίγον μὲν ὑγροτέρα, πολλῷ δὲ εἴη θερμοτέρα, μαλακώ-
τεροι τῶν συμμέτρων οἱ τοιοῦτοι εἰσί. καὶ σαρκωδέστεροι. καὶ ἐπ᾽ ὀλίγον θερμότεροι. μέλαιναι δὲ εἰσιν αὐ-
τοῖς αἱ τρίχες. καὶ ἡ σὰρξ πιμελώδης. εἰ δὲ ὀλίγῳ μὲν εἴη θερμοτέρα. πολλῷ δὲ ὑγροτέρα, μαλακὴ τού-
τοις ἐστὶ καὶ πολλὴ ἡ σὰρξ. καὶ τὸ χρῶμα συμμιγὲς ἐξ ἐρυθροῦ καὶ λευκοῦ. καὶ ψαυόντων ὀλίγῳ θερ-
40 μότερα. συντόμως δὲ εἰπεῖν ἤδη τῶν κατὰ συζυγίαν κράσεων ἀεὶ τῆς ἐπικρατούσης ποιότητος ἐ-
πικρατήσει τὰ γνωρίσματα.

Θερμῆς καὶ ξηρᾶς κράσεως σημεῖα. ξ.

Ἡ δὲ θερμὴ καὶ ξηρὰ κρᾶσις, λασιωτέρα καὶ θερμοτέρα ἐστὶ. καὶ ἰσχνή. τὰς δὲ τῆς κεφαλῆς τρίχας, εὐ-
ξεῖς ἔχει. καὶ πολλὰς καὶ μελαίνας κατὰ τὴν νέαν ἡλικίαν. ἐπεὶ δὲ προϊόντι τῷ χρόνῳ τῇ κράσει
ἀκολουθεῖ. αἱ δὲ φλέβες αὐτῆς, εὐρεῖαι εἰσί. καὶ ἀρτηρίαι μεγάλαι. καὶ σφοδρότητα σφύζουσι. καὶ
δὴ καὶ σύντονον καὶ διηρθρωμένον. καὶ ἀπίμελον ὅλον τὸ σῶμα. καὶ τὸ δέρμα σκληρότερόν τε καὶ με-
λάντερον.

Ψυχρᾶς καὶ ὑγρᾶς κράσεως σημεῖα. ξα.

Ὁ μὲν θώραξ στενὸς τούτοις ἐστὶ. καὶ ψιλὸς τριχῶν. καθάπερ οὖν καὶ τὸ πᾶν σῶμα. ἁπαλὸν δὲ καὶ λευ-
κὸν τὸ δέρμα. αἱ δὲ τρίχες ὑπόπυῤῥοι μάλιστα ἐν νεότητι. καὶ οὐ φαλακροῦνται γηρῶντες. εὐθὺς δὲ καὶ
δειλοί. καὶ ἄτολμοι καὶ ὀκνηροί. καὶ ἀδήλους ἔχοντες τὰς φλέβας. καὶ παχεῖς. καὶ πιμελώδεις. καὶ
50 μηροῖς. καὶ μυσὶν. ἄῤῥωστοι καὶ ἀδιάρθρωτοι. καὶ βλαισοὶ γίγνονται. τῆς δὲ ψύξεως ἤδη πλέον αὐξηθεί-
σης, ἡ χροιὰ ἅμα ταῖς θριξὶ πυῤῥά. καὶ εἰ ἤδη πλέον αὐξηθῇ, πελιδνὴ ἐπικρατήσει μᾶλλον. ἡ ὑπεξημμέ-
νης ἰδία.

Ψυχρᾶς καὶ ξηρᾶς κράσεως σημεῖα. ξβ.

Εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατὰ πλέον αὐξηθείη, φύσει σκληρὸν καὶ ἰσχνὸν ἔχουσι τὸ σῶμα καὶ λευκὸν.
ἄμυόν τε καὶ ἄναρθρον. καὶ ἄτριχον. ἁπτομένοις τε ψυχρόν. πιμελὴ δὲ ὁμοίως αὐτοῖς. καὶ τοι γοῦν ἰσχνοῖς

οὖσι, παρέσπαρται τῇ σαρκί. τὰ δὲ τῶν τριχῶν καὶ τῆς χροιᾶς τοῦ σώματος, ἀνάλογον τῷ μέτρῳ τῆς
ψυχρότητος ἕξει. τῆς δὲ θερμῆς καὶ ξηρᾶς κράσεως πολλάκις μεταπιπτούσης ἐν τῷ καιρῷ τῆς πα-
ρακμῆς εἰς τὴν ξηράν τε καὶ ψυχράν, ἡ ἕξις τῶν τοιούτων ἰσχνὴ μὲν καὶ ξηρὰ ὡσαύτως γίνεται. μελαγ-
χολικὴ δέ ἐστι. καὶ διὰ τοῦτο μελάντεροι τῇ χροιᾷ. καὶ δασύτεροι γίνονται. ἐπικρατήσει δὲ ἀεὶ καὶ τὰ
τῆς ἐπικρατούσης κράσεως γνωρίσματα. ἄμετρα δὲ ἔσω τὰ τῆς ἑτέρας.

Περὶ διαγνώσεως κεφαλῆς. ξγ.

Ἡ μὲν μικρὰ κεφαλὴ, μοχθηρᾶς ἐγκεφάλου κατασκευῆς ἴδιον σημεῖον. ἡ μεγάλη δὲ, οὐκ ἐξ ἀνάγκης ἀγα-
θῆς. εἰ μὲν γὰρ διὰ ῥώμην ἐγένετο τῆς ἐγχωρίου δυνάμεως. καὶ ὕλην πολλήν τε καὶ χρηστὴν τῆς δημιουρ-
γούσης φύσεως, ἀγαθόν. διοριστέον δὲ αὐτὴν ἐστὶ τῷ σχήματι καὶ τοῖς ἐμπεφυκόσιν. ἀεὶ γὰρ ἀγαθὸν τοῦ-
10 το σημεῖον. τοῖς δὲ ἐμπεφυκόσιν εἰ ἄριστα διάκειται τὸ νευρῶδες αὐτοῦ γένος σύμπαν. εὐσαφὲς δὲ εἶναι
καὶ εὔτονον τὸ σῶμα. καὶ εἰ δριμὺ δεδορκότες εἶεν οἱ ὀφθαλμοί. αἱ δὲ φοξαὶ κεφαλαὶ, ἐλλείπουσαν
ἔχουσι τὴν κατ' ἰνίον ἢ μέτωπον ἐξοχήν. ἢ πορρωτέρω τοῦ προσήκοντος ηὐξημένην. ὡς τὸ πολὺ μὲν οὖν
ὥσπερ τὰ μεγάλα, οὕτω καὶ ταύτας εὑρήσομεν μεμπτάς. σπανίως δὲ καὶ τούτων γίνονταί τινες ἀγα-
θαὶ, τῆς διαπλαττούσης αὐτὴν δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης. καὶ πλῆθος ὕλης χρηστὸν εὑρούσης.
οἱ γὰρ φοξοὶ καὶ κρατεραύχενες, ἰσχυροί. τά τε ἄλλα μόρια πάντα, καὶ ὀστέοις φησὶν Ἱπποκράτης.

Εὐκράτου ἐγκεφάλου κράσεως γνωρίσματα. ξδ.

Ὁ μὲν οὖν εὔκρατος ἐγκέφαλος, μετρίως ἔχει ταῖς ψυχικαῖς ἐνεργείαις. καὶ τοῖς περιττώμασιν. ὅσα δι'
ὑπερῴας. ἢ ὤτων, ἢ μυκτήρων καθαίρεται. ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν ἔξωθεν. ὅσα
θερμαίνει. καὶ ψύχει. καὶ ξηραίνει. καὶ ὑγραίνει. τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς. βρέφεσι μὲν οὖ-
20 σιν, ὑπόπυρροι. παισὶ δὲ, ὑπόξανθοι. τελειουμένοις δὲ, γίνονται ξανθαί. μεταξύ πως οὖσαι τῶν τε με-
τρίως οὔλων, καὶ τῶν ἁπλῶν. οὐ μὴν οὐδὲ φαλακροῦνται ῥᾳδίως.

Θερμοτέρου ἐγκεφάλου γνωρίσματα. ξε.

Εἰ δὲ θερμότερος εἴη τοῦ συμμέτρου, ἐρυθρότερα καὶ θερμότερα τὰ περὶ τὴν κεφαλὴν ἔσται σύμπαν-
τα. καὶ ἐν τοῖς ὀφθαλμοῖς φλέβες αἰσθηταί. αἱ τρίχες τούτοις γεννηθεῖσι ταχέως εὐθὺ τῆς κεφαλῆς
φύονται. πολλῷ μὲν οὖσι τῶν εὐκράτων θερμοτέροις. μέλαιναί τε καὶ πολλαί. καὶ οὖλαι καὶ ἰσχυραί. μὴ
πολλῷ δὲ, ὑπόξανθοι μὲν τὸ πρῶτον. εἶτα μελαίνονται. προϊόντων δὲ ταῖς ἡλικίαις φαλακροῦν-
ται. περιττώματά τε καθ' ὑπερῴαν. καὶ μυκτῆρας. ὀφθαλμούς τε καὶ ὦτα, βραχέα τε καὶ πέπονα
τούτοις ἐστίν. ὅταν ἀμέμπτως ὑγιαίνωσι. πληροῦνται δὲ τὴν κεφαλὴν μάλιστα, ὅταν ἀφυλάκτως
διαιτῶνται. καὶ βαρύνονται ἀπὸ τῶν θερμαινόντων καὶ διαιτώντων ἐδεσμάτων καὶ πομάτων.
30 καὶ ὀσμῶν. καὶ τῶν ἔξωθεν προσπιπτόντων ἁπάντων. ἔτι δὲ μᾶλλον εἰ μὴ θερμὸς μόνον εἴη τὴν φύσιν,
ἀλλὰ καὶ ὑγρὸς ὁ ἐγκέφαλος.

Ψυχροτέρου ἐγκεφάου γνωρίσματα. ξϛ.

Περιττώματα πλείω κατὰ τὰς οἰκείας ἐκροὰς ἔχουσιν οὗτοι. τρίχες δὲ αὐτοῖς εὐθεῖαί τε καὶ πυρραὶ
καὶ μόνιμοι. καὶ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι φυόμεναι λεπταὶ καὶ ἄτροφοι τὸ πρῶτον. καὶ ῥᾳ-
δίως ἀπὸ τῶν ψυχόντων αἰτίων βλάπτονται. καὶ κατ' αὐτὸν τὸν χρόνον τῆς βλάβης κατάρροις
τε καὶ κορύζαις ἁλίσκονται. οὐ μὴν οὐδὲ ἁπτομένοις θερμὰ τὰ κατὰ τὴν κεφαλήν. οὐδὲ ἐρυθρὰ φαί-
νεται. καὶ τῶν ὀφθαλμῶν αἱ φλέβες ἀόρατοι καὶ ὑπνωδέστεροί πως εἰσί.

Ξηροτέρου ἐγκεφάλου σημεῖα. ξζ.

Τὸ ἀπέριττον ἐν ταῖς ἐκροαῖς καὶ τὸ τῶν αἰσθήσεων, ἀκριβὲς τεκμήριον τῆς τοιαύτης κράσεως. ἀγρυ-
πνητικώτατοί τε εἰσί. καὶ τρίχας ἰσχυράς τε καὶ τάχιστα φυομένας ἔχουσι γεννηθέντες. οὔλας μᾶλ-
40 λον ἤπερ εὐθείας. φαλακροῦνται δὲ ἐν τάχει.

Ὑγροτέρου ἐγκεφάλου σημεῖα. ξη.

Αἱ τρίχες ἁπλαῖ. καὶ οὐδὲ ὅλως φαλακροῦνται. καὶ αἰσθήσεις ἀχλυώδεις εἰσί. καὶ περιττωμάτων πλῆ-
θος. ὕπνοι τε πολλοί. καὶ ἀμαθεῖς.

Θερμοτέρου καὶ ὑγροτέρου ἐγκεφάλου σημεῖα. ξθ.

Εἰ δὲ τῇ θερμότητι προσείη ὑγρότης, βραχὺ μὲν ὑπερβαλλουσῶν ἀμφοτέρων τὸ σύμμετρον, εὔχροια
πρόσεστι καὶ θερμότης. καὶ ἐν τοῖς ὀφθαλμοῖς φλέβες μεγάλαι. καὶ περιττώματα πλείω μετρίως
πέπονα. καὶ αἱ τρίχες εὐθεῖαι. καὶ ὑπόξανθοι. καὶ οὐ φαλακροῦνται ῥᾳδίως. πληροῦνται δὲ καὶ βα-
ρύνονται τὴν κεφαλὴν ἀπὸ τῶν θερμαινόντων. ὅταν ἐπὶ πλεῖστον ὑγρότητός τε καὶ θερμότητος
ἥκουσι, νοσώδης τούτοις ἡ κεφαλὴ καὶ περιττωματική. καὶ ῥᾳδίως ἀπὸ τῶν ὑγραινόντων καὶ
θερμαινόντων βλαπτομένη. νότος δὲ αὐτοῖς ἀεὶ πολεμιώτατος. ἄριστα δὲ ἐν τοῖς βορείοις διάγουσιν
ἀνέμοις. οὐ μὴν δὲ ἐγρηγορέναι δύνανται, μέχρι πλείονος. ὕπνῳ τε περιτρέψαντες ἑαυτούς. ἅμα τε
50 κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι. καὶ φαντασιώδεις τοῖς ὀνείρασι. καὶ ὄψεις ἀχλυώδεις. καὶ αἰσθήσεις
οὐκ ἀκριβεῖς ἔχουσιν. εἰ δὲ μία τῶν κράσεων ἐπιταθείη, ἐπικρατήσει αὐτῆς μᾶλλον τὰ γνωρίσμα-
τα.

Θερμοῦ καὶ ξηροῦ ἐγκεφάλου σημεῖα. ο.

Ἀπέριττοί εἰσιν οὗτοι καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι. καὶ ἀγρυπνητικώτατοι. καὶ φαλακροῦνται τα-
χέως. ἡ πρώτη τοίνυν γένεσις τῶν τριχῶν αὐτοῖς. ταχίστη τε ἐστὶ καὶ εὐτραφής. μελανότριχες. καὶ

οὐλότριχες

οὖλότριχές εἰσι. καὶ θερμοὶ ψαυόντων τὴν κεφαλὴν ἐρυθροί τε καὶ μέχρι τῶν τῆς ἀκμῆς χρόνων.

Ψυχροῦ καὶ ξηροῦ ἐγκεφάλου σημεῖα. οα.

Ψυχρὰν καὶ ξηρὰν ἀποτελεῖ ἡ κρᾶσις αὕτη, τὴν κεφαλὴν ὅσον ἐφ' ἑαυτῇ. ἀλλοιοῦται γάρ ποτε τὰ καθ' αὐτὴν ἐκ τῆς τῶν ἐν ὅλῳ τῷ σώματι χυμῶν κράσεως. εὐθὺς, αἱ τοιαῦται κράσεις, ἄφλεβοί τε τὰ κατ' ὀφθαλμούς εἰσι καὶ πρὸς τῶν ψυχρῶν αἰτίων ἑτοίμως βλαπτόμεναι. διὸ καὶ ἀνωμάλως ὑγιαίνουσιν οὗτοι. ποτὲ μὲν κουφότατοι τὰς κεφαλάς. ἀπέριττοί τε τὰς ἐκροάς. ἐνίοτε δὲ καὶ καταῤῥόοις καὶ κορύζαις ἐπὶ μικροῖς αἰτίοις ἁλισκόμενοι. αἱ δὲ αἰσθήσεις αὐτοῖς, ἐν νεότητι μὲν ἀκριβεῖς τε εἰσὶ καὶ ἄμεμπτοι τὰ πάντα. προϊούσης δὲ αὐτοῖς τῷ χρόνῳ ἀπομαραίνονται ταχέως. καὶ συλλήβδην εἰπεῖν, ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντα εἰσί. διὸ καὶ πολιοῦνται ταχέως. αἱ
10 τρίχες δὲ αὐτοῖς γεννηθεῖσι μὲν αὐξάνονται μόγις ψαφαραὶ δὲ καὶ πυῤῥαί. προήκοντι δὲ τῷ χρόνῳ, κρατούσης μὲν ἐπὶ πλέον τῆς ψυχρότητος ἤπερ τῆς ξηρότητος, ὀλίγον οὗτοι φαλακροῦνται. ἢ δὲ ξηρότης ἐπικρατεῖ, ἐπ' ὀλίγον οὗτοι φαλακροῦνται.

Ψυχροῦ, καὶ ὑγροῦ ἐγκεφάλου, κωματώδεις. οβ.

Αἱ δὲ ὑγραὶ, καὶ ψυχραὶ κράσεις τοῦ ἐγκεφάλου, κωματώδεις ἐργάζονται. καὶ ὑπνηλοὺς καὶ φαύλους ταῖς αἰσθήσεσι. καὶ περιττωματικούς. εὐψύκτους τε καὶ εὐπληρώτους τὴν κεφαλήν. εὐαλώτους τε καταῤῥόοις καὶ κορύζαις. οὐ μὴν φαλακροῦνταί γε οἱ τοιοῦτοι.

Γαστρὸς γνωρίσματα τῆς φύσει ξηροτέρας. ογ.

Εἰ ταχέως διψώδεις γίνονται καὶ ὀλίγον αὐτοῖς ἀρκοίη τὸ ποτόν. καὶ βαρύνοιντο τῷ πλείονι. καὶ κλύδωνας ἴσχοιεν. εἰ ἐπιπολάζοι τὸ περιττεῦον αὐτοῖς, ἐδέσμασί τε χαίροιεν ξηροτέροις.

20 Θερμοτέρας γαστρὸς γνωρίσματα. οδ.

Ἡ δὲ θερμοτέρα γαστὴρ, πέττει μὲν ἄμεινον μᾶλλον, ὅσα σκληρὰ καὶ δυσαλλοίωτα. διαφθείρεται γὰρ ἐν αὐτῇ τὰ εὐαλλοίωτα. χαίρει δὲ τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασιν. οὐδὲ ὑπὸ τῶν ψυχρῶν βλάπτονται. κατά γε τὴν ἔμμετρον χρῆσιν. οὐ φέρει δὲ τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων τὴν πολυχρόνιον ὁμιλίαν.

Ὑγροτέρας γαστρὸς γνωρίσματα. οε.

Οὔτε διψώδεις οὗτοι γίνονται. καὶ τὸ πλέον ὑγρὸν ἀλύπως φέρουσιν ἐδέσμασί τε χαίρουσιν ὑγροτέροις.

Ψυχροτέρας γαστρὸς γνωρίσματα. ος.

Ἡ δὲ ψυχροτέρα φύσει γαστὴρ, ὀρεχθῆναι μὲν ἀγαθή. πέψαι δὲ, οὐκ ἀγαθή. καὶ μάλιστα ὅσα δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων ἐστί. ὀξοῦται γοῦν ἑτοίμως ἐν αὐτῇ. καὶ διαφθορὰ ὀξυρεγμιώδης ἐστί. χαίρει μὲν τοῖς ψυχροῖς. βλάπτεται δὲ ῥᾳδίως, ἀμετρότερον χρησαμένων. οὕτω δὲ καὶ ἐπὶ
30 τῶν ἔξωθεν αὐτῇ προσπιπτόντων ψυχρῶν οὐ φέρει τὴν πολυχρόνιον ὁμιλίαν. αἱ μέντοι διὰ νόσον ἐν τῇ γαστρὶ συνιστάμεναι δυσκρασίαι, ταύτῃ διαφέρουσι τῶν ἐμφύτων. ὅτι τῶν ἐναντίων ἐπιθυμοῦσιν, οὐ τῶν ὁμοίων. ὥσπερ οἱ σύμφυτοι. εἰ μὲν οὖν πέττοι καλῶς, εὔκρατος ἡ γαστήρ. ἢ δὲ οὐ πέττει, οὐ πάντως δύσκρατος. ἀλλ' εἰ μὲν κνισώδεις ἢ καπνώδεις ἐργάζεται τὰς ἐρυγὰς, ἄμεινον αὐτῇ καὶ πυῤῥώδες τὸ θερμόν. εἰ δὲ ὀξώδες, τοὐναντίον. οὕτω δὲ καὶ τὰ δυσκατέργαστα καλῶς πεττόντων, ἄμεινον ἐστὶν αὐτοῖς τὸ θερμόν. εἰ δὲ ἀπεπτοῖεν αὐτὰ, ἀσθενὲς τὸ θερμόν. ἐπισκέπτεσθαι δὲ χρὴ μὴ διά τινα χυμὸν ἑτέρωθεν ἐπιῤῥέοντα εἰς τὴν γαστέρα, τὸ σύμπτωμα ἐπιγίνεται. τοῖς μὲν γὰρ φλεγματώδεσι χυμοῖς, ὀξυρεγμίαι ἐπιγίνονται. τοῖς δὲ χολώδεσι, κνισώδεις ἢ βρομώδεις. ἢ ἕτεραι τινὲς ἀλλόκοτοι ποιότητες. κοινὰ δὲ συμπτώματα πάντων τῶν πλεοναζόντων ἐν τῇ γαστρὶ χυμῶν, ἐναντίαι. ἀλλ' εἰ μὲν ἐν τῷ κύτει τῆς γαστρὸς ἐμπλέοιεν οἱ χυμοὶ, ἐπιπολάζουσι τοῖς ἐμουμένοις ἐν
40 αὐτοῖς τοῖς χιτῶσι τῆς γαστρὸς, σπαράττουσι μάτην ἐπὶ κεναῖς ναυτίαις, μηδενὸς ἐμουμένου.

Πνεύμονος γνωρίσματα. οζ.

Οὐ μόνον δὲ ἡ κοιλία διψώδεις καὶ ἀδίψους ἐργάζεται. καὶ ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικούς, ἀλλὰ καὶ τὰ κατὰ τὸν θώρακα. καρδίαν τε καὶ πνεύμονα. ἀλλ' οἱ διὰ τὴν τούτων θερμότητα διψῶντες, ἐκπνέουσί τε πλέον. ἐκφυσῶσι πλέον καὶ μακρὸν. αἰσθάνονται δὲ κατὰ τὸν θώρακα ἄσθματος, οὐχ ὥσπερ οἱ διὰ τὴν γαστέρα καὶ τὰ ὑποχόνδρια. καὶ δὴ πίνοντες, οὐκ αὐτίκα παύονται. καὶ τὸ ψυχρὸν ποτὸν ἴσησιν αὐτῶν μᾶλλον τὸ δίψος, ἤπερ τὸ πολὺ θερμόν. ἀναψύχει δὲ αὐτοὺς καὶ ὁ ψυχρὸς ἀὴρ εἰσπνεόμενος. οὐδὲ ἐπικουφίζων, τοὺς διὰ γαστέρα διψώδεις. οὕτω δὲ καὶ οἱ ἐψυγμένοι τὸν θώρακα ὑπὸ τῆς ψυχρᾶς εἰσπνοῆς αἰσθητῶς ἀνιῶνται. καὶ μέγιστον ἐστὶ τοῦτο γνώρισμα, τῆς ἐν τῷ πνεύμονι ψυχρότητος. ὥσπερ δὲ εἰσπνέοντες ψυχρὸν, αἰσθάνονται βλαβερῶς ἀνίας τε καὶ ψύξεως, οὕτω τὸ θερμὸν
50 αὐτοῖς φίλον. ἀλλὰ καὶ φλεγματικὰ περιττώματα οὗτοι, μετὰ βηχὸς ἀναπτύουσιν. αἱ δὲ τοῦ πνεύμονος ξηρότητος, ἀπέριττοί εἰσι καὶ καθαραὶ τῷ φθέγματι. καθάπερ αἱ ὑγρότητες, ἀλαμπῆ μὲν ἐργάζονται καὶ βραγχώδη τὴν φωνήν. ἐνέχει δὲ αὐτοῖς περίττωμα μεῖζόν τε καὶ ὀξύτερον φθέγγεσθαι προαιρουμένοις.

Καρδίας θερμοτέρας γνωρίσματα. οη.

Μέγεθος ἀναπνοῆς. καὶ σφυγμοῦ πάχος. καὶ πυκνότης ἐστίν. εὔτολμοί τε. καὶ πρὸς τὰς πράξεις, ἀο-

κνοί. εἰ δὲ ἐπὶ πλέον ἥκειν ἡ θερμότης, ὀξυθυμία τε καὶ μανιώδης θρασύτης. ἔστι δὲ καὶ λάσιος αὐτοῖς ὁ θώραξ. καὶ μάλιστα τὰ στέρνα. καὶ τὰ καθ' ὑποχόνδριον. ὅσα πλησίον τοῦ θώρακος, ὡς ἐπὶ τὸ πολὺ δὲ καὶ τὸ σύμπαν σῶμα θερμὸν εὐθὺ τῇ θερμῇ καρδίᾳ γίγνεται. πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὰ καθ' ἧπαρ. καὶ μέν γε καὶ ἡ τοῦ θώρακος εὐρύτης. θερμότητος γνώρισμα. πλὴν εἰ μὴ κἀνταῦθα ποτὲ μεγάλως ὁ ἐγκέφαλος ἀντιπράξοιεν. Ψυχροτέραν καρδίαν γνωρίσματα. οθ.

Σφυγμοὶ μικρότεροι τῶν συμμέτρων. οὐ μὴν βραδύτεροί γε ἐξ ἀνάγκης ἢ ἀραιότεροι. δειλοὶ δὲ τὴν φύσιν οἱ τοιοῦτοι. καὶ ῥᾴθυμοι. καὶ ἄτολμοι. καὶ ψιλὸν αὐτοῖς τριχῶν τὸ στέρνον ἐστί.

Ξηροτέρας καρδίας γνωρίσματα. π.

Σφυγμοὶ σκληροὶ καὶ τὸν θυμὸν οὐχ ἕτοιμον. ἄγριόν τε καὶ δυσπαυστον. ὡς τὰ πολλὰ δὲ καὶ ὅλον τὸ σῶμα ξηρότερον τούτοις ἐστίν. εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. Υγροτέρας καρδίας γνωρίσματα. πα.

Σφυγμοὶ μαλακοὶ. καὶ τὸ ἦθος εὐκίνητόν τε πρὸς ὀργὴν. καὶ εὐκατάπαυστον. καὶ τὸ σύμπαν σῶμα ὑγρότερον. πλὴν εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττοι. Θερμῆς καὶ ξηρᾶς καρδίας σημεῖα. πβ.

Οἱ σφυγμοὶ σκληροὶ καὶ μεγάλοι. καὶ ταχεῖς καὶ πυκνοὶ. καὶ ἀναπνοαὶ μεγάλαι τε καὶ ταχεῖαι. καὶ πυκναί. καὶ πολὺ δὴ μᾶλλον εἰς τάχος ἐπιδιδόασι καὶ πυκνότητα. καὶ συναυξηθέντος ἀνάλογον τῇ καρδίᾳ. τοῦ θώρακος. ἁπάντων οὗτοι λασιώτατοι τὰ κατὰ στέρνον εἰσὶ, καὶ τὰ ὑποχόνδρια. εἰς δὲ τὰς πράξεις, ἴταμοὶ. καὶ θυμικοὶ. καὶ τυραννικοὶ τοῖς ἤθεσι. καὶ ὀξύθυμοι καὶ δυσπαυστοι.

Θερμῆς καὶ ὑγρᾶς καρδίας σημεῖα. πγ.

Εἰ δὲ ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λασιώτεροι μὲν οὖν οὗτοι τῶν εἰρημένων. ἕτοιμοι δὲ εἰς τὰς πράξεις, οὐδὲν ἧττον. πλὴν οὐχ οὕτως γε αὐτοῖς ἄγριος ὁ θυμὸς. ἀλλ' εἰς ὀργὴν μόνον ἕτοιμοι. οἱ σφυγμοὶ δὲ μαλακοὶ καὶ μεγάλοι. καὶ ταχεῖς καὶ πυκνοί. Ψυχρᾶς καὶ ὑγρᾶς καρδίας σημεῖα. πδ.

Οἱ μὲν σφυγμοὶ μαλακοὶ. τὸ δὲ ἦθος, ἄτολμόν τε καὶ δειλὸν. καὶ ὀκνηρόν. εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οὗτοι τὰ στέρνα. καὶ ἥκιστα μνησίκακοι γίνονται. καὶ γὰρ οὐδ' εἰς ὀργὴν ἕτοιμοι. τὰ δὲ κατὰ θώρακα καὶ τὸ σύμπαν σῶμα, τοῖς ἔμπροσθεν ὡσαύτως διοριστέον. Ψυχρᾶς καὶ ξηρᾶς καρδίας σημεῖα. πε.

Σφυγμοὶ σκληροὶ, ἀοργητότατοι πάντων οὗτοι εἰσί. βιασθέντες μέντοι ποτὲ ὀργισθῆναι, φυλάττουσι τὴν μῆνιν. εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα παντάπασι μάλιστα. Ηπατος θερμοτέρου γνωρίσματα. πς.

Φλέβες εὐρεῖαι, ἡ ξανθὴ χολὴ πλείων. ἐν δὲ τῷ χρόνῳ τῆς ἀκμῆς, καὶ μέλαινα. θερμότερον αὐτοῖς τὸ αἷμα. καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα. πλὴν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι δασύτης τῶν καθ' ὑποχόνδρια καὶ γαστέρα. Ψυχροτέρου ἥπατος σημεῖα. πζ.

Στενότης φλεβῶν, φλέγμα πλέον. καὶ αἷμα ψυχρότερον. ἡ σύμπασα τοῦ σώματος ἕξις, ψυχροτέρα. χωρὶς εἰ μὴ πρὸς καρδίας θερμαίνοιτο, ψιλὰ τριχῶν τούτοις ὑποχόνδριά τε καὶ γαστήρ.

Ξηροτέρου ἥπατος γνωρίσματα. πη.

Τὸ μὲν αἷμα, παχύτερον καὶ ὀλίγον. αἱ φλέβες δὲ σκληραὶ. καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις, ξηροτέρα. Υγροτέρου ἥπατος γνωρίσματα. πθ.

Τὸ μὲν αἷμα, πλεῖον τε καὶ ὑγρότερον. αἱ φλέβες δὲ, μαλακώτεραι. οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττοι. Θερμοῦ καὶ ξηροῦ ἥπατος σημεῖα. ϙ.

Λασιώτατον ὑποχόνδριον. αἷμα παχύτερόν τε καὶ ὀλιγώτερον. ἡ πικρὰ χολὴ πλείστη. κατὰ δὲ τὴν ἀκμὴν, καὶ ἡ μέλαινα, φλεβῶν, εὐρύτης τε καὶ σκληρότης. οὕτω δὲ καὶ τὸ σύμπαν σῶμα ξηρόν τε καὶ θερμὸν. θερμότης μὲν γὰρ ἐν καρδίᾳ ὁρμωμένη, νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα. καθάπερ γε καὶ ἡ ψυχρότης τῆς καρδίας τὴν ἐξ ἥπατος ὁρμωμένην θερμότητα νικῆσαι δύναται. τὴν δὲ ξηρότητα τοῦ ἥπατος, οὐχ οἷόν τ' ἐστὶν ἡ καρδία ὑγροτέρα γινομένη, πρὸς τοὐναντίον μεταβαλεῖν. εὔδηλον οὖν ὡς ἐπειδὰν εἰς ταὐτὸν συνδράμωσιν ἀμφοτέρων αἱ κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατ' ἐκείνας διατίθεται. Θερμοῦ καὶ ὑγροῦ ἥπατος σημεῖα. ϙα.

Ηττον μὲν οὖν τοῦ θερμοῦ καὶ ξηροῦ τὸ καθ' ὑποχόνδριον ἐργάζεται λάσιον. πλεῖστον δὲ αἷμα καὶ φλέβας μεγάλας ἔχουσιν οἱ τοιοῦτοι. καὶ τὴν ἕξιν, ὑγράν τε καὶ θερμὴν. εἰ μὴ τὰ κατὰ καρδίας ἀντιπράττοι. εἰ δὲ ἐπὶ πλέον ἀμφοτέραις ταῖς ποιότησιν ἐκβαίνοι τοῦ κατὰ φύσιν, ἑτοίμως ἁλίσκεται τοῖς σηπεδονώδεσι τε καὶ κακοχύμοις νοσήμασιν. ἔτι δὲ μᾶλλον εἰ ἐπὶ πλέον αὐξηθείη τὸ ὑγρὸν. ἐπ' ὀλίγον δὲ τὸ θερμὸν, ἥκιστα κακόχυμοι γίνονται. Ψυχροῦ καὶ ὑγροῦ ἥπατος σημεῖα. ϙβ.

Ατριχον μὲν ἴσχει τὸ ὑποχόνδριον. αἷμα δὲ ἐργάζεται, φλεγματικώτερον ἅμα φλεβῶν στενότητι. καὶ τὸ σύμπαν σῶμα ψυχρότερον. καὶ ὑγρότερον. εἰ μὴ πρὸς τῆς καρδίας εὐθὺ τοὐναντία μεταφέροιτο.

Ψυχροῦ καὶ ξηροῦ ἥπατος σημεῖα. ϙγ.

Τὸ δὲ ψυχρὸν ἅμα καὶ ξηρὸν ἧπαρ, ὀλίγαιμόν τε καὶ στενόφλεβον ἐργάζεται τὸ σῶμα. καὶ ψυχρότερον τὸ ὑποχόνδριον, εἰ μὴ κἀνταῦθα νικήσειεν ἡ καρδία. Ορχεων κράσεως γνωρίσματα. ϙδ.

Η μὲν θερμὴ τῶν ὄρχεων κρᾶσις, ἀφροδισιαστική ἐστι. καὶ ἀρρενογόνος καὶ γόνιμος. καὶ ταχέως δασύνει τὰ γεννητικὰ μόρια. καὶ τὰ πέριξ μετρίως. ἡ δὲ ψυχρὰ, τοὐναντία. καὶ ἡ μὲν ὑγρὰ, πολύσπερμός τ' ἐστὶ

καὶ

καὶ ὑγρόσπερμος. ἡ ξηρὰ δὲ, ὀλιγόσπερμος. καὶ μετρίως παχύσπερμος. ἡ δὲ θερμὴ καὶ ξηρὰ, παχυσπερμοτάτη τέ ἐστι καὶ γονιμωτάτη. καὶ τάχιστα πρὸς συνουσίαν ἐπεγείρει τὸ ζῶον. οἱ τοιοῦτοι καὶ δασύνονται τάχιστα τὰ γεννητικὰ μόρια. καὶ σύμπαντα τὰ περὶ ἰξ. ἄνωθεν ἄχρι τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων. κάτωθεν δὲ μέχρι μέσων μηροῦ. ὁρμητικὴ μὲν οὖν ἡ τοιαύτη κρᾶσις ἱκανῶς ἐστιν ἐπὶ ἀφροδίσια. τάχιστα μὲν ἐμπιπλαμένη. καὶ εἰ βιάσαιτο, κλαπτομένη. συνελθούσης δὲ ὑγρότητος τῇ θερμότητι, λάσιοι μὲν ἧσσον οὗτοι. πολύσπερμοι δὲ μᾶλλον. οὐ μὴν ὀρέγονται μᾶλλον τῶν ἑτέρων. ἐξαρκοῦσι δὲ ἀβλαβέστερον μᾶλλον ἀφροδισίοις πλείοσιν. εἰ δὲ ἱκανῶς τό τε ὑγρὸν καὶ τὸ θερμὸν συναυξηθείη, βλάπτονται μᾶλλον ἀπεχόμενοι τῶν ἀφροδισίων. εἰ δὲ ὑγροὶ καὶ ψυχροὶ τὴν κρᾶσιν οἱ ὄρχεις γένοιντο, ψιλὰ τριχῶν τὰ περὶ ἰξ. καὶ βραδέως ἀφροδισιάζειν ἄρχονται. καὶ οὐδὲ ὁρμητικοὶ πρὸς τὴν ἐνέργειαν εἰσίν. ὑδατῶδες δὲ καὶ λεπτὸν αὐτοῖς τὸ σπέρμα. καὶ ἄγονον ἐστὶ καὶ θηλύγονον. ἡ δὲ ξηρὰ καὶ ψυχρὰ τῶν κράσεων, ὁμοία μέν ἐστι κατὰ ταῦτα τῇ προειρημένῃ. παχύτερον δὲ αὐτοῖς τὸ σπέρμα καὶ παντάπασιν ὀλίγον. ὅσοι δὲ ἐπὶ πλεῖστον κεχαλασμένον ἔχουσι τὸν ὄσχεον ὅλον σὺν τοῖς διδύμοις, καὶ οἱονεὶ ἀρρωστότεροι οὗτοι τὴν δύναμιν εἰσὶν, ὡς ἐπὶ τὸ πολύ. ὅσοι δὲ συνεσταλμένον ἔχουσι τὸν ὄσχεον σὺν τοῖς διδύμοις. καὶ οἱονεὶ συνεσφιγμένον, ἐρρωμαλεώτεροι τὴν δύναμιν εἰσὶν ὡς ἐπὶ τὸ πολύ. καὶ ἔνεστι τούτου τεκμήριον λαβεῖν, ἐκ πάντων τῶν τετραπόδων ζώων.

Ἐπεὶ δὲ ἐν ταῖς θερμαῖς δυσκρασίαις πλεονάζει τὸ χολῶδες περίττωμα, σκέπτεσθαι ἐπὶ τούτων προσήκει. πρότερον ὑπέρχεται αὐτοῖς τὸ χολῶδες αἷμα τοῖς διαχωρήμασιν, ἢ πρὸς τὴν ἄνω κοιλίαν ὁρμᾷ. κάτω μὲν γὰρ ὑπιούσης, οὐδὲν χρὴ περιεργάζεσθαι. πρὸς δὲ τὴν ἄνω γαστέρα φερομένης δι᾽ ἐμέτων ἐκκενούντων χλιαροῦ ὕδατος ποθέντος. εἰ δὲ δυσχερῶς ἐμέσοιεν, οἶνον γλυκὺν σὺν τῷ χλιαρῷ ὕδατι κεράσας, δίδου πίνειν. καὶ οὕτως ἐμείτωσαν. καὶ γυμνάζειν αὐτοὺς βέλτιον οὐκ ὀξύ. καὶ σύντονον γυμνάσιον. ἀλλὰ σχολαιότερον καὶ μαλακώτερον. τινὲς δὲ τῶν θερμῶν, οὐδ᾽ ὅλως χρήζουσι τῶν θερμασίων. ἀλλ᾽ ἀρκεῖ περίπατος αὐτοῖς. καὶ λουτρὸν ἀλειψαμένοις ἐλαίῳ μαλακαῖς χερσίν. οὗτοι καὶ τοῖς μετὰ τροφὴν λουτροῖς χαίρουσι. καὶ τινὲς αὐτῶν ἐπαχύνθησαν ἐπὶ τῇ τοιαύτῃ διαίτῃ. οἶνος τούτοις ἁρμόδιος, ὁ ὑδατώδης λεγόμενος λεπτὸς καὶ λευκός. οἱ γὰρ κιρροὶ θερμοί. καὶ οἱ πάνυ παλαιοί. διὸ ἐναντιώτατοι τούτοις εἰσίν. ἐπιβλέπειν δὲ χρὴ ἐπὶ πάντων τῶν μετὰ τροφὴν λουομένων, μὴ τὸ ἧπαρ πεπονθὸς εἴη. ἐσχάτως γὰρ ἀδικοῦνται οἱ τοιοῦτοι μετὰ τροφὴν λουόμενοι. οἱ δὲ μετὰ ξηρότητος θερμοὶ, δέονται μάλιστα τὴν ἀκμαστικὴν ἡλικίαν ὑγρᾶς διαίτης, διά τε ἐδεσμάτων καὶ λουτρῶν. ἀποχῆς τε συντόνων γυμνασίων καὶ πολλῶν. ὥστε θέρους θᾶττον λουέσθωσαν. καὶ μετὰ τροφὴν αὖθις τὸ δεύτερον. εἰ μή τι τῶν σπλάγχνων πεπονθὸς, ὀνήσει τούτους εἰ μηδὲν κωλύει, καὶ ἡ τοῦ ψυχροῦ πόσις. ἐναντιώτατα δὲ, ταῖς ξηροτέραις κράσεσίν ἐστιν, ἀφροδίσια. φείδεσθαι δὲ αὐτοὺς μάλιστα ἐγκαύσεως. κόπων. ἀγρυπνιῶν. φροντίδων. καὶ κινήσεων ἁπασῶν ὀξειῶν. θυμούμενοι δὲ οἱ χολώδεις, ἐκπυροῦνται. καὶ πυρετοῖς ὀξέσι περιπίπτουσι. σκοποῦνται δὲ χρὴ τὴν ποσότητα τῆς ἐκτροπῆς. καὶ αὔξησιν τοῦ θερμοῦ ἀναλόγως αὔξειν τὴν ἐμψύχουσαν καὶ ὑγραίνουσαν δίαιταν.

Ἴασις ψυχρᾶς δυσκρασίας.

Ὅσοι δὲ ψυχρότεροι μέν εἰσι φύσει, συμμέτρως δὲ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν κράσεως, ἧττον εἰσὶ μοχθηροὶ πρὸς ὑγείαν τε καὶ ῥώμην σώματος. ἐπεγείρειν τε οὖν χρὴ καὶ ῥωννύναι αὐτῶν τὴν θερμασίαν. ἐν δὲ τῇ καθ᾽ ὑγρότητα καὶ ξηρότητα τῆς ὅλης διαίτης τὸ μέσον ἐκλέγεσθαι.

Ὑγρᾶς δυσκρασίας διόρθωσις.

Αἱ δὲ ὑγραὶ φύσεις ἐν τῇ τῶν παίδων ἡλικίᾳ ῥευματικοῖς τε καὶ πληθωρικοῖς ἁλίσκονται νοσήμασι. καὶ πρὸς τούτοις γε, τοῖς σηπεδονώδεσι. δέονται τοίνυν γυμνασίων τε πλειόνων. καὶ ἀκριβοῦς τῆς ἐν τῇ γαστρὶ πέψεως. ὅταν γὰρ ἐν ταύτῃ διαφθείρεται τῶν τροφῶν, νοσημάτων σηπεδονωδῶν ὑπόθεσις γίγνεται παντὶ τῷ σώματι. διὸ πρὸ τροφῆς οὗτοι λουσάμενοι. καὶ τοῖς αὐτοφυέσι θερμοῖς ὕδασι χρώμενοι, μάλιστα ὠφελοῦνται. σκοπὸς μὲν γὰρ ἐπ᾽ αὐτῶν ἐστὶν αὐτὰ μὲν τὰ μόρια τοῦ σώματος φυλάττειν ὑγρά. κοινὸν τοῦτο πάσης κράσεως. ἔστι τὸ ἐναντίον αὐτῷ λέγω δὴ τὸ ξηρόν. θᾶττον ἐπὶ τὸ γῆρας ἄγει τὰ σώματα τῶν ζώων ἁπάντων. ὡς εἴγε δυνατὸν ἦν ἀεὶ διαφυλάττειν ὑγρὰν τὴν κρᾶσιν τοῦ σώματος, ὁ τοῦ σοφιστοῦ Φιλίππου λόγος. ἀθάνατον ἐπαγγειλάμενος ποιήσειν τὸν αὐτῷ πειθόμενον, ἀληθὴς ἂν εἴη. διὸ πολυχρονιώτατος ὁ ἥκιστα ξηραινόμενος γένοιτ᾽ ἄν. τῆς δὲ ὑγρᾶς διαίτης περιττώματά τε καὶ πλῆθος χυμῶν γεννώσης, χαλεπὸν γίγνεται κρατῆσαι τῆς συμμετρίας. ὥστε μήτε νόσοις ἁλίσκεσθαι, μήτε γηρᾶσθαι ταχέως. ὅθεν δ᾽ οὖν ἐπὶ τῇ κράσει πολυχρονιώτατοι πάντων εἰσὶν οἱ ὑγρότατοι. καὶ μέντοι καὶ ὑγιαίνουσι τῶν ἄλλων μᾶλλον, ἐπειδὰν κρατυνθῇ τὸ σῶμα. ὥσπερ καὶ ἰσχυρότατοι μέχρι γήρως ἐσχάτου εἰσὶ, τῶν τὴν αὐτὴν ἡλικίαν ἐχόντων. καὶ διὰ τοῦτ᾽ ἐπαινεῖται σχεδὸν ὑπὸ πάντων ἰατρῶν τε καὶ φιλοσόφων, ὅσοι τὰ στοιχεῖα τοῦ σώματος ἀκριβῶς ἔγνωσαν, ἡ κρᾶσις αὕτη. καὶ μέντοι καὶ μόνη τισὶν ἔδοξε κατὰ φύσιν εἶναι. κρείττων γοῦν ἐν τῷ χρόνῳ τῶν ἄλλων γίγνεται κατ᾽ ἀρχὰς, οὖσα χείρων. ὥστε καὶ τὸν ἐπιστατοῦντα τῷ τοιούτῳ σώματι, τῶν ἀπόρων αὐτοῦ προνοεῖσθαι χρή.

διά τε γυμνασίων πρὸ τροφῆς γιγνομένων· καὶ λουτρῶν· καὶ τροφῶν ἐπιτηδείων· πλειόνων τε ἐκκρίσεων τῶν δι' οὔρων τε καὶ γαστρὸς προσγινομένων. οὐδὲν δὲ κωλύει, καὶ ἀποφλεγματισμοῖς ποτὲ χρῆσθαι· καὶ καθάρσεσιν ὡραίαις· εὐχύμοις τε ἐδέσμασι πρὸ πάντων· καὶ οἴνου πόσει τὴν οὔρησιν κινοῦντος.

Ξηρᾶς δυσκρασίας ἴασις. ϟη.

Λ ουτρῶν ταῖς ξηραῖς κράσεσι τοῦ σώματος παῖδας, ἐπιτηδειότατον. εὔκρατον δὲ ἔστω καὶ γλυκύτατον τὸ ὕδωρ· καὶ εἰ δίς· καὶ εἰ τρὶς τῆς ἡμέρας λούοιντο, μᾶλλον ὀνίνανται· καὶ ἡ σύμπασα δὲ δίαιτα, ὑγραίνουσα γιγνέσθω· ἀρχὴ δὲ κόπου καὶ φροντίδων· καὶ ἀγρυπνιῶν ἔστω.

Θερμῆς καὶ ξηρᾶς δυσκρασίας ἴασις. ϟθ.

Η μετὰ ξηρότητος δυσκρασίας, ποικίλαις ὑπάγεται θεραπείαις· οὐ μὴν ἀηδής γε ὁμοίως τῶν ψυ-
10 χόντων ἡ χρῆσις ἐστί· κατὰ γὰρ τὰς ξηρὰς διαθέσεις, ἀναγκαῖόν ἐστιν· οὐ τὰ πλησιάζοντα τῇ γαστρὶ μόνον· ἀλλὰ καὶ σύμπαν ἰσχνότερον γίγνεσθαι τὸ σῶμα.

Ὑγρᾶς καὶ θερμῆς δυσκρασίας, ἴασις. ρ.

Τ ῆς δὲ ὑγρᾶς δυσκρασίας μετὰ θερμότητος οὔσης, ἡ τῶν στυφόντων ἐδεσμάτων χρῆσις, ὠφέλιμος. ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν, αὐστηρά· καὶ μὴν δὴ καὶ τὸ ψυχρὸν ὕδωρ· ἐπιτήδειον αὐτοῖς.

Ὑγρᾶς καὶ ψυχρᾶς δυσκρασίας ἴασις. ρα.

Τ ῆς δὲ μεταξὺ ψύξεως ὑγρᾶς δυσκρασίας, ἄριστα μὲν ἰάματα, τὰ δριμέα σύμπαντα καὶ θερμά. μιγνύσθω δὲ αὐτοῖς καὶ τὰ στρυφνά, χωρὶς τοῦ ψύχειν σαφῶς· ἄριστα δὲ ἰάματα τούτοις, ὀλίγον τὸ πόμα· ἔστω δὲ τῶν θερμαινόντων τε ἰσχυρῶς καὶ στυφόντων οἴνων· δῆλον δὲ ὡς καὶ πάνυ παλαιῶν. ἀνάλογα δὲ τούτοις, καὶ τὰ ἔξωθεν προσφερόμενα ἔστω.

20 Ψυχρᾶς καὶ ξηρᾶς δυσκρασίας ἴασις· ἐπικρατούσης μᾶλλον τῆς ψύξεως. ρβ.

Ρ ύσεως δὲ μᾶλλον τῆς ὑγρότητος ἐπικρατούσης, μοχθηραὶ αἱ τοιαῦται κράσεις γίγνονται· καὶ μάλιστα αὗται τοῖς ῥευματικοῖς ἁλίσκονται νοσήμασιν· ὀνίνησι δὲ αὐτούς, ἀλουσία τε καὶ γυμνάσια πλείονα· καὶ δίαιτα λεπτύνουσα· καὶ χρίσματα μετρίως θερμαίνοντα.

ΤΑΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩ ΠΕΜΠΤΩΙ ΛΟΓΩΙ.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΠΥΡΕΤΩΝ ΔΙΑΓΝΩΣΕΩΣ ΚΑΙ ΘΕΡΑΠΕΙΑΣ. ΛΟΓΟΣ Ε'.

Ὁ μὲν διαιτητικὸς τῶν ὑγιεινῶν παραγγελμάτων, ἀναγκαῖόν τε καὶ χρήσιμον πρὸς ὑγιείας τήρησιν ὑπάρχον, ἤδη προγέγραπται. μεμάθηκας οὖν ἐν αὐτῷ, ποίῳ καὶ τίνι τρόπῳ διαίτῃ χρώμενος, καὶ σὺ αὐτὸς ὡς οἷόν τε, ὑγιαίνοις ἂν μάλιστα. καὶ τοῖς ὑπὸ σοῦ ἐπιμελουμένοις, τὴν προσήκουσαν ἑκάστῳ ὑγείαν διαφυλάξεις. ἐπειδὴ δὲ λαθόντας ἡμᾶς αὐτοὺς πολλάκις, ἀμελέστερόν τε ἁπτομένους τῆς διαίτης· ἢ κατά τινας τῶν πράξεων περιστάσεις· ἢ τῇ βίᾳ τοῦ περιέχοντος ἡμᾶς ἀθρόως βλαβέντας, οὐ χεῖρόν ποτε ἁλῶναι νοσώδεσι κατασκευαῖς ὀξέων ἢ χρονίων παθῶν, ἄμεινον καὶ περὶ νοσημάτων διαλαβεῖν. ἀπὸ δὲ τῆς καθόλου τῶν πυρετωδῶν νοσημάτων ἄρξασθαι σημειώσεως, ὅτι τε μᾶλλον ἐπιπολάζει ταῦτα, κοινὰ πάσης ἡλικίας ὑπάρχοντα, καὶ ὅτι οὐκ ἀκίνδυνα ταραχὴν καὶ θόρυβον αἰφνίδιον ἐπιφέροντα, τῷ πλήθει τῶν συμπτωμάτων.

Ὅτι χρὴ τὸν ἰατρὸν, ἐπιστήμονα τῶν τῆς φύσεως ἔργων εἶναι. α.

Διὸ χρὴ γεγυμνασμένον κατὰ τὸ προγνωστικὸν Ἱπποκράτους καὶ τὰ ἄλλα τὸν ἰατρὸν εἶναι, ἐπίστασθαι τὰ τῆς φύσεως ἔργα. φύσιες γὰρ ζώων, ἰητροί. συνεργεῖν δὲ δεῖ τῇ φύσει πρὸς σωτηρίαν ἀγωνιζομένῃ πρὸς τὴν νόσον. οὕτως γὰρ ἡ φύσις σύμμαχον λαβοῦσα τὸν ἰατρὸν, τὰ δέοντα ποιοῦσα. αὐτόν τε τὸν ἄρρωστον πειθήνιον· καὶ μηδὲν ἐν τῇ διαίτῃ ἁμαρτάνοντα, περιγένοιτο ἂν τῆς νόσου. συνεργοὺς δὲ εἶναι χρὴ καὶ τοὺς ὑπηρέτας· καὶ τοὺς ἔξωθεν, πρὸς τὸ μηδὲν ὑπεναντίον τοῖς καλῶς πραττομένοις.

Ὅτι ἄνευ τοῦ προγνῶναι τὴν νόσον, οὐχ οἷόν τε καλῶς θεραπεῦσαι. β.

Πρόκειται δὲ ἡμῖν σημειωτικὸν ἐνστήσασθαι λόγον πρότερον. ἄνευ γὰρ τοῦ προγινώσκειν εἰς ὅτι τελευτήσει τὸ νόσημα, οὐχ οἷόν τε καλῶς εὐπορῆσαι τοῦ τρόπου τῆς διαίτης· καὶ μάλιστα ἐπὶ τῶν ὀξέων νοσημάτων· καὶ κίνδυνον ὀξὺν ἐπιφερόντων.

Τίνα ἐστὶν ἀγαθὰ σημεῖα. γ.

Εὔσημον πρόσωπον· δυνήσῃ γὰρ κἀκ τοῦ προσώπου μόνου, βεβαίαν καὶ πιστὴν πρόγνωσιν λαβεῖν, πρὶν ἅψασθαι τοῦ νοσοῦντος. λέγω δὴ ἐκ τῶν ἐν αὐτῷ αἰσθήσεων· ὄψεως· ἀκοῆς· ὀσφρήσεως· πρὸς τούτοις δὲ, καὶ ἐκ τῆς ἀναπνοῆς· ἧς χωρὶς ζῆν οὐχ οἷόν τε· δηλούσης ἡμῖν ὅπως ἡ καρδία διάκειται. πάρεστι δὲ ἐν τῷ προσώπῳ, καὶ τὸ διαλεκτικὸν ὄργανον τῆς γλώττης· ἐμφαῖνον ἡμῖν τὴν ῥώμην τε καὶ ἀρρωστίαν τοῦ λογιστικοῦ μέρους τῆς ψυχῆς. ἀγαθὸν δὲ σημεῖον, καὶ ἡ εὐσχήμων κατάκλισις· ὡς μάλιστα εἴθισται καὶ ὑγιαίνων στρέφεσθαι ῥᾳδίως. εὔφορόν τε καὶ τὸ σῶμα πᾶν ὁμαλῶς καὶ ἠπίως θερμὸν εἶναι. ἄδιψον ὡς οἷόν τε ὑπάρχον· καὶ τὸ ἐρρῶσθαι τὴν διάνοιαν· καὶ εὖ ἔχειν πρὸς τὰς φορὰς, ἀγαθόν. ἀγαθὸν δὲ καὶ ἡ εὔνοια· καὶ ἡ εὐταξία τῶν σφυγμῶν. ἐκ τούτων γὰρ καὶ τῶν λεχθησομένων, γνωσόμεθα τὴν ῥώμην τε καὶ ἀρρωστίαν τῶν τριῶν ἐνεργειῶν τῆς ψυχῆς. τὸ γοῦν ἐρρῶσθαι τὴν διάνοιαν καὶ τὸ μὴ καταρρεῖν ἐπὶ πόδας, δηλοῖ τὸν ἐγκέφαλον κατὰ πάντα ἐρρῶσθαι. τὸ δὲ εὐανθὲς τοῦ προσώπου καὶ ἡ εὔπνοια, καὶ ἡ εὐσφυξία, δηλοῖ τὴν καρδίαν ἐρρῶσθαι. ἔστι γὰρ ὅτε εὐανθὲς γίγνεται τὸ πρόσωπον μετὰ δυσπνοίας, ὡς ἐπὶ τῶν περιπνευμονικῶν. τὸ δὲ ἄδιψον εἶναι καὶ εὖ ἔχειν πρὸς φορὰς τὴν φυσικὴν δύναμιν ἔν τε τῷ ἥπατι· καὶ ἐν παντὶ τῷ σώματι, ἐρρῶσθαι δηλοῖ. ἀγαθὸν δὲ καὶ ὕπνοι χρηστοὶ· καὶ ἱδρῶτες δι' ὅλου τοῦ σώματος· εὔκρατοί τε καὶ ὁμαλοί τε εἶναι καὶ σύμμετροι· καὶ ἐν τῷ δέοντι καιρῷ ἐπιφαινόμενοι. ὑποχόνδριον· ἀνώδυνόν τε εἶναι καὶ εὐαφές· καὶ πρὸς τούτοις, ἔτι αἱ διαχωρήσεις· κοιλίας τε καὶ οὔρων καὶ πτυσμάτων ἀπαραπόδιστοί τε εἶναι· καὶ χρηστὰ· τινὰ πέψεως σημεῖα.

Τίνα ἐστὶ φαῦλα σημεῖα. δ.

Προσώπου παντὸς· καὶ κροτάφου σύμπτωσις· ὀφθαλμοὶ πεπηγότες καὶ κοῖλοι· δάκρυον ἀκούσιον· καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν κατὰ τοὺς ὕπνους ὑποφαινόμενα· μὴ εἰθισμένον γε οὕτως καθεύδειν· καὶ τὸ σῶμα καταρρεῖν ἐπὶ πόδας· καὶ τὸ περιωνὴς κεῖσθαι ὃ μὴ σύνηθες. ὀδόντων ἀληθὴς τρισμὸς· τὸ σῶμα πᾶν ἀνωμάλως θερμαίνεσθαί τε καὶ ψύχεσθαι. δύσφορόν τε εἶναι. καὶ δίψος ἀφόρητον· καὶ καῦμα τῶν ἐντός. τῶν ἔξω ψυχρῶν τυγχανόντων· ἔκστασις διανοίας· καὶ εἴ τι παρακοπή τις· ἢ ἀναισθησία· καὶ καταφορά· ἀποστροφὴ καὶ πάσης ὀρέξεως· ψύχος ἐπὶ φλεγμονῇ τῶν περὶ θώρακα καὶ τὰς πλευρὰς γιγνόμενος· δύσπνουν τε εἶναι· καὶ ψυχρὸν ἀναπνεῖν· καὶ ἔξω ἐν τῇ ἐκπνοῇ μέγα· εἴσω δὲ μικρὸν ἐκπνέοντα· ἤδη γὰρ τοῦτο μέλλουσαν νέκρωσιν δηλοῖ τῆς καρδίας. ὥσπερ καὶ τὸ ἄσφυκτον εἶναι· ἢ κακόσφυκτον. εὔπνοιαν γάρ φησιν Ἱπποκράτης χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν. ὁκόσα ξὺν πυρετῷ καὶ ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεται. κακὸν δὲ καὶ ἀγρυπνία συνεδρεύουσα. ἢ καὶ γιγνόμενοι μὲν ὕπνοι· ταραχώδεις δὲ. ἱδρῶτες ψυχροὶ καὶ ἀνώμαλοι· καὶ μὴ περὶ πᾶν τὸ σῶμα· καί ποτε κεγχρώδεις καὶ γλίσχροι· κατάψυξιν γὰρ ἰσχυρὰν καὶ ταῦτα δηλοῖ. καὶ τὸ, οὐκ ἐν τῷ δέοντι καιρῷ ἐπιφαίνεσθαι τοὺς ἱδρῶτας, οὐκ ἀγαθόν. καὶ τὸ τοῦ πυρετοῦ εὐθὺς διαδέχεσθαι

τοὺς ἱδρῶτας ἐποχὴ τῶν κατὰ κοιλίαν. καὶ μάλιστα κύστιν. καὶ τῶν ἄλλων ἐκκρίσεων. ἀλλ᾽ εἰ καὶ φέροιντο, μή τινος ὀλέθρου γνωρίσματα φέροιεν. καὶ μάλιστα οὖρα δυσώδη τε καὶ παχέα. καὶ μέλανα. τὰ γὰρ τοιαῦτα ἤδη ὀξέων καὶ κακοήθων νοσημάτων, παντάπασι κινδύνου δηλωτικά. ὑποχονδρίων σύντασις. καὶ κυρίων μορίων φλεγμοναὶ μέγισται. ἐγκεφάλου τε λέγω. καὶ καρδίας. καὶ πνεύμονος. καὶ τοῦ τὰς πλευρὰς ὑπεζωκότος. ἥπατός τε καὶ γαστρός. τινὸς γὰρ τῶν τοιούτων νοσημάτων παρόντος, τὰ πάνυ φαῦλα σημεῖα ἐπιφαινόμενα, κινδυνώδη. χρὴ δὲ ἑκάστου σημείου τὴν δύναμιν ἐκμαθεῖν. ἐν γάρ ποτε σημεῖον ἰσχυρόν τε καὶ ἄπιστον πλειόνων σημείων ἀπίστων καὶ ἀσθενῶν, οἶδε κρατεῖν.

Ποίαν δεῖ λέγειν πρώτην ἡμέραν τοῦ παντὸς νοσήματος. ε.

Ἀρχὴν λέγειν δεῖ τοῦ παντὸς νοσήματος, ἐκεῖνον τὸν χρόνον, ἡνίκα πυρέττειν ἀρξάμενος ὁ ἄνθρωπος. οὕτως σαφῆ ὡς τὴν συνέχειαν αὐτῷ λελύσθαι τοῦ σώματος. καὶ μηκέτι ἰσχύειν προσιέναι εἰς ἀγορὰς καὶ τὰ συνήθη πράττειν. καὶ διὰ τοῦτο κατακλίσεως ἐδεήθη. οὐ γὰρ δή που τὸν ἔστι δυσαρεστεῖν καὶ πυρέττειν. ὁ μὲν γὰρ κεφαλαλγῶν, ἢ δυσαρεστῶν καὶ βεβαρημένος τῷ σώματι, δύναται ὡς ἐπίπαν κατ᾽ ἀρχὰς τὰ συνήθη πράττειν. μέχρις ἂν κατισχύσαν αὐτοῦ τὸ νόσημα καταβάλλῃ τὴν δύναμιν.

Ὅτι ἀρχὴ τῶν νοσημάτων τριχῶς λέγεται. ϛ.

Ἀρχὴ λέγεται κυρίως ἡ ἀμερὴς καὶ ἀκαριαία τῆς πρώτης τοῦ νοσήματος εἰσβολῆς. ἐν ᾗ νικηθεὶς ὁ ἄνθρωπος, κατεκλίθη. ἀρχὴ λέγεται καὶ ἣν κατὰ πλάσματος ὀνομάζουσιν. ἡ μέχρι τῆς τρίτης ἡμέρας ἐπεκτεινομένη. ἀρχὴ λέγεται κυρία καὶ ἀναγκαιοτάτη τυγχάνουσα. ἣν ὡς μέρος ὅλου τοῦ νοσήματος ἀρχὴν ὀνομάζομεν. ἥτις γνωρίζεται οὐχ ἡμερῶν ἀριθμῷ. ἀλλὰ ποιότητι τῶν παροξυσμῶν. καὶ τῇ τῶν συνεδρευόντων συμπτωμάτων ἐπιεικείᾳ. ἔν τε τῇ ἀναβάσει αὔξησις. καὶ τῶν νοσημάτων, καὶ τῶν συμπτωμάτων γίνεται. οἵ τε γὰρ παροξυσμοὶ προλαμβάνουσι. καὶ μακρότεροι γίνονται ἐν τῇ ἀναβάσει. τά τε συμπτώματα δεινότερα. ἆρ᾽ οὖν λέγεται παντὸς νοσήματος ἀρχὴ εἰς ἀφανῆ, σαφῆ καὶ χρηστὰ πέψεως σημεῖα; εἰ μὲν οὖν ὀλιγοχρόνιος ἡ ἀρχὴ γίγνοιτο, ἐν τάχει λυθήσεσθαι τὸ νόσημα δηλοῖ ὡς Ἱπποκράτει δοκεῖ. διὸ ἐν πλευριτικοῖς πτύελον αὐτίκα ἢν ἐπιφαίνηται. ἀρχομένου μὲν βραχύνει. ἢν δ᾽ ὕστερον ἐπιφαίνηται, μηκύνει ἡ νοῦσος δηλονότι. καθ᾽ ἣν ἡμέραν ἐπιφανείη ἐν τοῖς ἐκκρινομένοις περιττώμασιν σαφοῦς πέψεως γνωρίσματα, λέγομεν πεπαῦσθαι τὴν ἀρχὴν τοῦ παντὸς νοσήματος. ἄρχεσθαι δὲ τὴν ἐπίδοσιν. πέψεως γὰρ σημεῖα οὐκ ἔστιν οὔτε κακῶς ἐπιφαίνεται.

Τί ἐστι πυρετός. ζ.

Πυρετός ἐστι θερμότης παρὰ φύσιν καρδίας καὶ ἀρτηριῶν. βλάπτουσα τὸ ζωτικὸν τόνον. ἀναφερομένη τε ἐκ βάθους. καὶ δριμεῖα καὶ δακνώδης προσπίπτουσα τῇ ἁφῇ. μάλιστα κατὰ τὸν θώρακα. καὶ ἔνθα ἀρτηρίαι μεγάλαι εἰσὶ τεταγμέναι. πρὸς δὲ τῇ τοιαύτῃ θερμασίᾳ, ἀνωμαλία τις καὶ ἀταξία κατὰ τὸ εἶδος τοῦ πυρετοῦ προσγίνεται τοῖς σφυγμοῖς.

Τί ἐστι παροξυσμός. η.

Παροξυσμός ἐστι κίνημα νοσήματος μετρικόν. ἤδη τὸ χεῖρον ἀπ᾽ ἀνέσεως. μετρικὸν δὲ κίνημα εἴρηται, πρὸς διάκρισιν τῆς καθόλου τῶν νοσημάτων ἐπιδόσεως.

Τί ἐστιν ἄνεσις. θ.

Ἄνεσίς ἐστι μερικοῦ παροξυσμοῦ. πρόσκαιρος παῦλα, τῶν συνεδρευόντων τῷ σώματι συμπτωμάτων. ἔτι ἡ ἄνεσις διττῶς λέγεται. συμπεριλαμβάνεται γὰρ καὶ τὸ διάλειμμα. ι.

Τῆς δὲ ἀνέσεως, ἡ μὲν, εἰλικρινὴς ἄνεσις, γιγνώσκεται ἐκ τῆς ἠρεμίας τῶν συνεδρευόντων τῷ παροξυσμῷ συμπτωμάτων περιγραφείσης. καὶ διὰ τοῦτο λέγεται διάλειμμα, ὡς ἤδη τῶν κατὰ περίοδόν τινα παροξυνόντων. διὸ τριταίῳ. τεταρταίῳ. ἀφημερινῷ. κεφαλαίας. ἐπιληψίας. ποδάγρας. καὶ τῶν παραπλησίων. ἡ δὲ δυσκρινὴς καὶ οὐ καθαρά, καταλαμβάνεται ἐκ τῆς τῶν συμπτωμάτων ὑφέσεως. ὡς ἐπὶ συνεχῶν μάλιστα πυρετῶν γίγνεται. ἐπὶ γὰρ τούτων πρὶν παντελοῦς λύσεως τοῦ νοσήματος, οὐ καθαρὰ γίνεται ἄνεσις. ἐπικαταλαμβάνει γὰρ τὴν παρακμὴν τοῦ προτέρου, ἕτερος παροξυσμός.

Τίς ἀρχὴ πυρετικῆς ἐπισημασίας. ια.

Ἀρχὴ γοῦν ἐστι πυρετικοῦ παροξυσμοῦ, ὡς ἐπίπαν, συστολὴ τῶν ἀκραίων μορίων πάντων. καὶ μάλιστα τῆς ῥινός. καὶ ποτὲ καὶ κατάψυξις ὅλου τοῦ σώματος βραχὺ ἐσθ᾽ ὅτε μικρὰ ῥιγοῦν. τῇ καταψύξει συνεισβάλλον. χάσμη τε καὶ σκορδινισμός. ἢ ναυτία. ἢ ἔμετος. ἢ λειποθυμία. ἄλγημα κεφαλῆς. ἢ ἄλλου τινὸς μορίου. εἰς ὕπνον τε καταφορὰ πολλάκις. σφυγμὸς τε πρὸς τούτοις μικρὸς καὶ συνεσταλμένος. βραδέως ἀνακόπτων. καὶ τῶν εἰωθότων συνεδρεύειν συμπτωμάτων τῷ παρόντι νοσήματι ῥιγωθισμός.

Ἐπιδόσεως τοῦ μερικοῦ παροξυσμοῦ. ιβ.

Κατὰ δὲ τὴν ἐπίδοσιν τοῦ παροξυσμοῦ, τῶν μὲν ἄλλων συμπτωμάτων αὔξησίς τε καὶ ἐνότης ἐπιγίνεται. τὰ δὲ τῆς συστολῆς τε καὶ καταψύξεως, ἀπολήγει. καὶ ὁ σφυγμὸς ἀνώμαλος ἀνακύπτει. καὶ τὸ σῶμα θερμαίνεται μὲν, οὐκ ἀκριβῶς δέ.

Ἀκμῆς τοῦ μερικοῦ παροξυσμοῦ σημεῖα. ιγ.

Κατὰ μὲν τὴν ἀκμὴν τοῦ παροξυσμοῦ, ἡ μὲν θερμασία ὁμαλῶς διαχεῖται. καὶ κατακερματίζεται,

καθ᾽ ὅλον τὸ σῶμα. οἵ τε σφυγμοὶ τὸ πᾶν τῆς αὐξήσεως μέγεθος ἀπολαμβάνοιεν. ἀνάλογον τῆς ὑποκειμένης ὕλης τάσιν ἔχουσι. καὶ τὰ ἄλλα τοῦ παροξισμοῦ συμπτώματα. τότε δὲ ἤδη καιρὸς ποτὸν διδόναι τῷ κάμνοντι.

Παρακμῆς τοῦ μερικοῦ παροξισμοῦ σημεῖα. ιδ.

Παρακμὴ μὲν ἐστὶ ἀρχομένων μειοῦσθαι τινῶν. ἢ πάντων τῶν εἰρημένων συμπτωμάτων. καὶ τῶν σφυγμῶν πασῶν εἰς εὐταξίαν ἐρχομένων. ἔσθ᾽ ὅτε δὲ καὶ νοτίδες ἐπιγίνονται. καὶ ἡ θερμασία δηλονότι μαραίνεται. ποτὲ δὲ καὶ ὕπνοι χρηστοὶ συμβαίνουσιν. εἰ μέλλοι μακρὸς μεταξὺ ἔσεσθαι τῆς ἐπισημασίας. ὡς ἐν ταῖς καθαραῖς ἀνέσεσι φιλεῖ γίγνεσθαι. εἰώθεσαν γὰρ ἐνίοτε ἐπικαταλαμβάνειν ἐπί τινων νοσημάτων παροξισμός. τὴν παρακμὴν τοῦ προτέρου καθάπερ ἐπὶ τῶν συνεχῶν πυρετῶν γίνεται. τοῦτο ἐνταῦθα δηλοῖ.

Τίς ἀρχὴ ὅλου τοῦ νοσήματος. ιε.

Ἤδη προείρηται ὡς ἀρχὴν τοῦ παντὸς νοσήματος, ἐκεῖνον τὸν καιρὸν λέγομεν, ἡνίκα ἡ πληθεῖσα τῇ βίᾳ τοῦ νοσήματος ἡ δύναμις τοῦ ἀνθρώπου, ἀρχὴ τῆς κατακλίσεως γέγονε.

Τίς ἡ ἐπίδοσις. ἢ ἀνάβασις ὅλου τοῦ σώματος. ις.

Ἡ δὲ ἐπίδοσις τοῦ παντὸς νοσήματος ἐστὶν ὅταν οἱ παροξυσμοὶ τῆς συνήθους ὥρας καὶ προλαμβάνοιεν. καὶ μακρότεροι καὶ κακοηθέστεροι. καὶ μετὰ πλειόνων καὶ βαρυτέρων συμπτωμάτων γίγνοιντο.

Ἀκμῆς διάγνωσις ὅλου τοῦ νοσήματος. ιζ.

Στάσιν τε τῶν παροξυσμῶν λαμβανόντων. ὁμοίως τε γιγνομένων ἐφεξῆς κατὰ πάντα, καὶ τῶν συνεδρευόντων συμπτωμάτων. καὶ μήτε ἀφαιρούντων. μήτε προστιθέντων, τότε ἀκμάζειν λέγοιτο τὸ νόσημα. ἡ γὰρ ἀκμὴ ἐστὶ τὸ σφοδρότερον μέρος ὅλης τῆς νόσου. ὅτε καὶ μάλιστα αἱ ἀγαθαὶ κρίσεις εἰώθασι γίγνεσθαι.

Παρακμῆς διάγνωσις ὅλου τοῦ νοσήματος. ιη.

Ἐπὶ δὲ τῆς παρακμῆς τοῦ ὅλου νοσήματος, τὰ ἐναντία τῆς ἐπιδόσεως γίγνεται. ὑστερίζει μὲν γὰρ κατὰ τὴν εἰσβολὴν τῆς συνήθους ὥρας ὁ παροξυσμός. χρόνον δὲ ἐλάχιστον κατέχει. τά τε συμπτώματα ἐπιεικέστερα. καὶ ἁπλούστερα γίνεται. εὐφορία τε καὶ ἄνεσις κατὰ πάντα.

Ὅτι ἡ παρακμὴ τοῦ παντὸς νοσήματα ἐπὶ τῶν ἀθρόων γιγνομένων κρίσεων. ὡς λανθάνειν τὴν αἴσθησιν. ιθ.

Τὰ ἀθρόως κατὰ τὴν ἀκμὴν γίνεται νοσήματα. καὶ τελείαν ἀποδέχεται λύσιν, δυσθήρατον ἴσχει τὴν παρακμὴν ὡς μὴ δὲ κατάδηλον αἰσθήσει γίγνεσθαι. ἀλλ᾽ οὐ δὲ χρήσιμόν ἐστιν αὐτὴν ζητεῖν. ἀρκεῖ γὰρ γιγνώσκειν ὅτι λέλυται πιστῶς. ἀσφαλῶς καὶ τελέως τὸ νόσημα.

Ὅτι μέλλων σώζεσθαι ὁ ἄρρωστος, διεξέρχεται τοὺς τέτταρας καιροὺς ὅλης τῆς νόσου. κ.

Ἐὰν μὲν οὖν ἀκίνδυνον εἴη τὸ νόσημα, ὀξέως τε κινοῖτο. καὶ πρὸς τούτοις ἀγαθὰ καὶ χρηστὰ σημεῖα παρῇ τῷ κάμνοντι. διεξέρχεται ταχέως τοὺς δ καιροὺς ὅλου τοῦ νοσήματος. καὶ δῆλον, ὅτι καὶ σωθήσεται. εἰ δὲ τἀναντία τούτων παρῇ, πρὸ τῆς ἀκμῆς μάλιστα τεθνήξεται.

Πότερον βράδιον ἢ τάχιον κρίνεται τὸ νόσημα. κα.

Πότερον δὲ βράδιον ἢ τάχιον κριθήσεται ἐκ τοῦ μεγέθους τοῦ νοσήματος. καὶ τοῦ σφοδροῦ τῆς κινήσεως, εἶναι δῆλον. τὰ γὰρ μεγάλα νοσήματα, ὀξέως κινεῖται. τὸ δὲ ὀξέως κινούμενον, καὶ ταχέως κρίνεται.

Ὅπως δεῖ προγινώσκειν. εἴτε μή. καὶ πότε. κβ.

Τὰ μεγάλα τῶν νοσημάτων καὶ ὀξέως καὶ σφοδρῶς κινούμενα. κρίνεται πάντως. ὅσα δὲ μικρὰ καὶ ἀμυδρότερα. καὶ ἀβληχρῶς κινεῖται. εἰ χρόνια εἰσὶ, λύεται μόνον κατὰ βραχὺ χωρὶς κρίσεως. σπανίως δὲ εἰς ἀπόστασιν ὁρμᾷ τὰ τοιαῦτα. ὁ γὰρ τριταῖος καί τοι διαλείπων ὀξέως καὶ σφοδρῶς κινούμενος, κρίνεται. ὁ δὲ τεταρταῖος διότι χρόνιος, κατὰ βραχὺ ὡς ἐπίπαν λύεται. καὶ οἱ ἀργοτέρως κινούμενοι πάντες.

Τὴν τοίνυν τοῦ σώματος ἐπισκέψας φύσιν, εἴτε πικρόχολος ἐστίν. εἴτε φλεγματώδης. εἴτε μελαγχολική. δεύτερον δὲ ἐπὶ τούτῳ, τὴν ὥραν τοῦ ἔτους. καὶ τὴν τοῦ κάμνοντος ἡλικίαν. καὶ τὴν κρᾶσιν καὶ τὸ ἐπιτήδευμα καὶ τὴν προγεγενημένην δίαιταν. οὐ μὴν, ἀλλὰ καὶ χώραν. καὶ τὴν κατάστασιν τοῦ περιέχοντος ἡμᾶς ἀέρος. μετὰ δὲ ταῦτα σκοπεῖσθαι τὰς περιόδους τῶν παροξισμῶν ὡς προείρηται. καὶ εἴτε διαλείπουσιν εἴτε καὶ μή. καθάπερ ἐπὶ συνόχων ἐστὶν ἰδεῖν. εἰ μὲν γὰρ ἐπείγοιεν καὶ προλαμβάνοιεν ἀεὶ τὴν ἀνάλογον ὥραν. καὶ σφοδρότεροι γίγνοιντο. καὶ διὰ τρίτης ἀπαντῷεν, ἐν τάχει κριθήσεσθαι δηλοῦσιν. εἰ δὲ ἀργῶς κινοῖντο. καὶ κατ᾽ αὐτὴν τὴν ὥραν εἰσβάλλοιεν, ἐφ᾽ ἑκάστῃ τε γίγνοιντο ἡμέρᾳ, χρονίζειν τὴν κρίσιν σημαίνουσι. προσεπιβλέπειν δὲ καὶ τοὺς πεπασμοὺς τῶν περιττωμάτων εἰ χρηστοί. καὶ εἰ ἐν ἐπιδήλοις ἡμέραις γίγνοιντο μετὰ δυνάμεως ἐρρωμένης. εἰ εὐθὺς ἐξ ἀρχῆς ἀκίνδυνα πάντα ἐνδείξηται τὰ σημεῖα κατὰ τὴν πρώτην τετράδα τὴν κρίσιν ἐπαγγέλλεται. εἰ δὲ ἐν τῇ τετάρτῃ προσσημαίνει, τὴν ἑβδόμην οὐχ ὑπερβαίνει. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν. καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γινόμενοι τεταρταῖοι παύονται. ἢ πρόσθεν φησὶν ἱπποκράτης. οἵ τε κακοηθέστεροι τῶν πυρετῶν. καὶ ἐπὶ σημείων δεινοτάτων γιγνόμενοι τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν.

Μελλούσης ἤδη γίγνεσθαι κρίσεως σημεῖα. κγ.

Μελλούσης ἤδη παρεῖναι τῆς κρίσεως, προηγεῖται οὐ σμικρὰ ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα.

καὶ μάλιστα κατὰ τὴν τοῦ προκριτικοῦ παροξυσμοῦ νύκτα. οἷσι γὰρ μέλλει κρίσις γίνεσθαι, τούτοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ φησὶν Ἱπποκράτης. καὶ γὰρ δυσφορίαι. καὶ ἀγρυπνίαι. καὶ παραφροσύναι. καὶ κώματα. καὶ δύσπνοιαι. καὶ σκοτόδινοι. καὶ δυσαισθησίαι. καὶ ἀλγήματα κεφαλῆς. καὶ τραχήλου. καὶ στομάχου. καὶ πολλῶν ἄλλων μορίων. ἐπί τινων δὲ, ὤτων ἦχοι. καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν φαίνονται. καὶ δάκρυον ἀκούσιον ῥεῖ. καὶ ὕδρον ἴσχωται. καὶ χεῖλος σείεται. καὶ ἄλλο τι μέρος τρομῶδες γίνεται. καὶ λήθη καὶ ἄγνοια τῶν παρόντων. καὶ ῥῖγος σφοδρὸν ἐνίοτε ἐμπίπτει. καύσων πρότερον μὴ γενόμενον καὶ τὸ ἐπίπαν ὁ παροξυσμὸς προεισβάλλει τῆς συνήθους ὥρας. καὶ κῶμα πολύ. καὶ δίψος ἀφόρητον ἕπεται. καὶ βοῶσι. καὶ ἀναπηδῶσιν. ὥσπερ ἐκπλήκτοι. καὶ τὸ κατακλίσεως σχῆμα φυλάττειν οὐ δύνανται. καὶ φόβος ἐπικρέμεται τοῖς ὁρῶσιν. ὁ δὲ ἰδιώτης ἰατρὸς θεωρῶν τὴν ζάλην τῶν συμπτωμάτων, ταράττεται. καὶ μετὰ τῶν οἰκείων τοῦ κάμνοντος τὴν συμφορὰν ὀδύρεται. ὑπὸ δὲ τῆς συμπαθείας, τὴν ἀμαθίαν κρύπτει. ἰατροῦ γὰρ μὴν ἐστὶ γενναίου, μὴ ταράσσεσθαι. μὴ δὲ ἀγνοεῖν τὸ μέλλον ἀποβήσεσθαι. ἀλλ' ἐκ τῶν παρόντων προγινώσκειν, οὐ μόνον ὅτι κρίσις μέλλει γίνεσθαι, ἀλλὰ καὶ ὁποία τις ἔσεσθαι μέλλοι.

Ὅπως δεῖ προγινώσκειν εἴτε ἀγαθὴ εἴτε φαύλη γενήσεται κρίσις. κδ.

Τὴν δὲ ἀρίστην κρίσιν, ἣν καὶ μόνην ἁπλῶς κρίσιν ὀνομάζεσθαι ἔφαμεν, οὐ στοχαστικῶς αὖτις ὥσπερ καὶ τὰς ἄλλας. ἀλλὰ βεβαίως προγινώσκοι. πάντα γὰρ ἐπὶ τῶν τοιούτων νοσημάτων εὐθὺς ἐξ ἀρχῆς ἀκίνδυνα φαίνεται τὰ σημεῖα. ὥσπερ αὖ πάλιν ἐπὶ τῶν τεθνηξομένων, ὡς ἐπὶ τὸ πολὺ ἐξ ἀρχῆς πάντα φαῦλα φαίνεται. πρῶτον μὲν οὖν ἁπάντων ἐπισκέπτεσθαι χρὴ τὴν δύναμιν τοῦ νοσοῦντος. ἔπειτα δὲ τοὺς πεπασμοὺς ἐξ οὔρων τε καὶ διαχωρημάτων. καὶ πτυσμάτων. οὐδένα γὰρ πώποτε τῶν ἐπὶ προδηλωθείσῃ χρηστῇ πέψει κριθέντων, ἀπολλύμενον ἐθεασάμην. τρίτον δὲ τὸ ἐν ἀκμῇ τοῦ τε ὅλου νοσήματος καὶ τοῦ μερικοῦ παροξυσμοῦ. καὶ ἡμέραν μαρτυροῦσαν ἀπαντῆσαι τὴν κρίσιν. ἐφεξῆς δὲ τό τε εἶδος τοῦ νοσήματος. καὶ τὸ ἦθος. εἶδος μὲν λέγω, ἢ τριταῖον. ἢ τεταρταῖον. ἢ ἀμφημερινὸν. ἢ τινὰ ἕτερον. ἦθος δὲ ἢ μέτριον. καὶ ἐπιεικέστερον. ἢ πονηρὸν. καὶ κακόηθες. μάλιστα δὲ τὸ ἦθος δηλώσειεν, εἴτε σωθήσεται. εἴτε τεθνήξεται. καὶ ἐν μὲν τοῖς κατὰ θώρακα καὶ πνεύμονα πάθεσι, προσέχειν χρὴ τοῖς πτύσμασι. μὴ μέντοι. μὴ δὲ τῆς τῶν οὔρων ἐπισκέψεως ἀμελεῖν. προσεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα. ἐπὶ δὲ τῶν πυρεττόντων ἄνευ φλεγμονῆς τινὸς σπλάγχνου, τοῖς οὔροις μάλιστα προσέχειν τὸν νοῦν. ἐπὶ δὲ τῶν ὀλεθρίων νοσημάτων, πρῶτον καὶ μέγιστον ἐστὶ σημεῖον, τοῦ χωρὶς κρίσεως τεθνήξεσθαι, ἡ ἀρρωστία ἐσχάτη τῆς δυνάμεως. οὐ γὰρ ἐπεγείρεται πρὸς διαμάχησιν. δεύτερον δὲ εἰ μηδὲν ὅλως εἴη. μὴ δὲ τοὐλάχιστον σημεῖον πεπασμοῦ. ἀλλ' εἰ καὶ πρόδηλος εἶεν ἐπίδηλος ἡμέρα τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ἅμα τε προδηλοῖ, καὶ κακὴν προδηλοῖ. πρὸς τούτοις δὲ ἐπιβλέπειν, εἰ μέγα εἴη καὶ κακόηθες καὶ τὸ νόημα. μὴ μέντοι ταχέως κινοῖτο. μέγα δὲ λέγω ἡμιτριταῖον, περιπνευμονίαν· καῦσος καὶ τὰ παραπλήσια. φέρε τι ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὀφθῆναι. πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν. ἢ ἐναιώρημα. ἢ ὑπόστασις μέλαιναν. εἶναι δὲ καὶ τὰ σύμπαντα συμπτώματα ὀλέθρια. τεθνήξεται μὲν ὁ τοιοῦτος ἄρρωστος. ἀλλ' εἰ μὲν ὀξέως κινοῖτο, κατὰ τὴν ἕκτην. εἰ δὲ βραδέως κατὰ τὴν ἑβδόμην.

Ὅσαι ἀγαθαὶ κρίσιμοι ἡμέραι. καὶ ὅσαι φαῦλαι. κε.

Ἡ ἑβδόμη ἀπὸ τῆς ἀρχῆς τοῦ νοσήματος ἡμέρα πάντων μάλιστα τῶν ἡμερῶν, λύει τελέως ἀεὶ καὶ πιστῶς. καὶ ἀγαθῶς. καὶ ἀκινδύνως. καὶ σαφῶς. καὶ εὐσήμως. τῆς ἑβδόμης δὲ τὴν πίστιν ἡ τεσσαρεσκαιδεκάτη μάλιστα μιμεῖται. πλησίον δὲ αὐτῶν ἐστὶν, ἡ ἐννάτη. καὶ ἡ ἐνδεκάτη. καὶ ταύτης ἐστὶν ἐγγὺς, ἑπτακαιδεκάτη καὶ πέμπτη. μετὰ δὲ ταύτας ἡ τετάρτη. καὶ μετ' αὐτὴν τρίτη καὶ εἰκοστή. ἡ δὲ ἕκτη ἐπολλάκις μὲν κρίνει. ἀλλὰ τὰς πλείους κρίσεις, μοχθηρὰς ἢ καὶ θανατώδεις ἐπιφέρει. εἰ δὲ μή γε οὐ τελείας οὐ δὲ πιστάς. ὑποτοπάζει γὰρ τὰ ἐν τῇ ἕκτῃ ἡμέρᾳ κρινόμενα νοσήματα. καὶ λελύσθαι δοκεῖ. εἰ δὲ καὶ τελεία κρίσεις ὅπερ ἐστὶ σπάνιον ἐν τῇ ἕκτῃ γένηται μετὰ κινδυνωδῶν συμπτωμάτων καὶ χαλεπῶν γίνεται. τῆς μὲν οὖν ἕκτης τὴν φύσιν, οὐδεμία ἄλλη ἐμιμήσατο τῶν ἡμερῶν. εἰ δέ ποτε εἰς τὴν ὀγδόην ἡμέραν ἢ τὴν δεκάτην ἐκπέσοι λύσις ἀθρόα νοσήματος, ὁμοιοῦται πως τῇ κατὰ τὴν ἕκτην. σπανίως γάρ τι καὶ ἐν ταύταις λύεται. καὶ οὔτε πιστῶς, οὔτε ἀγαθῶς. οὔτε τελείως. ἀλλὰ καὶ ἀσαφῶς καὶ ἀσήμως. μεταξὺ δέ πως τῶν πρώτων εἰρημένων ἀγαθῶν. καὶ τῶν μετὰ ταῦτα κακῶν ἡ ἑξκαιδεκάτη μάλιστα κατεφάνη τετάχθαι. μήτε ὁμοίως ἀπόβλητος οὖσα ταῖς κακαῖς, μήτε ὁμοίως ταῖς ἀγαθαῖς πεφυκυῖα. δεῖ δὲ πάντα εἰ μέλλοι ἀγαθὴ γενήσεσθαι κρίσις, προδεδηλῶσθαι μάλιστα μὲν, ἐν τοῖς οὔροις ἤδη δὲ καὶ τοῖς λοιποῖς σημείοις. ἡ μὲν οὖν τρίτη καὶ τετάρτη. καὶ πέμπτη τῶν ἡμερῶν, προδηλοῦνται εὐθὺς ἐξ ἀρχῆς. ἡ δὲ τετάρτη, προδηλοῖ τὴν ἑβδόμην. ἡ δὲ ἑβδόμη, τὴν ἐνδεκάτην. ἡ δὲ ἐνδεκάτη, τὴν τεσσαρεσκαιδεκάτην ἡ δὲ τεσσαρεσκαιδεκάτη, τὴν ιζ. ἡ δὲ ιζ τὴν κ. ὅρος δὲ τῶν ὀξέων νοσημάτων, ἡ ιδ ἐστὶν. ὡς εἴ γε ταύτην ὑπερβαίνει τὸ νόσημα, ἐκπέπτωκε τῶν ὀξέων.

Ἐφ' ὧν ἀμφιβάλλεται ἡ ἡμέρα τῆς ἀρχῆς τοῦ νοσήματος. καὶ μηδεμιᾶς προδήλου προγεγενημένης, ἐξαίφνης ἐγένετο κρίσις. πῶς δεῖ ἐξευρεῖν τὰ ἀμφιβαλλόμενα. κϛ.

Ἐφ' ὧν δὲ μιᾶς προδήλου γεγενημένης, ἐξαίφνης ἐγένετο κρίσις. καὶ ἐφ' ὧν οὐ γινώσκομεν ἀκριβῶς

τὴν ἀρχὴν τοῦ νοσήματος. ἐν ταύτῃ ἄρα βλέπων τὰ γνωρίσματα, εὑρήσεις τὸ ἀμφιβαλλόμενον. τῇ τῶν παροξυσμῶν ἀναλογίᾳ προσέχειν τὸν νοῦν, καὶ τῇ τῶν ἡμερῶν φύσει. εἰ μὲν γὰρ ἐν περιτταῖς ἡμέραις γίγνοιτο ὁ παροξυσμὸς ἐπὶ τῶν διαλειπόντων, ἢ σφοδρότερος ἑαυτοῦ γίγνοιτο, ἐπὶ τῶν συνεχῶν πυρετῶν λογίζου τὴν παροῦσαν κρίσιν οἰκειοτέραν τῆς περιττῆς ἡμέρας ἔσεσθαι. εἰ δὲ ἐν ταῖς ἀρτίαις ἀεὶ παροξύνοιτο, ἐκείνων ἡ κρίσις ἰδίως ἔσται. τοῖς γὰρ σφοδροτέροις παροξυσμοῖς αἱ κρίσεις ἕπονται τοὐπίπαν. εἰς δὲ αὐτὴν τῶν ἡμερῶν τὴν φύσιν ὧδέ πως προσέχειν δεῖ τὸν νοῦν ἐπὶ ἀμφισβητοῖτο πρότερον ἐννάτης ἢ δεκάτης ἡμέρας ἡ κρίσις ἐστίν. εἰ μὲν γὰρ τὰ συμπτώματα πάντα ἠπιώτερα γίγνοιτο. καὶ ἀκινδύνως καὶ ἀγαθὴ γένοιτο ἡ κρίσις. καὶ παρέποιτο τῇ κρίσει εὐφορία, ἐννάτην μᾶλλον εἶναι χρὴ λέγειν τὴν κριτικὴν ἡμέραν. εἰ δὲ κινδυνώδης καὶ φαύλη γένοιτο ἡ κρίσις. καὶ μετὰ χαλεπῶν συμπτωμάτων. καὶ δυσφορία μετὰ τὴν κρίσιν παρακολουθεῖ, δεκάτην εἶναι χρὴ μᾶλλον λέγειν τὴν ἡμέραν.

Περὶ τῆς ἐκ τῶν σφυγμῶν σημειώσεως. κζ.

Προσδοκωμένης ἤδη τῆς κρίσεως, πρὸ πάντων ἅπτεσθαι δεῖ τῶν σφυγμῶν. ὁ μὲν γὰρ ὑψηλὸς σφυγμὸς ὥσπερ καὶ ὁ σφοδρὸς, κρίσεως ἁπάσης ἐστὶ γνώρισμα καὶ βέβαιον σημεῖον τοῦ παρεῖναι ἤδη τὴν κρίσιν τοῦ νοσήματος. εἰ δὲ σφοδρῶς καὶ εὐρώστως πλήττει τοὺς δακτύλους. (ἢν τοσοῦτο δὲ καὶ μέγας εἴη. καὶ πρὸς διαστολὴν μᾶλλον ἐπείγοιτο, ἤπερ πρὸς συστολὴν, τῆς ἔξω κινήσεως μᾶλλον σημεῖον ἐστί. ἔξω δὲ λέγω, αἱμορραγίας καὶ ἱδρῶτας. εἴσω δὲ, γαστρὸς ἐκτάραξιν καὶ τοὺς ἐμέτους. εἰ μὲν οὖν μέγας εἴη ὁ σφυγμὸς καὶ κυματώδης. καὶ δὴ μαλθακίζοιτο (ἢν τῷ εἶναι καὶ αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας νοτιῶδες. καὶ πρὸς διαστολὴν μᾶλλον ἐπείγοιτο. δι' ἱδρώτων προσδοκητέον τὴν κρίσιν ἔσεσθαι. μέγας δὲ ἁπλῶς εἴη καὶ σφοδρὸς. καὶ εἰς διαστολὴν μᾶλλον ἤπερ εἰς συστολὴν ἐπείγοιτο, αἱμορραγίας διὰ ῥινῶν, ἔσεσθαι δηλοῖ. συνεπιμαρτυρούντων δηλονότι τῶν ἐπὶ ταῖς αἱμορραγίαις ἠριθμημένων σημείων. εἰ δὲ σφοδρὸς μὲν εἴη, οὐ μέγας δὲ καὶ σκληρότερος ἑαυτοῦ γένοιτο, καὶ ἀνώμαλος. καὶ εἰς συστολὴν μᾶλλον ἐπείγοιτο. τῆς ῥοπῆς ἤδη ἐπὶ τὰ ἐντὸς λαβούσης, διὰ τῆς γαστρὸς τὴν κρίσιν δεῖ προσδοκᾶν ἔσεσθαι.

Περὶ τῆς τῶν οὔρων σημειώσεως πρότερον δὴ, ποῖον τὸ κατὰ φύσιν, διδάσκει. κη.

Ἐπὶ τῶν πυρεκτικῶν μάλιστα νοσημάτων, ἡ ἐκ τῶν οὔρων σημείωσις, χρησιμωτάτη καθέστηκεν. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν, ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται, ἀπὸ τοῦ κατὰ φύσιν ἀρξώμεθα. οὖρον μὲν οὖν ἄριστον ἐστὶν ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ διακειμένων ἀνθρώπων, τὸ ὑπόπυρον τε ἢ ὑπόξανθον. καὶ τὸ πάχει σύμμετρον. καὶ μόνον τοιοῦτον τῇ χροιᾷ, ὁποῖον ἀπουρηθῇ. λείαν δὲ καὶ λευκὴν καὶ ὁμαλὴν ἴσχον ὑπόστασιν. παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ λευκότερον τοῦ ἀνδρείου εἶναι χρή. καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας, ἱκανῶς παχεῖαν ἔχει αὐτὸ ὑπόστασιν χρή. διὰ τὰς τῶν παίδων ἀδηφαγίας καὶ ἀτάκτους καὶ ἀκαίρους κινήσεις. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ, τὸ συνεχὲς καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος. ὁμαλὸν δέ φησιν, ἵνα διόλου ἀεὶ ὅμοιον ὁρᾶται. καὶ μὴ σήμερον μὲν πεπεμμένον, τῇ δὲ ἑξῆς ἄπεπτον, μήτε μὴν τὴν ὑπόστασιν ἢ τὸ χύμα ὅλον ἔχειν ἀνώμαλον. ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν, οὔρου χρῶμα. καὶ σύστασιν τοῦ χύματος. καὶ τὰ παρεκφερόμενα ἐν τῷ χύματι. ἤτοι νεφέλην ἐναιώρημα. καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων λειπόμενον τὸ οὖρον, ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται.

Ὁποῖον οὖρον ἄριστον ἐστὶν ἐπὶ τῶν νοσούντων. κθ.

Ἄριστον μὲν οὖν ἐστὶν οὖρον ἐπὶ τῶν νοσούντων, τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον, ὕπωχρον ἢ ὑπόξανθον. λευκὴν καὶ λείαν, καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ὑποδεέστερον δὲ, τὸ ἔχον ἐναιώρημα λευκὸν. καὶ λεῖον. καὶ ὁμαλόν. ἔτι δὲ τούτου ἀπεπτότερον, τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ' ᾧ γὰρ πνεῦμα ἐστὶν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον. εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι. διαμερίζον δὲ αὐτὴν, οὐ συγχωρεῖ ἐνοῦσαν. εἰ δέ τι πλεονάσει τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα, μετεωρίζει τὴν ὑπόστασιν κατὰ τὸ μέσον τοῦ χύματος καὶ ποιεῖ τὸ καλούμενον ἐναιώρημα. εἰ δὲ ἔτι καὶ μᾶλλον πλεῖον εἴη τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα, μετεωρίζει τὴν ὑπόστασιν. καὶ πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος, αἴρει. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα μερίζειν καὶ μετεωρίζειν τὴν ὑπόστασιν, ἐπὶ τοσούτων ἀπεπτότερον νόμιζε τὸ οὖρον. εἰ δὲ μήτε ὑπόστασιν. μήτε ἐναιώρημα. μήτε νεφέλην ἴσχει τὸ οὖρον, εἰδέναι χρή. ὅτι καὶ χυμὸν ἔπεψεν ἡ φύσις. εἰ δὲ ποτὲ μὲν ἔχει ὑπόστασιν. ἢ ἐναιώρημα. ἢ νεφέλην. ποτὲ δὲ οὔ, μάχην δηλοῖ τῆς φύσεως πρὸς τὸ νόσημα. κἀκεῖθεν ποτὲ μὲν, ἄπεπτον. ποτὲ δὲ οὔ. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων. καὶ τῶν ἐφημέρων, νεφέλη μόνη. ἢ ἐναιώρημα πολλάκις, ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος. ἐνίοτε δὲ καὶ τὸ εὔχρουν γενέσθαι μόνον τὸ οὖρον.

Ὅτι οὐ πᾶσα λευκὴ, ὑπόστασις, ἀγαθόν τι σημαίνει. λ.

Πολλάκις δὲ τὸ λευκὸν χρῶμα τοῦ παρεμφερομένου ἐν τῷ χύματι, ἀπατᾷ τοὺς ἰδιώτας. ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι οὐκ οὖσαν χρηστήν. συμβαίνει γὰρ ὠμὸν χυμὸν καὶ λευκὸν συνεκκρινόμενον τῷ οὔρῳ ὑφί-

σαθαι. καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν. ἐνίοτε δὲ ἢ ἥπατος, ἢ νεφρῶν πεπονθότων, πῦον ἐκκρίνεται σὺν τῷ οὔρῳ. καὶ ὑφιστάμενον, ἀπατᾷ τὸν τεχνίτην. ἀλλὰ πρῶτον διελέγχεται τὸ προπεπονηκέναι τὸν ἄνθρωπον τὸ νεφρὸν ἢ τὸ ἧπαρ. ἢ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διελέγχεται τι τῆς τῶν χρηστῶν ὑποστάσεως τῇ ἀνωμάλῳ συστάσει τοῦ παρυφισταμένου. οὐ γὰρ συνεχὴς ἑαυτῷ μένει. ἀλλὰ μερίζεται εἰς μικρά. διὸ ψαμμία. καὶ οὐδ᾽ ὅλως λεῖον ἐστὶ καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν οὖν τῶν χρηστῶν οὔρων, πρῶτον μὲν ἐπιφαίνεται νεφέλη. ἔπειτα ἀποκαταλαμβάνουσα, ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλει ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου, ποιεῖ τὴν ὑπόστασιν δῆλον. ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν, εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ἀποχωρεῖ πλῆθος πολὺ, μετὰ τὸ εἶναι κακόχροον καὶ τὸ χύμα ὅλον. ἔπειτα δὲ καὶ κατὰ βραχὺ πεπτόμενος καὶ λεπτυνόμενος θεωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος. καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δὲ ἐπιπλέον λεπτυνθῇ, καὶ πεφθῇ, ἐφίσταται ἐπιπολὺ τοῦ σχήματος. καὶ ποιεῖ τὴν νεφέλην καὶ πλανᾷ τοὺς ἰδιώτας ὡς ἀπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν νόσον.

Τί δηλοῖ τὸ λεπτὸν καὶ ὠχρόν. λα.

Τὸ λεπτὸν καὶ ὠχρὸν οὖρον, ἄπεπτον μὲν ἐστὶ τῇ συστάσει. πεπεμμένον δὲ μετρίως τῇ χροιᾷ. ἀσθένειαν δὲ δηλοῖ καὶ ἔνδειαν τῆς φύσεως, τῷ μὲν χρώματι ἐπέπεψεν. ὡς ἂν ῥαδίως ὑπάρχον. οὐκέτι δὲ καὶ τῇ συστάσει, διὰ τὸ δυσκολώτερον. εἰ δὲ καὶ πολλὴν χρόνον φέρεται ἔνδειαν, κίνδυνος μὴ οὐ δυνήσεται διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεφθῇ ἡ νόσος. τὸ γὰρ πάνυ λεπτὸν, φαῦλον. δηλοῖ γὰρ ἀπεψίαν. παρέσσον χρὴ θᾶττον ἐκβόσκεσθαι τὸ λεπτομερέστερον.

Τί δηλοῖ τὸ λεπτὸν καὶ πυῤῥόν. λβ.

Τὸ δὲ λεπτὸν τῇ συστάσει καὶ πυῤῥὸν τῷ χρώματι, βέλτιον τοῦ ὠχροῦ. ὅμως ἄμεμπτον διὰ τὴν σύστασιν.

Τί δηλοῖ τὸ ἐρυθρὸν οὖρον. λγ.

Τὸ ἐρυθρὸν οὖρον, ἀπεψίαν δηλοῖ. οὐ θάνατον. ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι γὰρ ἐξ αἵματος ἰχωροειδοῦς. μήπω τελείαν πέψιν λαβόντος. μὴ δὲ τὴν ἰδίαν χροιάν. καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνόχων πυρετῶν, ἐπὶ πλήθει αἵματος συνισταμένων, ἐκκρίνεται οὖρον ἐρυθρὸν καὶ παχύ. καὶ ὑπόστασις ἐρυθρά. καὶ τῷ χρώματι. καὶ τῇ συστάσει τοῦ χύματος. καὶ τῷ παρισταμένῳ ἄπεπτον.

λδ.

Τὸ λεπτὸν οὐρούμενον, καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον ἄπεπτόν ἐστι, διὰ τὴν ἀπουσίαν πνεύματος παχέος. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέττειν.

Τί δηλοῖ τὸ παχὺ οὐρούμενον καὶ μένον παχύ. λε.

Τὸ δὲ παχὺ οὐρούμενον. καὶ μένον παχύ. καὶ μὴ καθιστάμενον, διὸ ἐστὶ τὸ τῶν ἀποζυγίων, ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων πνευμάτων μὲν καὶ χυμῶν, διὸ ζύμωσιν. ἐπὶ τούτων, κεφαλαλγίαι. ἢ πάρεισιν, ἢ παρέσονται. διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχήν. καὶ τὰς ἀναθυμιάσεις.

Τί δηλοῖ τὸ οὐρούμενον παχύ. καὶ μετὰ ταῦτα καθιστάμενον. λς.

Τὸ δὲ οὐρούμενον παχύ. καὶ μετὰ ταῦτα καθιστάμενον, παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν. καὶ λεπτύνεσθαι πως δηλοῖ. ἄρχεσθαι δὲ τὴν ἀπόκρισιν.

Λεπτὸν οὐρούμενον. καὶ μένον τοιοῦτον. λζ.

Ἐσχάτην ἀπεψίαν τὸ λεπτὸν, καὶ λευκὸν οὖρον σημαίνει. οὐ γὰρ ἐνεχείρησεν ἡ φύσις ἐπὶ τούτοις, ὅλως πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο, ἢ δι᾽ ἀσθένειαν τῆς δυνάμεως, ἢ δι᾽ ἔμφραξιν. ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γὰρ τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πάχος, καὶ τὸ δυσπειθὲς τῆς ὕλης διηθούμενον τὸ οὖρον λεπτὸν καλεῖται. οὐρεῖται δὲ λεπτόν. καὶ δι᾽ ἔμφραξιν ἥπατος. ἢ νεφρῶν. ἀλλὰ διαγινώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δὲ ἐνίοτε. λεπτὸν καὶ λευκόν. καὶ ἐπὶ τῶν διακαῶν. καὶ σημαίνει φρενῖτιν ἀπειλουμένην. καὶ γὰρ ὁ καῦσος πυρετὸς, πλῆθος δηλοῖ χολῆς. οὐ χρώννυται δὲ τὸ οὖρον. εὔδηλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολή. ἀλλὰ τῇ κουφότητι, εἰς ἐγκέφαλον ἀνέδραμεν. εἰ μὲν οὖν μὴ πάρεστι φρενῖτις ἐπὶ τούτων, γίνωσκε ὅτι αὐτὴν μέλλουσαν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ παρούσης φρενίτιδος, οὐρεῖται λευκὸν καὶ λεπτὸν οὖρον. ἐπὶ διακαεστάτου τοῦ πυρετοῦ, προαγγέλλει θάνατον ὡς ἐπιτοπολύ. οὐ γὰρ ἀποσημαίνει ἡ ἐν ἐγκεφάλῳ δύναμις ἤδη προκαταβεβλημένη τῷ διακαεῖ πυρετῷ, ἐνέγκαι δριμύτητα. καὶ δέξιν χολῆς ἤδη πεπηκυίας.

Πόσαι διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων. καὶ τί σημαίνουσι. λη.

Εἴωθεν ὁ πυρετὸς, πρότερον τὴν πιμελὴν ἐκτήκειν. ἔπειτα, τὴν σάρκα. ἔσχατον δὲ καὶ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται. τῆς μὲν οὖν πιμελῆς τηκομένης, τὰ ἐλαιώδη οὖρα ἐκκρίνεται. κατὰ βραχὺ δὲ, ἡ πιμελὴ τήκεται. ὅθεν καὶ ἀρχὴν ἔχειν. καὶ ἀνάβασιν. καὶ ἀκμήν. ἐν ἀρχῇ μὲν οὖν τῆς συντάξεως, ἐλαιόχροα ποιεῖ τὰ οὖρα. ὡς εἶναι αὐτὰ ἀμφίβολα. εἴθ᾽ ὑδατώδη. εἴτ᾽ ἐλαιώδη ἔσται. ἐν δὲ τῇ ἀναβάσει, ἐλαιοφανῆ γίγνεται. ἐπισημοτέραν τὴν μίξιν τοῦ ἐλαιώδους ἔχοντος. ἐν δὲ τῇ ἀκμῇ τῆς συντάξεως, ὅλα δι᾽ ὅλων τὰ οὖρα. καὶ ἐν χρώματι καὶ ἐν συστάσει, διὸ ἔλαιον ἐστίν. ἀλλ᾽ αὕτη ἡ πιμελὴ ἡ τηκομένη ἢ τῶν νεφρῶν μόνων ἐστὶν, ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν τῶν νεφρῶν

μόνων

μόνον εἴη, ἀθρόως ἐκκόπτεται πλῆθος τοιοῦτον. ἀλλὰ καὶ θερμασίας πλείονος αἴσθησις περὶ τοὺς νεφροὺς γίγνεται. εἰ δὲ ἐκ τοῦ παντὸς σώματος εἴη, κατὰ βραχὺ τὴν προσθήκην ποιεῖται.

Τί σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις. λθʹ.

Ὅταν δαπανηθείσης ἡ πιμελή, λοιπὸν ἡ σὰρξ τήκεται, ὀροβοειδεῖς ὑποστάσεις γίγνονται ἐν τοῖς οὔροις. ἀλλὰ καὶ αὗται, ἢ τῶν νεφρῶν μόνως εἰσίν. ἢ τοῦ παντὸς σώματος. εἰ μὲν οὖν ἐν πυρετοῖς φανείη τοιοῦτον οὖρον, τοῦ παντὸς σώματος δηλοῖ τὸ πάθος εἶναι. εἰ δὲ ἐπὶ τῶν νεφρῶν μόνων, καὶ πάλιν. εἰ μὲν ἔστιν ἀπεψία τῶν οὔρων, ὅλου τοῦ σώματος ἐστὶ τὸ κακόν. εἰ δὲ πεπεμμένον μὲν εἴη τὸ οὖρον. ὀροβοειδεῖς δὲ εἶναι ὑποστάσεις τῶν νεφρῶν δηλοῖ τὸ πάθος.

Τί δηλοῦσιν αἱ πιτυρώδεις ὑποστάσεις. μʹ.

Ὅτε δὲ ὁ πυρετὸς δαπανήσει τὴν πιμελὴν καὶ τὸ πλέον τῆς σαρκὸς καὶ ἐν τῷ βάθει τῶν ἀγγείων ἐν κατασκήψει, γίγνονται πιτυρώδεις αἱ ὑποστάσεις. στενώτεραι μὲν τῶν πεταλωδῶν. παχύτεραι δὲ αὐτῶν. ὁμοίως δὲ ἐκ τῆς κύστεως ἐκκρίνεται. ἀλλ᾽ εἰ μὲν πυρετὸς παρείη, ὅλου τοῦ σώματος. εἰ δὲ μή, τῆς κύστεως. καὶ εἰ μὲν ἄπεπτον εἴη τὸ οὖρον τοῦ σώματος τὸ πάθος. εἰ δὲ πεπεμμένον, τῆς κύστεως μόνης. ἀλλὰ καὶ τοπικὴ ὀδύνη ἐστί.

Τί δηλοῦσιν αἱ πεταλώδεις ὑποστάσεις. μαʹ.

Ὅταν αὐτὰ πάθωσι τὰ στερεά, πρῶτα μὲν, ἐπὶ πολὺ διαξέονται. καὶ γίγνονται πεταλώδη τὰ ἐν τοῖς οὔροις. ἀλλὰ καὶ ἐκ τῆς κύστεως μόνης τοιαῦτα ἐκκρίνεται. εἰ μὲν οὖν εἴη πυρετὸς, τὸ ὅλον σῶμα κεκάκωται. εἰ δὲ μή, τῆς κύστεως τὸ πάθος.

Τί δηλεῖ τὸ κειμνῶδες ἐν τοῖς οὔροις. μβʹ.

Ἐπειδὰν ὁ πυρετὸς μετὰ τὸ καταληφθῆναι τὸ πάθος καὶ μεῖζον πάθος ἐπιλάβῃ, καὶ μῆκος ἀδρότερον, γίγνεται τὰ τοιαῦτα τῶν πιτύρων. καὶ καλεῖται κειμνώδη. ἀλλὰ τὰ κειμνώδη, δύο σημαίνει. ἢ γὰρ ὄπτησιν τοῦ αἵματος δηλοῖ, ἢ σύνταξιν ἰσχυρὰν τῶν στερεῶν. εἰ μὲν οὖν λευκὰ εἴη αὐτὰ τὰ κειμνώδη, τῶν στερεῶν σωμάτων ἐστὶ τὸ πάθος. εἰ δὲ ἐρυθρά, τοῦ αἵματος.

Τί δηλοῖ τὸ δισῶδες οὖρον. μγʹ.

Τὸ δὲ δισῶδες οὖρον, σῆψιν δηλοῖ. καὶ τῆς φύσεως νέκρωσιν μέλλουσαν.

Τί δηλοῖ τὸ μέλαν οὖρον. μδʹ.

Πάντα τὰ μέλανα τῶν οὔρων, εὐθὺς καὶ παχέα πάντων εἰσὶν ὀλέθρια. σπάνιον γάρ, ἢ οὐδόλως εὑρεθῆναι λεπτὸν καὶ μέλαν. τὸ δὲ μέλαν χρῶμα προσγίνεται τοῖς οὔροις, ἐκκαθαιρομένου τοῦ μελαγχολικοῦ χυμοῦ. ἢ αὐτῆς τῆς μελαίνης χολῆς. τῆς τε διὰ ψύξιν γινομένης καὶ τῆς δι᾽ ὑπερόπτησιν. τοῖς μὲν ἀνδράσι καὶ ταῖς γυναιξὶ τὰ μέλανα τῶν οὔρων, ἥκιστα. τοῖς δ᾽ αὖ παιδίοις, τὰ ὑδατώδη. ἧττον δ᾽ ὀλέθρια γίγνονται τὰ μέλανα, τοῖς ἄρρωστον ἔχουσι τὸν σπλῆνα, καὶ οὐκ ἐν διακαύσεως. οὔτ᾽ ἐκ διὰ ψύξεως μελαίνεταί τε. καὶ πελιοῦται τὸ αἷμα. καθάπερ ἐπ᾽ ἄλλων τινῶν. ἀλλ᾽ ἐξ ἀναχύσεως τοῦ μελαγχολικοῦ. αἱ δὲ τρεῖς αὗται διαφοραί, παχύτητα κέκτηνται συστάσεως. ἐξ ἀνάγκης οὖν καὶ παχέα εὑρεθήσεται τὰ μέλανα τῶν οὔρων. ἐπὶ μὲν οὖν τῶν ὀξέων νοσημάτων ὀλεθριώτατον ἐστὶ σύμπαν τὸ οὖρον μελανθέν. καὶ μάλιστα ὅταν καὶ δισῶδες ὑπάρχῃ καὶ παχύ. καὶ ὑπόστασιν ἔχον μέλαιναν. ἀδύνατον γὰρ ὀξέως νοσοῦντα τοιοῦτον οὐρήσαντα σωθῆναι. καὶ εἰ μὲν ὑπόστασις εἴη μέλαινα, ὀλεθριώτατον. εἰ δὲ ἐναιώρημα μέλαν. ἧττον κακόν. ἢ ὁμοίως κακόν. εἰ δὲ νεφέλη εἴη μέλαινα, ἔτι ἠπιώτερον ὁμοίως κακόν. τὸ δὲ μέλαν, ποτὲ μὲν ἐνδείκνυται ψύξιν. ποτὲ δὲ θερμότητα. ἤγουν ὑπερόπτησιν. εἰ μὲν οὖν πρότερον ὀφθείη πελιδνὸν οὖρον, εἶθ᾽ οὕτως γένηται μέλαν, ψύξιν ἔχει τὴν αἰτίαν. εἰ δὲ τὸ ξανθὸν προηγήσοιτο. ἔπειτα δὲ μέλαν εὑρεθείη, δῆλον ὅτι ἀπὸ πλείονος θερμότητος, μέλαν γέγονεν ἐξ ὑπεροπτηθέν. γνωστέον μὲν ὅτι καὶ ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου πυρετοῦ. καὶ ἐπὶ τῆς μελαγχολικῆς παρανοίας λυομένης, οὖρα φαίνεται μέλανα καὶ παχέα. τοῖς δὲ σπληνώδεσι τὰ πολλά, τοιοῦτον οὐρεῖται. ἡνίκα ἀρρώστοις ὁ σπλὴν, διακείμενος φανῇ. οὐ δὲ μίαν γὰρ διοίκησιν. καὶ κατεργασίαν ποιεῖται τοῦ μελαγχολικοῦ περιττώματος.

Περὶ τῆς ἐκ τῶν διαχωρημάτων σημειώσεως. μεʹ.

Ὅπερ ἐπὶ τῶν οὔρων προείρηται, τοῦτο καὶ ἀπὸ τῶν διαχωρημάτων χρὴ γινώσκειν. λέγω δὴ ὁποῖον τὸ κατὰ φύσιν διαχώρημα. ἡ γὰρ τούτου κατά τι ἐκτροπή, ἀπεψίαν ἐνδείκνυται. ἄριστον μὲν οὖν ἐστὶ διαχώρημα, τὸ μαλακὸν μὲν καὶ συνεστηκός. καὶ λεῖον καὶ κατὰ τὴν εἰθισμένην ὥραν ὡς μάλιστα ὑπεξιόν. καὶ ἀναλόγως τῶν ἐδηδεσμένων. κεχρωσμένον μὲν συμμέτρως τῷ χολώδει χυμῷ. τουτέστιν ὑπόπυρρον. καὶ μὴ λίαν δυσῶδες. τὸ γὰρ τοιοῦτον κατὰ φύσιν ἐστί. καὶ δῆλον ἐστὶν ἐρρῶσθαι σημαίνειν τὰ κατὰ τὴν γαστέρα καὶ ἔντερα πάντα. εἰ δὲ κατά τι ἐκτραπείη τῶν εἰρημένων, παρὰ φύσιν ἤδη λέγεται. οἷον ἐστὶ, τὸ λίαν δισῶδες. ἢ παχύ. ἢ ξηρόν. ἢ σκληρόν. ἢ διεσπαρμένον. καὶ μὴ τῷ ὑγρῷ συμμεμιγμένον. καὶ μετὰ φυσμοῦ. καὶ οἷον ψόφου τινὸς, παρὰ λόγον ἐκκρινόμενον. τὰ γὰρ τοιαῦτα πάντα, ἀσθένειαν δηλοῖ τῆς πεπτικῆς ἐνεργείας. τούτων δὲ πονηρότερον, τὸ ἀκριβῶς πυρρόν. χολῆς γὰρ ξανθῆς ἀκράτου σημεῖον. τὸ δὲ μέλαν, τῆς μελαίνης. ἢ αἵματος αὐτόθι κατοπτηθέντος. καὶ ἐλαιῶδες σύντηξιν τῆς πιμελῆς σημαίνει. καὶ τὸ γλίσχρον αὐτῶν τῶν στερεῶν σωμάτων σύντηξιν ἐνδεικνύμενον. καὶ τὸ ποικίλον τῷ χρώματι. καὶ σφόδρα δυσῶδες, σῆψιν ὑπερβάλλουσαν ποικίλων χυμῶν ἐνδεικνύμενον. ἀλλ᾽ ἐπὶ πάντων τούτων σκοπεῖν προσήκει τὰ ἐδηδεσμένα τοιαῦτα εἴη. ἢ τὸ ἔργον ἐξ ἔθους ἐδυνα-

πίζοιτο ἀσθενὲς ὑπάρχον.

Περὶ τῶν λόγῳ κρίσεως φερομένων ὑποχωρημάτων. μς.

Εἰ δὲ κρίσις τινὸς τῶν νοσημάτων διὰ γαστρὸς ἔσεσθαι μέλλοι, πρόδηλον μὲν οὐδὲν ὥσπερ ἐπὶ τῶν ἄλλων· οὐδ᾽ ἴδιον ἔχει βέβαιόν τι προσημαῖνον. ἀλλ᾽ ἐκ τοῦ παρεῖναι μὲν τὰ τῆς κρίσεως σημεῖα· μὴ παρεῖναι δὲ τῶν ἐμέτων· ἢ αἱμορραγίας ῥινῶν· ἢ ἱδρώτων ἔνεστι συλλογίσασθαι. ἐπισκέπτεσθαι μέντοι τὰ κατὰ γαστέρα, εἰ πλείω τῶν πρόσθεν πρὸ τῆς κρίσεως ὑπῆλθε· δηλοῖ γὰρ τὴν ῥοπὴν ἐν ταύτῃ μᾶλλον ἔσεσθαι· καὶ μάλιστα τῶν οὔρων ἐλαττωθέντων· πρὸς τούτοις δὲ βάρος ἐπίσημον· καὶ ἄλγημα· καὶ τάσις ἐν τοῖς καθ᾽ ὑποχόνδριον· καὶ ἰσχίῳ προηγεῖται τῶν διὰ γαστρὸς ἐκκρίσεων, ἐπειδὴ καὶ δι᾽ αἱμορροΐδων· καὶ διὰ τῶν γυναικείων τόπων ἐγχωρεῖ γενέσθαι κρίσιν· καὶ κοινὰ ἀμφοτέρων ἐστὶ, τὰ νῦν εἰρημένα σημεῖα· προσεπισκέπτεσθαι χρὴ· ἔτι καὶ τούτων διὰ ἔθους προσδοκᾶσθαι. εἰ μὲν οὖν κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος· ἢ τὴν ἀνάβασιν ἡ γαστὴρ ἐπιμόνως διαχωρεῖ ὑγρότερα· ἢ οἷον χολώδη τινὰ ἄκρατα. ὅτε πυρετὸς παραμένει, αὔξει μᾶλλον τὸ χολῶδες· καὶ καυσωδέστερον· καὶ ἐπικίνδυνον ὡς τὰ πολλὰ τυγχάνειν τὸ νόσημα. εἰ δὲ κατὰ τὴν ἀκμὴν ἐκταραχθεῖσα ἡ γαστὴρ ἱκανῶς. ἐκ ταυτομάτου λύσιν ἐργάζεται τοῦ νοσήματος ὡς ἐπὶ τὸ πολύ· κατὰ δὲ τὴν ἀκμὴν ἐνίοτε ἐπὶ τῶν χρονιωτέρων ἡ γαστὴρ ἐκταραχθεῖσα. πᾶσαν τὴν νοσοποιὸν ὕλην ἀποτίθεται. ἐπὶ δὲ τῶν ὀξέων νοσημάτων· καὶ μέλανα ἄκρατα· καὶ δυσωδίαν ἐπιφερόμενα· καὶ μάλιστα κατὰ τὰς ἀρχὰς ἥκιστα. νοσημάτων γὰρ ὁκόσων ἀρχομένων χολὴ μέλαινα· ἢ ἄνω ἢ κάτω ὑπέλθη, θανάσιμον. καὶ πάλιν. ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων· ἢ πολυχρονίων· ἢ ἐκ τρωμάτων λελεπτυσμένων, χολὴ μέλαινα ὑπέλθη, τῇ ὑστεραίῃ ἀποθνήσκουσιν. οὐχ ἁπλῶς δὲ ἔτι μέλαν ἐκκρίνεται, ἤδη καὶ τοῦτο μέλαινα ἐστὶ χολή. ἐνδέχεται γὰρ καὶ αἷμα ἐκπίπτον τῶν ἰδίων· καὶ μεῖναν χρόνον τινὰ θρομβοῦσθαι ψυχόμενον. γνωρίσομεν γοῦν τὴν μέλαιναν· ἐκ τοῦ ἐπιχεομένην ἐπὶ τὴν γῆν, ζέειν καὶ ζυμοῦν αὐτὴν, ὥσπερ τὸ δριμύτατον ὄξος.

Περὶ τῆς τῶν ἐμέτων προγνώσεως καὶ τῆς διὰ αὐτῶν σημειώσεως. μζ.

Ἀνεστηκυίας ἤδη τῆς κρίσεως, ἔμετον δεῖ προσδοκᾶν ἔσεσθαι. εἰ ὁ σφυγμὸς σφοδρὸς εἴη· καὶ πρὸς συστολὴν μᾶλλον ἐπείγοιτο, καὶ σκληρότατος ὑπάρχων καὶ ἀνώμαλος· καρδιωγμός τε καὶ δῆξις σφοδρὰ τοῦ στόματος τῆς γαστρός. ἅμα πάρεστι πόνῳ κεφαλῆς· καὶ σκοτώδινοι τῶν ὄψεων. σὺν τοῖς προφαινομένοις ὀρφνώδεσι· καὶ τὸ χεῖλος σείοιτο· καὶ πολὺ καὶ λεπτὸν παραρρέοι σίελον· καὶ ναυτίαι ἐνοχλοῦσι. τά τε κάτω μέρη τῶν ὑποχονδρίων ψυχρὰ ἁπτομένοις φαίνονται. ἅπαντα γὰρ ταῦτα συμπίπτει, χολώδους τε καὶ δακνώδους χυμοῦ κατά τε τὴν γαστέρα· καὶ τὸν στόμαχον ἠθροισμένου. δάκνοντός τε ἅμα καὶ κατασπῶντος ὅλος κάτω τὸν στόμαχον· ὅθεν πρὸς καὶ τὸ χεῖλος σείεται· καὶ τὸ σίελον παραρρεῖ. εἰ δὲ σὺν τούτοις καὶ ῥῖγος προσγένοιτο, τάχιστα ἐμεῖται. εἰ δὲ καὶ σιτία νεωστὶ προσενηνεγμένοι τύχοιεν, καὶ μάλιστα ποτόν, ταχέως ἐμεῖται. ὠφελιμώτατος δὲ ἐστὶν ἔμετος, φλέγματος καὶ χολῆς μεμιγμένων ὡς μάλιστα· καὶ μὴ παχὺς ἐμείσθω· οἱ γὰρ ἀκριβέστεροι τουτέστιν, οἱ μὴ συμμεμιγμένοι· καὶ γὰρ, μετὰ βίας οἱ τοιοῦτοι, καὶ ταραχμῶν καὶ δυσφορίας ἐμοῦνται μετὰ καὶ τοῦ σημεῖον εἶναι ἐπικρατεῖν μόνην τὴν χολήν· καὶ μὴν δὴ, καὶ τοὺς ποικίλους μεμπτέον. οἷον, τούς τε πελίους, καὶ μέλανας· καὶ πρασοειδεῖς· πονηροὶ γὰρ οὗτοι ὡς Ἱπποκράτης φησίν. εἰ δὲ καὶ πάντα ταῦτα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμοίη, ὀλέθριον. μᾶλλον δὲ χείρους εἰσὶν οἱ πελιοὶ καὶ μέλανες· ἐν ὀξέσι καὶ καυσώδεσι νοσήμασι γιγνόμενοι. ὅταν καὶ μάλιστα νοσώδεις τυγχάνοιεν. προβλέπειν δὲ κἀπὶ τούτων, μὴ αἷμα συρρυὲν εἰς τὴν γαστέρα καὶ μεῖναν χρόνον τινὰ ἐν αὐτῇ, καὶ θρομβωθὲν ἐκκρίνεται. ἐπὶ πλείστων γὰρ τὸ τοιοῦτόν τι συμβαίνει ἐκ πολλῶν τινῶν. καὶ οὐ μόνον οὐδὲν λυπηρὸν ἐπιφέρει. ἀλλὰ καὶ εὐφορώτεροι ἑαυτῶν γίγνονται τούτου ἐμεθέντος.

Περὶ γνώσεως τῆς ἐκ ῥινῶν αἱμορραγίας· καὶ τῆς διὰ αὐτῶν σημειώσεως. μη.

Αἱμορραγίας δὲ τῆς ἐκ ῥινῶν μελλούσης ἔσεσθαι, ἴδια σημαίνει προηγεῖται ταῦτα. μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνονται· διότι ξανθὸς ὁ χυμός· ἀμβλυωγμὸς διὰ τὴν τοῦ πλήθους ἀναφοράν. διὸ καὶ δακρύουσιν οἱ ὀφθαλμοί. ἐρυθρὸν τὸ πρόσωπον· καὶ μάλιστα τὰ μῆλα· ὑποχονδρίων σύντασις ἐκ τῆς ὀδύνης. δύσπνοιαι κατὰ τὸν θώρακα· δίοδον τοῦ αἵματος· κεφαλῆς πόνος· καὶ κροτάφων σφυγμὸς νῦν εἰσβάλλων ἅμα τῷ κριτικῷ παροξυσμῷ· καὶ μὴ κατὰ ταρχὰς τοῦ νοσήματος καταρδόντων τράχηλος συναλγῶν. παραφροσύναι πολλάκις καὶ ἀγρυπνήσεις ἐν τῷδε γιγνόμεναι. οἱ σφυγμοὶ δὲ, ὑψηλοί· καὶ μεγάλοι· καὶ εἰς δικρότην μᾶλλον ἐπειγόμενοι. εἰ δὲ σὺν τούτοις πᾶσι· καὶ τὰς ῥῖνας κνῶντο, ἤδη καιρὸς τοῦ ῥαγῆναι τὸ αἷμα. καὶ μάλιστα ὅταν ἰσχυρῶς πάνυ πρὸς τὸ μέτωπον καὶ τοὺς κροτάφους ὁ πόνος ἐνερείδῃ. εἰ δὲ καὶ διὰ ἔθους ὑγιαίνουσαι αἱμορραγίαι, αὐξήσειεν καὶ τόδε πάνυ τὴν ἐλπίδα. ταῦτα μὲν τὰ σημεῖα μελλούσης ἤδη γίγνεσθαι αἱμορραγίας· ἐν ἀρχῇ μέντοι φαινόμενα ἀμέμπτου ὄντος τοῦ νοσήματος. κινδύνου εἰσὶ δηλωτικά· καὶ ὡς ἐπὶ πολὺ θνήσκουσιν. ἐπὶ πέψεσί τε ἤδη, μάλιστά τε ἐν τοῖς οὔροις ἐπιφαινόμενα, κατὰ τὰς ἀκμὰς τῆς νόσου χρησίμως ἐπιφαίνονται. λύουσι δὲ αἱ τοιαῦται αἱμορραγίαι· καὶ τὰς τῶν σπλάγχνων φλεγμονὰς ἐν πυρετοῖς. ὅταν μάλιστα κατ᾽ ἴξιν γίγνονται. οἷον ἐπὶ ἥπατι φλεγμαίνοντι ἐκ δεξιοῦ μυκτῆρος. ἐπὶ σπληνὶ, διὰ ἀριστεροῦ. ὅθεν ἕκαστον

ἤδη τὸν

ἤδη τὸν ἱαφὸν, καὶ τὸν αἱμοῤῥαγεῖν μέλλοντα μυκτῆρα προλέγειν, τὴν ἀφορμὴν ἐξευρίσκοντα ἐκ τοῦ ὀδυνωμένου μέρους. λύουσι δὲ ἐκ ῥινῶν αἱ μοῤῥαγίαι πολλάκις καὶ φρενῖτιν. οὐ μὴν λήθαργον. ἢ περιπνευμονίαν.

Ὅτι καὶ δι᾽ αἱμοῤῥαΐδων καὶ τῆς γυναικῶν καθάρσεως, λύεται πολλάκις νόσημα. μθ.

Ἐθεασάμεθα δὲ ἤδη πολλῶν. καὶ δι᾽ αἱμοῤῥαΐδων προϋπαρχόντων ἐν ἕδρᾳ ἀναστομωθεισῶν λυθέντα νοσήματα. ὁμοίως δὲ καὶ ἤδη γυναικῶν ἐπιμηνίου καθάρσεως ἐκραγείσης. χρὴ δὲ καὶ ἀπὸ τούτων πέψεως προηγησαμένης. καὶ ἐν ἀκμῇ τῆς νόσου τὴν ἔκκρισιν γίνεσθαι. ἵνα ἀγαθὴ καὶ ἀσφαλὴς ἡ κρίσις γένηται. προηγεῖται δὲ ἤδη τούτων βάρος ἐπίσημον. καὶ ὀδύνη μάλιστα ὀσφύος. ἤδη δὲ καὶ τοῦ ὑπογαστρίου ὀδύνη καὶ διάτασις.

Περὶ τῆς ἐκ τῶν ἱδρώτων σημειώσεως. ν.

Τὸν δὲ δι᾽ ἱδρώτων μέλλοντα λυθήσεσθαι πυρετὸν, γνωσόμεθα ἐκ τοῦ εἶναι διακαέστατον. οἷός ἐστιν ὁ καῦσος πυρετὸς προσαγορευόμενος. χολῶδες γὰρ ἐστὶ τὸ νόσημα. καὶ ὅταν σφοδρῶς κινηθῇ, ῥῖγος ἐργάζεται. εἰ μὲν ἀναλόγως ἐπισχεθῇ ἡ γαστήρ. ἢ οὖρα τῆς ἐκκρίσεως ἐγγὺς οὔσης, ἐλπίζειν χρὴ ῥῖγος. εἰ δ᾽ ἀμφοτέρων ἐπίσχεσις γέγονεν, οὐ πάρεισι σημεῖα ἐμέτου, ἢ αἱμοῤῥαγίας. ἱδρὼς ἐξ ἀνάγκης ἔσται πολύς. καὶ μᾶλλον ἐπειδὰν παραπέσωσιν οἱ κάμνοντες ἐπιδόντος τοῦ παροξυσμοῦ, καὶ θερμότεροι τὸ ἐκτὸς γίγνοιντο. καί τις ἀτμὸς ἀνίει ἐκ τοῦ σώματος θερμὸς. οἷος ὁ πρόσθεν ἐγένετο, ὡς ἤδη τῶν νεωστὶ λελουμένων. ὅτε σφυγμοὶ μεγάλοι καὶ ὑψηλοὶ καὶ παχεῖς. καὶ εἰς διαστολὴν μᾶλλον ἐπειγόμενοι καὶ οἷον κυματώδεις. ὅτε τῆς ἀρτηρίας, μαλακός τε καὶ δίυγρος φαίνεται. ἡ δὲ ἐπιφάνεια τοῦ παντὸς νοσήματος, κνησμώδης καὶ μαλακή. καὶ κατά τινας ὥρας ἐρυθραινομένη. ταῦτα ἐν παροξυσμῷ κριτικῷ γινόμενα, πέψεως προηγησαμένης καὶ τῆς κριτικῆς ἡμέρας ἀγαθῆς οὔσης, σωτηρίων καὶ λυτικῶν ἱδρώτων, ἔσται δηλωτικά. δῆλον δὲ ὅτι θερμὸν εἶναι δεῖ συμμέτρως τὸν λυτικὸν ἱδρῶτα. καὶ δι᾽ ὅλου τοῦ σώματος γιγνόμενον. καὶ πρὸς λόγον κουφίζοντα. καὶ εὐφορώτερον ἀποφαίνοντα τὸν ἄῤῥωστον. οἱ δὲ ψυχροὶ ἱδρῶτες, σὺν μὲν ὀξεῖ πυρετῷ, θανάσιμοι. σὺν δὲ πραϋτέρῳ, μῆκος νόσου σημαίνουσιν.

Ἀποστάσεων κριτικὰ σημεῖα. να.

Εἰ δὲ εἰς ἀπόστημα τρέποιτο τὸ νόσημα σωτηριωδῶς τοῦ κάμνοντος ἔχοντος, τούτου μάλιστα χρὴ προσέχειν τὸν νοῦν. χρονίζοντος μὲν τοῦ πυρετοῦ καὶ συνεχοῦς τυγχάνοντος. καὶ τῶν οὔρων λεπτῶν καὶ ἀπέπτων ὄντων ἀεί. καὶ ὑπόστασιν μὴ ἐχόντων. ἐμφαίνοιτο δὲ ὕστερον τινὶ τῶν κάτω χωρίων. οἷον σκελῶν. ἢ περί τινων τῶν ἄρθρων. ἢ βάρος. ἢ τάσιν. ἢ φλόγωσιν. ἢ ὀδύνη ἄνευ φανερᾶς αἰτίας. προτέρον μὴ γινομένη κατὰ τὸ ἔθος τὴν ἀπόστασιν ἔσεσθαι προσδόκα. εἰ δὲ δυσπνούστερος ἐξαίφνης ὁ κάμνων γενόμενος, ἀποπαύσει τὸ μὲν ἐν τάχει τῆς δυσπνοίας διαδέξεται δὲ αὐτὸν ὀδύνη καὶ βάρος τῆς κεφαλῆς. ἢ κῶμα καὶ κώφωσις τῆς περὶ τὰ ὦτα ἀδένας. ἀνάγκη γίνεσθαι τούτῳ τὴν ἀπόστασιν. γίγνονται δὲ μᾶλλον αἱ ἀποστάσεις ἐν χειμῶνι. καὶ τοῖς πρεσβυτέροις τῶν τριάκοντα ἐτῶν.

Περὶ τῆς ἐκ τῶν πτυσμάτων σημειώσεως. νβ.

Ἐν τοῖς περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς πάθεσι, τὰ μὲν ἰδίως ὀνομαζόμενα πτύσματα, ταῖς ἐν τοῖς οὔροις ὑποστάσεσιν ἔοικε. τὸ δὲ μὴ δι᾽ ὅλως ἀποπτύειν μηδὲν. ἀλλὰ βήττειν μόνον ξηρῶς, οἷον περὶ τὸ ἐν τοῖς οὔροις ἐσχάτως ἄπεπτόν ἐστιν. εἰ δ᾽ ἄρξηται ὑγρά. καὶ τελέως ἄπεπτα ἀνάγειν, ἀμυδρὰ καὶ ἀσαφὴς ἡ τοιαύτη ἐστὶ μεταβολή. καὶ ἀποπέπαυται τοῦ νοσήματος ὁ πρῶτος καιρὸς, τουτέστιν ἡ ἀρχή. ὅταν δὲ ἄρξηται πτύειν, ὀλίγα καὶ πέπονα. καὶ ἀεὶ μᾶλλον πλείω καὶ εὐπετέστερον ἀνάγει. τότε ἀνάβασιν λέγομεν εἶναι. ὅτε δὲ ἀκριβῶς ᾖ πεπεμμένα. καὶ πολλά. καὶ μὴ δυσχερῶς ἀναγόμενα, τότε ἀκμῆς ὁ καιρός. ὅταν δὲ ὦσι πεπεμμένα. καὶ ἀλύπως ἀναγόμενα εἴη. νεμείωται δὲ καὶ τὸ πλῆθος. ὅτε ὀδύνη μηκέτι ᾖ. εὔπνους δὲ καὶ εὔφορος εἴη ὁ ἄνθρωπος, πεπαῦσθαι χρὴ νομίζειν τὴν ἀκμήν. παρακμάζειν τε ἤδη τὸ νόσημα. πρὸ δὲ τῶν ἄλλων, τούτοις χρὴ προσέχειν τὸν νοῦν. πρότερον ταχύτερον ἢ βραδύτερον τὰ πτύελα ἄρχεται ἀναβήττεσθαι, καθὼς καὶ Ἱπποκράτει δοκεῖ. οἷον γάρ φησιν ἐν πλευριτικοῖσι πτύελον. ἢν μὲν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν, βραχύνει. ἢν δὲ ὕστερον μηκύνει ἡ νόσος δηλονότι. ὅσα μὲν οὖν τῶν πτυσμάτων ὑπόξανθά τε εἰσὶ καὶ ὑπόπυῤῥα καὶ ὕπωχρα καὶ λεπτὰ, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα. κακὸν δὲ οὐδὲν ἐνδείκνυται ἐπίσημον. τὰ δὲ ἀκράτως ξανθὰ καὶ πυῤῥὰ καὶ χλωρὰ. καὶ ἀφρώδη. καὶ γλίσχρα. καὶ προσέτι τὰ μέλανα, μοχθηρά. πλὴν γὰρ τοῦ αἵματος, ὅστις ἂν εἴη τῶν ἄλλων χυμῶν ἄκρατος, μοχθηρὰν ἐνδείκνυται τὴν διάθεσιν. ἀπὸ θερμότητος τὴν γένεσιν ἔχουσαν. τὰ μὲν οὖν αἱματώδη τε καὶ φλεγματώδη, μέτρια. τὰ δὲ ξανθὰ. ἢ μέλανα, χαλεπά. προσεπισκέπτεσθαι δὲ χρὴ καὶ τὸν τῆς ἀναγωγῆς τρόπον. εἰ γὰρ εὐπετῶς ἀναπτύει, πρόδηλον, ὡς τὰ τοιαῦτα ἐστὶν ἀγαθά. τὰ δὲ δυσανάγωγα, μοχθηρά. καὶ μάλιστα εἰ πελιδνά. ἢ μέλανα. ἢ ἰώδη εἴη. ἢ σφόδρα δυσώδη. ὡς ἐπ᾽ ἀνθράκων ἐπιβαλλόμενα, βαρὺ ὄζειν.

Γνωρίσματα τοῦ τελέως καὶ πιστῶς λελύσθαι τὸ νόσημα. νγ.

Λελύσθαι τελέως καὶ πιστῶς χρὴ νομίζειν τὸ νόσημα, ὁπόταν ἐς ταυτὸν ὁμοῦ συνέλθῃ τὰ λυτικὰ σημεῖα. εἴτε οὖν κατὰ τὴν ἀκμὴν εὐθέως καὶ ἀθρόως καὶ βεβαίως ἐκρίθη τὸ νόσημα, εἴτε βραχὺ παρακμαστικῶς ἐλύθη. πιστῶς τοῖς δ' ἂν γνωρίζοις. πρῶτον γὰρ καὶ μέγιστον σημεῖον, ἀγαθῆς καὶ πιστῆς κρίσεως οἱ πεπασμοὶ καὶ τῶν περιττωμάτων προφαινόμενοι ἐν ταῖς ἐπιδήλοις ἡμέραις μετὰ δυνάμεως ἰσχυρᾶς. ἔπειτα δὲ εἰ ἐν περιττῇ ἡμέρᾳ ἡ κρίσις γέγονε. καὶ πρὸς τούτοις ἔτι. εἰ ὁ πυρετὸς λύοιτο κρινομένῳ τῷ κάμνοντι. καὶ τῶν ἄλλων ἁπάντων ἀπαλλάττοιτο συμπτωμάτων. εὐχρούστερός τε γίγνοιτο τότε πρόσωπον. καὶ τὸ λοιπὸν σῶμα, πρὸς λόγον τῆς κενώσεως. εὐεστότερός τε καὶ ἰσχυρότερος ἐν ταῖς ἐπαναστάσεσιν. εὐφορώτερός τε κατὰ πάντα. τάς τε μετὰ ταῦτα πέψεις τῶν τροφῶν καὶ τὰς ἀναδόσεις. καὶ πάσας τὰς φυσικὰς ἐνεργείας ἀμέμπτως ἐπιτελοῖτο.
10 ῥώννυταί τε πρὸς λόγον τῆς ἀναλήψεως τὸ σῶμα. καὶ τὸ χρῶμα μεταβάλλει ἐκ τοῦ παρὰ φύσιν, εἰς τὸ κατὰ φύσιν. αὕτη ἐστὶν ἡ ἀρίστη κρίσις. καὶ χρὴ λοιπὸν θαρροῦντας ἀναστρέφειν αὐτοὺς τῇ προσηκούσῃ διαίτῃ, καὶ λουτροῖς δηλονότι. εἰ δ' ἐλλιπὴς γένηται ἡ κρίσις, ὑποτροπιάζειν εἴωθε τὸ νόσημα.

Γνωρίσματα τοῦ μὴ τελέως λελύσθαι τὸ νόσημα. νδ.

Γνωρίσομεν δὲ τοὺς ἐν ὑπόπτοις εἰς ὑποστροφήν, ἐκ τοῦ λελύσθαι μὲν νομίζειν τὸ νόσημα. παραμένειν δὲ παραπλήσια. τά τε οὖρα καὶ τοὺς σφυγμούς. ὠχριᾶν τε καὶ δυσφορεῖν. καὶ τὰ λοιπὰ ἐναντία πᾶσι τοῖς προειρημένοις ἀγαθοῖς γίγνεσθαι. καὶ συντόμως εἰπεῖν ἀλόγως λυθῆ. ὑποστροπιάζειν αὐτὸ ἐλπίς.

Πρόγνωσις ἡμέρας ἐν ᾗ μέλλει τεθνήξεσθαι ὁ ἄρρωστος. νε.

Ἐπὶ τῶν ὀλεθρίων νοσημάτων, σκοπεῖν χρὴ τοὺς παροξυσμοὺς καθ' ἑκάστην εἰσβολήν. εἴτε καθ' ἡμέραν. εἴτε διὰ τρίτης. εἴτε ἄλλως πως παροξύνοιτο. εἰ δὲ τῶν μὴ διαλειπόντων ἐστὶν ὁ πυρετός, σκόπει εἴτε ἐν περιτταῖς ἡμέραις, εἴτε ἐν ταῖς ἀρτίοις, δυσφορώτερος ἑαυτοῦ γίγνεται ὁ νοσῶν. εἰδέναι γὰρ
20 δεῖ σαφῶς, ὡς κατ' ἐκείνην τὴν ἡμέραν ἢ νύκτα, ἐν ᾗ δυσφορώτερος γίγνεται ἑαυτοῦ ὁ νοσῶν ἄρρωστος, τεθνήξεται. καὶ εἰ μὲν πολὺ πλέον ὑπερέχει τὸ νόσημα δυνάμεως ταχέως ἀποθανεῖται. εἰ δὲ ἀντέχει σμικρὸν ἡ δύναμις, παρατεῖναι δυνήσεται μίαν ἢ δευτέραν ἡμέραν. τῷ τεθνηξομένῳ δὲ εἰς τὸν τῆς παρακμῆς τοῦ νοσήματος καιρόν, ἀδύνατον ἐξικνεῖσθαι. σπανίως δὲ κατὰ τὴν παρακμὴν τελευτῆσαι συνέβη τοῦ νοσήματος. εἰ μή τι ἕτερον νόσημα διαδέξηται τὸ πρῶτον. οὐ μὴν οὐδ' ἐξ ἀνάγκης εἰς τὸν τῆς ἀκμῆς καιρὸν ἀφικνεῖται ὁ τεθνηξόμενος. ὡς ἐπὶ τὸ πολὺ δὲ κατὰ τὴν ἀρχὴν ἢ τὴν ἀνάβασιν, ἀποθνήσκουσιν οἱ κάμνοντες.

Ὅτι καὶ τὴν ὥραν ἐν ᾗ μέλλει τεθνήξεσθαι ὁ ἄρρωστος, δυνατὸν προγνῶναι τὸν ἐπιστήμονα. νϛ.

Ἐπ' ἄρων δὲ ὄντων. καὶ τοῦ μερικοῦ παροξυσμοῦ μικρὸν παραφυλάξεσθαι χρή, κατὰ ποίαν ὥραν τῆς ἡμέρας ἢ τῆς νυκτὸς εἴωθεν εἰσβάλλειν ὁ βαρύτερος παροξυσμός. ἔτι τε ἐν ποίῳ μέρει τοῦ παρο-
30 ξυσμοῦ, βαρύτερος ἑαυτοῦ ὁ ἄρρωστος γέγονεν. οἷον, κατὰ τὴν εἰσβολήν, ἢ τὴν ἐπίδοσιν. ἢ κατὰ τὴν ἀκμὴν τοῦ παροξυσμοῦ. κατ' ἐκείνην γὰρ τὴν ὥραν, ἐν ᾗ νωθρότερος, ἢ ἀφυκτότερος ἑαυτοῦ γίγνοιτο, τεθνήξεται. ἐν μὲν τῇ εἰσβολῇ τῶν παροξυσμῶν ἀποθνήσκουσιν ἐπὶ φλεγμοναῖς μεγάλαις ἐν καιρίοις μορίοις γινομέναις. ἢ διὰ πλῆθος παχέων. καὶ γλίσχρων χυμῶν ἀθρόως εἴσω ῥυέντων, ὡς ἀποφράξαι τελέως τὰς διεξόδους τοῦ πνεύματος. οἷον ἀποπνιγείσης καὶ ἀποσβεσθείσης τῆς φύσεως. ὡς εἰ καὶ πλῆθός τις ξύλων χλωρῶν ἐπισωρεύσει ἐν φλογί. κατὰ δὲ τὰς παρακμὰς τῶν παροξυσμῶν ἀποθνήσκουσι. τῇ βίᾳ καὶ σφοδρότητι τοῦ νοσήματος κινηθείσης τῆς φύσεως. ἐφ' ὧν ἄρρωστος ἡ δύναμις. συμβαίνει δὲ τούτῳ τῷ τρόπῳ κἂν τῇ ἐπιδόσει τοῦ παροξυσμοῦ αὐτοὺς ἀποθανεῖν. ἐν δὲ ταῖς παρακμαῖς τῶν παροξυσμῶν ἀποθνήσκουσι τῇ βίᾳ λυθέντος αὐτοῖς τοῦ ζωτικοῦ τόνου. ἀμυδρότερον γὰρ καὶ καταπίπτων ἀεὶ ἐν ταῖς ὀλεθρίαις παρακμαῖς τοῦ παροξυσμοῦ γίγνεται ὁ σφυγμός.
40 διαρρεῖ γὰρ ἅμα τοῖς ἄλλοις ἐν τῷ σώματι καὶ ἡ πυρεκτικὴ θερμασία τηνικαῦτα. κἀντεῦθεν ἡ φαντασία τοῖς ἰδιώταις τοῦ βελτίονος γίγνεται. ἢ ἀποπατῆσαι διαναστάντες. ἢ ἄλλως κινηθέντες ἐλειποψύχησαν. καὶ μικρὸν ἔνιοι. καὶ γλίσχρον ἐφιδρώσαντες ἀπέθανον.

Ὅτι ἐπὶ τῶν ὀξέων νοσημάτων, οὔτε προλέγειν τὸ τέλος χρή, οὔτε ἐγχειρεῖν τοῖς κεκρατημένοις. νζ.

Οὐ χρὴ καταστοχάζεσθαι τῶν κατοξέων νοσημάτων. ἐφ' ὧν καὶ μάλιστα αἰφνίδιος ὁ θάνατος. ἢ καὶ ὁ κίνδυνος εἰσβάλλει. εὐμετάρρυστος γὰρ ἐπὶ τούτων ὁ χυμός. καὶ πυρρωδέστερος. καὶ σφοδρωτάτη ἡ βία τοῦ πυρετοῦ. ἐπὶ γὰρ τῶν τοιούτων νοσημάτων. ἱπποκράτης ἀπεφήνατο. τῶν ὀξέων νοσημάτων, οὐ πάμπαν ἀσφαλέες αἱ προαγορεύσιες. οὔτε τῆς ὑγείης, οὔτε τοῦ θανάτου.

Περὶ πυρετοῦ διαιρέσεως. καὶ περὶ ἐφημέρων πυρετῶν γαληνοῦ. νη.

Ἕν τι τῶν κατὰ δυσκρασίαν νοσημάτων ἐστὶν ὁ πυρετός. εἰς τοσαύτην ἀμετρίαν, αἰρουμένης τῆς παρὰ φύ-
50 σιν θερμασίας, ὡς ἀνιᾶν τε τὸν ἄνθρωπον, καὶ τὴν ἐνέργειαν βλάπτειν. αἱ διαφοραὶ δὲ τῆς θερμότητος ταύτης, περὶ τὸ μᾶλλόν τε καὶ τὸ ἧττον. ἢ γὰρ τὸ σῶμα αὐτὸ τῆς καρδίας κατειληφυίας, ἢ τοὺς χυμούς. ἢ τὴν ἀερώδη οὐσίαν. ἄρχεται μὲν οὖν ἡ παρὰ φύσιν αὕτη θερμότης, ἄλλοτε ἐξ ἄλλου τῶν εἰρημένων. καὶ εἰ μὴ φθάσειε λυθῆναι, διατίθησιν αὐτῇ τῷ χρόνῳ ὡσαύτως τὰ λοιπὰ δύο γε. καὶ εἰ μὲν ἐν τοῖς πνεύμασιν ἐγκατακειμένη, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. εἰ δὲ τὰ ὑγρὰ καταλάβῃ, τὸν

βει, τὸν ἐπὶ σηπεδόνι ἀνάπτει. εἰ δὲ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἀδικήσει, τὸν ἑκτικὸν κατασκευάζει πυρετόν. ἔνιοι μὲν γὰρ τῶν πυρεττόντων, εὔλυτον ἔχουσι τὴν διάθεσιν οὕτως, ὡς τὸ θερμανθὲν ἐν ἡλίῳ ξύλον. ἔνιοι δὲ δύσλυτον οὕτως, ὡς τὸ ἀναφθὲν ἀπὸ τοῦ πυρὸς ξύλον, ὥστε καὶ καπνὸν ἀποβάλλειν. τρία μὲν οὖν ἐστὶ τὰ γένη. τό τε τῶν ἐφημέρων. τὸ ἐπὶ σήψει χυμῶν. καὶ τὸ τῶν ἑκτικῶν. πρῶτον οὖν περὶ τῶν ἐφημέρων διασκεψώμεθα. γίγνονται τοίνυν οἱ πυρετοὶ οὗτοι, ὡς εἴρηται χωρὶς σήψεως χυμῶν, ἐκπυρωθέντος μόνου τοῦ πνεύματος. καὶ διὰ τοῦτο ἐφημέριοι καλοῦνται. λουσάμενοι γὰρ οἱ κάμνοντες ἐν τῇ πρώτῃ παρακμῇ τούτου τοῦ πυρετοῦ, καὶ τροφὴν εὔφημόν τε καὶ ὑγρὰν προσαράμενοι, οὐκέτι δεύτερον πυρέττουσιν. ἴδιον δὲ ἀχώριστον σημεῖον τῶν ἐφημέρων πυρετῶν ἐστὶν ἡ τῶν οὔρων πέψις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. καὶ τὸ τῆς θερμασίας ἡδύ. μετὰ δὲ τὴν παῦλαν τοῦ παροξυσμοῦ, πιστοτέραν ἕξεις τὴν διάγνωσιν. ἥ τε γὰρ τῶν ἀρτηριῶν κίνησις, κατὰ πάντα ἐξομοιοῦται τῇ τῶν ὑγιαινόντων. ὅπερ οὐδενὶ τῶν ἄλλων πυρετῶν πρόσεστι. καὶ ἡ τοῦ κάμνοντος δὲ εὐφορία, μέγιστον καὶ αὐτὴ σημεῖον ἀπαλλαγῆς ἐστί. καὶ τὰ οὖρα πολλῷ βελτίω, μετὰ τὸν παροξυσμὸν. ἢ κατὰ τὴν ἀρχὴν τοῦ πυρετοῦ φανεῖταί σοι. καὶ ἐλουομένοις δὲ αὐτοῖς, μήτε φρίκη τις ἀήθης γένοιτο, μήτ᾽ ἄλλη τις ἀηδία. καὶ μετὰ τὸ λουτρὸν ἐξῆς ἡ εὐφορία μένοι, θαῤῥῶν τρέφοις τε ἂν αὐτόν. καὶ οἶνον παρέχοις ἀδεῶς πίνειν ὅσον τοῖς παροῦσι μέτριον. εὐάλωτοι δὲ τοῖς τοιούτοις πυρετοῖς εἰσιν, ἐφ᾽ ὧν αἱ ἀποῤῥοιαι τοῦ σώματος, οὐκ ἀτμώδεις. ἀλλὰ δριμύ τι καὶ καπνῶδες ἔχουσιν. ὥστε εἴποτε ἐπισχεθῶσι τὸ ἀθροιζόμενον ἐν αὐταῖς θερμὸν, πυρετῶδες γίγνεται. προκατάρχουσι δὲ αὐτῶν, αἰτίαι. κόποι. ψύξεις. ἀγρυπνίαι. φροντίδες. λῦπαι. θυμοί. ῥῖγος. ἔκκαυσις τοῦ δέρματος, ὥστε δυσδιάπνευστον αὐτὸ γενέσθαι.

Περὶ τῶν ἐπὶ κόποις ἐφημέρων πυρετῶν. νθ.

Τῶν μὲν οὖν ἐπὶ κόποις πυρεξάντων, τό τε δέρμα ξηρότερον, ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν ἐστί. μάλιστα δὲ τοῦτο συμβαίνει ἅμα τοῖς ψυχθεῖσι πλείονι κόπῳ. ὥστε καὶ μετὰ τὴν ἀκμὴν τοῦ πυρετοῦ παραμένειν αὐτοῖς τὴν ξηρότητα. καὶ οἱ σφυγμοὶ τούτοις, μικροὶ γίγνονται. τοῖς δὲ ἄγαν μὴ ὑπερπονήσασιν, ἰκμάδες τινὲς. ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται. μεγάλοι δέ εἰσι καὶ τούτοις οἱ σφυγμοί. χρὴ δὲ μετὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ εὐθὺς, ἐπὶ λουτρὸν ἄγειν αὐτούς. καὶ λιπαρῶς τε ἅμα καὶ μαλακῶς ἀνατρίψαντας ἐπ᾽ ὀλίγον ἐλαίῳ γλυκεῖ χλιαρὸν, λούειν γλυκέων ὑδάτων λουτροῖς. ἀλλ᾽ οὐδὲ οἱ ἐν τῷ ἀέρι τοῦ βαλανείου χρονίζειν αὐτοὺς κελεύσειας, οὐδὲν βλάψεις διὰ τὴν ψύξιν. εἶτα, ἀνάπαυσιν ἐπιτηδεύειν. ξ.

Τοὺς δὲ ἐπ᾽ ἀγρυπνίᾳ πυρέξαντας, δείξει μὲν καὶ τὸ τῆς χροιᾶς εἶδος. ὕποιδον γάρ ἐστι καὶ αἱ τῶν ὀφθαλμῶν δὲ κινήσει, δῆλαι. μόγις γὰρ ἐπαίρουσι τὰ βλέφαρα. καὶ κοῖλοι αὐτοῖς γίγνονται οἱ ὀφθαλμοί. ἀλλὰ καὶ ξηροί. οἱ δὲ σφυγμοί, μικρότεροι πᾶσι τοῖς ἐπ᾽ ἀγρυπνίᾳ καὶ λύπῃ καὶ φροντίσι γίγνονται. τοῖς δὲ ἐπὶ θυμῷ, οὔτε τὸ τῆς κοιλότητος τῶν ὀφθαλμῶν πάρεστιν, οὔτε τὸ τῆς χροιᾶς. καὶ ἡ θερμασία τούτοις πλέον. καὶ ὡς ἐκ τοῦ βάθους ἀναφερομένη. καὶ μεγάλοι τούτοις οἱ σφυγμοί. οἱ δὲ οὖν προειρημένοι πάντες, οὐδὲ τρίψεων οὐδὲ λουτρῶν δέονται πολλῶν. ἀλλὰ πολὺ μὲν ἔλαιον περιχεῖν. οὐδόλως μετέχων σύψεως. ἀνατρίβονται δὲ βραχέα, λούειν ὡς ἔθος. ξα.

Τοὺς δὲ ἐπ᾽ ἐκκαύσει πυρέξαντας, εὐθέως μὲν ἐξ ἀρχῆς τοῖς ψύχουσιν ἰᾶσθαι. καὶ λουτροῖς πλείοσι γλυκυτάτων καὶ εὐκρατοτάτων ὑδάτων. ἔλαιον δὲ βραχὺ προσφέρειν. καὶ οὐδ᾽ ὅλως ἀνατρίβειν. ἔστω δὲ τὰ προσαγόμενα τῇ κεφαλῇ. ψύχοντα. ὀμφάκινόν τε καὶ ῥόδινον τὸ ἐξ αὐτοῦ ἐσκευασμένον. ἁλῶν μὴ ἔχοντα. ἐργάζεσθαι ταῦτα ψυχρά. τὸ ἀγγεῖον ἐν ᾧ περιέχεται κρεμῶντες ἐν φρέασι ψαύοντος τοῦ ὕδατος. ἔτι δὲ μᾶλλον κρουνοῦ ὕδατος ψυχροῦ ψύχει τὸ ἔλαιον. καὶ τούτου μᾶλλον χιὼν περιπλαττομένη ἔξωθεν τὸ ἀγγεῖον. καταχεῖν δὲ τοῦ βρέγματος τὸ ψυχθὲν οὕτως ἔλαιον δι᾽ ἐρίου συμμέτρως ἀναλαμβάνοντας. καὶ μετέωρον ἐξαίροντες τὴν χεῖρα, καὶ τοῦτο ἀδιαλείπτως ποιήσαντος ἄχρι τῆς παρακμῆς τοῦ πυρετοῦ, ἄγειν ἐπὶ λουτρὸν γλυκέων καὶ εὐκράτων ὑδάτων. μόνῃ τῇ παρόδῳ τοῦ ἀέρος χρώμενος.

Περὶ τῶν ἐπὶ ψύξει πυρεξάντων. ξβ.

Εἰ δέ τις ψυχθεὶς πυρέξειν, ἐπισχεθέντων αὐτῷ δηλονότι τῶν διὰ τοῦ δέρματος γινομένων καπνωδῶν διαπνοῶν. καὶ τοῦτον, ἐπὶ βαλανεῖον ἀκτέον ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ. θερμαίνειν δὲ τὴν κεφαλὴν καὶ πρὸ τοῦ λουτροῦ ἐν τῇ παρακμῇ. καὶ μετὰ τὸ λουτρὸν, ἰρίνῳ μύρῳ καὶ ἀμαρακίνῳ, ἢ ναρδίνῳ.

Περὶ τῶν ἐπὶ κορύζῃ. καὶ καταῤῥῷ πυρεξάντων. ξγ.

Τοὺς ἐπὶ κορύζῃ πυρέξαντας, πρὶν πεφθῆναι ταῦτα, οὐ χρὴ λούειν εἰ ἐκ ψύξεως ἢ δυσπεψίας ὁ κατάῤῥους ἐγένετο. τὴν δὲ κεφαλὴν ἐμβρέχειν ἰρίνῳ μύρῳ, ἢ ἀμαρακίνῳ. ἢ ναρδίνῳ. εἰ δὲ ἐπ᾽ ἐκκαύσει γέγονεν ὁ κατάῤῥους, θερμανθείσης τῆς κεφαλῆς. καὶ σικύας τρόπον ἑλκυσάσης ὕλην ἐκ τῶν ὑποκειμένων, τοῦτον εὐθὺς ἐπὶ λουτρὸν ἄγειν γλυκέων καὶ εὐκράτων ὑδάτων. καὶ τῷ ψυχρῷ βάπτειν. καὶ ἀπὸ τὸν κρουνὸν τιθέναι. ἐπὶ δὲ τῶν λουτρῶν, τοῖς ψύχουσι τὴν κεφαλὴν ἐμβρέχειν. μέτρια δὲ ἐστὶ διὰ τὸ λουτρόν.

Περὶ τῶν ἐπὶ πυκνώσει τοῦ δέρματος πυρετῶν. ξδ.

Πυκνοῦται τὸ δέρμα ἢ ψυχόμενον ἢ ὑπὸ στύψεως αὐτῷ στρυφνῆς ἀήθως προσπεσούσης. οἷόν τι καὶ τοῖς παρὰ τὸ ἔθος λουομένοις ἐν ὕδατι στυπτηριώδει γίγνεται. στεγνότατον δὲ τούτοις ἐστὶ τὸ δέρμα. ὥστε καὶ τῇ ἀφῇ διαγινώσκεσθαι. ἀλλὰ καὶ ἡ τῆς θερμασίας κίνησις, πραεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν τῆς χειρὸς φαινομένη, δριμεῖα γίγνεται, εἰ χρονίσαις ἁπτόμενος ἐπὶ πλέον. τὰ δὲ οὖρα, οὐχ ὡς τοῖς ἄλλοις ἐστὶ πυῤῥά. διότι οὐκ ἀτροφίαν αἰτιώμεθα ἐπὶ τούτων. ὅθεν οὐδ' ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὐδὲ οἱ ὀφθαλμοὶ κοῖλοι καὶ ξηροὶ γίγνονται. ἀλλ' ἔστιν οἷς ὑγρότεροί τε καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν, διὰ τὸ μὴ γίνεσθαι διαφόρησιν ἐπ' αὐτῶν. ἀλλὰ μᾶλλον ἐναποκλείεσθαι ἔνδον τὰς ὕλας. ὅθεν οὐδ' οἱ σφυγμοὶ μικροὶ καθάπερ ἐπὶ λύπης. ἢ φροντίδος. ἢ ἀγρυπνίας. καὶ τοῖς ἄγαν ἀμέτροις γυμνασίοις. θεραπεύειν δὲ χρὴ λούοντας ὕδασι γλυκυτάτοις. καὶ εὐκρατοτάτοις μετὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ. καὶ χρονίζειν πως ἐν τῷ ἀέρι τοῦ βαλανείου κελεύειν. ἔλαιόν τε γλυκὺ ἐπιχέοντας χλιαρόν. τρίψιν μετρίαν καὶ μαλακὴν προσάγειν. διαιτᾶν δὲ, λεπτῇ διαίτῃ. καὶ οἶνον λεπτὸν. καὶ λευκὸν διδόναι.

Περὶ τῶν ἐπ' ἀσιτίᾳ πυρετῶν. ξε.

Εἰ δὲ δι' ἀσιτίαν γένηται πυρετὸς. τοῦ παροξυσμοῦ παρακμάζοντος, εἰς τὸ βαλανεῖον ἄγειν αὐτοὺς. καὶ ἔλαιον χλιαρὸν γλυκύτατον πλεῖστον καταχέοντας, ἀνατρίβειν πραότατα. καὶ τὸ πλεῖστον τούτου τοῦ χρόνου, τῇ θερμῇ δεξαμενῇ διατρίβειν. ἐξελθόντας δὲ καὶ ἀναλαμβάνοντας τὴν δύναμιν, πάλιν ἐκ δευτέρου προσάγειν ἐν τῷ λουτρῷ. καὶ ἐμβιβάζειν τῷ θερμῷ. εἶτα ἐξελθόντα μετὰ τὸ καταστῆναι τὴν ἐκ τοῦ βαλανείου ταραχὴν, διδόναι ὕδωρ θερμὸν πίνειν. κἄπειτα πτισάνης χυλόν. ἐνίοτε δὲ καὶ τῶν πετραίων ἰχθύων ἐν λευκῷ ζωμῷ γεγενημένων.

Δίαιτα κοινὴ πάντων τῶν ἐφημέρων πυρετῶν. ξϛ.

Ἡ δὲ δίαιτα κοινὸν ἔχει σκοπὸν ἁπάντων τῶν ἐφημέρων πυρετῶν. ἐξ ἐδεσμάτων εὐχύμων τε καὶ παντοίων πεπτομένων. οὐδαμόθεν τε καὶ κατὰ τοὺς πόρους ἰσχομένων. τοῖς μὲν ἐκκαυθεῖσιν. ἢ θυμωθεῖσιν μετὰ τοῦ ψύχειν τε καὶ ὑγραίνειν. τοῖς δὲ ψυχθεῖσιν ἀτροφώτερα μετὰ τοῦ θερμαίνειν μετρίως. τοῖς δὲ ἀγρυπνήσασιν ἢ λυπηθεῖσι. καὶ πλεῖον φροντίσασιν, ἡ ὑγρὰ καὶ ὑπνώδης τροφὴ ἁρμόδιος. τοῖς δὲ κοπωθεῖσιν, ἡ τροφιμωτάτη καὶ πλείστη. ἐφ' ὧν δὲ ἡ δυσκρασία τοῦ σώματος ἐπὶ τὸ θερμότερον καὶ ξηρότερον φέροιτο. δεῖ δὲ τούτους κατὰ τὴν πρώτην εἰσβολὴν ἐνίοτε τοῦ πρώτου παροξυσμοῦ τρέφειν. οἶνον δὲ πᾶσι τοῖς ἐφήμερον πυρετὸν πυρέξασι διδόναι, τὸν ὑδατώδη λεγόμενον λεπτὸν καὶ λευκὸν τῇ πέψει ἐπὶ τούτων συναιρούμενον. καὶ οὖρα. καὶ ἱδρῶτας προτρέποντα. τοῖς δὲ ἀγρυπνήσασιν. ἢ λυπηθεῖσιν. ἢ φροντίσασι μᾶλλον ἀδεῶς διδόναι οἶνον. καὶ τοῖς ὑπερκοπωθεῖσι δὲ διδόναι οἶνον τοσοῦτον, εἰς ὅσον κρατεῖν δύνανται. τοῖς δὲ θυμωθεῖσι πρὶν παντελῶς ἔξω τοῦ πάθους γένωνται, οὐκ ἀσφαλὲς οἶνον διδόναι.

Περὶ τῶν ἐπὶ βουβῶσι πυρεξάντων. ξζ.

Εἰ μὲν χωρὶς προκαταρκτικῆς αἰτίας φλεγμονὴ γένοιτο βουβῶνος, πλῆθος αἵματος ὡς ἐπίπαν δηλοῖ ἐν παντὶ τῷ σώματι. καὶ γὰρ ἡ θερμασία ἐπὶ τούτῳ πλείω τῶν προειρημένων. καὶ τὸ πρόσωπον ἐρυθρὸν καὶ εὔογκος ἐπιφαίνεται. δεῖ οὖν φλεβοτομεῖν τάχιστα, πρὶν σαπῇ ἐν τῷ φλεγμαίνοντι ἡ ὕλη. καὶ πυρετὸν ἀνάψει τὸν ἐπὶ σήψει. μετὰ δὲ τὴν φλεβοτομίαν, λεπτῇ διαίτῃ κεχρῆσθαι μέχρι τελείας ἀπαλλαγῆς. κατὰ δὲ τοῦ φλεγμαίνοντος βουβῶνος, πρὸ μὲν τῆς φλεβοτομίας, τὰ στύφοντα καὶ ἀποκρούομενα ἐπιτιθέναι. μετὰ δὲ τὴν φλεβοτομίαν τὰ χαλῶντα. καὶ μετρίως διαφοροῦντα. ἐφ' ὧν δὲ διὰ πρόσκομμα δακτύλων. ἢ ἕτερόν τι τοιοῦτον βουβὼν ἐγένετο, καὶ τούτου χάριν ὁ ἐφήμερος ἐπηκολούθησε πυρετὸς, οἱ τοιοῦτοι οὐδὲν θανοῦνται τὸν ἰατρὸν ὅτι χρὴ ποιεῖν. ἀλλὰ καὶ ἐκ τοῦ ἕλκους ἐφ' οὗ περ ἂν ὁ βουβὼν γένοιτο προνοησάμενοι, λούονται κατὰ τὴν παρακμὴν τοῦ παροξυσμοῦ. εἴργειν δ' οἴνου χρὴ πάντας τοὺς ἐπὶ βουβῶσι πυρέξαντας, ἕως ἂν οἱ βουβῶνες λυθῶσι† λεπτότερον διαιτᾶν.

Περὶ τῶν ἐπὶ ἀπεψίᾳ ἐφημέρων πυρετῶν. ξη.

Ἐν τοῖς κακοχύμοις σώμασιν αἱ γινόμεναι ἀπεψίαι, τάχιστα ἀνάπτουσι τὸν πυρετόν. ἧττον δὲ γίγνεται τὸ κακὸν, εἰ καταῤῥήξειεν ἐπὶ τῇ ἀπεψίᾳ ἡ γαστήρ. οὐ μικρὸν δὲ τὸ κακὸν. εἴτε ἐπισχεθείη. πυρέττουσι δὲ ἔνιοι. καὶ ἐφ' ὧν διάῤῥοια ἐπὶ τῇ ἀπεψίᾳ γίγνεται. εἰ μὲν μὴ φαίνοιτο μόνα τὰ διεφθαρμένα κενοῦσθαι, λουστέον ἐστὶ καὶ θαλπτέον αὐτοὺς ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ. εἰ δὲ ὑπὲρ τὸ δέον ἡ κένωσις γένηται, ἄμεινον ἐᾶσαι χωρὶς τὸ λοῦσαι, προνοησάμενον τῶν κατὰ γαστέρα. ἡ δὲ τῆς γαστρὸς ἐπιμέλεια, διττῶς γινέσθω. εἰ μὲν μηκέτι φέροιτο ἡ γαστὴρ, ἀψίνθιον ὀλίγον ὕδατι βρέχων, ἕψε σὺν ἐλαίῳ ἐπὶ διπλώματι. καὶ τούτῳ ἐπίβρεχε τὰ κατὰ γαστέρα. ἔπειτα πίλημα ἐκ πορφύρας βρέχων τῷ ἐλαίῳ, ἐπιτίθει τῇ γαστρί. εἰ δ' ἀτονώτερον ὑπάρχει τὸ στόμα τῆς γαστρὸς, μαστίχην σὺν ῥοδίνῳ μύρῳ λεάνας ὡς γλοιοῦ ἔχειν πάχος, καὶ λούσας αὐτῷ τὴν πορφύραν, ἐπιτίθει. ἔστωσαν δὲ τὰ ἐπιτιθέμενα θερμὰ τῇ ἀφῇ. ἐκλύει γὰρ τὰ χλιαρὰ τὸν τόνον τῆς γαστρὸς. ἔτι δὲ φερομένης τῆς γαστρὸς, ἄμεινον κάλ-

λίστω μηλίνω

λίστῳ μηλίνῳ χρῆσθαι ἀντὶ τῆς νάρδου μετὰ βραχέος οἴνου. χρήσιμον δὲ εἰς ταῦτα καὶ τὸ μαστίχινον. εἰ δὲ καὶ ἐκκαίοιτο ἡ γαστὴρ μετὰ τὴν κένωσιν, τῷ μηλίνῳ ὁμοίως κεχρήσθω. ἢ κηρωτῇ δι' αὐτοῦ ἐσκευασμένῃ. τρέφειν δὲ ῥεούσης μὲν ἔτι τῆς γαστρὸς, ἀλφίτοις τε καὶ τοῖς καλουμένοις ὀξυλιπέσιν ἄρτοις. ἐπιπάττειν τε τὸ ἄλφιτον, χυλὸν ῥοιῶν. ἢ ἀπίων. ἢ μήλων. μάλιστα κυδωνίων. ἢ τῷ ἀφεψήματι αὐτῶν. ἢ μύρτων. εἰ δὲ παύσοιτο ἡ φορὰ, χόνδρος ἄλικος διδόσθω. καὶ ὄρχεις ἀλεκτρυόνων. καὶ οἱ πετραῖοι τῶν ἰχθύων ἐν λευκῷ ζωμῷ γεγενημένοι. καὶ αἱ ὀπῶραι τῶν στυφουσῶν. εἰ δ' ἀνόρεκτοι εἶεν ὡς ἀποστρέφεσθαι τὰ σιτία. τὸ διὰ κυδωνίων μήλων. καὶ μέλιτος συντιθεμένου πεπτικοῦ φαρμάκου δοτέον, ὅσον κοχλιάριον ἕν. ἢ δύο. εἰ δὲ μὴ παρείη τὸ διὰ χυλοῦ δοτέον. τὸ διὰ τῶν σαρκῶν τῶν κυδωνίων σκευαζόμενον. ἢ οὐδ' ὅλως προσλαβὸν πεπέρεως. ἢ πάνυ ἐλάχιστον. εἰ δὲ ἐπέχοιτο ἡ γαστὴρ ἐπὶ τῶν δι' ἀπεψίαν τὸν ἐφήμερον πυρεττόντων πυρετὸν. εἰ μὲν ἔτι ἐν τῇ γαστρὶ περιέχοιτο τὰ σιτία, χλιαρὸν πλεῖστον ποτίσαντες. δακτύλων. ἢ πτερῶν καθέσει, κελεύσομεν ἐμέτῳ τὸ λυποῦν ἐκκενῶσαι. ἔπειτα θάλψαι τὰ ὑποχόνδρια. καὶ ἡσυχίαν ἄγειν. εἰ δὲ ὑποβιβασμὸς ἤδη γέγονε τῆς τροφῆς περὶ τὰ ἔντερα. κατακλιτέον αὐτοὺς ἀνάῤῥοπα ἔχοντας τὰ περὶ τὴν κεφαλήν. καὶ τὸν στόμαχον μέρη. καὶ θαλπτέον τὴν γαστέρα, ὕπνον ἐπιτηδεύοντες. μετὰ δὲ τὸν ὕπνον, βαλανεῖον ὑποθετέον πρὸς κομιδὴν τῶν ὑποβιβασθέντων περιττωμάτων. ἢ κλυστῆρι πρᾳοτέρῳ. οἷον ἀφεψήματι πιτύρων κενωτέον. δίαιτα δὲ λεπτοτάτη ἔστω, ῥυπτικὸν ὅτι πλεῖστον ἔχουσα ἐν ἑαυτῇ. εἰ δὲ ἐκπνευμάτωσις πρὸς γένοιτο. συνεψεῖν δὲ τῷ ἐλαίῳ κύμινον. πήγανον. καὶ ἐν ἰσίαι. κενωθείσης δὲ οὕτως τῆς γαστρὸς, αὐτίκα τρέφειν. εἰ δὲ καὶ ἀλύπως ὑπνώσειε, λούειν τῇ ἐφεξῆς. χρωμένοι κατὰ τῆς γαστρὸς τῷ ναρδίνῳ μύρῳ. μετὰ βραχέος οἴνου. καὶ μετὰ τὸ λουτρὸν, ὁμοίως λεπτῶς διαιτᾶν. εἰ δὲ καὶ ἡ τρίτη ἐνέγκοιέ τινα πυρετὸν, οὐδὲ οὕτω φοβεῖσθαι. ἀλλὰ λούειν ὁμοίως. καὶ τρέφειν μετρίως. διδόναι δὲ χρὴ τοῖς τοιούτοις πρὸ τῆς τροφῆς τῶν πεπτικῶν ὀξυπορείων τινός. καὶ μάλιστα τοῦ διὰ τῶν κυδωνίων μήλων, ὅσον κοχλιάριον.

Θεραπεία ἐφημέρων. πολυημέρων λεγομένων. ὧν τινὲς ἐκ μεταπτώσεως τῶν ἐφημέρων τὴν γένεσιν ἔχουσιν ἐπ' ἐμφράξει τοῦ δέρματος. ξθ.

Γίνονται δέ τινες πυρετοὶ ἐπ' ἐμφράξει τῶν περὶ τὸ δέρμα ἀραιῶν. ἐκ μεταπτώσεως τῶν ἐφημέρων. ὅταν μὴ καλῶς εὐθὺς θεραπευθεῖεν ἐξ ἀρχῆς. μάλιστα δὲ τοῦτο συμβαίνει ἐπὶ τῶν κακοχύμων σωμάτων, ὅταν ἐξ ἀδηφαγιῶν πολλῶν τυγχάνουσιν ὄντες. ἐπὶ γοῦν τῶν τοιούτων, κατὰ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν, ἄχρι τινὸς οὐκ ἔστιν ἐν τῷ σφυγμῷ τὸ τῆς σήψεως σημεῖον. ὥσπερ οὐδὲ ἐν τοῖς οὔροις τὰ τῆς ἀπεψίας. μὴ κενουμένης μὲν τῆς παρακμῆς. καὶ μηκέτι ἀνάλογον ἐνδιδούσης. εἴσω πως ἡ διάθεσις ἐστίν. εἰ γὰρ μὴ διαπνεύσῃ τελέως, ἀναγκαίως σαπῆναι τὴν κακοχυμίαν. εἰ μὲν οὖν παιδίον. ἢ γέρον ὁ κάμνων εἴη, φλεβοτομεῖν οὐκ ἐγχωρεῖ. μεταξὺ δὲ τῶν ἡλικιῶν ῥώμης παρούσης τῷ κάμνοντι, φλεβοτομητέον, εἴγε καὶ τὰ τοῦ πλήθους ἐν τῷ σώματι παρείη σημεῖα. ἀφαιρεῖν δὲ ἀνάλογον, τῇ τε δυνάμει. καὶ τῷ μεγέθει τῆς ἐμφράξεως. μείζων μὲν γὰρ ἐπὶ ταῖς σφοδροτέραις ἐκφράξεσι συμπίπτει ὁ πυρετός. ἐλάττων δὲ ἐπὶ ταῖς μικροτέραις. κενωθέντος δὲ τοῦ πλήθους. καὶ ἀραιωθέντων τῶν πόρων, καὶ τὰ καπνώδη. καὶ λιγνυώδη περιττώματα διαπνεόμενα, ἐλάττω γίνοιτ' ἄν. κίνδυνος γὰρ τοῖς ἐμφράττειν δυναμένοις κεχρῆσθαι πρὶν κενῶσαι. αἱ γὰρ ὑπτικαὶ δυνάμεις ἀναφερόμεναι, συνεπισύρονταί τι τῶν τοῖς ἀγγείοις παχέων. ἢ γλίσχρων. καὶ διπλασιάζουσι τὰς ἐν τοῖς στενοῖς πόροις ἐμφράξεσιν. εἰ δὲ καὶ ἐκτὸς τοῦ δέρματος προσαχθείη τὰ ῥύπτοντα κίνδυνος συνεπισπάσασθαί τι καὶ ἄλλο πρὸς τοὺς ἐμπεφραγμένους πόρους. ὅπως οὖν ἀσφαλῶς καὶ τοῖς ἔνδοθεν ἀναφορὰ, καὶ τοῖς ἔξωθεν ἡ ὁλκὴ γίνοιτο. χρησιμωτάτη ἐστὶ, πρὸς δύναμιν κενῶσαι τὸ σῶμα. κενώσαντος δὲ, διδόναι μετ' οὐ πολὺ τῶν ῥυπτικῶν τινὰ τροφῶν. ἢ φαρμάκων. ἐν τροφῆς μὲν λόγῳ, πτισάνην καὶ μελίκρατον. ἐν φαρμάκων δὲ, ὀξύμελι, τὸ ἐκ μόνου ὄξους καὶ μέλιτος ἐσκευασμένον. ὅσον γὰρ τῷ ὀξυμέλιτι συνέψεται ἐπὶ τῶν ἄλλων. οἷον καλαμίνθην. καὶ τὰ παραπλήσια θερμὰ τυγχάνοντα, ἐξάπτει τοὺς πυρετοὺς ὥσπερ καὶ ὁ οἶνος. ὀξύμελι δὲ, οὔτε τοὺς πυρετοὺς ἐξάπτει, ἀλλὰ καὶ ῥύπτει γενναίως. μετὰ δὲ τὴν τρίτην ἡμέραν μήτε τοῦ τοῖς σήψεως τῶν χυμῶν σημείου παρόντος ἐν τοῖς σφυγμοῖς, μήτε ἐν τοῖς οὔροις τῆς ἀπεψίας. καὶ ἡ ὕποπτος ὥρα καθ' ἣν εἰσέβαλεν ὁ πυρετὸς, ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διελήλυθε, θαῤῥῶν ἤδη χρὴ λούειν τὸν ἄνθρωπον. εἰ δὲ καὶ περὶ τὴν δεκάτην ὥραν ὑποπτεύοιτό σοι ὁ παροξυσμὸς, λούειν χρὴ πρὸ τῆς ἕκτης ὥρας. ἐν δὲ τῷ βαλανείῳ προθερμανθέντος τοῦ σώματος, ἀλείφειν χρὴ ἐλαίῳ γλυκεῖ χλιαρῷ. καὶ ἀνατρίβειν μετριώτερον. ἔπειτα διαρύπτειν καὶ ἀποπλύνειν ἔξωθεν τὸ σῶμα. ἐκλέγειν δὲ τῶν μετρίως ῥυπτόντων τινὰ, οἷον ἐστὶ τὸ κρίθινον ἄλευρον. καὶ τὸ τῶν κυάμων. εἶτα ἐμβιβάζειν τῷ θερμῷ εὐκράτῳ. ἔπειτα δὲ, καὶ τῷ ψυχρῷ μετρίως. εἰ δὲ περὶ δεκάτην ὥραν εἰ τύχοι ὑποπτεύοιτο ταραχή τις, μηδὲν διδόναι πλὴν ὕδατος ἔχοντα ἐναφεψημένον ὕσσωπον. σελίνου ὀλίγον. εἶτα εἰ μηδὲν φαῦλον ἐνέγκοιεν ἡ ὥρα, τρέφειν. εἰ δέ τι καὶ γένοιτο, πάντων μέτρια φανεῖται. ὥστε καὶ λούσαις εἰς τὴν ἑξῆς ἡμέραν. καὶ θρέψαις. μεγάλης δὲ τῆς ἐμφράξεως γεγενημένης, ἐξ ἀνάγκης σηπεδὼν ἐπιγίνεται. ὅθεν ἡ ἐπὶ τῷ σηπεδονώδει πυ-

ρετῶν λεχθησομένη ἐπιμέλεια καὶ τούτοις ἁρμοδία.

Περὶ συνόχων πυρετῶν. ο΄.

Σύνοχος πυρετὸς ὀνομάζεται, οὗ ἀπ᾽ ἀρχῆς μέχρι τέλους, εἷς ἐστιν ὁ παροξυσμός. οὐδὲ μίαν ἔμφασιν ἀρχῆς ἑτέρου παροξυσμοῦ ποιούμενος. εὐεκτικῶν δὲ σωμάτων καὶ πολυαίμων καὶ ἡλικίας θερμῆς, οἰκεῖός ἐστιν ὁ σύνοχος πυρετός. συνίσταται γὰρ ἐπὶ πλήθει αἵματος θερμοῦ, μήπω σεσηπότος. τῷ μὴ διαπνεῖσθαι τῇ ζέσει μόνῃ τὴν θερμασίαν ἐγείροντος. ὥσπερ ἐν ταῖς πιθάκναις, νέος οἶνος. ὥρα δὲ μάλιστα τῶν τοιούτων πυρετῶν, ἐστὶν ἡ ἐαρινή. τρεῖς δέ εἰσι τοῦ συνόχου διαφοραί. ἤτοι διαμένοντα ἴσου τοῦ μεγέθους ἐξ ἀρχῆς μέχρι λύσεως. ἢ προστιθέντος. ἢ ἀφαιροῦντος. τοῦτο δὲ συμβαίνει τῷ μᾶλλον ἢ ἧττον γίγνεσθαι τὰς διαπνοὰς, ἐκ τοῦ πυκνότερον ἢ ἀραιότερον εἶναι τὴν ἕξιν τοῦ πάσχοντος σώματος. πλῆθος δέ ἐστι πολὺ τὸ λυποῦν ἐπὶ τῶν τοιούτων. καὶ ζέσιν τοῦ αἵματος ἐξῆς ὁ πυρετὸς ἀνήφθη. ἐνίοτε δὲ καὶ πάχος. σκοπὸς οὖν τῆς θεραπείας ἐπ᾽ αὐτῶν κενῶσαι τὸ πλῆθος. σβέσαι τὴν παρὰ φύσιν θερμότητα. καὶ τέμνειν τὸ πάχος εἰ παρείη. εἶθ᾽ οὕτω τὴν ἀρχαίαν εὐκρασίαν κατασκευάσαι τοῖς ἀσθενήσασι μορίοις.

Περὶ φλεβοτομίας. οα΄.

Ἰσχυρᾶς μὲν οὖν τῆς δυνάμεως ὑπαρχούσης, καὶ τῆς ἡλικίας συγχωρούσης, καὶ μηδενὸς ἑτέρου ἰσχυρῶς ἐναντιουμένου, ἀφαιρεῖν αἵματος χρὴ τοσοῦτον, ὅσον ἂν ἡ δύναμις φέρῃ. ἄμεινον ἂν δυνάμεως παρούσης ἄχρι λειποθυμίας ἄγειν. μὴ φλεβοτομηθέντα δὲ, οὕτως εἰς ἔσχατον ἥκουσι κίνδυνον. ὥστε ἢ πνιγῆναι, ἢ συγκοπήσεσθαί γε πάντως αὐτούς. εἰ μή τε ῥώμη δυνάμεως. ἢ αἱμορραγία λάβρος. ἢ ἱδρὼς πολὺς, ἐξαρπάσει αὐτοὺς ὀλέθρου προφανοῦς. τὸ γὰρ πλῆθος ἐπὶ τούτων μηκέτι χωρῆσαι δυνάμενον πρὸς τῶν ἀγγείων ἐμφράττεσθαι. καὶ διατείνει τὸν ὄγκον τοῦ σώματος. καὶ διατεῖνον αὐτῶν ἐνίοτε ῥήγνυσι. καὶ ἀναστομεῖ τὰ ἀγγεῖα μάλιστα ἐν ῥισί. τούτου χάριν σπεύδειν χρὴ ἀφαιρεῖν τοῦ αἵματος, ὅσον ἡ δύναμις φέρει. ὅπως ἡ τῶν ἀγγείων φύσις ἐκ τοῦ διαπνεῖσθαί τε καὶ ῥιπίζεσθαι τὴν φυσικὴν εὐκρασίαν φυλάττουσα κατὰ τὸν ἐξ ἀρχῆς τόπον ἐπικρατῇ τὸν χυμόν. προσέχειν δὲ χρὴ καὶ τοῖς τῆς φλεβοτομίας σκοποῖς. προηγουμένης μὲν γὰρ ἀπεψίας σιτίων, τοσοῦτον χρόνον ἀναβάλλεσθαι τὴν φλεβοτομίαν προσήκει, ὅσον ἂν δοκῇ ἱκανόν. πρός γε τὴν γαστρὸς πέψιν αὐτῶν. καὶ τὴν τῶν ἐντέροις περιττωμάτων ὑποχώρησιν. εἰ δὲ ὑποπτεύοιτο μετὰ φλεβοτομίαν, ἑτέρα τις κένωσις αἵματος γίγνεσθαι. οἷον γυναικείων κάθαρσις. ἢ τῶν ἐν ἕδρᾳ αἱμορροΐδων, ἀπολιπεῖν χρὴ ἐν τῇ φλεβοτομίᾳ τοῦ αἵματος τοσοῦτον, ὅσον μέλλει διὰ τῶν ἄλλων τόπων κενοῦσθαι. ὥστε εἴτε καταμήνια τύχοι κινηθέντα, εἴθ᾽ αἱμορροῒς ἀναστομωθεῖσα. ἐπιτρέπει τῇ φύσει τὸ σύμπαν. εἰ δὲ μὴ τοσοῦτον ὅσον ἐχρῆν ἐκκενωθεῖ, τότε φλεβοτομεῖν. ὥστε ἐξ ἀμφοτέρων συντεθέντων, ἀνυσθῆναι τὸ προσῆκον. ἐπιτήδειος δὲ πρὸς φλεβοτομίαν ἕξις σώματος, σκληρὰ καὶ πολύαιμος καὶ πυκνὴ καὶ δυσδιαφόρητος. κατάστασις δὲ ἀέρος, ὑγρὰ μᾶλλον. ἀντιπράττει δὲ τῇ φλεβοτομίᾳ, παιδικὴ, καὶ γεροντικὴ ἡλικία, κρᾶσις θερμὴ καὶ ξηρὰ ἄγαν. καὶ χώρα καὶ ὥρα τοιαύτη. καὶ ὅσοι τὴν φύσιν ὑγροί. καὶ μάλιστα σὺν θερμότητι. καὶ οἱ ἀραιοὶ τὴν ἕξιν. ἔτι δὲ καὶ οἷς τὸ στόμα τῆς γαστρὸς ἢ πικρόχολον σφόδρα. ἢ ἄρρωστον ἢ πέραν τοῦ δέοντος αἰσθητικόν. οὗτοι γὰρ πάντες εὐδιαφόρητοί εἰσι. καὶ λειποθυμίαις δυσανακομίστοις ἁλίσκονται ἐπὶ ταῖς φλεβοτομίαις. ὁμοίως δὲ κἂν τριακονταέτης ὁ φλεβοτομούμενος ᾖ. πλαδαρὸς δὲ καὶ μαλακὸς. καὶ πιμελώδης καὶ λευκὸς τῷ σώματι. καὶ μικρὰς ἔχων τὰς φλέβας, ἤτοι οὐδ᾽ ὅλως φλεβοτομήσεις, ἢ ὀλίγον ἀφαιρήσεις. οὐδ᾽ ὅλως μὲν ἐν θερινῇ ὥρᾳ καὶ τοῖς ὁμοστοίχοις αὐτῇ. ὀλίγον δὲ ἐν ταῖς ἄλλαις ὥραις καὶ καταστάσεσι. τινὲς οὖν λειποθυμήσαντες ἐν ταῖς τῶν ἰατρῶν χερσὶν, οὐκέτ᾽ ἀνεκλήθησαν, ὡς εἴ τις ἐκένωσεν ἄνευ τοῦ καταλῦσαι τὴν δύναμιν, οὐκ ἂν ἀπώλοντο. ἄλλοι δὲ εἰς τὸν ἐφεξῆς βίον ἅπαντα τὴν κρᾶσιν ὅλου τοῦ σώματος ἔσχον ψυχροτέραν διὰ τὴν ἄμετρον κένωσιν. ὡς οἱ μὲν κακόχροοι καὶ καχέκται διετέλεσαν. οἱ δὲ ἐξ αὐτοῦ τούτου νοσήμασιν ὀλεθρίοις ἑάλωσαν. ὑδέροις καὶ ὀρθοπνίαις. καὶ ἥπατος καὶ γαστρὸς ἀτονίαις. καὶ ἡμιπληγίαις. κάλλιστον μὲν οὖν ὡς ἐθεάσω διαπαντὸς ἡμᾶς ποιοῦντας. οὐχ ἡμερῶν ἀριθμῷ προσέχειν τὸν νοῦν. οὐδὲ μόνῳ τῷ πλήθει, ἀλλὰ τῇ ῥώμῃ τῆς δυνάμεως. ἐπὶ πάντων μέν. μάλιστα δὲ ἐπὶ τῶν συνόχων πυρετῶν. εἰ γὰρ ἡ δύναμις διασώζοιτο, μὴ μόνον ἑκταίους καὶ ἑβδομαίους, ἀλλὰ καὶ τὰς ἑξῆς ἡμέρας φλεβοτομεῖν.

Περὶ τῆς τοῦ ψυχροῦ ὕδατος δόσεως οβ΄.

Εἰ δὲ ἀναγκασθείης ποτὲ θεραπεύειν ἄρρωστον. οὐ μὴ μόνον ἔμπροσθεν παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα. ἀλλὰ καὶ νῦν ἤτοι διὰ δειλίαν τοῦ κάμνοντος ἢ τῶν αὐτῶν διαφερόντων κωλυθείης ἀφαιρεῖν τοῦ αἵματος, ἐπὶ τὴν τοῦ ψυχροῦ δόσιν ἔρχεσθαι. διορισάμενος ἀκριβῶς ὁπόση τις ἐξ αὐτοῦ γενήσοιτο βλάβη. μικρᾶς γὰρ ἢ οὐδ᾽ ὅλως ἐσομένης, διδόναι πίνειν ἀκραιφνὲς ψυχρὸν. ὅσον ἂν ὁ κάμνων βούληται. διδόναι δὲ τὸ ψυχρὸν τότε, ὅταν ἐν τοῖς οὔροις ἴδοις τὰ τῆς πέψεως σημεῖα. οὔτε δὲ ἐν ἀρχαῖς οὔτε ἐν ἀναβάσει δοτέον τὸ ψυχρὸν, ἀλλ᾽ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ ὅλου νοσήματος. καὶ τοῦ μερικοῦ παροξυσμοῦ. ἐν καιρῷ γὰρ τῷ δέοντι δοθὲν τὸ ψυχρὸν, ῥώννυσι τὴν τῶν στερεῶν μορίων φύσιν. ῥωσθεῖσα δὲ ἡ φύσις, ἐπιτίθεται τοῖς προλελεπτυσμένοις χυμοῖς. ὥστε τοὺς χρηστοὺς μὲν κατέχειν.

τοὺς δὲ

τοὺς δὲ ἀχρήστους ἐκβάλλειν. ἤτοι διὰ γαστρὸς. ἢ δι᾽ ἐμέτων. ἢ δι᾽ ἱδρώτων. εἰ δὲ καὶ ψυχροπότης ὁ κάμνων εἴη ἐν τῷ τῆς ὑγείας καιρῷ πάνυ θαῤῥῶν δίδου τὸ ψυχρόν. αὐτῇ τῇ πείρᾳ δεδιδαγμένος ἀνέχεσθαι πάντα τὰ σπλάγχνα τῆς τοῦ ψυχροῦ ὁμιλίας. πάντως γὰρ ἔτι ψυχρὸν μόριον οὕτως ὑπῆρχεν ὡς πλήττεσθαι πρὸς αὐτοῦ κατὰ τὸν τῆς ὑγείας καιρόν. ἐν ἀρχῇ τὴν βλάβην ἐνεδείξατο ἄν. οὐδενὸς δὲ μορίου ἐν τῇ ὑγείᾳ βλαβέντος. οὐδὲ ἐν τῷ πυρέττειν βλαβείη τι. πρόβλημα μέγιστον ἔχον ἐν τῷ βάθει τὸ πλῆθος τῆς πυῤῥώδους θερμασίας. διαφερόντως τοῖς ὀλίγον αἷμα καὶ σάρκα ἐλαχίστην ἔχουσιν, ἡ πόσις τοῦ ψυχροῦ σφαλερωτέρα. ταχὺ γὰρ ἐπὶ τὰ στερεὰ τοῦ ζώου μόρια διικνεῖται. γεγυμνωμένα τῶν σαρκῶν. διαφερόντως δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν. οὔτε ἀκραιφνοῦς, οὔτε πολλοῦ χρῄζουσι τοῦ ψυχροῦ. λεπτὰ γὰρ ἐπ᾽ αὐτῶν καὶ ὀλίγαιμα τὰ σώματα. ὅθεν μεγάλης τῆς βλάβης προσδοκωμένης ἐπὶ τῶν ἀνεπιτηδείων, ἀφίστασθαι χρή, τῆς τοῦ ψυχροῦ δόσεως. κεχρῆσθαι δὲ τοῖς ἄλλοις βοηθήμασιν. ὅσα τὰς ἐμφράξεις ἐκφράττει. καὶ τὸ πλῆθος κενοῖ. καὶ πραΰνει τὸ ζέον τῶν πυρετῶν. αἱ δὲ ἐξ ἀκαίρου πόσεως ψυχροῦ βλάβαι, κατὰ τάδε γίγνονται. τοὺς γλίσχρους καὶ παχεῖς χυμούς, κωλύει τὸ ψυχρὸν λεπτύνεσθαι. καὶ διαφορεῖσθαι διὸ καὶ φλεγμονὴ εἴη ἔν τινι τῶν σπλάγχνων. καὶ ἐρυσίπελας. καὶ σκιῤῥώδης. ἢ οἰδηματώδης διάθεσις, οὐδὲν εἰς τούτου ἴασιν ἡ τοῦ ψυχροῦ πόσις συντελεῖ. ἀλλὰ παραχρῆμα μὲν, οὐκ ὀλίγην φέρει τὴν ῥαστώνην ἐπὶ τῷ σβέσαι τὸν ἤδη γεγονότα πυρετόν. μενούσης δὲ ἔνδον τῆς αἰτίας, ὅταν ἐκ τοῦ ψυχροῦ πυκνωθῇ τὸ σῶμα, ἕτερον ἀνάπτει πυρετὸν, χαλεπώτερον τοῦ πρόσθεν. καὶ τοῦτο μὲν τὸ εἶδος τῆς βλάβης, οἱ κατὰ φρόνιν τοῦ. πολλοὶ δὲ ἀσθενῆ ἔχοντες τὰ σπλάγχνα, ῥᾷον πλήττονται ἀπὸ τῆς τοῦ ψυχροῦ δόσεως. τῷ μὲν γὰρ στόμαχος ἔπαθεν οὕτως ἰσχυρῶς, ὥστε ἀπολέσαι τὴν ἐνέργειαν. καὶ μόγις δύνασθαι καταπίνειν. τῷ δὲ, ἡ γαστὴρ ἐβλάβη, ὡς μόγις πέττειν. ἄλλῳ δὲ ἧπαρ, ὡς ἐκ τούτου εἰς ὕδερον ἐμπεσεῖν. ἄλλῳ δὲ τὸ κῶλον. ἢ ὁ πνεύμων. ἢ νεφροί. καὶ κύστις. ἢ τι ἕτερον ἀπὸ τοῦ ψυχροῦ πληγὲν, ἄῤῥωστον εἰς τὴν οἰκείαν ἐνέργειαν ἐγένετο. τινὲς δ᾽ αὐτῶν αὐτίκα ὀρθοπνοίαις. ἢ κάρῳ. ἢ ληθάργῳ. ἢ παρωτίσιν. ἢ σπασμοῖς. ἢ τρόμοις. ἢ ἀποπληξίαις ἁλίσκονται. καὶ συλλήβδην εἰπεῖν, κακοῦται πᾶν τὸ νευρῶδες αὐτοῖς καὶ ἡ κεφαλή. οἶδα ὅτι αὖθις φοβερὸν πρὸς τὴν τοῦ ψυχροῦ δόσιν εἰργασάμην ἐξ ὧν εἶπον. ἀλλ᾽ ἐθεασάμεθα πολλάκις χρησάμενον ἐν καιρῷ, καὶ ἐφ᾽ ὧν δεῖ. ἀεὶ δὲ ὠφελήσαντα, χωρὶς τοῦ βλάψαι τὸν κάμνοντα.

Δίαιτα ἐπὶ συνόχων. ογ.

Ἐπὶ μὲν οὖν τῶν φλεβοτομουμένων, ἐγὼ ὡς μετὰ δύο ὥρας τῆς φλεβοτομίας, ἀεὶ δίδωμι πτισάνης χυλὸν ὀλίγον. καὶ κελεύω ἡσυχάζειν. καὶ μετὰ τὸ διαναστῆναι ἐκ τῶν ὕπνων. πάλιν ὁμοίως χυλὸν πτισάνης παρέχω. καὶ τούτῳ ἐπιμένω μέχρι τρίτης ἡμέρας. τῇ δὲ τετάρτῃ ὡς ἐπίπαν ἐπὶ λουτρὸν ἄγω. φλεβοτομηθέντες γὰρ οἱ τοιοῦτοι εὐκαίρως μετὰ δυνάμεως ἐῤῥωμένης. καὶ κενωθέντες μέχρι λειποθυμίας, ἐξ ἀνάγκης αὐτοῖς μετ᾽ οὐ πολὺ ἕπεται γαστρὸς διαχώρησις. λεπτυνθέντων δηλονότι τῶν χυμῶν. καὶ κουφισθείσης, καὶ ἀναῤῥωσθείσης τῆς δυνάμεως. ἔστιν δὲ ὅτε καὶ χολῆς ἔμετος ἐφ᾽ οἷς αὐτίκα καὶ νοτίδες διαπαντὸς τοῦ νοσήματος, ἢ ἱδρῶτες ἐπιγίνονται. ὥστε καὶ θαῤῥούντως τούτους λοῦε τῇ τετάρτῃ τῶν ἡμερῶν. καθόλου δὲ ὁ καιρὸς τῆς τροφῆς ἐπὶ τῶν συνόχων πυρετῶν. τούτων δὲ τῶν προειρημένων. καὶ τῶν μετὰ ταῦτα λεχθησομένων, ὅσοι γε ἕνα μόνον ἀπ᾽ ἀρχῆς ἄχρι τοῦ τέλους ἔχουσι παροξυσμόν. ἥτε εὐφορία ἐστὶ τοῦ κάμνοντος. καὶ τὸ ἔθος. τηνικαῦτα γὰρ αὐτοῖς δοτέον ὅταν εὐφορώτατοι σφῶν αὐτῶν ὑπάρχωσι. καὶ μάλιστα κατ᾽ ἐκεῖνον τὸν καιρὸν τῆς ἡμέρας. ἐν ᾧ καὶ πρόσθεν ὑγιαίνοντες ἔθος εἶχον σιτεῖσθαι. μάλιστα γὰρ ἂν εὐφόρως ἐνέγκαιεν τὰ σιτία. κατὰ τούτους τοὺς καιροὺς λαβόντες. ἐῤῥωμένης μὲν οὖν τῆς δυνάμεως. καὶ τῆς ἀκμῆς τοῦ νοσήματος ἐν τάχει προσδοκωμένης, ἔξεστι λεπτότατα διαιτᾶν. ἀῤῥωστούσης δὲ τῆς δυνάμεως, οὐκ ἔστι λεπτῶς διαιτᾶν. ἄνευ μεγάλης ζημίας. ὅθεν χρὴ προστιθέναι τοῖς φέρουσιν, ὅσον ἀφῃρήκασι τῆς εὐτονίας αἱ δυνάμεις.

Καθολικὴ διδασκαλία. περὶ τῶν ἐπὶ σηπεδόνι πυρετῶν. οδ.

Ἡ τῆς διαπνοῆς κώλυσιν, ἔμφραξιν ἐργάζεται τῶν ἐν παντὶ τῷ σώματι ἀδήλων πόρων. δι᾽ ὧν τὰ καπνώδη περιττώματα. καὶ λιγνυώδη ὁσημέραι διαπνεῖται. ἡ δὲ τῆς ἐμφράξεως διάθεσις. ὅταν αὐτή τε σμικρὰ τύχῃ. καὶ καλῶς παιδαγωγηθῇ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. ὅταν δὲ ἤτοι διὰ μέγεθος ἢ ἀμαθίαν τῶν ἰατρῶν, ἐκπέσῃ τοῦ συνήθους χρόνου τῶν ἐφημέρων, ἤτοι τὸν σύνοχον. ἤ τινα ἕτερον τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀνάπτει πυρετόν. ἡ δὲ κώλυσις τῆς διαπνοῆς, πολυειδῶς γίγνεται. καὶ πυκνουμένων τῶν πόρων διά τε ξηρότητα. ἢ στύψιν τοῦ δέρματος. καὶ διὰ πλήθους καὶ πάχος. καὶ γλισχρότητα χυμῶν φραττομένων. κωλυομένων τοίνυν τῶν ὁσημέραι διαπνεομένων καπνωδῶν καὶ λιγνυωδῶν περιττωμάτων, κακοῦται τὸ ἐν ἡμῖν κατὰ φύσιν θερμόν. ἕτερον δὲ παρὰ φύσιν ἐπιγινόμενον τοῖς σώμασι. τοὺς μὲν χυμοὺς πρῶτον δι᾽ ὑγρότητα σήπει καὶ διαφθείρει. τῷ χρόνῳ δὲ καὶ τῆς πιμελῆς καὶ τῆς σαρκός. καὶ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται. ἔστι δὲ ἡ σῆψις, μεταβολὴ ἐπὶ φθορᾷ τῆς οὐσίας τῆς οὔσης. τοῦ σηπομένου σώματος. ἀπὸ τῆς

παρὰ φύσιν θερμασίας γιγνομένης. οἱ μὲν οὖν σηπόμενοι χυμοί. ἢ ἐν τοῖς τῶν ἀγγείων στεγόμενοι.
τοὺς συνεχεῖς καὶ εἰς ἀπυρεξίαν μὴ παυομένους, μέχρι τέλους λύσεως τοῦ νοσήματος ἐργάζον-
ται πυρετούς. ἢ πάντῃ τοῦ σώματος φερόμενοι. καὶ διεκπίπτοντες ἔξω τῶν ἀγγείων. τινὰ τῶν κατὰ
περίοδον παροξυνομένων. καὶ διαλείμματα ἐχόντων, ἀνάπτουσι πυρετόν. οἷον, τριταῖον. τεταρ-
ταῖον. ἀμφημερινόν. ἢ ἕτερον παραπλήσιον. αἴτιον δὲ τοῦ μὴ ἐκπίπτειν τῶν ἀγγείων ἔξω τοὺς χυμοὺς
ἐπὶ τῶν συνεχῶν πυρετῶν ἐστιν, ἢ τὸ πλῆθος. ἢ τὸ πάχος. ἢ γλισχρότης αὐτῶν. ὥσπερ οὖν οἷς τῶν
ἀψύχων σωμάτων σήπεται. πρῶτον μὲν ἀποβάλλομεν αὐτῶν, ὅσον ἤδη σέσηπε. εἶθ᾽ οὕτως τὸ λοι-
πὸν αἰωρίζοντες ἐν ἀέρι ψυχρῷ. διαπνοὰς εὐψυχεῖς μηχανώμεθα, κατὰ τὸν αὐτὸν τρόπον ἰασόμεθα
τὴν ἐν τοῖς ἀνθρωπείοις σώμασι σηπεδόνα. τὸ μὲν ἤδη διεφθαρμένον ἐκκενοῦντες ἅπαντι τρόπῳ. τὸ
10 δὲ λοιπὸν αἰωρήσεσί τε μετρίαις καὶ διαπνοαῖς εὐψυχέσιν. εἰς τὴν ἀκριβῆ καὶ κατὰ φύσιν συμμετρίαν
ἐπαναγαγόντες. διαλαβόντες τοίνυν πρότερον περὶ τῶν μὴ διαλειπόντων πυρετῶν, μνημονεύσο-
μεν ἐφεξῆς κατ᾽ ἀκολουθίαν, καὶ τῶν λοιπῶν.

Περὶ τῶν ἐπὶ σηπεδόνι πυρετῶν. οε´.

Ὅταν ἐν ἅπασι τοῖς ἀγγείοις. μάλιστα δὲ τοῖς μεγίστοις. κατά τε τὰς μασχάλας καὶ βουβῶνας. καὶ τοῖς
παραπλησίοις. αἷμα θερμότερον ὁμοτίμως πλεονάζον σαπῇ, τὸν ἐπὶ σηπεδόνι σύνοχον καλούμε-
νον πυρετὸν ἐργάζεται. τὰ δὲ πολλὰ ἐν πολυαίμοις τε καὶ πολυσάρκοις σώμασι. καὶ πυκνοῖς τὴν ἕ-
ξιν. καὶ περιττώμασι θερμοῖς πεπληρωμένοις, ἡ γένεσις αὐτῶν ἐστι. ταῦτ᾽ ἄρα τούτοις ἤδη πυρέττου-
σιν, ὁ σφυγμὸς μέγιστος ἐστὶ καὶ ὁμαλός. καὶ σφοδρός. καὶ τὴν σύστασιν τῆς ἀρτηρίας οὔτε σκληρο-
τέραν. οὔτε μαλακωτέραν τοῦ κατὰ φύσιν ἔχων. τάχους δὲ εἰς τοσοῦτον ἥκει καὶ πυκνότητος, εἰς ὅ-
20 σον ἂν ὁ πυρετὸς αὐτὸς ἥκει μεγέθους. κοινὰ μὲν οὖν ἀμφοῖν τούτου τε. καὶ τοῦ χωρὶς σήψεως προει-
ρημένου συνόχου, ταῦτα. πρόσεστι δὲ ἐξαίρετα τούτου τὰ τῆς σήψεως σημεῖα, ἐν τοῖς οὔροις καὶ τοῖς
σφυγμοῖς. καὶ τῷ τῆς θερμασίας εἴδει. ἡ δὲ θεραπεία τούτων πυρετῶν, ἐν ἑκατέρῳ τῷ γένει κοινω-
νεῖ, τῷ τε μετὰ σήψεως. καὶ τῷ χωρὶς ταύτης. ἀλλ᾽ ἡ μὲν οὐσία καὶ ἡ σύμπασα φύσις αὐτῶν, ἐκ
τοῦ γένους ἐστὶ τῶν ἐπὶ σήψει. καθὸ δὲ εἷς ἐστιν ὁ παροξυσμὸς αὐτῶν σύμπας, ἀπ᾽ ἀρχῆς μέχρι λύ-
σεως ὅλης τῆς νόσου, κατὰ τοῦτο κοινωνεῖ τῷ ἐκ τῆς σήψεως συνόχῳ. χρὴ τοίνυν καὶ τὰ τῆς ἰάσεως
αὐτοῖς καθ᾽ ἓν τοῦτο μόνον εἰς κοινωνίαν ἥκειν συνόχοις. κατὰ δὲ τὰ ἄλλα σύμπαντα, δίχα τμηθῆ-
ναι. καὶ τινὰς μὲν σκοποὺς θεραπευτικοὺς ἐκ τοῦ γένους τῶν ἐπὶ σήψει λαβεῖν. τινὰς δὲ ἐκ τῆς οἰκείας
ἑαυτῶν οὐσίας. αἷμα γάρ ἐστιν ἐπὶ τούτῳ τὸ τὴν σῆψιν ἀναδεξάμενον. οὕτως δὲ καὶ τὰς ἄλλας διαφο-
ρὰς τῶν ἐπὶ σηπεδόνι χυμῶν ἰᾶσθαι προσήκει. τὴν ἔνδειξιν ἀπό τε τῆς σήψεως λαμβάνοντες, καὶ
30 τῆς καθ᾽ ἕκαστον ἰδίας διαφορᾶς. οἷον φλέγματος. ἢ χολῆς ἑκατέρας. ἐπεὶ τοίνυν τῶν ἐπὶ σηπεδόνι
πυρετῶν. ἑπτὰ μὲν ὑπόκειται τὰ παρὰ φύσιν. ἀφ᾽ ὧν αἱ ἐνδείξεις. πλῆθος χυμῶν καὶ πάχος. καὶ
γλισχρότης. ἔμφραξίς τε. καὶ τῶν διαπνεομένων ἐπίσχεσις. καὶ σῆψις. καὶ πυρετὸς οὐκ ἔχων διά-
λειμμα. ἑκάστην δὲ τῶν ῥηθεισῶν διαθέσεων, ἰᾶσθαι χρή, διὰ τῶν ἐναντίων. τὸ μὲν πλῆθος τῇ κενώσει.
τὸ πάχος τοῖς τέμνουσι. τὴν γλισχρότητα τοῖς ῥύπτουσι. τὴν ἔμφραξιν, τοῖς ἐκφρακτικοῖς. τὴν δὲ τῶν
διαπνεομένων ἐπίσχεσιν. εἰ μὲν διὰ πίλησιν τοῦ δέρματος γέγονε, τοῖς χαλῶσιν. εἰ δὲ διὰ πύκνωσιν τοῖς
ἀραιοῦσιν. εἶτα τὴν μὲν σῆψιν, τοῖς ῥύπτουσι καὶ ἀλλοιοῦσι καὶ μεταβάλλουσι. τὸν δὲ πυρετόν, τοῖς
ἐμψύχουσι. τῶν μὲν οὖν δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν, φλεβοτομητέον καὶ τούτους, χωρὶς ἀπε-
ψίας τῆς κατὰ γαστέρα. ἢ ἑτέρου τινὸς κωλύοντος. καθὼς ἔμπροσθεν εἴρηται. ἐξ ὧν γὰρ ἐπ᾽ ἐκείνων
προειρήκαμεν, σκοπεῖν χρὴ καὶ περὶ τούτων τὰ προσήκοντα. ἐπεὶ δὲ οὔτε τὴν ἔμφραξιν. οὐδὲ τὴν
40 σηπεδόνα δυνατόν ἐστι θεραπεῦσαι διὰ μόνης τῆς φλεβοτομίας, ἑτέρων βοηθημάτων δεομένας, ἀ-
ποθέσθαι χρή τι τοῦ αἵματος εἰς τὸν τῆς θεραπείας χρόνον, ὅπως μή ποτ᾽ ἀνάγκη καταλάβῃ τις διὰ
τὴν ἔνδειαν, ἀκαίρως τρέφειν. ὅσον γὰρ ἐπὶ τῷ τοιούτῳ πυρετῷ, οὐδόλως τρέφειν δεῖ. ὅσον δὲ ἐπὶ
τῇ κενώσει τοῦ αἵματος, δεήσει τρέφειν. ὥστ᾽ ἀναγκαῖον ἔσται δυοῖν θάτερον. ἢ τρέφοντας αὐξάνειν τὸν
πυρετόν, ἢ μὴ τρέφοντας καταλύειν τὴν δύναμιν. ἄμεινον οὖν ὡς εἴρηται καταλιπεῖν τὴν τοῦ αἵμα-
τος οἰκείαν τροφὴν τοῖς τοῦ ζώου μορίοις. αὐτὸν δὲ ἀρκεσθῆναι προσφοραῖς ὀλίγοις ῥοφημάτων. οἷον
ἐστὶ πτισάνη καὶ μελίκρατον ὧν ὡς φαρμάκων μᾶλλον ἢ τροφῶν χρήζομεν. εἰ δὲ παραλειφθείη διά
τι τὸ τῆς φλεβοτομίας βοήθημα, διαιτήσας τὸν ἄνθρωπον λεπτοτάτῃ διαίτῃ. ὅταν ἤδη πεττῶνται
μὲν οἱ χυμοί. τὸ δὲ πάχος αὐτῶν ἤδη προλελεπτυσμένον. ἐν ἀκμῇ ὄντος τοῦ πυρετοῦ, δοτέον αὐτοῖς τὸ
ψυχρὸν ὕδωρ, ὡς ἐπὶ τῶν συνόχων πυρετῶν. εἰ μή τι τῶν ἐκεῖσε προειρημένων κωλύει τὴν δόσιν,
50 παραλειφθείσης δὲ καὶ τῆς ἐκ τοῦ ψυχροῦ βοηθείας, τοῖς ἄλλοις βοηθήμασι κεχρῆσθαι. ἃ τὰς ἐμ-
φράξεις, ἐκφράττει. καὶ τὸ πλῆθος κενοῖ. καὶ πραΰνει τὸ ζέον ὡς προείρηται. καὶ ἑπομένως ἐφεξῆς
ῥηθήσεται.

Κοινὴ δίαιτα πάντων τῶν ἐπὶ σηπεδόνι πυρετῶν. ος´.

Κοινῶς ἐπὶ πάντων τῶν ἐπὶ σηπεδόνι πυρετῶν, ἐκκαθαίρειν χρὴ τὰ σεσηπότα τῶν χυμῶν, δι᾽ οὔρων.
καὶ γαστρὸς. καὶ ἱδρώτων. τοῦτο γὰρ κοινὸν ἁπάσης σηπεδόνος. εἰ δ᾽ αὐτόματα ποτὲ τὴν ὁρμὴν ἐπὶ

τὸ στόμα τῆς γαστρὸς ποιῆσαι τὸ κενοῦν διεμένων. ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν τοῖς δυσμενέσι ἐρεθίζειν πρὸς τὸ μὴ καταλῦσαι τὴν δύναμιν τοῦ στόματος τῆς γαστρός. οἷς μάλιστα ἐν τοῖς νοσήμασι χρήσομεν. ἐκλεκτέον δὲ ὅσα χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανὰ τὰς ἐρημωμένας κινήσεις ἐργάζεσθαι καθάπερ ὅτε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον. ὀξύμελί τε τὸ ἁπλούστατον. καὶ ἀπόμελι. καὶ ἡ τοῦ σελίνου ῥίζα κατὰ τὸ πινόμενον ὕδωρ ἑψωμένη. τὸ γοῦν μελίκρατον ὅσον μὲν ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς. καὶ ῥύπτειν τοὺς γλίσχρους. καὶ τὰς ἐκκρίσεις προσφέρειν, ἄριστον ἂν εἴη κατὰ τοὺς ἐπὶ στεγνώσει καὶ σήψει πυρετούς. καὶ μάλιστα τοὺς ἐπὶ σήψει συνόχους. ὅσον δὲ ἐπὶ τὴν θέρμην αὐξάνειν τοῦ πυρετοῦ, βλαβερὸν τὸ μελίκρατον. ὅθεν εἴπερ ἄμετρος εἴη θερμότης, φείδεσθαι μὲν χρὴ τοῦ μελικράτου. χρῆσθαι δὲ τῷ χυλῷ τῆς πτισάνης. εἰ δὲ τὰς ἐμφράξεις δυσλύτους εἶναι λογιζόμεθα,
10 ὀξύμελι δίδοται. καὶ μὴν καὶ τὸ ὀξύμελι χρησαμένων ἀμέτρως, ἔντερόν τε ξύει. καὶ βῆχα κινεῖ. καὶ τὰ νευρώδη μόρια βλάπτει, ὡς εἶναι τῶν δυσχερεστάτων εὑρεῖν τι βοήθημα τοιοῦτον. ὃ μηδὲν βλάπτον, ὀνίνησι μέγα. καὶ τοῦτο γίνεται διὰ τὴν ἐπιπλοκὴν τῶν παρὰ φύσιν ἐν τῷ σώματι διαθέσεων. ὅθεν ἐπὶ τῶν ἐρῶν ἀπὸ τοῦ τυχόντος βλαπτομένου, ἀμεινον χρῆσθαι τῷ τῆς πτισάνης χυλῷ, μέχρις ὅτου δυνηθείημεν ἀμυδροτέραν διδόναι τροφήν. μὴ διαχωρούσης δὲ τῆς γαστρὸς, κλύζειν χρὴ μελικράτῳ μετ' ἐλαίου μόνου. τὸ δὲ ὅλον σῶμα, ἔξωθεν πρὶν μὲν κενῶσαι, διαφορεῖν οὐ χρή. κενώσαντα δὲ, ἐγχωρεῖ διαφορεῖν. φαρμάκοις δὲ χρῶ, χλιαρὰν ἔχοντα τὴν θερμασίαν. ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου ἐλαίου. ἐν δὲ τῷ νῦν καιρῷ λέγω δὴ ἐν τῷ διαφορεῖν. καὶ οἶνος ὑδατώδης πινόμενος, ἁπάσας κινεῖ τὰς ἐκκρίσεις. πέψεως δὲ σαφοῦς ἐν τοῖς οὔροις φανείσης, καὶ λούειν ἐγχωρεῖ λουτρῷ γλυκυτάτῳ καὶ ποτίμῳ ὕδατι εὐκράτῳ.

20 Περὶ συνεχῶν πυρετῶν. οζ.

Οἱ συνεχεῖς πυρετοὶ, ὁμογενεῖς εἰσὶ τῶν διαλειπόντων. καλῶ δὲ ὁμογενεῖς. τριταίῳ μὲν ἀκριβεῖ, τὸν ἀεὶ καῦσον. ἀμφημερινῷ δὲ, τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον. εἰς ἀπυρεξίαν μὴ παυόμενον. ὅτε γὰρ ἀκριβὴς καῦσος ἅπαντα τὰ ἄλλα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα, μόνον δὲ τὸ μήτε μετὰ ῥίγους εἰσβάλλειν, μήτε εἰς ἀπυρεξίαν ἀποπαύεσθαι, διενήνοχεν ἐκείνου, ὅτε καθ' ἑκάστην ἡμέραν παροξυνῶν, ὁμοίως πάντα ἔχει τὰ γνωρίσματα τοῖς ἀκριβέσιν ἀμφημερινοῖς. τῷ δὲ μὴ παύεσθαι εἰς ἀπυρεξίαν τὸ ὁμογενὴς ἐστὶν αὐτοῖς. κατὰ ταῦτα δὲ, καὶ ὁ διὰ τετάρτου παροξυνόμενος. εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τεταρταίῳ. καὶ δῆλον ὡς οὔτε ῥίγος αὐτῷ προσγίνοιτο τῶν παροξυσμῶν, οὔθ' ἱδρὼς ἕψοιτο. καθάπερ οὐδὲ τῷ καύσῳ καθ' ἕκαστον παροξυσμόν. ἐπὶ γὰρ καύσου, ῥίγους ἐπιγενομένου, λύει τὸ νόσημα. διενήνοχε δὲ ὁ καῦσος τοῦ ἐπὶ σήψει συνόχου,
30 τῷ ἐκεῖνον ἐπὶ αἵματι σηπομένῳ συνίστασθαι. καὶ ἀπ' ἀρχῆς μέχρι λύσεως, ἕνα ἔχειν παροξυσμόν. τὸν δὲ καῦσον, ἐπὶ τῇ ξανθῇ χολῇ σηπομένῃ ἀνάπτεσθαι. καὶ τριταϊκῶς παροξυνόμενον ἔχειν μυοπυρεξίαν τινά. καὶ οἷον ἄνεσιν. τὸν δὲ σύνοχον, μένειν ὅμοιον μέχρι λύσεως.

Θεραπεία καύσου φλογουμένου. οη.

Ἔστι μὲν οὖν ὁ ἐπὶ τῇ ξανθῇ χολῇ σαπείσῃ ἀναπτόμενος συνεχὴς πυρετὸς καυσωδέστατος. καὶ μήτε τοῖς ἰατροῖς, μήτε τοῖς πάσχουσιν εὐταξίαν παρέχων. γλῶσσα γὰρ ἐπὶ τούτων κατὰ ξηρός. καὶ μέλαινα. καὶ τραχεῖα. δήξεις δὲ τῆς γαστρός. καὶ δίψος ἀφόρητον. καὶ ἀγρυπνία. ἐνίοτε δὲ καὶ παραφροσύνη. πρῶτον μὲν οὖν, αὐτῷ παρηγορικῶς καὶ πειθηνίως προσιέναι χρή. ἐπὰν δὲ τὰ τῆς πέψεως ἐν τοῖς οὔροις φαίνηται, καὶ ἤδη ἀκμάζοι τὸ νόσημα, τότε ἀγωνιστικῶς ἐνίστασθαι. καὶ ἐπὶ τὴν τοῦ ψυχροῦ πόσιν παραγίνεσθαι. εἰ μηδὲν πάλιν κἀνταῦθα κωλύει τῶν προειρημένων. ἐπὶ δὲ τῆς τοῦ ψυ-
40 χροῦ δόσεως, ἐν τῷ περὶ τῶν συνόχων λόγῳ. τὰ δὲ πρῶτα τῶν καυσουμένων βοηθήματά ἐστι, κατάκλισις ἐν τόποις ἀναψύχουσιν εὐπνόοις. ἀέρι καθαρῷ ἀναπνεομένοις. στρωμνή τε ἁπαλή. καὶ πυκνότερον νεκροποιουμένη περιβλήματα συνεχῶς ἀλλασσόμενα. καὶ ἱκανῶς ἰσχνά. καὶ μὴ ῥυπαρά. ἔχουσα διαφανὲς πλάτος. πρὸς τὸ ἔτι ἄλλα καὶ ἄλλα τῶν πρώτων θερμαινομένων μετάγειν τὰ μέλη. ῥιπὶς δὲ κινείτω τὸν ψυχρότερον ἀέρα. ἐπιθέματα δὲ αὐτοῖς ἁρμόζει κατὰ τοῦ στέρνου. καὶ τοῦ στομάχου ἐπιτιθέμενα. φοίνικες σὺν οἴνῳ τε καὶ ῥοδίνῳ. ἢ μηλίνῳ μεμιγμένοι. καὶ τὰ ἐμψύχοντα δὲ ἁρμόδια. οἷον, ἕλικες ἀμπέλων λειωθεῖσαι. σέρεις. πολύγονον. ἀρνόγλωσσον. ξύσματα κολοκύνθου. θρίδαξ. ἢ ὀξυλάπαθον. περιπλεκέσθωσαν δὲ ἑκάστῳ αὐτῶν, ψίχες ἄρτου προβραχεῖσαι. ἢ ἄλφιτα. δεῖ μέντοι τὰς συνεχεῖς τούτων χρήσεις παραιτεῖσθαι. πτύγματα δὲ ῥακῶν λινῶν συμμέτρων ἰσχνῶν. ἐξ ὑδρελαίου θερμοῦ. κατὰ τοῦ στήθους καὶ τοῦ στομάχου ἐπιρριπτόμενα, παρηγορεῖ παραδόξως τοὺς
50 καυσουμένους. καὶ δι' ἐρίου χειροπληθοῦς. τὸ ὑδρέλαιον θερμόν. ἢ ὑδροῤῥόδινον. ἐπιφερόμενον ἐξ ὑψηλοῦ κατὰ τοῦ στέρνου. ῥᾳδίως ἀμβλύνει τῆς φλογώσεως τὸ σφοδρόν. δεῖ δὲ θερμὸν ἱκανῶς εἶναι τὸ ὑδρέλαιον ἢ ὑδροῤῥόδινον. τὸ γὰρ χλιαρὸν ἐκλύει τὸν τόνον τῶν μορίων. εἰ δὲ βραχύτατον νίτρου προσλάβοι, κινήσειεν ἂν ἱδρῶτας. ἐπὶ δὲ τῶν σφοδροτάτων καύσων, καὶ ὄξος ὀλίγον περιπλέκειν. ἐργάζεται γὰρ τὸ δέον. διαιτᾶν δὲ τοὺς καυσουμένους, ὑγροτάταις τροφαῖς καὶ μηδὲν ἐχούσαις δριμύ. οἷον καυλοῖς

θριδάκων ἀπεξεσμένοις μετ' ὀξυκράτου ὑδαροῦς. ἢ κολοκύνθαις ὁμοίως μετ' ὀξυκράτου. καὶ πτισά-
νης δὲ χυλὸν, λεπτότερον διδόναι χωρὶς ἁλῶν. ἢ ἑτέρας ἐπιμιξίας. καί ποτε καὶ μετὰ ῥοφῶν
ψυχρὸν ὅσον κοχλιάριον ἓν ἢ δύο καταῤῥοφείτωσαν. ἢ καὶ τὸ ὅλον αἱ πόσεις ἔστωσαν γαλακτώδεις.
καὶ διάκλυσμα δὲ καὶ ἀναγαργάρισμα διὰ τοῦ τεθραυσμένου ψυχροῦ διδόσθω. καὶ ῥόδων χύλισμα.
ὅσον κοχλιάριον καταῤῥοφηθὲν, ἀναψύξαι τὸν στόμαχον ἐποίησε. καὶ ἄλλαι δὲ παρεπιτηδευέσθωσαν
ψυχαγωγίαι. φύλλα ἀμπέλου χλωρὰ. καὶ μυρσίνης. καὶ ῥόδων ἐῤῥίφθω κατὰ τοῦ ἐδάφους. καὶ τῷ
ὕδατι καταῤῥαινέσθωσαν συνεχέστερον. κρουνοὶ δὲ ὕδατος πλησίον ἠχείτωσαν. καιρὸς δὲ τῶν ἐμψυ-
χόντων ἐπιθεμάτων καὶ τῶν ὁμοίων, ἡ ἀκμὴ τῆς ἐπισημασίας. κατὰ γὰρ τὰς ἀρχὰς καὶ τὰς ἐπι-
δόσεις τῶν παροξυσμῶν. ἀνωμάλως ἔτι τοῦ σώματος διακειμένου. καὶ τὰς θερμασίας περὶ τὰ σπλάγ-
χνα συνεδρευούσης. προσαγόμενα ταῦτα, διαχέει μὲν τὴν αἴσθησιν ἀποκρουόμενα δὲ τὸ θερμὸν εἰς τὸ
βάθος. πλείονος βλάβης αἴτια γίνονται. ἐν ἀποβλεισθέντος ἔνδον τοῦ πυρώδους θερμοῦ. καὶ αὖθις
τὸν καῦσον σφοδρότερον ἐργασαμένου. ἐν δὲ ταῖς ἀκμαῖς τῶν παροξυσμῶν ἡπλωμένου τοῦ θερ-
μοῦ κατὰ πᾶν τὸ σῶμα, σβεσθείη ἂν ῥᾳδίως τὸ λειπόμενον ἔτι περὶ τὰ σπλάγχνα. καὶ γὰρ εὐπνού-
στεροί τε καὶ ἀδιψότεροι γίνονται, τούτων ἐν καιρῷ προσαγομένων. καί τινες αὐτῶν ἐπινυστάζόμε-
νοι, καθυπνοῦσιν. ἐνισταμένης δὲ τῆς ἀκμῆς τοῦ παντὸς νοσήματος. καὶ μηδενὸς κωλύοντος τῶν προῤῥη-
θέντων ἐπὶ τοῦ συνόχου πυρετοῦ ἤδη καιρὸς τῆς τοῦ ψυχροῦ δόσεως. ἐφ' ὧν μὲν οὖν παῤῥησίαν ἄγο-
μεν, ὡς μὴ βλαβησομένου τινὸς τῶν σπλάγχνων. ἢ τῆς κεφαλῆς ὡς προείρηται, τὸ ἀκραιφνὲς ὕδωρ
ψυχρὸν δίδομεν. ἐφ' ὧν δέ τι δέος. καὶ αὐτὸ τὸ ἐλάχιστον παρεμποδὼν γίνεται, τὴν πρώτην πόσιν
τεθραυσμένον. προσδώσομεν τὸ ποτὸν ἤγουν τὸ ψυχρὸν. θραύεται δὲ εἴ τις εὐκράτου θερμοῦ κύαθον ἕνα
πρὸς πέντε κατὰ μίξιν ἀκράτου ψυχροῦ ἀκραιφνοῦς. τὸ τοιοῦτον γὰρ παρατίθεται τοῖς εὐυπό-
πτοις σώμασι. τινὲς δὲ κύαθον ῥοδίνου ἐλαίου ἐπιχέοντες τῷ μέλλοντι δοθήσεσθαι ψυχρῷ, προσφέ-
ρουσιν. αὐτὸ γὰρ ῥόδινον, οὐ σφοδρῶς ἐμψύχει. καὶ προσαλειφόμενον τὸ ἐλαιῶδες τοῖς σώμασιν. οὐ
συγχωρεῖ αὐτὰ βλαβῆναι ὑπὸ τοῦ ψυχροῦ. ἅμα τε καὶ τόνον τινὰ τὸ ῥόδινον τῇ γαστρὶ παρέχει.
ἀλλὰ καὶ ὄλισθον, διὰ τὸ ἐλαιῶδες. τινὲς δὲ ἀντὶ τοῦ ῥοδίνου, μήλινον παρέχουσι. Γαληνοῦ.

Ψυχρὸν δὲ τοῖς καύσῳ συνεχομένοις πυρετῷ ἐκείνοις μόνοις ἁρμόττει. ὅσοι χωρὶς ὄγκου τινὸς φλεγ-
μονώδους, ἢ ἐρυσιπελατώδους νοσοῦσιν. ὅταν ἐν τοῖς οὔροις πέψεως φανῇ σημεῖον. νέος δ' αὐτὸς εὔσαρκος
ὥρα θέρους. καὶ καταστάσεως θερμῆς καὶ ξηρᾶς. ἐν ἀκμῇ ὄντος τοῦ πυρετοῦ. καὶ πέψεως ἐν τοῖς οὔροις φανεί-
σης ἄνευ σπλάγχνου τινὸς φλεγμονῆς, κολυμβήθρα ψυχροῦ ἑαυτὸν ἐμβαλὼν. καὶ νηξάμενος. ἱδρῶτας
κινήσειεν. εἰ δὲ καὶ ψυχρολουσίας συνήθης εἴη, πάνυ θαῤῥῶν κέχρησο τῷ βοηθήματι. αὐτίκα γοῦν ἡ
γαστὴρ ἔστιν οἷς αὐτῶν κατέῤῥηξε χολώδη. μετρίου δὲ ὑπάρχοντος τοῦ πυρετοῦ, καὶ τῶν δυνάμεων ἰσχυ-
ρῶν, ἅμα τοῖς τῆς πέψεως σημείοις, ὠφελεῖ αὐτοὺς τὰ βαλανεῖα γλυκέων καὶ εὐκράτων ὑδάτων.
καὶ τῶν ἀλειμμάτων τὸ χαμαιμήλινον. καὶ μάλιστα ὅταν τὸ περιέχον ψυχρὸν ᾖ. ὡς εἴ γε ποτὲ συμ-
βαίη. ψυχροῦ τοῦ περιέχοντος ὄντος. ἰσχυρῶς καυσοῦσθαι τὸν κάμνοντα. βραχείας ἐπ' αὐτοῦ σωτηρίας
ἐλπίδας ἔχειν χρή. εἰ δὲ μηδὲ τὰ τῆς πέψεως παρείη σημεῖα ἐν τῇ τοιαύτῃ καταστάσει τοῦ ἀέρος. μη-
δὲ τὰς δυνάμεις ἰσχυρὰς ἔχειν φαίνοιτο, σωθῆναι τὸν τοιοῦτον ἀδύνατον. ὥστε οὔτε λούσεις αὐτὸν,
οὔτε ἀλείψεις τοῖς ἀραιωτικοῖς φαρμάκοις. οὔτε οἴνου δώσεις. οὔτε ψυχροῦ. ἐφ' ὧν γὰρ ἀνέλπιστος ἡ
σωτηρία, μάταιον ἂν εἴη διαβάλλειν τοῖς ἰδιώταις, τὰ πολλοὺς σώζοντα βοηθήματα. ἔγνων γοῦν οὖν
δέ τινας ἰατροὺς ἀμεθόδους μιμησαμένους τὰ ὑφ' ἡμῶν πραττόμενα. τούτοις χρησαμένους βοηθήμα-
σιν, ἐπὶ τῶν πάντως τεθνηξομένων. οὔτ' ἀνύσαντας τι. καὶ τὴν εὔκαιρον αὐτῶν χρῆσιν, ὕποπτόν τε
καὶ φανερὰν ἐργασαμένους. ἀλλ' ἡμεῖς δηλονότι. καὶ καιροὺς. καὶ βοηθήματα γράφομεν, ἐπὶ τῶν σω-
θῆναι δυναμένων. ὥσθ' ὅσοι γε τῶν νοσούντων ἀνίατοι εἰσὶν. οὔτε καιρὸς ἐπιτήδειος, οὔτε βοηθήματα
τούτοις ἐστί.

Τριταίου ἀκριβοῦς διάγνωσις. οθ.

Ὁ ἀκριβὴς τριταῖος πυρετὸς, ἐν τοῖς χολωδεστέροις φύσει σώμασι συνίσταται τοὐπίπαν. καὶ ἐν ἡλικίᾳ
τῇ τῶν ἀκμαζόντων. καὶ ἐν θερινῇ ὥρᾳ μάλιστα. κἀν τοῖς θερμοῖς καὶ ξηροῖς τῇ κράσει χωρίοις. καὶ
καταστάσει τοῦ περιέχοντος ἡμᾶς ἀέρος τοιαύτῃ. καὶ βίος ἐν πόνοις, καὶ φροντίσι. καὶ ἀγρυπνίαις.
ἐγκαύσεσί τε καὶ τροφαῖς ὀλιγίσταις. καὶ ταύταις θερμαῖς καὶ ξηραῖς. ἀλλὰ καὶ ἡ τῶν θερμαινόν-
των καὶ ξηραινόντων πομάτων τε καὶ φαρμάκων. ἄμετρος χρῆσις, εὔφορος ἐστὶ τριταίῳ πυρε-
τῷ. ἔκγονος τοίνυν ὑπάρχων ὁ τριταῖος τῆς ξανθῆς χολῆς σαπείσης. καὶ κινουμένης. καὶ ἔξω τῶν ἀγγεί-
ων φερομένως, κατ' ἀρχὰς εὐθὺς ῥῖγος οὐκ ἀλγεινὲς ἐπιφέρει, διάφορον τοῦ τεταρταϊκοῦ ῥίγους,
τὸ κεντεῖσθαι δοκεῖν ἐπὶ τριταίων. καὶ τιτρώσκεσθαι τὸν χρῶτα. ἐν γὰρ τοῖς τεταρταίοις ἡ
εἰσβολὴ κατὰ ψύξιν ἔχει σφοδρὰν. καὶ ἐν βάθει μᾶλλον. τὸν δὲ ἀμφημερινόν. οὐδὲ ῥῖγος ὡς ἐπίπαν
προηγεῖται. ἀλλὰ μᾶλλον περιψύχονται. ἔστι δὲ ἐν τοῖς τριταίοις, πυρετοῖς καὶ τάξις ἀκριβὴς τῶν
σφυγμῶν. καὶ ὁμαλότης. ἐπεγείρεται δὲ ἐν ταῖς ἀναβάσεσι τῶν παροξυσμῶν ὁ σφυγμὸς, εἰς σφο-

θρότητα καὶ μέγεθος· καὶ πυκνότητα. καὶ δίψος ἐπιφέρει μάλιστα κατὰ τὰς ἀκμάς. καὶ δια-
καίει τὸν ἄνθρωπον· ὥστε γυμνοῦσθαι καὶ ἀπορρίπτειν τὴν ἐσθῆτα. καὶ μέγα· καὶ πυκνὸν ἀναπνεῖν.
καὶ φυσᾶν οἷον φλόγα τινά. καὶ πιεῖν ψυχρὸν αἰτεῖν. καὶ μικρὸν ὕστερον τὸ θερμὸν ὁμαλῶς ἐπεκτεί-
νεται πάντῃ τοῦ σώματος. εἰ δὲ καὶ ἐπιβάλλοις τὴν χεῖρα τῷ σώματι. κατὰ μὲν τὴν πρώτην ἐπιβο-
λὴν ἀπαντᾷ θερμασία πολλὴ καὶ δριμεῖα. καὶ οἷον μετ' ἀτμοῦ τινὸς ἀναφερομένη· νικᾶται δὲ ὀλί-
γον ὕστερον ὑπὸ τῆς χειρός. καὶ δὴ καὶ πίνειν ἤδη καιρὸς τῷ κάμνοντι. καὶ πάντως αὐτίκα δὴ μάλα
πλῆθος μὲν ἄνεισιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος. προσαπέλλον ἱδρῶτες ἔμετός τε ἐπιφαίνεται
χολῆς. καὶ ἡ γαστήρ που κατέρρηξε. τὰ δὲ οὖρα τούτοις χολώδη τε καὶ ὑπόπυρά τε καὶ ὑπόξανθα. καὶ
συμμέτρως παχέα. καὶ μικρὸν ὕστερον. ἢ νεφέλην λευκὴν. ἢ ἐναιώρημα χρηστὸν ἐργάζεται. πυρροτέ-
10 ρων δὲ ὄντων τῶν οὔρων. καὶ μήτ' ἐν αἰωρήματος μηδενός. μήτε νεφέλης ἐν τῇ πρώτῃ περιόδῳ φανεί-
σης, εἰς τὰς ἑπτὰ περιόδους ἐκταθήσεται τὸ νόσημα. ὁ δὲ ἀκριβὴς τριταῖος κατὰ τὴν πρώτην ἡ-
μέραν προλέξας ἐν τοῖς οὔροις ὑπόστασιν λευκὴν καὶ λείαν· καὶ ὁμαλήν, οὐχ ὑπερβήσεται τὴν
τρίτην περίοδον. οὗτος ὁ πυρετὸς εἰς ἀπυρεξίαν παύεται κατὰ παροξυσμόν. τὸν σύμπαντα χρόνον
τοῦ παροξυσμοῦ ποιησάμενος. ὡρῶν οὐ πλειόνων, ιβ. τὸ μέγιστον, τοῦτον ἀκριβῆ τριταῖον ὀνομάζομεν.
ὅστις δ' ἂν ἔχοι πολυχρονιώτερον τούτου τὸν παροξυσμόν. τοῦτον ὀνομάζομεν ἐκτεταμένον τρι-
ταῖον. εἰ δὲ καθ' ἑκάστην ἡμέραν παροξύνοι μετὰ ῥίγους εἰσβάλλων σφοδροῦ, φέροι δὲ καὶ πάντα τὰ
προειρημένα γνωρίσματα. ἔν τε τοῖς σφυγμοῖς καὶ τοῖς οὔροις. καὶ τῷ λοιπῷ σώματι, τοῦτον δι-
πλοῦν τριταῖον ὀνομάζομεν. ὅπερ συμβαίνει διά τε τὸ πλῆθος καὶ πάχος. καὶ τὸ ἀνομοιομερὲς
τῆς χολῆς.

20 Τριταίου ἀκριβοῦς θεραπεία. π.

Τὸν μὲν οὖν ἀκριβῆ τριταῖον. ὡς ἂν ἀπὸ ξανθῆς χολῆς κινουμένης γιγνόμενον, ὑγραίνειν τε καὶ ψύ-
χειν εἰς ὅσον οἷόν τε μάλιστα προσήκει. καὶ τὰ μὲν εἰς τὴν ἄνω γαστέρα συρρέοντα, κενοῦν δι' ἐμέτων.
καὶ τοῖς οὔροις δὲ καὶ τοῖς ἱδρῶσι ποδηγεῖν. καὶ τὴν μὲν γαστέρα κλύσμασι μαλακοῖς κενοῦν. τὰ δὲ
οὖρα προτρέπειν σελίνου τε καὶ ἀνήθου ἀποβρέχοντα τοῖς πόμασι. καὶ ἤν τι πέψεως σημεῖα προφαί-
νηται. θαρρῶν ἤδη καὶ τοῦ ἀψινθίου τὴν κόμην ἀποβρέχοντα μελικράτῳ. καὶ διηθήσαντα, διδόναι.
λουτρὰ δὲ αὐτοῖς ἁρμόδια δι' ὕδατος θερμοῦ ποτίμου εὐκράτου. καὶ μήτε νίτρου· μήτε τοιοῦτον ἕτε-
ρον ἐν τοῖς λουτροῖς προσάγειν. ἀλλ' ὅτι μάλιστα θερμὸν ὑδρέλαιον προθερμανθέντι τῷ σώματι πε-
ριχέοντι, ἐμβιβάζειν τῷ θερμῷ. παραινοῦντι, ἐγχρονίζειν αὐτῷ ἐφ' ὅσον οἷόν τε. τοὺς δὲ φιλολουτροῦν-
τας οὐδ' εἰ δὶς λούσεις, οὐκ ἂν ἁμάρτοις. οἶνον δὲ πρὶν μὲν πέττεσθαι τὸ νόσημα, παντάπασιν εἴρ-
30 γειν. ἀρξαμένου δὲ πέττεσθαι, λεπτὸν καὶ ὑδαρὸς. καὶ ὀλίγον τήν γε πρώτην διδόναι. πλησίον δὲ ἤ-
δη τοῦ λύεσθαι γιγνομένου πλείονα. σιτία δὲ ὅσα ὑγραίνει τε καὶ ψύχει, πάντα χρήσιμα τριταίοις
ἀκριβέσι. τὸ δὲ ποσὸν ἐν αὐτοῖς τοσοῦτον, ὅσον δυνατὸν ἐν αὐτοῖς πέψαι δύνανται. λαχάνων μὲν
ἁρμόδια. ἀνδράφαξίς τε. καὶ κλίτον. καὶ μαλάχη. καὶ θριδακίνη. καὶ κολοκύνθη. τῶν δ' ἄλλων
ὅ τε τῆς πτισάνης χυλὸς. καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα τοῦ ἄλικος. ἰχθύων τε οἱ πετραῖοι. καὶ
τῶν πτηνῶν τὰ μαλακόσαρκα. τῶν δὲ ἄλλων τὰ πτερά. καὶ ἀλεκτρυόνων οἱ ὄρχεις. καὶ τῶν συῶν τοὺς
πόδας. καὶ τοὺς ἐγκεφάλους. καὶ τῶν μικροτέρων χοίρων τὰ ἀκροκώλια. καὶ ὠῶν δὲ τοὺς λεκύθους
ῥοφεῖν. καὶ τῶν ὀπωρῶν γεύεσθαι τῶν μὴ δυσπέπτων, ἀπέχεσθαι πάντων τῶν γλυκέων καὶ δρι-
μέων. καὶ ἁλυκῶν. καὶ κνισωδῶν. καὶ βρομωδῶν. ἐδεσμάτων τε καὶ πομάτων. καὶ τῶν παλαιῶν,
καὶ φύσει θερμῶν οἴνων.

40 Τριταίων νόθων θεραπεία. πα.

Ἐν δὲ τοῖς οὐκ ἀκριβέσι τριταίοις. οὔτε λούειν εὐθέως κατ' ἀρχὰς ἀγαθὸν, ἀλλ' ἡνίκα ἂν ἤδη φαίνηται
τὰ σημεῖα τῆς πέψεως. οὔτε μὴν καθημέραν τρέφειν. ἀλλ' ἀρκεῖ παρὰ μίαν. ἡσυχία τε καὶ θάλψις
τῶν καθ' ὑποχόνδριον αὐτοῖς συμφέρει. ῥοφήματά τε εὐπεπτότερα. καὶ κλύσματα τῆς κάτω γα-
στρὸς. μὴ πάνυ μαλακά. καὶ εἰ αἵματος ἀφαιρέσεως δέοιντο, μὴ δὲ τοῦτο παραλιπεῖν. ἀλλ' εὐθέων κατ'
ἀρχὰς διορισάμενος ὡς προείρηται ἐν τῷ περὶ φλεβοτομίας λόγῳ. σύμμετρον ἀποχεῖν τοῦ αἵμα-
τος, ὅσον τοῖς παροῦσι μέτριον. ἡ δ' ὅλη ταῖς διαίτης κατάστασις, ἡ ψύχουσα. καὶ ὑγραίνουσα τὸ σύμ-
παν ἔστω. ὡς ἐπὶ τῶν ἀκριβῶν τριταίων. ἀλλά τι καὶ τοῦ τμητικωτέρου τρόπου προσεπιλαμβανέτω
ὡς παχυτέρας ὑποκειμένης χολῆς. καὶ μὴ πάνυ θερμοτέρας. μάλιστα δ' ἂν ἁρμόσειεν αὐτοῖς, ὁ
τῆς πτισάνης χυλὸς. ἐμβαλλομένου πεπέρεως καὶ ὑσσώπου ποτὲ. ἢ ὀριγάνου. καὶ νάρδου στάχυν ἑψή-
50 σας σὺν μελικράτῳ, δίδου πίνειν. καὶ τὰ ἄλλα δὲ ὅσα τὴν οὔρησιν κινεῖ, πλὴν τῶν ἄκρως θερμαινόν-
των τε καὶ ξηραινόντων. μάλιστα δὲ τοῦ ἀποβρέγματος τοῦ ἀψινθίου διδόναι συνεχέστατα μετὰ τὴν
ἑβδόμην ἡμέραν. καὶ ὀξύμελι δὲ, πολλοὺς ὤνησε πινόμενον. καί τι τῶν ὑπηλάτων καθαρτικῶν. πέ-
ψεως ἐν τοῖς οὔροις φανείσης χρηστῆς. ὁ δὲ ἐπὶ τοῖς σιτίοις ἔμετος εἰς τοσοῦτον χρήσιμος τοῖς ἐν τούτῳ
τῷ πυρετῷ χρονίζουσιν. ὡς πολλοὺς οἶδα τελέως αὐτὰς ἀπαλλαγέντας ἐπὶ τοῖς ἐμέτοις.

Περὶ ἡμιτριταίου. πβ.

Ὁ ἡμιτριταῖος προσαγορευόμενος πυρετὸς μιχθέντος τοῦ σηπομένου φλέγματος, τῷ σαπέντι πικρό-
χολῳ χυμῷ, σύνθετος ἐξ ἀμφοτέρων γίγνεται. τοῦ μὲν ἀμφημερινοῦ μετὰ περιψύξεως εἰσβάλ-
λοντος. τοῦ δὲ τριταίου μετὰ ῥίγους, ὁ μικτὸς ἐξ ἀμφοῖν. φρίκην ἐπιφέρει. ῥίγους μὲν ἔλαττόν τι. μεῖ-
ζον δὲ περιψύξεως. ὧνπερ κεραννυμένων, γίγνεται τῶν ἄκρων οὐδέν. διττὸς δὲ ὁ τρόπος τῆς γενέ-
σεως αὐτοῦ. ἤτοι συνελθόντων δύο παροξυσμῶν εἰς ἕνα εὐθέως ἐξ ἀρχῆς κεραννυμένων ἀλλήλοις ἀμ-
φοτέρων. ἢ κατιδίαν ἕκαστον. ὅτε μὲν οὖν ὁ τριταῖος ἐπικρατεῖ. φρικωδέστερος ὁ πυρετὸς γίγνεται.
καί τι καὶ ῥίγους προσλαμβάνει κατὰ τὴν ἐπισημασίαν. εὐθὺς δὲ ὁ τοιοῦτος θερμότερος. καί τινα
χολῆς ἔμετον ἢ διαχώρησιν. τοῦ δὲ φλέγματος πλεονεκτοῦντος, ἐπικρατεῖ μὲν ἡ ψύξις τῶν ἄκρων.
10 ὀλίγαι δέ εἰσιν αἱ φρῖκαι. καὶ οὐδὲ ψώδεις εἰσίν. οὐδὲ καυσώδεις. ἐπειδὰν δὲ ἴσοι κατὰ τὸ μέγεθος ὑ-
πάρχωσιν. ὅ τε διαλείπων τριταῖος. καὶ ὁ συνεχὴς ἀμφημερινός, ἡ μὲν εἰσβολὴ τοῦ παροξυσμοῦ,
μετὰ φρίκης γίγνεται. καὶ ὅτε μὲν ὁ τοῦ φλέγματος ἐπικρατεῖ καιρός, συστολαὶ γίνονται καὶ φρῖ-
και. ὅτε δὲ ὁ τῆς χολῆς ἐπικρατήσειεν, ἀθρόως ἐκθερμαίνονται. καὶ οὗτός ἐστιν ὁ ἀκριβὴς ἡμιτριταῖος
διαλείποντος. καὶ ἀμφημερινοῦ συνεχοῦς. ὁ δὲ οὐκ ἀκριβὴς ἡμιτριταῖος ἤτοι τὸν χολώδη χυμὸν
πλέονα κέκτηται, ἢ τὸν φλεγματικόν, ἐξ ἀμφοτέρων τοίνυν τῶν εἰρημένων χυμῶν συνισταμένου
τοῦ ἡμιτριταίου πυρετοῦ, καὶ τὴν θεραπείαν μικτὴν εἶναι προσήκει. ὥστε ἐκ τῶν περὶ τριταίου
προειρημένων. καὶ περὶ ἀμφημερινοῦ ῥηθησομένων. συντιθέναι χρὴ τὴν θεραπείαν.

Τεταρταίου ἀκριβοῦς διάγνωσις. πγ.

Ὁ ἀκριβὴς τεταρταῖος πυρετός, πᾶσαν μὲν ἡλικίαν καταλαμβάνει. μάλιστα δὲ τὴν παρακμαστικήν.
20 Ἱπποκράτης δὲ ἐν τῷ περὶ ἑβδομάδων, τὴν ἀκμαστικήν φησι. δοκεῖ δὲ αὐτῷ μὴ περιπίπτειν. τὸν ἄν-
θρωπον δίς, τῷ τεταρταίῳ πυρετῷ. λέγει δὲ οὕτως. πρῶτον μὲν τῷ τεταρταίῳ πυρετῷ δὶς ὁ αὐτὸς ἄν-
θρωπος. οὔτε ἁλίσκεται. ἤτε ἑαλώκει που. οὔτε τοῦ λοιποῦ ἁλώσεται. ἢν ἅπαξ ὑγιὴς γένηται ἐξ αὐ-
τοῦ δέ. κατὰ τὴν ἰδίαν ἕκαστον τῶν ἀνθρώπων φύσιν. καὶ τὴν ἡλικίην τὴν ἀκμαστικήν, γίγνεται ἀ-
νάγκη. ἀκμάζουσαν γὰρ τὴν φύσιν τοῦ ἀνθρώπου ἐν τούτῳ τῷ χρόνῳ τεταρταίῳ ἁλίσκεται πυ-
ρετῷ. παρελθούσης δὲ τῆς ἀκμῆς, ἀπολελύσθαι καὶ τοῦ τεταρταίου καὶ τῆς λήψιος. φύσεις δὲ σωμάτων
αἱ μελαγχολικώτεραι. οἷς τι καὶ τούτου τοῦ πυρετοῦ. καὶ τῶν ὡρῶν τὸ φθινόπωρον. καὶ μάλιστα ὅ-
ταν αὐτὸς ἑαυτοῦ γένηται ψυχρότερος καὶ ξηρότερος. καὶ ἀνώμαλος. ἐδέσματά τε καὶ πόματα καὶ ἡ σύμ-
πασα τοῦ βίου δίαιτα ξηρὰ καὶ ψυχρὰ τὴν κρᾶσιν ὑπάρχουσα, τεταρταίων πυρετῶν ἐστὶ γνώρισμα.
καὶ σπλῆνες αὐξηθέντες. οὗτος δὲ ὁ πυρετὸς ὡς ἐπίπαν, οὐκ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰσβάλ-
30 λει μετὰ ῥίγους. ἀλλ᾽ ἐνίοτε ἐξ ἑτέρων εἰς τοῦτον ἡ μετάπτωσις γίγνεται, τῶν πλανήτων τε καὶ ἀ-
τάκτων καλουμένων. προϊόντι δὲ αὐτῷ γίγνεται ῥῖγος. καὶ αὐξανομένῳ συναύξεται καὶ τὸ ῥῖγος.
ἡ δὲ αἴσθησις τοῖς πάσχουσιν οὐ νυττομένου καὶ κεντουμένου τοῦ δέρματος ὡς ἐπὶ τριταίων γίγνεται.
ἀλλὰ καὶ καταψυχομένων τε καὶ σφοδρῶς. καὶ οἷον θλωμένων ἄχρι καὶ τῶν ὀστῶν. οὕτως οὖν ἀ-
κοῦσαι λεγόντων ἐστὶ τῶν πασχόντων, ὡς ὅσον ἤπω τε συνέχονται. καὶ θλᾶσθαι τὴν σάρκα φαντά-
ζονται. οἱ δὲ σφυγμοί, μικροί. καὶ ἀμυδροί. καὶ βραδεῖς. καὶ ἀραιοὶ ἐν ταῖς ἀρχαῖς. τῶν ἐπισημα-
σιῶν γίγνονται ὡς ἐν οὐδεμιᾷ ἄλλῃ διαθέσει. δέδεσθαι γὰρ συνδόξει κατὰ τὰς εἰσβολὰς τῶν τε-
ταρταίων ἡ ἀρτηρία. καὶ ἔσω καθελκύεσθαι. καὶ ἀνιέναι κωλύεσθαι. ὥστε καὶ εἰ νέος εἴη ὁ κάμνων,
γεροντικῆς ἐσχάτης ἡλικίας ἡ ἀρτηρία μιμεῖται τὴν κίνησιν. εἰ γὰρ εἰδείης τοῦ νοσοῦντος τὸν κα-
τὰ φύσιν σφυγμόν. ἢ καθ᾽ ἑτέραν νόσον ἐν ἀρχῇ τοῦ παροξυσμοῦ γεγονὸς εἴης, μηκέτ᾽ ἄλλο μηδὲν ἀνα-
40 μένης ἀπόφασιν τοῦ τεταρταῖον εἶναι, τὸν εἰσβάλλοντα ἐξ ἀρχῆς πυρετόν. ἀμήχανος γάρ τις ἡ
εἰς ἀραιότητα καὶ βραδυτῆτα τροπὴ τοῦ σφυγμοῦ γίνεται. οὖρα δὲ τούτοις, ἐν ἀρχῇ μὲν λευκά.
καὶ λεπτά. καὶ ὑδατώδη. ἅτε δηθούμενα ἐστὶ τὸ πάχος τῆς ὕλης. προβαινούσης δὲ τῆς νόσου, κατὰ
λόγον εὔχρουστερα γίγνεται. καὶ ὑπόστασιν ἔχειν παχεῖαν. ἱδρώτων δὲ πλῆθος ἕπεται, κατὰ τὴν τοῦ
παροξυσμοῦ παρακμήν.

Ῥούφου.

Εἰ μὲν οὖν ἀπὸ σπληνὸς τὴν ἀρχὴν λαβόντες τεταρταῖοι, χρονιώτεροι. κατάδηλοι δὲ γίγνονται
τῇ χροιᾷ. καὶ ταῖς ἀπεψίαις. καὶ τῷ μὴ ῥᾳδίως τὴν γαστέρα ὑποχωρεῖν. καὶ τῷ τοῦ σπληνὸς ὄγκῳ. καὶ
τῷ ἐπ᾽ ἀριστερὰ κλίνεσθαι μᾶλλον. κίνδυνος δὲ καὶ ὕδερον περιπεσεῖν τῷ χρόνῳ, τὸν ἄνθρωπον.
ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λευκόχροοι εἰσί. καὶ ὑδαλέοι παντὶ τῷ σώματι. καὶ οὖρα τούτοις ἐστὶν
σαρκώδη. καὶ ἐξέρυθρα. καὶ ἁπτομένοις δέ, ὄγκος ὑποπίπτει τοῦ δεξιοῦ ὑποχονδρίου. οὗτοι καὶ
50 δυσπνοοῦσι μᾶλλον τῶν σπληνικῶν. καὶ ὑποβήσσουσι. καὶ τελευτῶντες, εἰς ἀφύκτους ὕδερους ἐμ-
πίπτουσι.

Γαληνοῦ. τεταρταίου θέσις. θεραπεία. πδ.

Κατ᾽ ἀρχὰς μὲν οὖν μετρίως μὲν καὶ πράως ἄγει. τοὺς τεταρταῖον νοσοῦντας πυρετόν. μήτε φαρμα-
κόν τι τῶν ἰσχυροτέρων μηδὲν προσφέροντας. μήτε κένωσιν, εἰ μή τι ἄρα σφόδρα φαίνοιτο πλεονάζειν αἷ-

μα. τηνικαῦτα δὲ χρὴ ἀφαιρεῖν τοῦ αἵματος τὸ σύμμετρον. καὶ εἰ διελόντι σοι τὴν φλέβα τὸ ῥέον εἴη μέλαν καὶ παχὺ, θαρρεῖν τῇ κενώσει. μάλιστα δὲ τοῖς σπληνώδεσι τοιοῦτον εὑρίσκεται. ξανθοῦ δὲ καὶ λεπτοῦ φανέντος, ἐπέχειν αὐτίκα. τέμνειν δὲ φλέβα. ἢ τὴν ἐντὸς. ἢ τὴν μέσην κατὰ τὸν ἀριστερὸν ἀγκῶνα. εἴγε ὑπόσπληνος εἴη ὁ ἄνθρωπος. ἢ τὴν ἐν τῷ δεξιῷ εἰ περὶ τὸ ἧπαρ εἴη ἡ διάθεσις. δίαιτα δὲ ἔστω ἄφυσος. καὶ χρηστή. μαλάττειν δὲ τὴν γαστέρα καθόσον οἷόν τε διὰ τῶν συνήθων τροφῶν. εἰ δὲ μηδὲν ἀνύει τὰ συνήθη, κλύσμασι χρῆσθαι. κατ᾽ ἀρχὰς μὲν, μαλακοῖς. ὕστερον δὲ τοῖς δριμέσι. χοιρείων δὲ αὐτοὺς εἴργειν κρεῶν. καὶ πάντων ἁπλῶς γλίσχρων. καὶ βραδυπόρων. καὶ τῶν ψυχόντων. καὶ ὑγραινόντων ἐδεσμάτων πάντων. οἴνῳ δὲ ὀλίγῳ χρῆσθαι. λευκῷ τε καὶ λεπτῷ. καὶ συμμέτρως θερμῷ. καὶ τῶν πτηνῶν τοῖς ὀρείοις. καὶ τῶν ἰχθύων τοῖς μαλακοσάρκοις καὶ εὐπέπτοις. καὶ μηδὲν γλίσχρον ἔχουσι. καὶ ταρίχει δὲ καὶ νάπυϊ χρῆσθαι. καὶ δι᾽ ἡμερῶν τινῶν τοῦ διὰ τριῶν πεπέρεως λαμβάνειν ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ εἰ πεπέρεως μόνου λείου καθ᾽ ἑκάστην ἡμέραν λαμβάνοιεν. ὀρθῶς ἂν ποιοῖεν. ῥίγεων δὲ καὶ περιπάτων καὶ τῶν ἄλλων τῶν συνήθων μὴ παντελῶς εἴργειν. λουτρῶν δὲ εἰ καὶ παντάπασι δύναιντο, ἀπεχέσθωσαν. ῥίγεσιν ἀρκούμενοι. μάλιστα γὰρ ὀνίνανται. καὶ εἰ βραχὺς εἴη. καὶ μὴ πάνυ βίαιος ὁ τεταρταῖος, οὐδὲν χεῖρον ἐν ταῖς μέσαις τῶν ἡμερῶν ἅπτεσθαι τῶν συνήθων γυμνασίων. ταῦτα μὲν κατ᾽ ἀρχὰς καὶ τὰς ἀναβάσεις πρακτέον. ἀκμῆς δὲ τοῦ νοσήματος γινομένης, τότε χρὴ διαιτᾶν λεπτότερον. καὶ ἡσυχάζειν εἰς μακρὸν κελεύειν. καὶ τῶν σπλάγχνων πρόνοιαν ποιεῖσθαι. καταιονοῦντα τε καὶ καταπλάττοντα τοῖς μαλάττειν τε καὶ χαλᾶν δυναμένοις. καὶ τὰ πνεύματα διαλύειν. οἷον κριθίνῳ ἀλεύρῳ. καὶ σελινοσπέρματι. καὶ ἴρει δὴ. κυμίνου τε καὶ χαμαιπίτυος. καὶ πηγάνου ἐν μελικράτῳ ἡψημένων. εἰ δὲ ἔστι καὶ ἔλαιον ἐκ τοῦ καταιονησμοῦ, πρόσπλεξον τῷ καταπλάσματι. δεῖ δὲ πρῶτον ἐμβρέχειν ἡμέρας ὀλίγας. καὶ εἶθ᾽ οὕτως χρήσασθαι τοῖς καταπλάσμασι δῆλον ἡμέρᾳ προσαγομένοις, εἰ φέρει ὁ νοσῶν. ἐπιθέμασι δὲ χρῆσθαι τῷ πολυαρχίῳ. καὶ τῷ διασύρους. καὶ τοῖς ὁμοίοις ἐφεξῆς. δὲ καὶ τοῖς οὐρητικοῖς χρῆσθαι. διδόναι δὲ καὶ μελίκρατον πίνειν. ἐν ᾧ ἀφεψεῖται πήγανον. καὶ ἄνηθον. καὶ εἰ τὰ τῆς πέψεως τοῦ νοσήματος φαίνοιτο ἐναργῶς σημεῖα, θαρρεῖν αὐτίκα κενοῦσι φαρμάκοις τοὺς μέλανας χυμοὺς οὐχ ἅπαξ μόνον. ἀλλὰ καὶ πολλάκις ἣν οὕτω δέῃ τοῖς τεταρταίοις πινόμενον. καὶ ὁ μέλας ἐλλέβορος τὰ μέγιστα ὠφελεῖ, τῷ κενοῦν ἀλύπως τὰ λυποῦντα. καὶ οἶνος γλυκὺς ἀποβραχὺς ἐν κενώματι κολοκυνθίδος. πᾶσι μέν τοι μίσγειν, σελίνου τε καὶ ἀνίσου ἢ δαύκου ἢ δλύσματος χάριν. συνεχῶς δὲ ἀφέψημα σεύτλου. καὶ ὀστρέου πίνειν. ἁρμόζει δὲ ἐπὶ τούτων, καὶ τὰ ὀρειβασίου ἀλυσδάλεια ἔχοντα οὕτως. ἀλόης, ∠. ξ. νάρδου. στάχυος. ἀσάρου. μαστίχης. κρόκου. ξυλοβαλσάμου ἀνὰ ∠. ϛ. κασσίας, ∠. ιβ. ἐπιθύμου, ∠. ιϛ. ἐλλεβόρου μέλανος χωρὶς ἐντεριώνης, ∠. η. πλάσσε ὀροβιαῖα μεγέθη, διὰ ἀφεψήματος γλήχωνος. καὶ δίδου κατὰ τὸ δυνατόν. δυνατὸν καὶ μέλιτι ἑφθῷ ἀναπλάττειν αὐτά. ἐγὼ προσετίθην καὶ τὸν ἐλλέβορον. χρῆσθαι δὲ καὶ τοῖς ἀπὸ τῶν σιτίων ἐμέτοις καὶ τοῖς ἀπὸ ῥαφανίδων, εἰ μή τι κωλύοι. οἱ πλείους γὰρ τῶν χρησαμένων αὐτοῖς συνεχέστατα. οἱ μὲν, τελέως τοῦ νοσήματος ἀπηλλάγησαν. οἱ δὲ, ῥᾷον ἤνεγκαν. σὺν δὲ τῷ κενοῦν τὰ ἐνοχλοῦντα τῷ στομάχῳ, καὶ ῥᾷον πέττουσιν οἱ τοιοῦτοι. μηδενὸς δὲ κωλύοντος ἤδη, καὶ ἐλλέβορον διδόναι τὸν λευκόν. τὴν μὲν πρώτην ἐμπηγνῦντα ῥαφανίσιν ὡς προείρηται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. ἐσύστερον δὲ καὶ αὐτὸν τὸν ἐλλέβορον διδόναι. οἷς δὲ ἐμεῖν ἀδύνατον, τούτους σφοδρότερον καθήραντος κάτω, τοῦ τε διὰ τῶν ἐχιδνῶν διδόναι φαρμάκου. ὃ καλοῦσι θηριακήν. καὶ τὰ ἄλλα ὅσα πρὸς τοὺς τοιούτους ἐπαινεῖται πυρετούς. ἐν οἷς ἐστὶ καὶ τὸ συνῆθες ἡμῖν ἁπάντων δόκιμον ὀποῦ κυρηναϊκοῦ λαμβάνον. καὶ πεπέρεως καὶ σμύρνης τρωγλοδυτικῆς. καὶ πηγάνου φύλλων χλωρῶν ἑκάστου τὸ ἴσον. ἕκαστον ἰδίᾳ λειότατον ποιήσας καὶ ἅμα λεάνας, ἀναλάμβανε τῷ πηγανίνῳ λειωθέντι μέλιτι. καὶ ἀνάπλαττε καταπότια. καὶ δίδου. οἷς μὲν ὀβολὸν. α. οἷς δὲ τὸ ἥμισυ. Ἄλλο ἀσκληπιάδου. καὶ ὕπνον ποιοῦν. ᾧ καὶ αὐτὸς χρῶμαι. πεπέρεως μακροῦ. σμύρνης τρωγλοδυτικοῦ, ὀποῦ μήκωνος. καστορίου. ἴσον ἑκάστου ἀνάπλαττε καὶ χρῶ. παρέχων ὀβολὸν. ἢ τὸ ἥμισυ μετ᾽ ὀξυμέλιτος, πρὸ ὡρῶν δύο. πρὸ τῆς ἐπισημασίας.

Ἄλλο πρὸς τεταρτοὺς ποιεῖ καὶ ἀρθριτικοῖς.

Ἐπὶ δὲ τῶν τεταρταίων προλούσας, δίδου πρὸ ὡρῶν. β. τῆς ἐπισημασίας, ∠. α. σὺν ὀξυμέλιτι. τοῖς δὲ ἀρθριτικοῖς, μετὰ μελικράτου ἀσφάλτου, ∠. α. σμύρνης τρωγλοδυτικῆς ∠. ε. ἡδυόσμου φύλλοις χλωροῖς λειοτάτοις, ἀναλάμβανε. καὶ χρῶ ὡς προείρηται. ὅσοι δὲ κατ᾽ ἀρχὰς τῶν τοιούτων τί φαρμάκων ἔδοσαν ἢ ὅλως πρὸ τῆς ἀκμῆς. ἁπλοῦν μὲν ὄντα τὸν τεταρταῖον, διπλοῦν πολλάκις ἀπέφηναν. ἢ πάντως γε μείζονα καὶ χαλεπώτερον εἰργάσαντο. διπλοῦν δὲ ὄντα, τριπλοῦν ἐποίησαν, ἢ πάντως γε τοὺς δύο χαλεπωτέρους καὶ μείζονας. οἶδα δέ τινα ἰατρόν. ὅστις ἐτόλμησεν ὑπὸ τριῶν περιεχομένῳ τεταρταίων δοῦναι τῆς θηριακῆς πρὸ τῆς τοῦ νοσήματος ἀκμῆς εἶτ᾽ αὐξηθέντων ἁπάντων συνοχὴς διαδεξάμενος πυρετὸς, ἀπέκτεινε τὸν ἄνθρωπον.

Ἀρχιγένους.

Συνήθως δὲ τοῖς τεταρταῖον πυρετὸν ἔχουσι, προσφέρω φησὶν ἀρχιγένης, καὶ τῆς ἀσφαλτί-

πίδος ξιφύλλου ὅσον ∠ α. τοῦ σπέρματος ἐν κυάθοις τέτρασι μελικράτου. θαυμαστῶς οὖν αὐτοὺς ὀνίνησι καὶ αὐτὴ ἡ ἰουδαϊκὴ ἄσφαλτος, πινομένη λεία σὺν οἴνῳ κεκραμμένῳ, ὅσον ∠ α. φαρμάκου δὲ ἀλυποτάτου καὶ πολλάκις ἐπιτυχόντος, ἐγὼ πεπείραμαι τούτου. ἐφ' ὧν μάλιστα σπλῆνες οἰδαίνουσι. καὶ ὑδέρων κατάρχουσι. κισσοῦ κορυμβίου φύλλα πέντε μετὰ σμύρνης ξωγλοδυτικῆς κυάμου μέγεθος λεανθέντα ἐν κοτύλῃ μελικράτου γλυκυτέρου δίδοται. καὶ τὸ καστόρειον δὲ πινόμενον, τά τε ῥίγη πραΰνει. καὶ τὸ νοσερὸν τῆς περὶ αὐτοὺς δαπανᾷ. καὶ ταῖς κατὰ τὰς φλέβας πέψεσι βοηθεῖ. καὶ τὸ πρὸς τὰς κινήσεις ὀκνηρὸν, ἐξαίρει. Ῥούφου.

Ἀψινθίου δὲ ἀπόβρεγμα, τοὺς τῇ κοιλίᾳ ἐνοχλοῦντας χυμοὺς, ἀπορρύπτει. καὶ τῇ πέψει συνεργεῖ. ὅθεν οὐδὲ σπλίζουσιν οἱ πίνοντες τοῦ ἀψινθίου. πραΰνει δὲ καὶ τὰς ἐν ἥπατι καὶ σπληνὶ φλεγμονάς. καὶ οὖρα ἄγει. καὶ γυναικεῖα καταμήνια. συνηθείας δὲ τῷ νοσοῦντι ὑπαρχούσης. καὶ τῇ κατὰ κοιλίαν κενώσει χαιρούσης τῆς ἕξεως. καὶ δηκτικῶν ἰχώρων ὑπογιγνομένων. νεοβδάλτου γάλακτος. ὀνείου μὲν ἢ ἱππείου ἔδωκα τισὶν. οἷς μᾶλλον ἢ βουλήθην καθαρθῆναι. αἰγείου δὲ ἄλλοις διὰ τὸ σύνηθες καὶ εὔπορον. τρεῖς δὲ κοτύλας ἀρξάμενος, ἐδίδουν. προάγων ἄχρι κοτύλας ἕξ. ἔπειτα διαλιπὼν μίαν περίοδον, ὁμοίως ἠρχόμην ἀπὸ τριῶν κοτυλῶν. καὶ κοτύλην καθ' ἑκάστην προστιθεὶς, ἀνῄειν ἄχρι τὰς ς. ἔπειτα ὑφαιρῶν κατὰ μίαν κοτύλην. καθ' ἑκάστην ἡμέραν. καὶ πάλιν ἀφιστάμην ἄχρι δύο περιόδους. καὶ ἅμα ἥτε νόσος διελέλυτο. καὶ τὸ σῶμα ἐτέθρεπτο. εὔχυμον δὲ εἶναι χρὴ τὸ ζῶον οὗ τὸ γάλα προσάγομεν. εἰ δέ τινι μὴ ὀξύνεται. μὴ δὲ κνισσοῦται. μὴ δὲ κατὰ κοιλίαν ὁρμᾶται. καὶ ἐν τῇ ὑπολοίπῳ ἡμέρᾳ ἀντὶ τοῦ ῥοφήματος σύμμετρον διδόναι πρὸ πολλοῦ τῆς ὥρας. καὶ ψωμοὺς ὀλίγους ἐπιδοτέον. ἐν ἀκμῇ δὲ ὄντος τοῦ νοσήματος προφανείσης δηλονότι σαφεστάτης πέψεως μηδενὸς τῶν σπλάγχνων βεβλαμμένου, τοῖς εἰθισμένοις κατὰ τὸν καιρὸν τῆς ὑγείας, καὶ ψυχρὸν ὕδωρ δέδωκα. μελλούσης σύνεγγυς τῆς εἰσβολῆς ἀθρόον ὅσον κοτύλας δύο. καὶ ἀδιαψεύστως ἀπέστρεψα πολλοὺς τοῦ ῥιγοῦν οὐκ ὀλιγάκις καὶ τῶν πυρετῶν ἐξαλειφθέντων. ἄμεινον δὲ καὶ ἔξωθεν θερμαίνειν τὸ σῶμα κυπρίνῳ ἢ σικυωνίῳ. πρὸ μὲν τῶν παροξυσμῶν, ὥστε μὴ ῥιγοῦν. παυομένων δὲ, ὥστε μὴ ἐκ τῶν ἔξωθεν προσπιπτόντων καταψύχεσθαι. διοσκουρίδης δέ φησιν ὠφελεῖν τοὺς τεταρταίῳ ἐχομένους πυρετῷ. πινόμενα ταῦτα, καὶ πρὸ τῆς ἐπισημασίας. ἀρνογλώσσου ῥίζαι δ. ξηραὶ λεῖαι ἐν οἴνῳ πινόμεναι. περιστερεῶνος ὀρθοῦ τὸ τέταρτον γόνυ ἀπὸ τῆς γῆς λεῖον σὺν οἴνῳ. ἄχρι δὲ τριταίῳ τρεῖς. λιβανωτίδος ῥίζης, ∠ α. ἐν οἴνῳ δίδου πίνειν. καὶ ἐλαίῳ ἀλείψας τὸ πᾶν σῶμα. τὰ δὲ ἄκρα συγχρίσας τινὶ τῶν πρὸς τὰ ῥίγη συγχρισμάτων. καὶ σκεπάσας, ἔα ἡσυχάζειν. καὶ οὐ μὴ ῥιγώσῃ.

Ἀμφημερινοῦ διάγνωσις. πε.

Ὁ δὲ ἀμφημερινὸς πυρετὸς, ἐν ταῖς φλεγματικωτέραις φύσεσι συνίσταται. καὶ τῶν ὡρῶν, ἐν χειμῶνι. καὶ τῶν καταστάσεων ἐν ταῖς ὑγροτέραις καὶ ψυχροτέραις. γέρουσί τε μᾶλλον ἐνοχλεῖ καὶ παισὶ διὰ τὰς ἀδηφαγίας. καὶ μάλιστα τοῖς ἐν ὑγροῖς καὶ ψυχροῖς χωρίοις διάγουσι. καὶ βίοις ἀργοῖς ἅμα πλησμονῇ. καὶ μᾶλλον ὅταν ἐπὶ σιτίοις λούσωνται συνεχῶς καὶ πολὺ δὴ μᾶλλον ὅταν καὶ αὐτὰ τὰ σιτία φλεγματικώτερα τὴν φύσιν ὑπάρχονται. καὶ σαφὴς ἀταξία. ὁ μὲν οὖν πυρετὸς οὔτε μετὰ ῥίγους εἰσβάλλει εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν. ἀλλὰ προήκοντος τοῦ χρόνου. οὐ ῥίγος. ἀλλὰ περίψυξις αὐτοῖς μᾶλλον γίγνεται δυσεκθέρμαντος. ἐν δὲ τοῖς σφυγμοῖς, περιφανὴς ἀταξία καὶ ἀνωμαλία συνεδρεύοι κατὰ τὴν εἰσβολὴν τοῦ παροξυσμοῦ. μάλιστα καὶ τὸ ταχὺ τῆς κινήσεως καὶ τὸ σφοδρὸν αὐτοῖς οὐχ ὑπάρχει. οὐδὲ διακαίει ὁ πυρετὸς οὗτος τοὺς κάμνοντας. οὐδὲ πυκνὸν ἀναπνεῖν ἀναγκάζει. οὔτε ἐκφυσᾶν. ἢ αἰτεῖν ψυχρόν. ἀλλ' ἥκιστα πυρετοὶ οὗτοι διψώδεις εἰσίν. ἐμοῦσι δὲ φλεγματώδη. καὶ ὅσα διὰ γαστρὸς αὐτοῖς κάτω ἐκκενοῦται, ψυχρότερα. καὶ ὠχρότερα. ὠμότερα. καὶ ὑδατωδέστερα ὡς ἐπίπαν ἐστὶν ἱδροῦσιν οὗτοι οὐδαμῶς κατὰ τὰς πρώτας ἡμέρας. οὐδὲ εἰς ἀπυρεξίαν τελείαν ἔρχονται. λευκὴ δὲ αὐτοῖς ἐστὶν ἡ χροιά. οὖρα δὲ λευκὰ καὶ λεπτὰ κατὰ τὰς πρώτας ἡμέρας οὐρεῖται. μετέπειτα δὲ παχέα καὶ θολερὰ οὗτος ὁ χυμὸς καθ' ἑκάστην ἡμέραν παροξύνει. παύεται δὲ εἰς ἀπυρεξίαν τὸν σύμπαντα χρόνον ποιησάμενος ὡρῶν ὡς ἐπίπαν ιη. διὸ καὶ ἀμφημερινὸς κέκληται. ἀμφοῖν γὰρ μετέχει τῆς τε ἡμέρας. καὶ τῆς νυκτός.

Θεραπεία ἀμφημερινοῦ. πς.

Θεραπεύοντες δὲ ἀμφημερινὸν ὀξυμέλιτι χρώμεθα μετὰ τὰς πρώτας ἡμέρας. καὶ τοῖς οὖρα καλῶς προτρέπειν δυναμένοις. καὶ τὸ σύμπαν σοι τῆς διαίτης εἶδος, τμητικώτερον ἔστω. περὶ δὲ τὴν ἀκμὴν προνοεῖσθαι χρὴ γαστρὸς. μάλιστα δὲ τοῦ στόματος αὐτῆς. κἄπειτα ἐμεῖν ἀπὸ σιτίων καὶ ῥαφανίδων. καὶ τοῖς φλέγμα κενοῦσιν ὑπηλάτοις χρῆσθαι. τὰ δὲ ἄλλα τῆς διαίτης πρὸς τοὺς κοινοὺς ἀποβλέπων σκοποὺς ἐξευρήσεις. λεπτυνούσῃ δηλονότι διαίτῃ χρώμενος. καὶ φαρμάκοις τμητικοῖς καὶ λεπτύνουσι.

Περὶ ἠπιάλων πυρετῶν. πζ.

Τοῦ προειρημένου γένους λέγω δὴ τοῦ φλεγματικοῦ ἐστὶ καὶ ὁ ἰδίως ὀνομαζόμενος ἠπίαλος πυρετός. ὅταν ἅμα πυρέττουσί τε καὶ ῥιγῶσι. καὶ ἀμφοτέρων αἰσθάνονται, κατὰ τὸν αὐτὸν χρόνον ἐν ἅπαντι μορίῳ τοῦ σώματος. τὸ γὰρ ὀξὺ φλέγμα. καὶ τὸ ὑελῶδες λεγόμενον. χωρὶς μὲν πυρετοῦ, ῥίγος ἐπιφέρει.

εἰ δὲ σηπεδὼν

εἰ δὲ σηπεδὼν τις αὐτοῖς ἐγγένηται μετρία, τὸν ἡμιτριταῖον ἐργάζεται πυρετόν. εἰ δὲ ἐπὶ πλέον σαπείη, προηγεῖται μὲν ῥῖγος. ἕπεται δὲ πυρετὸς, ἐκνικωμένης τῆς φύσεως ὑπὸ τοῦ πλήθους τῆς θερμασίας, ὡς μὴ δι᾽ ὅλως αὐτὴν φαίνεσθαι κατὰ τὰς ἀναβάσεις, καὶ τὰς ἀκμὰς τῶν παροξυσμῶν. ἴσως δὲ καὶ τὸ ὑελλῶδες φλέγμα ὀξείας μετέχει ποιότητος. ἡ δὲ θεραπεία παραπλησία τοῖς τὸν ἀμφημερινὸν νοσοῦσι πυρετὸν γιγνέσθω, τοῦ τμητικωτέρου τόπου μᾶλλον προσλαβοῦσα.

Κοινὰ βοηθήματα τῶν κατὰ περίοδον παροξυνομένων, Διοσκουρίδου. πη̄.

Κοινῶς δὲ πρὸς πᾶσαν περίοδον. καὶ ῥῖγη, ὠφελίμως δίδοται κινεῖν ἱδρῶτας δυνάμενα, ταῦτα. σμυρνίου σπέρματος, ∠. ᾱ. σὺν οἴνῳ δίδου πίνειν πρὸ ὡρῶν β̄ τῆς ἐπισημασίας. ἀριστολοχίας, ∠. ᾱ. ἴρεως, ∠. β̄. καλαμίνθης ἀφέψημα σὺν καστορίῳ ∠. ᾱ. ἐπὶ τεταρταίων καὶ ἀμφημερινῶν. χαμαίδρυος ἀφέψημα συνεχῶς πινόμενον, λύειν εἴωθε τεταρταίους καὶ ἀμφημερινόν. κεδρώου σπέρμα. ναρθηκος σπέρμα. φλώμου ῥίζα. ἢ χυλὸς σὺν οἴνῳ πρὸς πᾶσαν περίοδον. μάλιστα πρὸς τεταρταίους διδόμενον. πρὸ ὡρῶν δύο τῆς ἐπισημασίας. ποιεῖ καὶ πρὸς λιθιῶντας καὶ δυσεντερικοὺς. στομαχικοὺς. καὶ τοῖς ἀσωμένοις. καὶ ἀπειρηκόσι. καὶ ὀφθαλμιῶσι λίαν καλόν. ὑοσκυάμου σπέρματος λευκοῦ. σελίνου σπέρματος. ἀνίσου σπέρματος. στύρακος ἀνὰ ∠. δ̄. κρόκου, ∠. ῑ. ὀπίου, ∠. γ̄. καστορίου. ∠. β̄. σμύρνης, ∠. β̄. ἀνάπλασσε ὕδατι κυάμου αἰγυπτίου μέγεθος. καὶ δίδου μεθ᾽ ὕδατος κυάθους β̄.

Ἄλλο πρὸς πᾶσαν περίοδον ἐκ τῶν ἀφρόδα.

Υοσκυάμου σπέρματος. σμύρνης τρωγλοδυτικῆς. ὀπίου στύρακος, ἀνὰ ∠. ᾱ. κρόκου ζιγγιβέρεως. ἀλόης, ἀνὰ ∠. ῑ. καὶ ὀβολοὺς γ̄. μέλιτι ἀναλάμβανε. καὶ δίδου καρύου ποντικοῦ τὸ μέγεθος. μεθ᾽ ὕδατος κυάθους γ̄. προσυγχρίσας ἄκρα καὶ σκέλη. καὶ ἔα κοιμᾶσθαι. ἐγὼ δὲ προσέθηκα τῇ γραφῇ καὶ καστορίου, ∠. ᾱ. καὶ ἐνήργησε παραδόξως. χρῶ δὲ θαῤῥῶν καὶ τῇ λεγομένῃ παιονίᾳ ἀντιδότῳ. καὶ τῇ διὰ τοῦ θείου. θαυμαστῶς γὰρ ἐνεργοῦσι πρὸς πᾶσαν περίοδον. μάλιστα δὲ πρὸς ἀμφημερινοὺς καὶ τεταρταίους.

Συγχρίσματα κοινὰ πάσης περιόδου.

Συγχριόμενα δὲ μετ᾽ ἐλαίου λεῖα, ὠφελεῖ τοὺς κατὰ περίοδον παροξυνομένους μετὰ ῥίγους. θάλπει γὰρ τὸ σῶμα. καὶ ἱδρῶτας κινεῖ.

Διοσκουρίδου.

Χαμαιμήλου ἄνθος λεῖον γινόμενον. καὶ ἀναπλασθὲν εἰς τροχίσκους. καὶ ξηραινόμενον ἐν σκιᾷ. καὶ ἐπὶ τῆς χρείας σὺν ἐλαίῳ λειούμενον καὶ συγχριόμενον. ἄγνου σπέρμα. σὺν ἐλαίῳ. λιβανωτίδος καρπός. ἁλὸς ἄνθος. νίτρον. ἀφρόνιτρον. δαφνίδες. πύρεθρον. σμυρνίου σπέρμα. ὑπερικόν. καλαμίνθη. κάγχρυον. καστόρειον. κόρυζα. κόστος. κνίδειος κόκκος. μετὰ νίτρου καὶ ἐλαίου καὶ ὄξους. ἔλαιον ἀμυγδάλινον. δάφνινον. κύπρινον. ἴρινον. γλεύκινον. χαμαίδρυς. σταφὶς ἀγρία.

Ἀσκληπιάδου σύγχρισμα πρὸς τὰς μετὰ ῥίγους ἐπισημασίας.

Τοῦτο πολλοὺς τεταρταίῳ συνεχομένους, ἀπήλλαξα φησὶν, ἀφρονίτρου ∠. β̄. σμύρνης ∠. β̄. πεπέρεως κόκκοι, κ̄. κηροῦ ∠. δ̄. ἐλαίου κυπρίνου. ἢ ἰρίνου. ἢ γλευκίνου. ἢ ἀμυγδαλίνου, Γο. ς̄. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν. ἡ χρῆσις πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας. μᾶλλον δὲ ἀνατρίβειν τοὺς πόδας. ὅθεν δοκεῖ τὰ τῆς φρίκης κατάρχειν.

Ἄλλο πρὸς τριταίους.

Κόκκους κνιδίου. ἀφρονίτρου. πεπέρεως ἴσα ἀναλάμβανε ἰρίνῳ. καὶ ποίει λυοῦ πάχος. καὶ χρῶ ἀνατρίβων τὰ ἄκρα προσηνῶς, ἱδρῶτας κινεῖ τὸ φάρμακον. καὶ ἀπολύει δυσὶν ἢ τρισὶν περιόδοις.

Ἄλλο πρὸς τριταίους. τεταρταίους. καὶ τὰς λοιπὰς περιόδους.

Σμύρνης ∠. η̄. κασίας, ∠. ῑ. πεπέρεως ∠. ιβ̄. σταφίδος ἀγρίας ∠. γ̄. νίτρου ∠. δ̄. κηροῦ Γο. ς̄. κυπρίνου. ἢ ἑτέρου τοιούτου, ∠. ᾱ. οἴνῳ διάλυε τὴν σμύρναν. καὶ τὴν σταφίδα. καὶ τὰ λοιπὰ, σῆθε κόπτων. καὶ συλλέαινε τῇ σμύρνῃ. καὶ ἐπιχέας αὐτοῖς τὴν κηρωτὴν ἀναλάμβανε. ἐπὶ μὲν τῆς χρείας τοῦ μὲν φαρμάκου βαλὼν μέρος ἓν. καὶ κυπρίνου τὸ ἴσον σύγχριε.

Περὶ τῶν περὶ τὰ σπλάγχνα ἐρυσιπελατωδῶν διαθέσεων. πθ̄.

Γίνεται ποτὲ ἐρυσιπελατώδη περί τινα τῶν σπλάγχνων. καυσώδη πυρετὸν. καὶ ἑκτικὸν ἐπιφέρουσαν. καὶ εἰ μὲν περὶ τὴν γαστέρα γένοιτο ἐρυσίπελας, τὸν ἐκ τούτων ἀναπτόμενον πυρετὸν, λειπυρίαν ὀνομάζουσιν. εἰ δὲ περὶ τὸ ἧπαρ, τυφώδη. εἰ δὲ περὶ τὸν πνεύμονα, κρυμώδη. δεῖται δὲ ὁ τοιοῦτος πυρετὸς, ψυχόντων καὶ ὑγραινόντων. πρότερον ἐδεσμάτων τε καὶ πομάτων. καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων. ὅταν μὲν οὖν ὁ ἑκτικὸς πυρετὸς ἄμικτος ἐστὶν ἑτέρῳ νοσήματι, βαλανείου χρήζει. καθάπερ καὶ αἱ ἄλλαι πᾶσαι θερμότητες καὶ ξηρότητες. εἰ δὲ ἐρυσιπελατώδης εἴη διάθεσις περὶ τὰ σπλάγχνα, ἀπέχεσθαι μὴ χρὴ βαλανείου τοὔπιπαν. ψυχρῷ δὲ κατὰ μὲν τὴν ἀκμὴν τοῦ νοσήματος, χρηστέον ἀγωνιστικῶς. οὕτως δὲ ὀνομάζειν εἰώθαμεν, ὅταν ἅπαξ καὶ ψυχρότατον καὶ πολὺ δώσομεν. πρὸ δὲ τῆς ἀκμῆς, οὐ χρηστέον τῷ ψυχρῷ. εἰ μὴ ἀναγκασθείημεν ὑπὸ τοῦ κάμνοντος. ἐν ἔθει τε ψυχροποσίας ὄντος. οὐ φέροντός τε τὸ δίψος. ἀλλ᾽ ἔξωθεν ἐπιτιθέναι χρὴ τὰ ψύχοντα. καὶ εἰ μηδὲν ἀνύει, τότε καὶ τὸ ποτὸν ψυχρὸν διδόναι. ἢ μᾶλλον τὰ ἐμψύχοντα τῶν ἐδεσμάτων. μάλιστα δὲ αὐτῶν ἁρμόζουσιν αἱ ὑγραὶ καὶ γλυκεῖαι θριδακίναι. περὶ πολύ αθωσαν δὲ, ἀκραιφνεῖ ψυχρῷ. κάλλισται

μὴ οὕτω ληφθεῖσαι. ἐνθένδε ποτὲ παραμυθήσασθαι τὴν ἀηδίαν τῆς προσφορᾶς αὐτῶν. ὄξος ὕ-
δατι πολλῷ ψυχρῷ μίξαντες, συγχωρήσομεν ἐν τούτῳ βάπτειν. ἔστω δὲ τὸ ὄξος ἀκριβῶς ἀποκεχω-
ρηκὸς ἀπὸ πάσης οἰνώδους ποιότητος. ἔξωθεν δὲ καὶ αὐτὸς ὁ τῆς θειδακίνης χυλὸς, ἐπιτήδειος. ἀλ-
λὰ καὶ ἀειζώου καὶ σέρεως. ἔτι ἀνδράχνης. ἀνδραφάξυος. στρύχνου τε καὶ ἀρνογλώσσου. μετὰ ἄρτου
ξηροῦ λείου. καὶ ῥοδίνου καλοῦ ὀλίγου. καὶ τῶν παραπλησίως ψυχόντων. κάλλιστον δὲ ὡς ἡμεῖς χρώ-
μεθα κατὰ τὸν τῶν ὀμφακίνων καιρόν. ἐκθλίψαντες γὰρ αὐτῶν τὸ ὑγρὸν, ἐκβάλλομεν ὅλμω μετὰ
ἀνδραχνῶν χλωρῶν. εἶτα κόψαντες ἐκπιέζομεν. καὶ βάλλοντες τὸ ὑγρὸν εἰς ἀγγεῖον. καὶ δήσαντες
ἀκριβῶς τὸ στόμα, καθίεμεν τὸ ἀγγεῖον ὕδατι. βέλτιον δὲ εἰ καὶ χιόνι περιπλασθείη τὸ ἀγγεῖον. ἐπὶ δὲ
τῆς χρήσεως, μίγνυμι ἀλφίτου λεπτοτάτου. κἄπειτα ψύξαντες ὡς ὑγρότερον εἶναι, ἐμπλάτ-
10 τομεν τὴν ὀθόνην δίπτυχον. καὶ ἐπιτίθεμεν κατὰ τῶν ὑποχονδρίων. οὐκ ἐῶντες χρονίζειν. ἀλλ'
ἐπειδὰν γένηται χλιαρὸν, αἴροντες μὲν τοῦτο, ἐπιτίθεμεν ἕτερον. καὶ τοῦτο διαπαντὸς ἐκδιαδοχῆς
ποιοῦντες, ἄχρις ἂν ὁ κάμνων αἰσθάνηται τοῦ βάθους πόσως ψυχομένου. καὶ ἀδιψότερος γένηται.
μίγνυμεν δὲ ἐνίοτε, καὶ ἔλαιον ὀμφάκινον. ἢ ῥόδινον. ἐπειδὰν περὶ τὰ ὑποχόνδρια φλεγμονώ-
δης εἴη ἐρυσίπελας. ἐθεασάμην γυναῖκα κειμένην ὑπτίαν. καὶ ἄναυδον ἐπὶ γῆς. μυρμηκίζοντας ἔ-
χουσαν τοὺς σφυγμούς. ἅμα τῷ καταψύχεσθαι τάς χεῖρας τε καὶ πόδας, ἐνόμιζον δὲ ὅτι θερμὸν τὸ
πάθος. καὶ γὰρ ἅμα τοῖς εἰρημένοις κακίστοις σημείοις πυκνοτέραν ἑώρων τὴν ἀναπνοὴν γινομένην.
τοῦτο δὲ γνώρισμα ἐστὶν ἀλγηδόνος μεγάλης. καὶ θερμοῦ νοσήματος ἐν ὑποχονδρίοις. καὶ ἐν θώρα-
κος μορίοις ὄντος. ἔφη δέ τις τῶν παρεστηκότων ἀκηκοὼς αὐτῆς λεγούσης, καίεσθαι τὸν στόμαχον.
καὶ ψυχροῦ ποτοῦ μεγάλην τὴν ἐπιθυμίαν ἔχειν. διὸ καὶ ἐς τὸ ἔδαφος κεῖται ψύξιν θηρωμένη. ἀ-
20 ποτολμήσας οὖν δέδωκα αὐτῇ διὰ κοχλιαρίου ὕδωρ ψυχρὸν. δεύτερον καὶ τρίτον ἐμβαλὼν τῷ
στόματι αὐτῆς βιαίως. εἶδον δὲ ἠρέμα τὰ χείλη αὐτῆς, εἴσω ἕλκοντα τὸ ὕδωρ. λογισάμενός τε αὐτὴν
προθυμεῖσθαι πιεῖν ψυχρὸν, διὰ τὴν ἐγκειμένην τῇ γαστρὶ πυρώδη διάθεσιν, αὖθις πλείονος ἐπέ-
δωκα. ἐπὶ τούτῳ, κινεῖν ἤρξατο διὰ τῶν ὀφθαλμῶν, ἐνδεικνυμένη οὕτω ποιεῖν. λαβὼν δὲ τοῦ διὰ
κωδιῶν ὀλίγον μετὰ κνιδείου οἴνου καὶ ψυχροῦ ὕδατος κοχλιαρίου, πλῆθος ἐνέχεον τῷ στόματι. κἂν
τούτῳ δηλονότι ὀλίγον ὕστερον φθεγξαμένη ἠρέμα. καὶ αὖθις ἐπίδωκα πλέον τοῦ πόματος μετὰ ἐμ-
μελοῦς οἴνου ἀντὶ τοῦ κνιδείου, καὶ ὀλίγου ὕδατος. ἐπιπλάσας δὲ τὸ στόμα τῆς γαστρὸς ἀειζώου. καὶ
θειδακίνης μετὰ ἄρτου λείου. καὶ ῥοδίνου ἴσων. ψυχρὰ δὲ αὐτὰ ἐπέθηκα διὰ τὴν θερμότητα τοῦ
πάθους. καὶ τὸ θερινὴν εἶναι τὴν ὥραν, ἄχρις ἂν εἴη ψύξεως ἱκανῶς αἰσθάνεται.

30 Περὶ συντήξεως Φιλαγρίου. ϛ.

Σύντηξις μὲν ὀνομάζεται, ὅταν ἐκκρίνηται διὰ γαστρός τι. οὐκ ἐκ τῶν ἐδηδεσμένων, ἢ πεπομένων.
ἀλλ' ἐκ τοῦ παντὸς εἰς αὐτὴν καταρρεόντων χυμῶν. παραπλησίου ὄντος τῆς συνεχῶς ἐμουμένης
τε καὶ διαχωρουμένης ξανθῆς χολῆς. διαφέροντος δὲ αὐτῆς τῇ τε δυσωδίᾳ. καὶ τῷ πυρρότερον φαί-
νεσθαι τὸ διαχώρημα. καὶ πάχος ἔχειν γλοιῶδες. ἐνίοτε δὲ καὶ ἐλαιῶδες. ἢ πιμελῶδες, σύντηξις κα-
λεῖται τὸ νόσημα. ἥτε γὰρ νεοπαγὴς οὐσία τῆς πιμελῆς. καὶ τῆς σαρκὸς, ὑπὸ τοῦ διακαεστάτου πυ-
ρετοῦ ἀναλύεται καὶ τήκεται. ἥτε τῶν στερεῶν αὐτῶν οὐσία ἐκ μέρους ἀποτήκεται. χρονίζοντος ἤ-
δη τοῦ κακοῦ. διὸ καὶ χαλεπώτατος ἐστὶν ἁπάντων ὁ πυρετὸς ὁ τοιοῦτος. εὔδηλον οὖν ὡς σβεστηρίοις
ἰάμασι χρησόμεθα. ψυχρόν τε ἄγαν προσάγοντες ὕδωρ πίνειν. καὶ καταπλάσματα καὶ ἐπιθέματα
ψύχοντα κατὰ τοῦ θώρακος. καὶ τῶν ὑποχονδρίων ἐπιτιθέντες. καὶ ῥοφὰς διδόντες ὑγραινού-
σας καὶ ἐμψυχούσας. προείρηται δὲ περὶ τούτων ἐν τῷ περὶ τῶν καυσωδῶν πυρετῶν λόγῳ. ῥη-
40 θήσεται δὲ ἐφεξῆς, καὶ ἐν τῷ μέλλοντι κεφαλαίῳ.

Περὶ τῶν ἐν ταῖς θερμαῖς, καὶ ξηραῖς κράσεσι γινομένων πυρετῶν χωρὶς φλεγμονῆς, καὶ σήψεως. ξα.

Ὅσοι τὴν κρᾶσιν πικρόχολοι. καὶ τὴν ἕξιν ἰσχνοί. καὶ κατάξηροι φύσει, καὶ τὸν στόμαχον σφόδρα αἰσθη-
τικὸν ἔχοντες. καὶ ῥᾳδίως ἐκχολούμενον. ἀσιτήσαντες καὶ ἀγρυπνήσαντες. ἢ ὑπὸ ὀργῆς πονηθέντες. καὶ
μάλιστα κατὰ τὰς ὁδοιπορείας. καὶ ἡλιωθέντες. ἢ λυπηθέντες. ἢ σφόδρα φροντίσαντες, ἑτοίμως
φρίκαις καὶ πυρετοῖς ἁλίσκονται. ἐκχολοῦνται γὰρ ῥᾳδίως ἐπὶ τῶν πικροχόλων φύσεων, ἡ ἕ-
ξις ἐν ταῖς ἀσιτίαις. καὶ τοῖς εἰρημένοις πᾶσι. καὶ πρῶτον μὲν, ἀνωμαλίας αἰσθάνονται. ἔπειτα δὲ
καὶ φρίκης. καὶ εἰ ἐπιμένοιεν κινούμενοι. ἢ μὴ φθάσειαν λαβεῖν σιτίον, αὐτίκα πυρέξειαν. οἱ γὰρ δα-
κνώδεις χυμοὶ καὶ ἀτμοὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενοι, φρίκας καὶ ῥίγη γεννῶσι. καὶ
τούτου χάριν φρίττοντος καὶ πυκνουμένου τοῦ δέρματος ὡς φύσει ἐπὶ τούτων ξηροτέρου ὑπάρχον-
50 τος, ἐπέχεται τὰ πνεόμενα πρόσθεν λιγνυώδη. καὶ καπνώδη περιττώματα. καὶ πυρετὸν ἐξάπτει.
εἰ μὴ φθάσειεν ὡς προείρηται ὁ τοιοῦτος τροφὴν προσενέγκασθαι. ἔλυσα δὲ τοὺς πυρέξαντας οὕτω
τινὰς. καὶ μάλιστα τῶν ἐκ νόσου μακρᾶς ἀνακομιζομένων. ὧν ἐνὶ κατὰ τύχην ἀπαντήσας κατ' ἀγο-
ρὰν τῆς φρίκης ἀρχομένης. εἰσαγαγὼν εἰς τι ἐργαστήριον ἄρτον ἐξ οἴνου κεκραμένου δοὺς αὐτῷ,
παραχρῆμα τὴν φρίκην ἔπαυσα. καὶ πυρέξαι ἐκώλυσα. ἑτέρους δὲ εἰς τοὺς ἑαυτῶν οἴκους ἀπελθεῖν

φθάσαντας, ἔθρεψαι κατὰ τὴν ἀρχὴν τῆς φρίκης, ἢ μικρὸν ὕστερον. ἁπλῶς δὲ εἰπεῖν, οἷς ἔτι τὰ τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστὶ συμπτώματα ἐπὶ τῶν τοιούτων κράσεων, τούτοις ἅπασιν, ἄρτου ἐξ οἴνου κεκραμμένου διὰ ταχέων προσφερομένων, ἔπαυσά τε παραχρῆμα τὴν φρίκην. ἐκώλυσά τε πυρέξαι. ὅσῳ γὰρ θᾶττον αὐτοὺς θρέψεις, τοσούτῳ μᾶλλον κωλύσεις τὸν πυρετόν. εἰ δέ ποτε βραχὺ βραδύνας ἔθρεψα, πυρετὸς μὲν οὐκ ἐγένετο. θερμασία δὲ αὐτοῖς ἐπιγίγνεται ὀλίγη. ὡς εἰ ἐπιπλέον βραδύνῃς θρέψαι, θερμανθήσεται θερμασίαν τοσαύτην ὡς ἀμφιβάλλειν εἰ πυρετὸν κλητέον αὐτήν δεῖ. εἰ δὲ ὧραι δύο μετὰ τὴν ἀρχὴν τῆς φρίκης εἰς ἓν γινόμεναι. μενούσης μὲν ἔτι τῆς φρίκης, τρέφειν χρὴ καὶ τότε προλέγειν ὅτι πυρέξουσιν οὗτοι πυρετὸν ἄλυπον. ᾧ νοτίδες ἀκολουθήσωσι. καὶ τούτου γινομένου. καὶ λούειν χρὴ καὶ τρέφειν αὖθις. εἰ δὲ μετὰ τὸ παύσασθαι μὲν τὴν φρίκην. ἄρξασθαι δὲ τὸν πυρετὸν μετὰ συστολῆς, μηκέτι τρέφειν αὐτοὺς ἐν ἐκείνῳ τῷ καιρῷ. παρακμάζοντος δὲ τοῦ παροξυσμοῦ τρέφειν αὐτίκα. μὴ περιμένειν ἀπυρεξίαν. διδοὺς καὶ ποτὸν ὕδωρ θερμὸν ἐν ἀκμῇ πλεῖον ἐν ἁπάσαις γὰρ ταῖς αὐχμώδεσι διαθέσεσιν, οὐ παύονται οἱ παροξυσμοὶ πρὶν ἤτοι λουτροῖς. ἢ ῥοφαῖς ὑγραινούσαις, τέγγεσθαι. ἐνίοις δὲ καὶ τῆς παρακμῆς ἀρχομένης. καὶ ἄλλους, τῆς ἀκμῆς ἐνεστηκυίας τοῦ παροξυσμοῦ, τρέφω. ἀσιτία γὰρ κράσεων πυρεττόντων, μάλιστα οὐχ ἁπλῶς βλαβερόν. ἀλλ' ἔπεστί τι καὶ ἄλλο τῶν ἄλλων ὀλέθριον. ἤτοι γὰρ εἰς τοὺς καυσώδεις ἐμπίπτουσι πυρετοὺς ἀσιτήσαντες. ἐξ ὧν ἐὰν μὴ φθάσωσιν ἀποθανεῖν, εἰς τοὺς ἑκτικοὺς μεταπίπτουσιν. αὖθις τε ἐκ τούτων εἰς μαρασμόν. εἰ δὲ ἐξ ἀρχῆς ὁ ἑκτικὸς αὐτοῖς εὐθέως συμπίπτει πυρετός. κατ' ἀρχὰς μὲν οὖν οὕτω χρὴ τοὺς τοιαύτην κρᾶσιν ἔχοντας διαιτᾶν. ὅταν δὲ ἤτοι γε ἐκ κόπων. ἢ θυμῶν. ἢ φροντίδων πλειόνων. ἢ ἀγρυπνίας. ἢ λύπης. ἢ καὶ πάντων ἅμα συνελθόντων σφοδρῶς ξηρανθέντος τοῦ σώματος εἰσβάλῃ πυρετός. αὐχμηρὸν μὲν ἔχων τὸ δέρμα. πυρώδη δὲ τὴν θέρμην. ἐλπὶς μὲν δήπου σχεῖν τὸν ἄνθρωπον, ἑκτικῷ ληφθήσεσθαι πυρετῷ. καὶ μᾶλλον ἐν θερεῖ. καὶ ξηρᾷ. καὶ θερμῇ καταστάσει. δέονται τοίνυν ὑγραινόντων τε καὶ ψυχόντων ἐδεσμάτων τε καὶ πομάτων. θερμοὶ γὰρ καὶ ξηροὶ τὴν κρᾶσιν. ἀσθενεῖς τε τὴν δύναμιν ἐξ ἀνάγκης. οὐ γὰρ ἐνδέχεται θερμὸν καὶ ξηρὸν ἱκανῶς σῶμα πυρέξαν, ἐρρῶσθαι τὴν δύναμιν. προσήκει μὲν οὖν ὅτι τάχιστα διὰ πτισάνης χυλοῦ. ἢ τῶν διὰ χόνδρου ῥοφημάτων θρέψαντα. καὶ ἄρτου βραχὺ προσεπιδιδόντα, θεραπεῦσαι πόσει ψυχροῦ τὸν κάμνοντα. σβέννυται γὰρ αὐτίκα καὶ παύεται ὁ πυρετὸς τελέως, ὅταν γε μὴ φλεγμονή τις αὐτῷ πάρεστι. μήτε σῆψις χυμῶν. εἰ μέντοι μεγάλην σοι χάζοιο ἔσεσθαι τὴν βλάβην, ἐπισχεῖν τὴν δόσιν. διὰ δὲ τῶν ἔξωθεν προσπιπτόντων τῷ σώματι τὴν ἴασιν μηχανᾶσθαι. ἔξωθεν δὲ προσπίπτει ὅ τε περιέχων ἡμᾶς ἀήρ. καὶ ὅσαι δυνάμεις ὑγραίνειν καὶ ψύχειν πεφύκασι. καὶ πρὸς τούτοις τὰ τῶν γλυκέων ὑδάτων λουτρά. τῷ μὲν οὖν περιέχοντι ἡμᾶς ἀέρι εὐκράτῳ μὲν ὄντι, χρηστέον ὡς ἔχει. μηδὲν περιεργαζομένους. εἰ δὲ ἤτοι θερμὸς ὑπάρχει ἱκανῶς ἢ ψυχρὸν τὸ μὲν θερμὸν, τοὐναντίον ἐπιτεχνᾶσθαι καταγείους οἴκους. ψυχεινούς τε καὶ εὐπνουστάτους. ἐξευρίσκοντες πρὸς ἄρκτους ἐστραμμένους αὔρας τέ τινας αὐτοῖς ἰδίας μηχανωμένους. ἐνίοτε μὲν ἐξ εὐρίπων εἰς οὓς καταρρήσσουσιν κρουνοὶ πλείους. ἐνίοτε δὲ ἐξ ἀγγείων εἰς ἀγγεῖα μεταρρέοντος τοῦ ὕδατος ψυχροῦ. εὐθὺς δὲ τούτῳ, καὶ ὑπνωτικὰ ὑπάρχειν. ῥαίνειν τε συνεχῶς τὸν οἶκον ἀκραιφνεῖ ψυχρῷ. καὶ ῥόδα πολλά. ἢ ἀμπέλων ἕλικας. ἢ μυρσίνας κατὰ τῆς γῆς ἐπιστρωννύειν. ἤ τι τῶν ἄλλων φυτῶν ὅσα ψύχει. εἴργειν δὲ πλῆθος ἀνθρώπων εἰσιέναι. καὶ γὰρ καὶ τοῦτο θερμαίνει τὸν οἶκον. ψυχρότατον δὲ ὄντα τὸν ἀέρα ὡς ἐν χειμῶνι μάλιστα. δι' ἐπιβλημάτων θάλπειν τὸ σῶμα. πυκνοῖ γὰρ καὶ συνάγει τὸ δέρμα. καὶ κωλύει τὰς ἀπορροίας διαπνεῖσθαι τῶν ἐγκαιομένων χυμῶν. μείζονα γὰρ γνωστέον ἐσομένην τὴν ἐκ τῆς ψυχρᾶς εἰσπνοῆς ὠφέλειαν, ἢ περ τὴν ἐκ τῆς τοῦ δέρματος ἐμψύξεως. ὁμοίως δὲ καὶ τῶν ἔξωθεν ἐπιτιθεμένων, ἐκλεκτέον τὰ ψύχοντα, χωρὶς τοῦ στύφειν ἰσχυρῶς. καὶ συνάγειν καὶ σφίγγειν τὸ δέρμα. μάλιστα δὲ οὐ μόνον ὅσα ψύχει, ἀλλ' ὅσα καὶ τῇ συστάσει τοῦ σώματος εἴη λεπτομερῆ. καθ' ὅσον οἷόν τε εὑρεῖν ἐν τοῖς ψύχουσιν. ἢ χωρὶς ἐπιμιξίας ἑτέρας σφοδρᾶς ποιότητος. ἔστι δὲ ἁπλούστατον φάρμακον τῶν ὑγραινόντων τε καὶ ψυχόντων, ᾧ καὶ κατὰ τῶν ἐρυσιπελάτων χρῶμαι καὶ κατὰ τῶν ἐν αἰδοίοις φλεγμονῶν ἐν ἀρχῇ. κηρὸν τὸν λευκότατον τήξας ἐπὶ διπλώματος, ἐπίχεε εἰς ὕδωρ ψυχρόν. καὶ μάλασσε ταῖς χερσὶν ἐπὶ πολὺ ἀποπλύνων. ἔπειτα ὁμοίως τήξας αὐτὸν, ἐπίχεε ἑτέρῳ ὕδατι καθαρῷ. καὶ αὖθις τὸ τρίτον τὸ αὐτὸ ποιήσας, ἀναλάμβανε. τούτῳ τῷ κηρῷ οὕτω πλυθέντι, ἐπίβαλλε ῥόδινον ἐσκευασμένον ἐξ ἐλαίου καλλίστου ὀμφακίνου, ὡς εἶναι τοῦ μὲν κηροῦ, Γο. α. τοῦ δὲ ῥοδίνου, Γο. Δ. καὶ τῆκε ὁμοίως ἐν διπλώματι. καὶ τακέντων, ἄρας κίνει μέχρι ποσῶς ψυγῆναι. ἔπειτα ἐπίχεε ἐν θυίᾳ. καὶ τρῖβε ἰσχυρῶς τῷ δίδυκι. ἐπιστάζων κατὰ βραχὺ ὕδωρ πότιμον. καὶ ψυχρότατον. ὅσον ἐπιδέχεται. καὶ ἀναλάμβανε ἐν χυτριδίῳ ὕδωρ ἔχοντι καθαρόν. ἀλλάσσων καθ' ἑκάστην τὸ ὕδωρ. ἐκ τούτου τοῦ φαρμάκου ἐμπλάσσων ῥάκει ἰσχνῷ ἐπιτίθει. μὴ καθ' ὅλου τοῦ θώρακος καθὼς τινὲς ...

ποιοῦσι. μήτε μὴν καθ' ὅλον, τὸν θώρακα. ἢ τὸ ὑποχόνδριον. ἀλλ' ἐκείνου μάλιστα τοῦ τόπου ἐν ᾧ τῆς πολλῆς θερμασίας αἴσθησις γίνεται. ἀλλασσέσθω δὲ τὸ φάρμακον, πρὶν σαφῶς θερμανθῆναι.

Ἄλλο ἐπίθεμα κάλλιστον.

Ὀξυλαπάθου χυλῷ ἀλφίτων λεπτῶν μιχθέντων, ἀναλαμβανέσθω διπτύχῳ ῥάκει τριβακῷ. καὶ ψυχρὸν ἐπιτιθέσθω. ὁμοίως δὲ ποιεῖ καὶ ὁ τῆς ἀνδράχνης χυλός. καὶ ὁ τοῦ ἀειζώου. ἅμα τῷ τῆς ὄμφακος μετὰ ἀλφίτων καὶ τριβόλου χλωροῦ χυλός. καὶ πολυγόνου. καὶ σέρεως. καὶ θριδακίνης σὺν τοῖς ἀλφίτοις. καὶ αὐτὰ δὲ τὰ φύλλα τούτων λεάνας, ἐπιτίθει. ἀγαθὸν δὲ φάρμακον καὶ στέαρ, φοινίκων λιπαρῶν τὴν σάρκα ἐξυμενίσας. καὶ ἑψήσας σὺν ὀξυκράτῳ ἀκρατεστέρῳ μέχρι τακερώσεως. καὶ λεάνας σὺν τοῖς λεπτοτάτοις ἀλφίτοις, ἐπιτίθει. εἰ δὲ ξηρότερόν σοι φαίνοιτο αὐτῷ, μίγνυε ἐκ τῆς προειρημένης κηρωτῆς βραχύ, ἢ ῥοδίνου καλλίστου ἐλάχιστον. ἀγαθὸν δὲ φάρμακον, καὶ ὁ τῶν ῥόδων χυλὸς μετὰ τῶν λεπτῶν ἀλφίτων. καὶ αὐτὰ τὰ ῥόδα λεῖα ἐπιτιθέμενα. ταῦτα μὲν οὖν παραλαμβάνομεν ψύχειν ἱκανῶς βουλόμενοι. μετρίως δὲ ψύχειν βουλόμενοι, οὐκ ὀλίγον ὑπάρχει πλῆθος ἐκπλαστωδῶν φαρμάκων. ἠρέμα ψύχειν δυναμένων. ἐγὼ γὰρ οἶδα κατὰ τῶν ὑποχονδρίων ἐπιτεθέντος ποτὲ ψύχοντος φαρμάκου, παραχρῆμα δυσπνοήσαντα τὸν ἄνθρωπον. ἄλλον δὲ αὐτίκα βήξαντα. καὶ μικρὸν ὕστερον ἀμφοτέρων, παυσάμενον τὸ σύμπτωμα. τοῦ ψύχοντος φαρμάκου ἀρθέντος. λουτρὰ δὲ τῶν γλυκέων καὶ θερμῶν ὑδάτων. μᾶλλον δὲ εὐκράτων ὠφελιμώτατα. πᾶσι τοῖς ξηρὰν καὶ θερμὴν ἔχουσι κρᾶσιν. λούειν δὲ αὐτοὺς ὥσπερ καὶ τοὺς ἑκτικούς. ἐν τῷ δευτέρῳ οἴκῳ περιχέοντας τῷ σώματι ὑδρέλαιον θερμόν. καὶ ἐμβιβάζοντας εὐθέως τῷ εὐκράτῳ. ἔπειτα δὲ καὶ ψυχρῷ. οὐ μέντοι χρὴ ἐμβραδύνειν τῷ ψυχρῷ. εἰ δὲ φλεγμονή τινος τῶν σπλάγχνων ἐπιγένοιτο, παραιτεῖσθαι δεῖ τὸ βαλανεῖον. εἰδέναι μέντοι χρὴ ὡς εἴποτε συνέλθοι φλεγμονὴ κυρίου μορίου τοῖς τοιούτοις πυρετοῖς, καὶ σώμασι τεθνήξονται πάντως. καὶ μᾶλλον εἰ πνεύμονος ἢ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος. ἢ γαστρός. ἢ ἥπατος. ὅσον μὲν γὰρ ἐπὶ ταῖς φλεγμοναῖς τούτων τῶν μορίων, ἥκιστα προσήκει τρέφειν. ὅσον δὲ ἐπὶ τῇ τῆς δυνάμεως ἀρρωστίᾳ, πολλάκις δεῖ τρέφειν. ὥστε ἀναγκαῖον ἢ μὴ τρέφοντα καταλύειν τὴν δύναμιν, ἢ τὰς φλεγμονὰς αὐξῆσαι τρέφοντα.

Περὶ ἑκτικῶν πυρετῶν καὶ μαρασμωδῶν. ϟβ.

Ἑκτικὸς ὀνομάζεται πυρετός, ἐπειδὰν εἰς τοσαύτην ἀμετρίαν ἥκοι ἡ παρὰ φύσιν θερμότης. ὡς ἐν ἕξει γίνεσθαι αὐτῆς τῆς στερεᾶς οὐσίας. τοῦ ὁμοιομεροῦς σώματος τῆς καρδίας. καὶ διὰ τοῦτο δύσλυτον ἔχειν τὴν κατασκευήν. πρῶτον μὲν γὰρ ἐκτήκει. καὶ ἐξικμάζει. καὶ ἐκδαπανᾷ ἡ παρὰ φύσιν θερμότης, τὴν οἷον ὑγροπαγῆ οὐσίαν τὴν ἐν τοῖς μορίοις. ὁποία ἐστὶ καὶ ἡ πιμελὴ καὶ ἡ σάρξ. ἔπειτα δὲ τὴν οἰκείαν ὑγρότητα δαπανᾷ. ἐξ ἧς τρέφεται τὰ σώματα. ἥτις παρακέχυται καὶ παρέσπαρται δροσοειδῶς περὶ τὰ πάντα τὰ μόρια τοῦ ζώου. μεταβαίνει δὲ ἐντεῦθεν ἐπὶ τὸ σαρκῶδες γένος. ὃ ταῖς ἰσὶ καὶ τοῖς ὑμενώδεσι μορίοις τῶν στερεῶν σωμάτων παραπεφύκασιν. ὅπερ ξαίνοντες οἱ μάγειροι ἀφαιροῦσι. τὰς δὲ ἶνας ἀποβάλλουσι. τὸ δὲ ἀκριβὲς τῆς συμπληρώσεως ἐν τῷ τὴν στερεὰν οὐσίαν αὐτὴν τῶν ὁμοιομερῶν γίνεσθαι ξηροτέραν. ὅτι καὶ καλεῖται μαρασμώδης πυρετός. διττὸν δέ ἐστι τὸ γένος τῶν ἑκτικῶν πυρετῶν. οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τοῖς καυσώδεσι πυρετοῖς ὡς τὰ πολλὰ γίνονται. μηκυνθεῖσιν εἰς τοσοῦτον, ὡς ἐκδαπανῆσαι τῷ χρόνῳ τὴν ἰκμάδα τοῦ τῆς καρδίας σώματος. οἱ δὲ ἔτι μενούσης τῆς ὑγρότητος γιγνόμενοι τὸ σῶμα τῆς καρδίας καταλαμβάνοντες, ἐντεῦθεν ἀνάπτονται. καθάπερ ἡ τῶν λύχνων φλὸξ ἐκ τῆς θρυαλλίδος. ἔτι μένοντος τοῦ ἐν τοῖς λύχνοις ἐλαίου. καὶ ἡ μὲν μία γένεσις αὐτῶν, αὕτη. ἑτέρα δέ, ὅταν ἐξ ἀρχῆς εὐθέως εἰσβάλλωσι τὴν πρώτην γένεσιν. ὁμοίαν ποιησάμενοι τοῖς ἐφημέροις, ἐπὶ λύπῃ. καὶ θυμῷ. καὶ κόπῳ πλείονι, μετ' ἐγκαύσεως ἅμα γινομένῳ. τούτοις μὲν οὖν τοὺς πυρετούς, οὐ χαλεπὸν ἰᾶσθαι. τοὺς δὲ ἐξ αὐτῶν εἰς μαρασμὸν ἀφικνουμένους, οὐ δυνατὸν ἰᾶσθαι. ἡ γάρ τοι φύσις αὐτῶν, ἐστὶ θερμὴ καὶ ξηρά. παραπλήσιόν τι πασχούσης τῆς καρδίας. οἷόν περ ἡ θρυαλλὶς ἐν τοῖς λύχνοις. ἐπειδὰν ἐπὶ πλεῖστον ἐγκαυθῇ. θρύπτεται γὰρ ἡ οὕτω φρυχθεῖσα, ὡς μηδ' εἰ παραχέοις ἄφθονον ἔλαιον ἀναφθῆναι δύνασθαι φλόγα ἐμμελῆ περιπορεῖ. τοιγαροῦν αὕτη μικρὰ καὶ ἄτονος ἡ φλόξ. ἀεὶ καὶ μᾶλλον ἐλάττων γιγνομένη, μέχρι περ ἂν ἀποσβεσθῇ. ἑτοιμότατος δὲ οὗτος ὁ πυρετὸς διαγνωσθῆναι. πρὶν γὰρ ἅψασθαι τῶν σφυγμῶν καὶ τῆς θερμασίας, τοὺς ὀφθαλμοὺς κοίλους θεάσῃ ἀμέτρως. καθάπερ ἐν βόθροις τισὶ κειμένους. καὶ λήμας κατ' αὐτοὺς ἐμφερομένας ξηράς. καὶ τινὰ αὐχμώδη διάθεσιν. οἷα δὴ μάλιστα τοῖς πολλὴν διελθοῦσι κόνιν δι' ὅλης ἡμέρας ἐν ἡλίῳ θερινῷ γίνεται. ἀπόλωλε δὲ αὐτῶν, καὶ τῆς χρόας τὸ ζωτικὸν ἄνθος. καὶ τὸ περὶ μέτωπον δέρμα ξηρόν. καὶ περιτεταμένον. καὶ μέντοι μύουσι τὰ πολλά. καὶ τὰ βλέφαρα καθάπερ ὑπνώττοντες. ἔστι δὲ οὐχ ὕπνος τὸ πάθος. ἀλλ' ἐγρηγόρσεως ἀδυναμία. καὶ κρόταφοι συμπεπτωκότες εἰσίν. ὥστε φαίνεσθαι τὰ χωρία κοῖλα. καὶ τί γὰρ ἄλλο, ἢ ὀστᾶ καὶ δέρμα εἰσὶ τοὐπίπαν. ὡς εἰ καὶ γυμνώσας ἐπισκέψαιο τὴν γαστέρα,

δόξειέ σοι μήτε τῶν ἐντέρων τι μήτε τῶν σπλάγχνων μηδὲν ἀποσώζεσθαι. καὶ τὸ ὑποχόνδριον ἀνεσπάσθαι σφοδρῶς εἰς τὸν θώρακα. καὶ τὸ δέρμα ὅλον ξηρὸν καὶ καρφαλέον. καὶ εἰ ἀνατείναις ἐπιλαβόμενος τοῖς δακτύλοις, ὡς βύρσα τις ἵσταται. ὁ μὲν οὖν ἀκριβῶς μαρασμώδης πυρετὸς ὡς ἔφην, ἀνίατός ἐστι. μαραίνεται γὰρ ἐπ' αὐτῶν τὸ σύμπαν σῶμα, δίκην δένδρου ξηρανθέντος ἐσχάτως. ἢ διὰ φλογὸς γειτνίασιν. ἢ διὰ σφοδρὰν καὶ ἄμετρον αὐχμόν. τοῦτο δέ ἐστιν ὃ καλοῦσιν ἐκ νόσου. τοιοῦτον γὰρ τὸ σῶμα γίγνεται ἐπὶ τῶν κατὰ φύσιν εἰς ἔσχατον γῆρας ἀφικνουμένων χωρὶς πυρετοῦ. κατὰ βραχὺ σβεσθείσης αὐτοῖς τῆς ἐμφύτου θερμότητος. ἀλλὰ τῶν κατὰ φύσιν γεγηρακότων ὁ θάνατος, ἄλυπός ἐστι κατὰ φύσιν. ἐπὶ ψύξει καὶ ξηρότητι συνιστάμενος. ὁ δὲ μαρασμώδης πυρετὸς, οὐ μόνον ξηρόν. ἀλλὰ θερμὸν πάθος ἐστίν. οὗτος μὲν οὖν ὡς ἔφην, ἀνίατός ἐστι. τῶν δὲ ἑκτικῶν πυρετῶν ἁπάντων κοινόν ἐστι, βληχροῖς τε εἶναι. καὶ ὁμαλοῖς διαπαντός. ἀπὸ τῆς πρώτης ἀρχῆς ἕως τῆς ἐσχάτης ἀναπνοῆς. μέγιστον δέ σοι καὶ ἀναμφισβήτητον γνώρισμα τῆς φύσεως αὐτοῦ θρέψαντα τὸν ἄνθρωπον. τροφῆς γὰρ προσενεχθείσης, ἀνάπτεται ἡ θερμασία. καὶ ὁ σφυγμὸς ἐπιδίδωσιν εἰς μέγεθος καὶ τάχος. ἔοικε δὲ αὐτοῖς τοῦτο συμβαίνειν, οἷόν τι καὶ ἐπὶ τῆς τιτάνου. καὶ τῶν τεθερμασμένων λίθων. εἰ γὰρ καὶ ψυχρότατον ὕδωρ αὐτοῖς καταχέοις, πολὺ θερμότεροι φαίνονται, τῆς ἀτμώδους ἐν αὐτοῖς θερμασίας ὑπὸ τῆς ὑγρᾶς οὐσίας τρεφομένης. ἄχρι μὲν οὖν τοῦ σώζεσθαί τι τῆς ὑγρᾶς οὐσίας, ἑκτικὸς μόνον ὁ πυρετός ἐστιν. ὅταν δὲ εἰς κίνδυνον ἥκῃ τοῦ μηκέτ' εἶναι τῆς αὐτῆς ὑγρότητος μηδὲν, ὁ ἀκριβὴς ἤδη μαρασμὸς συνίσταται. ἡμεῖς δὲ θεραπεύειν ἐπιχειροῦμεν, τοὺς ἰαθῆναι δυναμένους.

Ἑκτικῶν πυρετῶν θεραπεία. ξγ'.

Ἐμψύχομεν ἅπαντι τρόπῳ τοὺς ἑκτικοὺς πυρετοὺς αὐτίκα. πρὶν προελθόντας εἰς μαρασμὸν τελευτῆσαι. τὸ δὲ κεφάλαιον τῆς ἰάσεως αὐτῶν, ἐν τοῖς ὑγραίνουσι καὶ ψύχουσι χρὴ τίθεσθαι, διά τε τῶν ἔξωθεν προσφερομένων. καὶ τῶν εἴσω τοῦ σώματος λαμβανομένων. ἐν οἷς ἐστι καὶ ὁ εἰσπνεόμενος ἀὴρ, ἅπαντας μὲν οὖν τοὺς ἑκτικὸν νοσοῦντας πυρετόν. κἂν ἤδη ἀρχὴν λάβωσι τοῦ μαραίνεσθαι, χωρὶς τοῦ ἐπιπλέκεσθαι αὐτοῖς ἕτερον πυρετὸν ἤτοι γε ἐπὶ σήψει χυμῶν. ἢ μετὰ φλεγμονῆς κυρίου μορίου, λοῦε θαῤῥῶν ἄνευ καύματος παντός. ὥστε μὴ καταλύεσθαι τὴν δύναμιν. κομιζέσθω τοίνυν ὁ ἄῤῥωστος ἐπὶ τῆς κλίνης εἰς τὸ βαλανεῖον. ἑτοίμης δὲ αὐτῷ παρεσκευασμένης συνδόνος θερμῆς, ἐπ' ἐκείνης ἐν τῷ πρώτῳ οἴκῳ τοῦ βαλανείου φερέσθω. τέσσαρες δὲ ἔστωσαν οἱ τὴν συνδόνα κρατοῦντες εἰς καθ' ἕτερον πέρας. εἶτα ἐν τῷ πρώτῳ οἴκῳ γυμνωθεὶς, εἰς τὸν δεύτερον κομιζέσθω. εἶτα ἔλαιον γλυκύτατον χλιαρὸν περιχέοντος τῷ σώματι. εἰς τὸν τρίτον οἶκον εἰσφερέσθω. καὶ ἐμβιβαζέσθω τῇ δεξαμενῇ. ἔστω δὲ καὶ ὁ ἀὴρ τοῦ βαλανείου εὔκρατος. καὶ ὑγρὸς κατασκευαζέσθω. ἐπιῤῥαινομένων τῶν τοίχων ὕδατι θερμῷ. ἐν αὐτῷ δὲ τῷ τῆς κολυμβήθρας ὕδατι εὐκράτῳ διατελῶς ἡσυχάζοντα μετεώρως ὀχούμενος ἐπὶ τῆς συνδόνος. οὐδὲ μιᾶς ἐπαντλήσεως τῷ σώματι γινομένης. οὐδὲ κατὰ τῆς κεφαλῆς καταχύσεως. ἀνασπασθεὶς δὲ ἐντεῦθεν ὑπὸ τῶν βασταζόντων τὴν συνδόνα τεττάρων νεανίσκων, εἰς τὸ ψυχρὸν ὕδωρ ἀθρόως βαπτιζέσθω. μὴ δι' ἐπὶ βραχὺ χρονίζων ἐν αὐτῷ. εὐθὺς δὲ ἕτερος ἑτοίμην ἔχων ἄλλην συνδόνα, κατ' αὐτὸν ἐπιβαλλέτω. κἄπειτ' ἄλλος ὁμοίως. ἐπιβληθεὶς δὲ τῇ κλίνῃ, ἀποματτέσθω μαλακοῖς ὀθονίοις πρᾳοτάτως. μετὰ δὲ ταῦτα ἐπαλείψαντές τε καὶ περιθέντες τὰ ἱμάτια, κομίζειν διὰ τῆς κλίνης εἰς τὸν οἶκον. ἔστω δὲ καὶ ὁ οἶκος πλησίον τοῦ βαλανείου. τοὺς μὲν οὖν ἤδη μαραινομένους, ὡς εἴρηται, λουστέον. ὅσοι δὲ ἐν τοῖς ἑκτικοῖς εἰσὶ πυρετοῖς, οὐδέπω μαραινόμενοι, τούτοις οἷόν τε ἐστί. καὶ χωρὶς συνδόνης λούειν. εἰσφέρειν μέντοι καὶ τούτους εἰς τὸν οἶκον, ἤτοι γε ἐπὶ κλίνης. ἢ φορείου τινός. εἶτα περιχέειν αὐτοῖς τὸ ἔλαιον ὡς εἴρηται. κἄπειτα ἐν αὐτοῖς βαδίζοντας ἐπὶ τὸ θερμὸν ὕδωρ ἀκτέον. ὅπως ἐν ἐκείνῳ χρονίζοιεν. εἶτα ἐπὶ τὸ ψυχρὸν ἄγειν. μὴ χρονίζοντας παντάπασιν ἐν αὐτῷ. εἶτα ἐκμάξαντας καὶ ἐπαλείψαντας, ἀνάγειν εἰς τὸν οἶκον. περὶ μὲν οὖν λουτρῶν, αὐτάρκης ὁ λόγος. ὑπόλοιπον δέ ἐστι περὶ δυνάμεως τροφῶν εἰπεῖν. ὅτι μὲν οὖν ὑγρὰς καὶ ψυχρὰς εἶναι προσήκει τροφὰς τὰς μελλούσας ὠφελεῖν τοὺς ἑκτικοὺς πυρετοὺς, εὔδηλον παντί. τοιαῦτα δέ εἰσιν, ὅτε τῆς πτισάνης χυλὸς ψυχρὸς λαμβανόμενος. ὅτε τοῦ ἄλικος χόνδρος. ὁμοίως πτισάνῃ σκευασθείς. ἐπιτήδειος δὲ τοῖς ὧδε, καὶ ὁ βραχεὶς ἄρτος ἐν ὕδατι ψυχρῷ. μηδενὸς δὲ αὐτῶν ἡ ψύξις, εἰλικρινὴς ἔστω. καθάπερ ἡ τοῦ ὕδατος. τὰ γὰρ πινόμενα καὶ θερμαίνεται ταχέως. καὶ διεξέρχεται τοὺς πόρους. τὰ δὲ ἐσθιόμενα, ἢ ῥοφούμενα ἐπιπλέον ἐν τῇ γαστρὶ διαμένοντα, καταψύχει αὐτήν. εἴγε ἀμέτρως εἴη ψυχρά. χρονίου δὲ ἤδη ὄντος τοῦ πυρετοῦ, γάλα ὄνειον δοτέον. ἀκριβῶς προσέχοντας τὸν νοῦν. μήποτε τυρωθῇ τὰ κατὰ τὴν γαστέρα. τοῦτο δὲ ἐνίοτε μὲν καὶ αὐτὸς ὁ κάμνων ἡμᾶς διδάξει τῆς ἑαυτοῦ φύσεως ἐμπείρως ἔχων. ἐνίοτε δὲ ἡμᾶς αὐτοὺς ἐξευρίσκειν δεήσει κατὰ βραχὺ τῇ χρήσει προσερχομένους. φευκτέον δὲ εἰς ὅσον οἷόν τε τὴν μίξιν τοῦ μέλιτος κατὰ τοὺς ἑκτικοὺς πυρετοὺς ἅπαντας. δοτέον δὲ τὴν πρώτην

ῥ γάλα τῆς ὄνου εἰς τὸν κοιτῶνα, πρὸς τὸ θερμὸν ἔτι ὑπάρχον τὸ γάλα, ποθῆναι, εἰ οὖν καλῶς πε-
φθείη καὶ μὴ διαφθαρῇ, ἔξεστιν αὐξῆσαι τὸ πλῆθος. προστιθέντας κατὰ δόσιν, ἢ ἥμισυ κυάθου. τὴν
δὲ λοιπὴν δίαιταν ποιεῖσθαι, ὥσπερ καὶ ἐπὶ τῶν ξηρῶν τῆς γαστρὸς δυσκρασιῶν, ὡς ἐν τῷ οἰκείῳ
τόπῳ εἰρήσεται. ὅσῳ δὲ ἐστὶν ἡ τῶν ἑκτικῶν πυρετῶν θερμασία θερμοτέρα ἐκείνων, τοσούτῳ καὶ
τῶν βοηθημάτων ψυχροτέρων. καὶ ἀκριβείας πλείονος, καὶ βλάβη τις παρέποιτο. ἰσχυροτέροις
βοηθήμασι χρησαμένων ἡμῶν.

Περὶ πανδήμων καὶ ἐπιδήμων. καὶ λοιμικῶν νοσημάτων. μδ.

Πανδήμους καὶ κοινὰς νόσους ὀνομάζουσι, τὰς πολλοῖς ἀνθρώποις ἅμα συμπιπτούσας. ὧν ὥσπερ γέ-
νεσις, τούτων καὶ ἡ αἰτία κοινή. κοινά τε οὖν ἐδέσματα, πονηρὰ τίκτουσι νοσήματα κοινά. καὶ ὕδα-
10 τος μοχθηροῦ πόσις. ταλαιπωρίαι τε ἄμετροι. καὶ πόνοι συνήθεις ἐκλείποντες. ἔνδειαί τε καὶ πλη-
σμοναί, λιμοῦ κατασχόντος. καὶ εὐθηνίας ἐπιγιγνομένης. καὶ χωρίου δὲ φύσις, κοινὰ νοσήματα
πολλάκις ἐπήνεγκε. τοῦ εἰσπνεομένου ἀέρος ὑπὸ σηπεδονώδους ἀναθυμιάσεως μιανθέντος. ἡ δὲ
αἰτία τῆς τοιαύτης σηπεδόνος ἀναθυμιάσεως. ἤτοι πλῆθος νεκρῶν ἐστὶν ὡς ἐν πολέμοις γίγνεται,
ἢ ἐκ τελμάτων τινῶν, ἢ λιμνῶν ἢ βαράθρου τινὸς παρακειμένου. καὶ ἀναθυμίασιν δηλητηριώδη
καὶ πονηρὰν ἀναπέμποντος. ταῦτα μὲν οὖν συνεχῶς συμπίπτειν εἴωθε. καὶ ὁ περιέχων δὲ ἡμᾶς ἀήρ,
συνεχῶς παραφθείρει τὰς κράσεις. ἤτοι θερμότερος ἀμέτρως, ἢ ξηρότερος ἢ ψυχρότερος. ἢ ὑγρό-
τερος γιγνόμενος. τοῖς μὲν γὰρ ἄλλοις αἰτίοις, οὐ πάντες ἅμα περιπίπτομεν. ὅτε δι' ὅλης ἡμέρας ὁ-
μιλοῦμεν. ὁ δὲ περιέχων ἡμᾶς ἀὴρ ἔξωθέν τε περικέχυται πᾶσι. καὶ διὰ τῆς εἰσπνοῆς ἕλκεται.
ἀναγκαῖον οὖν συνδιατίθεσθαι τοῖς κατὰ τὴν κρᾶσιν αὐτοῦ μεταβολαῖς, καὶ τὰ τῶν ζώων σώ-
20 ματα. ἔστι δὲ ὅτε ὑγρότερος καὶ θερμότερος ὁ περιέχων ἡμᾶς ἀὴρ γιγνόμενος, λοιμώδη κατάστα-
σιν φέρει. τῷ δὲ εἶναι τοὺς ἐν τῷ σώματι χυμοὺς ἐκ μοχθηρᾶς διαίτης εἰς σῆψιν ἐπιτηδείους, ἀρχὴ
τοῦ λοιμώδους γίγνεται πυρετοῦ. ὡς ὅταν γέ τις συμμέτροις τε πόνοις. καὶ βίῳ σώφρονι. καὶ κεκο-
λασμένῳ χρῆται, τὸ σύμπαν ἀπαθὴς διαμένει κατὰ πάσας τὰς τοιαύτας διαθέσεις. καὶ ἡμεῖς
οὖν προγινώσκοντες, εὐθὺς ἀρχομένης τῆς καταστάσεως, ὅσα μὲν ὑγρὰ τῶν σωμάτων ἑωρῶμεν,
ἐκ παντὸς τρόπου ξηραίνειν ἐπιχειροῦμεν. ὅσα δὲ ξηρότερα φύσει τὴν ἀρχαίαν φύσιν ἐπὶ τούτων
ἐφυλάξαμεν. ὅσα δὲ περιττωματικά, καθαίρειν ἠξιώμεθα. τὰς δὲ ἐμφράξεις τῶν πόρων, ἐξεφράτ-
τομέν τε καὶ διερρύπτομεν. καὶ ἁπλῶς εἰπεῖν ὑγίειαν τοῖς σώμασιν ἐφυλάξαμεν. τἀναντία προσά-
γοντες. καὶ ὅτε μὲν ἀναψύξεσιν ἐχρώμεθα, εἰ οὕτω τύχοι. ὅτε δὲ θερμάσμασι. καὶ ἀναγκαῖον δέ τις
πείρα πολλὴ δύναιτ' ἂν μεταβαλεῖν ἐπὶ τὸ θερμὸν καὶ ξηρὸν τὸν ἀέρα. ὡς ὑγρὸν γιγνόμενον καὶ
30 ψυχρὸν καθάπερ ποιῆσαι φασὶν Ἱπποκράτης ἐν Ἀθήναις. καὶ Ἄκρωνα τὸν Ἀκραγαντῖνον.

Ἐκ τοῦ Ῥούφου περὶ λοιμοῦ. με.

Πάντα δὲ γένοιτο ἐν λοιμῷ τὰ δεινότατα. καὶ οὐδὲν ἀποκρύπτεται ὥσπερ καθ' ἕκαστον νόσημα. τὰ
γὰρ πλεῖστα καὶ ποικίλα καὶ παραφθειροῦνται διάφοροι γίγνονται. καὶ χολῆς ἔμετοι. καὶ ὑποχον-
δρίων ἐντάσεις. καὶ πόνοι. καὶ ἱδρῶτες πολλοί. καὶ ψύξεις ἀκρωτηρίων. καὶ διάρροιαι χολώδεις
λεπταὶ φυσώδεις. καὶ οὖρα τοῖς μὲν ὑδατώδη λεπτά. τοῖς δὲ, χολώδη. τοῖς δὲ μέλανα. ὑποστάσεις
κακὰς ἔχοντα. καὶ ἐναιωρήματα κάκιστα. ἀπὸ ῥινῶν αἵματος στάξεις. καύματα ἐν θώρακι. γλῶσσαι
κατεφρυγμέναι. ἀγρυπνίαι. σπασμοὶ βίαιοι. καὶ ἄλλα δὲ πονηρὰ ἕλκη. καὶ ἀνθρακώδη. καὶ
πάνδεινα γένοιτ' ἂν ἐν λοιμῷ κατά τε τὸ ἄλλο σῶμα. καὶ ἐν προσώπῳ. καὶ παρισθμίοις. εἰ δέ τις
40 συνετὸς εἴη, προγνώσεται τὸν μέλλοντα ἔξειν λοιμόν. προσέχων ταῖς ὥραις πονηραῖς τε οὔσαις. καὶ
τοῖς ἀλόγοις ζώοις προσαλλομέναις. εἰ μὲν γὰρ ὁ περιέχων ἡμᾶς ἀὴρ αἴτιος γίγνοιτο τοῦ λοιμοῦ, τῶν
πτηνῶν ὀρνίθων ἡ θνῆσις ἔσται πρότερον. εἰ δὲ ἐκ τῶν ἀπὸ τῆς γῆς μοχθηρῶν ἀναθυμιάσεων τοῦτο
συμβαίη, τῶν τετραπόδων ζώων ἡ φθορὰ γίγνεται πρότερον. ὅταν δὲ ταῦτα ἐνθυμηθῇς, προ-
σέτι δὲ κἀκεῖνο ἐνθυμοῦ. ὁποταπὴ μὲν ἡ παροῦσα ὥρα τοῦ ἔτους. ποταπὸν δὲ τὸ σύμπαν ἔτος. ἐντεῦ-
θεν γὰρ τὰς διαίτας εὑρήσεις ποιεῖσθαι κάλλιστα. διὸ τῆς μὲν ὥρας εἴπερ ἦν ὀρθῶς γιγνομένης. ἀλλ'
εἰ μὲν ὑγρὰ γεγένηται, ἀνάγκη καὶ τὴν δίαιταν ἐπιξηραίνειν. ἵνα τὸ ὑπερβάλλον ὑγρὸν ἀναλί-
σκηται. προσεπιβλέπειν δὲ καὶ τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων. μήποτε εἰς ὑγίειαν οὐ συμφέ-
ρουσι. καὶ ταῦτα κωλύειν. ἐπιμελητέον δὲ καὶ τῆς γαστρός. εἰ δὲ ἡ ἄνω κοιλία φλέγμα ἔχοι, ἐμέτοις
κενοῦν. οἷς δὲ τὸ αἷμα ὑπερβάλλει, φλέβα τέμνειν. ἀγαθὴ δὲ καὶ ἡ διὰ τῶν οὔρων κάθαρσις. καὶ ὅ-
50 σα εἰσὶν ἄλλα. εἰ δὲ καυσούμενος ὁ ἄνθρωπος εἴη. καὶ φλὸξ ἄχρι στήθους ἀνίοι, ἀπὸ τρόπου ψυκτήρια
τοῖς στήθεσι προσάγειν. καὶ τὸ πόμα ψυχρὸν προσάγειν. μὴ κατὰ μικρὸν προσφέροντες. νικώμενον
γὰρ ὑπὸ τῆς πλείονος ἐν τῇ κοιλίᾳ θερμότης, συμμοχθηρεύεται καὶ ἀνακαίει πλείονα. ἀλλὰ καὶ
πολὺ καὶ ἀθρόον διδόναι. ὡς τῷ πλήθει σβέσαι τὴν φλόγα. εἰ δὲ ὁ καῦσος ἔχοι τὰ ἔνδον. ἄκρα δὲ
καὶ τὰ ἐπιπολῆς ψυχρὰ εἴη. καὶ τὸ ὑποχόνδριον συντείνοιτο. καὶ ἡ γαστὴρ τὰς συντήξεις, τὰς μὲν

ἄνω πέμπει. τοῖς δὲ κάτω, ἀγρυπνία τε εἴη. καὶ παραφροσύνη. καὶ γλώσσης τραχύτητες, τούτοις δεῖ θερμάσματα προσφέρειν. ὥστε ἑλκυσθῆναι τὸ θερμὸν ἐπὶ τὴν ἐπιφάνειαν τοῦ σώματος. καὶ ὡς οἷόν τε ἄλλῳ τρόπῳ μηχανᾶσθαι ἀνάγειν τὸ θερμὸν ἐκ τοῦ βάθους πρὸς τὰ ἔξω.

Περὶ τῶν ἐπὶ πλήθει ὠμῶν χυμῶν συγκοπτομένων. λϛ.

Ἄρχονται πυρέττειν ἔνιοι, πάμπολύ τε πλῆθος ὠμῶν ἠθροικότες χυμῶν. ἀλλὰ τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός. ἤτοι ἐξ ἀπεψιῶν, ἢ ἄλλως ἐμπεφυσῆσθαι τούτοις τὸ ὑποχόνδριον. ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν ὅλον τὸ σῶμα ἐστί. καὶ ἡ χρόα τοῖς μὲν, ἐπὶ τὸ λευκότερον καὶ ὑδαλεώτερον ἐκτρέπεται τοῦ κατὰ φύσιν. ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον καὶ πελιδνότερον. οὓς τινὰς καλοῦσι μολιβδοχρῶτας. οἱ σφυγμοὶ δὲ πάντων, μικρότεροί τε εἰσὶ κατὰ λόγον τῆς θερμασίας. ἀμυδρότεροί τε καὶ πάντως ἀνώμαλοι. εἰ μὲν οὖν τῷ πλήθει βαρύνοιεν οὗτοι τὴν δύναμιν. ἐμφράττοιέν τε διὰ τὸ πάχος καὶ πλῆθος τοὺς πόρους τοῦ ζώου κατὰ πολλὰς προφάσεις ὀλέθριος ἡ διάθεσις. καὶ συγκοπτική. καὶ τῷ μὴ φέρεσθαι τὸ ζῶον. καὶ τῷ καταπνίγεσθαι. καὶ ἀλλοιοῦσθαι. καὶ φθείρεσθαι τὴν συμμετρίαν τῆς κράσεως. οἱ μὲν γὰρ ὠμοὶ χυμοί, φέρειν οὐ δύνανται πρὶν πεφθῆναι. οἱ δὲ πολλοί, βαρύνουσιν. ἢ ἐμφράττουσι τὰς διαπνοάς. καὶ σβεννύουσι τὸ θερμόν. εἰ δὲ μήτ' ἐμφράττοιεν μήτε βαρύνοιεν, οὐ συγκοπὰς οὗτοί γε φέρουσιν. ἀλλὰ τὰς καλουμένας λειποψυχίας. ἐκλύονται γὰρ οἱ μὴ φέροιντο συνεχέστερον οἱ τοιοῦτοι. διδόναι δὲ αὐτοῖς χρή. οὐχὶ πλῆθος εἰσάπαξ. οὐ μὴν, οὐδὲ παχείας ἢ ψυχρὰς τὴν δύναμιν τροφάς. ἀλλ' ἐκ τοῦ γένους τῶν λεπτυνουσῶν καὶ θερμαινουσῶν. οὕτως δὲ καὶ τὰ φάρμακα αὐτοῖς δοτέον. ὅσα δύναται ἄνθρωπος πυρέττων δέξασθαι. λεπτύνοντα καὶ θερμαίνοντα. τούτοις ὁ ὑδατώδης οἶνος ὁ λευκὸς καὶ λεπτὸς ἐπιτήδειος εἰ μὴ σφοδρῶς πυρέττοιεν. ὅπερ οὐ πάνυ τι συμβαίνει κατὰ τὴν εἰρημένην διάθεσιν. βληχροὶ γὰρ τούτοις εἰσὶν οἱ πυρετοί. ἔτι δὲ καὶ μᾶλλον εἰ πρεσβῦται τύχοιεν ὄντες. οἶνον δὲ αὐτοῖς δοτέον ἐφ' ἑκάστῃ τροφῇ, καὶ μᾶλλον εἰς ἑσπέραν καὶ νύκτα. οὐκ ἕωθεν καὶ μέχρι μεσημβρίας. ἐπὶ δὲ τῶν νέων, οὐκ εὐθὺς ἐξ ἀρχῆς διδόναι τὸν οἶνον. οὐδενὸς τῶν τοιούτων αἵματος ἀφαίρεσις, ἄνευ μεγίστης βλάβης εἴωθε γίγνεσθαι. καίτοι δέονται κενώσεως. ἀλλ' οὔτε φλεβοτομίαν. οὔτε κάθαρσιν φέρουσιν. οἵ τινες καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. πῶς οὖν χρὴ τούτους ἰᾶσθαι. δεομένους μὲν κενώσεως. μὴ φέροντας δὲ τὰ κενωτικά, οὐδεμίαν εὗρον ἑτέραν αὐτῶν κένωσιν. πλὴν τῆς διατρίψεως. ἄρχεσθαι δὲ εὐθέως ἐν ἀρχῇ τῆς νόσου προσήκει. τὸ μὲν πρῶτον ἀπὸ τῶν σκελῶν ἄνωθεν τινὰ αἴσθησιν αὐτοῖς γενέσθαι ἐπὶ τῷ πλήθει τῆς τρίψεως, ἐλαίῳ χαλαστικῷ χριστέον. ὁποῖον ἐστὶ τὸ γλυκύτατον. ἀπέχεσθαι δὲ ὀμφακίνου. καὶ πάντων τῶν στυφόντων. χειμῶνος δὲ ὄντος καὶ διαφορητικῷ χριστέον. οἷόν περ ἐστὶ τὸ σικυώνιον ἔλαιον. καὶ τὸ διὰ τοῦ χαμαιμήλου. ἢ ἕτερον τῶν παραπλησίων. οἷον ἐστὶ τὸ ἀνήθινον. μετὰ δὲ ταῦτα, ἔλαιον ἀπομάττειν. ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην. καὶ ταύτην ἀνατρίβειν ὁμοίως. τὰ μὲν πρῶτα, διὰ σινδόνων. ὕστερον δὲ τῷ ἐλαίῳ. εἶτ' αὖθις ἐπὶ τὰ σκέλη. εἶτ' αὖθις ἐπὶ τὰς χεῖρας. εἶτε τὴν ἀρχὴν ὅλης τῆς ἡμέρας οὕτω πράττοντας, ἐν οἴκῳ φῶς ἔχοντι καθαρὸν καὶ ἀνήνεμον. ἔστω δὲ καὶ τῇ θερμότητι σύμμετρος ὁ οἶκος. ἐπιτηδειότατον δὲ τούτοις ἐστὶ τὸ μελίκρατον. ἐναφεψηθέντος ὑσσώπου. μήτε δὲ σιτία αὐτοῖς, μήτε ῥόφημα διδόναι. μήτ' ἐπιτρέπειν πίνειν δαψιλές. ἀλλὰ τῷ μελικράτῳ μόνῳ χρῆσθαι κατὰ τὰς πρώτας τρεῖς ἡμέρας. ἐκ διαδοχῆς τρίβοντα. καὶ μόνον ἐκεῖνον ἀνιέντα τὸν καιρόν, ἐν ᾧπερ ἂν ὕπνος αὐτοὺς καταλάβοι. συνεργεῖ δὲ εἰς τοῦτο μάλιστα, καὶ ἡ πλείων τρίψις. οὐ μὴν, οὐδὲ ὁ πλείων ὕπνος ἀγαθὸς τοῖς τοιούτοις. οὐδὲ γὰρ ἐπιτρέπει διαφορεῖσθαι τοὺς χυμούς. καὶ βαρύνειν τὰ σπλάγχνα. συμμέτρων οὖν ἀμφοτέρων δεῖται ἡ φύσις. ὕπνου τε καὶ ἐγρηγόρσεως. εἰ μὲν οὖν ὁ σφυγμὸς αὐτοῖς σφόδρα μικρὸς καὶ ἀνώμαλος ἰσχυρῶς, ἔσχατος ὁ κίνδυνος. καὶ χρὴ πράττειν τὰ λελεγμένα. μηδὲν ἄλλο περιεργαζόμενον. εἰ δὲ τόνου μετρίως ἔχοι καὶ μεγέθους. ἄθλιπτος δὲ εἴη καὶ ὁμαλός, ἐπισκέπτου τὰ κατὰ γαστέρα. καὶ κλύζε θαρρῶν. εἰ μὴ καλῶς αὐτὰ διεξέρχοιτο. συμβαίνει γὰρ ἐπὶ τῷ πινομένῳ μελικράτῳ κενοῦσθαι καλῶς ἅπασαν τὴν περιουσίαν ἐν ταῖς πρώταις τῶν φλεβῶν εἰωθυῖαν ἀθροίζεσθαι κατὰ τὰ σιμὰ τοῦ ἥπατος. καὶ τὸ μεσεντήριον. εἰ δὲ πλείω τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττωμάτων ἐπὶ τὴν γαστέρα γίγνοιτο, τὴν μὲν πρώτην ἐπιπλέον ἕψειν τῷ μελικράτῳ. ἧττον γὰρ ὑπάγει τὸ τοιοῦτον. μετὰ δὲ ταῦτα φερομένης ἐπιπλέον τῆς περιουσίας τῶν ὑγρῶν, μὴ δ' οὕτως μὲν ἱστάναι. διδόναι δὲ ἀντὶ τοῦ μελικράτου, πτισάνης χυλόν. εἰ δ' ἐπιμένοι φερομένη, τῷ τε ἐκ χόνδρου ῥοφήματι τρέφειν. παρακολουθοῦντα δηλονότι τοῖς σφυγμοῖς. ἔσθ' ὅτε γὰρ ἐξαίφνης μεταβάλλουσιν εἰς ἀρρωστίαν. ἢ ἀνωμαλίαν. ἢ μικρότητα. καθ' ὃν καιρὸν ἄρτον ἐξ οἴνου κεκραμμένου διδόναι προσήκει. μήτε γαστρὸς δηλονότι. μήτε ἥπατος φλεγμαινόντων. ὡς εἴγε φλεγμαίνοιεν ὠ-

μῶν χυμῶν πεπληρωμένου τοῦ σώματος, ἀνέλπιστος ὁ κάμνων ἐστί. τῶν σφυγμῶν οὕτω φανέν-
των. ἐπὶ μὲν οὖν τῶν τοιούτων ἀρρώστων, προλέγων τὸν θάνατον, ἀνέγκλητον φυλάξεις αὑτόν.
μηδενὶ γενναίῳ βοηθήματι χρώμενος. ἐφ᾽ ὧν δὲ ἐλπὶς σωτηρίας, ἐπὶ πάντων δέ ἐστι τῶν χω-
ρὶς φλεγμονῆς οὕτω νοσούντων. ὅταν ἐξ ἀρχῆς παραλάβωμεν αὐτοὺς, αἰσχρότατον εἶναί μοι δο-
κεῖ συγκοπῆναι τὸν κάμνοντα. εἰ δὲ αἰσθάνῃ ποτὲ παχεῖς εἶναι τοὺς χυμοὺς, ὀξύμελι διδόναι δια-
παντὸς, ἀντὶ τοῦ μελικράτου. καὶ εἰ μὲν θέρος εἴη, καὶ ψυχροπότης ὁ νοσῶν, ψυχρὸν τούτῳ δίδου
τὸ ὀξύμελι. χειμῶνος δὲ ὄντος ἅπασι θερμόν. ἐναντιώτατα τούτοις ἐστὶ βαλανεῖα. καὶ ὁ περιέχων
ἡμᾶς ἀὴρ ἱκανῶς θερμός. ἢ ψυχρὸς γενόμενος. ὅθεν οὔτε λούειν προσήκει. καὶ κατακλίνειν ὥρᾳ μὲν
θέρους, ψυχεινῷ οἴκῳ. χειμῶνος δὲ ἀλεεινῷ. βλάπτονται γὰρ ἱκανῶς ὑφ᾽ ἑκατέρας τῆς ἀμε-
10 τρίας. ἐν μὲν τοῖς βαλανείοις καὶ τῷ θέρει. καὶ πάσῃ τῇ κατὰ τὸ θερμὸν αὐξήσει χεομένων
τῶν ὠμῶν χυμῶν. καὶ πάντῃ τοῦ σώματος ῥεόντων, ὡς κίνδυνον εἶναι καὶ πρὸς τὸν πνεύμονα.
καὶ καρδίαν ἀφικέσθαι. καί ποτε καὶ εἰς τὸν ἐγκέφαλον ἀναδραμεῖν. ἄμεινον οὖν περί τε τὸ ἧπαρ
αὐτοῖς ἐμμένειν καὶ τὰς φλέβας. ἐν δὲ τοῖς ἀμέτρως ψυχροῖς οἴκοις καὶ χειμῶνι. καὶ ὅλως ψυ-
χρῷ τῷ περιέχοντι, δυσέκπτωτοί τε μένουσιν οἱ ὠμοὶ χυμοὶ, καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις. εἰ μὲν
εἶεν μικραὶ, παροξύνουσιν. εἰ δὲ οὐκ εἶεν, γεννῶσι διὰ πάχος ἰσχόμενοι καὶ σφηνούμενοι. καταπλα-
σμάτων δὲ καὶ καταντλήσεων ἀπέχεσθαι δεῖ, μέχρι τὸ πολὺ τοῦ πλήθους. τὸ μὲν, κενωθῇ. τὸ δὲ,
συμπεφθῇ. οἱ γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσι ταῦτα παραλαμβάνοντες, αὐτοὶ κατασκευάζου-
σι τὰς φλεγμονάς. ἐξ ὧν πράττουσι μὴ γινώσκοντες τοῖς ὑποχονδρίοις λωβώμενοι. ταῦτα μὲν
οὖν παρακτέον ἀπὸ τῆς πρώτης ἡμέρας, ὅταν αὐτὸς ἀρχὴ τῆς θεραπείας. εἰ δὲ συγκειμένων ἤ-
20 δη κληθείη, ἀφλεγμάντων ὄντων τῶν ὑποχονδρίων, διδόναι μὲν αὐτοῖς ἄρτου μὴ πολὺ οἴνῳ τῶν
κιρρῶν βρεχομένου. καὶ εἰ μὲν εἴη θέρος ἢ χωρίον φύσει θερμόν. ἢ κατάστασις θερμὴ, μεθ᾽ ὕδατος ψυ-
χροῦ. εἰ δὲ τὰ ἐναντία, μετὰ θερμοῦ δοτέον τὸν οἶνον. μετὰ δὲ τὸ παύσασθαι τὸ τῆς τοιαύτης συγκο-
πῆς σύμπτωμα, πειρᾶσθαι θερμὸν διδόναι τὸν ἄρτον. εἰς γὰρ τὴν ὅλην θεραπείαν ἄμεινον τὸ θερμὸν
ταῖς πέψεσι τῶν ὠμῶν χυμῶν συνεργοῦν. εὐθὺς δὲ καὶ τούτους ἐπὶ τὴν τρίτην ἰέναι τῷ προει-
ρημένῳ τρόπῳ.

Περὶ τῶν διὰ ξανθὴν χολὴν ἀδικοῦσαν τὸ στόμα τῆς γαστρὸς συγκοπτομένων. λζ´.

Ἐφ᾽ ὧν δὲ διὰ ξανθὴν χολὴν ἀδικοῦσαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γίγνεται, ψυχρὸν προσφέ-
ρειν τὸ ποτόν. οἶνον μέντοι θερμὸν τῇ φύσει κιρρόν. καὶ λεπτόν. καὶ παλαιόν.

30
Περὶ τῶν ἐπὶ λεπτοῖς χυμοῖς συγκοπτομένων. λη´.

Εἰ δὲ ἐπὶ λεπτοῖς χυμοῖς ἱκανῶς συγκοπτόμενοι, ὡς διαφορεῖσθαι τάχιστα. διά τε ἱδρώτων. καὶ τῆς
ἀδήλου διαπνοῆς. θεραπευέσθωσαν ἐναντίως τοῖς ἐπὶ τοῖς ὠμοῖς χυμοῖς συγκοπτομένοις. ἐκείνους
μὲν γὰρ ἐκκενοῦμεν κατὰ βραχὺ, διὰ τὸ μὴ φέρειν τὴν δύναμιν ἀθρόαν τὴν κένωσιν. τοὺς δὲ ἐπὶ λε-
πτοῖς χυμοῖς, θρέψομεν κατὰ βραχὺ συνεχῶς. εἰ δὲ ἐξ ἀρχῆς τούτους παραλάβοιμεν, ἔτι τῆς δυ-
νάμεως ἐρρωμένης, οὐ κατὰ βραχὺ θρέψομεν. δύνανται γὰρ οὗτοι. καὶ πλείονος εἰσάπαξ δοθεί-
σης, περιγενέσθαι τῆς τροφῆς. ὥσπερ δὲ τοὺς προτέρους ἐλέγομεν ὀλεθρίως ἔχειν, ὅταν τι τῶν
σπλάγχνων φλεγμαίνοι, κατὰ τὸν αὐτὸν τρόπον καὶ τούτους νομιστέον ἀνιάτως ἔχειν. ἢν φλε-
γμαίνῃ τι τῶν σπλάγχνων. καμνούσης ἤδη τῆς δυνάμεως. οὔτε γὰρ οἷόν τε τρέφειν αὐτοὺς συνεχῶς.
40 ἀλλ᾽ ἐν ταῖς παρακμαῖς μόνον. οὔτε μὴν τρέφοντας, οἷόν τέ ἐστι διασώζειν αὐτοὺς ἐπὶ τῶν τοιούτων
διαθέσεων ἡ νεκρώδης κατάστασις ἐν τῷ προσώπῳ γίνεται ἐν τάχει. ῥὶς ὀξεῖα. ὀφθαλμοὶ κοῖλοι.
κρόταφοι συμπεπτωκότες. καὶ τὰ ἄλλα ὅσα ἐφεξῆς λέλεκται. ἐάν τε ἐκκενώσι πλέον. ἐάν τε
ἀγρυπνήσωσιν. ἢ λυπηθῶσιν. εἰ μὴ θᾶττον τραφῶσιν, αὐτίκα τοιοῦτον ἴσχουσι τὸ πρόσωπον. εἰ μὲν
οὖν δι᾽ ἀγρυπνίαν. ἢ λύπην. ἢ μείζονα ἔκκρισιν τοιοῦτο γένοιτο, μικρὸν εἶναι νόμιζε τὸ κακόν. εἰ
δὲ ἄνευ τούτων, ὀλέθριον. ἔτι δὲ μᾶλλον εἰ κατ᾽ ἀρχὰς τοῦ νοσήματος οὕτως ἔχοιεν. οὐ γὰρ ἀρκέσου-
σιν εἰς τὴν πέψιν αὐτοῦ. τρέφειν οὖν αὐτοὺς τότε ἀναγκαῖον καὶ πυκνοῦν αὐτῶν τὴν ἐπιφάνειαν. καὶ
ψυχρὸν τὸν ἀέρα τοῦ οἴκου κατασκευάζειν. ὡς ἐπὶ τῶν κατὰ ξηρὰν δυσκρασίαν πυρεττόντων προεί-
ρηται. καὶ ἀλειπτέον αὐτοὺς τοῖς στύφουσιν ἀλείμμασι. καὶ τροφὰς δοτέον, οὐ πάνυ διαρρεού-
σας ἑτοίμως. οὔτε μελίκρατον. οὔτε χυλὸν πτισάνης. ἀλλ᾽ ἄρτους. καὶ ῥοφήματα. διὰ χόν-
50 δρου ἄλικος. καὶ ὀπώρας αὐστηράς. καὶ δυσφθάρτους. αὐτάς τε καθ᾽ ἑαυτάς. καὶ μετ᾽ ἄρ-
του καὶ χόνδρου δι᾽ ὕδατος ἑψημένου. δοτέον δὲ αὐτοῖς, καὶ ὠῶν ῥοφητῶν τὰς λεκύθους καὶ
μόνας. καὶ ἀλεκτρυόνων ὄρχεις. καὶ ἐγκεφάλους ὑείους ὀπτηθέντας ἀκριβῶς. ἢ καλῶς ἑψη-
μένους. οἱ γὰρ ὠμότεροι, ἐσχάτως βλάπτουσι. καὶ ὅλως ἅπαντα πρακτέον, ὑπὲρ τοῦ, παχυτέ-
ραν τὴν ὕλην ἐργάσασθαι. καὶ πυκνῶσαι τὸ δέρμα. καὶ κωλῦσαι τὰς διαπνοάς. ἀναγκαῖος δὲ τού-

τοῖς ἐστὶν ὁ ὑδατώδης οἶνος, ἐξ ἀρχῆς ἐπὶ σιτίοις λαμβανόμενος.

Περὶ τῶν ἄλλων προφάσεων ἐφ' ὧν γίνονται συγκοπτικοί. ϟθ.

Εἰσὶ δὲ καὶ ἄλλαι προφάσεις, ἐφ' ὧν συγκόπτονται· τέτταρες. ἄλγημα σφοδρόν. ἀγρυπνία. κένωσις
ἄμετρος. ἐπὶ δὲ τῶν παρακμαζόντων, καὶ κίνησις ἐστίν, ὅτι· πέμπτην δὲ εἰ βούλει, πρόστιθει τὴν δυσκρα-
σίαν τῶν ἀρχῶν. τάχι μὲν οὖν ἀπώλεια γίνεται παθούσης. ἐφεξῆς δὲ τοῦ ἐγκεφάλου.

Περὶ ὀδύνης συγκοπὴν ἐπιφερούσης. ρ.

Ὁ ὀδύνη μὲν οὖν ἐστίν, ἀθρόα μεταβολὴ κράσεως. καὶ μελέτη λύσεως συνεχείας. οὐ γὰρ ἡ κατὰ βραχὺ
γιγνομένη ἀλλοίωσις, δύναιτ' ἂν ὀδυνῆσαι ποτὲ τὸ ζῶον. φαίνεται γὰρ οὐ μόνον εἰς τὸ παρὰ φύσιν ἀ-
θρόως ἀγόμενα τὰ σώματα λυπηρὰν ἴσχειν τὴν μεταβολήν. ἀλλὰ καὶ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνο-
10 δον. εἰ μὴ τὸ κατὰ βραχὺ λαμβάνοιεν. κἂν τούτῳ γινώσκοντα. τοὺς γοῦν ὁδοιπορήσαντας ἐν σφοδροτά-
τῳ κρύει θερμαινομένους ἀθρόως, ἴσμεν ἀλγοῦντας, οὕτω τὰ περὶ τὰς ῥίζας τῶν ὀνύχων ὡς μὴ
δύνασθαι φέρειν. ἐπιζητοῦμεν οὖν ὅπως οἱ νοσοῦντες ὀδυνῶνται. μηδενὸς ἔξωθεν αὐτοῖς ὀδυνη-
ροῦ πλησιάζοντος. ἀναγκαῖον γὰρ ἐν τῷ σώματι ζητῆσαι τί τοιοῦτον αἴτιον. ὃ θερμαινόμενον σφοδρῶς.
ἢ ψῦχον. ἢ διαιροῦν τὴν οὐσίαν τινὸς αἰσθητικοῦ σώματος, ἀνιαρὸν ἡμῖν γίγνεται. καὶ πρῶτόν γε θεα-
σόμεθα τίνος εἶναι χρὴ φύσεως. ὃ τὴν διαίρεσιν τῶν σωμάτων ποιήσηται. ἀναγκαῖον οὖν ἤτοι ῥῆξιν.
ἢ θλάσιν. ἢ διάβρωσιν εἶναι τὴν διάθεσιν, ἐν τῷ διαιρεῖσθαι τὸ συνεχές. ἀλλ' ἡ μὲν ῥῆξις ἐκ τάσεως. ἡ
δὲ θλάσις ἐκ βάρους. ἡ δὲ διάβρωσις, ἐκ δακνώδους γίγνεται ποιότητος. ὅταν οὖν ἔξωθεν μηδὲν ᾖ τι-
τὸ ὀδυνῶον ἢ βαρῦνον ἢ δάκνον. ἀλλ' ἐξ ἑαυτοῦ πάσχει τι τούτων τὸ σῶμα, παντί που δῆλον, ὡς ὑπό
τινος τῶν ἔνδοθεν γίγνεται. ἀλλ' ἡ μὲν τάσις οὐσίας διατεινούσης τὸ περιέχον αὐτὴν σῶμα γίγνοιτ'
20 ἄν. ἢ ἀμέτρου ξηρότητος. ἡ δὲ θλίψις ἐκ τινος παρακειμένου ὄγκου σκληροῦ. ἡ δὲ δῆξις, ὑπὸ χυμοῦ δρι-
μέος. ἐπισκεπτέον οὖν ἡμῖν ταῖς ὀδύναις. ἤτοι χυμὸν πολύν. ἢ πνεῦμα διέξοδον οὐκ ἔχον ὡς ἐπὶ κω-
λικῶν ἢ βαρὺν ὄγκον ὡς ἐπὶ φλεγμονῶν. ἢ σκίρρων. ἢ ὑγρὸν δακνῶδες. ἢ διάθεσιν ξηράν, ὡς ἐπὶ τῶν
σπωμένων. ἢ ψῦξιν σφοδράν. ἢ θερμότητα. καὶ τούτων ἑκάστου τὴν ἐπανόρθωσιν δεόντως ποιεῖσθαι.
ἡ μὲν οὖν ναρκώδης ὀδύνη διὰ ψυχρὰν διάθεσιν γίγνεται. ὁ δὲ σφυγματώδης πόνος, ἴδιος ἐστὶ μεγά-
λης φλεγμονῆς. ἐὰν δὲ ὡς ὑπὸ σκόλοπος ἐμπεπαρμένου. ἢ ὡς ὑπὸ τρυπάνου τιτρᾶσθαι νομίζει.
τοῦ παχέος ἐντέρου. ὃ δὴ κῶλον ὀνομάζομεν, τὸ εἶδος τῆς ὀδύνης ἐστίν. ἀλλ' ἐπὶ μὲν τῶν νεφρῶν, με-
τὰ βάρους τινὸς ἐστὶν ἡ ὀδύνη καθ' ἕνα τόπον ἐρηρεισμένη. κατὰ λαγόνα δεξιὰν ἢ ἀριστερὰν ὄπισθεν
μᾶλλον. ἐπὶ δὲ τοῦ κώλου μεταβαίνει ἡ ὀδύνη τόπον ἐκ τόπου. ὁ δὲ νυκτώδης πόνος, συνίσταται πε-
30 ρὶ τοὺς ὑμένας. ὁ δὲ διάττων λεγόμενος πόνος, συμβαίνει ἐπὶ ταῖς σφοδραῖς ἡμικρανίαις. ἔστι δὲ
τούτου διάγνωσις ὅταν ὡς ἀπὸ ῥίζης τινὸς ἀρχομένη ὀδύνη τοῦ πρωτοπαθοῦντος μορίου φέρη-
ται ταχέως εἰς τὰ παρακείμενα ἑκατέρωθεν. διὸ πρὸς ἄμφω τὰ πέρατα γιγνομένων τῶν δια-
τάσεων, καὶ τὰ νεῦρα ἑκατέρωσε διατείνεται. ἥκιστα γὰρ εἰς τὸ πλάτος ἐκτεταμένους ἔχει τοὺς πό-
νους, τὰ νεῦρα. ὁ δὲ τῷ δέρματι παντὶ ὑποτεταγμένος ὑμήν, τονώδεις καὶ ναρκώδεις ἐπιφέρει
τοὺς πόνους. οἱ δὲ μεταξὺ τῆς γαστρὸς οἱ διασπῶντες. εἰσὶ γὰρ καὶ ἄλλοι ὑμένες ἀνωμάλως ἐμφυόμε-
νοί τε καὶ περιλαμβάνοντες τὴν γαστέρα ἔξωθεν. οἱ δὲ τῶν περικειμένων τοῖς ὀστοῖς ὑμένων πόνοι. βύ-
θιοί τε εἰσί. καὶ αὐτῶν τῶν ὀστῶν φαντασίαν ἐπάγουσιν. ὡς ὀδυνωμένων. ὅταν μὲν οὖν μηδὲν ἔξω-
θεν αἴτιον τῆς ὀδύνης φαίνοιτο γιγνόμενον, ἐπισκέψαι τὴν προηγησαμένην αἰτίαν καὶ δίαιταν. εἰ γὰρ
εἴη ἀργοτέρα παρὰ τὸ ἔθος. ἢ σιτίοις πλείοσιν ἐχρήσατο ὁ ἄνθρωπος. ἢ πολυτρόφοις ἢ ἡ συνήθης ἔκκρι-
40 σις ἐπεσχέθη. εἰ γάρ τι τούτων ἢ πάντα φαίνοιτο, πλῆθος αἴτιον ἐστὶ τῆς ὀδύνης. καὶ διότι τάχιστα κε-
νοῦν τὸ αἴτιον. οὕτω γὰρ ἔξεστί σοι μετὰ πάσης ἀσφαλείας τοῖς ἀποκρουομένοις τὰ ῥεύματα, κατὰ τῶν
ὀδυνωμένων χρῆσθαι μορίων. εἰ μὲν γὰρ πλῆθος εἴη τὸ διατεῖνον, δυνάμεως ἰσχυρᾶς ὑποκειμένης, φλε-
βοτομητέον, καὶ ἐκ τῆς μεγάλης φλεβὸς ἀφαιρετέον, τῆς πλησίον τοῦ φλεγμαίνοντος, ἢ ὀδυνωμέ-
νου μέρους. εἰ δὲ ἀσθενὴς εἴη ἡ δύναμις ἀντισπαστέον τε καὶ παροχετευτέον. ἢ ἄνω. ἢ κάτω. ἢ παρ' ἑκάτε-
ρα, ἢ διαζίψεων. κακοχυμίας δὲ μόνης ἐνοχλούσης, καθαρτέον. συνελθόντων δὲ ἀμφοτέρων. ἀμφο-
τέραις χρηστέον ταῖς κενώσεσι, φλεβοτομήσας πρότερον. ἔπειτα καθάρας. εἰ δὲ τούτων ἐπιγινο-
μένων μένει τὸ ἄλγημα, δῆλον δή που κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν. εὔδηλος
δὲ καὶ ἡ θεραπεία τοῖς διαφορητικοῖς γιγνομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ διὰ πνεῦμα φυσῶδες, ἢ
50 φλέγμα γλίσχρον γινομένης τῆς ὀδύνης ὡς ἐπὶ κωλικῶν, ἰώμεθα πυρίαις καὶ καταντλήσεσι. καὶ
τοῖς παραπλησίοις. εἰ δὲ ὄγκος βαρύνων. ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον διὰ τῶν λε-
πτυνόντων καὶ ἀραιούντων. εἰ δὲ διὰ δακνῶδες ὑγρὸν ἡ ὀδύνη γίγνοιτο, ἐναντιώτατα τούτοις ἐστὶ
τὰ λεπτύνοντα καὶ θερμαίνοντα. ἄνηθον δὲ ἐναφεψημένον ἐν ἐλαίῳ τὸ χλωρόν, ἀνώδυνον ὑπνο-
ποιὸν ὑπάρχει. καταιονουμένου τοῦ πάσχοντος μορίου, τῷ ἐλαίῳ θερμῷ.

Περὶ λειποθυμίας. ρα.

Οἷον ἐστὶ λειποθυμία καὶ ἔκλυσις. τὸ μὲν ὄνομα τῆς λειποθυμίας ἐνεστιν. αἰτίαι δὲ αὐτῆς, πλείους. καὶ θεραπεῖαι καθ' ἕκαστον εἶδος. τοσοῦτον οὖν περὶ αὐτῶν νῦν ἐροῦμεν, ὅσον αὐτῆς μαθὼν ἱκανῶς ἐν τοῖς ἐξαίφνης προσπίπτουσιν ἀνίστασθαι παροξυσμοῖς. διαφέρει δὲ λειποθυμία συγκοπῆς. ὅτι ἡ μὲν λειποθυμία αἰφνίδιον ἐπιπίπτει. ἀναίσθητον καὶ ἀκίνητον τὸν ἄνθρωπον ἐργαζομένη. καὶ οὐ πάντως ἱδροῦσιν. ἡ δὲ συγκοπὴ, καὶ ἐγρηγορόσι καὶ καταφερομένοις συμπίπτει. καὶ πάντως μεθ' ἱδρώτων τῶν συγκοπτικῶν συνήθως λεγομένων.

Περὶ τῶν ἐπὶ διαρροίαις ἢ αἱμορραγίαις. ἢ ἱδρώτων ἀμέτρων κένωσιν, λειποθυμούντων. ρβ.

Τοῖς μὲν οὖν ἐπὶ χολέραις. καὶ κοιλίας ῥύσεσι. καὶ ταῖς ἄλλαις ἀμέτροις κενώσεσι λειποθυμοῦσιν, ὕδωρ τε προσραίνειν. καὶ ἀνατρίβειν τήν τε ῥῖνα καὶ τὸ στόμα τῆς γαστρός. ἢ παράττειν δακτύλων ἢ πτερῶν καθέσει. καὶ ἀναγκάζειν ἐμεῖν. σκέλη τε καὶ χεῖρας διαδεῖν πλείοσι καὶ σφοδροτέροις δεσμοῖς. τὰ μὲν ἄνω, ἐπὶ ταῖς κάτω γιγνομέναις κενώσεσι. τὰ δὲ κάτω, ἐπὶ ταῖς ἄνω. βοηθεῖ δὲ ἐν ταῖς τοιαύταις κενώσεσι, καὶ οἶνος ὑδατώδης παλαιός. ψυχρῷ κεκραμμένος. λουτρὰ δὲ τοῖς μὲν εἰς τὴν γαστέρα ῥεύμασιν, ἐπιτηδειότατα. τοῖς δὲ δι' αἱμορραγίαν ἢ ἱδρώτων ἀμέτρων κένωσιν λειποψυχοῦσι, πολεμιώτατα. στύψεως γὰρ οὗτοι καὶ ψύξεως, οὐ χαλασμοῦ δέονται. ψυχρῷ δὲ κεκραμμένος οἶνος ὡς εἴρηται ἐπιτήδειος καὶ τούτοις. οὔτε δὲ διαδεῖσθαι τὰ ἄκρα συμφέρει τούτοις, οὔτε ἐμεῖν, οὔτε ὅλως κινεῖσθαι. πυκνοῦσθαι δὲ ἁρμόττει καὶ ψύχεσθαι. διὸ τὸν ἀέρα τοῦ οἴκου ψυχρὸν κατασκευάζομεν. πνεύματα ψυχρὰ κατασκευάζοντες εἰς αὐτὸν πνεῖν. καὶ τὰ ἐδάφη πληροῦντες τῆς στυφούσης ποιότητος. οἷον, μυρίνων. ῥόδων. ἑλίκων ἀμπέλων.

Περὶ τῶν ἐπὶ πλήθει χυμῶν λειποθυμούντων. ργ.

Τῶν δὲ διὰ πλῆθος χυμῶν λειποθυμούντων, ἀνατρίβειν ἐπὶ πλεῖστον καὶ θερμαίνειν. καὶ διαδεῖν καρπούς τε καὶ τὰ σφυρά. τροφῆς δὲ αὐτοὺς καὶ οἴνου. καὶ λουτρῶν, παντάπασιν εἴργειν πυρέττοιεν. διδόναι δὲ ποτὸν ὀξύμελι.

Περὶ τῶν διά τινα διάθεσιν περὶ ὑστέραν λειποθυμησάντων. ρδ.

Ὁμοίως δὲ καὶ τὰς ἐφ' ὑστέρᾳ πεπονθυίᾳ ἐκλελυμένας ἰᾶσθαι, ἐκ τοῦ ὀξυμέλιτος. καὶ διαδεῖν καὶ τρίβειν σκέλη. μάλιστα ἐπὶ τῶν ὑστερικῶς πνιγομένων. καὶ ἐφ' ὧν ἀνέσπασθαι ἢ παρέσπασθαι ἡ ὑστέρα. καὶ σικύας κολλήσομεν βουβῶσί τε καὶ μηροῖς. καὶ ταῖς μὲν ῥισὶν, ὀσφραντὰ δυσώδη προσάξομεν ταῖς δὲ μήτραις τὰ εὐώδη. καὶ χαλᾶν καὶ θερμαίνειν δυνάμενα φάρμακα προσοίσομεν. ταῖς δι' ἄμετρον κένωσιν τῶν καταμηνίων λειποθυμούσαις, τὰς χεῖρας μᾶλλον διαδήσομεν. καὶ τρίψομεν. καὶ σικύαν περὶ τὸ στῆθος ἐπιθήσομεν.

Πρὸς τοὺς δι' ἀτονίαν στομάχου λειποθυμοῦντας. ρε.

Δι' ἀτονίαν δὲ στομάχου λειποθυμίαν γιγνομένην, καταπλάσμασι χρησόμεθα. κατὰ τοῦ στομάχου τονοῦσι. διὰ φοινίκων. καὶ οἴνου. καὶ ἀλφίτων. καὶ κρόκου. καὶ ἀλόης. καὶ μαστίχης. ἐμβροχαῖς τε ταῖς δι' ἀψινθίου καὶ μηλίνου. καὶ μαστιχίνου ἐλαίου καὶ ναρδίνου. καὶ οἴνου. καὶ εἰ ἐγκαίοιτο τὸν στόμαχον, μιγνύναι καὶ τῶν ψυχόντων. οἷον, τῶν ξυσμάτων τῆς κολοκύντης τὸν χυλόν. ἢ τῆς θριδακίνης. ἢ ἀνδράχνης. ἢ στράχνου. ἢ σέρεως. ἢ ὀξυλαπάθου. ἢ ὄμφακος. οὗτος δὲ οὐ μόνον ψύχει, ἀλλὰ καὶ στύφει. ὠφελεῖ δὲ αὐτοὺς γενναίως καὶ ἡ τῶν ἄκρων ἀνάτριψις. εἰ δὲ ἐπὶ τούτοις βελτίους γίγνοιντο, τοὺς μὲν ἐγκαιομένους ἐπὶ λουτρὸν ἄγειν εὐθέως. τοῖς δὲ ψύξεώς τινος αἴσθησιν ἔχουσι, τοῦ διὰ τριῶν πεπέρεως βραχὺ διδόναι. ἢ αὐτὸ τὸ λευκὸν πέπερι. ρς.

Ὅσοι δὲ μοχθηρῶν χυμῶν δακνόντων τὸ στόμα τῆς γαστρὸς ἐκλύονται, πίνειν διδοὺς θερμὸν ὕδωρ ἐμεῖν κέλευε. εἰ δὲ δυσεμεῖς εἶεν, θάλπειν πρότερον χρὴ τὰ περὶ τὸν στόμαχον. καὶ πόδας. καὶ χεῖρας. ἔπειτα δακτύλων ἢ πτερῶν καθέσει, ἐμείτωσαν. εἰ δὲ μὴ γένοιτο ἔμετος, συνεργεῖν δεῖ τῇ διὰ γαστρὸς ἐκκρίσει προσθετοῖς χρωμένους. εἰ δ' ἐπὶ τούτοις βέλτιον διατεθῶσι, κόμην ἀψινθίου ἐν μελικράτῳ συνεψῶντας, διδόναι πίνειν. καὶ παντοίως ἐρρωννύναι τὰ μόρια. διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων. καὶ διὰ τῶν εἴσω λαμβανομένων. οὐ μὴν κατ' ἀρχάς γε τοῦτο προσήκει ποιεῖν. μήτε τὸ ἀψίνθιον ἐπιδιδόναι. ἀλλ' ὕστερον μετὰ τὴν κένωσιν τῶν μοχθηρῶν χυμῶν. ὅταν ἤδη καθαρὰ τὰ περὶ τὴν κοιλίαν γένηται.

Εἰ δὲ διὰ φλέγμα ἀθροισθὲν ἐν στομάχῳ, λειποθυμοῦσιν. ρζ.

Εἰ δὲ φλέγματος πολλοῦ καὶ ψυχροῦ ἐν στομάχῳ ἀθροισθέντος, τὰς ἐκλύσεις συμβαίνει γίγνεσθαι, καταιονήσομεν τὸν στόμαχον ἐπὶ πλεῖστον ἐλαίῳ θερμῷ ἀψίνθιον ἐναφεψημένον ἔχοντι. εἶτα μέλιτον διδόναι ὕσσωπον. ἢ τινὰ τῶν ὁμοίων ἐν αὐτῷ ἀποβρέχων. ὀξυμέλιτος δὲ καὶ πεπέρεως. καὶ τοῦ

διὰ τριῶν πεπέρεως. ἢ τοῦ διοσπολιτικοῦ φαρμάκου. καὶ τὸ σύμπαν σοι τῆς διαίτης κεφάλου τμητικὸν ἔστω.

ρη΄.

Τὰς δὲ ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν ἐκλύσεις, ὁμοίως τοῖς λυμεῶσιν ἰᾶσθαι. παντὶ τρόπῳ θερμαίνοντας. οἶνόν τε οὕτω θερμαίνοντας διδόναι αὐτοῖς θερμῷ κεκραμμένον. καὶ τροφὰς θερμαινούσας, ἀνατρίβειν τε καὶ θάλπειν παρὰ πυρί.

ρθ΄.

Ἐπὶ δὲ τῶν θερμασίᾳ πλείονι λειποθυμούντων, ἢ ἐν ἀέρι πνιγώδει διατριψάντων. ἢ ἐν λουτρῷ χρονισάντων, ῥώσεις αὐτούς. ἐν μὲν τῷ παραχρῆμα, τότε ψυχρὸν ὕδωρ προσραίνων. καὶ ῥιπίζων. καὶ πρὸς ἄνεμον τρέπων καὶ τρίβων τὸ στόμα τῆς κοιλίας καὶ παράπτων. ἐφεξῆς δὲ ἤδη. καὶ οἶνον διδοὺς καὶ τροφάς.

ρι΄.

Τοὺς δὲ διὰ μέγεθος φλεγμονῶν. ἢ κακοήθειαν σφοδροῦ πυρετοῦ λειποψυχοῦντας ἐν ταῖς εἰσβολαῖς. καὶ καταψυχομένους τὰ κῶλα. τρίβων ἰσχυρῶς καὶ θάλπων. καὶ διαδεσμῶν σκέλη καὶ χεῖρας. ἐγρηγορέναι τε κελεύων καὶ σιτίου παντὸς ἀπέχειν καὶ πόματος. ἄριστον δὲ ἐπὶ τούτων προγνῶναι τὸ μέλλον ἔσεσθαι καὶ παρηγορεῖν αὐτὸ πρὸ τοῦ παροξυσμοῦ.

ρια΄.

Καὶ τοὺς διὰ ξηρότητα συγκοπτομένους ἐν ταῖς τῶν παροξυσμῶν ἀρχαῖς ἄριστον προγινώσκειν. εἰ γὰρ ὥραις που δυσὶν ἢ τρισὶν πρόσθεν τοῦ παροξυσμοῦ θρέψας. διακρατεῖσθαί τε τοὺς πόδας καὶ τὰς χεῖρας κελεύσειας, οὐκ ἂν ἀπώλοντο, εἶναι δὲ χρὴ τὰς τροφὰς εὐπέπτους τε καὶ εὐστομάχους. εἰ δὲ καὶ σφοδρὸν τὸν κίνδυνον ὑπονοεῖς ἔσεσθαι, προδιδόναι καὶ ἄρτον ἐξ οἴνου. ἢ χόνδρῳ ἄλικος ἑφθῷ οἶνον ἐπιχέων προσφέρειν. μετρίας δὲ τῆς συγκοπῆς προσδοκωμένης, μὴ διδόναι οἶνον. ἀλλὰ ῥοιῶν ἢ μήλων. ἢ ἄλλης στυφούσης ὀπώρας ταῖς τροφαῖς μιγνύναι. μετὰ δὲ τὸν παροξυσμόν, οὐκ ἀναγκαῖον ὀπώραις χρῆσθαι. τοῖς ἐξαίφνης εἰς τὸν κίνδυνον ἐμπεσοῦσιν. οἴνου τε θερμοῦ διδόναι. καὶ ἄρτου. καὶ χόνδρου ἄλικος παντελῶς ὀλίγου. εἰ γὰρ ἤτοι πλέον δώσεις. ἢ δυσπεπτότερον σιτία τοῖς οὕτως ἔχουσι, πνιγήσονται.

ριβ΄.

Τοῖς δὲ δι᾽ ἔμφραξιν κυρίου μορίου λειποθυμοῦσιν, ὀξύμελι διδόναι. καὶ τὰ δι᾽ ὑσσώπου καὶ ὀριγάνου. καὶ γλήχωνος. καὶ μέλιτος πόματα. καὶ τροφὰς τμητικωτέρας. τὰ γὰρ παχέα καὶ γλίσχρα, μεγάλην ἐπὶ τούτων ἐργάζονται τὴν βλάβην. ὅθεν ἀπέχεσθαι τούτων χρή. τρίβειν δὲ τὰ κῶλα. καὶ διαδεῖν. καὶ τοῖς διουρητικοῖς πόμασι χρῆσθαι. σελίνου. πετροσελίνου. δαύκου. καὶ τοῖς ὁμοίοις. φανερᾶς δὲ τῆς ὠφελείας, καὶ οἴνῳ τῷ ὑδατώδει χρῆσθαι παλαιῷ.

ριγ΄.

Εἰ δὲ δι᾽ ἀθρόαν ἀποστήματος ῥῆξιν. ἢ τομήν. ἢ κένωσιν ὡς ἐν ὑδέροις λειποψυχοῦσιν, ἐν μὲν τῷ παραυτίκα, ὀσφραντοῖς ἀνακτήσεσθαι. ὕστερον δὲ ῥοφήμασιν εὐπέπτοις τρέφειν.

ριδ΄.

Εἰ δὲ διὰ λύπην ἢ χαράν. ἢ φόβον. ἢ θυμόν. ἢ ἔκπληξιν. ἔκλυσις γένηται, ὀσφραντοῖς. καὶ ταῖς τῶν ῥινῶν. καὶ τοῦ στόματος καταλήψεσιν ἀνακτησάμενον, ἐμεῖν ἀναγκάζειν. περὶ καρδιακῶν καὶ βουλίμου, ῥηθήσεται ἐν τῷ περὶ στομαχικῶν λόγῳ.

Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας. ριε΄.

Ἐπὶ δὲ τῶν ἐν πυρετοῖς κεφαλαλγούντων. τὸ μὲν πολὺ φῶς. παραιτητέον. πλήττει γὰρ τὴν ὄρασιν. καὶ εἰς κίνησιν ἄγει τὰς μήνιγγας. ποδῶν δὲ ψηλαφήσει χρηστέον. καὶ διακρατήσει τῶν ἄκρων. καὶ διασφίγξει. παραιτητέον δὲ καὶ θερμασίαν ἀπὸ ἀνθράκων. ἢ λύχνων. ἢ ἡλίου καὶ καπνοῦ. καὶ τὰς ἀηδεῖς. καὶ νοτίδος ἐμπεπλησμένας ὀδμάς. καὶ κραυγάς. καὶ ὀργάς. καὶ τὴν συνέχειαν τοῦ ποτοῦ. καὶ τοῦ διακλύσματος, παραιτητέον. ἢ γὰρ αὐτόθεν ἀπὸ τοῦ στόματος εὐθύς. ἢ καθ᾽ ὑγραινομένου τοῦ στομάχου, πλῆθος ἀτμῶν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται. ἤδη διάπυρον αὐτὴν οὖσαν, προηγουμένως δὲ ἐμβροχαῖς διαψιλεστέραις χρηστέον. ἐλαίῳ ὀμφακίνῳ. ἢ ῥοδίνῳ τῷ καλλίστῳ χρώμενοι. δι᾽ ἐρίου χειροπληθοῦς ἀναλαμβάνοντες. καὶ τοῖς δακτύλοις ἐκθλίβοντες ἐξ ὕψους. καὶ ὥσπερ καταχρουνίζοντες μετά τινος πληγῆς συμμέτρου. μὴ ἀντιπίπτοντος δὲ τοῦ περιέχοντος, ψυχρὸν ἔστω τὸ ἐπίβρεγμα. ἢ αὐτόθεν. ἢ κατ᾽ ἐπιτήδευσιν ἡμετέραν. ἐπαυξηθείσης δὲ τῆς ὀδύνης, καὶ εἰς τὸ οὖς ἐγχείσθω τὸ ῥόδινον. τῆς δὲ ὥρας ὑπερφερούσης, καὶ μετά τινος ἐγκαύσεως ἐρείδοντος τοῦ πόνου, χυλὸς ὠκίμου. ἢ πολυγόνου. ἢ ἡδυόσμου ἐκ τρίτου ἢ τετάρτου μέρους τῷ ῥοδίνῳ συμμεμίχθω. τότε δὲ καὶ ὄξους ὀλίγον αὐτοῖς συναναμεμίχθω ἐπιμελῶς. μάλιστα τὸ ἔχον ἕρπυλλον ἐναπηψημένον. ἐπιμενούσης δὲ τῆς ὀδύνης, ἐπὶ τὴν φλεβοτομίαν καταντητέον. εἰ μηδὲν ἕτερον εἴη τὸ κωλῦον. καὶ ὀσφραντὰ δὲ οὐκ ἀναρμόστως παραλαμβάνεται. μυρσίνη. ῥόδα. γλήχων. καταπλάσματα δὲ κατὰ τοῦ βρέγματος καὶ τοῦ μετώπου. πολύγονον λεῖον μετὰ πάλης ἀλφίτου. καὶ σέρεως φύλλων. ἢ ἀρνογλώσσου. βιαίως δὲ τῆς περιωδυνίας ἐγκειμένης, ὑοσκυάμου φύλλα χλωρά. ἢ μήκωνες μετὰ ψιχῶν. βέλτιον δὲ τὰ πικρὰ ἀμύγδαλα. βραχέντα καὶ λεπτωθέντα. καὶ μετὰ ψιχῶν ἐπιτιθέμενα. κροτάφοις τε καὶ μετώπῳ. κάλλιστον δὲ καὶ ἀλόη καταχριομένη τῷ μετώπῳ. μετ᾽ ὄξους ἢ κροκομάγματος. καὶ γῆς ἔντερα λειωθέντα ἐπιχρίεται. καὶ θαυμαστῶς παρηγορεῖ τάχιστα.

ἡ δὲ κοιλία εὔλυτος ἐπ' αὐτῶν παρασκευαζέσθω. προσεπισκεπτέον μέντοι, μήπως ὁ στόμαχος σφοδρῶς ἐνοχλούμενος, εἰς συμπάθειαν ἄγει τὴν κεφαλήν. καὶ σπουδαστέον ἐμέτοις ἐκκενῶσαι τὰ λυποῦντα.

Περὶ τῆς ἐν πυρετοῖς ἀγρυπνίας. γαληνοῦ.

Υπερβαλλόντως δὲ ἀγρυπνούντων, χεῖρας καὶ σκέλη διαδεσμεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ, καθ' ὃν ἤδη εἰς ὕπνον τρέπεσθαι εἰώθασι κελεύομεν. ἀνοίγειν δὲ συνεχῶς, καὶ μύειν τὰ βλέφαρα παραινοῦμεν, μέχρις ἂν ἱκανῶς κάμνωσιν. εἶτα ἐξαίφνης λύομεν τοὺς δεσμούς, καὶ τὸν λύχνον αἴρομεν. ἡσυχίαν δὲ πολλὴν εἶναι κελεύομεν.

Περὶ ἀγρυπνίας ἐν πυρετοῖς. ἐκ τῶν ἡροδότου καὶ φιλουμένου. ρις.

Τοῖς δὲ προσκεφαλαίοις τῶν ἀγρυπνούντων ὑποθετέον κωδύας, ἢ καὶ ῥίζας μήκωνος μελαίνης, ἢ μῆλα μανδραγόρου, ἢ ὑοσκύαμον. καὶ ὀσφραντοῖς δὲ χρηστέον, ταῖς τε μήκωσι χλωραῖς, καὶ ταῖς καλουμέναις μηκωνίτισι θριδακίναις, καὶ ἡδυόσμῳ, καὶ κρινανθέμῳ, καὶ ῥόδοις. ἡμεῖς δὲ ἀπληκτοτέρῳ χρώμεθα προσκλύσματι τοῦ προσώπου, τῷ ὕδατι ἐναφεψήσαντες κωδύας μελαίνας, καὶ μελίλωτα, ἢ καλαμίνθη, ἢ γλίχωνα. καὶ βέλτιον ποιεῖ. καὶ ὀσφραντὸν δὲ κάλλιστον, μήκωνος λευκῆς κωδύων πεφρυγμένων, μανδραγόρου ῥίζης φλοιοῦ τὸ ἴσον λεῖα ποιήσας, καὶ φυράσας οἴνῳ καὶ ῥοδίνῳ βραχεῖ, δίδου ὀσφραίνεσθαι. θυμιάματι δὲ ὑπνωτικῷ χρηστέον τούτῳ. στύρακος, ἀμώμου, ἀμμωνιακοῦ θυμιάματος, βδελλίου σκυθικοῦ, μανδραγόρου ῥίζης φλοιοῦ, ὀπίου, ἴσον ἑκάστου σκεύαζε. καὶ θυμία ἤδη ξύλων κυπαρισσίνων. παραδόξως δὲ ποιεῖ, καὶ τὸ τῆς βερονίκης θυμίαμα, ὑποθυμιώμενον ὁμοίως. ἄγει γὰρ εἰς ὕπνον. ἀναγέγραπται δὲ ἐν τῷ περὶ θηριακῶν λόγῳ. λέγω δὴ ἐν τῷ ιγ. μύρῳ δὲ ὑπνωτικῷ κέχρησο τούτῳ. στύρακος, γο. β. ῥόδων ξηρῶν γο. α. ὑοσκυάμου σπέρματος μέλανος, γο. α. μύρτων μελάνων, γο. α. ῥοδίνου ἐλαίου, λι. α. οἴνου παλαιοῦ εὐώδους τὸ ἀρκοῦν. κόψας σήσας, λείου μετ' οἴνου καὶ ἐπίβαλλε τὸ ἔλαιον, καὶ ἑνώσας χρῶ. χρίων τὸ μέτωπον, καὶ τοὺς μυκτῆρας ἔνδοθεν καὶ ἔξωθεν. καταπλαστέον δὲ τὸ μέτωπον ἄρτῳ πτιλῷ μετὰ μελικράτου ἐν γλυκεῖ ἡψημένοις. καρπὸς ὠκίμου, καὶ ἀρκτυλίδος καρπός. ὑοσκυάμου καρπὸς καὶ τὰ φύλλα, καὶ ἀλικακάβου ὁμοίως ποιεῖ. κατάχριε δὲ τὸ μέτωπον, καὶ κύφει μετ' οἴνου καὶ κροκομάγματος. εἰ δὲ ἐπιμένοι τὸ τῆς ἀγρυπνίας σύμπτωμα, ἐπίχειε τὸ μέτωπον, καὶ τοὺς κροτάφους, τινὶ τῶν ἀνωδύνων τροχίσκων. κἂν μηδὲν αὐτῇ προσειπόντας τὴν ἐν τῷ πράγματι δυσχέρειαν, οὕτω ποτίζειν τινὰ τῶν ἀνωδύνων. ἀλυπότερον δὲ καὶ τῇ γεύσει ἡδύτερον πάντων τῶν ὑπνοφόρων φαρμάκων ἐστὶ, τὸ διὰ τοῦ ἀφεψήματος τῶν κωδύων, καὶ τοῦ μέλιτος συντιθεμένων. οὗ τὴν σύνθεσιν μετὰ βραχὺ ἐροῦμεν ἐν τῷδε τῷ λόγῳ. χρῶ δὲ καὶ καταπλάσματι καλλίστῳ, τῷ διὰ φοινίκων βεβρεγμένων, ἢ ἡψημένων ἐν οἴνῳ, καὶ σὺν ἀλφίτοις λειωθέντων μετὰ βραχέος ῥοδίνου, ἢ μηλίνου. κατὰ τοῦ στήθους γὰρ ἐπιτεθὲν, παρασκευάσαι πως πρὸς τὸ καθυπνῶσαι.

Περὶ καταφορᾶς ἐκ τῶν ἡροδότου. ριζ.

Τὴν μὲν τελείαν ἐπιμέλειαν τῶν καταφερομένων, ἐν τῷ μετὰ τούτων λόγῳ τῶν περὶ τῶν ἐν τῇ κεφαλῇ συνισταμένων παθῶν, δηλωθήσεται λόγῳ ἐν ᾧ καὶ περὶ φρενίτιδος διαλεξόμεθα. νυνὶ δὲ ἀναγκαῖον εἰπεῖν, ὅπως αὖθις πρὸς τὰ κατεπείγοντα συμπτώματα ἐνίστασθαι δυνήσεται. ἀπορραντίζειν μὲν οὖν χρὴ τὸ πρόσωπον ὀξυκράτῳ, μὴ πάνυ ψυχρῷ, καὶ διακρατεῖν εὐτόνως τὰ ἄκρα. ὀσφραντὰ δὲ προσαγέσθω, τὰ τμητικὴν δύναμιν ἔχοντα, καὶ διεγερτικήν, καὶ μάλιστα τὸ καστόρειον. κἂν ταῖς ἀνέσεσι δὲ συσκιαζέσθωσαν ἐναργῶς μετὰ μεταφρένου καὶ ῥάχεως. ἐπιμενούσης δὲ τῆς νόσου, καὶ πταρμικὰ ἐν ἀνέσει τῶν παροξυσμῶν προσαγέσθω. φυλακτέον δὲ καὶ τὰς τῶν λύχνων ἀποθέσεις. πληρωτικαὶ γάρ εἰσι τῆς κεφαλῆς. ἔστω δὲ καὶ ἡ τῶν σιτίων ὕλη τμητική, διαιρετικὴν δὲ δύναμιν ἔχει. καὶ ἐπ' αὐτῶν τῶν ῥινῶν προσαγόμενα καθ' ἑαυτὰ καὶ μετ' ὄξους τὰ ἐπὶ τῶν ληθαργικῶν ἐν τῷ μετὰ ταῦτα λόγῳ γραφησόμενα.

Πῶς ἐπιμελητέον γλώσσαις τραχύτητος ἐν πυρετοῖς. ριη.

Ἐν πυρετοῖς ἡ γλῶσσα, ποτὲ μὲν ξηραίνεται καὶ λεῖται καθ' ὑγρασμοῦ. ποτὲ δὲ τραχύνεται μᾶλλον ἢ ἧσσον, ἢ καταρρήγνυται, ἢ μελαίνεται, ἢ ἀνθρακώδης ἀποτελεῖται. ἐπιγίνεται δὲ τῇ τῶν σπλάγχνων φλεγμονῇ. εἰ δ' αὐτὴ μὲν ἡ γλῶττα ὡς εἴρηται πάσχοι, μαλθακὰ δὲ εὑρίσκονται τὰ καθ' ὑποχόνδρια, κινδυνῶδες ἐστὶ τὸ σημεῖον. ὑγραίνειν δὲ αὐτὴν χρὴ διακρατοῦντα τῷ στόματι, λινοσπέρμου ἀφέψημα. βέλτιον δὲ ἐν ὀργεῖ, μυξῶν τῷ λινοσπέρμῳ συγκαθηψημένων. ἢ δάκτυλον δὲ τούτῳ τῷ χυλῷ βρέχοντες τὴν γλῶτταν, ἀναχρίομεν. συναποσύροντες καὶ τοὺς τοῖς ὀδοῦσι προσκαθηγουμένους ἐπιπάγους. ἢ ἀποκλυζέσθωσαν ὕδατι καθαρῷ, ἢ ὀθονίῳ καθαρῷ ἀποματτέσθωσαν. εἶτα ῥοδίνῳ σπουδαίως ἐπαλειφέσθωσαν. καὶ αὐτὸ δὲ τὸ ῥόδινον μέλιτι συμμιγὲν, σπουδαίως ἐνεργεῖ. καὶ ὁ τῆς ἀνδράχνης δὲ χυλὸς διακρατηθεὶς ἐν τῷ στόματι, καθυγραίνει τοὺς τόπους. καὶ

ῥοῦς ὁ περὶ τὰ ὄψα ὕδατι ἢ μελικράτῳ μιγεὶς. καὶ δαμασκηνῶν δὲ, ἢ μυξαρίων τὸ ἀφέψημα κατεχόμενον ἐν τῷ στόματι, παραμυθεῖται. πολλάκις δὲ θριδακίνης καυλὸν διαγλύψαντες ἠλίκον πυρῆνι ἐλαίας. ἢ ἐκ τῆς τοῦ συμφύτου ῥίζης διακρατεῖν ἐδώκαμεν. καὶ τὸ δέον ἐποίησας. ἔστωσαν δὲ καὶ αἱ προσφοραὶ τῆς τροφῆς, ἄδηκτοι καὶ ἄστυφοι παντάπασι. καὶ λεῖαι. καὶ ῥοφηματώδεις. εἰ δὲ καὶ τὰ ὑποχόνδρια ἐν φλεγμονῇ εἴη, τούτων τὴν ἐπιμέλειαν ποιεῖσθαι. ἀρχὴ γὰρ καὶ τελευτὴ τῶν ἐντοσθιδίων ἐστὶν ἡ γλῶσσα. εἰ δὲ ἐπιπολὺ ἡ τραχύτης ἐπιμένῃ τῆς γλώττης. χήνειον στέαρ εἰ παρείη. εἰ δὲ μὴ ὀρνίθειον. βέλτιον δὲ φασιανικὸν τῆξας περὶ διπλώματος. καὶ δάκτυλον βρέχων, ἀνάτειβε τὴν γλῶτταν ἱκανῶς. εἰ δὲ ἔτι ἐπιμένοι ἡ τραχύτης, βουτύρῳ προσφάτῳ ὁμοίως χρῶ. ποιεῖ κάλλιστα. ὅπερ οὐ χρὴ κατ᾽ ἀρχὰς. καὶ παραλαβεῖν.

Πῶς δίψος θεραπευτέον. φιλουμένου. ριθ.

Τὸ δίψος, διττὸν γίνεται. τὸ μὲν, ὑγρότητος ἐνδείᾳ. τὸ δὲ, πλεονεξίᾳ θερμότητος. ἐπὶ μὲν οὖν τῶν πυρεττόντων, τὰ ἀμφότερα λυπεῖ. καὶ γὰρ ἡ θερμότης πολλὴ ἐπὶ τούτων. καὶ ξηρότης ἐπιγίνεται. δαπανωμένης τῆς πολλῆς ὑγρότητος, τῇ βίᾳ τοῦ πυρετοῦ. εἰ μὲν οὖν ἀβλαβὲς ἦν αὐτοῖς πίνειν, ὅτε θέλουσιν, ἄντικρυς ταύτην οὖσαν τοῦ δίψους θεραπείαν, παρελαμβάνομεν ἄν. ἐπεὶ δὲ καὶ μέτρον καὶ καιροὺς ὁρίζειν δεῖ τοῦ ποτοῦ, παρηγορίας τινὰς ἐπινοητέον τοῦ δίψους. τὸ γὰρ ἀκαίρως παραληφθὲν πόμα, οὐ μόνον οὐκ ἔσβεσε τὸ δίψος, ἀλλ᾽ ἐκ τῶν ἐναντίων ἐπέτεινεν. ἐν γὰρ ταῖς τῶν παροξυσμῶν ἀρχαῖς αἱ ἀνάπτουσαι τοὺς πυρετοὺς ὕλαι πᾶσαι περὶ τὸ πάθος κινοῦνται. καὶ τούτου χάριν τὴν δίψαν ἐπιτείνουσι. δοθὲν δὲ τῷ καιρῷ ἐκείνῳ τὸ πόμα, νικᾶται ὑπὸ τοῦ πλήθους τῆς ὕλης. καὶ συμμοχθηρευόμενον, προσθήκη γίνεται τῷ κακῷ. ὅθεν ἐν ταῖς ἀρχαῖς καὶ ταῖς ἀναβάσεσι, δεῖ κωλύειν τὴν δόσιν τοῦ ποτοῦ. ἐν δὲ ταῖς ἀκμαῖς, κλύσμασι πρῶτον καὶ ἀναγαργαρίσμασι πραΰνειν τὸν αὐχμὸν τοῦ σώματος. εἶτα ἀρχομένης τῆς παρακμῆς, διδόναι τὸ ποτόν. ἐν δὲ τῇ ἀνέσει καὶ μὴ βουλόμενος ἐνίοτε ἀναγκάζειν προσενέγκασθαι. ἵνα μὴ ἐνδεεῖς ὑγροῦ τῆς ἐπισημασίας παραδοθέντες, ἀναξηρανθῶσί τε καὶ ἐκκαυθῶσι. παρηγορεῖν δέ πως τὸ δίψος χρὴ ἐμβροχαῖς ψυχροτάτου ἐλαίου. ἢ ῥοδίνου μετὰ κηρωνισμοῦ γιγνομέναις. καὶ τὰ ἐπὶ τῶν καύσων προειρημένα βοηθήματα. καὶ ἐν τῷ στόματι δὲ διακρατούμενα τὰ ἐπὶ τῆς τραχύτητος τῆς γλώττης προειρημένα, παρηγορητικὰ τοῦ δίψους γίνεται. πάντων δὲ ἄμεινον ποιεῖ, τὸ τῆς θρίδακος σπέρμα διαμασσηθέν. καὶ ἡ γλυκεῖα λεγομένη ῥίζα, καὶ τὸ τοῦ σικύου σπέρμα. δεῖ δὲ μετὰ τὴν τῶν τοιούτων διαμάσησιν, διακλύζεσθαι καὶ ἀναγαργαρίζεσθαι. καὶ αἱ τροφαὶ δὲ πᾶσαι, ἔστωσαν ὑγραντικαί.

Ἐκ τῶν διοσκουρίδου κατὰ πόντιον ἄδιψον.

Σικύου σπέρματος, ∠ .η. τραγακάνθης ∠ .δ. κόψας σήσας τὴν τραγάκανθον, διάλυε ὠμῶν ᾠῶν προσφάτων τῷ λευκῷ. καὶ συλλεάνας ἅμα, ἀνάπλαττε κατὰ πότια. καὶ ξήραινε ἐν σκιᾷ. καὶ δίδου ἓν ὑπὸ τὴν γλῶτταν κατέχειν. καὶ τὸ διαλυόμενον ὑγρὸν καταπίνειν. δίδου δὲ κατὰ ῥοφεῖν, ἢ ἀπόβρεγμα μήλων κυδωνίων. ἢ ἀπίων. ἢ ὀμφακίου χυλόν. ἢ ὑδροροσάτον. ἢ ῥοδόμελι μεθ᾽ ὕδατος θερμοῦ. ἐπὶ δὲ τῶν ὑγιαινόντων τοῦ μὲν διὰ ξηρότητα γιγνομένου δίψους ἴαμα, ὕπνος. πέττει γὰρ τοὺς χυμούς. τοῦ δὲ διὰ θερμότητα δίψους ἴαμα, ἐγρήγορσις. περὶ γὰρ τὴν ἐπιφάνειαν, ἐξαπλοῦται τὸ θερμὸν ἐν ταῖς ἐγρηγόρσεσι. τοῦ δὲ διὰ θερμότητα τῶν ἐδηδεσμένων, ἢ διὰ πλείονα οἰνοποσίαν γιγνομένου δίψους, ἴαμα τὸ ψυχρὸν πόμα.

Περὶ ὠταλγίας ἐν πυρετοῖς ἐκ τῶν φιλουμένου. ρκ.

Γίνεται ὠταλγία ἐν πυρετοῖς, ἢ αὐτὴ προκατάρχουσα τοῦ πυρετοῦ ἢ ἐπιγιγνομένη. καὶ κινδυνωδεστέρους ἀποτελοῦσα τοὺς πυρετούς. ἐπιγίγνονται δὲ τῇ φλεγμονῇ, καὶ ἀγρυπνίαι. εἰ δὲ ἐπιμένοι, καὶ ἐκτάσεις. Ἱπποκράτης δὲ καὶ ἀναιρετικὰς ἱστορεῖ γίγνεσθαι, τὰς ἐπὶ τούτων ἀλγηδόνας. μετρίας μὲν οὖν οὔσης τῆς ὀδύνης, καὶ ἐν ἀρχῇ, ταῖς μὲν ἀκοαῖς, ῥόδινον χλιαρὸν ἐνστάζειν. ἢ τὸ λευκὸν καὶ ὑδαρὲς τοῦ ᾠοῦ, μετὰ γάλακτος γυναικείου. ἔξωθεν δὲ, σκέπειν πιλήματι ἐλαίῳ βραχεῖ. ᾧ ἄνηθον ἐναφέψηται. καὶ ἐμβρέχειν τὴν κεφαλὴν διὰ ῥοδίνου. ἢ ὀμφακίνου ἐλαίου. ἐπιτεινομένης δὲ τῆς ὀδύνης ἐπιπολὺ, καὶ φλεβοτομίαν παραληπτέον. καὶ τὴν κοιλίαν ἐρεθιστέον. ἔπειτα καὶ καταπλάσσειν ἔξωθεν κατὰ τῶν κύκλῳ τῆς ἀκοῆς τόπων, δι᾽ ἄρτου. ἢ λινοσπέρμου. συλλεαινομένων, χλωρῶν φύλλων, ὑοσκυάμου. ἢ μήκωνος. βούτυρον δὲ ἀντὶ ἐλαίου τῷ καταπλάσματι ἐμβλητέον. κατὰ δὲ τοὺς τῶν ἀλγημάτων παροξυσμοὺς, πυριᾶν χρὴ τοὺς τόπους διὰ σπόγγων ἐξ ὑδρελαίου θερμοῦ, μέχρι ἀπονίας. σφόδρα γὰρ παρηγοροῦσι. καὶ πάλιν καταπλαστέον τοῖς εἰρημένοις. καὶ ἐνστακτέον τῇ ἀκοῇ, ἀμυγδάλινον ἔλαιον. ἢ ῥόδινον. ἐν κωδίᾳ μήκωνος. τεθερμασμένον ἐπὶ θερμοσποδιᾶς. ἢ γῆς ἔντερα ἐναφεψήσας, τῷ ῥοδίνῳ ἔνσταζε. ἢ τοὺς ὑπὸ τὰς ὑδρίας ὄνους, ἢ ἀράχνας.

Διαπυησάντος ὠτὸς θεραπεία. ρκα.

Διαπυησάντος δὲ τῆς φλεγμονῆς καὶ ῥήξεως ἀπαντησάσης διὰ τοῦ πόρου, δι᾽ ὀργάνου μηλωτείδι πε-

ειειλημμένου. κομισάμενοι τὸ πύον, κλύζομεν μελικράτῳ πρότερον. ἔπειτα οἰνομέλιτι. ἔπειτα ὀ-
ξυμέλιτι. εἶτα ἀφρονίτρου προσπλέξαντες τῷ ὀξυμέλιτι βραχὺ, ἐνθήσομεν τῷ πόρῳ. ἀναλαμβά-
νοντες ἐρίῳ τὸ ἡμέτερον φάρμακον. ἄκρως ἐνεργοῦν. ἔστι δὲ στυπτηρία ὑγρὰ. καὶ μέλι. καὶ ῥόδινον.
ἴσα ἐπ' ὀλίγον καθηψημένα. μάλιστα δὲ ἐνεργεῖ, καὶ ὁ τοῦ μούσα ζωχίσκος ἀνιέμενος ἑψήματι καλ-
λίστῳ. καὶ ὄξει ὀλίγῳ. περὶ δὲ τῶν συμβαινόντων ἤχων καὶ δυσηκοϊῶν, εἰρήσεται ἐν τοῖς καθολι-
κοῖς βοηθήμασιν. εἰδέναι μέντοι χρὴ κάκιστον σημεῖον εἶναι ἐν τοῖς ὀξέσι πυρετοῖς, ἡ δυσηκοΐα. λη-
θάργους ἢ κατόχους. ἢ παρωτίδας ὀλεθρίους. ἢ ἄλλον τινὰ κίνδυνον προμηνύει. σπανίως δὲ πανέ-
μενον ἡ δυσηκοΐα τινὶ τῶν περιγιγνομένων τῆς νόσου. ἀλλ' ὁμοῦ συναποκατέστη τῇ νόσῳ. καὶ γὰρ
ἐνίοτε περιοδίζει κατὰ μὲν τοὺς παροξυσμοὺς, ἐπιτεινομένη ἡ δυσηκοΐα. ἐν δὲ ταῖς ἀνέσεσι, συνα-
10 ποκαθισταμένη. ὅτε οὐ δεῖ ἐνοχλεῖν τῷ ἀκουστικῷ πόρῳ. ἀλλὰ τὴν κεφαλὴν μόνην ἐμβρέχειν τοῖς
πρὸς κεφαλαλγίαν ἐν πυρετοῖς ἁρμόζουσιν.

Περὶ ὀφθαλμίας, ἐν πυρετοῖς. ρκβ.

Ἐν πυρετοῖς γιγνομένης ὀφθαλμίας, ἀπέχεσθαι δεῖ παντοίας φαρμακείας. ἐγχυματίζειν δὲ ᾠοῦ
τὸ λευκὸν καὶ λεπτὸν, καὶ γάλακτι. καὶ ἐπιχρίειν ἔξωθεν τῷ γλαυκίῳ. ἢ τῶν τοῦ νείλου διὰ ῥόδων. ἢ
ἑτέρῳ τινὶ τῶν διὰ κρόκου. ἀποκρουομένων τοὺς ῥευματισμοὺς μετὰ τοῦ ἐμψύχειν. περιωδυνίας
δὲ σφόδρα γιγνομένης, πυριᾶν διὰ σπόγγων. καὶ πτύγματα ὠοβραχῆ ἐπιτιθέναι κατὰ τὸ ἔθος. εἰ
δὲ ἐπιτείνοιτο ἡ ὀδύνη, καὶ καταπλάσσειν ἄρτον βεβρεγμένον ἐν ἀφεψήματι κωδύων. καὶ μελι-
λώτων μετὰ ᾠοῦ λεκύθου ὀπτῆς. ἢ ἑφθῆς μετὰ βραχέος ῥοδίνου. ἢ ψύλλιον ζέοντι ὕδατι βρέχων,
ἐπιτίθει. διαπυησάσης δὲ τῆς φλεγμονῆς, χρηστέον τοῖς ἀνωδύνοις κολλυρίοις.

20 Ἐκ τῶν φιλουμένων. ρκγ.

Γίγνεται περὶ τὰς λύσεις τῶν νοσημάτων. ἢ καὶ ἐν ταῖς ἀναλήψεσι περὶ τοὺς ὀφθαλμοὺς ἀμφοτέ-
ρους ἢ τὸν ἕτερον, ἀμαύρωσις. ὥστε μόλις ὁρᾶν ὥσπερ δι' ὁμίχλης. ἐνίοτε δὲ καὶ τινὰ προφαίνεσθαι
πρὸ τῶν ὀφθαλμῶν δοκεῖν οἷς θριξὶν ὅμοια. κατανοούμενοι δὲ οἱ ὀφθαλμοὶ καθαροὶ φαίνονται, κα-
τὰ τὸ σπανιώτατον δὲ ἐν ταύταις ταῖς περιστάσεσιν. ἢ μικρότερος ὁ κύκλος τῆς κόρης. ἢ πλατύ-
τερος εὑρίσκεται. τὸ δὲ τῆς ἀμαυρώσεως σύμπτωμα. ὡς ἐπὶ τὸ πλεῖστον ὀνειρωγμοῦ προηγησαμέ-
νου κατὰ τὴν ἀπόλυσιν τῆς νόσου ἢ τὴν ἀνάληψιν, παραχρῆμα ἐπέπεσε. καὶ ἔστι σημεῖον ἀτονίας τοῦ
πνεύματος τοῦ ὀπτικοῦ. καὶ τοῦ νευρώδους. τῇ γοῦν τελείᾳ τοῦ σώματος ἀναρρώσει, ὁλόκληρος ἀπο-
δίδοται. καὶ ἡ τῆς ὁράσεως ἐνέργεια. διὸ δεῖ τοπικῶν ἀπέχεσθαι βοηθημάτων. μήτε πυριῶντες,
μήθ' ὑπαλείφοντες. ἀναληπτικῇ δὲ τοῦ παντὸς σώματος ἀγωγῇ χρωμένους, διορθοῦσθαι τὸ σύμ-
30 πτωμα.

Θεραπεία ἐφ' ὧν στάξις αἵματος ἀπὸ ῥινῶν ἐν πυρετοῖς παρακολουθεῖ, ἐκ τῶν φιλουμένου. ρκδ.

Τὴν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν πυρετοῖς γιγνομένην ἐκ τῶν ῥινῶν στάξιν τοῦ αἵματος, κάκιστον ση-
μεῖον Ἱπποκράτης λέγει. πλῆθος γὰρ δηλοῖ ἐν ὅλῳ τῷ σώματι. ἢ ἐν τῇ κεφαλῇ. ἀποστάζει γὰρ τὸ
αἷμα. ἢ διὰ θλῖψιν. ἢ διὰ πύκνωσιν τῶν πόρων. ἡ δὲ πλείων ἔκκρισις, ἱκανή ἐστι καὶ χαλάσαι. καὶ μειῶ-
σαι τὸ πλῆθος. κατὰ βραχὺ οὖν ποιῆσαι χρὴ τὴν κένωσιν ἐκεῖθεν μᾶλλον ὅθεν ἡ φύσις ὥρμησε. ταῦ-
τα ἐπιλογισάμενος, ἐτόλμησα ἐπὶ τῶν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γιγνομένων ἀποστάξεων διὰ
κλινείου ἀγρώστεως ὡς ἔθος ζῶσαι τὰ ἐν τοῖς μυξωτῆρσιν ἀγγεῖα. δεῖ δὲ μὴ ἀρκεῖσθαι ὀλίγῃ ῥύσει.
ἀλλὰ πρὸς δύναμιν ἀφαιρεῖν. κενώσεως δὲ ἱκανῆς γενομένης, στέλλειν ὡς ἔθος.

40 Πῶς κύστεως ἐπιμελητέον. καὶ δυσουρίας ἐν πυρετοῖς ἐκ τῶν φιλουμένου. ρκε.

Ἐν ἀρχῇ τῶν πονηροτάτων πυρετῶν, καὶ τοῦτο ἐπιφαίνεται τὸ σύμπτωμα ὥστε τὴν κύστιν ἀλγεῖν.
καὶ κατὰ βραχὺ τὸ οὖρον προΐεσθαι. καὶ μετ' ὀδύνης. καὶ οὐ μόνον σκληρόν ἐστιν, ἀλλὰ καὶ σημεῖον τοῦ
ὅλου πεπονθέναι τὸ νευρῶδες. ἔστι γὰρ τὸ πᾶν σῶμα ἀνάμεστον ὑπάρχον ὠμοτέρων χυμῶν, συρρεῖ δὲ
αὐτοῦ ἀθρόον πλῆθος εἰς τὴν κύστιν. καὶ διατεθεῖσα ἐπιπλέον, ἀνενέργητος γίγνεται. κίνδυνόν
τε τὸν διὰ ἰσχουρίας ἐπιφέρει. κατ' ἐπιγαστρίου μὲν οὖν καὶ κενεῶνος. καὶ βουβώνων, καθαρὸν ἔ-
ριον ἐπικείσθω. γλυκεῖ ἐλαίῳ θερμῷ βεβρεγμένον. ἢ σικυωνίῳ. βέλτιον δὲ καὶ εἰ πήγανον εἴη ἐναφε-
ψημένον τῷ ἐλαίῳ καὶ ἄνηθον, καὶ σελίνου σπέρμα. ἢ κύμινον λεῖον, ἐμπάσσειν τῷ ἐρίῳ. εἰ δὲ ἐπιτεί-
νοιτο τὰ τῆς ὀδύνης, καὶ καταπλάσματα μετὰ τὰς ἐμβροχὰς παραλαμβανέσθω. καὶ εἰς τὸ ἀπευ-
θυσμένον ἔλαιον δι' ἀφεψήματος τήλεως, σὺν βουτύρῳ ἐνιέσθω. ἐπὶ δὲ γυναικῶν καὶ εἰς τὴν μήτραν. καὶ
50 εἰς τὸ ἀπευθυσμένον. εἰ δὲ φλεγμονὴ κατεπείγοιτο, καὶ ἔρευθος μετὰ πλείστης θερμασίας κατὰ τὸ
ἐπιγάστριον εἴη, καὶ φλεβοτομίαν παραλαμβάνειν. δίαιτα δὲ ἔστω λεπτὴ καὶ ἀκριβὴς. ῥοφήμασι χρω-
μένοις, πτισάνῃ. ἢ τοῖς πλυτοῖς χόνδροις ἐκ μελικράτου. ἢ ᾠοῖς ῥοφητοῖς. μετὰ δὲ ταῦτα καὶ ψίχαι
καλῶς ἀποπλυθεῖσαι διδόσθωσαν. ἔπειτα μαλάχη ζιπτὴ παραλαμβανέσθω. καὶ κεφάλω τὸν πρά-
σον πλείοσι καθηψημένον ὕδασι. καὶ ἰχθύες οἱ ἁπαλώτατοι. ἐγκάθισμα δὲ ἐπιτηδευέσθω ἄχρις

ἀποπλυνεῖσθαι διδόσθωσαν. ἔπειτα μαλάχη ἑφθὴ παραλαμβανέσθω. καὶ κεφαλωτὸν πράσον πλείοσι καθεψημένον ὕδασι. καὶ ἰχθύες οἱ ἁπαλώτατοι. ἐγκάθισμα δὲ ἐπιτηδευέσθω ἄχρις ὀμφαλοῦ καὶ ὀσφύος ὅλης δι᾽ ἀφεψήματος ἀρτεμισίας· τήλεως γλήχωνος καὶ ἐλαίου, πρὸς τὴν ὥραν. χρόνου δὲ προϊόντος, καστόρειον ἐμπασσέσθω τοῖς πλήμασι. πόμα δὲ τοῖς οὕτω κάμνουσιν ἐπιτηδειότατόν ἐστι μετὰ τὸ παύσασθαι τὴν ἐπίδοσιν, τὸ διὰ τοῦ ἡμέρου σικύου σπέρμα. προβρεχθὲν δὲ λεπίζεται. εἶτα τριφθὲν δίδοται μεθ᾽ ὕδατος κυάθων τριῶν. ὅσον κοχλιάρια β. καὶ κινεῖ μὲν τὴν οὔρησιν ἀλύπως. τὰς δὲ περιωδυνίας, παραχρῆμα λύει. τῶν μέντοι ἄλλων διουρητικῶν ἐφ᾽ ὅσον οἱ πυρετοὶ διαμένουσιν, ἀποχὴ πᾶσα ἔστιν· ἵνα μὴ πλῆθος οὔρων συνδιδόμενον εἰς τὴν κύστιν καὶ περιτεῖνον, ἐπιτείνει τὸ σύμπτωμα.

10 Πῶς ἐπιμελητέον τῶν περὶ τὴν ὀσφὺν ἀλγημάτων, ἐκ τῶν Φιλουμένου. ρκϛ.

Ὀσφύος ἀλγήματα γίγνεται ὡς ἐπὶ τὸ πλεῖστον ἐν πυρετοῖς πονηροῖς εὐθὺς ἀπ᾽ ἀρχῆς καὶ παραμένοντα, μεγίστας ἐγκλήσεις ἐπιφέρει· ἢ αἰφνιδίως ἀφανισθέντα, κινδυνωδεστέραν ἔσεσθαι τὴν νόσον προμηνύει. περὶ μὲν οὖν τὰς πρώτας ἡμέρας, ἐν βροχῇ δι᾽ οἰνελαίου χρηστέον λιπαρωτέρου. ἔπειτα ἀφρονίτρου καὶ γλυκέως τε θαλασσωμένου. καὶ ἔλαιον ἅμα ἡνωμένα, ἐπιρρίπτειν τοῖς τόποις δι᾽ ἐρίων ὑσσωπηρῶν. αἱ δὲ τοιαῦται ἐμβροχαί, τὸ μὲν σφοδρὸν τῆς ὀδύνης παρηγοροῦσιν. οὐκ ἀναιροῦσι δὲ εἰς τὸ παντελὲς τὸν πόνον. προβαίνοντος δὲ τοῦ χρόνου, φλεβοτομίᾳ χρηστέον. ἔπειτα σικυαστέον τὸν τόπον. μετὰ δὲ ταῦτα κατάπλασμα σκευάσαντες, τὸ διὰ λινοσπέρμου καὶ τήλεως· καὶ ἐμβαλόντες εἰς μαρσίππιον ὑποθήσομεν τοῖς ἰσχίοις. ὥστε ἐπ᾽ αὐτῶν τὴν κατάκλισιν εἶναι τῆς ὀσφύος. ἔπειτα ἐμβρέχειν δι᾽ ἐλαίου πηγανίνου καὶ κηρωταῖς χρῆσθαι διὰ κυπρίνου γεγενημέναις. 20 ἡ δὲ γαστὴρ ἐξ ἀρχῆς εὔλυτος διὰ τῶν ῥοφῶν παρασκευαζέσθω. σφόδρα δὲ αὐτοὺς ὠφελεῖ, καὶ κλυστὴρ δι᾽ ἀφεψήματος σικύου ἀγρίου καὶ μέλιτος· μόνου ἐνιέμενος· κενοῖ γὰρ φλέγμα. καὶ κουφίζει τάχιστα. εἰ μὴ σφοδρὸς εἴη ὁ πυρετός.

Τῆς περὶ τὸ ἱερὸν ὀστέον ἐν πυρετοῖς γιγνομένοις ἑλκώσεως θεραπεία, ἐκ τῶν Φιλουμένου. ρκζ.

Ἐν τοῖς χρονίοις, καὶ ἄλλως τὴν ἕξιν ἐκτήκουσι πυρετοῖς· περιδαπανηθείσης τῆς σαρκὸς ἐπὶ ψιλῶν τῶν ὀστέων ἡ ἀνάκλισις. καὶ μάλιστα αὐτῶν τὰ ἐξέχοντα. καὶ δυσαλθεῖς ἑλκώσεις ἀναδέχεται καὶ ἐπωδύνους, διὰ τὸ σύρεσθαι κατὰ τῶν ὑποστρωμάτων. οὐ μόνον δὲ διὰ τὸ δυσίατον χαλεπὰς συμβέβηκεν εἶναι τὰς ἑλκώσεις· πλατυνόμεναι γὰρ καὶ βαθυνόμεναι καὶ παχέα τὰ χείλη τρέφουσαι. νέμονται γοῦν καὶ μέχρι ψιλώσεως προΐασιν. ἀλλὰ δὴ καὶ παρασημειώσεως πρὸς τῶν ἀρχαίων τετύχηκεν. ὡς ὄλεθρον οὖσαν τὴν διάθεσιν μηνυτικήν. διόπερ πρὶν εἰς ἀνήκεστον ἥκειν, ἐσπουδακέναι 30 δεῖ περὶ τὴν ἐπιμέλειαν αὐτῆς. τὸ μὲν πρῶτον ἡνίκα ἄρχεται ὁ τόπος ἐνερευθὴς καὶ ἐπαλγὴς γίνεσθαι. κύκλον ἐξ ἐρίου ποιήσαντες ἐν μεγέθει, ὑποθήσομεν τῷ τόπῳ· ἵνα διὰ κενοῦ τὸ πάσχον μέρος ἑδρασθέν, ἀπαλλαγῇ τοῦ θλίβεσθαι. καὶ ἀταλαίπωρος ἡ κατάκλισις γένηται. μετὰ δὲ ταῦτα, τὴν διὰ ῥοδίνου κηρωτὴν, ἢ μυρσίνου σκευάσαντες, ἔχουσαν λιθάργυρον, ψιμμύθιον, κειθὰς κεκαυμένας, ἐπιθήσομεν. ὑποκειμένου δηλονότι τοῦ ἐξ ὄργου κύκλου. ταυτὸ δὲ ποιοῦσι, καὶ αἱ δριμεῖαι πᾶσαι κηρωταὶ καὶ ἔτι μᾶλλον τὸ ὑφιζάνον ἐν τοῖς χαλκίοις ἐν οἷς τὸ ὕδωρ ἕψεται. ὃ προσκάθηται ὡς ὄστρακον ἐν τοῖς πυθμέσιν αὐτῶν. μιγνύμενον σὺν κηρωτῇ ῥοδίνῃ. εὑρίσκεται δὲ πλῆθος ἐν τοῖς τῶν βαλανείων χαλκοῖς, καὶ τὸ διὰ μέλιτος ἴσα λαμβάνον τέσσαρα· λιθάργυρον. ἔλαιον. κηρόν. μέλι. ἀναλύεται δὲ ῥοδίνῳ. καὶ ποιεῖ παραδόξως. παραλαμβανέσθω δὲ καὶ πυεία διὰ σπόγγων. φλεγμονῆς δέ ποτε γινομένης, ἄρτῳ καταπλαστέον τοὺς τόπους. μετὰ στρύχνου. ἢ πολυγόνου. ἢ 40 ἀρνογλώσσου. ἢ κράμβης φύλλοις. εἰ δὲ νομώδης ἡ ἕλκωσις γένοιτο, φακῷ ἑφθῷ μετὰ σιδίων καταπλαστέον. καὶ φαρμάκοις ποτὲ χρηστέον τοῖς πρὸς νομὰς πεποιημένοις. ἀνειμένοις διὰ ῥοδίνου. καὶ τῇ ἐπιγόνου χλωρᾷ. καὶ τῷ κέρακι. ἢ τῷ Ἄνδρωνος τροχίσκῳ. ἢ τῷ μούσα μεθ᾽ ἑψήματος. τῆς δὲ νομῆς σταλείσης, τοῖς πραοτέροις κοινοῖς βοηθήμασι χρηστέον.

Θεραπεία τῆς περὶ τὸν ὄρχεον καὶ δακτύλιον ἑλκώσεως ἐν πυρετοῖς, ἐκ τῶν Φιλουμένου. ρκη.

Πολλάκις ἐπὶ τῶν νοσούντων ἑλκοῦται τὰ μόρια ταῦτα. ποτὲ μὲν, διὰ μόνην τὴν ἀμέλειαν. ποτὲ δὲ καὶ ὑπὸ φαύλων καὶ δριμέων χυμῶν. καὶ κακοήθων πυρετῶν εὑρεῖν. ἔστι γοῦν τοὺς οὕτω πάσχοντας. καὶ τὴν φρόνησιν βεβλαμμένους. καὶ μηδὲν παρακολουθοῦντας τῇ ὀδύνῃ. μὴ δὲ ἀντιλαμβανομένους τῆς πυρώσεως, εἰ μὴ ὁ ἐπιμελούμενος αὐτῶν ἐκ τῆς ὀδμῆς διαγινώσκει. πρῶτον μὲν οὖν ἀποσπογγισμῷ τὸν τόπον χρηστέον ἐξ ὕδατος θερμοῦ προσηνοῦς. ἔπειτα ἀλειπτέον μυρσίνῳ ἢ 50 ῥοδίνῳ ἐλαίῳ. καὶ μετὰ ταῦτα διαπαστέον τὸν ὄρχεον μυρσίνῃ ξηρᾷ λειοτάτῃ. ἔπειτα ἐπιχριστέον ὠῷ διαλελυμένῳ μετὰ ψιμμυθίου. καὶ ῥοδίνου ἐλαχίστου. ἢ μυρσίνου. ὅπως μὴ ἀναξηραίνοιτο. εἰ δ᾽ ἀνέχοιτο τοῦ μολυσμοῦ τῶν ἐπιχρίστων, κηρωτὴν σκευαστέον ὑγροτέραν, διὰ ῥοδίνου ψιμμυθίου ἔχουσαν. ἢ λιθαργύρου. καὶ λεκύθου ὠῶν ἑφθῶν. ἁρμόζει δὲ καὶ ἡ βουτυρίνη κηρωτή. καὶ ἡ διὰ στέατος χηνείου. ἢ ὀρνιθείου συντιθεμένη. καὶ ἡ διὰ κειθῶν καὶ αἱ δριμεῖαι πᾶσαι. εἰ δὲ νομὴ ἐπιγίγνοιτο, χρηστέον τῇ προει-

ρημένη ἐπὶ τῆς τοῦ ἱδρουδέου ἑλκώσεως ἐπιμελεία. τὰς δὲ τροφὰς γλυκυτέρας αὐτοῖς προσενε-
κτέον. ἐξοχασμένως ποιοῦντας πυρετούς. καὶ τῆς κοιλίας δὲ ἐπιμελητέον. μάλιστα τῶν περὶ τὴν
ἕδραν τόπων κουφιζομένων. Τίς ἐπιμέλεια τῶν ἐν πυρετοῖς ἐξανθημάτων ἐκ τῶν Ἡροδότου.
5 Ἐπὶ τῶν πυρεττόντων, συνεχέστατα γίνεται ἐξανθήματα, περὶ τὰ χείλη. καὶ τὰς ῥῖνας. περὶ τὰς
λύσεις τῶν πυρετῶν ὡς ἐπίπαν. κατ᾽ ἀρχὰς δὲ τῶν πυρετῶν, οὐ τῶν ἁπλουστέρων. ἀλλὰ τῶν κακο-
χυμοτέρων περὶ ὅλον τὸ σῶμα. μώλωπες ἐμφερεῖς τοῖς ἀπὸ κωνώπων δήγμασιν. ἐν δὲ τοῖς κα-
κοήθεσι καὶ λιμώδεσι πυρετοῖς, ἑλκώδη ταῦτα γίνεται. τινὰ δὲ καὶ ἄνθραξι παραπλήσια. πάν-
τα δὲ πλήθους διεφθορότος καὶ τὴν ἕξιν διαβιβρώσκοντος σημεῖα χυμοῦ ἐστι. τὰ δὲ ἐν προσώπῳ γι-
νόμενα, κακοηθέστερα πάντων εἰσί. χείρω δὲ τὰ πλείονα τῶν ἐλαττόνων. καὶ τὰ μείζονα τῶν βρα-
10 χυτέρων. καὶ τὰ ταχέως ἀφανιζόμενα, τῶν πλείονα χρόνον ἐπιμενόντων. χειρότερα δὲ τὰ πυροῦν-
τα, τῶν κνησμοὺς ἐπιφερόντων. καὶ τὰ μὲν ἐπιγινόμενα τῆς κοιλίας ἑστώσης. καὶ μέτρια τὰ
διαχωρήματα ποιούσης, ἀγαθά. τὰ δὲ ῥεούσης τῆς κοιλίας γινόμενα καὶ ἐμέτων ἐνοχλούντων πονη-
ρά. εἰ δ᾽ ἐπιγινόμενα ξηραίνοι τὴν κοιλίαν, ἀγαθά. παρέπονται δὲ τοῖς ἐξανθήμασι, κακοήθειαι τῶν
πυρετῶν ἐκ τοῦ πλείστου δὲ καὶ συγκοπαί. τὰ μὲν οὖν περὶ τὰς λύσεις τῶν πυρετῶν τῶν ἁπλου-
στέρων γινόμενα περὶ τὰ χείλη καὶ τὰς ῥῖνας, ῥοδίνῳ χριστέον κατ᾽ ἰδίαν. ἢ μετὰ ψιμυθίου. ἢ λιθαρ-
γύρου. ἁρμόζει γὰρ καὶ ὁ διὰ κρόκου. καὶ σμύρνης. καὶ στυπτηρίας τροχίσκος. ὃν ἶριν ὀνομάζουσι.
καὶ ὁ μέλας ὁ λαμβάνων ἴσα κροκομάγματος. καὶ βαλαυστίου. καὶ χαλκάνθου. καὶ ζιζιβόρεως. καὶ
ἀλόης. οἴνῳ δὲ λειοῦται ὡς κολλύριον. καὶ ἀναπλάττεται εἰς τροχίσκους. καὶ ἐπὶ τῆς χρείας σὺν ὕ-
δατι ἢ γάλακτι ἐπιχρίεται. ἢ σὺν οἴνῳ. ἐπὰν ἐπιτεῖναι τὴν στῦψιν βουλώμεθα κατακολλᾶσθαι δὲ
20 μετὰ τὴν ἐπίχρισιν. καὶ χωρὶς ταύτης εἰ μένει. ἢ πρὸς τῷ τοῦ φοίνικος ὀστῷ. ἢ ᾠοῦ. τὰ δὲ περὶ τὸ ἄλλο
σῶμα γινόμενα ἐξανθήματα τὰ μωλωπίζοντα ἰᾶσθαι χρή, φλεβοτομοῦντας κατ᾽ ἀρχὰς εἰ μη-
δὲν κωλύει. εἴωθε γὰρ ἀποστραφέντα, κινδύνους ἐπιφέρειν. εἰ μὴ δι᾽ ἐμέτων ἢ κοιλίας ἡ δριμύτης
ὑπεξέλθοι. διὸ καὶ τὴν κοιλίαν διὰ πτισάνης χυλοῦ. καὶ ᾠῶν. καὶ χαμαιμηλίνου ἐλαίου μαλακτέον.
κατεχέτωσαν δὲ τὸ ἐνιέμενον ἑσπέρας, πᾶσαν τὴν νύκτα. καὶ στολῇ δὲ τῶν σιτίων χρηστέον χάριν τοῦ
πάντοθεν καθαιρεθῆναι τὸ πλῆθος. ἐν δὲ ταῖς ἐπισημασίαις χάριν τῶν ἐπιγινομένων περὶ τὸν
στόμαχον σφοδροτάτων δηγμῶν. χλιαρὸν ὕδωρ ποτίζοντες, ἐμεῖν κελεύομεν. δακτύλων ἢ πτερῶν
καθέσει. τροφὰς δὲ κατακεραστικὰς παραθετέον. διὰ πτισάνης χυλόν. ἢ χόνδρου μετὰ μελικράτου.
καύσου δὲ πυρετοῦ ἐνοχλοῦντος, συγχρίειν τὸ σῶμα ὑδρελαίῳ. νίτρον βραχὺ ἔχοντι. τά τε γὰρ ἐξαν-
θήματα περὶ τὴν ἐπιφάνειαν κρατεῖ, καὶ τὴν ἐν τῷ βάθει, ὕλην ἐφέλκεται. καὶ ἐμψύχει τὸ βά-
30 θος. καὶ πολλάκις ἱδρῶτας ἤνεγκεν. ἐξατμίσαι τὸ πολὺ τῶν δριμέων ὑγρῶν δυναμένους. ἐπὶ
δὲ τῶν λοιμωδῶν καὶ ἀνθρακωδῶν, φλεβοτομίαν μὲν παραλαμβάνομεν εὐθὺς κατ᾽ ἀρχάς. τὰς
δὲ ἀναστάσεις, οὐκέτι. φαυλοτέραν γὰρ τὴν ὕλην ἡ ἀσιτία ποιεῖ. καὶ συγκόπτει τὴν δύναμιν ἐπὶ τού-
των. ἣν ἄθραυστον βουλόμεθα τηρεῖν. ἐν πᾶσι μὲν πυρετοῖς. μάλιστα δὲ ἐν τοῖς λοιμώδεσιν. εἰ μὲν οὖν
ἐπιδέχοιτο οἱ τόποι, καταχρίειν τὰ ἐξανθήματα φαρμάκῳ παχεῖ, διὰ ῥοδίνου καὶ ψιμυθίου. καὶ
λιβάνου. καὶ οἴνου γλυκυτάτου. ἢ λιθαργύρου. καὶ μάννης μετὰ ῥοδίνου. τὰ δὲ ἄλλα μέρη κηρωτῇ κα-
ταλαμβανέσθω διὰ τῆς αὐτῆς ὕλης ἐσκευασμένῃ. ἁρμόδιοι δὲ ἐπ᾽ αὐτῶν, καὶ πᾶσαι αἱ ἐπὶ τῶν
πυρικαύτων προσαγόμεναι. καὶ τὰ μὲν περὶ τὸ πρόσωπον ἐξανθήματα, τοῖς διὰ θερμοῦ προσ-
κλύσμασι παρηγορήσομεν. τὰ δὲ ἐν τῷ λοιπῷ σώματι, διὰ σπόγγων πυριατέον ἐπιπολύ, καὶ μάλι-
στα τὰ κνησμώδη. ἑρπιστικῶν δὲ γινομένων τῶν ἑλκῶν, καὶ ἀσβέστου βραχὺ παραμικτέον. θαυμα-
40 στῶς γὰρ ξηραίνει. καὶ τὸ νομῶδες αὐτῶν ἵστησι. τὰ μὲν ἤδη νεμόμενα, φακῷ ἑφθῷ μετὰ σιδίων. καὶ
μέλιτος. ἢ ἀρνογλώσσῳ. ἢ πολυγόνῳ. ἢ ῥόδων μετὰ ἄρτου καταπλάττειν. ἀγαθὸν δὲ καὶ τὸ αἴγειον
γάλα διδόναι τοῖς τοιούτοις. χάριν τοῦ κατακερᾶσθαι τὴν φαυλότητα. δεῖ δὲ τὸ τέταρτον μέρος
τοῦ γάλακτος μίξαντας ὕδατι, καθεψεῖν ἅμα κινοῦντας συνεχῶς. μέχρις ἥμισυ ληφθῇ τοῦ παν-
τός. ὅπως μήτε τυρωθὲν ἀποξυνθῇ, μήτε πυρωθὲν, κνισωθῇ διὰ τὸν κατέχοντα πυρετόν. πα-
ρακμῆς δὲ γινομένης, διὰ καθαρτηρίου φαρμάκου ἐπιτηδείου κενῶσαι τὰς ὕλας. μετέπειτα δὲ
τὴν θηριακὴν ἀντίδοτον διδόναι. ἢ τὴν μιθριδάτην. ἢ ἄλλην τινὰ τῶν πρὸς τὰ θανάσιμα καὶ ἰοβό-
λου πεποιημένων, ἀντίδοτον. ἡ γὰρ τῶν χυμῶν ἰσχυρὰ τροπὴ κατὰ διαφθορὰν γινομένη, ὁμοία δη-
λητηρίῳ φαρμάκῳ ἐστί. γίνεται δέ ποτε ἐξανθήματα μεγάλα κατὰ χρόαν λευκά. κνησμὸν ὀλίγον
ἐπιφέροντα. πλεονάζοντα ἔν τε μηροῖς. καὶ γλουτοῖς. πλευραῖς τε καὶ ἐπιγαστρίοις ὡς ἐπὶ τὸ πλεῖ-
50 στον. τὴν δὲ κατ᾽ ἀρχὴν ἐκ πολλῆς καὶ ἀργῆς ὕλης λαμβάνει. ταῦτα δὲ συνθεραπεύεται τῷ παντὶ
σώματι. οὐδὲ γὰρ πάνυ τι χαλεπὴν ἀπογράφει τὴν νόσον, εἰ τῇ ὀλιγοσιτίᾳ χρήσηται. γινομένων
δὲ τῶν κατὰ ταῦτα πυρετῶν ἐγκαυστικῶν, ἐπιτηδείως ἔχουσι πρὸς τὰς ἐν ταῖς ἀκμαῖς τῶν ἐπι-
σημασιῶν ψυχροδοσίας. ἀκμάσαντος τοῦ νοσήματος. εἰ μὴ τὰ σπλάγχνα εὐπαθῆ ἔχοιεν, γίνεται
ἐξανθήματα στρογγύλα. ἀνώμαλα. ὑπόλευκα. ἢ ὑπέρυθρα, μετ᾽ ἐπαναστάσεως τῆς σαρκός. ἢ ἰόνθοις

τοῖς ἐν

τοῖς ἐν τοῖς ἐν προσώπῳ παραπλήσια καὶ σκληρά. κνυσμὸν πολὺν ἐπιποιοῦνται. ὡς γίγνεσθαι
ἀγρυπνίας αἰτία. προθυμίας αὐτοῖς παρισταμένοις ἀπαύστου, πρὸς τὸ κνᾶσθαι. παρέπεται δὲ
ταῦτα ἐκ τοῦ πλείστου, τοῖς διαλείπουσι πυρετοῖς. καὶ χαλεπὴν οὐκ ἐμφαίνει τὴν νόσον. διόπερ ἐπὶ
πρεπόντων μὲν τῶν καιρῶν, ἐμβιβαστέον εἰς ὕδωρ εὔκρατον θερμόν, χρηστέον δὲ καὶ τοῖς ἔξωθεν συγ-
χρίστοις. διὰ μυρσίνῳ ἢ ῥοδίνῳ μετὰ μυρσίνης ἢ μαλάχης. ἢ κιμωλίας φρυκτῆς. ἢ στυπτηρίας ὑγρᾶς.
ἢ κυμίνου ἀλεύρου. ἢ σήσαμον λειοτριβήσας, καταχρίε μετὰ βραχέος ὄξους. πρὸς δὲ τὰς τῶν κνη-
σμῶν ἐπιτάξεις, πυριατέον σπογγίοις μάλιστα. ἢ διὰ ποτηρίων διὰ ὕδατος ζέοντος. εἰ δὲ ἑλκωθείη, χρη-
στέον ταῖς ὑπὸ τῶν πυρικαύστων κηρωταῖς. καὶ μάλιστα τῇ διὰ κεδρίων. τὰ δὲ πάνυ ἐξέρυθρα, ἥκι-
στα. πονηρότερα δὲ τούτων, τὰ πελιδνά. καὶ μελανά. καὶ ἐξογκούμενα, ὅμοια ὄντα ταῖς δεδηγμέ-
10 ναις σαρξί. πλεονάζοντα δὲ ἐν προσώπῳ καὶ θώρακι. καὶ κοιλία. καὶ πλευραῖς. καὶ μετὰ φρενῶν,
τοῖς τοιούτοις οὐ δεῖ, κατ᾽ ἀρχὰς ἐγχειρεῖν. ἀλλ᾽ ἀναβάλλεσθαι διαφόρως. ἡ γὰρ ἀναφορὰ τῶν ἀπο-
πτωμάτων, ὑπὸ τὸ ἐγχειρήσαντα ἢ καὶ ὑποχρόμενον θεραπεύειν. μένοντα δὲ ταῦτα μέχρι τῆς ἀκμῆς.
καὶ μὴ προβαίνοντα ὑπὸ τὸ κρεῖττον, οὐ δεῖ παρορᾶν παντάπασιν, εἰ καὶ σπανίως. ἀλλ᾽ οὖν γε ποτὲ
ὠφελήσαντα. καὶ κατὰ καιρὸν ἕκαστον προσάγειν. καὶ μάλιστα προσθετικῶς θεραπεύοντα. τὰ γὰρ
ἐπινεκρώσει τῆς ἐπιφανείας ἐκ βάθους γινόμενα, τί ἂν ἕτερον σημαίνοι. ἢ τρόπον τινὰ ἐκφορούμενον
ἔνδοθεν τὸ ζῆν.

Περὶ τρόμων ἐν πυρετοῖς, ἐκ τῶν ἡροδότου. ρλ.

Γίγνονται ἐν πυρετοῖς κακοήθεσι τρόμοι. συνίστανται γὰρ ἐκ φαύλης διαίτης. καὶ ψυχρᾶς πόσεως.
καὶ ὀξυκράτου. καὶ οἴνου πλείονος. καὶ ἀφροδισίων ἀμέτρων. καὶ τῶν ὁμοίων. ἔστω τοίνυν ἐπ᾽ αὐτῶν,
ἀποχὴ τῶν βλαψάντων. προσαγωγὴ δὲ τῶν ὠφελῆσαι δυναμένων. ἀνάγκη δὲ ὡς ἐπίπαν πεπον-
20 θέναι ὑπὸ πάντων, τὸ νωτιαῖον. διὸ σκεπτέον τὴν ῥάχιν ὅλην. καὶ τὰ πεπονθότα τῶν μερῶν. ἐρίοις
βεβρεγμένοις σικυωνίῳ ἢ γλευκίνῳ μᾶλλον, ἢ κηρωτῇ ὑγροτέρᾳ. διά τινος τῶν τοιούτων σκευα-
σθείσῃ ἢ διὰ πηγανίνου ἐλαίου. ἐμβρεκτέον δὲ καὶ τὴν κεφαλήν. ἐν μὲν ταῖς πρώταις ἡμέραις,
ἐλαίῳ γλυκεῖ. εἰ δὲ μακρότερον γένοιτο τὸ νόσημα, ἀνηθίνου ἐν τοῖς διαλείμμασιν. εἶτα προσακτέον
σικύας ἀπὸ τοῦ πρώτου σπονδύλου, μέχρις ὀσφύος. προσηκατασπασομένων τῶν μερῶν μετὰ τῶν
ὑποχονδρίων. ὡ μὴ λύσῃ. σκεπέσθω δὲ καὶ ταῦτα ἐρίοις ἐκ παλαιοῦ ἐλαίου. ἢ σικυωνίου. ῥοφὰς
δὲ διδόναι ῥοφηματώδεις θερμάς. προνοητέον δὲ καὶ τοῦ, εὔλυτον ποιεῖν τὴν κοιλίαν. ἐπιμενόντων ταύ-
τῃ τῇ ἀγωγῇ, μέχρι μειώσεως τῶν πυρετῶν. ἢ τῆς λύσεως. προβεβηκότων δὲ ἤδη τῶν χρόνων εἰ ἐ-
πιμένοιεν οἱ τρόμοι, κοινῷ τρόπῳ βοηθείας τοῖς ἄλλως γιγνομένοις τρόμοις ὑπακτέον. ἐμβιβάζον-
τας παραμίαν εἰς ἔλαιον θερμόν. συγχρίοντας δὲ πρὸ τῶν ἐμβάσεων καὶ μετὰ τὰς ἐμβάσεις, σι-
30 κυωνίῳ. ἢ παλαιῷ ἐλαίῳ. ἐνίοτε δὲ καὶ καστόρειον τῷ ἀλείμματι προσπλεκτέον. ὑπομενόντων δὲ
τῶν ἀλγημάτων. καὶ ποτιστέον τὸ καστόρειον καὶ ἐπιρρίπτειν κηρωτῷ δι᾽ αὐτοῦ ἐσκευασμένῃ. καὶ τοῖς κοι-
νοῖς πρὸς τὰς παρέσεις ἀλείμμασι χρηστέον.

Περὶ σπασμῶν, ἐν πυρετοῖς ἐκ τοῦ γαληνοῦ. ρλα.

Οἱ σπασμοὶ τὰ πολλὰ γίγνονται, διά τε πλήρωσιν τῶν νευρωδῶν μορίων. ᾧ λόγῳ, καὶ τοῖς φλεγ-
μαίνουσιν ἰσχυρῶς ἕπονται. καὶ προσέτι διὰ δακνώδη χυμὸν λεπτόν. ἀναβιβρώσκονται τὰ νευρώ-
δη μόρια. καὶ διὰ ψύξιν ἰσχυράν, ὅμοιόν τι τῇ πήξει δρῶσαν. γίνεται δὲ καὶ δι᾽ ὑπερβάλλουσαν ξη-
ρότητα. ἕπεται δὲ μάλιστα καὶ ταῖς ὀλεθρίαις φρενίτισι. διά τε τὸ σφοδρὸν τοῦ πυρετοῦ. καὶ διὰ
τὰς ἐπιτεταμένας. καὶ ἀγριωτέρας κινήσεις. καὶ σωθέντα τινὰ τῶν οὕτως σπασθέντων, οὔτ᾽
αὐτὸς εἶδον. οὔτ᾽ ἄλλου λέγοντος ἤκουσα. οἱ μὲν οὖν προειρημένοι τρεῖς σπασμοί, θεραπεύονται πολ-
λάκις. ἀνίατος δὲ ὁ διὰ ξηρότητα τῶν νευρωδῶν μορίων γιγνόμενος. ἐνίοτε δὲ ἐν τῷ στόματι τῆς γα-
40 στρὸς ἀθροισθεὶς χυμὸς λεπτὸς καὶ δριμύς. καὶ μάλιστα ἰώδεις. σπασμοὺς εὐτόνους. καὶ συγκοπτικοὺς
ἐπιφέρει. ὡς νοτίδας γίγνεσθαι ψυχράς. ὑπὸ τούτων χλιαρὸν ποτίσαντες ὕδωρ, δακτύλων ἢ πτε-
ρῶν καθέσει, ἔμετον κινήσομεν. εἰ δὲ περὶ τὰ ἔντερα ἡ αἴσθησις τῆς δήξεως γένοιτο, ἐνίεμεν διὰ
κλυστῆρος πτισάνης χυλόν. διδόναι δὲ ῥοφὰς δυσφθάρτους. διὰ χόνδρον ἄλικος. μετὰ κόκκων ῥοιᾶς.
καὶ τὰ παραπλήσια, μηδενὸς δὲ τοιούτου γιγνομένου, τοὺς μὲν καθ᾽ ὅλον τὸ σῶμα γιγνομένους σπα-
σμοὺς ἐμφερῶς τοῖς τετανικοῖς θεραπεύσομεν. τοὺς δὲ κατὰ μέρος, πρῶτον μὲν διακρατεῖν τὰ
συνελκόμενα τῶν μερῶν πειθηνίως. ταῖς ἀπ᾽ αὐτῶν ὀδύναις ἀντιβαίνοντας. ἀναξιπτέον δὲ μαλα-
κῶς, ἐλαίῳ σικυωνίῳ παλαιῷ τεθερμασμένῳ. εἰ δ᾽ ἐπιμένοι, καὶ καστόρειον παραπλεκτέον. καὶ τοῖς
λοιποῖς ἀνεκτικοῖς χρηστέον συγχρίσμασι. τοὺς δὲ ὑπὸ ξηρότητι μᾶλλον σπωμένους διὰ τὴν βίαν τοῦ
πυρετοῦ. καὶ μάλιστα παραφροσύνης παρούσης, λουστέον τὴν κεφαλὴν πολλῷ θερμῷ. ὕδατι γλυ-
50 κεῖ εὐκράτῳ. καὶ τὰς χεῖρας δὲ καὶ τοὺς πόδας, καταντλητέον πολλῷ τῷ θερμῷ. ἔπειτα ἐλαίῳ
γλυκεῖ τεθερμασμένῳ τὴν κεφαλὴν ἐμβρέχοντας. καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἐπα-
λείψαντας, θάλπειν περιβολαίοις. καὶ ἡσυχίαν ἐμποιεῖν. πλήθους δὲ αἵματος ὑποκειμένου.
καὶ τὸν σπασμὸν ἐπάγοντος, φλεβοτομητέον. ἔπειτα σικυαστέον μετὰ κατασχασμοῦ. σκελῶν
μὲν συνελκομένων, τῷ ὑστάτῳ σπονδύλῳ προσβάλλειν τὴν σικύαν. χειρῶν δὲ σπωμένων, τῷ

ἑβδόμῳ σπονδύλῳ. καὶ τῷ ὑποκειμένῳ τῷ τοῦ ὤμου ἄρθρῳ, τὴν σικύαν προσβάλλειν. εἰ δὲ ὅλου
τοῦ σώματος ἀπαθοῦς ὄντος, συνέλκοιτο χεῖλος ἢ βλέφαρον χαλεπὸν ἡγητέον τὸ σύμπτωμα. τὰς δὲ
ἀφαιρέσεις ἐπὶ τούτων ἀπὸ τοῦ ἰνίου καὶ τῶν πρώτων δύο σπονδύλων ποιητέον ἐμβρέχοντας τὴν
κεφαλὴν ἀνηθίνῳ ἐλαίῳ θερμῷ. ἤδη δὲ καιροῦ φανέντος τῶν λουτρῶν, λουστέον καὶ ἐφυδροποσίας
ἔτι φυλακτέον. εἰ δὲ οἴνου δόσις χρεία γένοιτο, ὀλίγον προσοιστέον τοῦ ὑδατώδους οἴνου.

Περὶ ἡδέων καὶ χρησίμων πομάτων ἐν πυρετοῖς ἐκ τῶν φιλουμένων. ρλβ.

Δ ιπλῆ ἰσχὺς καὶ θαυμασία ἅμα βοηθήματα ὃ καὶ τῇ φύσει διὰ τὴν ἡδονὴν ὑπάρχει φίλον. δεξαμέ-
νη γὰρ ἡ γαστὴρ τὸ προσηνὲς ἐν αὐτῇ περιστελεῖσα, κρατεῖ καὶ πέττει καλῶς εἰς δύναμιν. καὶ μάλιστα
ἂν ᾖ καὶ κατὰ τὸ ποσὸν σύμμετρον, ἐγείρεται ἑαυτῆς ἡ φύσις. ἀναζωπυροῦσα καὶ τὰς ἐνεργείας
10 τε ταλαιπωρημένας πολλάκις ὑπὸ τῆς ἀγριότητος τῶν παθῶν ἀπομάχεται τῷ νοσήματι. κα-
τὰ διττὸν τρόπον. αὐτὸ δὲ κολάζουσα τὸ κακὸν ἄντικρυς τῇ τῆς ἐναντιότητος φύσει. τὰς δὲ διοικού-
σας τὸ ζῶον παραμυθουμένη τε καὶ ἐξεγείρουσα δυνάμεις. κατισχύειν τε παρεχομένη τοῦ νοσήμα-
τος. ἅπαντες μὲν οὖν ἄνθρωποι ὡς ἐπὶ τὸ πολὺ τοῖς γλυκέσι χαίρουσι ποτοῖς. καὶ μάλιστα ἂν τύχῃ
συμμιγῆ στύψει. καὶ θερμασία. καί τισιν ὁμογενέσι ποιότητος. οἷός περ ἐστὶν ὁ γλυκὺς οἶνος. καὶ τὸ οἰνό-
μελι. ἀλλὰ ταῦτα, οὐ πάνυ ῥᾴδιον παρέχειν ἐν πυρετοῖς. τὰ δ' ἄλλα τὰ λεχθησόμενα νῦν πόματα
κἂν εἰ συνεχῶς χρήζοι τῆς ἀκριβείας, ἀλλ' ἀπολιμπανομένης τε τῶν εἰρημένων.

Περὶ τοῦ διὰ τῶν κωδιῶν, γαληνοῦ. ρλγ.

Π ροχειριστέον δὲ τὸ διὰ τῶν κωδύων φάρμακον. ἄριστον μὲν ποιεῖν ἡδονῆς χάριν. ἄριστον δὲ ἐπὶ θερμῶν
καὶ μεγάλων ἰσχύι παθῶν τῶν περὶ σπλάγχνῳ συνισταμένων παθῶν, ὅλον τε καταλαμβανόν-
20 των, τὸ σῶμα ἐπὶ τῶν πυρεττόντων καὶ χολερικῶν παθῶν. ὅσοι τε παρανοίαις ἐν πυρετοῖς καὶ ἀ-
γρυπνίαις καταπονοῦνται. καὶ βηξὶ πυκναῖς διὰ λεπτὸν ῥεῦμα γινομέναις ἐκ κεφαλῆς θερμο-
τέρας εἰς τὸν θώρακα καταρρέον, ὀνίνησι μεγάλως. ἔχει δὲ ἡ σκευασία οὕτως. κωδύας μήκωνος, τὸν
τῷ ἀριθμῷ, γ´. συμμέτρους τῷ μεγέθει νεαρὰς μὲν. μήτε πάνυ μαλακάς, μήτε σκληράς, ταύτας βρέ-
χειν δεῖ ὕδατι ὀμβρίῳ, ξέστην ἕνα καὶ μάλιστα νύκτα καὶ ἡμέραν. ἔπειτα ἕψειν ἀκάπνῳ πυρί. μέχρι
δοκιμάζοντί σοι, τακεραὶ φαίνονται. εἶτα ἐκθλίψας τὸ ὑγρόν. καὶ διηθήσας ῥάκει ἀραιοτέρῳ,
μίσγε μέλιτος καλλίστου ἀπηφρισμένου τὸ μέτρον τοῦ ὕδατος, ἢ ἥμισυ μέρος. καὶ ἕψε κινῶν μέχρι συστά-
σεως ἀττικοῦ μέλιτος. καὶ διὰ γλυκέος δὲ κρητικοῦ. ἢ δι' ἑψήματος, κάλλιον αὐτὸ ἀντὶ τοῦ μέλιτος
σκευάζεσθαι. ὅταν ᾖ τὸ ῥεῦμα πάνυ τὸ λεπτόν. μίγνυμι δὲ ἐνίοτε ἑψημένῳ τούτῳ τῷ φαρμάκῳ, καὶ
γλυκυρρίζης ῥίζαν. ὡς συνεψηθῆναι ταῖς κωδύαις. εἰ δὲ μὴ παρείη αὐτή, τὸν χυλὸν αὐτῆς, ξηρὸν ἐμ-
30 βάλλειν. εἰ δὲ περιέχεται κατὰ τὸν πνεύμονα κατερρυηκὸς ὑγρὸν ἀναγωγῆς δεόμενον, βέλτιον διὰ
μέλιτος αὐτὸ σκευάζειν. ἡ δὲ σύμμετρος δόσις, ἔστω δυοῖν κοχλιαρίοιν. αὐξήσεις καὶ μειώσεις τὸ πλῆ-
θος. ἀποβλέπων εἴς τε τοῦ σώματος μέγεθος ᾧ προσφέρεις. καὶ τὴν ἡλικίαν καὶ τὴν ὥραν τοῦ ἔτους.
καὶ τὸ χωρίον. ἐν ἅπασι μὲν γὰρ τούτοις, ἐπὶ μὲν τὸ ψυχρότερον ῥέπουσι, δώσεις ἔλαχιστον. ἐπὶ δὲ
τὸ θερμότερον, πλείονα. καὶ πρὸς δὲ, καὶ τὸ τοῦ καταρροῦ ποσόν τε καὶ ποιὸν ἀποβλέπων, ἢ πλέον
ἢ ἔλαττον δώσεις. τοῦ δὲ διὰ τῶν θηβαϊκῶν κωδύων σκευαζομένου ἡ τελειοτάτη δόσις ἐστίν, Γο. α.
τοιαύτη μὲν, ἡ παρὰ γαληνοῦ γραφὴ τοῦ φαρμάκου. ἐγὼ δὲ διὰ παντὸς, τῷ διὰ γλυκέος ἐσκευα-
σμένῳ διατελῶ χρώμενος. ποτὲ μὲν μέλιτος προσπλέκων τῇ δόσει. ποτὲ δὲ ὀξυμέλιτος. ἢ ῥόδου
μέλιτος. ἢ ὀμφακομέλιτος. ἢ τινὸς ἑτέρου τῶν ἄλλων φαρμάκων ἡπατικῶν. ἢ σπληνικῶν. ἢ στομα-
χικῶν. καὶ μεταποιῶν αὐτοῦ τὴν δύναμιν πρὸς τὴν παροῦσαν ἑκάστοτε διάθεσιν. παρέχω δὲ αὐτὸ
40 οὐ μόνον τοῖς ὕπνου δεομένοις εἰς ἑσπέραν καὶ πρὸς βῆχα, ἀλλὰ καὶ μαινομένοις μετὰ τὴν φλεβοτο-
μίαν. καὶ πυρέττουσι σφοδρῶς. καὶ διακαιομένοις ἀφορήτως τὸ στόμα τῆς γαστρὸς, δι' ἐρυσιπέλατί τε
καὶ ἄλλως θερμῷ παθήματι. καὶ θώρακι καὶ πνεύμονι, ὁμοίως κάμνουσι ἥπατι καὶ ἐντέροις. καὶ
μεσαραίῳ. καὶ οὐχ ἅπαξ μόνον. ἀλλὰ καὶ δεύτερον. καὶ οὐκ ἐν ἀκμῇ μόνον τῶν πυρετῶν, ἀλλ' ἤδη
καὶ πρὸ τῆς ἀκμῆς. καὶ τῆς ἐναργοῦς πέψεως. ἐφ' ὧν ἀγρυπνία τις καὶ θερμασία δριμεῖα. ἢ μεγά-
λη καταπονεῖ τὸν ἄνθρωπον. βέλτιον δὲ ἀφ' ὧν ἔπραξα μυριάκις δηλῶσαι παρέχων τὸ διὰ τῶν κω-
δύων φάρμακον. ἐπί τε τῶν ἐπὶ σήψει πυρετῶν πρὸ τῆς ἀκμῆς τοῦ νοσήματος. καὶ τῶν ἐπ' ἐμφράξει
ἥπατος, ἢ σπληνός. ἢ πνεύμονος ἀνακοπτομένων, ὀξύμελι τὸ ἁπλοῦν μίγνυμι τῇ δόσει. κατὰ δὲ
τὰς ἀκμὰς τῶν πυρετῶν, ὀμφακόμελι ἢ ῥοδόμελι προσπλέκων. ἐπὶ μὲν τῶν ἀραιοτέρων σωμά-
των, καὶ στόμα κοιλίας ἀσθενέστερον. καὶ ἀνέρεκτον ἐχόντων, τὸ ὀμφακόμελι. τοῖς δὲ γλυκυπόταις.
50 καὶ τοῖς κατὰ κοιλίαν ἔχουσι φαρμακῶδες, τι ὑγρὸν ἢ χολῶδες, τὸ ῥοδόμελι. ταῦτα μὲν, ἐπὶ τῶν
πυρεκτικῶν παθῶν. στραγγουρίας δὲ τὰς ἐπὶ δριμύτητας τῶν οὔρων γινομένας, καταστέλλει με-
γάλως. καὶ μάλιστα ἐν βαλανείῳ. καὶ πρὸ βαλανείου μέλλουσιν εἰσιέναι διδόμενον δαψιλές. ἐφ' ὧν
καὶ τὴν δίαιταν ἁδροτέραν τε καὶ εὐχυμοτέραν εἶναι κελεύομεν. καὶ ἐπὶ νεφριτικῶν. καὶ ψοῶν
θερμοτέρων, τὸ κράτος τῆς ἰάσεως ἔχει. ἐπὶ δὲ τῶν τῷ διαβήτῃ πάθει καμνόντων. καὶ ἐπὶ χολε-
ρικῶν,

εἰκῶν, δίδου κράσας ψυχρὸν καὶ μᾶλλον ἐπὶ τῶν θερμοτέρων κράσεων. δεῖ δὲ ἐπὶ τῆς χολέ-
ρας, ῥωννύναι τὴν ἕξιν ἔξωθεν διὰ τῶν στυφόντων ἐμβρεχῶν. καὶ τῶν ὁμοίων. καὶ οὕτως δίδοναι τὸ
φάρμακον, ἤτοι ὀμφακομέλιτι θερμῷ κράσας. θώρακα δὲ πεπληρωμένον ὑγρῶν κενῶσαι βου-
λόμενος διὰ βηχὸς, ὀξύμελι τῷ ποικίλῳ προσπλέξας τῇ δόσει, δίδου θερμὸν κράσας.

Ὀμφακομέλιτος σκευασία. ρλδ.

Β ότρυας ὄμφακος προσήκει λαβεῖν, ἀρχὴν ἔχοντας τοῦ πέττεσθαι. κᾄπειτα ἐν οἰκήματι ἁπλῶσαι
τὴν κρᾶσιν συμμέτρῳ, δύο ἢ τρεῖς ἡμέρας. εἶτα μαρανθέντων αὐτῶν, ἐκθλίβειν. καὶ εἰς ἀγγεῖον ὑελ-
λοῦν δέχεσθαι τὸ ὑγρόν. μίξαντες τε καλοῦ μέλιτος ἀπηφρισμένου μέρος ἓν πρὸς τρία μέρη τοῦ
χυλοῦ, τιθέναι ἐν ἡλίῳ ἡμέρας τινὰς, μέχρι περ ἂν καταστῇ ζέον. κᾄπειτα ἐν ὑπερῴῳ οἴκῳ φυλάτ-
10 τειν ἄσηπτον τὸ πόμα. αὕτη δὲ ἡ συμμετρία ἐστί σοι κοινῶν, ἐπὶ τοῦ ἀρίστου μέλιτος, καὶ τοῦ καλλίστου
χυλοῦ τῶν ὀμφάκων. αὐξήσεις δὲ καὶ μειώσεις τὴν ποσότητα τοῦ μέλιτος, πρὸς τὴν λεπτότητα ἢ
παχύτητα τοῦ χυλοῦ. κεχρῆσθαι δὲ αὐτῷ ἐπὶ τῶν λεπτῶν καὶ χρονίων κατὰ γαστέρα ῥευμάτων,
ἐπὶ θερμαῖς διαθέσεσι γιγνομένων. καὶ τοῖς ἀνόρεκτον ἔχουσι τὸ στόμα τῆς κοιλίας διὰ θερμότη-
τα. καὶ τοῖς καθυγραινομένοις τὸν στόμαχον, μετὰ τὸ δι᾽ ἐμέτων κενῶσαι τὴν γαστέρα. καὶ ἐπὶ τῶν
κυουσῶν γυναικῶν. καὶ τῶν γῆν ἢ ἄνθρακας ἢ ἕτερα τινὸς ἀλλόκοτα ἐσθιόντων. προκαθάρας τῇ διὰ
ἀλόης πικρᾷ, δίδωμι τὸ ὀμφακόμελι. ἀγαθὸν δὲ κἀπὶ τῶν δι᾽ ὑπερβάλλουσαν κένωσιν τῆς γαστρὸς
λειποθυμούντων.

Ῥοδομέλιτος σκευασία. ρλε.

Τὸ δὲ ῥοδόμελι, τρία μὲν λαμβάνει μέρη τοῦ χυλοῦ διηθουμένου τῶν ἐξωνυχισμένων ῥόδων, καὶ μέλι-
τος μέρος ἕν. ἕψεται δὲ ἐν ἡλίῳ θερμῷ τιθέμενον, ἐπὶ πλείους ἡμέρας. τὸν αὐτὸν τρόπον τῷ ὀμ-
20 φακομέλιτι. καὶ μετὰ ταῦτα ἀποτίθεται. εἰ δὲ ταραχώδης ὁ ἀὴρ εἴη, ὅτε τὸ ῥοδόμελι σκευάζεις ἢ
ψυχρότερος, μίξας τὸ κάλλιστον μέλι τῷ χυλῷ τῶν ῥόδων. καὶ διηθήσας διὰ ῥάκκους ἀραιοῦ, ἕψε
ἐπὶ μαλακῶν ἀνθράκων ἕως τὸ τέταρτον μέρος τοῦ χυλοῦ ἀναλώσεις. ἢ τὸ τρίτον. καὶ οὕτως ἀναλα-
βὼν ὡς εἴρηται φύλαττε. καὶ ὅταν θερμότερον ἴδῃς τὸν ἀέρα, ἡλίαζε ὡς τὸ ὀμφακόμελι. στύφει μὲν
οὖν ἠρέμα. καὶ διχῶς ψύχειν δύναται. ἔχει δέ τι καὶ ῥυπτικὸν ἐκ τοῦ μέλιτος. κέκτηται δὲ καί τι
ὑπόπικρον καὶ ἠπίως δριμύ. διὸ καὶ στόματι μὲν ἁρμόδιον ἐστί. θερμήν τινα φλεγμονὴν δεδεγμέ-
νῳ. δι᾽ ἐπιρροὴν θερμοῦ ῥεύματος. κἀπὶ τῶν ἐν γαστρὶ δριμέων καὶ χολωδῶν ῥευμάτων προσμεσάν-
των δηλονότι τῶν πεπτόντων. προσάγομεν δὲ αὐτὸ καὶ τοῖς ἐγκαιομένοις τὴν γαστέρα χωρὶς περιου-
σίας. δίχα τοῦ ἐμέσαι καὶ τοῖς πυρέττουσιν. ἤδη τῆς ἀκμῆς ἐνεστηκυίας τοῦ παντὸς νοσήματος. καὶ τοῦ
μερικοῦ παροξυσμοῦ. πολλάκις γὰρ ἐν τοῖς πυρετικοῖς νοσήμασιν, ἀρκεῖ καὶ μία πόσις διὰ ψιλῆς ἐν
30 τῷ προσήκοντι καιρῷ διδομένη, λῦσαι τὸ πάθος. ἱδρώτων τε καὶ καταρρήξεσι. καὶ γαστρὸς ὑπα-
ξεσι. τῶν γὰρ ἄλλων ποτῶν μάλιστα τὸ ῥοδόμελι ἁρμοδιώτατον. οἷς ὑπελθεῖν τι τῶν δριμέων χυ-
μῶν κατὰ γαστέρα ἐθέλοις.

Ὑδροροσάτου σκευασία. ρλϛ.

Ῥόδων νεαρῶν ἐξωνυχισμένων. καὶ προμαρανθέντων ἡμέραν καὶ νύκτα μίαν, λι. α. μέλιτος ℥. α.
ὕδατος ὀμβρίου ἀποτεθέντος ἐν τῇ ἑψήσει, ℥. τρία. βαλὼν ὕδατος ὀμβρίου ℥. δ, ἕψε. μέχρι
λειφθῶσι, ℥. γ. εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, ἔμβαλλε παραχρῆμα τῷ ζέοντι ὕδατι. τὰ προμαραν-
θέντα ῥόδα. καὶ σκεπάσας ἀκριβῶς ἐπιβλήμασι πλείοσι τὸ ἀγγεῖον, φύλαττε. τῇ δὲ ἑξῆς διηθή-
σας τὸ ὕδωρ, ἀπόρριπτε τὰ ῥόδα μὴ ἐκπιέσας. ἵνα μὴ τραχὺ γένηται. κᾄπειτα ἐμβαλὼν εὐθέως τὸ
μέλι καὶ λεάνας εὖ μάλα, ἕψησον αὐτῷ τὸ ὕδωρ. καὶ ἀναλάμβανε ὀστρακίνοις ἀγγείοις μάλιστα ὀμ-
φακηροῖς. καὶ ἡλίαζε ἡμέρας ὀλίγας. καὶ φύλαττε ἐν οἴκῳ ἐν ᾧ οἶνος ἀπόκειται. ἐμψύχει δὲ τοῦ ῥο-
40 δομέλιτος, πολλῷ μᾶλλον.

Ἀπομέλιτος σκευασία. ρλζ.

Ἀπόμελι δὲ σκευάζειν χρὴ, τούτῳ τῷ τρόπῳ. κηρίδια λαβὼν πεπληρωμένα μέλιτος. λευκὰ μὲν τὴν
χρόαν. διαυγὲς δὲ παρεχόμενα τὸ μέλι, ἔκθλιβε τὸ μέλι διὰ τῶν χειρῶν. καὶ μίγνυε ὕδατι πηγαίῳ
καλλίστῳ. παχυτέρου μὲν ὄντος τοῦ μέλιτος. τέσσαρα μέτρα τοῦ ὕδατος, πρὸς ἓν τοῦ μέλιτος μιγνύ-
μεν. ὑγροτάτου δὲ ὄντος τοῦ μέλιτος. τρία μέρη τοῦ ὕδατος βάλλομεν. καὶ τοῦ μέλιτος μέρος ἕν. εἰ δὲ
ξηρότερα δόξει σοι εἶναι τὰ κηρία διαθρύψας αὐτὰ εἰς λεπτὰ μέρη, ἐπίβαλλε τῷ ὕδατι μεμετρη-
μένῳ. καὶ τρίβε ταῖς χερσὶν ἐπὶ ἱκανόν. ἔπειτα ἐκθλίψας καὶ διηθήσας. καὶ μεθήσας, γνώσῃ τὴν πο-
σότητα τῆς προσθήκης τοῦ μέλιτος. ἔπειτα βαλόντες εἰς καινὴν χύτραν. ἐν ᾗ προαπεζέσθη ὕδωρ διὰ
τὴν γεώδη ποιότητα, ἕψομεν πυρὶ ἀκάπνῳ. ἀφαιροῦντες ἑκάστοτε τὸν ἐφιστάμενον ἐν τῇ ζέσει ἀ-
φρόν. ἢ τὸ κηρῶδες. ἐπὰν δὲ μηκέτι μηδὲν ἀφροῦ. ἢ κοπρίων τινῶν ἐφίσταται. καὶ μειωθῇ ὅσον τὸ ὄγ-
50 δοον μέρος. ἢ τὸ ἕβδομον τοῦ παντὸς μέτρου, ἀφαιροῦντες τὴν χύτραν καὶ ἐάσαντες ψυγῆναι μετὰ τὴν
τελείαν ψύξιν. τῇ ἑξῆς ἀφαιροῦντες τὸ ἄνωθεν ἐπικεχυμένον, ἐμβάλλομεν εἰς ἀγγεῖα ὀστράκινα. τὰ ὀμ-
φακηρὰ καλούμενα. καὶ φυλάττομεν ἐν οἴκῳ ἐν ᾧ οἶνος ἀπόκειται. ῥυπτικῆς δὲ καὶ τμητικῆς δυνά-
μεως ὑπάρχει τὸ ἀπόμελι. καὶ κατὰ κοιλίαν ἄγει τὰ χολώδη. καὶ πρὸς οὔρησιν δὲ συντελεῖ. παρα-
σκευαστικὸν δὲ γίνεται λύσεως τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν. φύσεσι θερμαῖς

καὶ ξηραῖς. καὶ νοσήμασι θερμοῖς τοιούτοις ἐναντίον καὶ ὑποχονδρίοις φλεγμαίνουσι βλαβερόν. καὶ οὐδὲ τὴν δίψαν παύει. μήτι γε καὶ ἐπιτείνει. δοτέον δὲ αὐτὸ πρὸ τῶν ῥοφημάτων. μετὰ γὰρ τὴν τροφὴν διδόμενον βλαβερὸν γίγνεται.

Ὑδρομήλου καὶ κουσουμηλάτου σκευασία. ρλη΄.

Σκεύασαι δὲ καὶ οὕτως. μήλων χυλοῦ λί. ε΄. μέλιτος λί. ιϛ΄. ὕδατος ἀποτειπωθέντος. λί. ιη΄. Ἄλλως. μήλων τῶν γλυκυτάτων καὶ εὐωδεστάτων. καὶ ψαφαρὰν τὴν σάρκα κεκτημένων. λαβὼν περίελε τὸν φλοιὸν. καὶ τὴν ἐντεριώνην. ἔπειτα κόψας, χύλιζε. καὶ δίηθει διὰ ῥάκκους καθαροῦ καὶ πυκνοτέρου. βέλτιον δὲ τοῦ μὲν χυλοῦ, ξε. α΄. τοῦ δὲ μέλιτος, ξε. β΄. καὶ ὕδατος ὀμβρείου ἀποτειπωθέντος ἐν τῇ ἑψήσει, ξε. γ΄. προαφεψήσας οὖν τὸ ὕδωρ, ἐπίβαλε αὐτῷ τὸ μέλι. καὶ ὅταν ἀναζέσῃ ἆρας ἀπὸ τοῦ πυρὸς, ἔα ψυγῆναι ποσῶς. καὶ οὕτως ἀφελὼν τὸν ἀφρὸν ἅπαντα, ἐπίβαλε τὸν χυλὸν τῶν μήλων. καὶ ἐνώσας, ἀναλάμβανε εἰς ὀστράκινα ἀγγεῖα. καὶ χρίσας, φύλαττε ἐν οἴκῳ θερμῷ ἐν ᾧ οἶνος ἀπόκειται. καὶ χρώμεθα ἡμέρας μ΄. ὅταν δὲ μίξῃς ὅλα τῷ ὑδρομήλῳ, ῥόδων ξηρῶν ὀξωνυχισμένων, γο. α΄. ἡμέραν καὶ νύκτα ἀπόβρεξον. εἶτα διηθήσας, φύλαττε. εὔχροον γὰρ γίνεται. καὶ οὐκ ὀξίζει. τῷ αὐτῷ δὲ τρόπῳ σκεύαζε καὶ ἀπὸ κουσουμηλῶν. καὶ ἀπίων.

Κυδωνάτου σκευασία. ρλθ΄.

Σκευάζεται δὲ καὶ διὰ μήλων. καὶ κυδωνίων μεγάλων, περιαιρεθέντων τοῦ φλοιοῦ. καὶ τῆς ἐντεριώνης. ἔπειτα κοπέντων καὶ χυλισθέντων. καὶ διηθέντος τοῦ χυλοῦ διὰ ῥάκκους. βλητέον δὲ τοῦ μὲν χυλοῦ, ξε. δ΄. μέλιτος δὲ, ξε. η΄. καὶ ὕδατος ὀμβρείου ἀποτειπωθέντος ἐν τῇ ἑψήσει, ξε. ιβ΄. ἕψομεν δὲ πρῶτον βάλλοντες τοὺς λϛ΄. ξε. τοῦ ὕδατος. ὅταν δὲ ἀπολειφθῶσιν οἱ ιβ΄. ξέσται, ἐπιβάλλομεν τὸ μέλι. καὶ ὅταν ἀναζέσῃ ἀφελόντες τὴν χύτραν ἀπὸ τοῦ πυρὸς, ἐῶμεν ψυγῆναι ποσῶς. κἄπειτα ἀφελόντες τὸν ἐπιστάμενον ἀφρὸν, ἐμβάλλομεν τὸν χυλὸν τῶν κυδωνίων. καὶ ἐνώσαντες ἀναλαμβάνομεν καὶ φυλάττομεν ὡς τὸ ὑδρόμηλον. ἐνίοτε δὲ πρὸς τὸ μὴ τραπῆναι τὸ σκευαζόμενον κατὰ τὸν χειμῶνα. διὰ τὸ κρύος προαποφείσαντες τὸ μέλι καλῶς ἐμβάλλομεν αὐτῷ τὸν χυλὸν διηθέντα. καὶ χρίσαντες φυλάττομεν ὅλον τὸν χειμῶνα. μετὰ δὲ τὸ ἔαρ ἀποζιπώσαντες τὸ ὕδωρ ὡς προείρηται, μίγνυμεν αὐτῷ τὸ μέλι σὺν τῷ χυλῷ. καὶ οὕτω χρώμεθα. τὸ δ᾽ αὐτὸ ποιοῦμεν, κἀπὶ τῶν μήλων καὶ τῶν κουσουμηλάτων. καὶ τῶν ἀπίων. ὅπως δ᾽ ἂν σκευάσωμεν τὸ κυδωνάτον καὶ τὸ ὑδρόμηλον. καὶ πρὸ τοῦ χειμῶνος καὶ μετὰ τὸν χειμῶνα, ἡλιοῦμεν αὐτὸ ἡμέρας, μ΄. φυλαττόμενοι ὄμβρων καὶ ἀνέμων. καὶ οὕτως ἀποτιθέμεθα ἐν οἴκῳ. ἐν ᾧ οἶνος ἀπόκειται. βέλτιον οὖν σκευάζειν τὸ σὺν τῷ μέλιτι φυλαχθὲν ἐν τοῖς ὑπὸ κύνα καύμασι. δυνατὸν δὲ καὶ τὰ ῥόδα ὀξωνυχίσαντες καὶ μείναντες ἡμέραν μίαν, ἐμβάλλειν λίτραν μίαν τῷ ξέστῃ τοῦ μέλιτος ἀπηφρισμένου. καὶ ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἀφεψεῖν ὡς προείρηται τὸ ὕδωρ. καὶ ἐνῶσαι. καὶ οὕτως διηθεῖν καὶ ἡλιοῦν τὰς μ΄ ἡμέρας. ἁρμόδιον δέ ἐστι τὸ διὰ χυλοῦ τῶν κυδωνίων σκευαζόμενον. τοῖς στύψεως ἅμα καὶ ῥύψεως δεομένοις νοσήμασιν. ὅσα περὶ τῶν ἡλκωμένων ἐντός ἐστι μορίων στόματος καὶ στομάχου καὶ κοιλίας καὶ ἐντέρων. βοηθεῖ δὲ καὶ ταῖς κατὰ τὰς φλέβας ψωριάσεσι. καὶ νεφροῖς. καὶ κύστει ἐφ᾽ ὧν πιτυρώδεις καὶ λεπιδώδεις καὶ τειχοειδεῖς εἰσὶν αἱ ὑποστάσεις τῶν οὔρων.

Ὀξυμέλιτος σκευασία. ρμ΄.

Ὀξύμελι δὲ συντίθεται, ἔκ τε τοῦ καλλίστου μέλιτος. καὶ τοῦ διαυγεστάτου ὄξους ὡς εἶναι δύο μὲν μέρη μέλιτος. ἓν δὲ μέρος τοῦ ὄξους. αὕτη μὲν ἡ συμμετρία, πλείοσιν ἁρμόττει σώμασιν. ἡ παραλλαγὴ δὲ ἑκάστοτε τῇ φύσει τοῦ σώματος καὶ τοῦ κάμνοντος κρινέσθω. ἵνα ἔχῃ τὸ προσηνὲς καὶ φίλον τῇ φύσει. ἕψεται δὲ μέχρι συστάσεως μέλιτος. καὶ δίδοται θερμῷ κεραννύμενον. πινόμενον δὲ ῥύπτει τὰ γλίσχρα τῶν ὑγρῶν. καὶ λεπτύνει τὸ πάχος. καὶ διὰ ταῦτα ἐκφράττει τὰ σπλάγχνα πάντα. ἧπάρ τε καὶ σπλῆνα. κοιλίαν. μεσάραιον. καὶ νεφρούς. ἀγαθὸν γὰρ ἐστὶ τούτων, καὶ ἐν πυρετοῖς καὶ χωρὶς πυρετῶν διδόμενον. ὕδατος δὲ πολλοῦ τὸ σφοδρὸν τῆς δυνάμεως αὐτοῦ ἐκλύεται. βῆχα δὲ κινεῖν τὴν οὐκ οὖσαν τὸ ὀξύμελι. καὶ τὸ ἔντερον ξύειν εἴρηκεν Ἱπποκράτης τε καὶ Γαληνός. οὐκ ἐπὶ τῶν σωμάτων παχέσι καὶ κολλώδεσιν ὑγροῖς συνεχομένων. ἀλλ᾽ ἐπὶ τῶν καθαρῶν καὶ ἀπερίττων. ἢ ἐπὶ τῶν, ἐπὶ λεπτῷ καὶ δριμεῖ ῥεύματι καμνόντων. καὶ τῶν εὐαίσθητα σφόδρα τὰ νευρώδη μόρια κεκτημένων.

ΠΙΝΑΞ ΤΟΥ ΕΚΤΟΥ ΤΜΗΜΑΤΟΣ ΑΕΤΙΟΥ ΑΜΗΔΙΝΟΥ.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

Περὶ ὑδροκεφάλων Λεωνίδου. α.

Ὑδροκέφαλον πάθος προσηγόρευται, ἀπὸ τοῦ ἐν τῇ κεφαλῇ ὑδατώδους ὑγροῦ συλλεγομένου. κατὰ τὸ πλεῖστον μὲν οὖν ὑδατῶδες συλλέγεται. ἐνίοτε δὲ τρυγῶδες. ἢ δίαιμον συνίσταται. ἀεὶ δὲ ἀργὸν συνίσταται τοῦτο. ἢ ἐξ ἀδήλου. ἢ ἐκ προδήλου αἰτίας. ἐξ ἀδήλου μὲν, ἐκ τοῦ αὐτομάτου. ἀραιουμένων τῶν τοπικῶν ἀγγείων. καὶ τῆς ἐν αὐτοῖς ὑδατώδους οὐσίας τῆς συγκεκραμμένης τῷ αἵματι παρωθουμένης. καὶ εἰς ἕνα τόπον συνισταμένης. ἐκ δὲ τῆς τοιαύτης αἰτίας, ὑδατῶδες συλλέγεται ὕδωρ ὑγρόν. ἐκ προδήλου δὲ αἰτίας γίγνεται, ἐκ πληγῆς ἢ θλάσματος ῥηγνυμένων τῶν τοπικῶν ἀγγείων. καὶ τοῦ ἐν αὐτοῖς αἵματος παρεγκεχυμένου. ἔπειτα δὲ ἀραιουμένου εἰς λεπτὴν οὐσίαν τρυγώδη. ἢ δίαιμον ἀναλυομένου. συνεχέστατα δὲ γίγνεται τὸ πάθος ἐκ τοιαύτης αἰτίας ἐπὶ νηπίων. ὅταν ἡ μαῖα ἀπείρως μετιομένη σκληροτέρᾳ τῇ χειρὶ μετερχομένη. καὶ κατὰ τοῦ ἐμβρύου κεφάλαιον θλάσει τινὰ σώματα. συνίσταται δὲ τὸ ὑγρὸν ἐπὶ τῶν ὑδροκεφάλων ἢ μεταξὺ τοῦ δέρματος καὶ τοῦ περικρανίου ὑμένος, ἢ μυός που κροτάφου. ἢ ὑπὸ τὸν περικράνιον ὑμένα. μεταξὺ αὐτοῦ καὶ τῆς κεφαλῆς ὀστοῦ. ἢ ὑπὸ τὸ κρανίον μεταξὺ τῆς μήνιγγος καὶ τοῦ ὀστέου. οἱ δὲ πρὸ ἡμῶν φασὶ καὶ τῆς μήνιγγος. καὶ αὐτοῦ τοῦ ἐγκεφάλου συνίστασθαι ὅπερ ἐστὶν ὀλέθριον. ἀργοῦ μὲν οὖν ὑγροῦ συλλεγομένου κατὰ τὸ δέρμα, ἔξωθεν τοῦ περικρανίου ὑμένος. ἢ μεταξὺ τοῦ περικρανίου καὶ τοῦ ὀστέου. ὄγκος συνεδρεύει κατά τι μέρος τῆς κεφαλῆς. καθ' ὃν ἡ γεγονυῖα συλλογή. ὁμόχρους. ἀναλγής. εὐαφής. εἴκοντος καὶ μεθισταμένου κατὰ τὴν τῶν δακτύλων ἐπαφήν. καὶ εἰ μὲν αὐτόματος γένηται ἐξ ἀρχῆς, ἀνώδυνος καὶ ὁμόχρους ἔσται ὁ τόπος. εἰ δὲ ἐκ πληγῆς. ἢ θλάσματος, κατ' ἀρχὰς μὲν, ἐνερευθὴς καὶ ἐπώδυνος γίνεται ὁ ὄγκος. ὕστερον δὲ ἀραιουμένου τοῦ ὑγροῦ καὶ μεταβαλλομένου εἰς λεπτὴν οὐσίαν, τότε ὁ ὄγκος ὁμόχρους καὶ ἀνώδυνος. τῆς δὲ συλλογῆς ὑπὸ τὸ κρανίον γεγενημένης, μεταξὺ τοῦ ὀστέου καὶ τῆς μήνιγγος, κατ' ἀρχὰς ὀλίγου ὄντος τοῦ ὑγροῦ, ἡ κεφαλὴ βαρύνεται. καὶ σκοτισμοὶ γίγνονται συνεχεῖς. καὶ αἰσθήσεις ἀμβλύνονται. λέγω δὴ, ὅρασις. ἀκοή. καὶ αἱ λοιπαί. ὅταν δὲ πλεονάσῃ τὸ ὑγρὸν, αἱ ῥαφαὶ τῆς κεφαλῆς διὰ τὸ πλῆθος διΐστανται ἀπ' ἀλλήλων. καὶ διὰ τοῦτο ἡ κεφαλὴ μεγάλη γίγνεται. καὶ πρόδηλος γίγνεται ὁ τόπος τῆς συλλογῆς. τῷ τῇ δακτυλίῳ ἥκει τὸ ὑγρόν. κοινῶς μὲν οὖν τῆς ὑπὸ τὸ δέρμα συλλογῆς. καὶ τῆς μεταξὺ τοῦ περικρανίου ὑμένος. καὶ τοῦ ὀστέου, ταῖς αὐταῖς ἐπιβολαῖς χρώμεθα. πρὸς τὴν τοῦ ὑγροῦ ἔκκρισιν. καὶ μικροῦ μὲν τοῦ ὄγκου ὄντος, διαίρεσις μικρὰ μία κατὰ τὸ τοῦ ὄγκου κορυφῆς δίδοται. μείζονος δὲ, τοῦ ὄγκου γεγονότος, δύο ἢ τρεῖς. ἢ πλείους διαιρέσεις δίδονται, κατ' ἀναλογίαν τοῦ μεγέθους ἐν τοῖς καθυπόρρυσιν τόποις. οὐ δεῖ δὲ ὡς ἐπὶ ἀποστημάτων μετὰ τὴν χειρουργίαν, λιμνίσκους διεκβάλλειν. ἀλλ' αὐτὰς μόνας τὰς διαιρέσεις τοῖς μοτοῖς διαστέλλειν. μετὰ γὰρ τὴν τοῦ ὑγροῦ ἔκκρισιν, ῥᾳδίως ἐπὶ τούτων παρακολλᾶται τὰ σώματα. διὸ ἀρκούμεθα ἐπ' αὐτῇ τῇ διαμοτώσει. μετὰ δὲ τὴν διαμότωσιν, ἐὰν μὲν ᾖ νήπιον τὸ κεχειρισμένον, διὰ τὸ βάρος τὴν ἐπίδεσιν παραιτούμεθα. ὠοβρεχὲς δὲ ἔριον ἐπιτιθέσθω καὶ πιλαρίῳ σκεπέσθω τὸ κεφάλαιον. ἐπὶ δὲ τῶν ἰσχυροτέρων, μοτὸν ἔξωθεν φυλάκιον ἐπιτιθέσθω. καὶ ἐπίδεσις ἐκκεινέσθω. δυνατὸν δὲ ἀπὸ τῆς τρίτης συνάγειν τῇ παρακολλήσει διά τινος τῶν κολλητικῶν ἐμπλάστρων. τῆς δὲ συλλογῆς ὑπὸ τὸν κροταφίτην μὲν γιγνομένης. ἵνα μὴ τμηθῇ ὁ μῦς, ἐκδέξασθαι χρὴ ἕως πλεονάσει τὸ ὑγρόν. ἔπειτα ἐκ πλαγίων τοῦ μυὸς, δοῦναι τὴν διαίρεσιν. ἐὰν συνέχηται τὸ ὑγρὸν ἐν τῷ βάθει ὑπὸ τὸν μῦν, δύο διαιρέσεις διδόσθωσαν ἐκ τῶν δύο πλαγίων τοῦ μυὸς, ἑκατέρωθεν αὐτοῦ. ἔπειτα ὑποδέρειν τὰ σώματα διὰ τοῦ λαβιδίου τοῦ σμιλαρίου ἀσφαλῶς. μετὰ δὲ τὴν τοῦ παντὸς ὑγροῦ ἔκκρισιν, θεραπεύειν

θεραπεύειν

πτύειν, καθὼς προδεδήλωται. καὶ ἔπειτα ἐπὶ τὸ κρανίον ἀναμένειν δεῖ. καὶ ὅταν πλεονάσῃ τὸ ὑγρὸν καὶ διαστῶσιν αἱ ῥαφαί. καὶ φανερὸν γένηται τὸ ὑγρόν, διαιρεῖν τὸν κορυφούμενον τόπον. καὶ τὰ ἀκόλουθα ποιεῖν, ὡς ἐπὶ τῶν διεστάμενων ῥαφῶν τῆς κεφαλῆς.

Περὶ φρενίτιδος ἐκ τῶν Ποσειδωνίου. β.

Ἡ φρενῖτις, φλεγμονή ἐστι τῶν περὶ τὴν κεφαλὴν μηνίγγων μετὰ πυρετοῦ ὀξέος. παρακοπὴν καὶ παραφορὰν τῆς διανοίας ἐπιφέρουσα. σπανίως δὲ ἡ φρενίτης, ἐξ ἀρχῆς συνεισβάλλει τῷ πυρετῷ. τοῖς δὲ πλείστοις, ἀπὸ τῆς δ΄ ἄρχεται καὶ ε΄ καὶ ϛ΄. καὶ ἔτι ὀψιαίτερον αὐτῷ σχεδὸν τῷ κινδύνῳ συνάπτουσα. ὥστε ἤδη οἱ μὲν, ἑβδομαῖοι. οἱ δὲ, ἐνναταῖοι ἤρξαντο παραφέρειν. διαφοραὶ δὲ τῆς φρενίτιδος πλείους μὲν, αἱ δὲ κυριώταται τρεῖς. ἢ γὰρ τὸ φανταστικὸν μόνον εἰσὶ βεβλαμμένοι. σώζεται δὲ αὐτοῖς τὸ λογιστικὸν, καὶ ἡ μνήμη, ἢ τὸ λογιστικὸν μόνον ἠδίκηται, σώζεται δὲ τὸ φανταστικὸν καὶ ἡ μνήμη. ἢ καὶ τοῦ φανταστικοῦ ἐστι μὴ βλάβη, σώζεται δὲ ἡ μνήμη. μνήμης δὲ ἀπολλομένης ἐπὶ τῶν πυρετικῶν νοσημάτων, συναπόλλυται ὡς ἐπίπαν καὶ τὸ λογιστικὸν καὶ τὸ φανταστικόν. τοῦ μὲν οὖν προσθίου μέρους τοῦ ἐγκεφάλου βλαβέντος, τὸ φανταστικὸν μόνον ἠδίκηται. τῆς δὲ μέσης κοιλίας τοῦ ἐγκεφάλου βλαβείσης παραφροσύνη γίνεται τοῦ λογιστικοῦ. τοῦ δὲ κατὰ τὸ ἰνίον ὀπισθίου ἐγκεφάλου βλαβέντος, ἀπόλλυται τὸ μνημονευτικόν. σὺν αὐτῷ δὲ ὡς ἐπίπαν καὶ τὰ ἕτερα δύο. ὅσοις μὲν οὖν βέβλαπται τὸ φανταστικὸν, κρίνουσι μὲν οὖν ὀρθῶς. φαντάζονται δὲ ἀλλόκοτα. ὅσοις δὲ ἠδίκηται τὸ λογιστικὸν μόνον, φαντάζονται μὲν, ὀρθῶς. κρίνουσι δὲ, οὐκ ὀρθῶς. ὅσοις δὲ τὸ μνημονευτικὸν ἠδίκηται, οὐδενὸς τῶν πρόσθεν γεγενημένων μνημονεύουσιν ὀρθῶς. ἀλλ᾽ οὐδὲ φαντάζονται. οὐδὲ κρίνουσιν ὀρθῶς ὡς ἐπίπαν. προσήκει τοίνυν τῷ μᾶλλον ἠδικημένῳ μέρει, τὰ βοηθήματα προσάγειν. μὴ μέντοι μηδὲ τῶν ἄλλων ἀμελεῖν. περὶ μὲν οὖν τῆς ἀπολλομένης, κατ᾽ ἰδίαν μετὰ βραχὺ εἰρήσεται. νυνὶ δὲ ὅπως χρὴ τῶν φρενιτικῶν ἐπιμελεῖσθαι, ῥητέον. κατακεκλίσθαι τοίνυν προσήκει τὸν νοσοῦντα ἐν οἴκῳ χειμῶνος μὲν, ἀλεεινῷ. θέρους δὲ, ψυχροτέρῳ. ἡσυχίαν δὲ ἄγειν κελεύειν καὶ τὸν νοσοῦντα μὲν αὐτὸν, καὶ τοὺς ἐπὶ τῆς οἰκίας ἅπαντας. καὶ τοὺς πλησίον. καὶ τοὺς μὲν πρὸς τὸ φῶς ἀγριαινομένους, ἐν σκοτεινοτέρῳ οἴκῳ κατακλίνειν. τοὺς δὲ πρὸς τὴν αὐγὴν μᾶλλον σωφρονοῦντας, ἐν τῷ φωτεινῷ οἴκῳ διάγειν. εἰ μὲν οὖν ἡ φρενῖτις σὺν τῷ πυρετῷ ἐξ ἀρχῆς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἢ δευτέρᾳ. μέχρι τῆς τετάρτης εἰσβάλλει. καὶ μὴ ἐκ μεταπτώσεως ἑτέρου νοσήματος ἐπεγένετο, οὔρων τε ὑφαίμων ὄντων. καὶ τοῦ προσώπου ἐρυθροῦ. καὶ ἡλικίας ἀκμαζούσης. καὶ εὐεξίας τοῦ σώματος παρούσης. καὶ πάντων ἅμα τῶν σημείων ὑπαγορευόντων αἵματος πλῆθος, φλεβοτομητέον ἀπ᾽ ἀγκῶνος. τέμνειν δὲ τὴν μέσην φλέβα. καὶ κενοῦν πρὸς δύναμιν. καὶ μὴ μέχρι λειποθυμίας. ἔλαττον δὲ μᾶλλον τοῦ δέοντος ἀφαιρούμενον, διὰ τὴν ἐκ τῆς σφοδρᾶς κινήσεως γιγνομένην ἔσω αὐτῶν πλείστην διαφόρησιν. καὶ τὸν κόπον. καὶ διαίρεσις δὲ σύμμετρος ἔστω. μή πως λάθρα ὁ κάμνων λύσας τὸν δεσμὸν τοῦ βραχίονος. κίνδυνος γὰρ ὁ ἐκ τῆς αἱμορραγίας παρέπεται. παραλειφθέντος δὲ διά τινα αἰτίαν τοῦ τῆς φλεβοτομίας βοηθήματος, κλυστῆρσι χρὴ κενοῦν τὴν γαστέρα διὰ χυλῶν πιτύρων. ἢ πτισάνης ἀφρονίτρου βραχέος. καὶ μέλιτος ὀλίγου. τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μᾶλλον χλιαρῷ. φλεγμαινούσης γὰρ τῆς μήνιγγος, οὐκ ἀβλαβὲς τὸ ψυχρόν. οὐδὲ μὴν τὸ πάνυ θερμόν. τὸ μὲν γὰρ ψυχρὸν, πυκνοῖ τοὺς πόρους. καὶ οὐ συγχωρεῖ διαφορεῖσθαι τὰ ἐν τῇ κεφαλῇ περιττώματα. τὸ δὲ πάνυ θερμὸν, διπλασιάζει τὴν πύρωσιν. ὥστε θέρους μὲν, ἄκρως χλιαρὸν τὸ ῥόδινον προσφέρειν μετὰ βραχέος ὄξους. χειμῶνος δὲ, μετρίως θερμόν. εὔθετον δὲ καὶ τὸ χαμαιμήλινον αὐτῷ μιγνύμενον ἐξ ἴσου. ψυχροτέρου ὄντος τοῦ περιέχοντος. εἰ δὲ σφοδροτέρα εἴη ἡ παραφροσύνη, προκενώσας ὡς εἴρηται τῇ φλεβοτομίᾳ ἢ κλυστῆρσι. καὶ ἀφεψήσας, ἐλαίῳ κωδύας, καταιόνα τὴν κεφαλήν. καὶ τὸ πρόσωπον συνεχῶς δίδου προσκλύζεσθαι. ὕδατι ἐν ἀφεψημένων αὐτῷ κωδιῶν. καὶ τὸ μέτωπον χρῖε ὑπνωτικῷ τινὶ τροχίσκῳ. καὶ ὀσφραίνειν δὲ συνεχῶς, ὑπνοποιοῖς τοῖς προγεγραμμένοις ἐν τῷ πρὸ τούτου λόγῳ πρὸς τοὺς ἀγρυπνοῦντας. καὶ ὑπὸ τὸ προσκεφάλαιον κωδύας ὑποτιθέναι. ἢ μανδραγόρου μῆλα. ἐπιταθέντων δὲ τῶν κακῶν, διδόναι καὶ τοῦ διὰ κωδυῶν, ὑπνωτικοῦ φαρμάκου, ὅσον κοχλιάριον. ἢ πλέον. ἢ ἔλαττον πρὸς δύναμιν. δοτέον δὲ τοῦ διὰ μέλιτος ἐσκευασμένου, οὐ τὸ διὰ τοῦ γλυκέος διὰ τὸ οἰνῶδες. ἐν παρακμῇ δὲ τοῦ παροξυσμοῦ, δίδου τὸ φάρμακον. ἐν γὰρ τῇ ἀκμῇ εἰ δοθείη, τὸ μὲν φάρμακον, ἕλκει πρὸς ὕπνον. ὁ δὲ πυρετὸς διανίστησι. καὶ μεριζόμενος εἰς ἄμφω ὁ κάμνων, χαλεπώτερον φέρει τὸ γιγνόμενον. δοὺς δὲ τὸ φάρμακον, ἡσυχίαν ἄγειν κέλευε. βέλτιον δὲ καὶ τοῦ ῥοδομέλιτος προσπλέκειν, τῷ διὰ τῶν κωδυῶν. κατακεραστικὸν γὰρ τῆς δριμύτητος ὑπάρχει, καὶ τῆς κοιλίας ὑπαγωγόν. διὸ καὶ τῷ πινομένῳ ὕδατι ἐν τῇ τοῦ παροξυσμοῦ ἀκμῇ, καλὸν ἐπιρραίνειν τὸ ῥοδόμελι. φυλάττεσθαι δὲ τὴν συνεχῆ χρῆσιν τῶν ναρκωτικῶν φαρμάκων. πομάτων τε καὶ καταντλημάτων καὶ ἐπιχρίστων. ῥαδίως γὰρ ἐπὶ τῶν ἀμέτρως ψυχομένων μετάπτωσις γίνεται ἀπὸ φρενίτιδος εἰς λήθαργον. ὅτε καὶ ὀλέθριον γίνεται τὸ νόσημα. ὅθεν ὅταν ἡ παραφορὰ ἐμβραδύνῃ, ἕρπυλλον ἢ σφονδύλιον ἐναφεψεῖν ἐλαίῳ. διαπνευστικὰ γὰρ τῶν παχέων ἀτμῶν τυγχάνει. μένοντος δὲ τοῦ προσώπου καὶ μετὰ τὴν φλεβοτομίαν ἀσυμπτώτου καὶ ἐρυθροῦ. σικύας κολλήσας τῷ ἰνίῳ χάραττε ἀμυχαῖς μετρίως τὸ δέρμα. καὶ κένωσον ὅσον λίτραν μίαν τοῦ αἵματος. ῥοφῆς δὲ δοτέον, πτισάνης χυλόν. ἢ ἄλικος. ἢ ψίχας πλειστάκις πλυθείσας μετὰ ῥοδομέλιτος. πραϋνθέντος δὲ τοῦ πυρετοῦ,

διδόναι ὠὰ ῥοφητά, καὶ θριδακίνας ἀπεξεσμένας. καὶ ὅσα ὑγραίνει καὶ ψύχει μετρίως, μετὰ τοῦ τρέφειν διὰ τὴν ἀσθενήσασαν δύναμιν.

Περὶ ληθάργου, ἀρχιγένους καὶ ποσειδωνίου. γ.

Ληθάργου αἰτίαι δύο. οἷς μὲν γὰρ τὰ περὶ τὰς φρένας καὶ τὰ σπλάγχνα πρωτοπαθήσαντα εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον. οἷς δὲ τὰ περὶ τὸν ἐγκέφαλον κατάρχει. καὶ οἷς μὲν εὐθέως ἐξ ἀρχῆς τὸ πάθος ἐπιπίπτει. οἷς δὲ ἐκ μεταπτώσεώς τινος τῶν ὀξέων νοσημάτων. μάλιστα μὲν γὰρ ἀπὸ φρενίτιδος, τοῖς σφοδρότερον διὰ τῶν ναρκωτικῶν φαρμάκων ψυχθεῖσιν, ἡ μετάπτωσις εἰς τὸν λήθαργον γίνεται. ἤδη δὲ πλειστάκις καὶ ἀπὸ τοῦ συνόχου πυρετοῦ ἡ μετάπτωσις εἰς τὸν λήθαργον γίνεται. καὶ ἐξ ἑτέρων δὲ πλείστων νοσημάτων. ἐφ᾽ ὧν μάλιστα κενώσεις πλείους παρηκολούθησαν. ἐνίοτε δὲ καὶ ἐπὶ τῶν χρονίων πυρετῶν συμβαίνει κατὰ περίοδον βαπτίζεσθαι αὐτοὺς τῷ ὕπνῳ. διὸ πολλάκις γίνεται ἐπὶ ἀμφημερινῶν πυρετῶν καὶ ἡμιτριταίων. ἔστι δὲ ὅτε καὶ ἐπὶ τεταρταίων. καὶ οἱ μὲν, μετὰ σπασμοῦ καὶ συνολκῆς τῶν νεύρων καταφέρονται. οἱ δὲ, ἐκ προσαγωγῆς. καὶ οἱ μὲν, ἕνα τὸν βαπτισμὸν ὑπομένουσιν. ἐφ᾽ ᾧ τὰ ἔσχατα κινδυνεύουσιν. οἱ δὲ, ἐν ταῖς περιόδοις καταφέρονται. καὶ πάλιν ἀνακαλοῦνται. σκοπεῖν μὲν οὖν χρὴ τὸ εἶδος τῆς καταφορᾶς. οἱ μὲν γὰρ κατὰ περίοδον ὕπνῳ βαπτιζόμενοι, σαφέστερον τὸν σφυγμὸν ἔχουσιν. οἱ δὲ ἀεὶ τὸ πάθος ἔχοντες, σμικρότατον καὶ δυσκίνητον. οὗτοι δὲ, καὶ διεγειρόμενοι, ἀλλόκοτα φθέγγονται. καὶ ἐπιλήσμονές εἰσιν. οἱ δὲ κατὰ περίοδον, οὐδὲν τοιοῦτον ὑπομένουσι καὶ οἱ μὲν, μετὰ βαρείας καὶ ἐπηρμένης ἀναπνοῆς καταφέρονται. ὥστε καὶ ῥέγχειν. καὶ νυγμοὺς καὶ στεναγμοὺς ἀναφέρειν ἐμφαντικοὺς τῆς ὀδύνης. ἣν οὐδὲ ἐξειπεῖν δύνανται ἀνακλιθέντες, διὰ τὸ βεβλάφθαι τὸν λογισμόν. οἱ δὲ, ἡσυχέστατα δοκοῦσιν ὑπνοῦν. καὶ οἷς μὲν περιέψυκται τὰ κῶλα καὶ ῥυσά. καὶ ὠχρὰ ἐστί. καὶ πέπηγε σχεδὸν ἡ σύγκρισις. οἷς δὲ διακέχυται καὶ διὸ δροσίζει περὶ τὰς παρακμὰς τῶν παροξυσμῶν. τοῖς μὲν οὖν κατεχομένοις τῷ πάθει, ταῦτα συνεδρεύει. ἀνέσπασται τὸ ὑποχόνδριον. καὶ συνῆκται ἡ κοιλία. καὶ διεγειρόμενοι βίᾳ ὑπὸ τῶν προσεδρευόντων, πάλιν εἰς ὕπνον ἕλκονται. καὶ λήθη αὐτοῖς ἐπιγίγνεται. καὶ γὰρ πρὸς οὔρησιν πολλάκις ἐπειγόμενοι, ἐπιδοθέντος αὐτοῖς οὐρηροῦ σκεύους. κατέχοντες αὐτὸ τῇ χειρὶ ἐπιλανθάνονται. ἐπιτεινομένου δὲ τοῦ κακοῦ, σύμπαν τὸ σῶμα νωθρόν. καὶ διὸ νεκρῶδες γίνεται. ὕπτιοι κατακείμενοι ἐπὶ πόδας καταρρέουσι. διερριμμένοι τὰς χεῖρας καὶ τὰ σκέλη. μυκτὴρ ἐνίοις ἀποστάζει. κέχηνεν αὐτοῖς τὸ στόμα. καὶ ῥοχμὸς ἰσχυρότερος ἐπιγίνεται ἡ κάτω γένυς. διὸ παρειμένη καὶ κεχαλασμένη ὁρᾶται. τὰ μὲν οὖν συνεδρεύοντα τῷ ληθαργικῷ πάθει, ταῦτα. θεραπεύοντες δὲ, κατακλίνομεν αὐτοὺς ἐν οἴκῳ φωτεινῷ πρὸς αὐγήν. ἔστω δὲ ὁ οἶκος ἀλεεινός. ψηλαφητέον δὲ πόδας καὶ χεῖρας. καὶ ὀσφραντὰ δὲ διεγερτικὰ προσάγειν. διὸ ἐστὶ τὸ καστόρειον. ἐλλύχνιον ἐσβεσμένον. πίσσα ὑγρά. ἄσφαλτος χαλβάνη. καὶ ὑποθυμιώμενα δὲ, διεγείρει τοὺς ληθαργικούς. λίθος γαγάτης. ἄσφαλτος. καστόρειον. πευκέδανον. θεῖον. χαλβάνη. σαγαπηνόν. κέρας ἐλάφειον. τράγου ῥύπος. ἀβρότονον. σίλφιον. προσάγειν δὲ ταῖς ῥισὶ καὶ τὰ πταρμικά. πλήθους δὲ ὑποκειμένου. εἰ μὲν αἷμα εἴη τὸ πλεονάζον, τέμνειν φλέβα τῇ δευτέρᾳ τῶν ἡμερῶν. καὶ κενοῦν πρὸς δύναμιν. εἰ δὲ φλεγματώδης καὶ ἀργοτέρα ἡ ὕλη εἴη ὥσπερ καὶ εἴωθεν ἐπὶ τῶν ληθαργικῶν πλεονεκτεῖν, προσφέρειν δεῖ τὰ λεπτύνοντα. καὶ τέμνειν δυνάμενα τὸ πάχος. ἐπὶ μὲν τῶν μὴ κεκακωμένων τὸ νευρῶδες, ὀξύμελι διδόντας. ἐπὶ δὲ τῶν κεκακωμένων, ἀφέψημα σελίνου. μαράθου. ἀδιάντου. καὶ τῶν ὁμοίων. καὶ κλύζειν δὲ τὴν κοιλίαν δραστικωτέρῳ κλύσματι. καὶ βαλανείοις χρῆσθαι τοῖς διὰ πηγάνου. καὶ νίτρου. καὶ κυμίνου. καὶ μέλιτος ἑφθοῦ. ἐμβρέχειν δὲ τὴν κεφαλήν. κατ᾽ ἀρχὰς μὲν, ἕρπυλλον ἐναφεψοῦντες σὺν ὄξει καὶ ἐλαίῳ. ἐν δὲ ταῖς ἐπιτεταμέναις κατοχαῖς, πευκεδάνου ῥίζαν ἀντὶ τοῦ ἑρπύλλου ἐναφέψει σὺν τῷ ὄξει. καὶ σὺν τῷ ἐλαίῳ προσάγειν τῇ κεφαλῇ. ἀγαθὸν δὲ ἐπ᾽ αὐτῷ, καὶ τὸ ἴρινον ἔλαιον. σπασμῶν δὲ καὶ συνολκῶν ἐπιγιγνομένων, καστόρειον σὺν ὀλίγῳ ὄξει λεαίνοντες, σὺν τῷ ἐλαίῳ τὴν κεφαλὴν ἐμβρέχομεν. εἰ δὲ φλεγμαίνοι τὰ ὑποχόνδρια, καταπλάσσειν ἐν ἀρχαῖς διὰ γύρεως. ἢ ἄρτου. καὶ κυδωνίου μήλου ἑφθοῦ. ἢ ἑλίκων ἀμπέλων. προελθόντων δὲ, λινόσπερμον τῇ γύρει ἢ τῷ ἄρτῳ προσπλεκτέον. καὶ ἀψινθίας. καὶ τῆς ἀλθαίας τὰ φύλλα κατέφθα. ὕστερον δὲ διὰ κριθῆς ἀλεύρου. καὶ τήλεως. καὶ ἀλθαίας ῥίζης. πᾶσι δὲ ἀψίνθιον προσπλέκειν. ἔστω δὲ πλατὺ τὸ ῥάκος. ὥστε περιλαμβάνειν ἑκατέρωθεν τὰς πλευράς. καὶ τοῦ θώρακος, τὰ ὑπὸ τοὺς μασθούς. μετὰ δὲ τὸ κατάπλασμα, οὐ χρὴ γυμνὰ τὰ μέλη καταλιμπάνεσθαι. ἀλλὰ κηρωτῇ ναρδίνῃ. ἢ κυπρίνῃ σκέπειν αὐτά. ὄπισθεν δὲ κατὰ τοῦ μεταφρένου κηρωτὴν διὰ σικυωνίου γεγενημένην, ἐπιθεῖναι. ἔχουσαν τερεβινθίνην. καὶ σταφίδων λείων ἐμπεπλασμένων. καὶ εἰ μὲν ἐμπνευμάτωσις συνεδρεύοι, προσπλέκειν τοῖς καταπλάσμασι τὰ ἄφυσα. δηλαδή, κύμινον. σταφίδας. πήγανον. καὶ τὰ ὅμοια. εἰ δὲ σκιρρῶδές τι ὑπάρχει, καὶ λιβανωτίδος προσπλέκειν. καὶ κυάμινον ἄλευρον. ἐπὶ δὲ τῶν ἤδη χρονιζόντων ληθαργικῶν δυνάμεως ὑποκειμένης, διδόναι τὴν διὰ κολοκυνθίδος ἱεράν. καὶ πταρμικὰ προσάγειν ταῖς ῥισὶ δι᾽ ἐλλεβόρου λευκοῦ καὶ στρουθίου. καὶ πεπέρεως. καὶ καστορίου. καὶ ταῖς ῥισὶν ἐγχέειν ἐλατήριον μετὰ γάλακτος. ἢ κυκλαμίνου χυλόν. ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσᾶν. καὶ διαχρίειν τὸ στόμα. καὶ τὸν οὐρανίσκον σίνηπι μετὰ μέλιτος. ἔπειτα σικυαστέον τὰ ὀπίσθια τῆς κεφαλῆς, μετὰ φλογὸς πλείονος. καὶ τὰ περὶ τὸν πρῶτον

καὶ δεύτερον

καὶ δεύτερον σπόνδυλον. καὶ ἀφαιρεῖν αἷμα ἐκ τοῦ ὀπισθίου τῆς κεφαλῆς. εἶτα ξυρήσαντες τὰς τρίχας τῆς κεφαλῆς, σιναπίζειν ἰσχάσι μετὰ τοῦ νάπυος ὄξει βεβρεγμένου. ἐπὶ δὲ τῶν ζομωδῶν, καὶ καστόρειον συνεχῶς ποτίζειν, παρακμάσαντος δὲ τοῦ πάθους, ἐπὶ λουτρὸν ἄγειν. σμήγματι ῥυπτικωτέρῳ χρωμένοις. οἷόν ἐστι ζύγη κεκαυμένη. νάπυ. πύρεθρον. πέπερι. δαφνίδες. ἄσβεστος. νίτρου δὲ τὸ διπλοῦν ἐμβαλλέσθω. τροφαὶ δὲ ἔστωσαν λεπτομερεῖς καὶ τμητικαί. καὶ ξηραντικαί. καὶ δι᾽ ἀρτυμάτων. σελίνου. καὶ ἀνίσου. καὶ κυμίνου. πεπέρεώς τε καὶ δαφνίδων. καὶ πτηνῶν μὲν ὄρνις κατοικίδιος. περιστερά. καὶ τῶν στρουθῶν οἱ ὄρειοι. καὶ πέρδιξ. ἰχθύων οἱ πετραῖοι. λαχάνων, πράσα. ἀσπάραγος. πετροσέλινα. καὶ χαμαιδάφναι. οἶνος ὁ ὑδατώδης. λεπτὸς καὶ λευκὸς ὑποστύφων. καὶ οἱ λοιποὶ δὲ ἐπιμέλεια, ὁμοίως γινέσθω.

Περὶ κατοχῆς καὶ καταλήψεως. δ.

Μέσον τῆς φρενίτιδος, καὶ ληθάργου πάθος εὑρήσεις. ὅ ἐστιν εἶδος παρανοίας. ἢ παρακοπῆς. καλεῖν δὲ τοῦτο εἰώθασιν οἱ ἰατροὶ κατοχὴν καὶ κατάληψιν. ἐπὶ χυμῷ συμβαίνοντι μᾶλλον μελαγχολικῷ. ἐπισφαλέστερον δὲ τοῦτο τὸ πάθος ἐστὶ ληθάργου. ἐπὶ πυρετοῖς δὲ συνίσταται παρομοίοις ληθάργῳ. καὶ ὅτε μὲν δοκοῦσιν ὑπνώττειν. ὅτε δὲ ἀνεῳγότα ἔχουσι τὰ βλέφαρα. ἢ σκαρδαμύττουσιν. ἢ ἀτενὲς ὁρῶσι. καὶ ὡς πεπηγότας ἔχουσι βλέφαρα ἢ τοὺς ὀφθαλμούς. καὶ ἀκινήτους. ὡς ἐνίοτε, οὐδ᾽ εἰ τὴν χεῖρα τις φέροι κατὰ τοὺς αὐτῶν ὀφθαλμούς, μύουσιν. ἄφωνοί τε εἰσὶ καὶ ἀναίσθητοι. μὴ δ᾽ ἀκούοντες. μὴ δ᾽ ἀποκρινόμενοι. φέρουσι δὲ τὰς χεῖρας αὐτῶν ἐνίοτε περὶ κεφαλὴν. καὶ ὀφθαλμοὺς καὶ ῥῖνας, ὡς κινούμενοι οὐ μετ᾽ αἰσθήσεως. σφυγμοὶ μικροί. νωθροί. ὀλίγου δεῖν ἐκλείποντες. πνεῦμα, ποτὲ μὲν πυκνόν. ποτὲ δὲ ἀραιόν. καὶ ἐκ διαστημάτων τινῶν, ἀναπνέουσι μέγα. κοιλίας. καὶ οὔρων ἐποχή. οὐχ ὑπὸ ξηρότητος. ἔχει γὰρ ὑγρὸν καὶ πολύ. ἀλλὰ διὰ τὴν ἀναισθησίαν. λῆμαι τούτοις ὑπόξηροι τοῖς κανθοῖς προσπεπήγασιν. ἐνίοτε δὲ καὶ προσάπτονται τῶν πλησίων τοίχων. καὶ ἁπλῶς εἰπεῖν, οὔτε φρενιτικοῖς τὸ πᾶν ἐοίκασιν, οὔτε ληθαργικοῖς. ἐνίοτε δὲ γίνεται τὸ πάθος, καὶ διὰ πλῆθος αἵματος ἀθρόον ἐπὶ τὴν κεφαλὴν τῷ πλήθει λαμβάνοντες. καὶ ὑπερπληροῦντος αὐτήν. ὥσπερ ἐθεασάμεθα ἐπί τινος νεανίσκου πολυαίμου. διατελέσας γὰρ οὕτω τρεῖς ἡμέρας, μήτε μύων τὰ βλέφαρα. μήτε πρὸς τὰς σφοδρὰς ἐκβοήσεις μετακινῶν τοὺς ὀφθαλμούς. μήτε μὴν ἀποκρινόμενος. τῇ δὲ τετάρτῃ αἰφνίδιον αἱμοῤῥαγία λάβρως διὰ ῥινῶν γέγονε πλείστη. καὶ παραχρῆμα πάντων τῶν ὀχληρῶν ἀπηλλάγη. ὅθεν εἰ μὲν πολύαιμός σοι φαίνηται ὁ κάμνων, ἀνυπερθέτως τέμνε τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἀνωτέραν. καὶ ἄφελε πρὸς δύναμιν. ἐπὶ δὲ τῶν ἄλλων, πρῶτον μὲν κλύζειν χρὴ τὴν κοιλίαν. τοῖς ἁπλουστέροις κλύσμασιν. οἷον χυλὸν πιτύρων. καὶ ἀφρονίτρου καὶ μέλιτος. ἔπειτα καὶ πολυποδίου ῥίζαν συνεψεῖν τοῖς πιτύροις. τὴν δὲ κεφαλὴν, πρῶτον μὲν, ἐμβρέχειν ἐλαίῳ γλυκεῖ χλιαρῷ. ἔπειτα δὲ εἰ μὲν θερμοτέρα φαίνοιτο ἡ κεφαλὴ, κωδύαν ἐναφεψεῖν τῷ ἐλαίῳ. εἰ δὲ ψυχροτέρα, ἕρπυλλον. καὶ εἰ μὲν εὔλυτος γένοιτο ἡ κοιλία ἐπὶ τοῖς εἰρημένοις κλύσμασιν, ἐπιμένειν αὐτοῖς. εἰ δὲ ἐπέχοιντο, ἐλλεβόρου μέλανος ῥίζαν συναφεψεῖν τοῖς πιτύροις. πόμα δὲ αὐτοῖς ἁρμόδιον, τὸ ἀπόμελι. ἢ μελίκρατον. ἐπιπολὺ ἑψημένον πρὸς τὴν ὥραν. εἰ δὲ πάχος ἐν τοῖς οὔροις εἴη. καὶ ἀνήθου ἀφέψημα καὶ σελίνου διδόναι. τροφαὶ δὲ ἔστωσαν, πτισάνης χυλός. καὶ τὰ παραπλήσια. ὕδωρ τούτοις πολέμιον πινόμενον. ἐπιτείνει γὰρ τὴν ἐμπνευμάτωσιν. καὶ κλύδωνας ἐργάζεται. καὶ σπλῆνας ἐγείρει. καὶ τὴν δίψαν οὐ παύει. ἀλειφέσθωσαν δὲ τὸ πᾶν σῶμα, ἀνηθίνῳ. μάλιστα δὲ χειμῶνος. ἐφ᾽ ὧν δὲ καὶ τρόμος ἐπιγίνεται, καὶ καστόρειον λεαίνοντες, ὅσον ∠ α. σὺν τῷ μελικράτῳ ἐγχεῖν τῷ στόματι.

Περὶ κάρου ποσειδωνίου. ε.

Ψυχρῶν καὶ ὑγρῶν χυμῶν καταλαμβανόντων τὸν ἐγκέφαλον, ὁ βάρος ἐπιγίνεται. μετὰ πυρετοῦ βληχροῦ. παρέπεται δὲ αὐτοῖς ἀναισθησία. καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν. μεμύκασι δὲ αὐτῶν διὰ παντὸς οἱ ὀφθαλμοί. διαφέρει δὲ βάρος ληθαργίας, τῷ τοὺς μὲν ληθαργοὺς ἐρωτωμένους ἀποκρίνεσθαι. καὶ μὴ παντελῶς ἀφώνους κατακεῖσθαι. τοὺς δὲ βάρῳ περιπεπτωκότας, ὕπνῳ βαθυτάτῳ κατέχεσθαι. ὡς νυττομένων αὐτῶν αἰσθάνεσθαι μὲν, μὴ μέντοι γε φθέγγεσθαι, μὴ δὲ ἀνοίγειν τοὺς ὀφθαλμούς. θεραπεύειν δὲ καὶ τούτους παραπλησίως τοῖς ληθαργικοῖς. τμητικωτέραν καὶ λεπτυντικωτέραν τὴν ἀγωγὴν ποιούμενοι. μετέχειν δὲ δεῖ καὶ τὰ καταπλάσματα τοῦ στομάχου, σὺν τῷ θερμαίνειν, καὶ τῆς τονωτικῆς δυνάμεως.

Περὶ κώματος ποσειδωνίου. ϛ.

Μόνοι ἀτμοὶ, ὑγροὶ καὶ θερμοὶ, ἐκ τῶν ὑποκειμένων ἐπὶ τὴν κεφαλὴν ἀναφερόμενοι ἐν πυρετοῖς. καὶ πληροῦντες αὐτὴν πάθος ἐργάζονται. ὅπερ ὀνομάζουσιν οἱ ἰατροὶ, κῶμα. διάγνωσις δέ τοι ἔστω σαφὴς ὕπνου γιγνομένου πλείονος τοῦ κατὰ φύσιν. καὶ φθέγγονται ἐν τοῖς ὕπνοις ἀλλόκοτα. καὶ τὸ σῶμα ἀνωμάλως ἔχουσι. καὶ τὴν κάτω γένυν ἐν τῷ καθεύδειν χαλωμένην. καὶ διεγερθέντες πολλάκις ἀθρόως, πάλιν ἐπικαταφέρονται. καὶ τὴν κεφαλὴν ὑγροτέραν ἔχουσι. θεραπεία δὲ, ἐμβροχὴ διὰ ῥοδίνου. χαμαιμηλίνῳ χρηστέον σὺν τῷ ὄξει. ἔστω δὲ δριμύτατον τὸ ὄξος. εἰ δὲ ψυχροτέρα ἡ κεφαλὴ φαίνοιτο, τὸ ἀνήθινον σὺν γλυκεῖ ἐλαίῳ προσπλέξας ἐξ ἴσου. καὶ θερμαίνας.

ἔμβρεχε. καὶ συντόμως εἰπεῖν, ἐφόσον ἐπιτέταται ἡ ψύξις, ἐπὶ τοσοῦτον καὶ τὰ θερμάσματα
ἐπιτείνειν· ὥστε καὶ γλίχωνα ποτὲ καὶ πήγανον ἐναφεψεῖν τῷ ἐλαίῳ. βαλανιστέον δὲ καὶ τὴν ἕδραν
τοῖς ἱκανῶς ἐρεθίζειν δυναμένοις. φέρειν δὲ χυλὸν πτισάνης σὺν ἀπομέλιτι.

Περὶ σκοτωματικῶν ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου. ζ.

Ἀτμῶν θερμῶν καὶ δριμέων ἐπὶ τὴν κεφαλὴν ἀναφερομένων. καὶ ζεόντων τὸ ψυχικὸν ἐν τῷ ἐγκε-
φάλῳ πνεῦμα. πρῶτοι μὲν ἀμβλυωπισμοί τινες τοῖς ὀφθαλμοῖς ἐγίνονται. ἔπειτα καὶ ὤτων ἦχοι συ-
νεχεῖς. καὶ δυσηκοΐαι. μάλιστα δὲ ταῦτα συμβαίνει περὶ τὰς τῶν σιτίων πέψεις. καὶ ἐξανισταμένων ἐξ ὕπνου.
ἐπιτεινομένου τοῦ πάθους, ἐπιγίνονται ἴλιγγοι. καὶ σκοτώματα. ὡς δοκεῖν πάντα ὁρᾶν περιστρεφό-
μενα. καὶ τοῦτο δὲ συμβαίνει. ἐπειδὰν ἀθρόως ἐξαναστῶσιν ἐκ τῶν καθεδρῶν. ἀπεψίας προηγησαμένης
10 τινός. χρονίζοντος δὲ τοῦ πάθους, καὶ ἐπὶ μικραῖς προφάσεσι σκοτοῦνται. ὥστε καὶ καταπίπτειν ἐνίο-
τε. μάλιστα μὲν οὖν ὅτι αὐτοὶ ποτὲ ἐν κύκλῳ περιστραφῶσιν. ὅπερ γὰρ ἄλλοις ἐπὶ πολλαῖς περιστρο-
φαῖς γίγνεται, τοῦτο ἐκείνοις ἐπὶ μιᾶς. κἂν ἕτερον δέ τινα περιστρεφόμενον ἴδωσι, σκοτοῦνται. κἂν
τροχὸν ἤ τι τοιοῦτον περιδινούμενον θεάσωνται, ταυτὸν ὑπομένουσι. τὸ γὰρ ὀπτικὸν πνεῦμα προσπῖπτον
τῷ περιδινουμένῳ τροχῷ, κινεῖται καὶ αὐτὸ συμπεριφερόμενον ἐκείνῳ. καὶ οὕτως ἀνώμαλον καὶ τα-
ραχώδη καὶ ἄτακτον. τόν τε χυμὸν καὶ τοῦ πνεύματος τὴν κίνησιν ἐργάζεται. εὐάλωτοι δὲ τῷ πάθει οἱ
ἐπεσχημένοι τὰς συνήθεις ἐκκρίσεις. καὶ ἀπεψίαι δὲ καὶ ἐγκαύσεις συνεχεῖς. καὶ μέθαι, ἀποτελεστικαὶ
τοῦ πάθους εἰσί. παρακολουθεῖ δὲ αὐτοῖς καὶ ἐποχὴ τῆς κοιλίας. καὶ διὰ τοῦτο πνευμάτωσις ἱκανή. καὶ
οὔρων λεπτῶν καὶ ὀλίγων ἔκκρισις. τῆς ὕλης ἐπὶ τὴν κεφαλὴν ἐχούσης. ἰσχνοὶ δὲ ὡς ἐπίπαν γίγνον-
ται. καὶ νωθροὶ πρὸς πᾶσαν ἐπιβολήν. εἰ μὲν οὖν ἐναιμότερα τὰ προφαινόμενα τῶν ὀφθαλμῶν δο-
20 κοῦνται ὁρᾶν, πρὸς μανίαν μᾶλλον ἐπιτηδείως ἔχουσιν. οἱ δὲ πορφυρίζοντα ὁρῶντες, πρὸς ἐπιλη-
ψίαν. τῆς μὲν οὖν δυνάμεως ἰσχυρᾶς ὑπαρχούσης. καὶ μηδενὸς ἑτέρου ἐναντιουμένου, φλεβοτομητέον
εἴτε ἀρχὴ τοῦ πάθους εἴη, εἴτε καὶ προκόψαντος ἤδη τοῦ χρόνου. ἐν δὲ τῇ φλεβοτομίᾳ, φυλακτέον
χρὴ ἀθρόον κενοῦν, διὰ τὸ ἐκ τῆς τυχούσης προφάσεως αὐτοὺς καταπίπτειν. ὅθεν πλείοσιν ἀφαιρέσε-
σι χρώμενοι ἐκ διαιτημάτων τινῶν, ἀναπληρώσομεν τὴν συμμετρίαν. ἐμβρεχέσθω δὲ ἡ κεφαλὴ κατὰ
τὸν καιρὸν τῆς φλεβοτομίας, ὀξυροδίνῳ. προσαπλέκοντες πολυγόνου χυλῷ. ἢ κισσοῦ. καὶ πιλήματα
ἐξ ἐρίου διάβροχα, ῥοδίνῳ. ἢ οἰνανθίνῳ. τῇ κοιλίᾳ ἐπιτιθέσθω κατὰ τοῦτον τὸν καιρόν. εἰ δὲ τὴν ἀφαί-
ρεσιν τοῦ αἵματος εἴη τι κωλύον. ὥσπερ ἰσχνότης. ἢ ἕτερον τῶν πολλάκις εἰρημένων, ὑποσυρέσθω ἡ κοι-
λία. πρῶτον μὲν τῷ διὰ πιτύρων καὶ μέλιτος. καὶ ἀφρονίτρου κλυστῆρι. ἔπειτα δὲ, τὴν διὰ τῆς ἀλόης
πικρὰν διδόναι συνεχῶς. εἰ δ᾽ ἐπιμένοι τὰ συμπτώματα, δεήσει καὶ σφοδροτέροις καθαρτηρίοις χρῆ-
30 σθαι. ὁρῶν δὲ τὸν πλεονάζοντα χυμόν, πρὸς τούτοις ἅρμοζε τὸ φάρμακον. τῶν δὲ δραστικωτέρων κα-
θαρτηρίων εὐδοκιμεῖ ἐπὶ τούτων, ἅτινα μάραθρα συναφεψόμενα τῷ ὀξυμέλιτι, ἔχει καὶ τὸ διὰ φοι-
νίκων καὶ πηγάνου. καὶ σκαμμωνίας. ὧν αἱ συνθέσεις προείρηνται ἐν τῷ περὶ καθαρτηρίων λόγῳ. καὶ
ἀποφλεγματισμοῖς δὲ χρηστέον καὶ ἀναγαργαρίσμασι τοῖς δι᾽ ὀριγάνου. καὶ γλίχωνος. καὶ ὀξυμέλιτος.
ἔπειτα καὶ ταῖς ῥισὶν, ἀναγαλλίδος χυλὸν ἐγχεῖν. ἢ κυκλαμίνου. ἢ σεύτλου ῥίζης. ἢ ἐλατήριον μετὰ
γάλακτος. καὶ νίτρον δὲ σὺν μελανθίῳ λειανθὲν. καὶ ἐλαίῳ παλαιῷ ἀναμιχθὲν, γενναίαν διὰ τῶν ῥινῶν
ποιεῖται τὴν κάθαρσιν. μετὰ δὲ ταῦτα, ἐπὶ βαλανεῖον ἄγειν. σμηγμάτιον δὲ αὐτοῖς ἁρμόζει τονω-
τικὸν τῆς κεφαλῆς τὸ τοιοῦτον. λίθου ἀσίου, γο. α. ἀφρονίτρου λευκοῦ, γο. α. ἴρεως, γο. α. σχοίνου ἄνθους,
γο. β. ἐκ τούτου λαβὼν τὸ ἀρκοῦν, ἐπίπασσε τῷ βρέγματι τῆς κεφαλῆς. ἐπιρραίνων ὕδατος θερ-
μοῦ βραχύ. εἶτα λουσάμενος. καὶ μὴ βρέχων τὴν κεφαλὴν τῷ θερμῷ. ἀλλὰ μόνον ἀποπλύων, ἐξελ-
40 θὼν βρέχε τῷ ψυχρῷ τρίτον, ἢ πλεονάκις. τοῖς δὲ ἄγαν θερμὴν ἔχουσι τὴν κεφαλὴν, καὶ ῥόδινον σὺν
ὄξει πολλάκις ἐπιβάλλειν. καὶ ψύχειν αὐτὴν τῷ ἐκ τῶν κρουνῶν ὕδατι ἐν τοῖς βαλανείοις. εἰ μὲν ἐπὶ
τούτοις εἴκοι τὸ πάθος, παύειν τὴν ὀχληρὰν προσαγωγήν. εἰ δ᾽ ἐπιμένοι, τέμνειν τὰς ἐν τῇ κεφαλῇ κα-
τὰ τοὺς κροτάφους ἀνωτέρω τῶν ὄντων ἀρτηρίας. προκενώσας τὴν κοιλίαν. ἢ τῇ ἱερᾷ, ἢ κλυστῆρι. με-
τὰ δὲ ταῦτα, σμηγματίοις ἰσχυροτέροις κεχρῆσθαι. τοῖς ἐπὶ τῶν μαινομένων ῥηθησομένοις. τροφαὶ δὲ ἔ-
στωσαν εὔχυμοι. εὐδιοίκητοι. ἄφυσοι. παντάπασιν εὐστόμαχοι. εὐκοίλιοι. διουρητικοί. οἶνος δὲ ὀλίγος μὲν,
λευκὸς καὶ λεπτότατος. καὶ μὴ πάνυ παλαιός. ἁρμόδια τούτοις τὰ στυπτηριώδη αὐτοφυῆ λουτρά. με-
γίστη δὲ καὶ πρώτη. καὶ ὑστάτη τούτων προφυλακὴ καὶ θεραπεία ἐστὶν, ἡ ὑπόμνησις τῶν ἐπεσχημένων ἐκκρί-
σεων. μάλιστα ἐπὶ γυναικῶν.

Περὶ μανίας ἐκ τῶν Ἀρχιγένους καὶ Ποσειδωνίου. η.

Γίνεται μανία χωρὶς πυρετοῦ, αἵματος πολλοῦ ἀσαποῦς ἐπιρρεύσαντος τῷ ἐγκεφάλῳ. ποτὲ μὲν εὐκρά-
50 του, τῷ πλήθει μόνον λυποῦντος ὡς ἐπὶ τῶν μεθυόντων. ποτὲ δὲ ξανθῆς χολῆς. προηγεῖται δὲ τῆς μανίας,
ἀσθένεια τῆς κεφαλῆς. ὡς ἐπὶ τῶν ποδαγρῶν ἡ ἀσθένεια τῶν ποδῶν. ἀεὶ μὲν πάρεστι. ποτὲ δὲ ὀδυνῶνται.
ὅταν ἡ ὕλη ἐπιρρεύσῃ τοῖς τόποις. ἐπὶ μόνῳ τοίνυν τῷ αἵματι γιγνομένης τῆς μανίας, ταῦτα παρέ-
πεται τοῖς πάσχουσι. γέλως ἄσχετος αὐτοῖς κινεῖται. θεωμένοις πολλάκις πρὸ τῶν ὀφθαλμῶν, εἴδωλά τι-
να γέλωτος ἄξια. φαιδρόν τε αὐτοῖς ἐστὶ τὸ πρόσωπον. καὶ ᾄδουσι συνεχῶς. ἐνίοτε γὰρ ἐκ τῶν γινομένων

ἀναθυμιάσεων, ἦχοι περὶ τὰ ὦτα συνεδρεύουσιν, ὡς δοκεῖν αὐτοὺς αὐλητῶν τινῶν ἀκροᾶσθαι. σώζεται δὲ αὐτοῖς ἡ μνήμη, ὡς ἐξ ὧν ᾄδουσι συνήθως αὐτοῖς ὄντα, ἔνεστι τεκμαίρεσθαι. βέβλαπται δὲ τὸ φανταστικὸν καὶ τὸ λογιστικόν. μιχθείσης δὲ τῷ αἵματι τῆς ξανθῆς χολῆς, καὶ δακνῶδες αὐτὸ ἀποτελεσάσης. διὰ κεντουμένου καὶ νυττομένου ἐξ αὐτῆς ἔνδοθεν τοῦ ἐγκεφάλου καὶ μηνίγγων, ὀργίλοι καὶ θρασεῖς γίνονται καὶ πλῆκται καὶ ὑβρισταί. ἐφ' ὅσον γὰρ ἡ χολὴ ἀναμέμικται τῷ αἵματι, ἐπὶ τοσοῦτον παραλλάσσει τὰ τερπνά, καὶ ἐπιτείνει τὰ ἀηδῆ, καὶ θυμικά. ὑπεροπτημένης δὲ ἐπὶ πλέον τῆς ξανθῆς χολῆς καὶ παχυνομένης, καὶ διὰ προσπλαττομένης αὐτῷ τῷ σώματι τοῦ ἐγκεφάλου καὶ τῶν μηνίγγων ἰξωδῶς, καὶ νυττούσης καὶ δι[illegible]ώσης, τὰς θηριώδεις παραφροσύνας ἐργάζεται. ἤδη γοῦν τινὲς καὶ τῆς ἰδίας σαρκὸς ἐγεύσαντο, καὶ τοὺς οἰκείους ὡς ἐπιβούλους διεχειρίσαντο. ἐτ[illegible]ον. ἐτραυμάτιζον. ἐγχωρεῖ δὲ καὶ τὸν αὐτὸν ἄνθρωπον, ποτὲ μὲν, γέλωτι παραλόγῳ κατέχεσθαι. ποτὲ δὲ, θυμοῖς καὶ ὀργαῖς. ἐν γὰρ ταῖς ἀσιτίαις, καὶ ταῖς δριμυτέραις καὶ ἁλυκωτέραις τροφαῖς, καὶ ἐν ταῖς πλείοσι κινήσεσι καὶ ταραχαῖς, δριμύτερον ἑαυτοῦ ἀποτελεῖται τὸ αἷμα. ἐν δὲ τῇ ἐναντίᾳ καταστάσει, ἠπιώτερον. πολλάκις δὲ καὶ μηδενὸς βοηθήματος προσαχθέντος, ταῖς ὀλιγοσιτίαις καὶ ἐπιτηδείαις τροφαῖς ἀναλωθὲν χρόνῳ τὸ παρενοχλοῦν, καὶ μένων ὁ ἐγκέφαλος ἀπέριττος, διάλειμμα καθαρὸν τῆς ἐκστάσεως γίνεται. τισὶ δὲ καὶ κατὰ περίοδον τινὰ ἐπιπίπτει τὸ πάθος. τισὶ μὲν ἅπαξ τοῦ ἔτους. τισὶ δὲ, δεύτερον ἢ πλεονάκις. ἀθροιζομένου κατὰ βραχὺ δηλονότι τοῦ ἐνοχλοῦντος. ἁλίσκονται δὲ τῷ πάθει. ὀλίγοι μὲν πρὸ τῆς ἀκμῆς. οἱ πλεῖστοι δὲ ἐν τῇ ἀκμῇ καὶ μετ' αὐτήν. ἄνδρες δὲ μᾶλλον γυναικῶν. καὶ τούτων, οἱ πάθεσι τισὶ ψυχικοῖς ἐνοχλούμενοι, διὸ οἱ σκῶπται. οἱ φιλογέλωτες. ἢ ἀκαιρογέλωτες. οἱ δυσπειθεῖς. οἱ ὀργίλοι. οἱ φροντιστικοί. οἱ φιλάργυροι. ἤδη δὲ καὶ οἱ πολυπόται. καὶ οἱ συνεχῶς ἀπεπτοῦντες. καὶ οἱ τὰς συνήθεις ἐκκρίσεις ἐπεχόμενοι. διὰ τοῦτο καὶ γυναῖκες, ἐνίοτε μαίνονται. αἷς ἐπέχηται τὰ καταμήνια. μυρίαι δὲ ἰδέαι, μανίας εἰσίν. ἃς ἐκθεῖναι περιττόν. τοῖς μὲν οὖν μέλλουσι περιπίπτειν τῷ πάθει, προηγεῖταί τινα προοίμια τῶν προρρηθέντων. διὸ γέλως παράλογος. οὐχ οὕτως εἰθισμένοις. καὶ ὀργίζεται ἐπὶ τῇ τυχούσῃ προφάσει. καὶ ἦχοι ὤτων. καὶ μαρμαρυγαὶ πρὸ τῶν ὀφθαλμῶν προφαίνονται. ἀγρυπνίαι τε σύντονοι. καὶ φροντίδες ἐπάλληλοι καὶ ἀλλόκοτοι. βάρος καὶ παλμὸς τῆς κεφαλῆς. προκόπτοντος δὲ τοῦ χρόνου, πάντα ταῦτα ἐπιτείνεται. καὶ δυσωδέστεραι αὐτοῖς αἱ ὀρέξεις γίνονται. καὶ πρὸς τὰ ἀφροδίσια πρόθυμοι. διατοῦτο δὲ καὶ ὀνειρωγμοὶ συνεχεῖς. ὀφθαλμοί τε κοιλαίνονται. μετὰ τοῦ, ἀτενῶς ἵστασθαι. καὶ ταῦτα παρακολουθεῖ μέχρι συντελείας ἐκστάσεως. δεῖ οὖν τὸν ἐπιστήμονα ἰατρὸν ἐπιμελούμενον τοῦ κάμνοντος. τούτων προφανέντων ἤ τινα αὐτῶν, τὰ δέοντα πρᾶξαι. προσημαίνοντος τοίνυν τοῦ πάθους. ἢ καὶ ἤδη ἐνεστηκότος, τὴν μὲν δίαιταν λεπτὴν ἁρμόζει. ῥοφηματώδη. ὑγρὰν ἄπληκτον. εὐκοίλιον. καὶ οὐδαμῶς ἥκιστα γενναῖον αἷμα δυναμένην. καὶ οἴνου παντάπασιν ἀπέχειν. τριῶν δὲ οὕτως διαιτήσας ἡμερῶν τὸν ἄνθρωπον, τέμνε τῶν ἐν ἀγκῶνι φλεβῶν. προηγουμένως μὲν τὴν ἄνω. εἰ δὲ μὴ φαίνοιτο, τὴν μέσην. μὴ φαινομένων δὲ τούτων, τὰς ἐπὶ τῶν σφυρῶν ἐπιζητεῖν. καὶ μάλιστα ἐπὶ γυναικῶν. προσέπεται γὰρ τῇ ῥοπῇ καὶ τὰ καταμήνια. εἰ μὴ δ' αὗται φαίνοιντο, τὰς ἐπ' ἄκρων χειρῶν ἢ ποδῶν. σπουδαστέον γάρ δεῖ προτέρου ἀπὸ φλεβοτομίας, γενναίαν κένωσιν γενέσθαι. καὶ οὕτω τῶν πεπονθότων μερῶν τὴν ἐπιμέλειαν ποιεῖσθαι. τέμνοντες δὲ τὴν φλέβα, πρὸς δύναμιν τὴν κένωσιν ποιεῖσθαι χρή. ἀποσβεννυμένου γὰρ τοῦ φλ[illegible]ους, παραχρῆμα μὲν ἐπιστατικοὶ γίνονται. ἅμα δὲ καὶ χώρα γίνεται τοῖς ἄλλοις βοηθήμασιν. ἐπειδὴ δέ τινὲς ἐν μὲν τῇ πρώτῃ ἀφαιρέσει γενναίως φέρουσι τὴν κένωσιν. ἐν δὲ ταῖς μετὰ ταῦτα ἐπαφαιρέσεσιν εἰώθασι λειποθυμίαις ἁλίσκεσθαι, προσήκει τούτους ἐν τῇ πρώτῃ ἀφαιρέσει κενοῦν ὅσον ἡ χρεία ἀπαιτεῖ. συγκενοῦται γὰρ οὕτως πολὺ τοῦ φυσώδους. καὶ ἀτμώδους περιττώματος. δεῖ τοίνυν συνεχῶς ἅπτεσθαι τῶν σφυγμῶν ἐν τῷ ῥεῖν τὸ αἷμα. καὶ εἰ καταπίπτοιεν, τότε παύεσθαι εἰς ἐπαφαίρεσιν. πολλάκις γὰρ ἀνακτησάμενοι τὴν δύναμιν τῇ δευτέρᾳ τῶν ἡμερῶν τὴν ἐπαφαίρεσιν ποιησόμεθα. ἔσθ' ὅτε δὲ καὶ τὴν τρίτην φυλάξαντες τὴν διαίρεσιν, ἀλλῶν ἐπιθέσει. ἐμβρέχειν δὲ τὴν κεφαλὴν χρὴ ῥοδίνῳ σὺν ὄξει. ἢ χυλῷ πολυγόνου. ἢ οἰνανθίνῳ ἐλαίῳ. ἢ μηλίνῳ. εὐποροῦν δὲ ὤμιον ἔλαιον λυθέν, ἐπιτιθέσθω τῷ βρέγματι. καὶ συνεχέστερον νεαροποιείσθω. παντὶ δὲ τρόπῳ μετὰ τὴν κένωσιν εἰς ἑσπέραν ὕπνον μηχανητέον. κενωθέντος γὰρ τοῦ αἵματος εἰ ἐπιγένοιτο ἀγρυπνία, δριμυτέρους καὶ ἀγριωτέρους αὐτοὺς ἀποτελεῖ. διὸ θαρροῦντες προσενέγκωμεν τὸ διὰ τῶν κωδύων φάρμακον, ὑπνωτικὸν σὺν χυλῷ πτισάνης. ἢ ἄλικος. ἢ σὺν τῷ πινομένῳ ὕδατι. ἀσμενεῖς γὰρ ἂν εἶεν. καὶ μετὰ ταῦτα γίνεται ὕπνος. οἱ γὰρ πλεῖστοι αὐτῶν, περιφρονοῦσι παντὸς ὑπνωτικοῦ. διὸ κἂν τὴν πρώτην λαβόντες ὑπνώσουσι διαλείποντες ἡμέραν μίαν, πάλιν διδόναι τὸ διὰ κωδύων ἔστιν κοχλιάριον. εἴωθε γὰρ καὶ μόνη μετὰ τὴν φλεβοτομίαν, τελείαν ἀποκατάστασιν τῷ πάθει διδόναι μετὰ τῆς προσηκούσης διαίτης. παραφυλάττεσθαι μέντοι ἐφεξῆς αὐτὴν προσφέρειν. ναρκοῖ γοῦν τὴν αἴσθησιν. σπουδαστέον καὶ τὴν κοίλην εὔλυτον ποιεῖν. διά τε τροφῶν καὶ κλυστηρίων. τούτων προγεγενημένων, ἄρχεσθαι χρὴ τῶν τοπικῶν βοηθημάτων ἐντεῦθεν. αἷμα προσήκει ἀφαιρεῖν ἐκ τῶν ἐν μετώπῳ κυρτουμένων φλεβῶν τῆς μεσαιτάτης φλεβοτόμῳ αὐτὴν διαιροῦντες. οὐκ ἐπικρουστικῷ ὥς τινες ποιοῦσι, διὰ τὰς ἐπιγινομένας πολλάκις μεγίστας φλεγμονὰς τοῦ περι-

κρανίου ὑμένος τρωθέντος ἀφαιρεῖν ὡς μίαν λίτραν αἵματος. μετὰ δὲ τὴν κένωσιν ταύτην ἐπὶ τῶν χολερι-
κωτέρων ἐχόντων τὸ αἷμα, διαστήσαντες ἡμέρας πέντε, διδόναι τὴν δι' ἀλόης πικράν, κοχλιαρίου μεγάλου
πλῆθος σὺν μελικράτῳ. εἶτα καὶ διὰ ῥινῶν καθαίρειν τὴν κεφαλήν, σεύτλου ῥιζῶν χυλὸν ἐγχέοντος.
ἐλατήριον. ἢ κυκλάμινον σὺν γάλακτι. καὶ πταρμικὸν προσφέρειν δι' ἐλλεβόρου λευκοῦ καὶ στρουθίου. καὶ
ἀποφλεγματίζειν διά τε μαστίχης καὶ σταφίδος ἀγρίας. διά τε ἀναγαργαρίσματος δι' ὀξυμέλιτος γι-
γνομένου. ἐν ᾧ ἕψηται γλήχων. ὕσσωπον. ὑποσυρέσθω δὲ ἡ κοιλία τοῖς διὰ κενταυρείου καθαρτηρίοις
τοῖς διὰ γεντιανῆς. καὶ αὐτὴ δὲ καθ' ἑαυτὴν ἡ γεντιανὴ ῥίζα, χρήσιμος προποτιζομένη δραχμῆς μιᾶς
ὁλκὴ σὺν μελικράτῳ. δίδοται δὲ καὶ ἀριστολοχία ὡσαύτως. μάλιστα δὲ αὐτοὺς ὠφελεῖ ἱππομαράθου
ῥίζα καὶ τὸ σπέρμα πινόμενον σὺν ὕδατι καθ' ἑκάστην ἡμέραν. καὶ βρυωνίας ῥίζα, ∠ α. καὶ βδέλλας
10 μετὰ ταῦτα κολλητέον τῇ κεφαλῇ πάσῃ κατὰ κύκλον. καὶ μάλιστα τῷ βρέγματι. ἐπὶ δὲ τῶν γυναι-
κῶν σπουδαστέον τὰ καταμήνια κενεῖν. εἶτα ἀναλαβόντος τὴν δύναμιν ἐπὶ ἡμέρας ζ, προσάγε-
τὴν γαληνοῦ ἱεράν. ἥτις μάλιστα ἱκανοῖ τῷ πλήθει τῆς στοιχάδος. δίδου δὲ ∠ δ. μετὰ μελικράτου. ἔ-
πειτα τὰ ἔρρινα πάλιν προσάγειν. παρακμάζοντος δὲ τοῦ πάθους, ἐπὶ λουτρὸν ἄγειν. σπασμοὶ τριμ-
μάτιον δ' αὐτοῖς ἐν τῷ λουτρῷ ἁρμόδιον τοῦτο. ἴρεως ἰλλυρικῆς. λίθου ἀσίου μάννης. ἀφρονίτρου λευ-
κῶν. κασιτέρεως. κηρύκων κεκαυμένων. σχοίνου ἄνθος. σελίνου. κασσίας. ῥόδων ξηρῶν ἀνὰ Γο. α. κόψας
σήσας χρῶ ἐν τῷ πρώτῳ οἴκῳ τοῦ βαλανείου ἐπιπλάττων τῷ βρέγματι ὅσον ἐξαρκεῖ. καὶ ἐπιρραί-
νων ὕδατος κοχλιαροῦ. καὶ ἐφ' ἱκανὸν χρόνον διατρίβων ἐν τῷ οἴκῳ. ὥστε διαδοθῆναι τὴν δύναμιν τοῦ
φαρμάκου μέχρι τῶν ἐν βάθει. εἶτα σμηξάμενος ἠρέμα τὴν κεφαλήν. καὶ ἀποπλύνων καὶ λουσάμε-
νος μὴ βρέχων τὴν κεφαλὴν ἐν τῷ θερμῷ, ἐν τῇ ἐκβάσει ἐξίτω. καὶ βρεχέτω τῷ ψυχρῷ δεύτερον
20 καὶ τρίτον. εἰ δὲ κατὰ θερμὸν ἔχοιεν τὴν κεφαλὴν πάνυ. καὶ πλεονάκις βάπτειν τῷ ψυχρῷ. μετὰ δὲ
ταῦτα τῷ διὰ σινήπεος καὶ ἰσχάδων φοινιγμῷ, τόνον διδόναι τῇ κεφαλῇ. καὶ ἐκ διαστημάτων τινῶν ἀπο-
φλεγματίζειν. καὶ τοῖς ἐρρίνοις κεχρῆσθαι. δίαιταν δὲ θετέον λεπτοτέραν. εὐδιοίκητον. εὐκοίλιον. ἄ-
φυσον κατακεραστικήν. οἴνου δὲ σπανίως ἡ χρῆσις ἐπὶ τούτων. εἰ δὲ ἐγκατάλειμμα εἴη τῆς διαθέ-
σεως, ἐπὶ τὸν λευκὸν ἐλλέβορον ἐλθετέον. ὁ δὲ τρόπος τῆς χρήσεως προείρηται ἐν τῷ περὶ καθαρ-
τηρίων λόγῳ. ἀπέχεσθαι δὲ τοῦ λοιποῦ παραινεῖν πάντων τῶν χολὴν γεννώντων ἐδεσμάτων τε καὶ
πομάτων. φλεβοτομείσθωσαν δὲ καθ' ἕκαστον ἔαρ προφυλακῆς χάριν. ἔπειτα καὶ καθαιρέσθω-
σαν. καὶ μάλιστα εἰ πλεονάζοι μᾶλλον ἡ χολή. ταῖς δὲ γυναιξὶ καὶ τὰ καταμήνια παρασκευάζειν
κατὰ τὸν εἰωθότα καιρόν. ἀπαραφροδίσως κενοῦσθαι. καὶ τοῖς ἄλλοις τὰς συνήθεις ἐκκρίσεις.

30 Περὶ μελαγχολίας ἐκ τῶν γαληνοῦ καὶ ῥούφου. θ.

Ὥσπερ ἐν τοῖς φαινομένοις μέλεσι τοῦ σώματος, ἐνίοτε μὲν ἅπασιν ἡ αὐτὴ φαίνεται κρᾶσις. ὡς ἐν κα-
χέκταις τε καὶ τῷ καλουμένῳ ἐλέφαντι καὶ τοῖς ὑδέροις. ἐνίοτε δὲ ἔν τι μόριον ἤτοι πικρόχολον. ἢ με-
λαγχολικόν. ἢ φλεγματικὸν ὑποδεχόμενον χυμόν. αὐτὸ μόνον ἐξαλλάττεται τὴν κρᾶσιν, οὕτως ἐγ-
χωρεῖ καὶ τὸν ἐγκέφαλον. ἐνίοτε μὲν παντὸς τοῦ κατὰ τὰς φλέβας αἵματος μελαγχολικοῦ γινομέ-
νου, τῷ κοινῷ λόγῳ τῆς βλάβης. καὶ τὸν ἐγκέφαλον βλαβῆναι. καθ' ἕτερον δὲ καιρὸν ἀπαθοῦς δια-
μένοντος τοῦ καθ' ὅλον τὸν ἄνθρωπον αἵματος, ἀλλοιωθῆναι τὸ κατὰ μόνον τὸν ἐγκέφαλον. καὶ συμ-
βαίνει τοῦτο διττῶς. ἢ ῥυέντος εἰς αὐτὸν ἑτέρωθι, ἢ γεννηθέντος ἐν τῷ τόπῳ τοῦ μελαγχολικοῦ χυ-
μοῦ. γεννᾶται δὲ ὑπὸ θερμασίας πολλῆς ἐγχωρίου κατοπτώσης. ἤτοι τὴν ξανθὴν χολήν. ἢ τὸ παχύ-
τερόν τε καὶ μελάντερον αἷμα. ὡς ἐπίπαν δὲ, τὰ κατὰ τὰ ὑποχόνδρια μέρη πρωτοπαθοῦντα, εἰς
συμπάθειαν ἄγει τὴν κεφαλήν. καὶ τὴν παραφροσύνην ἐργάζεται. ἤτοι αὐτῆς χολῆς καταλαμβα-
40 νούσης τὸν ἐγκέφαλον, ἢ τινὸς ἀναθυμιάσεως ἀτμοῦ μελαγχολικοῦ. καθάπερ ἐν τῷ νοσήματι τῷ
φυσώδει καὶ ὑποχονδριακῷ προσαγορευομένῳ. οὐδὲν γὰρ παρεμποδὼν γίνεται τῷ λόγῳ ἑτέρωθεν
καὶ ἐξ ἄλλου μορίου εἶναι τὴν ἀρχήν. καὶ γένεσιν τοῦ πάθους. ῥαδίως γὰρ τὸ στόμα τῆς γαστρὸς ὁποιοῦν πά-
χον, εἰς συμπάθειαν ἄγει τὸν ἐγκέφαλον τῇ συγγενείᾳ διὰ τῶν καθηκόντων εἰς αὐτὸ ἄνωθεν μεγίστων
δύο νεύρων. εἰς συμπάθειαν δὲ ἄγει καὶ τὴν καρδίαν τῇ γειτνιάσει. ὁμοίως δὲ καὶ τὸ διάφραγμα ὃ καὶ
συμπέφυκε. κοινωνία δέ ἐστι τῷ στομάχῳ καὶ πρὸς τὸν νωτιαῖον. καθ' ὃ μέρος καὶ ἔγκειται καὶ συνδέδε-
ται τοῖς τοῦ τραχήλου σπονδύλοις. ἀρχὴ τοίνυν τῆς τοιαύτης μελαγχολίας ὡς ἐπίπαν, ἐξ ἀπεψιῶν
γίνεται. φῦσαι τ' αὐτοῖς ἐπιγίνονται πολλαί. καὶ ἐπὶ τῷ τυχόντι μετέωροι. καὶ περὶ τὰ ὑποχόνδρια
ἐπιπολὺ διατρίβουσαι. ἐρυγαί τε αὐτοῖς ὀξώδεις ἐπιγίνονται. μηδενὸς τοιούτου ἐδηδεσμένου. ξηραὶ
ὡς ἐπίπαν αὐτοῖς αἱ κοιλίαι. ὕπνοι μικροὶ διεσπασμένοι. ἐνύπνια ταραχώδη καὶ ἀλλόκοτα. παλ-
50 μοὶ ἄλλοτε ἄλλοι τοῦ σώματος. ἴλιγγοι τῆς κεφαλῆς. καὶ πνευμάτων ἦχοι κατὰ τὰ ὦτα. δοκεῖ δὲ τοῖς
μὲν, αὐτῶν μεστὴ καὶ βαρεῖα εἶναι ἡ κεφαλή. τοῖς δὲ, κούφη ἢ κενή. τοῖς δὲ, ξηρή. ὁ δέ τις, οὐδὲ κεφαλὴν
ἔχειν τὸ παράπαν ᾤετο. πρὸς ὃν ἐξευρεῖν ὁ φιλότιμος λέγεται πρὸς τῇ ἄλλῃ θεραπείᾳ τὸν πη-
λὸν τὸν μολίβδινον. ὑφ' οὗ βαρυνόμενος συνίει τῆς κεφαλῆς. γίνονται δὲ καὶ τὴν γνώμην ἐπί-
λυποι καὶ δειλοί. καὶ ἐλεήμονες καὶ δακρυτικοί. καὶ διώκουσι τὰ ἐρῆμα. τινὲς δὲ καὶ δαίμονας ἀέρ

γοητειῶν τῶν ἐχθρῶν, ἐπιβεβλῆσθαι αὐτοῖς ὑπολαμβάνουσιν. ἕτεροι δὲ δηλητήριον φάρμακον εἰληφέναι ὑποπτεύουσι. καὶ βεβαίαν αὐτῶν τὴν ὑποψίαν ἐργάζονται αἱ συνεδρεύουσαι αὐτοῖς βρομώδεις καὶ ἀλλόκοτοι ἐρυγαί. δοκεῖ δὲ τοῖς ἄλλοις ἄλλα. καὶ ἔστιν ἡ νόσος παντοδαπή. καὶ οὐκ εὐαρίθμητος. δὴ αὐτίκα περὶ τοὺς φόβους. ὁ μὲν, δέδοικε τοὺς φιλτάτους. ὁ δὲ, καὶ ὅλους τοὺς ἀνθρώπους. καὶ ὁ μὲν, δέδοικεν εἰς φῶς ἰέναι τὰ δὲ σκοτεινὰ διώκει. ὁ δὲ φεύγει τὰ ζοφώδη. οἱ πλείους μέντοι ἐν σκοτεινοῖς τόποις χαίρουσι διατρίβειν. καὶ ἐν μνημείοις. καὶ ἐν ἐρήμοις. ἔνιοι δὲ καὶ τὸ ὕδωρ δεδοίκασι. καὶ οἶνον. καὶ ἔλαιον. καὶ πᾶν ὑγρὸν ὁποιονοῦν. ὥσπερ οἱ δηχθέντες ὑπὸ λυττῶντος κυνός. καὶ συντόμως εἰπεῖν αἱ μελαγχολικαὶ παράνοιαι, πολυειδεῖς μέν εἰσι ταῖς κατὰ μέρος ὑπούλοις φαντασίαις. ἓν δὲ αὐταῖς ἁπάσαις ὑπάρχει κοινὸν, ὁ φόβος καὶ ἡ δυσθυμία. δυσθυμοῦσι γὰρ ἅπαντες ἀλόγως. 10 οὐδ' ἂν ἐρωτήσῃς ἔχοντας εἰπεῖν ἐφ' ὅτῳ λυποῦνται. δεδίασι δὲ ἐξ αὐτῶν οὐκ ὀλίγοι θάνατόν τε καὶ ἕτερά τινα, μηδενὸς ἄξια δείματος. εἰσὶ δὲ οἳ καὶ σφοδρῶς ἐπιθυμοῦσι θανάτου.

Γαληνοῦ.

Ξ ὁ μὲν οὖν εὐθὺς τῇ μελαίνῃ χολῇ καταλαβούσῃ τὰς ἀρχὰς τῆς λογικῆς ψυχῆς. φόβον τε γίγνεσθαι καὶ δυσθυμίας. καὶ θανάτου προσδοκίας, οὐδὲν θαυμαστόν. ὁρῶμεν γὰρ καὶ τῶν ἔξωθεν τοῦ σώματος οὐδὲν ἡμῖν οὕτως φοβερὸν, ὡς τὸ σκόλος. ὅταν οὖν δὴ ζόφος τις περιχεθῇ τῷ λογικῷ μορίῳ τῆς ψυχῆς, ἀναγκαῖον ἀεὶ φοβεῖσθαι τὸν ἄνθρωπον. ὡς ἂν τὴν αἰτίαν τοῦ φόβου συμπεριφέροντος τῷ σώματι. ὡς γὰρ ἐν σκότῳ βαθεῖ τὰ παιδία φοβοῦνται. καὶ τῶν τελείων οἱ ἀπαίδευτοι, οὕτω καὶ τῆς μελαίνης χολῆς τὸ χρῶμα, παραπλησίως σκότῳ τὸν φρονοῦντα τόπον ἐπισκιάζον, ἐργάζεται τοὺς φόβους.

Ῥούφου.

Γ ἁπάντων μὲν οὖν τῶν παρεπομένων ἑκάστῳ συμπτωμάτων, τὰς αἰτίας εἰπεῖν, ἀδύνατον. ἀπορίαν γὰρ 20 πολλὴν ἔχει τὰ πλεῖστα. δὴ, διατί μὲν φεύγουσιν ὡς δεινὰ, μὴ ὄντα δεινά. τὰ δὲ, διώκουσιν ὡς χρηστὰ μὴ ὄντα χρηστά. καὶ διατί ὁ μὲν τοὺς οἰκείους φοβεῖται. ὁ δὲ, ὅλους τοὺς ἀνθρώπους. καὶ τὰ τοιαῦτα. τῶν πλείστων δὲ, τὰς αἰτίας συμπτωμάτων εἰπεῖν τὸν ἰατρὸν, οὐ χαλεπόν. δὴ, ὁ δοκῶν ἑαυτὸν κέραμον εἶναι, διὰ τὴν ξηρότητα τοῦτο πάσχει. ψυχρὸς γὰρ καὶ ξηρὸς ὁ μελαγχολικὸς χυμός. ὁμοίως καὶ ὁ τοῦ ἑαυτοῦ δέρμα δοκῶν εἶναι ταῖς ξηραῖς διφθέραις ὅμοιον. ὁ δὲ οἰόμενος σμήχειν κεφαλὴν, ἴσως διὰ κουφότητα τὸ ἀναφερόμενον πνεῦμα παρέχειν αὐτῇ. διατί δὲ ὀρέγονται οἱ μελαγχολικοὶ πλειόνων σιτίων. ἢ ὅτι ψύχεται αὐτοῖς τὸ στόμα τῆς γαστρὸς, διατί δὲ ἔνιοι αὐτῶν οἰνοπόται. ἢ ὅτι τὸ ψυχρὸν θερμανθῆναι χρῄζει, διατί δὲ ἀποκτιννύουσι σφᾶς αὐτούς. ἢ ὅτι μειζόνων κακῶν ὑπολαμβάνουσιν ἀπαλλάττεσθαι. εἰ μὴ ἄρα δόξα τοιαύτη ὑπογίγνεται αὐτοῖς, ὅτι τὸ ἀποθνήσκειν ἐστὶ καλόν. ὥσπερ τῶν βαρβάρων ἐνίοις. διατί δὲ ἀπεψίαι συνεχεῖς αὐτοῖς γίγνονται, ἢ ὅτι θολερὸν καὶ περιτ-30 τωμάτων ἐστὶν αὐτῶν τὸ σῶμα. καὶ διὰ τοῦτο καὶ δύσκρατος ἡ γαστήρ. ψυχομένη διαπαντὸς ἐκ τοῦ μελαγχολικοῦ χυμοῦ, διατί δὲ αἱ κοιλίαι ὡς ἐπίπαν αὐτοῖς ξηραίνονται. ἢ ὅτι τὰ πνεύματα τοῖς ἄνω περὶ τὰ ὑποχόνδρια προΐσταται. καὶ οὐ πάνυ κάτω διαχωρεῖ. ἀνάγκη τοίνυν δι' αὐτὸ τοῦτο, καὶ τὰς γαστέρας εἶναι ξηράς. ἐκ δὲ πολλῆς τῆς ἐπισχέσεως, ἀθρόα ποτὲ καὶ περιτετηκότα διαχωροῦσι. σκαρδάμυκτοι δὲ καὶ ἐξόφθαλμοι. καὶ παχύχειλοι ὡς ἐπίπαν γίγνονται διὰ τὸ παχὺ πνεῦμα. μελάγχροες δὲ διὰ τὴν χύσιν τοῦ χυμοῦ. δασεῖς δὲ οἱ πλείους αὐτῶν, διὰ τὸ πλῆθος τῶν παχέων περιττωμάτων. ταχύγλωσσοι ὡς ἐπίπαν εἰσί. καὶ ψελλοί. καὶ ἰσχνόφωνοι τῷ ἀκρατεῖ τῆς γλώσσης. αἱ γὰρ συντονίαι τῆς κινήσεως κατὰ τὸ πνεῦμα γίγνονται. πᾶν δὲ τὸ συντόνως κινηθὲν, ἀποῤῥεῖ ταχέως. εὐπετὲς μὲν τῷ βουλομένῳ καὶ τῶν λοιπῶν συμπτωμάτων ἀποδοῦναι τὰς αἰτίας, ἐκ τούτων ὁρμωμένῳ. μελαίνεται δὲ ὁ χυμὸς οὗτος. ποτὲ μὲν ὑπερθερμαινόμενος. ποτὲ δὲ ὑπερψυχόμενος, δὴ 40 πάσχουσι γάρ τι οἱ καιόμενοι ἄνθρακες, διαυγέστατοι μὲν ὄντες τῇ φλογί. σβεννυμένης μὲν τῆς φλογὸς ἀπομελαίνονται, τοιοῦτόν τι καὶ ἡ ψύξις περὶ τὸ φαιδρὸν χρῶμα τοῦ αἵματος ἐργάζεται. ὁρῶμεν γοῦν κἀπὶ τῶν ἐκτὸς πελιδνὰ γιγνόμενά τινα σώματα. καὶ μελαινόμενα ὑπὸ ψύξεως. ἡ δὲ ὑπερβολὴ τοῦ θερμοῦ πάλιν ξηράνασα καὶ δαπανήσασα τὰς ὑγρότητας ὑφ' ὧν τρέφεται τὸ θερμὸν, μελαίνει τοὺς χυμούς. ὥσπερ καὶ ὁ ἥλιος τοὺς καρπούς. καὶ τὰ τῶν ἀνθρώπων σώματα. τὰ μὲν οὖν πρὸ τῆς θεραπείας εἰς τοσοῦτον διεγνωκέναι χρὴ τὸν ἰατρόν. ἃ δ' ἄν τις μαθὼν ἔχοι βοηθεῖν τοῖς οὕτω νοσοῦσιν, ἤδη καιρὸς ὑποτίθεσθαι. διαφέρει δὲ εἰς τὴν θεραπείαν οὐ σμικρὰ ὅθεν τὴν ἀρχὴν ἔχει τὸ νόσημα. γινώσκειν χρὴ τοίνυν ὡς διττὸν τὸ εἶδος τῆς μελαγχολίας. τινὲς μὲν γὰρ αὐτῶν ἐκ φύσεως καὶ τῆς ἐξ ἀρχῆς κράσεως ἔχουσι τὸ μελαγχολικόν. τινὲς δὲ ἐκ διαίτης φαύλης ὕστερον τὴν κρᾶσιν ἐπεκτήσαντο. καὶ ἔστι τὸ εἶδος τοῦτο νωθρόν. καὶ κατηφὲς ἀεί. ὅτι δὲ ἐξ ὑπεροπτήσεως τῆς ξανθῆς 50 χολῆς τῇ παραφροσύνῃ παραπίπτουσι, θρασύτεροι καὶ ὀργιλώτεροι τῶν ἄλλων εἰσί. καὶ πλῆκται. καὶ τὰ πάνδεινα πράττοντες κατὰ τὸν καιρὸν ἐκεῖνον μάλιστα. ἐν ᾧ ὑπεροπτᾶται ἡ χολή. τῷ χρόνῳ δὲ ὅταν καὶ αὐτὴ ἀποσβεσθῇ, κατηφεῖς ἐπίλυποι καὶ ἐπίφοβοι γινόμενοι. ὅταν μὲν γὰρ ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχῃ τὸ αἷμα τὴν ἀρχὴν τῆς θεραπείας ἀπὸ φλεβοτομίας προσήκειν. ὅταν δὲ τὰ κατὰ μόνον τὸν ἐγκέφαλον, οὐ χρῄζει φλεβοτομίας ὁ κάμνων, εἰ μήτοι γε

πολύαιμος εἴη, καὶ χρεὶν προφυλακῆς τὴν ἀφαίρεσιν ποιούμεθα. ἡ δ᾽ οὖν διάγνωσις, ἀπὸ τῶνδε γι-
γνέσθω. πότερον ὅλον τὸ σῶμα μελαγχολικὸν ἔχει τὸ αἷμα, ἢ κατὰ τὸν ἐγκέφαλον μόνον ἤθροισταί
τι τοιοῦτον. οἱ μελάντεροι δὲ καὶ δασεῖς καὶ φλέβας εὐρείας ἔχοντες, ἐπιτηδειότατοι πρὸς
τὴν τοῦ μελαγχολικοῦ χυμοῦ γένεσιν. ἔσθ᾽ ὅτε δὲ καὶ οἱ ἐξέρυθροι τὴν χρόαν ἄνθρωποι, μεταπίπτου-
σιν ἀθρόως εἰς τὴν μελαγχολικὴν κρᾶσιν. ἐφεξῆς δὲ αὐτῶν, οἱ ξανθοί. καὶ μάλιστα ὅταν ἀγρυπνίαις
καὶ πόνοις πλείοσι καὶ φροντίσι, καὶ λεπτῇ διαίτῃ, ἢ μελαγχολικοῖς ἐδέσμασι διῃτημένοι τύχωσιν
ὄντες. πρὸς τούτοις, εἰ ἐπέχηταί τις αἱμορραΐς ἐν ἕδρᾳ. ἢ ἄλλη τις συνήθης ἔκκρισις. ἢ καταμήνια
ταῖς γυναιξίν. οὐ μικρὰ δὲ συντελεῖ καὶ ἡ ὥρα τοῦ ἔτους. καὶ ἡ κατάστασις τοῦ ἀέρος. καὶ τὸ χωρίον.
ἥ τε τοῦ κάμνοντος ἡλικία καὶ τὸ ἐπιτήδευμα. ταῦτα δὲ πάντα προδιασκεψάμενος. ὅταν ἐλπίσῃς
ἐν ταῖς καθ᾽ ὅλον τὸ σῶμα φλεψί. μελαγχολικὸν αἷμα περιέχεσθαι, τὴν βεβαιοτάτην ἐπάγει
διάγνωσιν. ἐκ τοῦ τέμνειν τὴν κατ᾽ ἀγκῶνα φλέβα. βέλτιον δὲ τὴν μέσην τέμνειν. εἶτα εἰ μὴ φαίνοιτο
μελαγχολικὸν εἶναι τὸ ῥέον αἷμα, ἐπισχεῖν εὐθέως. ἐπεὶ δὲ τοιοῦτον φαίνοιτο, κένωσον ὅσον ἂν ὑπο-
λάβῃς αὐτάρκες ἔσεσθαι τῇ τοῦ κάμνοντος σώματος ἕξει. τῇ δὲ τρίτῃ διαφορᾷ τῆς μελαγχολίας.
ἧς τὴν ἀρχὴν ἀπὸ τῆς κοιλίας ἴσχειν ἐλέγομεν. ὑποχονδριακὸν πάθος ὀνομαζομένην. ἡ διαγινώ-
σκεται ἐκ τῶν προειρημένων πολλάκις. πρῶτον μὲν γὰρ ἄρχεται τὰ κατὰ τὴν γαστέρα συμπτώ-
ματα. οἷον ἐμπνευματώσεις. βορβορυγμοί. ἐρυγαί. ὀρέξεις. καὶ βρωμώδεις. καὶ τὸ ἐπιξηραίνεσθαι
τὴν γαστέρα. καὶ τὸ ἤδη ταῖς διαχωρήσεσι. καὶ τοῖς ἐμέτοις καὶ ταῖς ἐρυγαῖς ἤδη κουφίζεσθαι. καὶ
τοὺς κάμνοντας αὐτοὺς συναισθάνεσθαι τῶν ὀχληρῶν πάντων περὶ τὰ ὑποχόνδρια συνεδρευόν-
των. ὥσπερ οὖν τισὶ πολλάκις ἀναφερομένης ἐκ τῆς γαστρὸς αἰθαλώδους τινὸς, ἢ καπνώδους ἀνα-
θυμιάσεως. ἢ ὅλως ἀτμῶν τινῶν παχέων. ὅμοια τοῖς τῶν ὑποχεομένων δοκεῖ φαίνεσθαι πρὸ
τῶν ὀφθαλμῶν, κατὰ τὸν αὐτὸν λόγον, καὶ νῦν ἤδη τὸν ἐγκέφαλον ἀναφερομένης τῆς μελαγ-
χολικῆς ἀναθυμιάσεως. οἷον, αἰθάλη. ἢ καπνὸς τὰ μελαγχολικὰ γεννήσεται περὶ τὴν διάνοιαν συμ-
πτώματα. ὅταν μὲν οὖν τὰ τῆς μελαγχολικῆς παρανοίας ἴδια συμπτώματα φαίνηται μεγάλα.
κατὰ δὲ τὴν κοιλίαν ἤτοι μηδὲν ὀχληρὸν ἢ σμικρότατον τοῦτο εἴη. τὸν ἐγκέφαλον ἡγητέον. ἤδη τού-
των πρωτοπαθεῖν καθὼς προείρηται.

Θεραπεία μελαγχολίας. ι.

Τὴν μὲν οὖν ἐξ ἐγκεφάλου πρωτοπαθοῦντος, συνισταμένην μελαγχολίαν, διά τε λουτρῶν καὶ συ-
νεχῶν. καὶ διαίτης εὐχύμου τε καὶ ὑγρᾶς καὶ ἀφύσου, ἐκθεραπεύειν χωρὶς ἑτέρου δραστικοῦ βοη-
θήματος. ὅταν γε μήπω διὰ μῆκος χρόνου δυσκένωτος ὁ λυπῶν χυμός. ἡνίκα ποικιλωτέρας
καὶ ἰσχυροτέρας προσάγειν χρὴ τὰς ἰάσεις. ἀρχόμενον δὲ τὸ πάθος θεραπεύειν προσήκει. χρονί-
σαν γὰρ καὶ αὐξηθὲν δυσμεταχείριστον γίνεται.

Ῥούφου.

Κοινὰ δὲ ἔστι κἂν ὁ ἐγκέφαλος πρωτοπαθῇ. κἂν τὰ ὑποχόνδρια, τὰ ὑπακτικὰ τῆς γαστρὸς βοη-
θήματα. πρῶτον μὲν οὖν εὐπεψίας φροντίδα τίθεσθαι χρή. ἔπειτα δὲ καθαίρειν πρῶτον μὲν,
ἤδη θύμῳ καὶ ἀλόῃ. τούτων γὰρ εἰ καὶ ὀλίγον ἐφ᾽ ἑκάστης ἡμέρας λαμβάνοι, ὠφελεῖται τῷ με-
τρίως καὶ ἡσυχῇ ὑπάγειν.

Ποσειδωνίου.

Ἐφ᾽ ὧν δὲ αἷμα πλεονάζειν φαίνοιτο, εὐθὺς ἐξ ἀρχῆς φλέβα τέμνειν προσήκει τὴν ἐν ἀγκῶσι. καὶ μάλι-
στα ἐφ᾽ ὧν συνήθεις ἐκκρίσεις εἰσὶ τοῦ αἵματος ἐπεσχημέναι. ἤδη δὲ γυναικῶν αἷς ἐκλείπει τὰ κατα-
μήνια τὴν ἐν τῷ σφυρῷ φλέβα τέμνειν χρή. κενοῦν δὲ ἕκαστον πρὸς δύναμιν. ἐφ᾽ ὧν δὲ ἡ κακοχυμία
μᾶλλον πλεονεκτεῖ, προδιαιτήσας τὸν κάμνοντα, καθαίρειν τῇ ἱερᾷ Ῥούφου. ἢ Ἀρχιγένους. ἢ Ἰού-
στου. εἰ δὲ ἄμφω πλεονάζοι, προφλεβοτομήσας κάθαιρε. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τινὰς,
κλυστῆρσι τὴν κοιλίαν κενοῦν. πρῶτον μὲν, διὰ πιτύρων χυλῶν. καὶ ἀφρονίτρων. καὶ μέλιτος. μετέπει-
τα καὶ πολυποδίου ῥίζας τεθλασμένας συνεψεῖν τοῖς πιτύροις. ἢ ἐπίθυμον. μετὰ δὲ τρεῖς ἡμέρας
τοῦ κλυστῆρος, δοτέον αὐτοῖς τὴν δι᾽ ἀλόης πικράν. προσειληφυῖαν πρὸς τοῖς ἄλλοις πᾶσι, καὶ ἐπιθύμου.
σκευάζειν δὲ αὐτὴν ὡς Θεμίσων βούλεται. ἀλόης μὲν βάλλων, < ξ. μαστίχης δὲ καὶ κρόκου, καὶ ναρδοστά-
χυος. κινναμώμου τε καὶ κασσίας, τὸ διπλοῦν, ἀσάρου. καὶ καρποβαλσάμου, ἑκάστου Γο. α. προστιθέναι
δὲ τούτοις καὶ ἐπιθύμου Γο. β. καὶ διδόναι κοχλιαρίου μέγα πλῆθος μετὰ μελικράτου. δοτέον δὲ αὐτοῖς
ἐκ διαστημάτων ὀλίγον, δεύτερον ἢ τρίτον. εἶτα πάλιν διαιτήσας καὶ ἀναλαβὼν τὰς δυνάμεις, δίδου
πάλιν τὴν ἱερὰν Ῥούφου. ἢ Ἀρχιγένους. ἢ Ἰούστου. πλῆθος δὲ ἔστω τὸ διδόμενον, < δ. μετὰ μελικράτου
καὶ ἁλῶν, ὅσον κοχλιαρίου μικρόν. βέλτιον δὲ καὶ τοῖς κενοῦσιν ἐφ᾽ ἡμέραν κενοῦσι πράως ὑπάγειν τὴν
γαστέρα. μελαίνης δὲ ἀσωγὸν ἐστὶν, ἀμάρακον. καὶ ἡ κονίλη λεγομένη, ὅσον < ς. πασσόμεναι μελικρά-
τῳ καὶ πινόμεναι. συμφέρει δὲ καὶ τῷ ὀρρῷ τοῦ γάλακτος ὑπάγειν τὴν κοιλίαν. ἀλλὰ μὴ ἀπὸ τῶν τυρῶν δο-
τέον τὸν ὀρρόν. ἄμεινον δὲ τὸ ἀπὸ τοῦ ἑψημένου γάλακτος ἀποχωριζόμενον. μᾶλλον δὲ ἵππειον ἔστω τὸ γάλα.
εἰ δὲ μὴ, βόειον. ἐμβλητέον δὲ τὸ γάλα ἐν καινῇ λύζᾳ. κινῶν κλάδῳ συκῆς. ὅταν δὲ ἀναζέσῃ τρὶς ἢ τε-
τράκις, καταρραίνειν ὀξυμέλιτι. εἶτα διηθήσας, δίδου πίνειν. τὰ μὲν πρῶτα μέλι προσμίσγων. ὅταν
δὲ ἄρξηται ὑπέρχεσθαι ἡ γαστὴρ μηκέτι βαλεῖν τὸ μέλι. λαμβανέτω δὲ κατὰ κοτύλην, μὴ ἔλαττον τῶν

πέντε κοτύλων· χρῆσθαι δὲ ἐπὶ πάσῃ κενώσει, μαλάχης σπέρματι λειοτάτῳ διδόντα ὅσον ∠. β. μεθ᾽ ὕδατος κυάθων τριῶν ἄκρως γὰρ ποιεῖ, ὅθεν πολλάκις αὐτῷ χρηστέον. κράτιστον δὲ καὶ γλήχωνος ἀφέψημα πίνειν συνεχῶς. καὶ πρὸ τῶν καθαρτικῶν. καὶ μετὰ τὰ καθαρτικά, καὶ τοῦ μικροῦ κενταυρείου ὁμοίως. τοῦ δὲ ἀψινθίου τὸ ἀφέψημα καὶ συνεχῶς καὶ ἐφεξῆς δίδου· στομάχῳ γὰρ καὶ γαστρὶ κατάλληλον ἐπὶ τούτων καὶ οὔτε φύσας συγχωρεῖ γίγνεσθαι τῇ γαστρὶ πολλάς, οὔτε εἰς τέλος ἀποξηραίνεσθαι τὴν διαχώρησιν. καὶ οὔρησιν κινεῖ. καὶ πέττειν ἀκριβῶς παρασκευάζει. ὥστε ἐγὼ καὶ μόνῳ τούτῳ τινὰς οἶδα ἀπηλλαγμένους τῆς νόσου. διδόναι δὲ καὶ τῶν διουρητικῶν. ἀνίσου. δαύκου. πετροσελίνου. ἀσάρου. καὶ νάρδων. καὶ μᾶλλον τούτων, τὸ τοῦ ἱππομαράθου σπέρμα καὶ ῥίζαν. τὴν δὲ χαμαιπίτυν καὶ τὴν χαμαίδρυν προθυμότερον λαμβάνειν. ἕκαστον τούτων ἑψοῦντα σὺν ὕδατι. ἢ ξηρὸν λεῖον ἐπιπάσσοντα τῷ ποτῷ. ἀγαθαὶ δὲ καὶ αἱ διὰ τῶν ἱδρώτων κενώσεις· διά τε πόνων καὶ λουτρῶν γινόμεναι. καὶ χρίσμασιν ἐν ἡλίῳ. διὸ τότε διὰ τοῦ χαμαιμήλου ἐλαίου. καὶ νίτρου σὺν ἐλαίῳ. καὶ ὅταν ἐπιδιδῷ ἡ ἕξις, πάλιν καθαίρειν τῇ ἱερᾷ. προσήκει δὲ μὴ δὲ τῶν ὑποχονδρίων ἀμελεῖν. στοχαζόμενον τῆς θεραπείας· καὶ μάλιστα προσεληλυθότα. πυρίαι μὲν οὖν ἁρμόδιοι δι᾽ ἐλαίου ἐναφεψημένων ἐν αὐτῷ πηγάνου. ἀνήθου. ἑρπύλου. ἀψινθίου. ἀρτεμισίας. γλήχωνος. ἄγνου σπέρματος. δάφνης τοὺς καρπούς. ἢ τῶν φύλλων ἁπαλῶν. ταῦτα γὰρ καὶ τοὺς πόνους παρηγορεῖ. καὶ τὰς φύσας μειοῖ. ἐπὶ δὲ τῶν μετὰ δήξεως τοῦ στομάχου ἐμπνευματώσεων. ὄξει ἀφεψήσαντες. κύμινον. καὶ γλήχωνα. σπόγγοις πυριᾶν τὸν στόμαχον. ἐνίοτε δὲ καὶ στυπτηρίαν ἐπιπάσσομεν τῷ ὄξει. τὰ δὲ καταπλάσματα ἐχέτω προσαπεζεσμένον ἐν τῷ ἐλαίῳ. ἢ ἄνηθον. ἢ σέλινον. ἢ κύμινον. καὶ κύπρον λειοτάτην. καὶ ἶριν. καὶ λιβανωτίδα ἐμβαλὼν τῷ καταπλάσματι. συγχωρεῖν δὲ ἐπιπολὺ καὶ ἀσίτῳ καὶ τραφέντι. ἀφαιρεθέντος δὲ τοῦ καταπλάσματος, σκέπειν τὰ ὑποχόνδρια. ἢ ἐρίῳ πλατυτάτῳ ἢ κουφοτάτῃ καὶ καθαρῷ ἀρνακίδι. προϋποχρίων τοὺς τόπους, ναρδίνῳ. χρίσεων δ᾽ ἂν καὶ σικύων προσθέσει. πρὸς μὲν τὰ πνεύματα κούφων. πρὸς δὲ τὰς φλεγμονὰς καὶ σκληρίας, μετὰ κατασχασμοῦ. μετὰ δὲ ταῦτα, ταῖς διὰ κυπρίνου κηρωταῖς χρῆσθαι. καὶ τῷ πολυαρχίῳ καὶ τῷ διὰ στύρακος. καὶ τῷ διὰ σπερμάτων μάλιστα καὶ τοῖς ὁμοίοις. προϊούσης δὲ τῆς θεραπείας, καὶ τῷ διὰ τῶν ἰσχάδων καὶ νάπυος φοινιγμῷ χρῆσθαι, πάνυ ὀνήσει. καὶ τὰς πέψεις ἀνακαλεῖται. ῥώμην τῇ γαστρὶ ἐντιθείς. καὶ εἴ τις πόνος ἐγκαταλείπεται τῷ ὑποχονδρίῳ, τοῦτον ἐξαίρει. χρῆσθαι δὲ καὶ τοῖς δριμέσι σμήγμασι κατὰ τῶν ὑποχονδρίων. καὶ τῷ τῶν πιττωτῶν φαρμάκων· τουτέστι πίσσῃ ξηρᾷ τετηκυίᾳ καθ᾽ ἑαυτήν. ἢ μετὰ βραχυτάτου ἐλαίου. θερμὴ δ᾽ ἐμπλάττεται δέρματι. καὶ ἐπιτίθεται τῇ γαστρὶ καὶ τῷ μεταφρένῳ. καὶ ἐᾶν μέχρις αὐτόματον ἀποπέσοι. ὥστε καὶ συλλούεσθαι αὐτῷ ἐγχωρεῖ. καὶ τὸ κατὰ βραχὺ ἀφιστάμενον, ψαλίδι ἀφαιρεῖν. πάνυ δὲ ὠφελοῦνται καταπλασσόμενοι βολβίτοις βοὸς ξηροῖς. ἐμπλασσομένοις ὀξυμέλιτι. καὶ βολβοὶ δὲ μετὰ νίτρου. ἢ στυπτηρίας λεῖοι καταπλασσόμενοι, μεγάλως ὠφελοῦσι. καὶ μιγνυμένων δὲ τούτων τοῖς βολβίτοις, ὠφέλιμον γίγνεται. καὶ μάλιστα ἐὰν δήξεως αἴσθησις αὐτοῖς περὶ τὸν στόμαχον εἴη. ἐφ᾽ ὧν δὲ συνεχῶς σπασμοὶ τοῦ σώματος συνεδρεύουσι, συμφέρει καὶ τοῦ καστορίου πίνειν. καὶ χρίειν τὸ σῶμα καστορίῳ σὺν ἐλαίῳ σικυωνίῳ. προσήκει δὲ καὶ κινεῖσθαι καὶ γυμνάζεσθαι αὐτοὺς πρὸς δύναμιν, πρὸ τῶν σιτίων. λουτρὰ δὲ τῷ μὲν καλῶς πέττοντι, οὐ πάνυ ἀναγκαῖα. εἰ μὴ κόπον τινὰ θεραπεῦσαι βουληθείης. ὅστις δὲ οὐκ ἀγαθὴν ἔχει τὴν κοιλίαν εἰς πέψιν, τούτῳ συμφέρει λούεσθαι συνεχέστερον. ἢ νῆστις. ἢ μετὰ τὴν τελείαν πέψιν. μετὰ δὲ τὰ λουτρὰ σιτία, δίδομεν εὔπεπτα. ἄφυσα. διαχωρητικά. ἀκριβῶς κατανοῶν ὅπως ἀφ᾽ ἑκάστου διατίθεται ὁ πάσχων. οὐ γὰρ πάντες πρὸς ἅπαντα τὰ σιτία ὁμοίως διάκεινται. τὸ δὲ ἐπίπαν ἁρμόδια αὐτοῖς, ἄρτων μὲν οἱ κλιβανῖται καλῶς ἐσκευασμένοι. πτηνῶν δέ, τὰ ἀπίμελα. καὶ ἄβρομα καὶ ὄρεια. ὡς ἀλεκτορίδων ἁπαλά. ἰχθύων οἱ πετραῖοι. καὶ οἱ ἁπαλόσαρκοι. ἐχῖνοι δὲ θαλάττιοι πλεῖστον προὔχουσιν εἰς ἡδονὴν καὶ εἰς ὠφέλειαν. παραιτεῖσθαι τὰ ἐν ταῖς λίμναις διαιτώμενα πάντα. καὶ τὰ ἐν τοῖς ἕλεσι. κρέα ἁρμόδια, ἐρίφεια καὶ γαλαθήνεια. καὶ τούτων μᾶλλον τὰ ἄκρεα μόρια κατεφθά, οὐκ ἀχρεῖαι δὲ καὶ μῆτραι καὶ γαστέρες. καὶ πόδες ὑῶν. λαχάνων δὲ πρὸς μὲν τὴν κοινὴν δίαιταν, τὰ γλυκέα. τὰ δὲ δριμύτερα ὡς φάρμακον ποτὲ δοτέον. οἷον ἔλιος. ἀσπάραγος. πετροσέλινα. καὶ τὰ ὅμοια. μέτρια δὲ ἔστω τῷ πλήθει τὰ λαμβανόμενα πάντα. οἶνος δὲ λεπτὸς καὶ λευκός, καὶ μὴ πάνυ παλαιός. μὴ ἀθρόον δὲ διδόναι ἐπὶ τῇ τροφῇ τὸ ποτόν. μὴ δὲ πλῆθος ἔστω τὸ πινόμενον. ἵνα μὴ ἐπιρροφεῖν δριμύτατον. ὅσον κοχλιάριον, καθεύδειν μέλλοντα μετὰ πᾶσαν τροφήν, καὶ τὰ πολλὰ τῶν ὄψων εἰς αὐτὸ ἀποβάπτοντα ἐσθίειν. ἄμεινον δὲ μιχθὲν τῷ ὄξει. σκίλλης βραχὺ καὶ πηγάνου. καὶ τῆς λεπτῆς ἀριστολοχίας.

Ποσειδωνίου.

Ἁρμόδιον δὲ πρὸς τὰς γινομένας ἐμπνευματώσεις, ὀξυπόριον τοιοῦτον σκευάζειν. λιβυστικοῦ σπέρματος. σελίνου. ζιγγιβέρεως. θύμου. ἀνὰ γο. α. μέλιτος ἀπηφρισμένου τὸ ἀρκοῦν. δίδου κοχλιαρίου—

τὸ ἥμισυ. ἕωθεν καὶ ἑσπέρας ὁμοίως. εἰ δὲ ἀποστρέφοιντο τὴν τοῦ μέλιτος γλυκύτητα, ἅλας πε-
πτικὸν αὐτοῖς σκευάζειν τοιοῦτον. σκίλλης ὀπτῆς, γο. α. ἁλῶν ἀμμωνιακῶν, γο. ε. σελίνου σπέρματος.
μαράθου. θύμου. πετροσελίνου. ἀνίσου. σίνωνος. ζιγγιβέρεως, ἀνὰ ∠. δ. ἄρτου καθαροῦ ξηροῦ, γο. ε.
πεπέρεως γο. α. S. ἐκ τούτου δίδου ὅσον κοχλιάριον ἐσθίειν σὺν τῇ τροφῇ ὡς βούλεται. διδόναι δὲ αὐ-
τοῖς ὡς χρὴ κοχλιάριον ἐσθίειν σὺν τῇ τροφῇ ἐκ διαστημάτων τινῶν, καὶ τῆς θηριακῆς ἀντιδότου. καὶ
μάλιστα χειμῶνος καὶ ἔαρος ἀρχομένου. Ῥούφου.

Ἐμείτωσαν δὲ ἐκ μειζόνων διαστημάτων καὶ ἀπὸ σιτίων. ἀλλὰ ἀπὸ ῥαφανίδων νῆστις. ἢ ὀριγάνου. ἢ θύμου.
μὴ μέντοι τοῖς δραστηρίοις ἐμετικοῖς κεχρῆσθαι. βλαβερὰ γὰρ τὰ τοιαῦτα. ἐπὶ τούτων ταλαιπω-
ρίαν προστιθέντα τῇ γαστρὶ. καὶ τῷ στομάχῳ. ἤδη προπεπονηκόσι τῇ νόσῳ. ὁρῶνται γάρ τινες ἐκ τῶν
10 δραστικωτέρων ἐμετικῶν, ἁλισκόμενοι τῇ μελαγχολίᾳ. οὐ γε μὴν εἰδέναι χρὴ ὅτι πολλοὶ τῶν οὕ-
τω νοσούντων, ἐν μὲν τῷ καιρῷ τῆς θεραπείας, οὐδέν τι ὠφελήθησαν. ἀφεθέντες δὲ, κατέστησαν
τὸ προτεθεραπεῦσθαι καλῶς ἰσχυσάσης τῆς φύσεως κατὰ τῶν νοσημάτων. ἀσθενῶν τῇ βοηθείᾳ γε-
γενημένων. διόπερ χρὴ ἄνεσιν διδόναι τῇ φύσει. ἔοικε γὰρ συνταλαιπωρεῖσθαι ταῖς θεραπείαις.
ἰσχύειν δὲ ἐν τῇ ἀναπαύσει. καὶ κρατεῖν τῶν νοσημάτων ἤδη προλελεπτυνθέντων.

Περὶ λυκανθρώπου ἤτοι κυνανθρώπου. Μαρκέλλου. ια.

Οἱ τῇ λεγομένῃ κυνανθρώπῳ ἤτοι λυκανθρώπῳ νόσῳ κατεχόμενοι, κατὰ τὸν φεβρουάριον μῆνα νυκτὸς
ἐξίασι τὰ πάντα μιμούμενοι λύκους. ἢ κύνας. καὶ μέχρις ἡμέρας περὶ τὰ μνήματα μάλιστα διανοίγου-
σι. γνωρίσεις δὲ τὸν οὕτω πάσχοντα, διὰ τῶνδε. ὠχροὶ τυγχάνουσι. καὶ ὁρῶσιν ἀδρανές. ξηροὺς τοὺς
ὀφθαλμοὺς ἔχουσι. καὶ οὐδὲν δακρύουσι. θεάσῃ δὲ αὐτοὺς, καὶ κοίλους τοὺς ὀφθαλμοὺς ἔχοντας. καὶ
20 γλῶσσαν ξηράν. καὶ οὐδόλως σίελον προχέουσιν. εἰσὶ δὲ καὶ διψώδεις. καὶ τὰς κνήμας ἔχουσιν ἡλ-
κωμένους ἀνιάτως, διὰ τὰ συνεχῆ συμπτώματα. καὶ τῶν κυνῶν τὰ δήγματα. τοιαῦτα μὲν τὰ
γνωρίσματα. γινώσκειν δὲ χρὴ μελαγχολίας εἶδος εἶναι τὴν λυκανθρωπίαν. ἣν θεραπεύσεις κα-
τὰ τὸν χρόνον τῆς ἐπισημασίας. τέμνων φλέβα. καὶ κενῶν τοῦ αἵματος, ἄχρι λειποθυμίας. καὶ διαι-
τῶν τὸν κάμνοντα ταῖς εὐχύμοις τροφαῖς. κεχρήσθω δὲ λουτροῖς γλυκέσιν. εἶτα ὀῤῥῷ γάλακτος χρη-
σάμενος ἐπὶ τρεῖς ἡμέρας, καθαιρέ τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ Ῥούφου. ἢ Ἀρχιγένους. ἢ Ἰούστου.
δεύτερον καὶ τρίτον παρέχων ἐκ διαστημάτων. μετὰ δὲ τὰς καθάρσεις, καὶ τῇ διὰ τῶν ἐχιδνῶν θη-
ριακῇ χρηστέον. καὶ τὰ ἄλλα παραληπτέον ὅσα ἐπὶ τῆς μελαγχολίας προείρηται. εἰς ἑσπέραν δὲ
ἐπερχομένης ἤδη τῆς νόσου, τοῖς ὕπνον εἰωθόσιν ἐμποιεῖν ἐπιβρέγμασι τῆς κεφαλῆς χρῆσθαι. καὶ
ὀσφραντοῖς τοιούτοις. καὶ ὀπίῳ διαχρίειν τοὺς μυκτῆρας. ἐνίοτε δὲ καὶ ποτίζειν τινὰ τῶν ὑπνωτικῶν.

30

Περὶ ἐφιάλτου. Ποσειδωνίου. ιβ.

Οὐκ ἔστιν ὁ καλούμενος ἐφιάλτης δαίμων. ἀλλὰ μᾶλλον μελέτη καὶ προοίμιον ἐπιληψίας ἢ μανίας.
ἢ ἀποπληξίας. καὶ γὰρ ἀπεψίαι ἐξ ἀδηφαγιῶν προηγοῦνται τοῦ πάθους. ἀτμῶν γὰρ παχέων
καὶ ψυχρῶν πληρούμεναι αἱ κοιλίαι τοῦ ἐγκεφάλου, κωλύουσι τὰς δυνάμεις διὰ τῶν νεύρων διϊέ-
ναι. καὶ δυσδιέγερτον τὸ νόσημα κατασκευάζουσι. καὶ μόλις εἰς ἐνέργειαν ὀρθὴν ἀγόμενον. ὅθεν καὶ
ἀκίνητοι παντάπασι μένουσιν οἱ τοιοῦτοι. προηγεῖται γὰρ τοῦ ἐφιάλτου, πνῖξ. καὶ ἀφωνία. καὶ βά-
ρος. καὶ ἀκινησία. τῇ δὲ πολλῇ ἀγωνίᾳ λεπτυνομένου τοῦ πνεύματος. καὶ διαφορουμένου. καὶ ἐκφραττ-
ομένων τῶν πόρων, διεγείρονται αἰφνίδιον. φυλακτέον οὖν τὸ δεινὸν, ἀρχόμενον. χρονίζον γὰρ καὶ
συνεχῶς ἐπιπῖπτον, τινὰ τῶν προῤῥηθέντων νοσημάτων ἐπιφέρει. ἀθροιζομένου κατὰ βραχὺ ἐν ταῖς
κοιλίαις τοῦ ἐγκεφάλου, παχέος χυμοῦ. ὅσα γοῦν καὶ οἱ ἐπίληπτοι ἐν τοῖς παροξυσμοῖς πάσχουσι,
40 ταῦτα οἱ ἐφιαλτικοὶ καθεύδοντες. εἰ μὲν οὖν αἷμα πλεονάζει, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα. εἰ
δὲ κακοχυμία μᾶλλον ἐπικρατεῖ, καθαίρειν τῇ Ἀρχιγένους ἱερᾷ. μάλιστα δὲ αὐτοῖς βοηθεῖ τοῦτο.
ἐλλεβόρου μέλανος φλοιοῦ, ∠. α. σκαμμωνίας ὀβολοὺς, γ. ἀνίσου. ἢ δαύκου. ἢ πετροσελίνου βρα-
χύ. ἡ δίαιτα δὲ ἔστω λεπτὴ καὶ ἄφυσος παντάπασι. βοηθεῖ δὲ αὐτοῖς ὁ μέλας καρπὸς τῆς παιονίας
ιε. κόκκοι λεῖοι διδόμενοι μεθ' ὕδατος ἐν ποτῷ. ἐμβρέχειν δὲ καὶ τὴν κεφαλὴν ἀνηθίνῳ ἐλαίῳ θερ-
μῷ. καὶ σκέπειν πιλήματι καθεύδειν μέλλοντα. Γαληνοῦ.

Τρεῖς εἰσὶ τῆς ἐπιληψίας διαφοραί. πασῶν δὲ αὐτῶν κοινόν ἐστι πάσχειν τὸν ἐγκέφαλον. ἤτοι γὰρ ἐν αὐ-
τῷ πρώτως συστάντος τοῦ πάθους ἢ κατὰ συμπάθειαν τοῦ στόματος τῆς γαστρός. ἐν δὲ τῷ σπανίῳ γί-
γνεται καὶ τὸ τρίτον εἶδος τῆς ἐπιληψίας ἀπὸ μορίου τινός. οὐ ἔτυχεν ἀρχομένου τοῦ πάθους. εἶτ'
αἰσθητῶς αὐτῷ τῷ κάμνοντι τὴν ἄνοδον ἐπὶ κεφαλὴν ποιουμένου. καὶ τοῦτ' ἐθεασάμην ἐπὶ παι-
50 δὸς, τὴν ἀρχὴν τῆς διαθέσεως ἐν τῇ κνήμῃ ἔχοντος. κἄπειτα κατὰ καιρὸν τινὰ ἀνιέναι διὰ τοῦ μη-
ροῦ καὶ τῆς λαγόνος. καὶ τῆς ῥάχεως ἐπὶ τὸν τράχηλον ἄχρι τῆς κεφαλῆς. ἐπειδὰν δὲ τῆς κεφαλῆς
ψαύσῃ, μηκέτι παρακολουθεῖν ἑαυτῷ. τοιοῦτόν τι συμβαίνει κἀπὶ τῶν ὑπὸ σκορπίου ἢ τινὸς ἑτέ-
ρου τῶν ἰοβόλων πληγέντων. πεπληγώς τις ὑπὸ σκορπίου, χαλάζαις ἔφη δοκεῖν βάλλεσθαι. καὶ
ἦν ὅλος ὑπόψυχρος. ἵδρου τε ψυχρόν. ἐσώθη τε μόγις βοηθούμενος. οὐκ ἀδύνατον οὖν κατά τινα

τῶν

τῶν ἀκύρων μορίων τοιαύτην τινὰ οὐσίαν γεννηθῆναι, χωρὶς τῆς ἔξωθεν αἰτίας. καὶ ταύτην ὅταν μάλιστα ἐν εὐγενεῖ μορίῳ τὴν σύστασιν ἔχῃ, κατὰ τὸ συνεχὲς ἐπὶ τὴν ἀρχὴν ἀναπέμπειν τὴν δύναμιν.

Ποσειδωνίου.

Σπασμὸς δὲ παρέπεται τοῖς ἐπιληπτικοῖς, τῷ ἀνιᾶσθαι τὴν ἀρχὴν τῶν νεύρων ὑπὸ τῶν ἐνοχλούντων. ὥσπερ γὰρ ὁ στόμαχος ἢ τροφῆς πλήθει βαρυνόμενος, ἢ δακνόμενος ὑπὸ δριμέος χυμοῦ, οὐ μόνον λυγμὸν, ἀλλὰ καὶ σπασμὸν ἐπιφέρει. οὕτως καὶ ἡ ἀρχὴ τῶν νεύρων εἰς τοιαύτην κίνησιν ἄγεται. ἀποβαλεῖν σπεύδουσα ὅτι περ ἂν ᾖ τὸ ἐπ' αὐτὴν ἀπὸ τοῦ πρώτου πάσχοντος ἀναφερόμενον. τεταγμέναι δὲ ἢ ἄτακτοι αἱ περίοδοι αὐτοῖς γίγνονται παρὰ τὸν τρόπον τῆς διαίτης. ἢ γὰρ κατὰ πάντα ὁμαλῶς διαιτῶνται οἱ πάσχοντες, ἢ ἀνωμάλως καὶ ἀτάκτως. εἰσβάλλοντος τοίνυν τοῦ παροξυσμοῦ τῶν ἐπιληπτικῶν, διακρατεῖν δεῖ τὰ σπώμενα καὶ διαστρεφόμενα μόρια. λιπαίνειν τε καὶ ἀπευθύνειν. εἶτα διαστήσαντα τὸ στόμα, καθιέναι πτερὸν κεχρισμένον ἐλαίῳ. μάλιστα κυπρίνῳ. ἢ ἰρίνῳ, ἢ ἀμαρακίνῳ. καὶ ἔμετον ἐρεθίζειν. πρὸς τὸ κομίσασθαι τοὺς παρακειμένους ἐν τῷ στομάχῳ χυμούς. χρὴ δὲ καὶ ὀσφραντοῖς τὴν αἴσθησιν ἐρεθίζειν. οἷον πευκεδάνῳ. ἢ ὀπῷ κυρηναϊκῷ. ἐμβραδύνοντος δὲ τοῦ παροξυσμοῦ, θαρσαλέως ὁ ἰατρὸς βιαζόμενος. καὶ διϊστῶν τὰς γνάθους, καστόρειον ἐγχεῖν τῷ στόματι. καὶ ὀπὸν κυρηναϊκὸν μετ' ὀξυμέλιτος. ἀνακλιθέντων δὲ αὐτῶν, κλύζειν διέδρας κενταυρείου καὶ καλαμίνθου ἀφεψήματι. ἢ ἀριστολοχίας. εἶτα ἀναλαβόντας τὴν δύναμιν, καθαίρειν τῇ διὰ τῆς κολοκυνθίδος, ἱερᾷ γαληνοῦ. τοιαύτη μὲν δή τίς ἐστιν ἡ τῆς προσφάτης καὶ ὀξείας ἐπιληψίας θεραπείας. ἐφεξῆς δὲ ὅσα πρὸς παρασκευὴν τῆς κεχρονισμένης παραδώσομεν. χρὴ τοίνυν τοὺς πάσχοντας, ἐν ὑδροποσίᾳ μακρᾷ συνέχειν. ἐγχειροῦντας δὲ τῇ θεραπείᾳ. εἰ μηδὲν κωλύοι, φλεβοτομεῖν. καὶ διαλιπόντες ἡμέρας δ. ἢ ε, ἀναλαβεῖν τὸ σῶμα. καὶ οὕτως ἀποκενοῦν. μάλιστα δὲ δι' ἐλλεβόρου μέλανος. ἢ κολοκυνθίδος. δεῖ δὲ τοῦ μὲν ἐλλεβόρου τὸν φλοιὸν ξηρὸν κόψαντας. καὶ σήσαντας, διδόναι μετὰ μελικράτου ὅσον ∠. α. ἢ μέλιτι ἑφθῷ ἀναλαβόντας μετ' ὀλίγου πεπέρεως, καταπότια διδόναι. τῆς δὲ κολοκυνθίδος τὸ σπέρμα ἐξελὼν. καταλιπὼν δὲ τὴν ἐν τῷ βρίῳ, πλήσον οἴνου γλυκέος. καὶ ἔασον τὴν νύκτα. ἕωθεν δὲ διηθήσας τὸ γλυκὺ καὶ χλιάνας, δίδου πίνειν. μετὰ δὲ τὴν αὐτάρκη κάθαρσιν, λούειν αὐτούς. τῇ δὲ τρίτῃ σικυαστέον ὑπὸ χόνδριον καὶ μετάφρενον μετ' ἀμυχῶν. εἶτα διαστήσαντας ἡμέρας τινὰς. καὶ ἀναλαβόντας τὸ σῶμα, καθαίρειν. τῇ διὰ τῆς κολοκυνθίδος ἱερᾷ γαληνοῦ. εἶτα μετὰ ταῦτα συκιαστέον τὴν κεφαλήν. καὶ τῇ ἑξῆς καταπλάττειν αὐτὴν ἄρτῳ ἑψημένῳ μετὰ μελικράτου. συλλελειωμένον πικροῖς ἀμυγδάλοις. ἢ ἑρπύλλου ἢ καλαμίνθου ἢ ἡδυόσμου. ἢ πηγάνου. καὶ τοῦτο ποιητέον ἐπὶ τρεῖς ἡμέρας. καὶ μετὰ ταῦτα ξυρᾶν μὲν τὴν κεφαλήν. καὶ καταχρίειν αὐτὴν πευκεδάνου ὀπῷ ἐν ὄξει διηθημένῳ. ἢ σφονδύλιον. ἢ ἕρπυλλον. ἢ ἶριν ἐναφεψῆσαι. καὶ διαστήσαντα πάλιν, διδόναι τῆς ἱερᾶς ∠. γ. μόνας. εἶτα πταρμικοῖς χρῆσθαι. καὶ ἀποφλεγματισμοῖς. καὶ ἐρρίνοις. κυκλαμίνου χυλὸν ταῖς ῥισὶν ἐγχέοντες. ἢ αὐτὴν τὴν ῥίζαν ξηρὰν λείαν ἐμφυσῶντες. ἢ ἐλατήριον μετὰ γάλακτος. καὶ διαστήσας, κλύζε τὸ διὰ κενταυρείου. ἢ κολοκυνθίδος. εἶτα σινάπιζε τὴν κεφαλήν. καὶ δριμυφαγίαις χρῶ ἐκ διαλειμμάτων.

Ὅσα ἐλέγχει τοὺς ἐπιληπτικούς. ιδ.

Ἐλέγχει ἐπιληπτικοὺς ὑποθυμιώμενος, καὶ καταπίπτειν αὐτοὺς παρασκευάζων, ἄσφαλτος. γαγάτης λίθος, κέρας αἴγειον. καὶ ἡ ὀσμὴ τοῦ αἰγείου ἥπατος ὀπτωμένου. καὶ αὐτὸ τὸ ἧπαρ ἐσθιόμενον.

Εἰδύμου διεγερτικὰ τῶν καταπιπτόντων ἐπιληπτικῶν. ιε.

Ἐὰν δέ ἕλῃς τὸν μέγαν δάκτυλον τοῦ ποδὸς αὐτοῦ ἐξ οἱουδήποτε μέρους. καὶ τῷ ἀπορρέοντι αἵματι διαχρίσῃς τὰ χείλη αὐτοῦ τοῦ καταπεσόντος, εὐθέως διεγερθήσεται.

Ἀσκληπιάδου.

Ὀσφραντὸν διεγερτικὸν ἐπιληπτικοῖς. σαγαπηνοῦ πεπέρεως. καστορείου. ἀμυγδάλων πικρῶν. πευκεδάνου ῥίζης. σφονδυλίου. χαλβάνης. ἀνὰ ∠. β. σιλφίου ∠. α. ὀποβαλσάμου ∠. α. ὄξει διαλύσας, ἀνάπλασσε τροχίσκους. ἐν δὲ τῇ χρήσει ὄξει διαλύσας, ὑπόχριε τοὺς μυκτῆρας. ἡ χρῆσις, ἐν τοῖς παροξυσμοῖς ποιεῖ. καὶ ταῖς ὑστερικῶς πνιγομέναις. ἔσω δὲ τὸ φάρμακον ἀποκείμενον, εἰς χαλκῆν πυξίδα. ἣν προσάξεις τῇ ὀσφρήσει τοῦ πάσχοντος. χαλβάνης. σφονδυλίου. ἢ ἑρπύλλου. ἰοῦ ξυστοῦ. καστορείου, ἀκόρου ἀνὰ ∠ δ. ὀποῦ πευκεδάνου, ∠. β. ἢ τῆς ῥίζης, ∠. γ. ὀποῦ κυρηναϊκοῦ, ∠. α. ὀποβαλσάμου. πεπέρεως κόκκοι κδ. ἀμύγδαλα πικρὰ λελεπισμένα λ. πίσσης ὑγρᾶς ὅσον ἐξαρκεῖ. ὄξους τὸ ἴσον, χρῶ.

Βοηθήματα ἐπιληπτικοῖς Διοσκορίδους. ις.

Γέρας ἐπιληπτικοὺς. πηγάνου ἀγρίου σπέρμα σὺν ὕδατι πινόμενον ὠφέλιον ὁμοίως. βρυωνίας ῥίζης, ∠. α. βαλσάμου καρπὸν, ∠. γ. καρδαμώμου ∠. α. λωτοῦ τοῦ δένδρου πρίσματος, τὸ ἀπόβρεγμα. πενταφύλλου φύλλα ∠. α. καθ' ἑκάστην ἡμέραν πινόμενα. χελώνη χερσαία ἑψηθεῖσα καὶ ἐκλιχομένη. λάσαρ σὺν τῇ τροφῇ. ἄκρως δὲ ὠφελεῖ τοὺς ἐπιληπτικοὺς, καστόρειον μετά τινα κάθαρσιν παραλαμβανόμενον, ἐπὶ ἡμέρας ε. ἢ πλείονας, ∠. α. μετὰ τοῦ μελικράτου. καὶ τὸ τοῦ ἐλέφαντος ῥίνισμα, μεγάλως ἐπιβοηθῆσαν ἔγνωμεν. ἐπὶ ἡμέρας ε. ἢ πλείονας, ὅσον κοχλιάριος β. καθεκά-

στὴν μετὰ τοῦ μελικράτου πινομένην.

Ἐκ τῶν ἀσκληπιάδου πρὸς ἐπιληπτικούς. ιζ.

Ὀξαλίδα ἤτοι ὀξυλάπαθον χλωρὸν μάλιστα πλῆστον δίδου καθεκάστην ἡμέραν, ἀπὸ πρώτης τῆς σελήνης ἕως τῆς τριακοντάδος. ἡ δ᾽ αὐτὴ ὀξαλὶς βοτάνη. χλωρὰ διδομένη μετ᾽ οἴνου τοῖς ἀπομωρουμένοις, ἀποκαθίστησιν εἰς τὸ κατὰ φύσιν. Ἄλλο.

ὥστε μὴ συνεχῶς καταπίπτειν φησὶν ἀρχιγένης.

Ἠρυγγίου τοῦ ὀρείου καλουμένου. οὗ τὰ φύλλα στενὰ καὶ μικρότερα καὶ ἄνθη χρυσοειδῆ καὶ ὀφθαλμοειδῆ. τούτου τὴν ῥίζαν κόψας καὶ σήσας ἐπιμελῶς, ἀπόθου καὶ ἐκ τούτου, δίδου μύστρα δύο καθ᾽ ἡμέραν. ε. προβαλὼν μέλι τὸ αὔταρκες. ὡς ἔχειν πάχος ἐλίγματος. καὶ τοῦτο ποίει ἐκ διαλειμμάτων. ὡς συμπληρῶν διακόσια ἑξήκοντα πέντα ἡμέρας. ὁ γὰρ τοῦτο λαμβάνων καθ᾽ ἐνιαυτὸν ὡς εἴρηται, τξε. ἡμερῶν, οὐ ληφθήσεται τῷ πάθει. Ἄλλο.

Σκίλλης ὀπτῆς τοῦ ἔνδον λείου. καὶ ἀνήθου τῶν ἀμφοτέρων ὀξύβαφον. καὶ σελίνου ὀξύβαφα, τρία. φυράσας δίδου μέλιτι καρύου ποντικοῦ τὸ μέγεθος μετ᾽ ὀξυμέλιτος. καὶ πιὼν. εἰ μὲν δύναται, δραμέτω. εἰ δὲ μὴ, συντόμως περιπατείτω. Ἄλλο ἀσκληπιάδου.

Φύλλα ἐλαίας, κε. καὶ καστορίου σὺν ὀξυμέλιτι ὁ θεμίσων ἐχρήσατο. ποιεῖ καὶ ἐπιληπτικοῖς. καὶ ἐλεφαντιῶσιν. ἔστι δὲ καὶ θηριακὴ ἀγαθή. σεσέλεως ∠. ε. σκορδίου. καστορίου. κινναμώμου. τριφύλλου σπέρματος. ἀνὰ ∠. ς. σταφίδος ἀγρίας, ∠. γ. γεντιανῆς ∠. η. ἀριστολοχίας, ∠. ς. πυρέθρου ∠. η. εὐφορβίου, ∠. ε. πεπέρεως λευκοῦ, ∠. ι. ὀποβαλσάμου, ∠. γ. ὀποῦ κυρηναϊκοῦ, ∠. γ. ὀξύμελι ἁπλοῦν σκευάζεται ἀναλάμβανε αὐτὸ καὶ δίδου. τοῖς μὲν ἐπιληπτικοῖς μεθ᾽ ὑδρομέλιτος κυάθους γ. τοῖς δὲ ἐλεφαντιῶσι, δίδου ∠. α. S. Ἄλλο.

Ὠριγένης ἐχρῆτο φαρμάκῳ ἐπιληπτικοῖς. ᾧ οὐδὲν ἴσον τὸ αὐτὸ συμπεπτικὸν καὶ κενωτικόν. καστορίου. ἑλλεβόρου μέλανος. σκαμμωνίας, ἀνὰ ∠. β. ὀποπάνακος. κυμίνου θηβαϊκοῦ. κενταυρείου. νίτρου. θείου ἀπύρου. ἀβροτόνου ἀμμωνιακοῦ θυμιάματος. πηγάνου ἀγρίου σπέρματος. ἀψινθίου ἀνὰ ∠. ϛ. κόψας. σήσας, ἀναλάμβανε ὕδατι. καὶ ἀνάπλαττε σφαιρία. κυάμου αἰγυπτίου τὸ μέγεθος. καὶ δίδου ἐν τῆς ἡμέρας μετὰ ὀξυμέλιτος κυάθων, δ. θεία ἐστὶν ἡ δύναμις. ἔχει δὲ μίγματα, ιϛ. ∠. ιβ.

Ἄλλο. Λαγωοῦ πιτύαν πινέτω καθ᾽ ἡμέραν νῆστις ὅσον ὄροβον. ἐν ὕδατι δημένον. μὴ παρούσης δὲ λαγώας, ἐλαφεία χρηστέον. Ἄλλο ἀρχιγένους.

Ἐπιληπτικοῖς. καὶ τοῖς περιοδικῶς πυρεσσομένοις. ἢ εἰλεωδῶς ὀχλουμένοις. ἢ χρονίως κεφαλαλγοῦσι. καστορίου. ἀβροτόνου. πάνακος ῥίζης. πυρέθρου. κρόκου. ἀνὰ ∠. η. πηγάνου σπέρμα ἀγρίου. σμύρνης. πεπέρεως, ἀνὰ ∠. δ. λειώσας ὄξει σκιλλιτικῷ. καὶ πλάττε τροχίσκους δραχμιαίους, δίδου ἕν. ἀπυρέτοις ὀξυμέλιτι. πυρέσσουσι δὲ, ἐν ἀνέσει ἢ διαλείμματι μεθ᾽ ὑδρομέλιτος καθ᾽ ἡμέρας. γ. εἶτα διαλιπὼν τρεῖς ἡμέρας, δίδου ἄλλας γ. ἡμέρας. ποιεῖ καὶ ἀρθριτικοῖς. ἄγει καὶ ἔμμηνα γυναιξίν. ἐνεάκις ὡς εἴρηται ποτίζεσθαι.

Ἄλλο ὁμοίαν ἔχον τὴν χρῆσιν.

Καστορίου. πεπέρεως πάνακος ῥίζης, ἀνὰ ∠. η. πυρέθρου. σταφίδος ἀγρίας, ἀβροτόνου. πηγάνου σπέρματος. ζιγγιβέρεως. ἀκόρου. δαύκου, ἀνὰ ∠. δ. κρόκου. ἴρεως. καρδαμώμου, ἀνὰ ∠. ϛ. δίδου ξηροῦ κοχλιάριον μελικράτῳ. ποιεῖ ἐπιληπτικοῖς. παρέτοις ζομώδεσιν.

Περὶ τῶν ἀπὸ στομάχου πρωτοπαθοῦντος ἐπιληπτικῷ τρόπῳ παροξυνομένων. γαληνοῦ. ιζ.

Ἐπεὶ δὲ πρωτοπαθοῦντος τοῦ στομάχου γίγνεται ἐπιληψία, κελεύειν χρὴ εὐπεψίας προνοοῦντα τὸν ἄνθρωπον τὸν πάσχοντα, περὶ τρίτην ὥραν, ἄρτον ἐπιμελῶς ἐσκευασμένον προσφέρεσθαι. ἐξ οἴνου παλαιοῦ λευκοῦ καὶ λεπτοῦ κεκραμμένου. τῶν ἠρέμα στυφόντων. δίδου δὲ αὐτοῖς. καὶ τοῦ διὰ ἀλόης πικροῦ φαρμάκου πλειστάκις τοῦ ἔτους. εἰρήσεται δὲ ἐπιπλέον περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶν παροξυνομένων, ἐν τῷ περὶ τῶν στομαχικῶν λόγῳ. ὠφελεῖ δ᾽ αὐτοὺς ἱκανῶς, σέσελι. καὶ τοῦ σπονδυλίου ἡ ῥίζα καὶ ὁ καρπὸς. καὶ ἡ ἀριστολοχία. μεθ᾽ ὕδατος λεῖα πινόμενα. βοηθεῖ δὲ τούτους μεγάλως, καὶ ἡ ἀπὸ τῶν σφυρῶν ἢ ἀπὸ τῆς ἰγνύας, φλεβοτομία συνεχῶς γιγνομένη. οἶδα δέ ποτε παιδίον, οὐδόλως ἐπιληφθὲν. ἐξ οὗ τῆς ῥίζης τῆς παιονίας ἐφόρει. μέγα καὶ πρόσφατον ἐξηρτημένον τοῦ τραχήλου. ὡς ἀδιαλείπτως ἅπτεσθαι τοῦ στομάχου. Ποσειδωνίου.

Περὶ τῶν ἀπὸ μορίου τινὸς ἐχόντων τὴν ἐπιληψίαν, αἰτίαν. ιη.

Ὅσοις δὲ ἀπό τινος ἑτέρου φανεροῦ μορίου τὴν ἀρχὴν ἔχει ἡ ἐπιληψία. καθάπερ καὶ τοῦ προειρημένου ἀπὸ τῆς κνήμης μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν. χρίσμασιν ἐκθερμαίνειν τὸν τόπον χρὴ πρότερον. εἶτ᾽ ἐπιθεῖναι τὸ διὰ σπερμάτων ἐπίθεμα. καὶ τῶν ἐμπλάστρων τὰ ἀρωματικά τε καὶ μετασυγκριτικὰ τῆς δυσκρασίας. οἷα ἐστὶν ἡ μέθη καλουμένη. καὶ ἡ διὰ ἀλθαίας. καὶ ἡ μνασαίου. μετὰ δὲ ταῦτα ἡ φοινικίνη. μετὰ δὲ χρόνον δρωπακίζειν τὸν τόπον. καὶ σιναπίζειν. οὕτω μὲν νεανίσκους τε καὶ μειράκια. καὶ παρακμάζοντας, ἰσχυρῶς θεραπεύεσθαι δεῖ.

Θεραπεία

Θεραπεία γερόντων καὶ παίδων, ἁλισκομένων τῷ τῆς ἐπιληψίας πάθει. ιθ.

Γέροντας δὲ καὶ παιδία πάσχοντας, τοιῶσδε θεραπεύεσθαι χρή. τὰς μὲν δὴ τοῦ σώματος κενώσεις, παραιτητέον ἐπὶ τούτων, διὰ τῶν καθαιρόντων ποιεῖσθαι φαρμάκων. ἄτονον γὰρ καὶ γέρουσι καὶ παισὶ τὸ σῶμα, πρὸς τὴν τῶν καθαρτηρίων ἰσχὺν ἀντιβαίνειν. κλυστῆρσι δὲ κενοῦν αὐτούς. καὶ μάλιστα τοὺς γέροντας. διὰ κενταυρείου. ἀριστολοχίας. πολυποδίου τε καὶ ἀνήθου. καὶ διαμασᾶσθαι δὲ τοῖς γέρουσι προσήκει. καὶ ἀναγαργαρίσμασι κεχρῆσθαι καὶ ἐρρίνοις. τοῖς δὲ παισὶ, τὰ ἁπλούστατα τῶν κλυστηρίων ἐνιέναι. καὶ σμήγματα δὲ καὶ σιναπισμοὶ ἁπλούστεροι μὲν ἔστωσαν ἐπὶ τῶν παιδίων. δραστικώτεροι δὲ ἐπὶ τῶν γερόντων. τοῖς δὲ γέρουσι, καὶ ἀντιδότους διδόναι τὰς προγεγραμμένας.

Θεραπεία τῶν ἄγαν γεγηρακότων, ἐπιληπτευομένων δὲ Ποσειδωνίου. κ.

Τοὺς δὲ ἄγαν γεγηρακότας, διαίταις μόναις θερμοτέραις συμβουλεύειν κεχρῆσθαι. καὶ εὐπεψίας προνοεῖσθαι. ἀμήχανον γὰρ τοὺς συγγηράσαντας τῷ πάθει ἀνθρωπίνως θεραπευομένους, ἀπαλλαγῆναι τοῦ νοσήματος. οἷς δὲ πρόσκαιρος ἐστὶν ἡ διάθεσις, ἀπό τινων προφάσεων συμπίπτουσα. κἂν πάνυ γέροντες τύχωσιν, οὐκ ἀπελπιστέον τῆς θεραπείας αὐτῶν.

Θεραπεία νεογεννῶν παιδίων ἐπιληπτικῶς ἀλισκομένων. Ποσειδωνίου. κα.

Πάσχει καὶ τὰ νεογεννῆ παιδία τῷ τῆς ἐπιληψίας πάθει. καὶ δυσμεταχείριστον ἔχει τὴν θεραπείαν πλὴν οὐκ ἀνίατον. ἐγχωρεῖ γὰρ τὰς αὐτῶν μητέρας ἢ τὰς θηλαζούσας, διαιτᾶσθαι θερμοῖς σιτίοις καὶ ποτοῖς. ὅπως ἀεὶ τὸ γάλα, θερμότερον γένοιτο καὶ λεπτότερον. καὶ πάσμασι δὲ καταπλήττειν τὰς κεφαλὰς τῶν βρεφῶν θερμοτέροις. οἷον, κύπρον. ἀδίαντον. ἴριν. καὶ ἐλαίῳ ἀνηθίνῳ ἀλείφειν συνεχῶς. καὶ ἰρίνῳ. καὶ ἀμαρακίνῳ, θερμοῖς. λούοιντο δὲ, μὴ βρέχειν τὴν κεφαλήν. μὴ δὲ τῷ θερμῷ. μὴ δὲ τῷ ψυχρῷ. πλὴν εἴ ποτε δέοι ῥύπον ἀποσμήχειν, ἀφρονίτρῳ καὶ μέλιτι. καὶ οὕτως ἀποπλύνειν μόνον τὴν κεφαλὴν τῷ θερμῷ. μὴ βάπτειν δέ. διδόναι δὲ, καὶ μέλι ἀπηφρισμένον ἐκλείχειν. περιάπτειν δὲ καὶ τῷ τραχήλῳ, τῆς παιονίας ῥίζαν πρόσφατον. ὥστε ἅπτεσθαι ἀεὶ τοῦ στομάχου.

Περὶ μωρώσεως. κβ.

Καὶ τὰς μωρώσεις δὲ καὶ τοὺς λήρους, μετὰ τὴν ἐξ ἀρχῆς γένεσιν ἐγχειρητέον ἰᾶσθαι. εἰ τὰ μόρια σύμπαντα τοῦ σώματος, καὶ μάλιστα τῆς κεφαλῆς, σύμμετρα ἔχωσι. καὶ τὸν λογισμὸν μὲν πρότερον σώφρονα ἔχοιεν. ὕστερον δὲ ἀνόητοι φαίνονται. γίγνονται δὲ ἀμφότερα τὰ πάθη, ψυχροτέρου τοῦ ἐγκεφάλου γιγνομένου. ποτὲ μὲν ἐκ ποιότητος μόνης. οἷον γίγνεται ἐν ταῖς ὁδοιπορίαις. ὑπὸ τοῦ ψύχοντος τὴν κεφαλὴν, ἢ ἀνέμου σφοδροῦ. ποτὲ δὲ καὶ βραχέος φλέγματος παραρρυέντος τῷ ἐγκεφάλῳ. διαφέρει δὲ μώρωσις λήρου. τῷ τὴν μώρωσιν μὲν ἀκόλουθα καὶ λέγειν καὶ πράττειν. λῆρον δὲ, μετάβασιν ἀνακόλουθον ποιεῖσθαι. καὶ λόγον ἄλλον ἄλλῳ συμπλέκειν. οὐδὲν ἐχόμενον τοῦ προτέρου. καὶ λῆρον μὲν γέρουσιν ὡς ἐπιπλεῖστον. μώρωσιν δὲ καὶ παισί. καὶ μειρακίοις. καὶ ταῖς ἄλλαις ἡλικίαις ἐκ νοσημάτων τινῶν προηγησαμένων ἐπιγίγνεσθαι. ἡ δὲ θεραπεία ἀμφοτέρων τῶν νοσημάτων, παραπλησίως τῇ προειρημένῃ ἐπὶ τῶν ἐπιληπτικῶν. διὰ τῶν θερμαινόντων μὲν ὁμοίως βοηθημάτων γιγνομένη, οὐ μὴν ὁμοίως γε ξηραινόντων.

Περὶ μνήμης ἀπολωλυίας ἐκ τοῦ Ῥούφου καὶ Γαληνοῦ. κγ.

Ἡ τῆς μνήμης βλάβη φαίνεται πολλάκις ἐν νοσήμασι τισὶ γιγνομένη. συμβεβλαμμένου καὶ τοῦ λογισμοῦ. τῆς μὲν διαθέσεως ἀμφοτέροις τῆς αὐτῆς οὔσης. ἐπιτεταμένη δὲ ὁπότε τῇ μνήμῃ συναπόλωλε καὶ ὁ λογισμός. ὅπερ ὀνομάζεται μώρωσις. ἀπόλλυται δὲ ἄμφω ταῦτα. καὶ τοὺς ληθάργους τε καὶ τὰ καρώδη πάθη πάντα. ὅτε καὶ ἡ θεραπεία ἐπὶ τῶν προειρημένων παθῶν ἀναγεγραμμένη παραλαμβάνεται ἤδη ἐνεστηκότων τῶν νοσημάτων. καὶ γὰρ καὶ τοῦτο γίνεται ἐκ λοιμοῦ. ὥσπερ οὖν καὶ συνέπεσε τῷ γενομένῳ ἐν Ἀθήναις λοιμῷ, τῶν μὲν νοσημάτων. εἰ δὲ ἀποσκήψει ποτὲ ἔκ τινος τῶν εἰρημένων νοσημάτων ὡς ἐπίπαν λυομένων. ἐρεισαμένων δὲ εἰς λήθην, ἐπὶ τούτων σκοπεῖσθαι χρὴ τὴν μᾶλλον ἐπικρατοῦσαν ποιότητα. οὕτως. μόνη μὲν ὑγρότης πλεονάσασα, βαθεῖς καὶ μακροὺς ὕπνους ἐργάζεται. μόνη δὲ ξηρότης πλεονεκτοῦσα, ἀγρυπνίας ἐργάζεται. εἰ δὲ ἡ ψυχρότης προσγένηται μεθ᾽ ὑγρότητος, ἱκανῶς τὰ κατάφορα καὶ καρώδη πάθη συνίστανται. εἰ δὲ ὑγρότης προσγένηται μετ᾽ ὀλίγης ψύξεως, αἱ τῆς μνήμης ἐπιγίγνονται βλάβαι καὶ αἱ μωρώσεις. ὅσης δὲ πολλῆς διαφορᾶς ἐν τῷ μᾶλλον τε καὶ ἧττον τῶν κράσεων, ποικιλία πολυειδὴς γίγνεται. τῶν βλαπτόντων τὰς ψυχικὰς ἐνεργείας αἰτίων παραφυλάττειν οὖν χρὴ τοὺς ὕπνους τῶν ἀπολωλεκότων τὴν μνήμην. ἢ τὴν σύνεσιν. ἀπώλεια γὰρ τῆς συνέσεως, ἡ μώρωσις ἐστί. πότερον ὑπνώδεις εἰσὶν οἱ κάμνοντες σφόδρα, ἢ μέτριος αὐτοῖς ἐστὶν ὁ ὕπνος. οὕτω γὰρ ἂν ἐξεύροις τὴν ἐπικρατοῦσαν δυσκρασίαν. ἐπιθεωρητέον δὲ καὶ πότερον ἐκκρίνεται πολλὰ διὰ ῥινῶν καὶ στόματος ἐκ τῆς κεφαλῆς καταφερόμενα. ἢ ξηρὰ φαίνεται τὰ μέρη ταῦτα. εἰ μὲν οὖν ψύξις μόνη ἐστὶ, θερμαίνειν μόνον προσήκει. μὴ μέντοι ξηραίνειν. εἰ δὲ μετὰ ξηρότητος, θερμαίνειν μόνον καὶ ὑγραίνειν. ἔστω γοῦν οἶσθα τινὰ μνήμην ὀλίγου δεῖν ἀπολέσαντα. καὶ τὸν λογισμὸν βλαβέντα διὰ φιλοπονίαν καὶ ἀγρυ-

πυίαν, διὰ μαθήματα. ἔτι δὲ ἀμπελουργὸν ἐπὶ τοῖς κατὰ τὴν ἀμπελουργίαν πόνοις, τὰ αὐτὰ παθόντα. καὶ προφανῶς ἑκάτερος αὐτῶν ἀπὸ μὲν τῶν θερμαινόντων τε καὶ ξηραινόντων, ἐβλάπτετο. ἀπὸ δὲ τῶν ὑγραινόντων ἅμα τῷ θερμαίνειν, ὠφελεῖτο. τούτων προσδιωρισμένων, τῆς θεραπείας ἐχώμεθα. εἰ μὲν ἐπὶ καθάρσεσι τισὶν ἢ ἄλλαις ἀμέτροις κενώσεσιν ἢ συγκοπαῖς θραυσθείσης τῆς δυνάμεως ἐπιγένοιτο βλάβη τῆς μνήμης, τῇ ἀναληπτικῇ ἀγωγῇ κεχρῆσθαι προσήκει, μηδὲν ἕτερον περιεργαζομένους. ῥωννυμένων γὰρ τῶν σωμάτων καὶ συλλεγομένων τῶν δυνάμεων, ἀποκαθίσταται καὶ ἡ μνήμη. ὡσαύτως δὲ καὶ διὰ γῆρας ἔσχατον. εἰ ἐπιγένοιτο βλάβη τῆς μνήμης, οὐ χρὴ περιεργάζεσθαι. μόνῃ τῇ καταλλήλῳ διαίτῃ ἀρκουμένους. ὅσοις δὲ αἰφνίδιον ἐκλείπει ἡ μνήμη, τὰ δ᾽ ἄλλα ὑγιαίνειν δοκοῦσιν, ἐπὶ τούτων προσδοκᾶν δεῖ ἐπιληψίαν ἐπιγίνεσθαι. ἢ πάρεσιν. ἢ καὶ ἀποπληξίαν. καὶ ὅλως μέγα τι εὕροις ἔσω αὐτῶν κακόν. τούτοις μὲν οὖν διαρκοῦσι ποτὲ καὶ αἱ τῶν προσδοκωμένων νοσημάτων προφυλακαί. ἐν ᾧ γὰρ κωλύομεν ἐλθεῖν τὴν νόσον, ἐκ τούτου καὶ ἡ μνήμη ἀνασώζεται. κωλύει δὲ τὰ προειρημένα νοσήματα, πρῶτον μὲν ἡ λεπτύνουσα καὶ τμητικὴ δύναμις. ἔπειτα δὲ καὶ καθάρσεις ἁρμόδιοι. καὶ τὰ παραπλήσια. εἰ δὲ ἐκ νοσημάτων ὡς εἴρηται ποτε κήψει ποτὲ. οἷον ληθάργου. ἢ λοιμοῦ, ἐπιχειρεῖν προσήκει ἀγωνιστικώτερον τῇ τούτων θεραπείᾳ. τὸ δὲ κεφάλαιον τῆς ἰάσεως ἐστὶν, ἐν τῷ θερμαίνειν αὐτῶν τὸ σύμπαν σῶμα ἔνδοθέν τε καὶ ἔξωθεν πρὸς τὸ μέτρον τῆς ἐκτροπῆς τοῦ κατὰ φύσιν. θερμάσματα δὲ ὡς ἐπίπαν τοῖς τοιούτοις ἁρμόδια, θέρους μὲν ἔλαιον καθ᾽ αὑτὸ θερμόν. χειμῶνος δὲ ἴρινον σὺν ὄξει δριμυτέρῳ. ἐνίοτε δ᾽ ἑρπύλλου. ἢ σφονδυλίου. ἢ καλαμίνθου αὐτῷ ἐναφεψημένων. ἔστι δὲ ὅτε καὶ νίτρου ἐμβάλλοντες. καὶ πεπέρεως. ἢ δαφνίδων. ἀγαθὸν δὲ καὶ τὸ καστόριον σὺν ἐλαίῳ, τῷ ἰνίῳ προσαγόμενον. βοηθεῖ δὲ τούτοις μειζόνως, ἡ διὰ τῆς ἱερᾶς Ῥούφου κάθαρσις. ἔστι γάρ φησιν ὅτι τούτῳ μόνῳ καθαίρων τούτους, τὰ μέγιστα ὠφέλησεν ἐν ταῖς καθάρσεσι. μηδὲν τῶν χρηστῶν συναποφέρειν ἑαυτῇ. ἄρχεται γὰρ ἄνωθεν ἀπὸ κεφαλῆς καταστᾶν. ἔπειτα καὶ τὰ ἄλλα μόρια διέρχεται. οὐδὲν βίαιον. οὐδὲν ἀλγεινὸν ἐπιφέρουσα. οὐ φλογοῖ. οὐ καρδιαλγίαν. οὐ δίψαν. ἀεὶ δὲ πρὸς λόγον τῆς κενώσεως κουφίζει. ὅθεν καὶ σώματος ῥώννυται ἐπὶ τῇ καθάρσει. ὥστε καὶ ἐπιτείνεσθαι τὴν τῶν σιτίων ὄρεξιν. πεπίστευται δὲ μετὰ τὴν διὰ τῆς ἱερᾶς κάθαρσιν, καὶ τὸ τοῦ ἐλέφαντος ῥίνισμα τῇ μνήμῃ βοηθεῖν πινόμενον ὅσον ∠ α. μετὰ μελικράτου. καὶ κέρας ἐλάφειον ὁμοίως. καὶ τὸ καστόριον δὲ ὁμοίως μετὰ τὴν κάθαρσιν πινόμενον, ὅσον ∠ α. μετὰ μελικράτου, μειζόνως βοηθεῖ. μεγίστη δὲ καὶ ἡ τοῦ λευκοῦ ἐλλεβόρου πόσις. οὐχ ὥσπερ οἴονταί τινες τὸ ἔσχατον τῆς βοηθείας, ἀλλά τις ὀρθῶς καὶ ἄρξαιτο ἐντεῦθεν. τί γὰρ δεῖ μακρὰ καὶ πολλὰ κάμνειν. ἐξὸν ἤδη περὶ τοῦ μεγίστου βοηθήματος, τὰ μέγιστα τῆς ἰάσεως ἔχειν. ὅθεν μηδὲν ὑφορωμένους, διδόναι χρὴ τὸν ἐλλέβορον. πρὶν καταστῆναι τὸν κάμνοντα τῷ νοσήματι. καὶ δι-τῆλον τὴν ἰσχὺν ἐργάσηται τοῦ βοηθήματος. ὠφέλιμα δὲ καὶ τὰ διὰ ἐλλεβόρου λευκοῦ. καὶ καστορείου πταρμικὰ προσαγόμενα ταῖς ῥισί, μετὰ τὰς κενώσεις. καὶ τὰ ἔρρινα προσαγόμενα ταῖς ῥισί. καὶ ἀποφλεγματισμοί. τροφὴ δὲ ψαφαρὰ ἐπιτήδειος. καὶ ποσῶς θερμαντικὴ καὶ λεπτυντική. λαχάνων δὲ ὡς ἐπίπαν πάντων, τῶν ψυχόντων ἀποχὴ ἔστω. καὶ ὀπώρας. καὶ φαγημάτων. τυρῶν τε καὶ γάλακτος. καὶ τῶν παχυνόντων τε καὶ πνευματούντων σιτίων. τὰ μὲν γὰρ, θολοῖ. τὰ δὲ, πήγνυσι τὸ πνεῦμα. τῆς δὲ δριμυτέρας ὕλης, ἐκ διαστημάτων προσφερέσθω. οἷον σκόροδα. θύμβρα. ὀρίγανον. γλήχων. καὶ ῥαφανίδες. φείδεσθαι δὲ καὶ τούτων τοῦ πλήθους. ἀεὶ δὲ τὴν ἀπεψίαν παραφυλάττεσθαι. πάντως γὰρ μᾶλλον αἱ ἀπεψίαι τῇ γνώμῃ κακόν. οἶνος δὲ τούτοις ἁρμόδιος, λεπτὸς. λευκὸς καὶ μὴ πάνυ παλαιός. τῇ γὰρ μετρίᾳ θερμότητι, ἀλλὰ τὸ δύναται οὐκ ὀλίγα, καὶ ψυχὴν ἀνθρώπου ἡμεροῦσαι. καὶ πρὸς ὀρχήσματα. οἰκείαν ἐργάσασθαι. κίνησιν αὐτῇ διδοὺς ἐμμελῆ καὶ καθεστηκυῖαν. πολυποσία δὲ ὕδατος. καὶ πολλῷ μᾶλλον οἴνου, παντὸς κάκιστον. ὑγραίνει γὰρ σφόδρα τὴν κεφαλήν. ἡ δὲ ὑγρότης ἡ πλείστη, ἐστὶν ἐπιλησμονεστάτη. ὕπνος σύμμετρος ἔστω. καὶ μὴ ἐπὶ πλησμονῇ παραλαμβανέσθω. ἀφροδισίων δὲ σπανιωτάτη ἡ χρῆσις ἔστω. οὔτε γὰρ τῇ ὅλῃ ὑγείᾳ λυσιτελεῖ, οὔτε τοῖς τῆς ψυχῆς λογισμοῖς, ἀλλὰ καὶ ἀθυμίαν ἐμποιεῖ. σπασμῷ τε γάρ πως ἐστὶ συγγενὴς ὁ κατὰ τὰς συνουσίας σπαραγμός. καὶ ἡ ἐπιγιγνομένη κατάψυξις, πήγνυσί πως καὶ ναρκοῖ τὴν διάνοιαν. μετὰ δὲ τὰς καθάρσεις τάς τε καθολικὰς καὶ τὰς τοπικάς. καὶ σιναπισμὸς τοῦ ἰνίου ἐπιτήδειος. καὶ μετὰ τὸν σιναπισμὸν, λουτρὸν παραλαμβανόμενον. ἀπεψίαν δὲ καὶ κόπον, φυλακτέον παντάπασιν. τῶν τε ἄλλων σωμάτων, καὶ μάλιστα τῆς κεφαλῆς καὶ αὐτῆς τῆς διανοίας. ἐγκαύσεις τε σφοδρὰς καὶ ψύξεις. ἀμφότεραι γὰρ πληρωτικαὶ τῆς κεφαλῆς. φυλακτέον δὲ καὶ τὰ παχύνοντα τῶν σιτίων. καὶ τὰ ἐκπνευματοῦντα. καὶ τὰ ὑγραίνοντα. ἐκ τούτων δέ τις ὁρμώμενος. καὶ ἐπὶ ὑγιαινόντων μὲν, ὑγροτέραν δὲ τὴν κεφαλὴν κεκτημένων, τὴν δίαιταν ἀποτυπώσειεν, ὡς ἄν τις κάλλιστα μνημονεύοι.

Περὶ λυσσοδήκτων ἤτοι ὑδροφόβων. ἐκ τῶν Ῥούφου καὶ Ποσειδωνίου. κδ.

Οἱ κύνες θερμοὶ καὶ ξηροὶ φύσει τυγχάνοντες. ἐπικτῶνται κατὰ τὸ θέρος ἐκ τοῦ περιέχοντος ἡμᾶς ἀέρος,

ἡμᾶς ἀέρος, ἑτέραν θερμότητα καὶ ξηρότητα καὶ τῇ ἀμετρίᾳ τῆς δυσκρασίας ἀποπίπτουσι μανίαν.
ἣ καλεῖται λύσσα. μᾶλλον δὲ τοῦτο πάσχουσι κατὰ τὰς χώρας ἐκείνας, ἐν αἷς μέγισται καὶ ἀνώμα-
λοι μεταβολαὶ τοῦ περιέχοντος ἀτάκτως γίνονται. ἐν αἷς καὶ χειμῶνες σφοδροὶ γίγνονται.
καὶ καῦμα ὑπερβάλλον. μανέντες δὲ οἱ κύνες. καὶ δίψῃ σφοδρᾷ ἁλισκόμενοι, ποτὸν οὐ προσίενται
διὰ τὸ παραφρενεῖν. ὅθεν καὶ μᾶλλον αὐτοῖς ἐπιτείνεται ἡ τοῦ ἰοῦ κακία. σημεῖα δέ ἐστι λυττώντων κυ-
νῶν τοιάδε. ἄφωνοί εἰσι καὶ ἔκφρονες. ὥστε οὐδὲ τοὺς οἰκειοτάτους γνωρίζειν. ἀλλὰ καὶ τούτων ἅπτε-
σθαι πρῶτον. ἀπόσιτοι δὲ καὶ διψώδεις μὲν, οὐ ποτικοὶ δὲ, καὶ ἀσθμαίνουσιν ἐπὶ πολύ. κεχηνότες
δὲ τὸ στόμα. καὶ τὴν γλῶτταν προβάλλοντες, σίελον δαψιλὲς καὶ ἀφρῶδες προχέουσι. τά τε ὦτα
ἐπικλίνουσι. καὶ τὴν οὐρὰν κεχαλασμένην ἔχουσι. βαδίζοντές τε νωθρότεροι. καὶ οἷον κωματω-
10 δέστεροι εἰσίν. εἰ δὲ καὶ τρέχοιεν, ὀξύτερον τοῦ εἰωθότος τρέχουσι μετὰ τοῦ ἀκαίρου καὶ ἀτάκτου. τοὺς
τοιούτους κύνας, ἐκκλίνειν δεῖ. πάντες γὰρ ὡς ἐπίπαν οἱ δηχθέντες ὑπὸ κυνὸς λυσσῶντος ἀμελη-
θέντες, ἢ κακῶς θεραπευθέντες, ἐμπίπτουσι τῷ ὑδροφοβικῷ πάθει. καὶ μάλιστα οἱ κακόχυμοι τοῦ-
το πάσχουσιν. ὅθεν τινὲς αὐτίκα δηχθέντες, ἔδεισαν τὸ ὕδωρ. καὶ ἄλλα ὑγρά. τινὲς δὲ μεθ' ἡμέρας
μ̄. ἕτεροι δὲ καὶ μετὰ πλείονα χρόνον. γίγνεται δ' αὐτοῖς χαλεπωτέρα ἡ ἔκστασις. ὅταν ὕδωρ ἢ ἕ-
τερον διαυγὲς θεάσωνται ἔσοπτρον. ὁρῶσι γὰρ τὸ ἑαυτῶν πρόσωπον ἐνερευθὲς καὶ δριμὺ βλέπον.
καὶ πλῆρες ὀργῆς. δυνατὸν δ' αὐτοὺς ὥσπερ τινὲς καὶ τοῦ δάκνοντος κυνὸς τὸ εἴδωλον φαντάζε-
σθαι φαινόμενον κατὰ τῶν ὑγρῶν. ἀναμιμνησκόμενοι δὲ τῆς μορφῆς τοῦ κυνὸς, ἀθρόως αὐτοὺς κατα-
λαμβάνει φόβος ἄμετρος. τοῦτο δὲ πάσχουσι τῇ ἀμετρίᾳ τῆς ξηρότητος. Φιλόσοφος γάρ τις δηχθεὶς
ὑπὸ λυσσῶντος κυνὸς. καὶ γενναίῳ φρονήματι πρὸς τὸ πάθος ἀντισχὼν. καὶ ἀνακόλουθον εὑρὼν,
20 τὸ ἐν βαλανείῳ φαίνεσθαι κύνα. ἐφαίνετο γὰρ αὐτῷ καθάπερ καὶ τοῖς ἄλλοις τοῖς τοῦτο παθοῦσιν.
ἐπιλογισάμενος οὖν καὶ ἐν ἑαυτῷ εἰπὼν. τί κοινὸν κυνὶ καὶ βαλανείῳ, κατεκράτησε τοῦ πάθους
καὶ ἰάθη τοῦ πάθους. καὶ πιὼν ἀφόβως. δηχθέντος μὲν οὖν τινὸς ὑπὸ κυνὸς λυσσῶντος, ὅτι τά-
χιστα τούτῳ χρὴ βοηθεῖν τῇ νενομισμένῃ ἐπιμελείᾳ. κἂν μικρὸν ἐπιπόλαιον ᾖ τὸ δῆγμα. εἰδότας
ὅτι οὐδεὶς τῶν μὴ καλῶς θεραπευθέντων, ἐξέφυγε. δεῖ οὖν πρῶτον μὲν τὸ τραῦμα μεῖζον ἐργάσα-
σθαι, σμιλίῳ τὸ στόμιον ἐπιδιαιροῦντες ἢ εὐρύνοντες. ἔπειτα δὲ καὶ ἀμυχαῖς κνίζειν ἅπαντα τὸν
ἐν κύκλῳ τόπον. μηχανώμενον ῥύσιν αἵματος πολλοῦ διὰ τοῦ τόπου γίγνεσθαι. καίειν δὲ τὸ ἕλκος καυ-
στηρίοις διαπύροις πλατυτέροις. ἔπειτα καταπλάσσειν πράσου. ἢ ἄρτου μεθ' ἁλῶν τετριμμένων. ἢ
κρόμμυα. ἢ σκόροδα. καὶ μετὰ τὴν ἔκπτωσιν τῶν ἐσχαρῶν ἐπὶ ἡμέρας μ̄. ἢ καὶ ξ̄, φυλάττειν ἀκα-
τούλωτα τὰ ἕλκη. καὶ εἰ ταχύναι πρὸς ἀπούλωσιν, πάλιν τῇ ἀμπελίνῃ τέφρᾳ καὶ τῇ σικυώνῃ. καὶ
30 τοῖς ὁμοίοις, ἀναλύειν τὰ ἕλκη. καλὸν δὲ καὶ πρασίου φύλλοις διὰ τοῦτο καταπλάσσειν. καὶ τῇ ἀ-
ναγαλλίδι. αὕτη δὲ, καὶ τοῖς ὑπὸ κεράστου δηχθεῖσι μεγάλως βοηθεῖ. καταντλᾶν δὲ χρὴ τὸ ἕλκος
ἑψῶντας ἐν ὕδατι τὰ χαμαίμηλα καὶ τὴν τοῦ ὀξυλαπάθου ῥίζαν. ὃ καλεῖται ὀξαλίς. οἶδα δέ
τινα πρεσβύτην. ὁπότε δηχθείη τις ὑπὸ κυνὸς, τῇ ὀξαλίδι μόνῃ θεραπεύειν. καὶ γὰρ κατέχεε
τοῦ ἕλκους τὸ ἀφέψημα. καὶ κατέπλαττε τῇ πόᾳ. καὶ πίνειν ἐδίδου ἀπ' αὐτῆς. καὶ σφόδρα ἐπῄνει
ὡς ἰσχυρὸν τὸ φάρμακον. οὐροῦσι δὲ οἱ λαβόντες αὐτὴν ἄνθρωποι, πολλὰ καὶ ἄκρατα, διὰ τοῦτο καὶ
ἰκτερικοὺς αὕτη ἐκάθηρεν. ἡμεῖς δὲ καὶ λιχῆνας ἀφιστῶμεν αὐτῇ μετ' ὄξους τρίβοντες. καὶ τοῖς κυν-
σμοῖς ἐπιβοηθοῦμεν, τῇ αὐτῇ ῥίζῃ. χρώμεθα δ' αὐτῇ καὶ ἐπὶ λυσσοδήκτων σὺν τοῖς ἄλλοις βοη-
θήμασι. παραπλήσιον δὲ ποιεῖ καὶ τὸ ἄγριον λάπαθον τὸ κεγχρῶδες. ῥίζαν ἔχον ὑπομήκη, οἷον ῥα-
φανίδα μικρᾶς. εὐδόκιμον δὲ ἐπ' αὐτῶν φάρμακον τὸ γαλλώειον. τὸ διὰ τῆς βρυττίας πίσσης. ἔστι
40 δὲ τοῦτο, πίττης βρυττίας λι. ᾱ. ὀποπάνακος, γο. γ̄. ὄξους κοτύλου. β̄. μέρει τινὶ τοῦ ὄξους τὸν ὀπο-
πάνακα λέου. τὸ δὲ λοιπὸν βαλὼν σὺν τῇ πίσσῃ, ἕψε ἕως δαπανηθῇ τὸ ὄξος. καὶ ἐπίχεε τῷ λειωθέν-
τι ἐν τῇ θυίᾳ ὀποπάνακι. καὶ ἑνώσας ἀναλάμβανε. καὶ ἐμπλάσας, ἐπιτίθει. χρώμενος αὐτῷ ἡμέ-
ρας μ̄. ἢ καὶ ξ̄. οὐκ ἐάσει γὰρ συνουλωθῆναι τὸ ἕλκος. ἀγαθὸν δὲ καὶ τῆς δι' ἐχιδνῶν θηριακῆς ἀν-
τιδότου. ἀναλύσαντα σὺν ῥοδίνῳ ἐλαίῳ ἐπιτιθέναι τῷ τραύματι. καὶ ξηρὸν δὲ ἁρμοδιώτατον αὐ-
τοῖς τοῦτο. ἁλῶν ὀρυκτῶν, ∠ η̄. χαλκίτεως ∠ ις̄. σκίλλης ∠ ις̄. πηγάνου χλωροῦ, ∠ δ̄. ἰοῦ ξυ-
σοῦ, ∠ δ̄. πρασίου σπέρματος, ∠ ᾱ. ἀποτίθεται ξηρανθὲν ἐν τῇ λειώσει, ἐν πυξίδι χαλκῇ. χρῶ
πρῶτον ξηρόν. ἵνα ἐσχαρωθῇ. εἶτα μετὰ ῥοδίνου. ἵνα ἐκπέσωσιν αἱ ἐσχάραι. καὶ ποταμογείτων. μεθ' ἁλῶν
καταπλαττόμενος, οὐκ ἐᾷ ἐμπίπτειν τῷ ὑδροφοβικῷ πάθει. χρῶ δὲ τῇ βοτάνῃ καὶ ὑγρᾷ. καὶ ξη-
ρᾷ. διδόναι δὲ τοῖς λυσσοδήκτοις. καὶ πίνειν τῆς θηριακῆς ἀντιδότου, ἐπὶ ἡμέρας τρεῖς τὰς πρώ-
50 τας, καρύου ποντικοῦ τὸ μέγεθος. οὐκ οἶδα γὰρ οὐδένα τῶν λαβόντων αὐτὴν ἁλόντα τῷ ὑδροφο-
βικῷ πάθει. οὐ μὴν οὐδὲ τῶν ἄλλων βοηθημάτων ἀπέχεσθαι. ἀλλὰ διδόναι μάλιστα τὴν διὰ τῶν ποτα-
μίων καρκίνων εὐδόκιμον ἀντίδοτον. ἔστι δὲ ἡ σύνθεσις αὕτη. καρκίνων εὐδόκιμον ἀντίδοτον. ἔστι δὲ ἡ
σύνθεσις αὕτη, καρκίνων ποταμίων εὐμεγέθων ζώντων. ἐπὶ χαλκῷ ἐρυθρῷ ἀττείῳ κεκαυμένων
τῆς τέφρας, γο. ῑ. γεντιανῆς, γο. ε̄. λιβάνου, γο. ᾱ. δεῖ δὲ σκευάζειν τὸ φάρμακον ἐν μηνὶ αὐγούστῳ. ἡνί-

καὶ ὀκτωκαιδεκαταία ἐστὶν ἡ σελήνη. εἰ δὲ μὴ παρείη τὸ οὕτως σκευασθὲν, οὐδενὸς τούτων φροντι-
στέον. ἀλλὰ σκευάζεται τῷ τυχόντι καιρῷ ὡς εἴρηται διδόναι. καλὸν μέντοι ξύλοις ἀμπελίνοις
ἀποκαίειν. δίδου δὲ εἰ ἀπ' ἀρχῆς χρήσαιτο τῷ προποτισμῷ, κοχλιαρίου πλῆθος σὺν ὕδατι θερ-
μῷ ἄχρις ἡμερῶν μ. εἰ δὲ οὐκ ἐξ ἀρχῆς ἀλλὰ μεθ' ἡμέρας τινὰς, δίδου καθ' ἑκάστην κοχλιάρια δύο,
ἕως ἂν πληρώσῃς τὰς μ ἡμέρας. ποιεῖ δὲ καὶ καθ' ἑαυτὴν ἡ τέφρα τῶν καρκίνων πινομένη. καὶ τῷ
τραύματι ἐπιτιθεμένη μετὰ μέλιτος. Σκευάζεται δὲ ἡ ἀντίδοτος ἡ διὰ καρύων λεγομένη. ἡ τοῖς ἤ-
δη πυρέττουσι λυσσοδήκτοις ἁρμόζουσα. πρὸς γὰρ τῷ ἀντιπάσχειν τῷ πάθει, ἔστι καὶ ὑπνοποιός. ἡ
δὲ σύνθεσις αὐτῆς, ἐστὶν αὕτη. σαγαπηνοῦ < β. ὀπίου θηβαϊκοῦ < β. κρόκου ℥ α S. λυκίου ἰνδι-
κοῦ ℥ ια S. σαρκὸς καρύων μὴ πάνυ παλαιῶν, < μ. ἀναλάμβανε καὶ δίδου, < α. σὺν ὕδατι ὀμ-
βρίῳ θερμῷ εἰς νύκτα. μετὰ τὴν ἀκμὴν τοῦ πυρετοῦ. ὥστε ἕωθεν μὲν, τὴν διὰ καρκίνων. εἰς ἑσπέ-
ραν δὲ, τὴν διὰ καρύων. μὴ παρόντων δὲ τούτων, δίδου τοῦ κύφεως. εἴτε τοῦ διὰ τῶν λϛ ἔχοις, εἴτε τοῦ
διὰ τῶν κη. ὠφέλιμος δὲ καὶ ὁ κυρηναϊκὸς ὀπός. ἢ ὁ παρθικός. ὑοσκυάμου μέγεθος καταπινόμε-
νος. τινὲς δὲ τὸ ἧπαρ αὐτοῦ τοῦ δακόντος κυνὸς ἑφθὸν διδόασι τῷ δηχθέντι. καὶ τῆς ἐθυίης δὲ τοῦ ὄρ-
νιθος τὸ ἧπαρ ὀπτὸν διδόμενον σὺν ἐλαίῳ. καὶ ἅλατος ὀλίγου, ὠφέλιμον γίνεται, φασὶ γὰρ οὕ-
τως ἐνεργὲς αὐτὸ εἶναι. ὥστε τὸν πάσχοντα παραχρῆμα αἰτεῖν ὕδωρ. καὶ ἱππόκαμπος δὲ θαλάτ-
τιος ὀπτὸς ἐσθιόμενος, ὠφελεῖ. ἐρωτᾷ γάρ φασιν ὕδατος παρέχειν τὸ αὐτοῦ αἷμα. καὶ ἀντιπάσχει τῷ
φόβῳ τοῦ ὕδατος. ὅθεν καὶ δεύτερον καὶ τρίτον ἀναγκάζουσιν ἐσθίειν τὸν ἱππόκαμπον. καὶ αὐτοὺς δὲ
τρίψαντες τοὺς ἱπποκάμπους μετ' ὄξους δριμέος καταπλάσσουσι τὸ ἕλκος. καὶ ἐκράτησαν τῷ φαρ-
μάκῳ πολλάκις τῆς λύσσης. καὶ σκύλακος δὲ πιτύα σὺν ὕδατι διδομένη, ὠφελιμώτατον αὐτοῖς
ἐστὶ τὸ ποτόν. κἂν πεισθὲν ἅπαξ αὐτῷ προσαίρωνται, κινεῖ συνεχῶς αὐτοῖς ἐπιθυμίαν ποτοῦ καὶ πί-
νουσιν. ἢ ἕτερόν τι τῶν ὑγρῶν, ἀδεῶς. δεῖ δὲ οὐ πολλῶν ἡμερῶν τὸν σκύλακα εἶναι. ἀλλὰ νεωστὶ τε-
χθέντα. καὶ τεθηλακότα τὴν μητέρα. ὠφελεῖ δ' αὐτοὺς καὶ ἡ λευκάνθιμος πόα ποτιζομένη. τοσαύ-
τη δὲ δύναμις αὐτῇ ὑπάρχει φησὶν, ὅτι καὶ ὑπερχριομένου αὐτῇ τοῦ πυθμένος τοῦ ποτηρίου καὶ
διδομένου, δέχεσθαι αὐτοὺς τὸ ποτὸν ἡδέως. τὸ αὐτὸ λέγεται ποιεῖν τὸ χαμαίμηλον. ὠφελιμωτάτη
δὲ αὐτοῖς ἐστὶν ἄσφαλτος ἰουδαϊκὴ πινομένη μεθ' ὕδατος κυάθων γ. δίδου δὲ αὐτοῖς τοῖς τελείοις,
℥ α. ἐν ἄλλῳ, < α. ἄκρως ποιεῖ, ὠφελίμως δὲ δίδοται καὶ τῆς ἀγρίας συκῆς ὁ φλοιὸς τῶν
ῥάβδων ξηραινόμενος καὶ κοπτόμενος. καὶ ποτιζόμενος σὺν ὕδατι. καὶ τὸ λύκιον τὸ ἰνδικόν. καὶ τὸ
ἀψίνθιον. καὶ τὸ σκόρδιον. καὶ τὸ μικρὸν κενταύρειον. ἀριστολοχία. ἀρτεμισία. χαμαιδρύου. βρυω-
νίας ῥίζα. πόλιον. λάσαρ. καρκίνων ποταμίων ἀφέψημα. ἀνήθου πολλοῦ συνεψημένου. ὑποστρών-
νυνται δὲ αὐτοῖς ὠφελίμως καὶ ἐπιβάλλεται, ἄρκτου δέρμα. ἢ φώκης. μάλιστα δὲ ἢ ὑαίνης ἐνεργέ-
στατόν ἐστι. ὥστε ἐπιβληθὲν αὐτοῖς, ταχεῖαν αὐτοῖς τὴν τῆς γνώμης ἀποκατάστασιν ποιῆσαι.
καὶ καιόμενον δὲ τὸ δέρμα τῆς ὑαίνης. καὶ διδομένης τῆς τέφρας ἐν ποτῷ, παύειν τὸ ὑδροφοβικὸν
πάθος. διάγνωσις δὲ ἔστω τοῦ ἀπηλλάχθαι τοῦ κινδύνου τὸν ἄνθρωπον, ἐκ τούτων καταπλάττε τὸ
ἕλκος καρύοις βασιλικοῖς λειοτάτοις. τῇ δ' ἑξῆς ἐπιλύσας, παράθου τὸ κατάπλασμα εἰς βρῶ-
σιν ἀλεκτρυόνι. ἢ ἀλεκτορίδι. εἰ γὰρ φαγοῦσα ὄρνις μὴ ἀποθάνοι. τότε εἰς οὐλὴν ἄγε τὸ ἕλκος. ὡς ἀπηλ-
λαγμένου τοῦ κινδύνου τοῦ πάσχοντος. χρῶ δὲ εἰς διάγνωσιν τῷ αὐτῷ ἐξ ἀρχῆς. εἰ γὰρ φαγοῦσα
ὄρνις τὸ ἐκ τῶν καρύων ἐν τῇ πρώτῃ ἡμέρᾳ ἐπιτιθέμενον τῷ ἕλκει κατάπλασμα μὴ ἀποθάνοι, γί-
γνωσκε μὴ ὑπὸ λυσσῶντος δηχθῆναι. εἰ δὲ ἀποθάνοι, τοὐναντίον. ὡς ἐπίπαν γὰρ τοῦ πρώτου οὐδ'
ἅπτεται. εἰ δ' ὑπὸ λιμοῦ βιασθεὶς φάγοι, τελευτήσει. ἔγε λυττῶν εἴη ὁ κύων. τοῦτο οὖν καθ' ἑκάστην
ἀλλάσσειν χρὴ, μέχρις οὗ φαγοῦσα ἡ ὄρνις, μὴ ἀποθάνοι. συναλοῖ δὲ τὸ ἕλκος, κάλλιστα καὶ ἀσφαλέ-
στατα, ἡ θηριακὴ ἀντίδοτος, μετὰ ῥοδίνου ἀνιεμένη. συνουλωθέντων δὲ τῶν ἑλκῶν, ἐλλέβορον τὸν
λευκὸν διδόναι. πρὸς ἀνασκευὴν παντὸς τοῦ πάθους. Ῥούφου.

Καὶ γὰρ οἱ λυσσῶντες κυνὸς τοῦτον μετὰ ἀλφίτων φαγόντες ἐμοῦσι. καὶ αὐτίκα σωφρονοῦσιν. ἀπηλ-
λαγέντες τῆς λύσσης. γένοιτο δ' ἂν τὸ δέον. καὶ εἰ κάτω καθαίροις τῇ ῥούφου ἱερᾷ, ὅταν τι κωλύῃ λα-
βεῖν τὸν ἐλλέβορον. διδόναι δὲ καὶ ἐφ' ἡμέραν τῆς ἱερᾶς, οὐκ εἰς κάθαρσιν. ἀλλ' ὅτι ἀλεξίκακον φάρ-
μακον ὅσον καρύου ποντικοῦ τὸ μέγεθος. μετὰ κυάθου ἀφεψήματος ἐλελισφάκου. ἢ τῆς σιδηρίτιδος
πόας. τῆς ἡρακλείας καλουμένης. χρῶνται δὲ αὐτῇ τινὲς καὶ μόνῃ. καὶ φασὶν ἱκανῶς βοηθεῖν. διὰ τοῦ-
το καὶ ἄλυσσον ταύτην ὀνομάζουσι. δίαιταν δὲ ἐνδείας καὶ πλησμονὰς, φυλασσόμενον. καὶ μᾶλλον
τὰς ἐνδείας. ἐπιτείνουσι γὰρ ἔνδειαι τὰς κακίας τῶν χυμῶν. ὅπερ οὐδαμῶς ἐπιτήδειον ἕλκει
πονηρῶν. ὅθεν μετριάζειν δεῖ τὴν τροφὴν, ὡς ἂν καὶ πέψειε καλῶς. καὶ εὐχυμότατον γένηται τὸ σῶ-
μα, ἐπιμελεῖσθαι δὲ καὶ διαχωρήσεων τῶν πρὸς ἡμέραν καὶ οὐρήσεων. τοῦτο δὲ ποιοῦσι καὶ αἱ προει-
ρημέναι ῥίζαι. καὶ σκάνδιξ ἐσθιομένη. καὶ μάραθρον. τὸ δὲ κρῆθμον ἢ τὴν γαστέρα. καὶ τὰ οὖρα κινεῖ.
τὸ δὲ κιχώρειον μάλιστα τὸ ἄγριον, καὶ εὐστόμαχόν ἐστιν ὠμὸν ἐσθιόμενον. καλοῦσι δὲ αὐτὸ ἔνιοι, σέριν. ἢ
πικρίδα. ἐπιτήδειος δὲ καὶ ὁ τῆς κράμβης ἀσπάραγος. καὶ ὁ ἔλιος. καὶ τὸ λάπαθον τὸ κηπαῖον.

καὶ τὸ

καὶ τὸ ἄγριον καὶ τὸ ὀξυλάπαθον. καὶ τῶν ἰχθύων οἱ ἁπαλόσαρκοι, καὶ ἀστακοὶ, καὶ καρκῖνοι. καὶ ἐχῖνοι πρόσφατοι μετ᾽ οἰνομέλιτος. κρεῶν δὲ, τὰ ἄκρεα. καὶ ὄρνιθες πάντες οἱ ὄρειοι, καὶ εὔπεπτοι. καὶ εὔχυμοι. οἶνος, λεπτὸς. καὶ λευκὸς, μὴ πάνυ παλαιὸς. προφυλακῆς δὲ χάριν κατ᾽ ἐνιαυτὸν ἐφιστάντος τοῦ καιροῦ, προκαθαίρεσθαι δεῖ τῇ ἱερᾷ. καὶ ἐν στάσης δὲ τῆς ἡμέρας, λαμβάνειν τῆς θηριακῆς ἀντιδότου, ἐπὶ ἡμέρας τρεῖς.

Περὶ φλεγμονῆς ἐγκεφάλου. κε.

Φλεγμαίνων ὁ ἐγκέφαλος, οἶδε πολλάκις ὥστε καὶ τὰς ἐν τῇ κεφαλῇ ῥαφὰς διΐστασθαι. καὶ ὀδύνην μεγίστην καὶ δεινὴν ἐπιφέρει. θλιβομένων τῶν μηνίγγων. παρέπεται δὲ καὶ ἄσης πολλὰ τοῦ στομάχου, καὶ χολῆς ἔμετος. ἔρευθός τε πολὺς κατὰ τοῦ προσώπου συνίστασθαι. καὶ οἱ ὀφθαλμοὶ 10 προπετεῖς γίγνονται. καὶ οἰδαίνει τὸ πρόσωπον. καὶ ἡ κεφαλὴ πᾶσα. φλεβοτομεῖν δὲ χρὴ τούτους ἀπ᾽ ἀγκῶνος. δεῖ δὲ καὶ ἀπὸ τῶν ῥινῶν καὶ τῶν ὑπὸ τὴν γλῶτταν φλεβῶν. αἷμα κενοῦν. χρῶ δὲ καὶ ταῖς πρὸς φλεγμονάς. καὶ κατὰ τῆς κεφαλῆς διαβροχαῖς, καὶ καταπλάσμασι τοῖς ὑγραίνουσι καὶ πεπαίνειν δυναμένοις.

Περὶ ἐρυσιπέλατος ἐγκεφάλου. κϛ.

Γίνεται καὶ ἐρυσίπελας ἐν ἐγκεφάλῳ. καὶ πάσχει ὁ κάμνων τάδε. ἀλγεῖ τὴν κεφαλὴν πάνυ. καὶ δοκεῖ φλόγα ἐν αὐτῇ ἔχειν. καὶ τὸ πρόσωπον αὐτοῦ ψυχρόν ἐστι. καὶ τὰ ὑποχόνδρια. καὶ ξηραίνεται τὸ στόμα. φλεβοτομητέον οὖν τούτους. καὶ μάλιστα τὰς ὑπὸ τῇ γλώσσῃ φλέβας δίελε καὶ πρόσφερε ἔξωθεν τῇ κεφαλῇ τὰ ψύχοντα χρίσματα. καὶ ῥοχίσκους, οἷς ἐπὶ τῶν ἐρυσιπελάτων χρώμεθα.

20

Περὶ ἀποπληξίας, ἐκ τῶν Γαληνοῦ. κζ.

Ἡ ἀποπληξία, διὰ τὴν ἐξαίφνης γένεσιν. ἐνδείκνυται χυμὸν παχὺν, ἢ ψυχρὸν, ἢ γλίσχρον. πληροῦντας τὰς κυριωτέρας τῶν κατὰ τὸν ἐγκέφαλον κοιλιῶν. οὐ κατὰ δυσκρασίαν ὅλης τῆς οὐσίας αὐτοῦ γίγνεσθαι. τεκμαίρου τοίνυν τὸ μέγεθος τοῦ κινδύνου. τῷ μεγέθει τῆς κατὰ τὴν ἀναπνοὴν βλάβης. ὅταν γὰρ ἱκανῶς ἐμποδιζομένην ἴδοις τὴν ἀναπνοὴν, καὶ μόλις γιγνομένην, οὐ σμικρὰν τεκμαίρου τὴν νοσώδη διάθεσιν, τῷ ἐγκεφάλῳ γεγονέναι. ἔστι δὲ ἡ ἀποπληξία, ἀναισθησία καὶ ἀκινησία τοῦ παντὸς σώματος μετὰ βλάβης τῶν ἡγεμονικῶν ἐνεργειῶν, αἰφνιδίως ἐπιπίπτουσα.

Ἐκ τῶν Ἀρχιγένους περὶ ἀποπληξίας.

Τὸ τῆς ἀποπληξίας πάθος, μέγα ἐστὶ τῇ φύσει. καὶ δεινῶς ὀξὺ, καὶ συμβαίνει τοὺς τὸν κίνδυνον ἐκ- 30 φυγόντας, πρῶτον μὲν, χρονίᾳ περιπεσεῖν νόσῳ. παραλύσεως τινῶν μορίων. ἢ καὶ τοῦ παντὸς σώματος ἀπολειπομένης. ἢ καὶ τῆς διανοίας ἀπομαυρώσεως. πρεσβύταις δὲ μᾶλλον τὸ πάθος συμπίπτει. καὶ ἐν χειμῶνι μᾶλλον, καὶ καταστάσει ψυχρᾷ, καὶ ἐξ ἀπεψιῶν σφοδρῶν, καὶ ἐγκαύσεων σφοδρῶν, καὶ οἰνώσεων ἀμέτρων. καταψύχει γὰρ τὰ τοιαῦτα τὴν ἕξιν. καὶ ἁπλῶς εἰπεῖν οἱ τῷ πάθει περιπεσόντες, ζῶντές εἰσι μετὰ νεκρώσεως. ἢ καὶ παντελοῦς ἀναισθησίας. πρῶτον μὲν οὖν τὸ σῶμα, ἐλαίῳ θερμῷ λιπαίνειν. τὴν δὲ κεφαλὴν ἐμβρέχειν ῥοδίνῳ μετ᾽ ὄξους. προσαφέψειν δὲ τῷ ὄξει, ἕρπυλλον, ἢ σφονδύλιον. καὶ ὀσφραντὰ δὲ προσάγειν, καστόριον. ὀποπάνακα, καὶ χαλβάνην. διανοίξαντα δὲ τὸ στόμα, μελίκρατον ἐνστάζειν. καὶ πικρὰ μάλιστα. ἐλαίῳ κυπρίνῳ, ἢ ἰρίνῳ, ἢ ναρκισσίνῳ διάβροχα καθιέναι. καὶ ἔμετον ἐρεθίζειν. καὶ τὴν ἕδραν διαχρίειν συνεχῶς, πηγάνῳ, ἢ κυμίνῳ μετὰ νίτρου ἢ μέλιτος. προσκαλούμενοι τὰ πνεύματα. εἰ δὲ μηδὲν ἀνύει ταῦ- 40 τα, χρῆσθαι κλυστῆρσι δι᾽ ἀφεψήματος πιτύρων. καὶ σικύου ἀγρίου ῥίζης, καὶ κενταυρείου. νίτρου τε καὶ μέλιτος. ἢ ἅλμην σὺν μέλιτι, καὶ ἐλαίῳ πηγανίνῳ. ἀγωνιστέον δὲ ὅπως ἐκδοθῇ τὸ ἐνεθὲν, τρίβοντας τὴν ὀσφὺν, καὶ τὴν κοιλίαν. καὶ εἰ δέοι, καὶ δακτύλους ἐν τῇ ἕδρᾳ καθιέναι. καὶ τὰ ἐμφράγματα κομίζειν. τούτων δὲ πραχθέντων, φλεβοτομεῖν χρὴ προειπόντας τὸν κίνδυνον. ἡ δὲ ἀφαίρεσις τῆς δεξιᾶς χειρὸς, γινέσθω καὶ μεμετρείσθω τῷ πλήθει τοῦ ἐκκενουμένου. συγκινεῖσθαι γὰρ δεῖ μόνον, οὐ καταλύσαι τὴν δύναμιν, καὶ τὸ θερμὸν ἀποσβέσαι. ἐφορᾶν δὲ καὶ τοὺς σφυγμοὺς ἐν τῇ κενώσει, καὶ τὸ χρῶμα τοῦ προσώπου, καὶ τὴν ἀναπνοήν. καὶ εἰ μηδὲν χεῖρον ἐπακολουθεῖν, καὶ ἐπαφαιρεῖν. μετὰ δὲ τὴν φλεβοτομίαν, ὀσφραντικὰ διεγερτικὰ προσάγειν καὶ ἐκβοᾶν. τότε σῶμα ὅλον λελιπάνθω. καὶ ἔτι μέλος παρεθείη, ἐπισήμως ἐπιλήμμασι κατειλήφθω τοῖς ἀπὸ σικυωνίου. ἢ λιπαροῦ τε καὶ παλαιοῦ ἐλαίου. τοὺς δὲ οὐκ ἐπιτηδείως ἔχοντας πρὸς 50 φλεβοτομίαν, πρῶτον μὲν ὡς εἴρηται, τὸν ἔμετον κινῆσαι. καὶ διαχρίσαντας τὴν ἕδραν ὡς εἴρηται. τοῖς τῶν πνευμάτων ἀγωγοῖς σικύας διασείειν ἐπειράθημεν μετὰ τὰ διαχρίσματα. ὄπισθεν κατὰ τῶν κενεώνων ἤτοι λαγόνων, κολλήσαντες μεγάλας καὶ σφοδράς. καὶ χρόνον τινὰ παρελκύσαντες, μετεθήκαμεν αὐτὰς ἑκατέρωθεν περὶ τὸ ἱερὸν φέροντες. ἐξέθλιψαν γὰρ πολλάκις τὰ κατὰ κοιλίαν. καὶ ἅμα ὑπὸ τῆς θλίψεως, ἀνεκαλέσαντο τοὺς κατειλημμένους. μηδὲν δὲ ἀνυουσῶν,

αὐτοὶ ποτὲ ἐτολμήσαμεν ἐγχέαι τῷ στόματι τῆς ἱερᾶς. ἀδυνατούντων δὲ παραδέχεσθαι, ὅσον δεῖ διὰ κλυστῆρος ἐνήκαμεν. καὶ πρὶν φθάσαι τὰ τῆς ἐκδόσεως συνδραμόντα, ἀνεκαλέσατό μοι τὸν μετὰ χειρισμόν. καὶ ἐπιφέρει τὸ πάθος. καὶ ἀναγκάζει παραβόλως ἐπιχειρεῖν. ταῦτα μὲν οὖν ὡς ἐπὶ τῆς ἀνάγκης οἰκονομεῖται. δυνηθέντων δὲ ἀνενεγκεῖν, συνάπτει τὰ λοιπὰ βοηθήματα. πυρετὸς μέντοι καταλαμβάνει τὸν ἄνθρωπον. τὸν μὲν, ἐν τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ τῶν ἡμερῶν, καὶ γίνεται πρὸς ἐλπίδα τῆς σωτηρίας, ἢ τοῦ πυρετοῦ συμφορά. ἀλλ' οὐδὲ ἡ μελητέον. ἀλλ' ἀποκειμένων τινῶν τοῖς ἐντέροις, κομίσασθαι ταῦτα προσήκει. εἰ μὲν κάτω εἴη ῥοπὴ, διὰ κλυστῆρος. εἰ δὲ μετέωρα, ὑπηλάτῳ φαρμάκῳ. καὶ μάλιστα τῇ ἱερᾷ ἀρχιγένους. μετὰ δὲ τὰς καθάρσεις, σικυαστέον τὸ ὑποχόνδριον, καὶ τὴν κεφαλὴν μετ' ἐγχαράξεως. εἰ δέ τις παράπρισις. καὶ κατωτέρω φαίνοιτο, ἀμυντέον κἀκεῖθεν. μάλιστα δὲ ἐπὶ γυναικῶν. κατὰ τὴν τῆς ὑστέρας χώραν. εἰ δὲ εἰς ἕτερόν τι πάθος ἡ μετάπτωσις γένοιτο, τὴν θεραπείαν πρὸς ἐκεῖνο ἁρμόζειν. καθόλου δὲ προνοητέον ἐπὶ τῶν ἀποπληκτικῶν εὐκόλου τῆς κατὰ τὴν κοιλίαν ἐκκρίσεως, καὶ δι' οὔρων φροντιστέον δὲ τοῦ λαμβάνειν σιτία. καθ' ἡμέραν μὲν. ὀλίγα δὲ καὶ κοῦφα καὶ θερμὰ, καὶ σμηκτικὰ. ἡδυνθέντα μέλιτι τὰ πολλά.

Περὶ παραλύσεως ἐκ τῶν ἀρχιγένους. κη'.

[Π]άντων μὲν τῶν νεύρων ἀπολεσάντων, αἴσθησίν τε ἅμα καὶ κίνησιν ἀποπληξία τὸ πάθος ὀνομάζεται. κατὰ θάτερον μέρος, ἤτοι δεξιὸν ἢ ἀριστερὸν εἰ συμβαίη παράλυσις, καλεῖται τοῦ μέρους ἐκείνου δηλονότι καθ' ὃ σύνεστι. συνίσταται δὲ τὸ πάθος, ὑγρῶν πολλῶν καὶ γλίσχρων καὶ παχέων ἐμφραττόντων τὰ νεῦρα. δι' ὧν αἱ κατὰ προαίρεσιν κινήσεις ἐκτελοῦνται. πρόδηλον οὖν ὡς ἐκκενῶσαι δεῖ τὸν πλεονάζοντα χυμόν. οὐκ ἔστι δὲ ἐπὶ τούτων ἀρχὴν ἐπιτηδειοτέραν εὑρεῖν τῆς ἀπὸ φλεβοτομίας, εἴγε ἐπιτρέποι ἡ ἡλικία. ἡ ἕξις. ἡ ὥρα. καὶ τὸ ἐπιτήδευμα. καὶ ἡ προγεγενημένη δίαιτα. καὶ τὰ λοιπὰ τὰ κωλυτικὰ τῆς φλεβοτομίας. δεῖ δὲ σύμμετρον τὴν ἀφαίρεσιν ποιεῖσθαι. ὥστε μὴ καταψύξαι. ψύξις γὰρ καθὼς προείρηται σὺν ξηρότητι, ἀποτελεῖ τὸ πάθος. ὥστε μόνον ἐλαττωτέον ἐπ' ὀλίγον τὴν ὕλην διὰ τῆς φλεβοτομίας. καὶ μάλιστα εἰ προβεβηκότες εἶεν τῇ ἡλικίᾳ. γινέσθω δ' ἡ ἀφαίρεσις ἀπὸ τῶν ὑγιεινοτέρων μερῶν, ἐν δὲ τῷ καιρῷ τούτῳ, κατασκεπάσθαι χρὴ τὰ μέλη, πιλήματι βεβρεγμένῳ ἐλαίῳ σικυωνίῳ. ἢ γλευκίνῳ. ἐπὶ δὲ τῶν προβεβηκότων, καὶ καστόρειον ἐμπάσσειν τῇ ἐμβροχῇ. ἐπὶ δὲ τῶν αἰφνίδιον παρεθέντων οἷον ἐξ ἐγκαύσεως, ἄμεινον ἐμβροχὴ ἡ διὰ ὑσσωπηρῶν ἐρίων. καὶ ἐλαίου. καὶ ὄξους. ἐνίοτε δὲ καὶ νίτρου. δεῖ δὲ πολλάκις νεαροποιεῖν τὴν ἐμβροχήν. ὀλιγοσιτία δὲ παραλαμβανέσθω. ἔστω δὲ ῥοφήματα χόνδρου πλυτοῦ. καὶ πτισάνης χυλοῦ. διαγενομένων δὲ ἡμερῶν τινῶν ἀπὸ τῆς φλεβοτομίας, ἡ κοιλία ὑποσυρέσθω κλυστῆρσι πρῶτον. ἔπειτα δὲ καὶ δι' ἀλόης καὶ πολυποδίου. καὶ κολοκυνθίδος. ἀποβρέγματι καθαίρειν. ἁρμόσει δὲ καὶ ἡ ἱερὰ ἀρχιγένους πρὸς δύναμιν λαμβανομένη. μετὰ δὲ τὴν κάθαρσιν, σικυαστέον τὰ πεπονθότα μέρη. εἰ δὲ ἀνεπιτήδεια ταῦτα εἴη, τοῖς γειτνιῶσι κολλητέον αὐτάς. μετὰ δὲ τὰς σικύας, καταπλάσμασι χρηστέον. τοῖς διὰ λινοσπέρμου. καὶ τήλεως καὶ κριθίνης, σὺν ἐλαίῳ παλαιῷ ἑψόμενα, καὶ μιγνύμενα μετὰ τῶν καταπασμάτων, ἢ καὶ ἀλειφόμενα προσειληφόσι πίσσαν. ῥητίνην. μάννην. ἐνίοτε δὲ καὶ ἄσφαλτον. ἄκρως δὲ ποιεῖ ἀρτεμισία συνεψημένη. καὶ καλαμίνθη. καὶ πήγανον. καὶ κόνυζα. ὕσσωπον δὲ καὶ νίτρον παραμίγνυμεν. καὶ ἐν ἅλμῃ τὰ καταπλάσματα ἕψομεν. ὀλίγον δὲ δεῖ τὸ ὕδωρ εἶναι. ὃ καὶ αὐτὸ ἐν τῇ ἑψήσει ἀναλισκέσθω. ἁρμόζει δὲ αὐτὸ τοῦ λινοσπέρμου παραλαμβανόμενον μετὰ ταῦτα τὸ ἐρέβινον ἄλευρον. καὶ τὸ κυάμινον. κάλλιστον δὲ καὶ τὸ ἐρύσιμον. εἶτα κηρώματα καὶ συγχρίσματα παραλαμβάνειν. ἡ κοιλία δὲ ἀεὶ εὔλυτος ἔστω.

Πόμα πρὸς παρέσεις καὶ τρόμους καὶ ὀπισθοτονικούς.

Ὀποῦ κυρηναϊκοῦ. πεπέρεως. χαλβάνης ἀνὰ ∠ α'. διαλύσας, γλυκεῖ ποίει καταπότια. καὶ ποίει ὀβολοὺς β'. καὶ ἐπιρροφείτω σὺν ὑδρομέλιτος κοχλιάρια β'. ἢ γ'.

Ἄλλο πρὸς τρομώδεσι παρέτοις. καὶ ὀπισθοτονικοῖς.

Σμύρνης. καστορίου. στύρακος. πεπέρεως, ἴσα χρῶ. ὀποπάνακος. σεραπηνοῦ. καστορίου. σμύρνης. ὀποῦ κυρηναϊκοῦ πεπέρεως. πηγάνου ἀκρεμόνων, ἀνὰ ∠ α'. σκεύαζε καταπότια. καὶ δίδου. καὶ ἐπιρροφείτω σὺν μελικράτου. Συγχρίσματα δὲ ἐπιτήδεια ἐστὶ τὰ τοιαῦτα. ἐλαίῳ τινὶ τῶν προειρημένων, σκίλλαν δεῖ ταριχεύειν ἐν ἡλίῳ ἐπὶ ἡμέρας μ'. εἰ δὲ μὴ παρείη τοιοῦτον, ἑψῆσαι πρὸς τὸ παρὸν γο. β'. τῆς σκίλλης. ξέστῃ ἐλαίου. ὁμοίως δὲ καὶ τῷ κάγχρυϊ κεχρῆσθαι. προσπλέκειν δὲ κηροῦ βραχύ. καὶ χαλβάνης. καὶ προπόλεως. ἐνίοτε καὶ καστορίου ὅσον, γο. α'. καὶ ἀδάρκης. καὶ εὐφορβίου, ἀνὰ ∠ δ'. καὶ νίτρου ∠ δ'. ἐμβάλλειν τῷ εἰρημένῳ συγχρίσματι. εὐθετεῖ δὲ ὅτι ἀπὸ τῶν πρεσβυτέρων ἄρχεσθαι προσήκει. καὶ τὰ κηρώματα δὲ ἐκ τούτων σκευάζειν. προσεμβάλλοντες πύρεθρον. δαφνίδας. νίτρον. νάπυ. μαλάγματος δὲ ἁρμόσει τό τε διὰ δαφνίδων, καὶ τὸ χλωρόν. πολλάκις

δὲ ἤρκεσεν ἡ κυπρίνη κηρωτὴ ἀναλαβοῦσα νάπυ διαψυνὲς. ἀμαλάγματος παρέχει χρείαν. εὐθετεῖ
δὲ καὶ μίγματα διὰ ψυγὸς οἴνου ἢ ὄξους. καὶ κεκαυμένης ἀσφάρκης. εὐφορβίου τε καὶ ἀσβέστου
σκευαζόμενα. καὶ οἱ δρώπακες δὲ αὐτοῖς χρησιμώτατοι. κοῦφα δὲ ἔστω πάντα τὰ ἐπιτιθέμενα.
διὰ τὴν τῶν σωμάτων ἀσθένειαν. ἀνακαλεῖται δὲ τὰς αἰσθήσεις, καὶ θαψία καταχριομένη σὺν ὕδα-
τι. ἢ ὄξει μετὰ τὸν δρώπακας. καὶ τὸ διὰ κανθαρίδων κατάχρισμα. τάχιον δὲ δεῖ τὰς ἐκ τῶν τοιού-
των γινομένας ἑλκώσεις ἀπουλοῖν. καὶ σιναπισμοὶ δὲ ἐπ᾽ αὐτῶν χρήσιμοι. καὶ μετὰ ταῦτα βαλα-
νεῖον. χρηστέον δὲ μετὰ τὴν κάθαρσιν, καὶ ποτήμασιν ἁρμόζον αὐτοῖς, διδόσθω αὐτοῖς συνεχῶς
μετὰ μελικράτου, ∠. β. καὶ ὁποπάναξ ὅσον κυάμου μέγεθος σὺν τῷ καστορίῳ καὶ σαγαπηνῷ. ὅ-
σον ὀρόβου μέγεθος καταπίνειν. καὶ ὀπὸν κυρηναϊκὸν τὸ αὐτὸ μέγεθος καταπίνειν. καὶ ἀφέψημα
10 δὲ κλημάτων ἀμπέλου χλωρῶν πινόμενον νῆστις συνεχῶς, σφόδρα βοηθεῖ τοῖς παρειμένοις μέρεσι
τοῦ σώματος. χρησιμωτάτη δὲ μετὰ τὰς καθάρσεις. καὶ τὰς ἄλλας κενώσεις. καὶ ἡ δι᾽ ἐχιδνῶν
θηριακὴ ἀντίδοτος διδομένη. καὶ ἡ μιθριδάτειος. ἔστι δὲ καὶ ἁπλούστερον φάρμακον σφόδρα δεδο-
κιμασμένον πρὸς τὰς τοιαύτας διαθέσεις τόδε. καστορίου. πηγάνου ἀγρίου σπέρματος ὀποπάνα-
κος, ἀνὰ ὀβολῶν. β. πύρεθρον ὀβολὸν α. ἀβόρου τὸ ἴσον. πεπέρεως κόκκους, ι. μεθ᾽ ὑδρομέλιτος, κυά-
θων β. δίδου τὸ ἥμισυ τοῦ παντὸς τὴν πρώτην. εὐτονήσαντι δὲ, τὸ ὅλον. ἡ δὲ σύμπασα θεραπεία,
ἀπὸ κεφαλῆς ἄρχεσθαι δεήσει. αὕτη γὰρ ῥίζα καὶ ἀρχὴ τῆς ὅλης ἐστὶ διαθέσεως. διὸ πρὸ, τά τε συγ-
χρίσματα αὐτῆς, καστόρειον ἔστω. καὶ πευκέδανον. καὶ δαφνίδες. καὶ ἡδύοσμον. ὄξους δὲ βραχὺ δρι-
μέος προσειληφέτω. καὶ ἰρίνῳ μύρῳ ἀναλαμβανέσθω. ὡς ἔχειν κηρωτῆς ὑγροτέρας πάχος. καὶ
ἀναλειφέσθω πᾶσα ἡ κεφαλὴ, ἄχρι μετώπου. καὶ ὀσφραντὰ δὲ τοῦ αὐτοῦ γένους προσαγέσθω. τῆς
20 δὲ κοιλίας ἐνεργεστέρῳ κλύσματι προκενωθείσης. καὶ ἤδη ἀπεριττοτέρου τοῦ παντὸς σώματος ὄν-
τος, σικυαζέσθω ἡ κεφαλὴ μετὰ ἀμύξεως. τὴν μὲν πρώτην ἱκανὸν αἷμα δυναμένης ἀποκεῖναι. ὕστε-
ρον δὲ μετριώτερον. πολλάκις δὲ παραληπτέον τόδε τὸ βοήθημα, ἐν κύκλῳ μὲν τῇ κεφαλῇ προσ-
τιθεμένων τῶν σικύων κούφων. καὶ ἐφεξῆς κολλωμένων, τοῖς τόποις. οὐδὲν γὰρ χεῖρον ἐπαφαιρέ-
σεως ὠφελεῖ οὕτως προσαχθεῖσα. κουρὰ δὲ οὐ μόνον τῶν σικύων χάριν, ἀλλὰ καὶ καθ᾽ ἑαυτὴν συνε-
χῶς παραλαμβανέσθω. εἰ δὲ τὸ περιέχον μὴ ἢ ψυχρὸν, καὶ ξύρησις ὠφέλιμος. εὐθὺς δὲ τοῖς εἰρημέ-
νοις συγχρίσμασιν ἐπ᾽ ὀλίγον ἀναλειπτέον τὴν κεφαλήν. προσαφελκυσμένης δὲ τῆς ὕλης, καὶ πταρ-
μικοῖς χρῆσθαι καὶ ἀποφλεγματισμοῖς. ἐγὼ δὲ καὶ ἐσχάρας ἐμβαλεῖν οὐκ ὀκνήσαιμι διὰ πυρὸς. ἢ
διὰ φαρμάκου. μίαν μὲν, κατὰ τὸ κοῖλον τοῦ ἰνίου, καθ᾽ ὃν τόπον ὁ νωτιαῖος ἔχει τὴν ἀρχήν. δύο ἑκα-
τέρωθεν αὐτοῦ, δία δὲ ἢ τέσσαρα κατὰ τῆς κορυφῆς. μίαν δὲ, κατὰ τὸ μεσαίτατον τῆς κεφαλῆς.
30 τρεῖς δὲ ἐν κύκλῳ. ῥευματισθέντων γὰρ ἐπὶ πολὺ τῶν ἑλκῶν, οὐ κατελπίζω τελείαν ἀποκατάστα-
σιν. ἡ δὲ λοιπὴ δίαιτα, ἔστω λεπτυντική. εὐκοίλιος. μηδὲν γλίσχρον ἢ βρομῶδες ἔχουσα. καὶ οὐρητικὰ
μᾶλλον προσπλεκέσθω ταῖς τροφαῖς. χρηστέον δὲ καὶ τοῖς πρὸς ἐπιληψίαν προειρημένοις πόμασι.
καὶ τοῖς ἐπὶ τῶν ἀρθριτικῶν ῥηθησομένοις ἀλείμμασι. κοινὰ γὰρ ὄντα τὰ τοιαῦτα, περιττὸν
κἀνταῦθα αὐτῶν μνημονεύειν. εἰ δεήσει δὲ τότε, καὶ τέλειον ἐλευθερῶσαι τοὺς τόπους. γυμνάζοντας
καὶ τῷ ἀέρι παραδιδόντας. ἐνίοις γὰρ κατὰ τοῦτον τὸν καιρὸν ἀρχὴ τῆς ἐπιλήψεως τῶν ἐνερ-
γειῶν γέγονεν.

Περὶ ὀφρύος ἢ βλεφάρου παρέσεως. κθ.

Ὀφρὺς δὲ ἢ βλέφαρον εἰ παρεθείη, θεραπευθήσονται καταχρίσμασι θερμοτέροις καὶ δριμυτέροις
κατὰ τοῦ μετώπου. τὸ δὲ βλέφαρον, τῷ διὰ σάνδυκος καὶ θαλλίας χυλῷ ἐπιχριέσθω. μάλιστα δὲ
40 ἐπ᾽ αὐτῶν καὶ μάλιστα ἐπὶ ὀφρύος χαλασθείσης, τόδε. μαστίχην λεάνας μετὰ χυλοῦ κράμβης ἀ-
πλύτου. καὶ ἀνατείνας τὸ τοῦ μετώπου δέρμα, ἐπίχεε τῷ μετώπῳ παχύτερον. ἐπιμένοντος δὲ
τοῦ πάθους, τὸ μὲν βλέφαρον ἀναῤῥαφῇ ἰᾶται. τὴν δὲ ὀφρὺν, ταινιδίου ἀφαίρεσις ἀπὸ μετώπου.

Περὶ κυνικοῦ σπασμοῦ. λ.

Κυνικὸν σπασμὸν καλοῦσι, τὴν τῶν σιαγόνι τῶν μυῶν παράλυσιν. παράγεται μὲν οὖν εἰς τὰ πλά-
για τότε στόμα καὶ ἡ ῥὶς. καὶ ὁ ὀφθαλμός. καὶ ἁπλῶς εἰπεῖν. τὸ ἥμισυ μέρος τοῦ προσώπου. τὰ μὲν
οὖν βοηθήματα τῷ παρεθέντι μέρει προσαγέσθω. οὐ τῷ ἀντικειμένῳ. πλανῶνται γάρ τινες
ὑπολαμβάνοντες ἕλκεσθαι τὴν σιαγόνα ὑπὸ τῆς ἀντικειμένης. κοινῶς μὲν οὖν καὶ ἐπ᾽ αὐτῶν εὐ-
θετεῖ τὰ προειρημένα ἐπὶ τῆς παραλύσεως ἅπαντα. καὶ γὰρ ἀφαίρεσις αἵματος, εἰ μηδὲν κωλύοι.
50 καὶ κάθαρσις. καὶ κλυστὴρ. καὶ καταπλάσματά τε καὶ συγχρίσματα. καὶ μαλάγματα. καὶ σι-
ναπισμοὶ. καὶ κατάχρισις θαψίας. ἰδίως δὲ ἐπίδεσις, ἡ εἰς τὰ κείμενα παράγουσα. καὶ ἀφαίρεσις
ἐκ τῶν ὑπὸ τὴν γλῶτταν ἀγγείων. καὶ σικύα. καὶ δύο σπόνδυλοι ἐπιτιθέμενοι. καὶ ἀποφλεγμα-
τισμοὶ. καὶ ἔῤῥινα. ἤδη δὲ καὶ κατὰ τοῦ πεπονθότος ὀφθαλμοῦ ἐπιχρίσοις τοῖς δριμέσι χρῆσθαι.
μάλιστα δὲ τῷ διὰ σάνδυκος. καὶ θαλλίας χυλοῦ κολλυρίῳ.

Θεραπεία γλώσσης παρεθείσης. λα.

Ε ἰ δὲ γλῶσσα παρεθείη, τὰς ὑπ' αὐτὴν φλέβας τέμνειν. πρότερον κενώσας τὸ πᾶν σῶμα. καὶ σι-
κύαν ὑπὸ τὸν ἀνθερεῶνα τιθέναι. καὶ ἀποφλεγματισμοῖς χρῆσθαι. καὶ διακλύσμασι τοῖς διὰ νά-
πυος. γυμνασίοις τε τῆς γλώττης. καὶ τὰ λοιπὰ προσάγειν, τῷ τε ἰνίῳ καὶ τῷ τραχήλῳ παντί. οἷον,
ἐπίχριστα δριμέα, καὶ ἐπιθέματα, καὶ σιναπισμούς.

Περὶ τῆς τοῦ φωνητικοῦ παρέσεως. λβ.

Π αρεῖται δὲ καὶ τὸ φωνητικὸν ὄργανον. λέγω δὴ οἱ τῆς φάρυγγος μύες. μάλιστα δὲ οἱ τοῦ λάρυγγος. ἤδη
δὲ καὶ οἱ τοῦ θώρακος ἀμφότεροι. κατοχὴ μὲν οὖν ἐπ' αὐτῶν γίγνεται τοῦ πνεύματος. τινὲς δὲ ἰσχνό-
φωνοι γίγνονται. ἕτεροι μογιλάλοι. τουτέστιν οἱ μόγις λαλοῦντες. καὶ ἄλλοις ἄλλως παραποδίζε-
10 ται ἡ φωνή, μετὰ τὰ καθολικὰ τοίνυν βοηθήματα, καὶ τῷ θώρακι προσαγέσθω τὰ βοηθήμα-
τα. ἃ προκατηριθμησάμεθα, ἤδη δὲ καὶ ἀναγαργαρίσματα δριμέα δοτέον. ἰδίως δὲ ἐπ' αὐτῶν
χρῆσθαι πνεύματος κατοχῇ. καὶ ἀθρόᾳ ἐκπνοῇ. καὶ ἀναφωνήσει ἐμμελεῖ. καὶ μετὰ ταῦτα τῇ διαί-
τῃ καὶ γυμνασίοις ῥωννύναι τὸ σύμπαν σῶμα.

Καταπόσεως παραλυθείσης θεραπεία. λγ.

Ε ἰ δὲ κατάποσις παρεθείη. τουτέστιν ἡ ἐνθετικὴ τῶν σιτίων προθυμία. ὁ γὰρ στόμαχος εἰ παρεθείη,
ὄλεθρον ἐπιφέρει. παραλαμβάνειν μὲν οὖν, τὰ θερμὰ πάντα. ἰδίως δὲ σπουδάζειν ἐντιθέναι τὰ
σιτία. ὡς ὅτι ἐσωτάτω ὑπὲρ τοῦ μὴ ἐμπίπτειν εἰς τὴν τραχεῖαν ἀρτηρίαν. καὶ σικύας τῷ ἀνθερεῶνι
ἐπιτιθέναι. καὶ διαχρίσμασι τοῖς τῶν κατὰ τὰ παρίσθμια μερῶν χρῆσθαι δριμείαις ταῖς διὰ
καστορίου, σαγαπηνοῦ, ὀποῦ κυρηναϊκοῦ σκευαζομέναις. καὶ ἀναγαργαρίσμασι διὰ νάπυος. καὶ δια-
20 μασήματα φλεγματαγωγά, καὶ ἔξωθεν προσάγειν τῷ ἀνθερεῶνι τὰ προλελεγμένα κοινὰ συγχρί-
σματα.

Κύστεως παρεθείσης θεραπεία. λδ.

Ἡ δὲ τῆς κύστεως πάρεσις. εἴτε κατέχοι τὰ οὖρα. εἴτ' ἀπροαιρέτως ἀποκρίνοιτο, θεραπευθήσεται τοῖς
αὐτοῖς βοηθήμασι τοῖς κοινοῖς κατά τε τοῦ ἱεροῦ. καὶ μάλιστα τοῦ περιτοναίου, παραλαμβανομέ-
νων. καθ' ὃ μέρος τέτακται ὁ τράχηλος τῆς κύστεως. ὃν τόπον τινὲς σειρὰν καλοῦσι. χρηστέον δὲ πρὸς
τοῖς εἰρημένοις κατὰ τοῦ ἱεροῦ ἐμβροχαῖς ναρδίνῳ μύρῳ καὶ μαλαβαθρίνῳ. καὶ σουσίνῳ. καὶ σι-
κυωνίῳ. ἐν ᾧ ἕψηται ἠρυγγίου ῥίζα, κυπέρου, καρδάμωμον, πήγανον, καὶ τὴν ἕδραν δὲ διαχρι-
στέον τούτοις. μετὰ δὲ τὰ κοινὰ βοηθήματα. καὶ διὰ τῶν εἰς τὸν δακτύλιον ἐνεμάτων, σπουδαστέον
ἀνακαλεῖσθαι τὰς τῆς κύστεως ἐνεργείας. ἔστι δὲ ταῦτα κατ' ἀρχὰς μὲν, καστόριον μετ' ἐλαίου σικυω-
νίου. ἢ πηγάνου ἑψημένου ἐλαίῳ, ἢ κυμίνου, ἢ ἀνήθινον. εἶτα τὸ διὰ κενταυρείου καὶ τῆς κολοκυνθί-
30 δος ἀφέψημα. νῦν μὲν ὕδατι. νῦν δὲ χυλῷ πτισάνης συνεψημένων. καὶ ὁ τῆς ἀναγαλλίδος χυλὸς
ἄριστα ποιεῖ, καὶ ὀριγάνου, καὶ θύμου, ἀφέψημα. πᾶσι δὲ τὸ σικυώνιον ἔλαιον μικτέον, καὶ καστό-
ριον. ἐνίοτε δὲ καὶ ὀποπάνακα. εἰ ψύξεως αἴσθησις αὐτοῖς γίγνεται. καὶ χαλβάνην ἐναποτήκειν.
ἐνήκαμεν δὲ καὶ διὰ τοῦ καυλοῦ τὸ σικυώνιον ἔλαιον μετὰ τοῦ καστορίου. ἢ καὶ τοῦ ὀποπάνακος. ἐνίοτε
δὲ καὶ τὸ σίλφιον ἐναφεψήσαμεν τῷ ἐλαίῳ ἰδίως ἐπὶ τῶν κατεχόντων τὰ οὖρα, καθετηρισμῷ
χρησόμεθα. καὶ μετὰ τὴν τοῦ ὑγροῦ ἀποκένωσιν ἔτι ἐγκειμένου τοῦ καθετῆρος τῶν προειρημένων
τινὶ, ἐνεματίζομεν. στενότατον αὐλίσκον τῷ ἀσκίῳ κατασκευάσαντες δυνάμενον ἁρμοσθῆναι τῷ
καθετῆρι. καὶ θαυμαστὴ ὅση γίγνεται ὠφέλεια, ἐκ τῆς μετὰ τὴν ἔκκρισιν τῶν οὔρων ἐνέσεως. χρῆ-
σθαι δὲ ἐπ' ἀμφοτέρων, καὶ διουρητικοῖς ἐκ διαλειμμάτων. οἷον ὀξυσίου. σχοίνου ἄνθος. καὶ τὰ ὅμοια.
40 καὶ σκιλλίνῳ ὄξει. καὶ οἴνῳ σκιλλίνῳ. ῥηθήσεται δὲ ἔτι περὶ αὐτῶν, ἐν τῷ περὶ τῶν τῆς κύστεως
παθῶν λόγῳ.

Καυλοῦ παρεθέντος ἐπιμέλεια. λε.

Ἐ πὶ δὲ τῆς τοῦ καυλοῦ παρέσεως. αἱ μὲν τοῦ οὔρου ἐκκρίσεις οὐκ ἐμποδίζονται. ἡ δὲ τοῦ σπέρματος
ἔκκρισις καὶ ἡ συνουσία, ἐμποδίζεται. χρὴ μὲν οὖν τοῖς ἐπὶ τῆς κύστεως βοηθήμασι χρῆσθαι. ἐξαι-
ρέτως δὲ νῦν καὶ κατὰ τῶν ἰσχίων τὰ θερμάσματα προσάγειν. ἤδη δὲ καὶ τὰ ῥηθησόμενα ἐν οἰκείῳ τό-
πῳ ἐντατικὰ διδόναι. ποιεῖ δὲ ζῶν τοῖς λοιποῖς καὶ τὸ αἰδοῖον τοῦ ἐλάφου προσδεσμούμενον μηρῷ ὥσ-
περ ζώνη. καὶ τὰ κρέα αὐτοῦ ἐσθιόμενα, καὶ πολύποδες θαλάττιοι, καὶ ἐχῖνοι, καὶ τῶν πτηνῶν οἱ ψά-
ροι. τὸ δὲ καστόριον ἐπὶ πάσῃ παρέσει, ἐπιτήδειον. παραφυλάττεσθαι δὲ ἐπ' αὐτῶν πάντα τὰ
ψύχοντα ἐδέσματα καὶ πόματα.

Ἀπευθυσμένου παρεθέντος θεραπεία. λϛ.

Κ αὶ τοῦ ἀπευθυσμένου δὲ παρεθέντος ὡς ἐπίπαν ἀπροαιρέτως τὰ σκύβαλα ἐκκρίνεται. ἐνίοτε δὲ καὶ
50 ἐπέχεται. καὶ τὰ βοηθήματα οὖν τὰ αὐτὰ ἔστω τὰ τῆς ἐπὶ κύστεως εἰρημένα, κατὰ τῶν ἰσχίων πα-
ραλαμβανόμενα. ἰδίως δὲ ἐπὶ τούτων διὰ κλυστῆρος ἐνίεμεν. νῦν μὲν στύφοντα, καὶ τονωτικά. νῦν
δὲ λιπαρυντικά, καὶ αὖθις δάκνοντα καὶ ἀμύσσοντα. τότε οὖν τὸ ἀφέψημα τῆς κυπαρίσσου. καὶ
τῆς βάτου στύφει. μάλιστα δὲ ὅταν ἐκκρίνῃ ἀμέτρως. ὕειον δὲ καὶ χήνειον στέαρ, καὶ μαλάχινον
ἔλαιον λιπαίνει μάλιστα. ὅταν κατέχοιτο τὸ σκύβαλον, ἢ δριμύττοιτο. ἅλμη δὲ καὶ κολοκυνθίδος

ἀφέψημα. καὶ κενταυρείου. καὶ ἀρτεμισίας, καὶ κονύζης. καὶ θύμου, ἀμύσσει καὶ δάκνει. ποιεῖ δὲ ἄκρως καὶ τὸ τῆς ἀσφαλτίτιδος τριφύλλου ἀφέψημα. ὅταν δὲ ψύξεως αἴσθησις εἴη, ἁρμόδιον τὸ σίλφιον. καὶ γεντιανή. καὶ βρυωνίας ῥίζα. καὶ σικύου ἀγρίου ῥίζα ἐν πᾶσι τοῖς κλύσμασιν. ἐγὼ δέ ποτε καὶ τὸ διὰ τοῦ εὐφορβίου ἄκοπον. ἀνιεὶς παρέπεμψα διὰ κλυστῆρος μετὰ ἀφεψήματος τίλεως. καὶ ἐπέτυχον.

Σκέλους. ἢ ἑτέρου τινὸς παρεθέντος κώλου ἐπιμέλεια. λζ.

Εἰ δὲ σκέλος. ἢ χεὶρ. ἢ ἕτερον κῶλον παρεθείη, τὰ προειρημένα ἐπὶ τῆς παραλύσεως κοινὰ βοηθήματα παραλαμβανέσθω. καὶ γυμνάσια σύμμετρα τὰ ἑκάστῳ μορίῳ ἁρμόδια. χρῆσθαι δὲ ἐπὶ πάσης παρέσεως καὶ τοῖς ἀλείμμασι τοῖς ἐπὶ τῶν ἀρθριτικῶν ῥηθησομένοις. τροφαὶ δὲ ἐπὶ πάντων εὐδιοίκητοι ἔστωσαν. λεπτυντικαί. εὐκοίλιοι. μηδὲν γλίσχρον. ἢ κακόχυμον ἔχουσαι. οἶνος λευκός. καὶ λεπτός. καὶ μὴ πάνυ παλαιός. καθόλου δὲ φυλάττεσθαι διαφθοράν. ψύξιν. ἔγκαυσιν. ἀργίαν. καὶ κόπον. συνουσίαν. πολυοινίαν.

Ἐκ τῆς πρὸς μάρσον ἐπιστολῆς ἀρχιγένους.

Γράμμα παραλυτικοῖς περὶ οὗ φησιν οὕτως. ἔστι δὲ κάλλιστον φάρμακον. σφόδρα μοι δεδοκιμασμένον πρὸς τὰς τοιαύτας διαθέσεις, ἔστι. καστόρειον. πηγάνου ἀγρίου σπέρματος. ὀποπάνακος ἀνὰ ὀβολοὺς, β. πυρέθρου. ἀκόρου. ἀνὰ ὀβολὸν, α. πεπέρεως κόκκους, γ. μεθ᾽ ὑδρομέλιτος κυάθων δύο. δίδου τὸ ἥμισυ τὴν πρώτην. εὐτονήσαντι δὲ, τὸ ὅλον. σημαίνει δὲ, ὅτι ὁ ὀβολὸς ἔχει κεράτια γ.

Περὶ σπασμῶν. ἢ τετάνων. λη.

Ὅταν εὐθὺς ἐξ ἀρχῆς. ἢ οὐ μετὰ πολὺ τῆς ἀρχῆς τοῦ νοσήματος γίγνονται σπασμοὶ καὶ διαμένωσιν, ὑπερπληρώσεως ἔχουσι τὴν γένεσιν. ὅταν δὲ ἱδρώτων πολλῶν προγιγνομένων. ἢ ἐμέτων ἢ διαχωρήσεων γαστρός. ἢ αἱμορραγία σφοδρὰ συνίσταται. καὶ ὅταν τινὶ τῶν ὑγραινόντων ἐξαίφνης συμβῇ σπασθῆναι τινὰ τῶν μορίων, ἀναγκαῖον ἐπὶ πληρώσει γεγονέναι. εἰ δὲ ἐκ πυρετῶν διακαῶν ἐπιγίγνεται σπασμὸς, δηλονότι ἐπὶ σφοδρᾷ ξηρότητι τοῦ παντὸς σώματος. καὶ μάλιστα τῶν νευρωδῶν μορίων γίγνεται. καὶ ἔστι τὸ τοιοῦτον, μεγίστων κακῶν αἴτιον. καὶ σχεδὸν ἀνίατον. ὅταν μὲν οὖν εἰς τὰ πρόσω τείνῃ τὰ μόρια τοῦ σώματος, ἐμπροσθότονος καλεῖται. ὅταν δὲ εἰς τοὐπίσω. ὀπισθότονος. ὅταν δὲ ἰσοσθενῶς ἐφ᾽ ἑκάτερα τὰ μέρη τείνηται, τέτανος ὀνομάζεται. τοὺς μὲν οὖν ἐπὶ σφοδρᾷ ξηρότητι σπασμοὺς, οὐκ ἄν τις ἰάσαιτό ποτε. τοὺς δὲ διὰ πλῆθος ἢ φλεγμονὴν γιγνομένους, ἰάσῃ. τὸ μὲν πλῆθος κενῶν. τὴν δὲ φλεγμονὴν, τοῖς ἰδίοις αὐτῆς βοηθήμασι θεραπεύων. γίνεται δὲ σπασμὸς κἀπὶ τῶν σφόδρα σπαραττομένων ἐμέτοις, καὶ καθίσταται ἐμεθέντων τῶν λυπούντων. βοηθεῖ δὲ τοῖς σπωμένοις πινομένου. κενταυρείου τοῦ λεπτοῦ ὁ χυλός. σέσελι μετ᾽ ὀξυμέλιτος. ἢ ὀξυκράτου. καστόρειον δὲ, οὐ μόνον πινόμενον. ἀλλὰ καὶ ἔξωθεν συγχριόμενον, ἁρμόδιον. ταῦτα δὲ προσφερόμενα τοῖς ἐπὶ πλήθει σπωμένοις.

Περὶ τετάνου ἤτοι σπασμοῦ ἐκ τῶν ἀρχιγένους. λθ.

Τί μὲν σημαίνει τὸ τετάνου ὄνομα, ἤδη προείρηται. ἁλίσκονται δὲ τῷ πάθει. καὶ ἄλλως μὲν καθὼς προείρηται. καὶ ἀπὸ τραυμάτων δὲ, καὶ γυναῖκες ἐν ταῖς ἐκτρώσεσιν. οἱ δὲ ἐπὶ τραύματι γιγνόμενοι τέτανοι, οὐ μάλα διασώζονται. οὔτε δὲ νηπίοις. οὔτε γέρουσιν, ὁ τετανικὸς σπασμὸς γίνεται. τοῖς γὰρ νηπίοις ἡ ἐπιληψία μᾶλλον ἐνοχλεῖ. οὐκοῦν μὴ ἀμελητέον. ἀλλὰ φλεβοτομεῖν ἐπὶ τραύματι μάλιστα ὁ τέτανος γίγνεται. πλῆθος δὲ ἀφαιρεῖν μὲν ἱκανόν. μὴ μέντοι καὶ μέχρι λειποθυμίας. καὶ τρέφειν μετὰ βραχὺ χόνδρῳ μετὰ μελικράτου. ὀλίγον δὲ ἔσω τὸ διδόμενον ὑδρέλαιόν τε λιπαρὸν χλίον συγχριστέον αὐτοῦ. καὶ ἐμβιβαστέον μέχρι κατωτέρω τοῦ ὀμφαλοῦ. δεῖ δὲ καὶ προλιπαίνεσθαι καὶ τὰ μὴ βρεχόμενα μέρη. καὶ μάλιστα καὶ τὴν κεφαλήν. καὶ σκέπεσθαι καλῶς, ὅπως μὴ συμπληρῶτο. χρίσματα δὲ καὶ πλήματα παραλαμβανέσθω δι᾽ ἐλαίου σικυωνίου. καὶ λευκίου. ἰρίνου. ἢ παλαιοῦ μύρσου ἄκοπα. συμμέτρως θερμαίνοντα. οἷον τὸ διοσώδες. τὸ διὰ σαμψύχου. τὸ διὰ τῆς αἰγείρου. καὶ τὰ παραπλήσια. ὧν συνθέσεις ῥηθήσονται ἐν τῷ περὶ τῶν ἀρθριτικῶν λόγῳ. ἐὰν δὲ μὴ ἀπὸ τραυμάτων, ἀλλὰ ἀπὸ πληρώσεως γένηται ὁ τέτανος μετὰ τὴν φλεβοτομίαν, τοῖς ἀμικτικωτέροις ἀλείμμασι κεχρῆσθαι. ὅσα ἀδέρκην ἔχει. καὶ ὅμοια. εἶτα καὶ καταπλάσματα τοῖς πεπονθόσι τόποις προσάγειν. χαλᾶν καὶ διαφορεῖν δυναμένοις σὺν τῷ παρηγορεῖν. μάλιστα δὲ τοῖς κατὰ τὸν τράχηλον καὶ σιαγόνας μυσί. καὶ τοῖς τῆς ῥάχεως, ταῦτα προσάγειν. ἡ δὲ τούτων ὕλη, τῖλις ἐστὶ καὶ λινόσπερμα. κρίθινον ἄλευρον. καὶ αἴρινον. περιπεπλέχθω δὲ τερεβινθίνη. ῥητίνη. καὶ χαλβάνη. καὶ μέλι ἱκανὸν καὶ ἔλαιον. ἐν ᾧ ἀφέψηται πήγανον. κόνυζα. ἢ ἀρτεμισία. ἢ λιβανωτίς. συνεμπασσέσθω δὲ ἐνίοτε, καὶ ἀμμωνιακὸν θυμίαμα. εὐαφέστατα δὲ ἔσθω καὶ κοῦφα τὰ καταπλάσματα. καὶ πυρίαν δὲ προσαγέσθω, ἀποκειμένου τοῦ καταπλάσματος. διὰ κύστεως εὐμεγέθους. καὶ ἡμιπλήρους ἐλαίου θερμοῦ. ἢ ἁλὸς φρυκτοῦ. ἢ κέγχρου ἐν μαρσίπποις. καὶ τὰ καταπλάσματα δὲ ἐν μαρσίπποις ἐμβληθέντα ἐπιτιθέσθω. ἕνεκα τοῦ ἀμολύντως πυριᾶν.

καὶ μάλιστα εἰ τῇ κεφαλῇ προστιθέναι δέοι. παραφυλάττεσθαι δὲ τὰς συνεχεῖς ἐμβροχὰς ἐπὶ κεφα-
λῆς. πληρωτικαὶ γὰρ τυγχάνουσι. παραλαμβανέτω δὲ τὸ κατάπλασμα, καὶ ἐμβροχαί, αὐχένα
καὶ σιαγόνας. καὶ ῥάχιν ὅλην μέχρι ψοῶν. παραπεπάσθω δὲ ταῖς ἐμβροχαῖς, καστόριον. καὶ σι-
κύαι μετ᾽ ἀμύξεως προσκολλάσθωσαν τοῖς πεπονθόσι μορίοις ἅπασι. χρόνου δὲ ἐπιγινομένου. καὶ εἰς
ἐλαίου ἐμβάσεις παραληπτέον. καὶ δὶς καὶ τρὶς τῆς ἡμέρας συμμέτρως. δεῖ δὲ τὸ μὲν πέμπτον μέ-
ρος τοῦ ἐλαίου πυρὶ θερμαίνειν. τὸ δὲ λοιπὸν ἐμβάλλειν τῇ ἐμβάσει. κατασκευαζέσθω δὲ ὁ οἶκος θερ-
μός. ποτὰ δὲ ἁρμόδια. τότε κάλλιστον ἀπόμελι. καὶ σιλφίου ῥίζης ἀφέψημα. ἢ αὐτὴ λεία. καὶ ὑσσώ-
που ἀφέψημα. ὀποῦ κυρηναϊκοῦ ὅσον ὄροβος καταπινόμενος. σμύρνης τρωγλίτιδος κυάμου μέγεθος
καταπινόμενον. πάντων δὲ ἀπληκτότατον καὶ ἀνυσιμώτατον ἐστὶ τὸ καστόριον λεῖον διδόμενον κο-
10 χλιάριος α. μετὰ δὲ ταῦτα διαχρίσεις τῆς ἕδρας χρήσιμοι διὰ πηγάνου καὶ ὀποπάνακος. βοηθεῖ δὲ
καὶ ἔνεσις ἐλαίου. πηγανίνου μετὰ τερεβινθίνης. διδόναι δὲ αὐτοῖς καὶ τῆς ἀρχιγένους ἱερᾶς, ∠. β.
μετὰ καστορίου ἴσου, ξὺν πτισάνης χυλῷ καὶ μέλιτι. εἶτα τινὰ τῶν ἄλλων διδόναι. καὶ αὐτὸ τὸ κα-
στόριον καθ᾽ αὑτό.

Περὶ κεφαλαλγίας ἐκ τῶν γαληνοῦ διορισμοί. μ.

Ὅσοι μὲν ἔγραψαν ἄνευ διορισμοῦ κεφαλαλγίας ἰάματα, πλείονα βλάβην ἢ ὠφέλειαν εἰργάσαν-
το τοῖς πιστεύουσιν. οὐ γὰρ ἐν μιᾷ διαθέσει πάντες ἀλγοῦσι κεφαλήν. ἀλλὰ πλείους εἰσὶν αἱ διαθέ-
σεις. ἥ τε ἴασις ἑκάστης αὐτῶν ἰδία. μία μὲν γὰρ ἐστὶ διάθεσιν αὐτῆς κατὰ δυσκρασίαν ἁπλῆν ἄνευ
χυμῶν. ἑτέρα δὲ ἐπὶ τῇ τούτων ποιότητι. τρίτη δέ, διὰ τὸ πλῆθος αὐτὸ μόνον γινομένη. τετάρτη
δέ, ὅταν ἐμφράξῃ τὸ πλῆθος τὰς διεξόδους τῶν ὑγρῶν καὶ τῶν ἀτμῶν. καὶ πρὸς ταύταις ἑτέρα,
ὅταν δι᾽ ἀσθένειαν ἔστι τῶν κατὰ τὴν κεφαλὴν μορίων, πνεῦμα φυσῶδες ἐγεννήθη. σφοδρόταται
20 μὲν οὖν κεφαλαλγίαι γίνονται, κατὰ θερμότητα καὶ ψυχρότητα. μέτριαι δὲ κατὰ ξηρότητα
ταῖς δὲ ὑγρότησιν. οὐδεὶς ἕπεται πόνος. ὡσαύτως δὲ καὶ ἐπὶ χυμοῖς πλεονάσασιν (οὐδεὶς ἕπε-
ται). ἤτοι κατὰ πάντα τὰ μόρια τῆς κεφαλῆς. ἢ καθ᾽ ἓν ὁποιονοῦν συνέβη τὸ ἄλγημα. καὶ σφοδρό-
τερον μὲν ἐπιγίνεται διὰ τοὺς θερμούς τε καὶ ψυχρούς. μέτριον δὲ ἐπὶ τοῖς ξηραίνουσιν ἄνευ θερμότη-
τος ἐπιφανοῦς. οἱ δὲ ὑγραίνοντες χυμοί, ἀνώδυνοι τελέως εἰσὶν ὅσον γε ἐπὶ τῇ ποιότητι. διὰ γάρ
τοι τὸ πλῆθος ἄνευ μὲν ἐμφράξεως, βαρύνουσι τὴν κεφαλήν. συνεμφράξει δὲ ὀδύνας ἐπιφέρου-
σιν. ἐὰν δὲ δακνώδη ποιότητα τὸ πλῆθος ἔχοι, αὐξήσει τὴν ὀδύνην. τὸ δὲ φυσῶδες καὶ ἀτμῶδες
πνεῦμα διάτασιν ἐργάζεται χωρὶς δήξεως.

Περὶ κεφαλαλγίας δι᾽ ἔγκαυσιν. ἢ θερμότητος γινομένης. μα.

Τὰς δι᾽ ἔγκαυσιν τινὰ θερμότητος κεφαλαλγίας, ἰᾶται τά, ψυκτικὴν ἔχοντα δύναμιν, ἄνευ τοῦ
30 στύφειν ἐπιπολαίως. ἄριστα δ᾽ αὐτῶν ἐστίν, ὅσα λεπτομερέστερα ἐστὶ ταῖς οὐσίαις. διὸ κατ᾽ ἀρχὰς οὐδὲν ἄ-
μεινον τοῦ καλλίστου ῥοδίνου ψυχροτάτου γινομένου. ἢ κατὰ τοῦ βρέγματος καταχεομένου. ἔστω δὲ
τὸ ῥόδινον αὐτοετὲς διὰ ὀμφακίνου ἐλαίου ἁλῶν μὴ ἔχοντος ἐσκευασμένον. ἐφεξῆς δὲ τῷ ῥοδίνῳ, δὲ
χαμαιμήλου ἔλαιον ἐστίν, ἐφ᾽ ὧν μετρίαν δεῖ τὴν ἔμψυξιν ἐργάζεσθαι. ἐπειδὰν δὲ σφοδρῶς ψύξαι
βουληθῶμεν, μιγνύναι προσήκει χυλὸν ἀειζώου. ἢ πολυγόνου χυλόν. ἢ θριδακίνης. ἢ ὄμφακος στα-
φυλῆς. ἢ ἀνδράχνης. ἢ ἑλίκων ἀμπέλων. ἢ ψυλλίου. ἢ σέρεως. μήκωνος δὲ καὶ μανδραγόρου χυλός,
σφοδρῶς ἐμψύχει. διὸ βλαβερά. ἐρασίστρατος δέ φησι μεγίστην εἶναι προφυλακὴν ἐπὶ τῶν θερμα-
τέρων. ἕξεων ὅταν ἀλλοιῶσθαι μέλλῃ τίς, σπόγγον πλατὺν πυκνὸν βρέξας εἰς ὕδωρ. ἢ πιέσας σφό-
δρα, ἐπιτίθει τῇ κεφαλῇ. ὀδυνώδους δὲ ἐπικρατούσης θερμότητος κατὰ τὴν κεφαλὴν ἅμα φυ-
σώδει πνεύματι. κατ᾽ ἀρχὰς μὲν ἀποκρουστικῶν θεραπεία χρηστέον, ἐκ τῆς τῶν στυφόντων ἢ ψυχόν-
40 των γινομένης. μετὰ δὲ ταῦτα τῶν παρηγορικῶν. ἢ πεπτικῶν φαρμάκων μιγνύναι χρὴ τοῖς ἀπο-
κρουστικοῖς. εἶτα καὶ τῶν διαφορητικῶν τι προσθετέον ἀφαιροῦντα κατὰ βραχὺ τῶν ἀποκρουστι-
κῶν φαρμάκων.

Περὶ τῆς ἐν πυρετοῖς κεφαλαλγίας. μβ.

Ἐπεὶ δὲ τῶν ἐν πυρετοῖς συνεισβαλουσῶν κεφαλαλγιῶν, φλεβοτομεῖν τῇ πρώτῃ ἢ τῇ δευτέρᾳ ἀ-
νέσει, εἰ μηδὲν κωλύοι. καὶ μάλιστα ἐπὶ τῶν εὐεκτῶν καὶ πολυαίμων. προσέχειν δὲ μὴ διὰ τὰς ἐκ τῆς
γαστρὸς ἀναθυμιάσεις γίγνεται. ἢ δι᾽ ἐπίσχεσιν κοιλίας. εἰ δ᾽ ὕστερον μετὰ τὴν ἑβδόμην εἰσβάλλοι. προ-
κενώσας τὴν κοιλίαν διὰ κλυστῆρος, ἀξιολόγως σικυαστέον ἀπὸ ἰνίου ἢ αὐχένος. καὶ παρηγορητέον
τὴν κεφαλὴν ταῖς δι᾽ ἐλαίου ἐμβροχαῖς. ῥοδίνῳ μέν, ἐπὶ τῶν θερμοτέρων. καὶ ὥρᾳ θερινῇ, μετὰ
βραχέος ὄξους. χαμαιμηλίνῳ δὲ ἐπὶ τῶν μὴ πάνυ θερμῶν. ἀνηθίνῳ δέ, ἐπὶ τῶν ψυχροτέρων ἕ-
50 ξεων. καὶ ἐν χειμῶνι πέμπτον μέρον ὄξους προσειληφότι. ἐπιχρίειν δὲ τὸ μέτωπον. κύφει μέν, ἐπὶ τῶν
ψυχροτέρων. κροκομάγματι δὲ ἐπὶ τῶν θερμοτέρων. ἐπὶ μεγέθει δὲ πυρετῶν γινομένης κεφα-
λαλγίας ἰάματα, προγέγραπται ἐν τῷ περὶ πυρετῶν λόγῳ.

Πρὸς κεφαλαλγίαν διὰ μέθην, ἢ ἀκρατοποσίαν. μγ.

Οἱ θερμοὶ μάλιστα τῇ κράσει οἶνοι, κεφαλαλγίαν γεννῶσι. πληροῦντες πάντως μέν, ἀτμῶν τὴν κε-

φαλήν. ἔστι δ᾽ ὅτε καὶ χυμῶν θερμῶν. χρὴ τοίνυν ἐστὶ, τὸ μὲν πλῆθος κενῶσαι. ἐμψύξαι δὲ τὴν θερμότητα. ῥόδινον οἷον ἤ τι τοιοῦτον μὴ πάνυ ψυχρὸν, ἀρκεῖ προσφερόμενον τῇ κεφαλῇ. ὕπνος τε καὶ ἡσυχία. κἄπειτα ἐὰν τοιαῦτα προσταχθῇ δι᾽ ὅλης τῆς ἡμέρας, εἰς ἑσπέραν χρὴ λούσαντα, θρέψαι τροφαῖς εὐχύμοις μὲν, οὐ μέντοι θερμαινούσαις. οἷον ἐστὶ πτισάνης χυλὸς. ἢ ἄλικος. καὶ ἄρτος μεθ᾽ ὕδατος. καὶ τὰ ῥοφητὰ ὠὰ, ἄνευ γάρου. καὶ θριδακίνης ἀπεζεσμένης. ποτῷ δὲ, ὕδατι πάντως χρηστέον. διδόναι δὲ μετὰ ταῦτα τροφὴν, ῥόας βραχὺ. ἢ μήλου. ἢ ἀπίων. ἢ σταφίδων. τῇ δ᾽ ἑξῆς λούειν καὶ τρέφειν εὐχύμῳ τροφῇ. καὶ οἶνον λεπτὸν καὶ λευκὸν ὀλίγον διδόναι. Προπινόμενα δὲ ἀμέθυστα εἰσὶν, ἀμύγδαλα πικρὰ ε ἢ ζ νήστεις ἐσθιόμενα. οἶνος ἀψινθίτης. ἢ μυρσίτης προσλαμβανόμενος. καὶ αὐτὰ τὰ μύρτα προεσθιόμενα. κράμβης καυλοὶ προεσθιόμενοι. ὑπὸ πινόμενα δὲ, μέθην σβέννυσι, κενταυρίου λεπτοῦ ἀφέψημα. ἐλάφειον κέρας. πολυτρέως ὀρθῆς σπέρμα μεθ᾽ ὕδατος.

Ἐψυγμένης κεφαλαλγίας ἰάματα. μδ.

Ἐπὶ δὲ τῆς προσφάτως ἐψυγμένης κεφαλῆς, πηγάνινον ἔλαιον θερμὸν ἐμβρέχειν δεῖ τὸ βρέγμα. εἰ δὲ σφοδροτέρας δεήσει θερμασίας, ἐπιβάλλειν εὐφορβίου βραχέος τῷ ἐλαίῳ. ἢ μύρῳ ἰρίνῳ ἀλείφειν. ἢ ἀμαρακίνῳ. ἢ δαφνίνῳ. ἢ κυπρίνῳ. ἢ ναρδίνῳ. ἐπὶ χρίειν δὲ καὶ τὸ μέτωπον τοῖς τοιούτοις. καὶ διαχρίειν τῶν ῥινῶν. καὶ τῶν ὤτων τοὺς πόρους.

Περὶ τῶν ἀπὸ στομάχου κεφαλαλγιῶν. με.

Ἔνιοι κἂν εἰ βραχὺς τις ἐν κοιλίᾳ. καὶ μάλιστα κατὰ στόμα αὐτῆς, χυμὸς ἀθροισθείη δριμὺς, αὐτίκα κεφαλαλγοῦσι. τῶν ἐν τῇ γαστρὶ χυμῶν ἀτμοὺς ἐπὶ τὴν κεφαλὴν ἐγειρόντων μοχθηρούς. ὥς τισιν αὐτῶν, ὅμοια τῶν ἀποχεομένων συμπτώματα γίνεσθαι, ἐκ τῶν ἀναθυμιάσεων. εἰ μὴ φθάσωσι τροφὴν δέξασθαι. καὶ διὰ τοῦτο βλάπτονται ἀσιτοῦντες, αὔξει γὰρ αὐτοῖς ἐπὶ ταῖς ἀσιτίαις, ἡ τῶν τοιούτων χυμῶν μοχθηρία. χρὴ τοίνυν τοῖς οὕτως ἐνοχλουμένοις ἰᾶσθαι. μηδὲν μὲν τῇ κεφαλῇ προσφέροντες. κενοῦντες δὲ τῆς γαστρὸς ὅτι τάχιστα τοὺς λυποῦντας χυμούς. ὕδωρ χλιαρὸν ποτίζοντες. καὶ πτερῶν καθέσει ἐμεῖν κελεύοντες. εἶτα βραχὺ διαστήσαντες, τροφὴν εὔχυμόν τε καὶ εὐστόμαχον διδόναι. εἰ μὲν ἐγχωρεῖ λουσαμένους μετὰ τὸν ἔμετον. εἰ δὲ μὴ, πρὸ τοῦ λουτροῦ τοσοῦτον προσαραμένοις τροφῆς, ὡς μὴ βλαβῆναι λουομένους. λειποψυχήσαντας δὲ, ὀλίγα πίνειν, τῇ ἑξῆς ἕωθεν, ἀψινθίου καὶ τῇ αὐτῇ διαίτῃ χρήσασθαι. καὶ τὸ λοιπὸν καθεκάστην περὶ ὥραν γ ἢ δ. ἄρτου προσφέρεσθαι βραχύ. ἢ ἐλαιῶν λευκῶν. ἢ σταφυλῆς ἤ τινος τοιούτου διδόναι τῇ πείρᾳ τὸ βέλτιστον ἑκάστου εὑρίσκοντας. ἄλλο γὰρ ἄλλῳ βέλτιστον ἐστὶ κατὰ τὴν ἰδιότητα τῆς φύσεως. διαστήσαντα δὲ ὥρας β. ἐπὶ λουτρὸν ἐλθεῖν. χειρίστη δὲ γίνεται διάθεσις, ἐπὶ μοχθηροῖς χυμοῖς ἀναποθεῖσιν. ἢ ἐμπλασθεῖσι δυσεκνίπτως ἐν τοῖς χιτῶσι τῆς γαστρὸς. καὶ ναυτίας καὶ σπαραγμοὺς ἐπιφέρουσιν. ὧν ἄριστον βοήθημα ἐστὶ, τὸ διὰ τῆς ἀλόης πικρὸς φάρμακον λαμβάνειν. ἐπὶ τούτων τῆς μὲν ἀλόης ∠ η. τῶν δὲ ἄλλων ἀνὰ ∠ ς. τοῦ δὲ κρόκου ∠ δ. ἢ ἔλαττον. πληκτικὸν γὰρ τῆς κεφαλῆς, ὁ κρόκος. δίδου δὲ αὐτοῖς τοῦ φαρμάκου, ∠ α. μεθ᾽ ὕδατος κυάθου β. παραφυλάττεσθαι δὲ ἐπὶ πάντων μὲν. μάλιστα δὲ ἐπὶ τούτων, τὰ φύσει κεφαλαλγῆ ἐδέσματα.

Ὅσα φύσει κεφαλαλγῆ. μς.

Δεῖ δὲ οὐ μόνον παραφυλάττεσθαι ἐπὶ τῶν κατὰ συμπάθειαν τοῦ στομάχου κεφαλαλγούντων, ἀλλὰ κἀπὶ πάντων τῶν περὶ τὴν κεφαλὴν γινομένων παθῶν. ἔστι δὲ ταῦτα, ἄγνου σπέρμα. ἀψινθίου χυλὸς. γάλα πινόμενον. βάλανοι δρύϊναι ἐσθιόμεναι. ἐλαῖαι μέλαιναι. μεμύκηλα. ὄροβοι. οὗτοι δὲ καὶ τὰ ἄρθρα παραλύουσιν. ἐπὶ πλέον δὲ ἅπτεται. σμύρνα. λίβανος. κισσοῦ κόρυμβοι. καὶ ταράττουσι τὴν διάνοιαν. ὀλοσχίνου καρπὸς. κρόκος. πευκέδανον. κυκλάμινος ξηρὰ σὺν οἴνῳ ποθεῖσα. στύραξ ὀλίγος μὲν ποθεὶς. λύει σκυθρωπότητα. πολὺς δὲ, κατασκευάζει ταραχώδεις ὕπνους.

Πρὸς κεφαλαλγίας διὰ πληγήν. μζ.

Εἰ μὲν τραῦμα ἐπὶ τῇ πληγῇ γένοιτο, τοῖς κολλητικοῖς καὶ ἀφλεγμάντοις φαρμάκοις κεχρῆσθαι τῇ ῥαφῇ προσαγκτηρίσαντες τὰ χείλη τοῦ ἕλκους. εἰ δὲ μέχρι τοῦ περιοστέου ἐγκαταβαίνοι ἡ πληγὴ, ἐπὶ διελόντες καὶ ξύσαντες τὸν περικράνιον ὑμένα κατὰ συνουλώσιν, θεραπεύσομεν. συμβαίνει δὲ οὐκ ὀλιγάκις ἐν ταῖς ἀφ᾽ ὑψηλοῦ καταπτώσεσιν ἀπορρήγνυσθαί τι τῶν κατὰ τὸν ἐγκέφαλον ἢ τὰς μήνιγγας μορίων. ὅτε καὶ ὁ κίνδυνος σφοδρότερος καὶ ὀξύτερος. ἄριστον οὖν ἐπὶ τούτων εἰ μήτε τὰ τῆς ἡλικίας, μήτε ἡ ζωτικὴ δύναμις ἄῤῥωστος φαίνοιτο, τὴν ἀρχὴν τῆς ἰάσεως ἀπὸ φλεβοτομίας ποιεῖσθαι. κωλυομένης δὲ διά τι τῆς φλεβοτομίας, διὰ κλυστῆρος ἐκκενώσομεν τὴν γαστέρα. ἀντισπάσεως ἅμα καὶ κενώσεως ἕνεκα. ἔπειτα τοῖς πρὸς τὰς φλεγμονὰς χρησόμεθα βοηθήμασι. καλῶς δὲ πολλὰ μήνιγγα τετρωμένην φησὶν ἀρχιγένης, καλαμίνθης χύλισμα ἐγχεῖ. καὶ ἄλευρον κέγχρινον ξηρὸς ἐπιπάσσειν. ἔπειτα βούτυρον καὶ ῥόδινον. καὶ στεαρ ὕειον. ἀνάλον παλαιὸν μίξαντα καὶ χλιάναντα, ἐπιχεῖν.

Περὶ κεφαλαλγίας γαληνοῦ. μη.

Ἡ λεγομένη κεφαλαία, χρόνιός τε καὶ δυσλυτος ἐστὶ κεφαλαλγία. ἐπὶ μικραῖς προφάσεσι, μεγίστους ἴσχουσα παροξυσμούς. ὥστε μήτε ψόφων ἀνέχεσθαι, μήτε φωνῆς σφοδροτέρας. μήτε λαμπροῦ

φωτὸς. μήτε κινήσεως. ἀλλ' ἐν ἡσυχίᾳ καὶ σκότει κατακεῖσθαι βούλοιτο, διὰ τὸ μέγεθος τῶν ἀλ-
γημάτων. ὡς ὑπὸ σφύρας πλήττεσθαι δοκοῦσιν. ἔνιοι δὲ ὡς θλωμένων ἢ διατεινομένων αἰσθάνον-
ται τῶν κατὰ τὴν κεφαλήν. οὐκ ὀλίγων δὲ εἰς τὰς ῥίζας τῶν ὀφθαλμῶν διήκει τὸ ἄλγημα. φέρει
δὲ τὸ πάθος, ποτὲ μὲν διηνεκῆ ἀλγήματα, ποτὲ δὲ παροξυσμοὺς καὶ διαλείμματα. ἤτοι τεταγμέ-
να ἢ ἄτακτα. διαλείπουσι γὰρ ἐνίοτε οἱ τοιοῦτοι παροξυσμοί, καθάπερ τοῖς ἐπιληπτικοῖς. καί τις
χρόνος ἐπιγίγνεται μεταξὺ τελέως ἀμέμπτος. εὔδηλον οὖν ὅτι τὸ πάθος τοῦτο, τὴν συμπάθειαν μὲν
ἔχει τῆς κεφαλῆς ὁμογενῆ τοῖς κεφαλαλγικοῖς. ἐπεὶ μᾶλλον δὲ ἐκείνων ἀσθενείας ἥκει τὰ κατὰ
τὴν κεφαλὴν πάσχοντα μόρια. καί τινες αὐτῶν τὰς περὶ τὸν ἐγκέφαλον ὀδυνῶνται μήνιγγας.
ἔνιοι δὲ τὸν περικράνιον ὑμένα μόνον. τὰ μὲν οὖν μετὰ βάρους ἀλγήματα, πλῆθος δηλοῖ. τὰ δὲ με-
10 τὰ δήξεως, ἀτμῶν ἢ χυμῶν δριμύτητα. τὰ δὲ μετὰ σφυγμοῦ φλεγμονήν. τὰ δὲ μετὰ τάσεως, εἰ
μὲν ἄνευ βάρους καὶ σφυγμοῦ γένοιντο, πνεύματος ἀπέπτου καὶ φυσώδους πλῆθος δηλοῖ. εἰ δὲ μετὰ σφυγ-
μοῦ, φλεγμονὴν ὑμενώδους σώματος. εἰ δὲ μετὰ βάρους γένοιτο ἡ διάτασις, πλῆθος ἐν τοῖς ὑμέ-
νων ἰσχόμενον δηλοῖ. τὰ δὲ ἐν βάθει τῶν μηνίγγων. οἷς γὰρ ἡ διάθεσις ἔνδον τοῦ κρανίου ἐστί, τούτοις εἰς
τὰς ῥίζας τῶν ὀφθαλμῶν ἀφικνοῦνται οἱ πόνοι. διὰ τὸ τοὺς χιτῶνας τῶν ὀφθαλμῶν ἐκ τῶν μη-
νίγγων ἔχειν τὴν γένεσιν. εἰ μὲν οὖν πλῆθος χυμῶν. ἢ ἀτμῶν εὕροις αἴτιον. εἰ μὲν διὰ τὴν τοῦ παντὸς
σώματος πλησμονὴν ἐγένετο, τὸ πᾶν σῶμα κενώσας, ἰάσῃ τὴν κεφαλαλγίαν. εἰ δὲ ὡς ἀσθενὴς ὑ-
πάρχουσα ἡ κεφαλὴ δέχεται τὰ ἀποφερόμενα, ἀντισπᾶν τὴν ὕλην εἰς ὅλον τὸ σῶμα. καὶ οὕτως
ἂν ἰάσῃ τὸ μόριον. κλυστῆρσι μὲν ἡ ἀντίσπασις γίγνεται. καὶ διαδέσεσι τῶν ἄκρων. καὶ ῥίψεσι πλεί-
ους τῶν κάτω μερῶν. ἐνίοτε δὲ καὶ αἵματος κενώσει τὴν κεφαλὴν θεραπεύσεις. ἡνίκα μὲν χρῆσθαι
20 τοῖς ἀντισπαστικοῖς διὰ τῶν ἀποκρουστικῶν ἐμβροχῶν. μετὰ δὲ τὴν τοῦ παντὸς σώματος κένωσιν, ἤδη
τοῖς κενοῦσι καὶ διαφοροῦσι τὴν κεφαλὴν κεχρῆσθαι. εἶτα τοῖς ῥωννύναι δυναμένοις. ἀποκρούε-
ται μὲν οὖν τὸ ὀμφάκινον ἔλαιον καὶ τὸ ῥόδινον. καθ' αὑτὸ καὶ σὺν ὄξει. καὶ τὰ διὰ τῶν κωδύων καὶ
θαλλῶν ἁπαλῶν ἐλαίας. καὶ κισσοῦ τῶν κορύμβων. καὶ ἡδυόσμου χλωροῦ σκευαζόμενον. προσά-
γειν δὲ τὰ βοηθήματα χλιαρὰ μὲν, ψυχροτέρου καὶ ὠμοτέρου τοῦ πλήθους ὄντος. ψυχρὰ δὲ θερμο-
τέρου καὶ χολωδεστέρου. διαφορεῖ δὲ τὸ γλυκύτατον ἔλαιον θερμόν. καὶ μᾶλλον παλαιούμενον. ἔτι
καὶ τὸ σικυώνιον. εἰ δὲ παχύτερον εἴη τὸ πλῆθος τῶν χυμῶν σφονδύλιον ἢ ἑρπύλλιον ἐνεψῶν τῷ
ἐλαίῳ. ἢ γλήχωνος κόμην. καλαμίνθης. ἢ ἡδύοσμον, κενώσεις τὸ πλῆθος. αὐτὰ δὲ ταῦτα καὶ τόνον
ἐντίθησι τῷ μορίῳ. διὸ καὶ μέχρι παντελοῦς ἰάσεως χρῆσθαι αὐτοῖς προσήκει. μάλιστα δὲ πάντων
διαφορεῖ καὶ ῥώννυσι θαυμαστῶς, περιστερεὼν ὀρθός. μάλιστα μὲν χλωρός. ἤδη δὲ καὶ ξηρὸς σὺν ταῖς
30 ῥίζαις. ἅμα ἑρπύλλῳ ἑψόμενα τῷ ἐλαίῳ. συνεμβλητέον δὲ αὐτοῖς καὶ ῥίζαν τῆς περὶ τὰ ὕδατα
φυομένης κροκοδειλιάδος τῆς μεγίστης. καὶ αὐτὸν δὲ καθ' ἑαυτὸν τὸν περιστερεῶνα. εἰ ἀφεψήσας τῷ ἐλαίῳ
ἐμβρέχοις τὴν κεφαλήν, ἰάσῃ πᾶσαν κεφαλαλγίαν. χρονίαν ἐπὶ ψύξει γινομένην. ἢ καὶ ὑπὸ πα-
χέων χυμῶν. τὰ μέγιστα δὲ ὠφελοῦσι καὶ οἱ ὑπὸ τὰς ὑδρίας ὄνοι σὺν τῷ ἐλαίῳ ἑψόμενοι.

Περὶ ἡμικρανίας. ἐκ τῶν γαληνοῦ. μθ.

Πάθος ὀδυνηρὸν γίγνεται κατὰ τὸ ἥμισυ μέρος τῆς κεφαλῆς. ὃ καλοῦσιν ἡμικρανικόν. καὶ τὰ πολλὰ κατὰ
περίοδον παροξύνει. γίγνεται δὲ δι' ἐπιρροὴν ἀτμῶν ἢ χυμῶν. ἤτοι πολλῶν ἢ ψυχρῶν. ἢ θερμῶν.
καὶ ἐνίοις μὲν ἔξωθεν τοῦ κρανίου τὴν αἴσθησιν τῆς ὀδύνης γίγνεσθαι συμβαίνει. τισὶ δὲ εἰς τὸ βάθος τῆς κε-
φαλῆς διήκουσιν. ἔνιοι δὲ κατὰ τοὺς κροταφίτας μῦς ἀλγοῦσι σφοδρῶς. αἱ δὲ διαγνώσεις, ἐκ τῶν
περὶ κεφαλαλγίας προειρημένων γιγνέσθωσαν. καθαίρειν οὖν αὐτοὺς χρὴ. ἢ φλεβοτομεῖν πρότερον.
40 καὶ οὕτως τοῖς τοπικοῖς χρῆσθαι βοηθήμασιν. ἀνατρίβοντα διά τε σινδόνων καὶ διὰ δακτύλων τῆς
χειρὸς, τὸ ἥμισυ μέρος τοῦ μετώπου. καὶ μάλιστα τὰ κατὰ τὸν κροταφίτην μῦν, ἐκθερμαίνειν πρὸ
τῶν παροξυντικῶν ὡρῶν ἔτι πράττων. μετὰ δὲ τὸν παροξυσμόν, τοῖς καλουμένοις ἡμικρανικοῖς
χρῆσθαι. θερμασίας μὲν πολλῆς ἐν ταῖς ὀδύναις διασημαινούσης. τοῖς ἔχουσί τι ψυκτικόν. μὴ πα-
ρούσης δὲ θερμασίας, τοῖς ἱκανῶς θερμαίνουσι χρῆσθαι. μεμίχθω δὲ ἑκατέροις τῶν τονούντων, τὴν
στυπτικὴν ἔχον ποιότητα. κάλλιστον δὲ θερμαντικὸν ἐστὶ χρίσμα, τὸ ἔχον εὐφορβίου μὲν Γο. α. κηροῦ
δὲ, Γο. γ. ἐλαίου γλυκυτάτου λίτραν α. χρίε δὲ ἔτι τὸ ἥμισυ μέρος τοῦ μετώπου μετὰ τοῦ κροταφί-
του μυός. χρησιμώτατον δὲ ἐστὶ πρὸς τὰς ψυχρὰς διαθέσεις ὡς πολλάκις ἅπαξ χρῆσθαι πρὸ τοῦ
βαλανείου, τῆς ὀδύνης ἀπήλλαξεν. ὠφελεῖ δὲ τοὺς οὕτω πάσχοντας, καὶ εἰς τὸ οὖς ἐγχεόμενον χλια-
ρὸν ἔλαιον εὐφορβίου βραχέος ἐμβεβλημένου. ὡς ἀρκεῖν εἰς λίτραν τοῦ ἐλαίου, ∠ . δ. τοῦ εὐφορβίου.
50 φυσικῷ δέ τινι λόγῳ ἢ δυνάμει ποιεῖ τὸ εὐφόρβιον ἐπὶ τῶν ἡμικρανικῶν οὕτως προσαγόμενον. λεάνας
αὐτὸ μετ' ὄξους. ἢν μὲν τὸν δεξιὸν κρόταφον ὀδυνᾶται, ἐπίχριε τὸν εὐώνυμον. εἰ δὲ τὸν εὐώνυμον ἀλ-
γεῖ, ἐπίχριε τὸν δεξιόν. καὶ τάχιστα παύει τὴν ὀδύνην. Γῆς ἔντερα λεάνας, ἐπίχριε τὸν πάσχον-
τα κρόταφον, ποιεῖ παραδόξως. ὁμοίως δὲ χρῶ καὶ τῇ σαρκὶ τῶν κοχλιῶν. χρῶ δὲ καὶ τοῖς μικρὸν
ὕστερον γραφησομένοις κοινοῖς πάσης κεφαλαλγίας βοηθήμασι.

Κοινὴ θεραπεία κεφαλαλγίας καὶ ἡμικρανίας. ἐκ τῶν ἀρχιγένους καὶ γαληνοῦ. ν.

Χρονίας καὶ δυσλύτους γιγνομένης κεφαλαλγίας ἢ τῆς ἡμικρανίας, τὴν ἀρχὴν ἀπὸ φλεβοτομίας ἢ καθάρσεως ποιεῖσθαι προσήκει. προκενώσαντας κλυστῆρι. πρόδηλον δὲ ὅτι τοὺς μὲν πολυαίμους, φλεβοτομῆσαι δεῖ. τοὺς δὲ κακοχύμους καθᾶραι. εἶτα ἐμβροχαῖς ἁρμοδίοις χρῆσθαι. καὶ ἀπὸ τῶν ῥινῶν ἀφαιρεῖν αἷμα. ἔπειτα ἀποφλεγματισμοῖς χρῆσθαι ἐῤῥίνοις. εἶτα ξυρήσαντες τὴν κεφαλὴν, χρίειν τὸ διὰ σκαμμωνίας. καὶ πευκεδάνου. καὶ ἅλας. ἐπίθεμα δὲ ἁρμόζει, τὸ διὰ τῶν πικρῶν ἀμυγδάλων καὶ λιβάνου. καὶ σμύρνης. ἔμπλαστροι δὲ αἱ δι᾽ ἀγαρικοῦ καὶ αἱ διὰ σκίλλης. καὶ ἡ διὰ τοῦ ἀγρίου σικύου μέλαινα. ἁρμόδιοι ψυδρακοῦσαι τοὺς τόπους. καὶ τὰ ἐκ τοῦ βάθους εἰς τὴν ἐπιφάνειαν μετάγουσαι. οὐκ ἀνάρμοστον δὲ καὶ τὸ διὰ δαφνίδων μάλαγμα. ἡμεῖς δὲ χρώμεθα τῷ διὰ κανθαρίδων καταπλάσματι. καὶ ποιεῖ παραδόξως, πολλῷ γὰρ χρόνῳ ἕξει χωρισθέντων τῶν ὑπὸ τοῦ φαρμάκου γιγνομένων ἑλκυδρίων. δεῖ δὲ προασφαλίζεσθαι τὴν κύστιν διὰ γαλακτοποσιῶν καὶ ἐμβροχῶν. διὰ τὸ ἑτοίμως αὐτὴν πολλάκις ἀδικεῖσθαι ἐκ τῶν διὰ κανθαρίδος χρισμάτων. ἐπιμενούσης δὲ τῆς διαθέσεως, τέμνειν τὰς περὶ τὰ ὦτα ἀρτηρίας. καὶ μάλιστα τὰς ἐν κροτάφοις. ἐχρήσαντο δέ τινες ἐπὶ κεφαλαίας καὶ καύσει βαθείᾳ, φυλαττόμενοι μόνον μή τις τῶν μυῶν ὑποπέσῃ τῷ καυστηρίῳ. ἐρείδεται δὲ καυτήρια πυρηνοειδῆ. ὅπου μᾶλλον δύναται. καὶ ἐγχωρεῖ μέχρις ὀστέου καίειν πρὸς λεπίδος ἀπόστασιν. βάρβαροι δὲ, μηνοειδῆ διαίρεσιν διδόασι περὶ τὸ ἐμπρόσθιον μέρος τῆς κεφαλῆς, ἀνωτέρω τοῦ μετώπου ἀπὸ τοῦ ἀριστεροῦ ὠτὸς, μέχρι τοῦ δεξιοῦ. ἀπολύοντες τὸν περικράνιον ὑμένα. καὶ ἐπιξέοντες τὸ ὀστέον τῆς κεφαλῆς. ἐξασφαλίζοντες τὴν κεφαλήν. καὶ οὐκ ἂν εἰκῆ δόξῃ παρειλῆφθαι ἡ χειρουργία τοῖς εἰδόσι τὴν δυσχέρειαν τοῦ κακοῦ, δι᾽ ἣν οὐδὲ τὰ τοιαῦτα βοηθήματα μείζονα τῆς χρείας ἔσται. ἐλλέβορος δὲ ὠφελεῖ. οὐχ ἧττον καυστηρίων. εἰ μή τι καὶ μᾶλλον. παρακτέον οὖν αὐτοὺς πρότερον διὰ τοῦ ἀπὸ ῥαφανίδων ἐμέτου. εἶτα δοτέον τὸν ἐλλέβορον. ἐγὼ δὲ καὶ τούτοις. καὶ τοῖς ἐπιληπτικοῖς τὸν βολβὸν τοῦ λευκοῦ ἐλλεβόρου λεῖον καὶ χνοώδη ποιῶν, δέδωκα < α. καθὼς ἐν τῷ περὶ καθαρτηρίων λόγῳ προείρηται. καθαίρονται γὰρ δραστικῶς μετὰ πάνυ πολλῆς ἐκκρίσεως. εἶτα διαλαβὼν ἡμέρας τινὰς, τότε τῶν ῥαβδίων δίδωμι, < β. ἔτι πλέον γὰρ ταράττονται εἴπερ ἐκκρίνουσι. καὶ πάλιν τὸ τρίτον ὁμοίως δίδωμι. προμεμελετηκυῖαν γὰρ ἤδη διάθεσιν καὶ ἐν αὐτοῖς ὥσπερ τοῖς ὀστέοις πεπηγυῖαν, οὐκ ἔστιν ἀγωνιστικώτερος τρόπος ἄλλος. μετὰ δὲ ταῦτα ἀναλαβόντες τὴν δύναμιν κάτω καθαίρομεν, ἐκ διαλειμμάτων τινῶν τῇ ἡμέρᾳ ἱερᾷ. πρὸς τὸ ἐκεῖσε ῥέπειν ἀναγκάζειν τὴν ἀνάῤῥοπον ὕλην. παραιτεῖσθαι δὲ χρὴ ψύξιν. ἔγκαυσιν. κόπον τοῦ τε ἄλλου σώματος, καὶ τοῦ κατὰ τὴν κεφαλὴν αὐτὴν διὰ τῆς ὄψεως. καὶ τῆς ἀκοῆς καὶ ὀσφρήσεως. καὶ γεύσεως. καὶ μάλιστα τῆς ἁφῆς. παραιτεῖσθαι δὲ καὶ τὰς δριμυτέρας βρώσεις. οἷον κρομμύων σκορόδων. καὶ τῶν ὁμοίων. καὶ τὰς ἐμπνευματούσας. καὶ ὅσα δυσδιέξοδα. οἷον τυροί. γάλα. μύκητες. ὕδνα. βολβοί. γογγυλίδες. αἱρεῖσθαι δὲ τὰ εὐκοίλια. καὶ εὔπεπτα. ψαφαρά. ἀπίμελα. ἄβρωμα. εὐστόμαχα. οὐρητικά. φευκτέον δὲ καὶ μέλιτος. καὶ τῶν γλυκέων πάντων. οἶνος δὲ λευκὸς καὶ λεπτὸς ἔστω. καὶ μὴ πάνυ παλαιός. μὴ δὲ σφόδρα εὐώδης. καὶ τῷ πλήθει σύμμετρος. στοιχάδος δὲ τὴν πόαν ἑψήσας σὺν ὕδατι ἢ ὑδρομέλιτι, δίδου τοῖς κεφαλαλγικοῖς καὶ ἡμικρανικοῖς. ὡς μόνον καὶ μέγιστον βοήθημα.

Ἄλλο πρὸς πάντα πόνον κεφαλῆς.

Ἐλάφου ὀστέον καύσας. καὶ λειώσας μετὰ ῥοδίνου, κατάχεε τὸν ἀλγοῦντα τόπον. ἢ ὤκιμον λειάνας, κατάπλαττε. ἢ ἡδύοσμον μετὰ ὄξους λειώσας, χρίε δὶς τῆς ἡμέρας. ἢ λάπαθον ἄγριον. καὶ κικίδας ἅμα λειώσας, περίχριε τοὺς κροτάφους καὶ τὸ μέτωπον. καὶ παραχρῆμα παύσεις.

Ἄλλο πρὸς πάντα πόνον κεφαλῆς.

Κόπρον χελιδόνων πρὸ τοῦ χαμαὶ πεσεῖν, σὺν τῷ εὑρισκομένῳ ἐν τῇ καλιᾷ πηλῷ, βρέξας ὄξει ἐν ξυλίνῳ σκεύει, κατάχεε. Βράθυος αἰγὸς λειώσας, κατάχεε. καὶ ἐπίδησον. τοῦτο ποίει πρωῒ καὶ δείλης καὶ ἰάσῃ. Κάρδαμον φρύξας, λεῖον σὺν ὄξει. καὶ ῥοδίνῳ. καὶ ποιήσας κηρωτῆς πάχος, ἐντίθει. καὶ ἰάσῃ τάχιστα. Γῆς ἔντερα λειώσας κατάχεε. ἢ κοχλίων σάρκας ὅλου κεκαυμένου τέφραν. βολβίτων βοός. λίβανον. ἴσα μετ᾽ ὄξους λειώσας κατάχεε. ἔνιοι δὲ τῶν ἡμετέρων διδασκάλων φησὶν ὁ γαληνὸς, τούτῳ ἐχρῶντο πρὸς ἡμικρανίας. πεπέρεως < β. κροκομάγματος, < β. εὐφορβίου νεαροῦ, < β. τὸ ἥμισυ. εἰ δὲ καὶ παλαιὸν ᾖ, < α. κόπρον περιστερῶν τῶν διαιτωμένων ἐν ἀγροῖς, < α S. μέλανος γραφικοῦ καλοῦ. < α S. λεῖα σὺν ὄξει δριμυτάτῳ. καὶ ἐπάλειφε τὸν κροταφίτην μῦν. καὶ ὅλον τὸ ἥμισυ τοῦ μετώπου κατὰ τὸ πεπονθὸς μέρος.

Κροκομάγματος σκευασία.

Κρόκκου, < ρ. σμύρνης φωγλίτιδος, < ν. ῥόδων ξηρῶν < ν. ἀμύλου προσφάτου, < η. κόμεως < ν. οἴνῳ λειοῦται. Πρὸς κεφαλὴν ἐπιχειόμενον τοῖς κροτάφοις. μίγνυται δὲ καὶ πυξασίαις ἑτέρων φαρμάκων. Οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελοῦν, ἀλλὰ καὶ πᾶσαν κεχρονισμένην κεφαλαλγίαν ἐπιχειόμενον. ἐν μὲν ταῖς κεφαλαλγίαις, ἀπὸ κροτάφου εἰς κρόταφον

ἐπὶ τοῦ μετώπου παντός. ἐν δὲ ταῖς ἡμικραίραις, κατὰ τοῦ ἡμίσεος μέρους τοῦ πεπονθότος. κρόκου ∠ ιε. χαλκάνθου, ∠ ι. στυπτηρίας, ∠ γ. σμύρνης, ∠ γ. ὀπίου ὀμφακίου ξηροῦ. χαλκίτεως ὠμῆς, ἀνὰ ∠ γ. κόμεως ∠ ιε. οἴνῳ φαλερίνῳ λεῖου ὡς κολλύριον. καὶ ἀνάπλαττε τροχίσκον. καὶ ἐπὶ τῆς χρείας ὀξυκράτῳ ἢ ὄξει ἀκράτῳ κατάχριε.

Ἕτερον.

Σκαμμωνίας, ∠ ς. κρόκου, ∠ β. κισσοῦ κόμης, ∠ ς. θείου ἀπύρου ∠ . ἀνίσου, ∠ η. σελίνου σπέρματος, ∠ η. λεάνας ἐπιμελῶς ὠκίμου χυλὸν, ἀνάπλασσε τροχίσκους. τοῦτο ῥοδίνῳ πλείονι λυθὲν, ἐπιβροχὴ τῆς κεφαλῆς γίγνεται. τοὺς ληθαργικοὺς ὠφελοῦσα. ἐπὶ δὲ τῶν κεφαλαλγικῶν μετ᾽ ὄξους. Ἕτερον φάρμακον οὐ μόνον ἐπὶ τούτων ἁρμόττον, ἀλλὰ καὶ τοὺς σκοτωματικοὺς ὠφελοῦν. πευκεδάνου ῥίζης, ∠ δ. ἴρεως ἰλλυρικῆς, ∠ β. ἰοῦ ἀκώρου, ἀνὰ ∠ α. σφονδυλίου ∠ δ. πεπέρεως μέλανος, ∠ β S. στρύλου ∠ δ S. σμύρνης, ∠ ϛ. κασσίας β S. δαφνίδας ἀριθμῷ, λε. πηγάνου χλωροῦ, ∠ η. ἡδυόσμου χλωροῦ, ∠ δ. ὀπίου, ∠ α. οἴνῳ ἀναλαβὼν, ποίει τροχίσκους. ἐπὶ δὲ τῆς χρείας, ὀξυροδίνῳ διεὶς κατάχριε. καὶ ἀναλφιθὲν δὲ κηρωτῇ ῥοδίνῃ ἐπιτίθεται τῷ μετώπῳ, ὡς μάλαγμα.

Τροχίσκος.

Οὐ μόνον τοὺς ἡμικρανικοὺς ὠφελοῦν. ἀλλὰ καὶ τοὺς ἰσχιαδικούς. θαψίας ∠ γ. εὐφορβίου, ∠ δ. ὀποῦ μηδικοῦ, ∠ γ. σμύρνης, ∠ α. ὀποπάνακος, ∠ α. ἅμα κόψας, λεάνας, οἴνῳ ἀνάπλασσε. καὶ χρῶ μετ᾽ ὄξους.

Ἄλλο.

Πευκεδάνου ῥίζαν, ∠ δ. κράμβου, ∠ α. ζιγγιβέρεως, ∠ δ. ὀπίου, ∠ α. ὄξει ἀναλάμβανε τροχίσκον. καὶ χρῶ σὺν ὄξει ἐν τοῖς παροξυσμοῖς. παραχρῆμα γὰρ κοιμίζει τοὺς πόνους. Πρὸς πᾶσαν κεφαλαλγίαν. καὶ ἡμικρανίαν διὰ πείρας πολλῆς.

Ἀψινθίου χυλὸν. κισσοῦ χυλὸν. αἰγὸς κόπρου. κοχλίους σὺν τοῖς ὀστράκοις κεκαυμένους. χάρτου κεκαυμένου. δαφνίδων βολβῶν. λιβάνου. εὐφορβίου. μέλανος γραφικοῦ. κροκομάγματος. κικίδων. ῥαφάνου φύλλων. ᾠοῦ τὸ πυῤῥὸν. μαλάχης χυλὸν. ἴσα λεάνας ὄξει, ποίει τροχίσκους. καὶ χρῶ σὺν ὄξει.

Ἐπίθεμα πρὸς κεφαλαλγίαν σφόδρα καλὸν. να.

Ἀμυγδάλων πικρῶν. ἄγνου ἄνθους. πευκεδάνου ῥίζης. ἡδυόσμου χλωροῦ. πηγάνου ἀκρεμόνων. δαφνίδων. στρύλου. σφονδυλίου. κασσίας. ἀνὰ Γο α. ῥόδων ξηρῶν, Γο β. ὄξει διαλύσας ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου. ἔπειτα ὡς ὀθόνιον ἐμπλάσας. καὶ ξυρήσας τὰς τρίχας, ἐπιτίθει καθ᾽ ὅλης τῆς κεφαλῆς. καὶ ταινιδίῳ καταδήσας, φύλαττε μέχρι τῆς ἐπιούσης ἡμέρας. καὶ πάλιν λύσας ἀνανεώσας, ἐπιτίθει.

Ἄλλο μάλαγμα πρὸς πᾶσαν κεφαλαλγίαν.

Ἰοῦ, ∠ δ. χαλκοῦ κεκαυμένου, ∠ δ. λεπίδος σιδήρου στομώματος, ∠ β. κιμωλίας, ∠ δ. χαλκίτεως ὠμῆς, ∠ δ. κασσιτέρεως ὠμῆς ∠ γ. τερεβινθίνης, Γο α. κηροῦ. Γο λζ. ἐλαίου παλαιοῦ, Γο ε. τοῖς ξηροῖς λειοτάτοις. τὰ τηκτὰ ἐπίχεε. καὶ μάλασσε καὶ χρῶ. ἐὰν δὲ σκληρότερον δοκῇ εἶναι, ἐλαίῳ ἀμυγδαλίνῳ. μάλασσε καὶ χρῶ ὡς προείρηται. ποιεῖ καὶ ἐπὶ τοῦ μετώπου ἐπιτιθέμενον καὶ κροτάφοις. ποιεῖ δὲ παραδόξως ἡ ἀρχιγένους μέλαινα δέρματι ἐμπλασσομένη. καὶ ἐπιτιθεμένη τῷ ἀλγοῦντι κροτάφῳ. παραχρῆμα γὰρ παύει τὰς ὀδύνας. κεῖται δὲ ἐν τοῖς ὀρθοπνοϊκοῖς βοηθήμασιν ἐν τῷ η λόγῳ. κεφάλου. ξγ.

Ἔῤῥινα κεφαλῆς καθαρτικά. νβ.

Χρείας δὲ καλούσης. ἢ διὰ ῥινῶν χρὴ καθαίρειν τὴν κεφαλὴν, μετὰ τὴν τοῦ παντὸς σώματος κένωσιν. ἐγχέονται ταῖς ῥισίν. ἀναγαλλίδος χυλὸν. ἢ κυκλαμίνου. ἢ αὐτὴν τὴν ῥίζαν τῆς κυκλαμίνου ξηρὰν λείαν ἐμφυσᾶν. ἢ ἐλατήριον μετὰ γάλακτος ἐγχεῖν. εὐπορείστω δὲ φαρμάκῳ πολλάκις ἐχρησάμην μελανθίῳ. τοῦτο μὲν ὄξει δριμεῖ προβρέχων πρὸ μιᾶς ἡμέρας. ἔπειτα λειῶν σὺν τῷ ὄξει καὶ ἐγχέων εἰς τὰς ῥῖνας. ποιεῖ καὶ ἐπὶ ἐμφράξεως μυξωτήρων.

Κισσοῦ χυλὸς. ἢ καλαμίνθης. διὰ ῥινεγχύτου ἐγχυθὲν εἰς τοὺς μυκτῆρας, ἄγει πολλὴν μύξαν. Ἄλλο.

Γλυκύμηλα. ὕδατι βάπτων, ἀναλάμβανε χάλκανθος λείαν. καὶ διάχριε ἐσωτάτω τοὺς μυκτῆρας. τοῦτο καθαίρει ἱκανῶς. καὶ παραχρῆμα τοὺς πόνους κουφίζει. ἢ γάλακτι τὴν χάλκανθον λεάνας ἔγχει. καθαίρει μάλιστα τοὺς ἰκτερικούς.

Ἄλλο.

Μελάνθην, ∠ η. λείου ἀφρονίτρου ∠ α. ἁλὸς ἀμμωνιακοῦ, ∠ α. ἐλαίῳ παλαιῷ. ἢ ἰρίνῳ. ἢ κυπρίνῳ, ἀνέσας. καὶ κροκύδα περιθεὶς σμίλου. καὶ βάπτων τῷ φαρμάκῳ, διάχειε τοὺς μυκτῆρας συνεχῶς. καὶ ἀποῤῥήσεται πᾶν τὸ ἐνοχλοῦν τῇ κεφαλῇ, ἐχέτω δὲ τὸ φάρμακον, σύστασιν ὑγρᾶς κηρωτῆς. καὶ ἀποκείσθω ἐν κερατίνῃ πυξίδι. ἐνίοτε δὲ ἀντὶ τοῦ ἀφρονίτρου, ἐλατήριον βάλλω. καὶ ποιεῖ τοῖς ὑπὸ ὀφθαλμιῶν χρονίων ἐνοχλουμένοις. καὶ ἐπιληπτικοῖς. ἄγει γὰρ πολλὴν ὑγρασίαν.

Ἀλύπως καθαῖρον. καὶ ἄπονον ποιοῦν παραχρῆμα. κυκλαμίνου ξηρᾶς, ∠ η. ἴρεως ξηρᾶς ∠ ϛ. νίτρου ἐρυθροῦ ∠ α. ἐγὼ δὲ ἐλατήριον ἔβαλον ἀντὶ τοῦ νίτρου. σίψας ἐπιμελῶς, ἐμφύσα διὰ καλαμίδος. παραινῶν ἄνω ἀνασπᾶν. ἔπειτα κάτω νεύειν. ὥστε τὸ συλλεγόμενον ὑγρὸν ἀποῤῥέειν. καὶ πταρμικοῖς δὲ

μικοῖς δὲ χρὴ διασείειν τὴν κεφαλὴν, τοῖς ἀναγραφησομένοις ἐν τῷ περὶ τῶν τῆς ῥινὸς παθῶν λόγῳ.

Ἀποφλεγματισμοὶ καθαίροντες τὴν κεφαλήν. νγ΄.

Νίτρου, Γο. ϛ΄. σταφίδος ἀγρίας, Γο. γ΄. ἀνίσου, Γο. δ΄. δάφνης φύλλων χλωρῶν, Γο. β΄. σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων, ὅσον ἐξαρκεῖ εἰς ἀνάληψιν. ἐκ τούτου δίδου διαμασᾶσθαι κατὰ μέρος ὅσον, Γο. γ΄. καὶ ἀποπτύειν.

Ἄλλο διαμάσημα κεφαλὴν καθαῖρον.

Πυρέθρου. πεπέρεως. ὑσσώπου. σταφίδος ἀγρίας, ἀνάλαμβανε σταφίδων σαρκας. καὶ δίδου διαμασᾶσθαι. μετὰ δὲ τὴν τούτων χρῆσιν, ἅλσι καὶ μέλιτι ἀποθεραπευέσθω.

Ἄλλο κεφαλῆς καθαρτικόν.

Μήτε κεφαλὴν συγχωροῦν ποιῆσαι, μήτε ἀμβλυωπίαν γίνεσθαι. ὠφελεῖ δὲ καὶ τὰ ὦτα καὶ ὀδόντας. διὰ χρόνου δὲ ὁ χρώμενος αὐτῷ, οὐδενὶ τούτων περιπεσεῖται πάθει. ἔστι δὲ κάλλιστον. σαμψύχου ξηροῦ. ἴρεως ἰλλυρικῆς. πυρέθρου. ὑσσώπου. νίτρου. πεπέρεως. σελίνου σπέρματος. πάνακος ῥίζης. σταφίδος ἀγρίας, ἀνὰ ∠. δ΄. ἐὰν δὲ ἐπιτεῖναι θέλῃς, πρόσβαλλε καὶ σμύρνης ∠. δ΄. λεάνας δὲ ἕκαστον κατ᾽ ἰδίαν. ἔπειτα καὶ ἅμα μεθ᾽ ὕδατος, ἀνάπλασσε τροχίσκους. παραμίξας βραχὺ μέλιτος. ἐπὶ δὲ τῆς χρείας ἀνέσας μέλιτι καὶ ὕδατι, ἀναγαργαρίσματι χρῶ. ἢ ἐλαίῳ κυπρίνῳ. ἢ ἰρίνῳ. ἢ παλαιῷ μίξας, ἐπὶ τοὺς μυκτῆρας ἔγχει.

Σμήγματα καὶ πάσματα πυκνωτικὰ τῆς κεφαλῆς. νδ΄.

Σμῆγμα κεφαλῆς πυκνωτικόν.

Νίτρου. βερνικαρίου, Γο. ϛ΄. δαφνίδων. νάπυος. σαμψύχου, ἀνὰ Γο. β΄. κυπέρου Γο. α΄. ζυγὸς κεκαυμένου, Γο. α΄. σμάσθω ἐν βαλανείῳ ἀλειψάμενος. κατὰ δὲ τῶν ὀφθαλμῶν κατεχέτω τὸ ὀθόνιον πολύπτυχον. ἢ σπόγγον.

Ἄλλο.

Νίτρου ὀπτοῦ λι. α΄. δαφνίδων. λι. β΄. σταφίδος ἀγρίας. νάπυος λι. α΄. σικύου ἀγρίου ῥίζης, Γο. ϛ΄. χρῶ καθὰ προείρηται ἐπὶ τῶν κεχρονισμένων διαθέσεων.

Σμῆγμα κεφαλῆς ποιοῦν πρὸς καταῤῥόους καὶ ὑδροκεφάλους διὰ πείρας.

Νίτρου ὀπτοῦ οἴνῳ σβεσθέντος Γο. ϛ΄. ἴρεως. ἀριστολοχίας. ἀλκυονίου, ἀνὰ Γο. α΄. ὀξυμέλιτος τὸ ἀρκοῦν. κόψας. σήσας. φυράσας τῷ ὀξυμέλιτι. καὶ προξυρήσας τὸ βρέγμα, ἐπίχριε πρὸ τοῦ βαλανείου. καὶ ἐάσας βραχὺ, σμῆχε.

Σμῆγμα πρὸς πᾶσαν κεφαλαλγίαν. καὶ ῥεῦμα ὀφθαλμῶν διὰ πείρας.

Ἀλκυονίου σμύρνης. καλάμου ἀρωματικοῦ. θέρμων ἀλεύρου. ὀροβίνου ἀλεύρου. θείου ἀπύρου. ἀφρονίτρου. ἴσα χυλῷ πτισάνης ἀναλαβὼν, ποίει τροχίσκους ἀνὰ Γο. α΄. ἐπὶ δὲ τῆς χρείας ἀνέσας, χυλῷ πτισάνης χρῶ. χρὴ ἐν τῷ λουτρῷ ἐμβάλλειν τὸ σμῆγμα τῷ βρέγματι. προδιαστείλαντι τὰς τρίχας ἀπ᾽ ἀλλήλων. ἵνα προσομιλῇ τῷ σώματι τὸ βοήθημα. προστάττων μύειν τὸ στόμα. ἵνα διὰ τῶν μυκτήρων σφοδρῶς ἐπισυρόμενοι τὸν θερμὸν ἀέρα, θᾶττον μεταβάλλουσι τὴν ὑποκειμένην ὕλην.

Κωνσταντίνου σάπων.

Σάπων κωνσταντίνου. ἀναξηραντικὸς ῥευμάτων. βαλαυστίων Γο. β΄. σμύρνης. σανδαράχης. ναρδοστάχυος ἀνὰ Γο. β΄. κόστου. ἀλόης. κηκίδων. λιβάνου. σιδίων. φύλλων ῥόδων. σαρκοκόλλης, ἀνὰ Γο. γ΄. σάπωνος γαλλικοῦ, λι. α΄. θέρμων πικρῶν ἀφεψήματος ξ. α΄. τὰ ξηρὰ κόψας σήσας. καὶ σὺν τοῖς ὑγροῖς ἐκλεάνας, πρόσβαλλε τὸν σάπωνα. καὶ ἀνάπλαττε τροχίσκους καὶ χρῶ. ἀναλύων ἐπὶ τῆς χρείας ὅσον ἐξαρκεῖ μετ᾽ οἴνου. καὶ ἐπιχρίων πρὸ τοῦ βαλανείου, τὸ βρέγμα προξυρηθέν. ἔπειτα μετὰ βραχὺ σμήχων καὶ ἀποπλύνων.

Σάπων ἀνδρέου κόμητος πάνυ δόκιμος.

Σχίνου ἄνθος. κασσίας. κυπέρων. ἀμώμου. φύλλου κόστου, ἀνὰ Γο. α΄. κηκίδων Γο. α΄. S. νάρδου κελτικῆς. στυπτηρίας. ἴρεως. τρυγὸς οἴνου παλαιοῦ κεκαυμένου. γύψου κεκαυμένου. νίτρου ἀνὰ Ͱ. ιβ΄. ῥόδων ξηρῶν Ͱ. η΄. ἁλῶν Ͱ. η΄. πορφυρῶν ὀστράκων κεκαυμένων, Γο. γ΄. σάπωνος γαλλικοῦ λι. α΄. θέρμων ἀφεψήματι, λέαινε καὶ ἀναλάμβανε καὶ χρῶ.

Ξηρὸν μύρον.

Κεφαλῆς ῥευματιζομένης ἀδιάπτωτον.

Ἴρεως. ἑλενίου. σχίνου ἄνθους, ἀνὰ λι. α. ῥόδων ξηρῶν, γο. γ. ἀμώμου. κόστου. φύλλου. κικίδων ἀνὰ γο. ϛ. χρῶ μετὰ τὸ λουτρόν. προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ. καὶ τότε ἐπίπασσε.

Ἄλλο κάλλιστον.

Ἴρεως γο. γ. κικίδων γο. α. κασσίας. κόστου φύλλων. ναρδοστάχυος. βαλαυστίων. ῥόδων ξηρῶν. καρποβαλσάμου, ἀνὰ γο. β. σμύρνης, ∠. δ. κόψας. σήσας. προαλείψας τὴν κεφαλὴν οἴνῳ αὐστηρῷ, ἐπίπασσε καὶ μάλιστα μετὰ τὸ λουτρόν.

Ἄλλο Θεοδοσίου.

Πάσμα κεφαλῆς ἀναξηραντικόν. κικίδων. βαλαυστίων ἀνὰ γο. δ. κυπέρων, γο. β. ναρδοστάχυος φύλλων. λιβάνου φλοιοῦ. πίτυος φλοιοῦ. νάρδου κελτικῆς, ἀνὰ γο. α. ἴρεως, γο. α. S. κόψας. σήσας, χρῶ.

Ἄλλο πάνυ καλόν.

Ἴρεως, γο. γ. κικίδων. ῥόδων ξηρῶν ἀνὰ γο. β. στυπτηρίας, γο. α. χρῶ ὡς προείρηται ἐπὶ θερμοτέρας κεφαλῆς.

Ἄλλο.

Πάσμα κεφαλῆς καθύγρου. ὑφ' ἧς οἵ τε ὀφθαλμοὶ ῥευματίζονται καὶ τὰ ἄλλα μέρη.

Παιονίας ῥίζης, γο. α. στυπτηρίας σχιστῆς, γο. α. σταφίδων ∠. δ. κυπέρεως γο. β. νάρδου κελτικοῦ, γο. ϛ. κόψας. σήσας, κατάπλασσε. τοῦτο πλειστάκις ἐδοκίμασα.

Πάσμα κεφαλῆς τὸ νωτικὸν ποιοῦν, καὶ ἐπὶ τῶν τοὺς ὀφθαλμοὺς ῥευματιζομένων συνεχῶς.

Κυτίνων, γο. α. κικίδων γο. α. κυπέρου. ἴρεως. ἑλενίου, ἀνὰ γο. δ. ἁρμαλᾶ ὃ καλοῦσι βίσασα, γο. β. χαμελαίοντος μέλανος ῥίζης, γο. β. καρποβαλσάμου, γο. α. σχίνους ἄνθους, γο. β. ἀριστολοχίας. ῥόδων ξηρῶν. μυρσίνης ξηρᾶς. νάρδου κελτικῆς, ἀνὰ γο. α. ξυλοβαλσάμου, γο. ϛ. ἀμώμου. σιδίων. σταφίδος ἀγρίας, ἀνὰ γο. α. κόψας σήσας, χρῶ.

Ἄλλο.

Σμῆγμα ἀναξηραντικὸν ῥευμάτων παντοίων. ἐξαιρέτως δὲ τῶν δριμέων. καὶ τῶν ὑποσυμφόρων λεγομένων. διὰ πολλῆς πείρας πάνυ εὐδοκιμοῦν γενναίως.

Κέγχρου, γο. γ. λαδάνου, γο. ϛ. κικίδων γο. β. σχίνου ἄνθους, γο. α. S. ῥόδων σπέρματος ξηροῦ γο. α. S. στυπτηρίας ὑγρᾶς γο. β. ναρδοστάχυος γο. α. νάπυος γο. β. ἴρεως. ἀκακίας. πεπέρεως. σταφίδος ἀγρίας, ἀνὰ γο. ϛ. κόστου. φύλλων. πυρέθρου, ἀνὰ γο. α. καλάμου σφάγνου ἤτοι βρύου. ἢ ὕπνου, ἀνὰ γο. α. S. νίτρου ἐρυθροῦ, λι. β. τὸ νίτρον καύσας ὀξυμέλιτι σβέσας. λεάνας. μίξας, χρῶ. ἐπιπάσσων τῷ βρέγματι, καὶ κατὰ βραχὺ σμήχων.

Περὶ ἀλωπεκίας. νε.

Καθάπερ τῶν φυτῶν ἔνια μὲν ὑγρότητι ἐνδείᾳ διαφθείρονται ξηραινόμενα. τινὰ δὲ ὑγροῖς ἀλλοτρίοις τῆς ἑαυτῶν φύσεως ὁμιλοῦντα, τὸν αὐτὸν τρόπον καὶ ταῖς θριξίν. ἤτοι δι' ἔνδειαν ὑγρῶν ὑφ' ὧν τρέφεσθαι πεφύκασιν. ἢ διὰ φαυλότητα φθείρεσθαι συμβαίνει. δι' ἔνδειαν μὲν ὑγρῶν, ἡ φαλάκρωσις γίγνεται. διὰ μοχθηρίαν δὲ, αἱ ἀλωπεκίαι τε καὶ ὀφιάσεις. ἓν μὲν ἄμφω κατά γε τὴν νοσώδη διάθεσιν οὖσαι πάθος. ὀνόματι δὲ ἐσχηκέναι διαφέρονται παρὰ τὸ σχῆμα. παραπλήσιον γὰρ ὄφει τὸ βεβλαμμένον μέρος τῆς κεφαλῆς φαίνεται κατὰ τὰς ὀφιάσεις. αἱ δὲ ἀλωπεκίαι οὕτως ὠνομάσθησαν, ὅτι ταῖς ἀλώπεξι συνεχῶς γίγνεται τὸ πάθος, ὥς φασιν. ὑγρῶν μὲν οὖν μοχθηρῶν περιουσία, αἰτία τοῦ πάθους. ὁποῖα δὲ ἐστὶ ταῦτα, διὰ τῆς χροιᾶς τοῦ πεπονθότος δέρματος γνώσῃ. λευκοτέρα μὲν γὰρ οὖσα, φλεγματικωτέραν αὐτὴν δηλώσει. μελαντέρα δὲ, μελαγχολικωτέραν. ὠχροτέρα δὲ πικρόχολον. καὶ κενοῦν χρὴ τὴν πλεονάζουσαν κακοχυμίαν. ἢ τοῖς δι' ἀλόης καὶ κολοκυνθίδος καταποτίοις, ἢ τῆς διὰ κολοκυνθίδος ἱερᾶς γαληνοῦ. εἰ μὲν οὖν ὁ μελαγχολικὸς πλεονάζοι χυμός, μέλανος ἐλλεβόρου αὐτῇ μιγνύντας. εἰ δὲ ὁ πικρόχολος, σκαμμωνίαν. εἰ δὲ φλέγμα αὐτὴν καθ' αὑτήν. μετὰ δὲ τὴν τοῦ ὅλου σώματος κάθαρσιν, ἀποφλεγματίζειν, ἄμεινον. κἄπειθ' οὕτω χρῆσθαι, τοῖς τοπικοῖς βοηθήμασι. διαφορητικὰ δὲ τῆς κακοχυμίας εἶναι χρὴ ταῦτα καὶ λεπτομεροῦς οὐσίας. εἰ δὲ πρὸς τῷ διαφορεῖν τοὺς μοχθηροὺς χυμοὺς ἐπιτήδειον εἴη τὸ φάρμακον ἕλκειν αἷμα χρηστὸν ὥσπερ ἡ θαψία, κάλλιστον ἂν εἴη τὸ τοιοῦτον. ξυρήσαντας δὲ τὴν κεφαλὴν, χρὴ ἀνατρίβειν τὸν τόπον ῥάκει. καὶ σκοπεῖν. εἰ γὰρ μετ' ὀλίγην τρῖψιν ἐρυθραίνεται τὸ μέρος, εὐίατον ὑπολάμβανε τὴν διάθεσιν. εἰ δὲ μετὰ πολλὴν τρῖψιν ἐρυθραίνεται, δυσίατον. εἶτα λειώσαντες πρόσφατον θαψίαν. καὶ μίξει δαψιλοῦς ἐκλύσαντες αὐτῆς τὸ σφοδρὸν τῆς δυνάμεως ἐπιχρίειν. ἐπισκέπτεσθαι δὲ χρὴ μετὰ τὴν ἐπίχρισιν τῆς θαψίας. μήποτε διὰ σφοδρότητα περαιτέρω τοῦ προσήκοντος, ἐξεθέρμηνε τὸ δέρμα. δῆλον δὲ ἔσται τοῦτο ξανθοτέραν τὴν χρόαν γινόμενον. ἐπικαυθῆναι γὰρ κίνδυνος τὸ δέρμα, πολλάκις αὐτῷ χρησαμένων ἡμῶν. ἀλλ' ἢ μεταβαίνειν ἐπί τε ἕτερον τῶν μαλακωτέρων χρή, ἢ τῷ αὐτῷ χρωμένους ἐκλύειν τὴν δύναμιν. κη-

ρωτῇ

ρωτῇ ἢ στέατος μίξει. πρόσεχε δὲ τὸ μὴ ἑλκωθῆναι τὴν ἀλωπεκίαν· ὅπερ ἂν εἰ γένηται, ἐπάλει-
φε χηνείῳ στέατι. ἢ ἄλλῳ τινὶ τῶν λεπτομερῶν. προσαγέσθω δὲ ἐν ἀέρι θερμῷ τὰ τοιαῦτα τῶν
βοηθημάτων, χωρὶς αὔρας ψυχρᾶς ἐν ἡλίῳ· χειμῶνος δὲ ὄντος, ἐν λουτρῷ. τῶν δ' ἄλλων φαρ-
μάκων τῶν ἁρμοττόντων ταῖς τοιαύταις διαθέσεσι, θερμότατόν ἐστι τὸ εὐφόρβιον. καὶ μετὰ τοῦ
θαψίου. καὶ νάπυ. καὶ κάρδαμον. καθ' ἕτερον δὲ τρόπον, οὐδενὸς ἧττον ἀδάρκη. εἶτα τὸ βορνικά-
ριον. θεῖον καὶ ἀφόνιτρον. ἑκάτεροί τε οἱ ἐλλέβοροι. καὶ τοῦ εὐζώμου τὸ σπέρμα. καὶ τὸ δάφνινον
ἔλαιον. ἀλκυόνιά τε ἑκάτερα κεκαυμένα. καὶ πίττα. καὶ κεδρέα. καὶ αἱ ῥίζαι τοῦ φραγμίτου
καλάμου. καὶ ὁ φλοιὸς κεκαυμένα. ἥτε τῶν μυῶν κόπρος. καὶ χήνειον στέαρ. μάλιστα δὲ τὸ τῆς
ἄρκτου. καὶ ὑαίνης, τάτε πικρὰ ἀμύγδαλα. ὅλα καυθέντα. καὶ ἐχίδνης δέρμα. καὶ κεφαλὴ
10 κεκαυμένη, τούτων τοῖς μὲν ἰσχυροῖς, ὑγρὰν κηρωτὴν μίγνυε. τὰ δὲ ἀσθενέστερα λύειν ἐλαίῳ
δαφνίνῳ. ἢ ὑγρᾷ πίττῃ. καὶ τὰς μὲν χρονίας καὶ δυσιάτους, τοῖς ἰσχυροῖς θεραπεύειν. τὰς δὲ
ἀρχομένας καὶ εὐιάτους, τοῖς ἀσθενεστέροις.

Κρίτωνος πρὸς ἀλωπεκίας.

Α ἐρυίου τριχῶν κεκαυμένων. ἀδιάντου κεκαυμένου. καλάμων ῥιζῶν κεκαυμένων. συκῆς φύλ-
λων κεκαυμένων. κιλικίου ῥάκκους κεκαυμένου. τὸ ἴσον ἑκάστου ἀναλάμβανε. στέατι ἀρκείῳ.
καὶ κεδραίᾳ. πρὸ δὲ τῆς χρίσεως ὡς πυρία ἀνατρίβων τὸν τόπον. συκοῖς φύλλοις. καὶ νίτρου
ἀποσμήχων, κατάχριε τὸ φάρμακον. Ἀρχιγένους πρὸς ἀλωπεκίαν.

Γ ριστρεῶνα ὠμὸν ἐν ἡλίῳ τρίψας μετ' ὄξους καὶ προεκνιτρώσας, ἐπίχριε. καὶ ἐπιτίθει ἀραιὸν
ὀθόνιον. ἀφαίρει δὲ προβρέχων τὸν τόπον. Ἄλλο. Ἀλκυόνιον τὸ φανότερον, καύσας πρὸς
20 λύχνον. καὶ σβέσας ἀπὸ βαλσάμου ἀνθύλου. καὶ λεάνας σὺν αὐτῷ, ἐπίχριε. προσμένει γὰρ
ὡς ἔμπλαστρον. καὶ οὐκ ἀφίσταται μέχρις ἐκφύωσιν αἱ τρίχες. Ἵππου ὀδόντας καύσας, χρῶ
μετ' ὄξους. ἄκρως δὲ ποιεῖ ἐπὶ τῶν χρονίων, θαψίας χυλὸν ἀναλαβὼν, κηρωτῇ ἐπιτίθει τῷ τό-
πῳ, μετὰ τοῦ μηδὲν ἄλλο περιεργάσασθαι. ἀφίσταται γὰρ ἡ ἄνωθεν ἐπιφάνεια. καὶ ἰχωρεῖ.
καὶ ἀποφύονται αἱ τρίχες αὐτόματοι. Λεπίδα στομώματος σιδήρου λεάνας ἐπὶ πολὺ σὺν ὄ-
ξει ἐν ἡλίῳ. καὶ ἐπιβαλὼν βραχὺ ἔλαιον ἐπίχειε. Ἄλλο πρὸς ἀλωπεκίας καὶ διὰ μα-
δάρωσιν καὶ ἀλφοὺς κεχρονισμένους. Κήρυκας καύσας, λείου μετ' ἐλαίου παλαιοῦ. καὶ ποιή-
σας γλοιοῦ πάχος, προξυρήσας καὶ ἀνατρίβων, τίθει καὶ χρίε. δόκιμόν ἐστιν. Ἄλλο ἀσκληπιά-
δου. Ἀφονίτρου μέρη δύο. ἅλος ἀμμωνιακοῦ, μέρος ἕν. καύσας ταῦτα καὶ λεάνας σὺν ὄξει
δριμυτάτῳ. ὡς ἔχειν γλοιοῦ πάχος. προκαταξύσας τὴν ἀλωπεκίαν κούφως, ὡς δασυνθῆναι
30 τὸν τόπον, κατάχειε ἀνατρίβων μέχρι τοῦ εἰς βάθος παραδεχθῆναι τὸ φάρμακον. καὶ τοῦτο ποιοῦ-
μεν διὰ τρίτης ἡμέρας. Πράσιον χλωρὸν τρίψας, ἐπίχειε. Γορδικίου βοτάνης χλωρᾶς
τοῖς φύλλοις ἀνάτριβε συνεχῶς τὸν τόπον. Σφαιρίτιδος φύλλα πεφρυγμένα λεάνας μετ'
ὄξους, χρῶ. Ἐχίνων θαλασσίων, ὄστρακα καύσας, μετὰ μέλιτος κατάχειε. Ἐχίνου χερ-
σαίου δέρμα. ἢ τὴν κεφαλὴν καύσας, χρῶ μετὰ μέλιτος. Ἀλκυονίου ∠. β. θείου ἀπύρου,
∠. α. μυῶν πεφρυγμένων. ὡς ἀναξηρανθῆναι κυάθους β. τοὺς μύας λεαίνου καθ' ἰδίαν. τὸ δὲ
ἀλκυόνιον καύσας, καὶ τὸ θεῖον καύσας καὶ κόψας. καὶ σήσας, ὕδατι συλλέαινε. τοῖς ξηροῖς
παχέων κατὰ βραχὺ χολὴν ὑείας καὶ ὄξους. ἕως γλοιῶδες γένηται. εἶτα ἀξύριον ἀπὸ τρο-
χῶν τῶν ἁμαξῶν ξύσας. καὶ πρὸ τῆς χειρὸς ἀναμαλάξας ὡς ἐμπλαστρῶδες γενέσθαι. καὶ μί-
40 ξας προξυρήσας. καὶ ἀνατρίψας, κατάχειε θαρρῶν ὡς ἄριστον. Ἐχίνου χερσαίου καυθέν-
τος ἡ σποδὸς, πίσσῃ ὑγρᾷ ἀναληφθεῖσα, ἀλωπεκίας ἀπαλλάττει. Ἄλλο. Σορανοῦ. ᾧ καὶ
ἀρχιγένης ἐχρήσατο καὶ σφόδρα ἐπαινεῖ. προξυρήσας τὴν ἀλωπεκίαν, καὶ ἀνατρίψας. ἔ-
πειτα καταπάσσεσθαι ἐπιπολῆς. κρομμύων. ἢ ῥαφανίδων φλοιὸν, κατάπασσε λεῖον ἕκαστον μετὰ
μέλιτος. ἢ ἀνατρίψας τούτοις, ἐπίχειε τοῦ καρδάμου σπέρμα. καὶ μυόχοδα. καὶ πέπερι. καὶ
ἐλλέβορον λευκόν. ἴσα μετ' ὄξους. ἔστι γὰρ πάνυ δόκιμον. Ἄλλο ἀρχιγένους. Ῥοὸς μα-
γειρικοῦ, ∠. δ. σινάπεως ∠. β. μετ' ὄξους. Κανθαρίδας καύσας. καὶ λειώσας μετὰ μέλι-
τος. προανατρίβων, χρῶ. Ἄλλο. Κασσύματος καινοῦ τὸ ὀπτῶδες. καύσας ἐπὶ χαλκώματι
λέαινε μετ' ἐλαίου παλαιοῦ. ἢ μέλιτος. ἢ ὄξους. καὶ κατάχειε. ταχέως ἄγει τὰς τρίχας.
Κυκλαμίνου ῥίζαν χλωρὰν λείαν ἐπίχειε. ἢ ξηρὰν καύσας, χρῶ. Αἰλούρων ἀφόδευμα με-
50 τὰ νάπυος. καὶ πεπέρεως σὺν ὄξει, χρῶ. Ἄλλο. Σκόροδα καύσας σὺν ῥοδίνῳ κατά-
χειε. ἢ σεύτλου ῥίζαν ὁμοίως. Ἄλλο. Ὄνου ὄνυχες κεκαυμένοι. ἀσφοδέλου ῥίζης κεκαυ-
μένης. ἀλκυονίας νίτρου ἴσα ἀμφότερα ἀναλάμβανε ἐλαίῳ παλαιῷ, καὶ χρῶ. Ἐχίνων θα-
λασσίων τοῖς ὀστράκοις κεκαυμένων, ∠. β. μυοδόχων ∠. α. ὄξει διαλύσας, ἐπίχειε. προανα-
τρίβων τὸν τόπον. Ἀλκυονίου κεκαυμένου. κέρατος ἐλαφείου κεκαυμένου. κυπέρου ὁλοκλή-

ρου κεκαυμένου ἴσα, χρῶ σὺν ὄξει. ἀβροτόνου κεκαυμένου σὺν ἐλαίῳ παλαιοτάτῳ, χρῶ. Πρὸς ἀλωπεκίας. καὶ φαλακρώσεις. καὶ ἀραιότητας τριχῶν δυσαλθεῖς ἐπὶ κεφαλῆς. ἐπὶ γενείων. καὶ ἐπὶ ὀφρύων. Προβάτου τρίχας, γο. α. καλάμου ῥίζης, γο. γ. πεπορέως σὺν τῇ ῥίζῃ, γο. γ. λωπίμου τῶν πωγωνίων, γο. γ. ἐρίων οἰσυπηρῶν λιπαρωτάτων, γο. ϛ. κεφαλὰς μυῶν λ. μύας ε. χωρὶς κεφαλῶν. πάντα εἰς καινὴν χύτραν ἐμβαλὼν, ἔνθες ἰπνῷ καίεσθαι. εἶτα τὴν τέφραν λέαινε. προτετρίφθω δέ σοι ἐν οἴνῳ ἀμιναίῳ λαδάνου, γο. γ. φύλλων, γο. γ. σμύρνης, γο. β. καὶ προσεμβεβλήσθω σὺν ἐλαίου παλαιοῦ, γο. β. κεδρίνου ἐλαίου, γο. α. εἶτα παραπάσας τὰ ξηρὰ, ἀνέλου. προανατρίψας δὲ ὀθονίῳ τὴν ἀλωπεκίαν. εἶτα κούφαις ἀμυχαῖς χρησάμενος. καὶ κρομμύῳ. ἢ σκίλλῃ. ἢ συκῆς φύλλα ἀναξύσας, ἐπίχριε ἀνατρίβων τὸ φάρμακον. καὶ λουσαμένῳ αὐτόνῳ ὀθονίῳ. ξέων τοῦ λοιποῦ, ἐπίχριε ἕως διμήλου ἐπιμένον, καὶ φαλακρῶσιν ἰᾶται. Ορειβασίου. Μυοχόδων, γο. α. ὄνθυας καμήλου ἐκκεκαυμένας. καὶ θῆς κεκαυμένης δράκα. δάφνης δεσμίδιον χειροπληθὲς κεκαυμένον. ἀναλάμβανε μιγνύων ἀπὸ ἄξονος ῥύπον. τουτέστιν ἀπὸ τοῦ τροχοῦ τῆς ἁμάξης.

Περὶ ῥεουσῶν τριχῶν. νϛ.

Πάθος ἐστὶν ἕτερον τριχῶν. ἀραιότητι μὲν τοῦ δέρματος. ἐνδείᾳ δὲ τῆς διοικούσης αὐτὰς οὐσίας ἑπόμενον. διὸ καὶ ἡ θεραπεία τῶν οὕτως βλαπτομένων, οὐ τὸν αὐτὸν ἔχει σκοπὸν ταῖς ἀλωπεκίαις. ἐπ' ἐκείνων μὲν γὰρ ἐκδαπανῆσαι τὴν κακοχυμίαν ὁ σκοπός. ἐπὶ τούτων δὲ ἐῤῥῶσθαι τὴν ἕξιν τῆς κεφαλῆς. καὶ χρηστοῦ παρουσίαν ἐργάζεσθαι. καὶ τοῦ δέρματος τὴν κατὰ πυκνότητα καὶ ἀραιότητα, συμμετρίαν ἐργάζεσθαι. καὶ εἴωθε δὲ τὸ πάθημα τοῦτο περὶ τὰς τρίχας γίνεσθαι. πλειστάκις μὲν τοῖς νοσήμασι. σπανιάκις δὲ, καὶ χωρὶς νόσου. καὶ οἱ νοσοῦντος πλεῖστοι, χωρὶς φαρμάκου διὰ τῆς ἀναληπτικῆς τοῦ σώματος διαίτης ὑγιάσθησαν ἐν τάχει. ὅθεν τὰ φάρμακα ἔσω ἐπ' αὐτῶν, σύμμετρον ἐργαζόμενα πύκνωσιν τοῦ δέρματος ἅμα τῷ ψύχειν αὐτό. τὰ γὰρ σφοδρῶς στύφοντα, πάντως καὶ ψύχει. καὶ τὴν ἐπιῤῥοὴν τῆς τροφῆς ἀποκρούεται. ὅθεν καὶ μᾶλλον ἐκρέουσιν αἱ τρίχες. διὸ τὰ μετρίως στύφοντα, μεμίχθαι χρὴ τοῖς ὑγραίνουσι φαρμάκοις. ὁποῖόν ἐστι τὸ λάδανον. καὶ τὸ σχίνινον ἔλαιον. αὐτοφυῶς στύφοντα καὶ θερμαίνοντα μετρίως. ὥστε ἐπειράθην. οὔτ' ἐπινοῶ κρεῖττον ἔσεσθαι φάρμακον ἐπὶ τῶν ῥεουσῶν τριχῶν. τοῦ μιχθέντος ἔκ τε λαδάνου καὶ τοῦ σχινίνου. εἰ δὲ μὴ παρείη τὸ σχίνινον, τῷ ὠμοτριβεῖ καὶ ὀμφακίζοντι ἐλαίῳ κεχρῆσθαι. πρόδηλον δὲ, ὡς ἐξυρισμένης μὲν τῆς κεφαλῆς, παχύτερον χρὴ προσφέρεσθαι τὸ φάρμακον. ἐν χρῷ δὲ κειρομένης, ὑγρότερον. εἰ δὲ πολλὴ ῥύσις εἴη τῶν τριχῶν, καὶ τεκμαίραιο τοῦ τῆς κεφαλῆς δέρματος, ἀραιότητα γεγονέναι πολλὴν, ἀντὶ τοῦ σχινίνου τὸ μύρσινον ἔλαιον. προσπλέκειν τῷ λαδάνῳ. μίξεις δ' ἄν ποτε, καὶ τῷ ναρδίνῳ μύρῳ, ἐν ἡλικίᾳ ψυχρᾷ. καὶ ὥρᾳ χειμερινῇ. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα, καὶ τὸ τῶν πλουσίων γυναικῶν τὸ σπικάτον καλούμενον καὶ τὸ σαλικόν. ὥστε τούτοις καὶ κατὰ μόνας κέλευε χρῆσθαι τὰς πλουσίας. Κλεοπάτρα δέ φησι πρὸς τὰς ῥεούσας τρίχας, χρῶ τούτῳ. τὴν κιμωλίαν ἀφρωδεστάτην βρέξον οἴνῳ αὐστηρῷ. καὶ μόρων χυλὸς τοσοῦτον ὥστε συμβῆναι μόνον. καὶ πρόβαλλε ὑοσκυάμου σπέρματος. λειοτάτου τὸ ἀρκοῦν. καὶ συλλεάνας, ἀνάπλασον τροχίσκους. καὶ ξηράνας, ἐν σκιᾷ ἀπόθου εἰς ἀγγεῖον κεραμεοῦν καινόν. ἐπὶ δὲ τῆς χρήσεως δεῖς ὕδατι σμᾶσθαι κέλευε. εἶθ' ὅταν ξηρανθῇ, ἐκλυζέσθω. καὶ δι' ἡμερῶν ε, τὸ αὐτὸ ποίει. χρῶ δὲ αὐτῷ, ἐπὶ τῶν θερμοτέρων κεφαλῶν. ποιεῖ καὶ πρὸς τὰ ἐν προσώπῳ καὶ τραχήλῳ λειχηνώδη.

Ἄλλο πρὸς ῥεούσας τρίχας.

Περιστερεῶνα ὀρθὸν χλωρὸν σὺν ταῖς ῥίζαις, βαλὼν ἐν ἐλαίῳ ὀμφακίνῳ, ἡλίαζε ἡμέρας πλείους. καὶ διηθήσας τὸ ἔλαιον, χρῶ καθ' ἡμέραν ἀντὶ τοῦ κοινοῦ. εἰ δὲ μὴ παρείη χλωρὸν τὸ βοτάνιον, ξηρὸν λαβὼν σὺν ταῖς ῥίζαις. καὶ κόψας. καὶ σήσας. ἀνάμιξας ἐλαίῳ ὡς πάχος ἔχειν. καὶ ἐάσας ἡμέρας τινὰς, χρῶ. ἔστι γὰρ ἀπαράβατον. Ἄλλο. Πρὸς τὰς ἐκ νόσου ἀποῤῥεούσας θρίχας. Χαμαιλέοντος μέλανος ῥίζας ἑψήσας οἴνῳ, κατάχειε παχύτερον τὴν κεφαλήν. Ἀκτὴν καύσας καὶ μετὰ κηρωτῆς ὑγροτάτης μίξας, χρίε. αὔξει τὰς θρίχας. καὶ πυκνοῖ τὸ δέρμα. καὶ οὐ συγχωρεῖ ῥέειν. καὶ τὸ ναρκίσσινον μύρον χριόμενον, οὐ συγχωρεῖ τὰς θρίχας ἀποῤῥεῖν. Λάδανον καὶ ῥόδα λεάνας, ἐν οἴνῳ παλαιῷ κατάχειε. συντηρεῖ γὰρ καὶ μελαίνας ποιεῖ.

Διαφυλακτικὸν τριχῶν τὸ δ' αὐτὸ καὶ μελαίνει.

Μύρτων μελανῶν, ξέστης εἷς. μυρσίνης ἀκρεμόνων λι. α. σελίνου σπέρμα, λι. α. ἀδιάντου τὸ ἥμισυ. λαδάνου τὸ ἴσον. οἴνου μέλανος, ξε. ε. ἕψε ἄχρι παντελοῦς διαλύσεως. καὶ ὅταν τὸ τρίτον ἀπολειφθῇ, ἐπίβαλλε ἐλαίου ὀμφακίνου ἢ μύρου τινὸς ξε. ϛ. καὶ ἕψε πάλιν. ὅταν δὲ δὶς ἢ τρὶς ἀναβράσῃ, ἐκθλίψας τὸ ὑγρὸν καὶ διηθήσας, ἐπιμελῶς ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως κινῶν παντελῶς χρῶ. περιαλείφων δὶς τῆς ἡμέρας τὰς τρίχας. ἐπὶ παίδων δὲ ποιεῖ καλὰς καὶ πυκνὰς τὰς θρίχας. καρύου λέπυρον καὲν, καὶ ζέσεν ἐν οἴνῳ, καὶ καταχριόμενον. Λωτοῦ τοῦ δένδρου τὰ φύλλα λεάνας,

λα λεάνας, καταχρίε. Πρὸς ὀφρῦς λειποτριχούσας. ιζ΄.

Πρὸς τὸ μὴ ἀπορρεῖν τρίχας, μὴ δὲ ὀφρύων, μὴ δὲ ἄλλου τόπου τοῦ σώματος, μελάνθιον καύσας καὶ μεθ' ὕδατος τρίψας, κατάπλαττε ἔνθα ἂν βούλῃ τρίχας ἀναβαίνειν, μάλιστα δὲ ὀφρύων. Ἄλλο.
Μελίσσας πλείστας καύσας, μίξας ἐλαίῳ χρίε. προσέχων μὴ θίγῃς ἑτέρου τόπου ἔνθα οὐ δεῖ τρίχας φύεσθαι. Ἀδάμαντα λίθον τρίψας μεθ' ὕδατος, καταχρίε. ἐὰν δὲ θέλῃς λευκὰς ποιῆσαι, δι' ὄξους αὐτὸν λεάνου. Πρὸς μελάσματα. ιη΄.

Τὰ βάπτοντα καὶ μελαίνοντα τὰς λευκὰς τρίχας φάρμακα, διὰ τῶν αὐστηρῶν τε καὶ στρυφνῶν συγκείμενα, βλάπτει μεγάλως. οὐ μόνον γὰρ ἐπιπολῆς, ἀλλὰ καὶ διὰ βάθους ἀλλοιοῖ τὸ δέρμα, μέχρι τοῦ κατὰ τὰς ῥίζας τῶν τριχῶν τόπου. ἡ βλάβη δὲ ταῖς χρωμέναις γυναιξὶ γίγνεται ποτὲ μὲν, εἰς ἐπιληψίαν ἢ ἀποπληξίαν ἢ καταφορὰν ἢ κάρον ἐμπιπτούσαις. ἔστι δὲ ὅτε καὶ καταρρόοις ἁλισκομέναις δυσλύτοις, εἰς φθίσιν ἐπακολουθοῦσι. καὶ οἶδα πολλὰς γυναῖκας ἀποθνησκούσας ἐκ τοῦ καταψυχθῆναι τὴν κεφαλὴν ἀπὸ τῶν τοιούτων φαρμάκων. μᾶλλον δὲ βλάπτονται αἱ ψυχροτέραν τὴν κρᾶσιν ἔχουσαι. αὗται δὲ τῆς τῶν συμφόρων(?) βλάβης ὅσαι βούλονται μελαίνειν τρίχας, τῇ κεδρέᾳ χριέσθωσαν. χριέσθωσαν δὲ πρὸ δύο ἢ τεσσάρων ὡρῶν τοῦ λουτροῦ. ἔπειτα σμηχέσθωσαν λουόμεναι. χρὴ δὲ αὐτὴν, ἄμικτον ἐλαίου παραλαμβάνειν, ἐπὶ τῶν ξηρανθῆναι σφοδρῶς, καὶ θερμανθῆναι δεομένων κεφαλῶν. ἐπὶ δὲ τῶν ἄλλων, ἐλαίου μιγνύναι. σὺν γὰρ τῷ δαπανᾶν τὰς ὑγρότητας, καὶ διαρκῶς μελαίνει τὰς τρίχας. καὶ τὰς ῥεούσας ἐπανορθοῦται. καὶ τὰς μὴ ῥεούσας, δυσεξερρύας(?) ἐργάζεται. τὸ αὐτὸ δὲ ποιεῖ καὶ πίττα ὑγρὰ σὺν ἐλαίῳ παραλαμβανομένη. Ἀρχιγένης δὲ, μελάσματα τριχῶν οὕτως γράφει. καππάρεως τὸν φλοιὸν τῆς ῥίζης, ἕψει σὺν γάλακτι ὀνείῳ μέχρι τὸ τρίτον λειφθῇ. καὶ λεάνας καταπλάττε εἰς νύκτα. προαποσμήχων τὰς τρίχας. Ἐρίνου ῥίζης φλοιὸν ἑψήσας ὕδατι, μέχρις ἁπαλὸς γένηται, αὐτὸν μὲν κατάπλαττε. τῷ δὲ ὕδατι σμῆχου. Ἀνεμώνης τὸ ἄνθος τὸ μέλαν σὺν ἐλαίῳ μυρσίνῳ λεάνας, ἐπίχεε. Ἄλλο.
Ἰτέας φλοιοῦ χυλὸν μετ' ἐλαίου τρῖβε. ἄκρως μελαίνει. Ἄλλο.
Λίθος ἀλαβανδικὸς ἢ ἀλαβανδηνὸς καλούμενος, ἀπομελανίζων τῇ χρόᾳ μετὰ τοῦ πυρροῦ, καὶ διαυγοῦς, αἱ γυναῖκες χρῶνται εἰς τὰ κόσμια. οὗτος λειούμενος καὶ σὺν οἴνῳ μέλανι καὶ ἐλαίῳ ὀμφακίνῳ παρατριβόμενος, μελαίνει τὴν ἐπιφάνειαν τῶν τριχῶν. Λαβὼν ῥοιὰν χλωρὰν ὀμφακίζουσαν, ταύτης περίτεμε τὸν τράχηλον εὐφυῶς, ὅπως τὸ ἀφαιρούμενον, πῶμα ἁρμόδιον γένηται. εἶτα ἐκπινάξας τοὺς κόκκους, καταλιπὼν δὲ ἔνδον τοὺς ὑμένας τοὺς λεπτούς, βάλε εἰς τὸ κένωμα τῆς ῥοιᾶς σησάμου ἀπλύτου, < δ΄. λιβάνου τὸ ἴσον ἐπιβαλὼν ἐναλλὰξ σήσαμον καὶ λίβανον ἄχρις οὗ πληρωθῇ τῷ κενώματι. καὶ τότε ἐπιθεὶς τὸ ἴδιον πῶμα καὶ πηλῷ περιπλάσας ἢ στέατι στυπτηρίᾳ(?) καὶ ὀπτήσας ἐν κλιβάνῳ. τὸν μὲν πηλὸν ἢ τὸ στέαρ περίελε. αὐτὴν δὲ λειοτρίβει τὴν ῥοιάν. καὶ ἀπόθου εἰς ὑελοῦν ἀγγεῖον. ἔπειτα προσμιξάμενος τὴν κεφαλὴν καὶ ξηράνας, λαβὼν ὀλίγον τοῦ φαρμάκου καὶ μίξας ἐλαίῳ βραχεῖ, σύγχεε τὰς τρίχας. καὶ τοῦτο ποίει πεντάκις. ποιεῖ αὐτὰς καὶ οὐλάς. τινὲς δὲ ἀντὶ τοῦ σησάμου καὶ λιβάνου, μελάνθιον καὶ κικίδων κεκομμένων, ἀνὰ < δ΄. ἐμβάλλουσιν εἰς τὴν ῥοιάν. Ἄλλο. Μέλασμα τριχῶν. βάπτει καὶ τὰς οὐλάς. πρόσμηχε δὲ κιμωλίᾳ τὰς τρίχας. καὶ τότε βάπτε. κρεῖττον δὲ προξυρήσαντα τὴν κεφαλὴν, καταχρίειν παχυτέρῳ τῷ φαρμάκῳ. φυλάσσων τὸ μέτωπον καὶ τὰ ἐγγὺς πάντα. δεδοκίμασται ἐπὶ πολλῶν. καὶ ἔστιν ἀναγκαῖον πάνυ. Θείου γναφικοῦ. χαλκάνθης κικίδων. ἀσβέστου. λιθαργύρου, ἀνὰ Γο. β΄. ἰοῦ σιδήρου, Γο. α΄. πάντας λεάνας κατ' ἰδίαν. καὶ μεθ' ὕδατος ὡς γίνεσθαι χεῖσμα(?), χρῶ θαρρῶν. μὴ εὐλαβούμενος τὴν ἄσβεστον. οὐ καίει γὰρ, διὰ τὸ ἀμαυροῦσθαι τὴν δύναμιν ἀπὸ τῶν ἄλλων. βάπτει καὶ ξύλον. καὶ κέρατα καὶ ἔρια.

Ἄλλο διὰ πείρας ἐν ἔργοις(?). ποιεῖ γὰρ τὰς τρίχας μελαίνας ὥστε θαυμάσαι.

Συκῆς μελαίνης τῶν φύλλων. ἀμπέλου μέλανος τὰ φύλλα. μορέας φύλλα, ἀνὰ λι. α΄. βρέχε πάντα ὕδατι ὀμβρίῳ, ἡμέραν α΄. ἔπειτα ἕψε ἐπιμελῶς. καὶ προξυρήσας τὰς τρίχας, κατάπλασσε. εἰ δὲ μὴ, ὑγρότερον κατάχεε τὰς τρίχας τῶν ῥιζῶν.

Ἄλλο μέλασμα τριχῶν.

Λαδάνου. κικίδων. ἀμυγδάλων πικρῶν κεκαθαρμένων, ζυγὸς οἴνου. ἀδιάντου φύλλων, ἀνὰ Γο. ς΄. οἴνου σεμφυλίτου ξέστας τρεῖς, βαλὼν πάντα εἰς ἀγγεῖον χαλκοῦν γεγανωμένον, ἕψε ἕως τὸ τρίτον λειφθῇ. εἶτα διηθήσας, ἕψε ἐν ἑτέρῳ ἀγγείῳ μικρῷ, ἕως μελιτῶδες γένηται. καὶ ἐπίβαλλε τούτῳ, μύρου μενδησίου ἢ ἑτέρου τοιούτου τὸ ἴσον. καὶ ἀνακόψας ἀπόθου. καὶ τούτῳ χρῶ καθ' ἡμέραν. ἔστω δὲ τὸ γάνωμα τοῦ χαλκοῦ, μόλιβδος.

Προφυλακτικὸν ὥστε μὴ γίνεσθαι πολιάς.

Κολοκυνθίδα ἀγρίαν τρυπήσας, κάθαρον τὰ ἔσω εὖ μάλα. εἶτα πλήρωσον αὐτὴν ἐλαίου δαφνίνου.

καὶ πρόβαλλε ὑοσκυάμου λευκοῦ σπέρματος μὴ ψίψας. καὶ ἄφες αὐτὸ μίαν ἡμέραν καὶ ἄλειφε χρησίμως ἅπαξ τοῦ ἐνιαυτοῦ. Μέλασμα πωγώνων.

Σκωρίαν σιδήρου. καὶ μόλιβδον ἐν ὄξει ἑψήσας, μέχρις οὗ τὸ τρίτον λειφθῇ, ἐπιχρίου. ἐλαίου ἀπεχόμενος.

Πρὸς τὸ πυῤῥὰς ποιῆσαι τρίχας. νθ.

Πυῤῥὰς ποιοῦσι τρίχας, θέρμοι ὠμοί. καὶ νίτρον σὺν ὕδατι καταχριόμενον. λωτοῦ τοῦ δένδρου πρισμάτων ἀφέψημα. κύπρου φύλλα λεῖα σὺν στρουθίου χυλῷ καταπλασσόμενα. τρυγία οἴνου παλαιοῦ κεκαυμένου. καὶ σὺν ἐλαίῳ βαλανίνῳ λειουμένη, ὡς ἱκανὸν ἔχειν πάχος. τούτῳ σύγχριε ὅταν μέλλῃς καθεύδειν. καὶ ἐς τὸ πρωῒ ἔσονται ξανθοί.

Λευκὰς ποιῆσαι τρίχας. ξ.

Χελιδόνος κόπρον τρίψας σὺν χολῇ ταυρείᾳ σμῖγε. καὶ γίνονται λευκαί. Φλώμου λευκῆς τὸ
10 ἄνθος καύσας, ὄξει σβέσον. καὶ συμμίξας, σμήγματι χρῶ.

Ψιλὰς ποιῆσαι τρίχας. ξα.

Ἀφρὸν ἁλὸς μετὰ σμύρνης δίδου σμήχεσθαι. Καρπάσου ὀπὸν χρίε. καὶ μένωσιν οὖλαι καὶ μέλαιναι. Ἄλλο. Ἀσφοδέλου ῥίζας καύσας. καὶ λεάνας σὺν οἴνῳ χρῶ. Ἄλλο. Λινόσπερμα οἴνῳ βρέχων, ἕψει ἐπ᾽ ὀλίγον. καὶ διηθήσας, μίσγε τῷ χυλῷ ὠοῦ τὸ λευκόν. καὶ ἀνάτριβε τὰς τρίχας ἐπ᾽ ἀκριβὲς. καὶ ἐπιδέσμει τὴν κεφαλήν. τῇ δὲ ἑξῆς ἀπόπλυνε ἐν βαλανείῳ. καὶ τοῦτο ποίει πλειστάκις. ἐπὶ δὲ τῶν εὔψυκτον ἐχόντων τὴν κεφαλὴν, ἐν βαλανείῳ χρῶ. καὶ μὴ ἀπόπλυνε τῇ ἡμέρᾳ ἐκείνῃ. Ἄλλο δόκιμον. Στροβίλιον ὁλόκληρον χλωρὸν δεξιὸν, α. ἴρεως, Γο. ιβ. μυρσίνου, Γο. α. μύρτων Γο. α. πολυτρίχου, Γο. α. S. λαδάνου, Γο. β.
20 κικίδων, Γο. α. μαστίχης αἰθιοπικῆς, Γο. α. ἑλίκων ἀμπέλων, Γο. β. δακρύου φοίνικος ℔. ιβ. στέατος ἀρκείου, ℔, ιβ. σεύτλου σπέρματος ℔. ιβ. ῥοῦ βυρσοδεψικοῦ ℔. ϛ. στυπτηρίας σχιστῆς ℔. ϛ. ἐλαίου ὀμφακίνου ξ. γ. ἀρτεμισίας χυλοῦ σεραπιάδος. τριόρχου χυλοῦ. πολυτρίχου χυλοῦ. ἀσφοδέλου χυλοῦ. ἀναγαλλιάδος χυλοῦ, ἀνὰ Γο. γ. χρῶ.

Περὶ τῶν φθειρόντων τὰς τρίχας. ξβ.

Τῶν φθειρόντων τὰς τρίχας, τρεῖς εἰσὶ διαφοραί. καὶ τὰ μὲν, ἰδίως καλεῖται ψίλωθρα. τὰ δὲ, παντελῶς ἀφανίζοντα. τὰ μὲν οὖν παντελῶς ἀφανίζοντα, σφαλερὰν ἔχει τὴν χρῆσιν. ἐνίοτε γὰρ οὐ μόνον τὰ χρισθέντα μόρια τοῦ σώματος ἄτριχα τοῦ λοιποῦ γίγνεται διαπαντὸς, ἀλλὰ καὶ μέχρι τῆς κεφαλῆς καὶ τῶν γενείων. καὶ τῶν ὀφρύων. καὶ τῶν βλεφαρίδων, ἡ ψίλωσις τῶν τριχῶν διικνεῖται. τὰ δὲ λεπτυντικὰ καὶ τὰ ψίλωθρα τὴν χρῆσιν ἀκίνδυνον ἔχει.

30 Ἀφανιστικὰ τριχῶν. ξγ.

Ἀφανίζειν τὰς τρίχας εἰς τὸ παντελὲς λέγεται, ἡ παρ᾽ σεσηπὸς, βατράχων τῶν ἐν τοῖς καλάμοις γιγνομένων, ἰχὼρ. χελώνης θαλασσίας, αἷμα. ἀμπέλου λευκῆς δάκρυον. καὶ κισσοῦ ἢ βρυωνίας. σκολόπενδρα θαλάττια. ἀστέρες θαλάττιοι. μίγνυται δὲ τούτοις, νίτρου καὶ ἀμόργης. καὶ κεδρίας. καὶ ἐλαίου τοῦ ἀλίνου λεγομένου. ἀλκυωνία τε καὶ κανθαρίδες. καὶ τὰ τούτοις ὅμοια. κνίδης ἀγρίας τὸν καρπὸν λεάνας, μετ᾽ ἐλαίου ἀνάτριβε ἰσχυρῶς. καὶ ἀποῤῥυήσονται αἱ τρίχες. βράδιον δὲ ποιεῖ ἐπὶ ἥβης παιδίων αὔξεσθαι τρίχας. ἐνίοτε δὲ καὶ τὰς οὐλὰς ἀφανίζει, ἀμπέλου δάκρυον σὺν ἐλαίῳ ἀλειφόμενον. καὶ τὸ ἀπὸ χλωροῦ κλήματος καιομένου, ὑδρούμενον ὑγρόν. Ἄλλο ἄτριχον. Τιθυμάλλου κυβοείτου χυλὸν κύαθον α. οἴνου καὶ ἐλαίου ἀνὰ κύαθον α. ἀναμίξας,
40 ἄλειφε ἐν βαλανείῳ. καὶ βραχὺ ἱδρώσας, ἔπειτα καὶ περιξύσας, εὑρήσεις τὰς τρίχας ἐν τῇ ξύστρᾳ. αἱ δὲ μεθ᾽ ἡμέρας τεσσαράκοντα ἀναβαίνουσαι τρίχες, ἔσονται χνοώδεις. Ἄλλο. Κυνωπὼν τὰς ὑδρείας, ∠. ιϛ. κανθαρίδος, ∠. δ. ἀσβέστου ∠. η. ἀρσενικοῦ ∠. η. κονίας ἀπὸ συκίνων ξύλων διηθημένης, κοτύλας β. ὄξους κοχλιάριον, α. ἑνώσας πάντα. καὶ βαλὼν εἰς χυτρίδιον, ἕψε. ἕως οὗ δοκιμάζοντί σοι αἴρει τὰς τρίχας καταχριόμενον. καὶ χρῶ ἐν βαλανείῳ ὡς προείρηται. Βουγλώσσου καὶ ἀειζώου χυλὸν ἑκάστου ἴσα λεάνας μετὰ κόπρου ζαγρίας, ἀνάλαμβανε ἐν ὑέλλῳ πινακίῳ. καὶ ἔα παγῆναι καὶ χρῶ ἐν βαλανείῳ. Ἄλλο. Βολμοῦ τοῦ λεγομένου ὑακίνθου. πορφυρᾶ ἔχοντος ἄνθη. τούτου τὴν ῥίζαν λαβὼν, καὶ λεάνας μετὰ λιβάνου. καὶ ἀμυγδάλων πικρῶν, ἐπίβαλλε ἔλαιον. καὶ ἑνώσας, ἀλείφου ἐν βαλανείῳ. καὶ χωρὶς βαλανείου
50 καθ᾽ ἡμέραν. καὶ καταβραχὺ φθείρονται.

Ψίλωθρα τριχῶν. ξδ.

Τῶν δὲ ψιλούντων τὰς τρίχας, ἥτε κονία στακτὴ χρήσιμός ἐστι. καὶ ἀρσενικόν. καὶ κανθαρίδες. καὶ τίτανος ἄσβεστος. εὔδηλον δὲ ὅτι τῶν σφοδρῶν ἐν αὐτοῖς θραύεται ἡ δύναμις, μίξει τῶν ἀσθενεστέρων καὶ ὑγρῶν. λέγω δὴ πτισάνης χυλοῦ. ἢ ὀρύζης. κρεῖττον μὲν οὖν ψίλωθρον τοιοῦτον ἐν τοῖς κοσμητικοῖς ἀναγράφει ἀσβέστου μέρη, β. ἀρσενικοῦ μέρος α. ταῦτα βαλὼν εἰς θυίαν μολιβδίνην. καὶ ὕδωρ θερμὸν ἐπιχέας. ἢ πτισάνης χυλόν. ὅταν μέλαν γένηται κινούμενον, κέλευε ἐν βα-

λανείῳ

λαιέῳ καταχρίεσθαι. τοῦτο λεῖον ποιεῖ τὴν τῶν τριχῶν παραχρῆμα τὸ σῶμα. καὶ ἡ φυομένη θρὶξ, λεπτὴ ἀναβαίνει. Ἄλλο. Ὀρύζαν. κυάμους. ἐρεβίνθους. πτισάνην. ἕψει ἅμα ἐν ὕδατι. καὶ τῷ ἀφεψήματι μίσγε πρῶτον τὴν ἄσβεστον. ἀρκοῦσαν κατὰ συνήθειαν καὶ κίνει. καὶ ὅταν διαλυθῇ, ἐπίπασσε ἀρσενικοῦ, γο. α. καὶ ἑνώσας, ἐπίβαλλε λειοτάτοις σμύρνης, γο. α. μαστίχης γο. α. κιστήρεως ὀπτῆς, ∠. δ. ὀποῦ βαλσάμου κοχλιάρια, β. Ἄλλο. Σανδαράχην. ὑοσκυάμου χυλοῦ λεάνας κατάχριε. Ἔλαιον ψίλωθρον. Συκῆς ἀγρίας καρποῦ, γο. ϛ. καὶ τῶν φύλλων αὐτῆς, γο. ϛ. ἐχῖνον χερσαῖον ζῶντα ὁλόκληρον. ἀκονίτου χυλοῦ. τουτέστιν ἴρεως ἀγρίας, λι. α. ἐλλεβόρου μέλανος, λι. α. τρυγὸς οἴνου κεκαυμένου, λι. α. ἰσχάδων λιπαρῶν μελαινῶν, λι. α. ἀρσενικοῦ χρυσοῦ γο. δ. κόστου γο. δ. κασσίας γο. δ. καρποβαλσάμου γο. δ. ἐλαίου ξ. α. κόψας πάντα καὶ βαλὼν σὺν τῷ χερσαίῳ ἐχίνῳ ζῶντι, ἕψει μεθ' ὕδατος ἐπὶ διπλώματι. ἔστω δὲ τὸ ὕδωρ θαλάττιον, λι. ε. ἄχρι τὸ ὕδωρ ἀναλωθῇ. καὶ καθελὼν ἀπὸ τοῦ πυρὸς, ἔα ἡμέρας γ. καὶ ὅταν καταστῇ διηθήσας, χρῶ τῷ ἐλαίῳ ἐν τῷ πρώτῳ θόλῳ τοῦ βαλανείου πρὶν ἱδρῶσαι.

Λεπτυντικὸν τριχῶν. ξε.

Τοῖς λεπτύνουσι τὰς τρίχας, χρῆσθαι τὰ ἰατρὸς, ἐπὶ τῶν σκληρὰς καὶ μεγάλας ἐχόντων τρίχας. ῥυπτικῆς δέ ἐστι τὰ τοιαῦτα δυνάμεως καὶ λεπτυντικῆς, ὥσπερ δὲ ἐν ἅπασι τοῖς ἄλλοις φαρμάκοις ἡ διαφορὰ κατὰ τὸ μᾶλλον τε καὶ ἧττον ἐστὶν, οὕτω κἂν τοῖς ῥυπτικοῖς. τὰ μὲν οὖν τῶν κριθῶν καὶ τῶν κυάμων καὶ ὀρόβων ἄλευρα ἀφρόνιτρόν τε καὶ νίτρον, μετριωτέρας ἐστὶ δυνάμεως. ὅσα δὲ τούτων ἰσχυρότερα, ἐπὶ τῶν πάνυ σκληρὰς καὶ μεγάλας ἐχόντων τὰς τρίχας, ἁρμόττει, οἷον ἐστὶ τὸ κεκαυμένον νίτρον. καὶ ὁ ἀφρὸς τοῦ νίτρου, καὶ τὸ ἀφρόνιτρον. καὶ τὰ καλλαϊνὰ ὄστρακα. τὸ δὲ τῆς σηπίας κεκαυμένον καὶ ἄκαυστον. καὶ τὰ τῶν κεραμίδων. καὶ τὰ τοῦ κλιβάνου ὄστρακα. κίσσηρις ἄκαυστός τε καὶ κεκαυμένη. κηρύκων τε καὶ πορφύρων. καὶ λοιπῶν ὀστρέων ὄστρακα. ἀλκυόνιά τε καὶ στρουθίου ῥίζα. οἵ τε ἐλλέβοροι καὶ αἱ τῆς βρυωνίας ῥίζαι. καὶ ἡ τοῦ δρακοντίου. ἀριστολοχία. καὶ πάνακος ῥίζα. κέγχροι καὶ τὰ τοιαῦτα. εὐώδη δὲ αὐτὰ ποιῆσαι βουλόμενος, μίξον κυπέρου καὶ μελιλώτου. καὶ ῥόδων ξηρῶν. καὶ σχοίνου ἄνθος καὶ ἴρεως. καὶ μελισσοφύλλου. τοῖς δὲ πλουσίοις, καὶ νάρδου κελτικῆς καὶ ἰνδικῆς. καὶ ἀμώμου καὶ φύλλα. καὶ σμύρνης καὶ κόστου. λεπτύνει δὲ τρίχας. καὶ τέφρα κληματίνη καὶ συκίνη. καὶ τιθυμαλλίνη. παρατριβομένη λεία ἐν βαλανείῳ. καὶ ἡ ἀπὸ τῶν κεκαυμένων γιγάρτων τέφρα. στυπτηρία σχιστή. κόπρος κυνεία ξηρά. Ἄλλο.

Σμῆγμα λαμπρυνόν τὸν χρῶτα καὶ χνοώδεις ποιοῦν τὰς τρίχας πάνυ καλόν.

Μόρα ὠμότατα λαβὼν καὶ λεάνας μετὰ κιμωλίας καὶ νίτρου ἴσοις φύλαττε. καὶ χρῶ.

Ξηρίον λεπτυντικὸν τριχῶν ἐν βαλανείῳ διὰ πολλῆς πείρας. Κισσήρεως ὀπτῆς. σηπίας ὄστρακα κεκαυμένα. νίτρου κιμωλίας ἴσα. χρῶ. θαρρῶν. Ἄλλο. Πορφύρων ὀστράκων κεκαυμένων, γο. ϛ. ἀλκυονίου, γο. ϛ. νίτρου, γο. η. κιμωλίας, γο. η. κισσήρεως, γο. α. φρύξας πάντα, λείου. καὶ χρῶ ἐν βαλανείῳ. καὶ θαυμάσεις. Ἄλλο. Ὧ ἐχρησάμεθα ἐπὶ τῆς κουβικουλαρίας. Ἀσβέστου ἀπὸ μαρμάτου γεγενημένης, λι. α. ἀρσενικοῦ γο. α. σταφίδος ἀγρίας. κιμωλίας. σηπίας ὀστράκων. βρυωνίας ῥίζης ξηρᾶς. στυπτηρίας σχιστῆς ἀνὰ ∠. δ. ψιμμυθίου γο. α. σαμψύχου. ἀλόης. ἐλλεβόρου μέλανος ἀνὰ ℥. ϛ. κόψας σήσας, χρῶ βαλὼν ἐξ αὐτοῦ εἰς σύνηθες ψίλωθρον, ὅσον ∠. δ. καὶ ὠῶν τὰ λευκὰ, γ. ἔπειτα ἀποπλύνας τὸ ψίλωθρον, σμῆχε αὖθις τῷ ξηρῷ. καὶ καθ' ἑκάστην ἐν τῷ βαλανείῳ σμηχέσθωσαν αὐτῷ.

Ἄλλο σμῆγμα. λαμπρυντικὸν καὶ χνοώδες ποιοῦν.

Κυάμου. ἀλεύρου. κισσήρεως. σεμιδάλεως. ἀφρονίτρου λευκοῦ ἀνὰ χοίνικας ἀττικὰς, β. μαράθρου ἑψηθέντος σὺν πτισάνῃ καὶ ἀποκλυσθέντος ὕδρου ὀξυμέλιτι καὶ ξηρανθέντος κοπέντος καὶ σησθέντος ὕδρου ὀξυμέλιτι καὶ ξηρανθέντος. κοπέντος. καὶ σησθέντος. χοίνικας, β. σάπωνος γαλλικοῦ, λι. β. μίγνυε τὸν σάπωνα τοῖς λοιποῖς προλειωθεῖσιν ἐπὶ θρύβων ταῖς χερσί. καὶ χρῶ.

Περὶ πιτυριάσεως. ξϛ.

Πιτύροις ὅμοια ἀπὸ τοῦ τῆς κεφαλῆς δέρματος ἀποπίπτει πολλάκις ἐνίοις κνωμένοις. γίνεται δὲ ὑπὸ μοχθηρῶν ἰχώρων. οὓς ἐκδαπανῆσαι σκοπός ἐστι. διαφορητικὰ τοίνυν καὶ ῥυπτικὰ προσακτέον φάρμακα. καθαρτικῷ δὲ φλεγματαγωγῷ πρότερον κενώσαντας ὅλον τὸ σῶμα εἰ μεστὸν εἴη κακοχυμίας. ἔμιξαν δέ τινες τοῖς διαφορητικοῖς καὶ τῶν στυφόντων ἔνια. ῥωννύναι βουλόμενοι τὸ δέρμα τὸ μόριον. ὡς μὴ ῥαδίως εἰς ἑαυτὸ καταδέξοιτο τοὺς ἐπιρρέοντας ἰχῶρας. ἀλλὰ ἀντιβαίνοι τε καὶ ἀποκρούοιτο. οἷόν ἐστι χαλκάνθος. καὶ τὰ παραπλήσια. σμῆχε μὲν οὖν τὰ ἐν τῇ κεφαλῇ πίτυρα, κιμωλία μετὰ σεύτλου χυλοῦ. ἢ τίλεως. ἢ ἀμφοτέρων ἅμα. Ἄλλο. Κύαμον σὺν τῷ λέπει ἀλέσας, χρῶ μετὰ σεύτλου χυλῷ. Ἄλλο. Πιτύρων χοίνικος ἥμισυ βρέξας ἐν

ὕδατι ξε. α. εἶτα τρίψας ἐπὶ πολὺ ταῖς χερσὶ καὶ διηθήσας τὸν χυλόν. καὶ ἐπιβαλὼν ὄξους κο χλιάρειον ἥμισυ, ἕψε μέχρις οὗ πάχος λάβῃ. καὶ τούτῳ ἀπόσμηχε. εἶτα ἀπόπλυνε σεύτλου ἀφεψήματι. ἢ τήλεως. ἢ θέρμων. Ἄλλο. Γῆς κιμωλίας. θείου ἀπύρου τὸ ἴσον. τρίψας μετ' ὄξους ἐν βαλανείῳ, ἀπόσμα καὶ θερμῷ ὕδατι ἀπόπλυνε τοῦτο. καὶ κατάχριε μὴ μόνον ἐν βαλανείῳ, ἀλλὰ καὶ χωρὶς βαλανείου. Ἄλλο. Λιθαργύρου. πηγανίνου ἐλαίου. ὄξους λεάνας, κατάχριε. δέδωκεν ἡμῖν τοῦτο πεῖραν ἱκανήν. Ἄλλο. Σικύου ἀγρίου ῥίζης ἑψήσας, τῷ ἀφεψήματι χρῶ. Ἄλλο. Ἀρχιγένης φησὶ περὶ τοῦ διὰ τῆς βρυωνίας ὅτι ἀντὶ παντὸς σκευαζέσθω σοι τοῦτο. εἰ δὲ σταθμῷ βούλει σκευάσαι, ποίει οὕτως. κιμωλίας, Γο. ϛ. νίτρου, Γο. ε. ἀλεύρου κυαμίνου, Γο. γ. σικύου ἀγρίου φλοιοῦ τῆς ῥίζης ξηρᾶς, Γο. β. βρυωνίας, Γο. ϛ. κριθίνου ἀλεύρου καὶ θερμίνου ἀνὰ Γο. α. Ἄλλο. Κιμωλίας λι. β. νίτρου. βρυωνίας. σικύου ἀγρίου φλοιοῦ τῆς ῥίζης, ξηροῦ. κυαμίνου ἀλεύρου, ἀνὰ λι. α. κριθίνου ἀλεύρου καὶ θερμίνου, ἀνὰ ἡμίξεστον. ἕκαστον ἰδίᾳ λειότατον ποιήσας. καὶ μετρήσας. ἐνώσας, χρῶ ἐν βαλανείῳ. Ἀρχιγένης φησὶ πρὸς πίτυρα, τήλινον ἄλευρον. καὶ νίτρον. καὶ κιμωλίαν. μετὰ σεύτλου χυλοῦ, σμῆχε. καὶ χολὴν βοείαν. ἢ ὑείαν. ὄξος ἐπιβαλὼν κατάχριε. εἶτα μετὰ μίαν ὥραν ἀποκλύσας, ἐπίχριε χαλκάνθῳ, καὶ νίτρῳ μετ' ἐλαίου ὀλίγου λείοις ἐν ἄλλοις κύμινον. ἢ μυροβάλανον. καὶ κυάμινον ἄλευρον. ἴσα λεάνας μετὰ ὕδατος κονίᾳ. ὕδωρ σμῆχε. ἢ ἀμυγδάλοις πικροῖς λελεπισμένοις μεθ' ὕδατος ἢ ὄξους λεάνας, σμῶ. ὅταν δὲ ξηρανθῶσιν αἱ τρίχες, ἀπόπλυνε θερμῷ. ἢ μαλάχην ἀγρίαν ἑψήσας ἐν θαλάσσῃ μέχρι τὸ δέκατον λειφθῇ, λεαίνε. καὶ σμῶ. ἢ νίτρον. καὶ κισσηριν. καὶ τρυγίαν οἴνου ἴσοις μετὰ θέρμου, σμῆχε. ἢ νίτρου ἀφροῦ. καὶ χαλκάνθου ἴσα μετὰ οἴνου χρῶ, δὶς ἢ τρίς τοῦ μηνὸς τοῦτο ἐνεργεῖ. ὥστε μηδὲ τὸ λοιπὸν γίνεσθαι. Ἄλλο. Λιβανωτὸν λεῖον μετ' ὄξους κατάχριε. ἢ σκορπιούρου χυλὸν κατάχριε. ἢ σκίλλαν ὀπτήσας. καὶ ὅταν μαλακὴ γένηται, ἐκπιάσας τὸν χυλὸν, καὶ μίξας ἐλαίῳ κατάχριε. δίαιτα δὲ ἔστω ἄφυσος, μηδὲν τῶν παχυχύμων ἐχουσα. οἷον ἐστὶ ὕδνα. μύκητες. βολβοί. ὄσπρια. καὶ κρέα μάλιστα βόεια. καὶ τὰ ὅμοια. ἔστω δὲ τὰ προσφερόμενα, εὐκοίλια. εὔπεπτα. καὶ προσπλεκέσθω μέλιτι ταῖς τροφαῖς. ἔμβαμμα ὄξους μετὰ ἑψήματος. ἄρτυμα κύμινον. σέλινον. μάραθον. τῶν δὲ ἄλλων, πεφεισμένη ἡ χρῆσις ἔστω. καὶ μάλιστα βρώματος παντὸς φείδεσθαι. οἶνος λεπτὸς καὶ λευκὸς χρήσιμος. εἴη ἡδονὴν δὲ καὶ ὁ γλυκὺς οἶνος. καὶ τὸ οἰνόμελι. ὀπώρας ἄριστον μὲν σταφυλῆς μαρανθείσης. εἶτα σῦκον πρὸ τροφῆς. ἔπειτα ῥόα μετὰ πᾶσαν τροφήν. καὶ τὸ χλωρὸν ἀμύγδαλον χρήσιμον πρὸ τροφῆς δεῖ σιτεῖσθαι ἄμεινον εὐπεψίας μᾶλλον φροντιστέον. περίπατοι πρᾶοι πλεῖστοι. καὶ ἕωθεν καὶ δείλης ἄριστοι. ψυχρολουσία βαλανείων κρεῖττον. θερμολουτεῖν δέ τισιν ἀνοίκειος ἡ πολλὴ διατριβὴ ἐν τῷ ἀέρι. καὶ ἡ κατὰ κεφαλῆς περίχυσις, μᾶλλον τῆς ἐμβάσεως ἄμεινον. καὶ μετὰ ταῦτα δαψιλῶς τῷ ψυχρῷ ἀνάψυχε. ὕπνος εἰς κόρον χρήσιμον. ὀργῆς. καὶ θυμοῦ. ἡλιώσεως. καὶ σφοδρᾶς ψύξεως ἀπεχέσθωσαν. καὶ πάντων τῶν τὴν κεφαλὴν πληρούντων.

Περὶ φθειριάσεως. ξζ.

θειρῶν γένεσις ἐν τῇ κεφαλῇ συμβαίνει τισὶν, ἀθρόως παμπόλλων ὑγρῶν, μετρίως θερμῶν, ἐν τῷ βάθει τοῦ δέρματος συστάντων. ἔνθα καὶ γίνεσθαι τοὺς φθεῖρας συμβαίνει, οὐκ ἐπιπολῆς τοῦ δέρματος, ἐν ᾧ ἡ πιτυρίασις συνίσταται. φάρμακα τοίνυν αὐτῶν ἀναγκαῖον εἶναι ξηραντικά. καὶ μᾶλλον ἐκ τοῦ βάθους ἕλκειν τι καὶ κενοῦν δυνάμενα. θέρμους τοίνυν ἑψήσας σὺν ὕδατι, τὸ ἀφέψημα αὐτῶν σμᾶσθαι κέλευε. ἢ μυρίκης ἀφεψήματι. ἢ ἅλμῃ ἀκράτῳ μετ' ὄξους καταντλεῖ. ἢ κισσοῦ χυλὸν μέλιτι μίξας, κατάχριε. ἢ περδικίου χυλὸν μέλλοντα καθεύδειν, κατάχριε.

Ἄλλο πρὸς φθεῖρας κεφαλῆς. καὶ ὅλου τοῦ σώματος.

Κύπρου ἄνθος λεάνας μετ' οἴνου, ἀνάτριβε τὴν κεφαλὴν, καὶ ὅλον τὸ σῶμα ὅταν μέλλῃς καθεύδειν. ἢ σταφίδος ἀγρίας μέρη δύο. σανδαράκης. καὶ νίτρου ἀνὰ μέρος ἓν, χρῶ μετ' ὄξους, ἢ ῥοῦν μαγειρικὸν σὺν ἐλαίῳ λεάνας, ἄλειφε, ἢ σχιστὴν μετ' ἐλαίου λεάνας, χρῶ. ἢ ἐλλέβορον λευκὸν, καὶ σταφίδα ἀγρίαν, καὶ νίτρον, ἴσα μετ' ἐλαίου λεάνας χρῶ ἐν βαλανείῳ. ἢ λαπάθου ἀγρίου ῥίζαν, σὺν ἐλαίῳ χρῶ ἐν βαλανείῳ. ἢ πεπέρεως βραχὺ μετὰ πλείστου ἐλαίου χρῶ. ἢ ἐλαίῳ δαφνίνῳ. ἢ ῥαφανίνῳ χρῶ. εἰ δὲ ψιλοῦνται αἱ τρίχες τῇ ἀγρίᾳ σταφίδι μετ' ὄξους καὶ ἐλαίου χρῶ. ἢ στυπτηρίᾳ ὑγρᾷ μετ' ἐλαίου. ὠφελοῦνται δὲ πίνοντες σκορόδου λείου, ∠. β, μετὰ ὀριγάνου λείου ∠. α. μετὰ μελικράτου.

Περὶ ἀχώρων καὶ τῶν λοιπῶν ἐν τῇ κεφαλῇ γιγνομένων ἐξανθημάτων. ξη.

Ὁ καλούμενος ἀχὼρ, ἐν τῷ τῆς κεφαλῆς συνίσταται δέρματι. λεπτὰς κατατρήσεις ἔχων δι' ὧν ἀπορρεῖ λεπτὸς ἰχὼρ. γλίσχρος μετρίως. ὅμοιον δὲ αὐτῷ ἐστὶ καὶ τὸ καλούμενον κηρίον. ἐπειδὴ τὰς κατατρήσεις ἔχει μείζονας. ὑγρότητας περιεχούσας μέλιτι παραπλησίας, μελικηρὶς ὠνομάσθη. σκοπὸς μὲν

πὸς μὲν οὖν ἐστι κενῶσαι τοὺς ποιοῦντας τὸ πάθος χυμούς. εἰ δ᾽ ἐπιῤῥέοιεν ἔτι, κωλῦσαι πρότερον τὴν ἐπιῤῥοήν. κενοῦντας πρῶτον ὅλον τὸ σῶμα καθαρτηρίῳ ἀρχόμενος ἀπὸ φλεβοτομίας, εἰς φθάσει ὁ κάμνων. εἶτα καθαρτηρίῳ χρώμεθα τῷ ὀῤῥῷ τοῦ γάλακτος, σκευασθέντι διὰ μελικράτου. εἶτα μίξαντες αὐτῷ ἐπιθύμου λειοτάτου ∠. γ. ἐῤῥέθη δὲ ἡ σκευασία τοῦ ὀῤῥοῦ ἐν τῷ δευτέρῳ λόγῳ κεφαλαίῳ, ϟε. εἰ δὲ οὐκ ἔστιν ὁ καιρὸς τοῦ γάλακτος, λαβὼν κολοκυνθίδα τελείαν, ἔξελε αὐτῆς τὸ σπέρμα. καὶ ἐγχύσης αὐτῆς τὸ γναφαλῶδες, πλήρωσον αὐτὴν ἑψήματος. ἢ οἰνομέλιτος. καὶ ἔα βρέχεσθαι νύκτα καὶ ἡμέραν. καὶ μετὰ ταῦτα θερμάνας δίδου καὶ καθαίρει. ἔπειτα καὶ τὴν κεφαλὴν δι᾽ ἐῤῥίνων καὶ ἀποφλεγματισμῶν. ἁρμόσει δ᾽ αὐτοῖς, διὰ μὲν τὸ πάχος καὶ τὸ γλίσχρον τοῦ χυμοῦ τοῦ γεννῶντος τὴν διάθεσιν, τὰ τέμνοντα καὶ διαφοροῦντα φάρμακα. τοὺς δὲ ἀρχομένους ἀχῶρας. ὅταν ἀπόριττον ᾖ τὸ πᾶν σῶμα, ἰᾶσαι διὰ τῶν τὴν πτυστικὴν ἐχόντων δύναμιν. καὶ ἀποκρουστικήν. μυρεῖναι δὲ εἰσὶ τοιαῦται. καὶ ὁ τῆς πίτυος φλοιός. καὶ βάτου φύλλα καταπλασσόμενα. ἀρνόγλωσσον καταπλασσόμενον. ἀγρίας ἐλαίας χυλὸς σμώμενος. ἰτέας φύλλα. καὶ ἄνθος καταπλασσόμενα. πολύγονον ὁμοίως. ἔνια δὲ ἀντιβαίνει ταῖς αὐξήσεσι τῶν ἀχώρων. ὁμοῦ μὲν ἀναστέλλοντα τὸ ἐπιῤῥέον. ὁμοῦ συμπέττοντα καὶ διαφοροῦντα τὸ περιεχόμενον. μικτῆς ὄντα δυνάμεως. οἷς τισι κεχρῆσθαι δεῖ μετὰ τὴν ἀρχήν. τοιοῦτον δέ ἐστι μύρσινον ἔλαιον. καὶ ῥόδινον. καὶ σχίνινον. βάτου χυλὸς σὺν ἐλαίῳ. ἀνδράχνης χυλὸς σὺν ἐλαίῳ. λάπαθον σὺν οἴνῳ καταχριόμενον. κύπρος τε καὶ οἱ φακοί. τινὰ δὲ τῶν ἐπιπαλαίων καὶ μετρίως βοηθεῖ. διαφοροῦντα μὲν καὶ ῥύπτοντα χωρὶς θερμασίας αἰσθητῆς. οὐ μὴν ἐρεθιστικὸν ἔχοντά τι οἷς δεῖ κεχρῆσθαι μάλιστα ἐὰν ὀδυνηρά τις ἐν τοῖς ἀχῶρσιν. ἄρχεσθαι δὲ καὶ τούτων προσῆκεν, ἀπὸ τῶν ἀσθενεστέρων. κιμωλία τε οὖν ἐπιτήδειος εἰς τοῦτο καὶ ἡ κρητικὴ γῆ. καὶ σαμία. πομφόλυξ τε καὶ σπόδιον. καὶ λιθάργυρον. ἥ τε ἁπαλὴ καδμία καὶ ἀδίαντον μετὰ ῥοδίνου ἐπιχριόμενον. τήλεως ἀφέψημα σμώμενον. μαλάχη λεία μετὰ ἐρίνου ἀλεύρου καταπλασσομένη. ἢ μελίλωτον σὺν πτισάνῃ ἀλεύρῳ μετ᾽ οἴνου καταπλασσόμενα. ἐρεβίνθων ἀφέψημα. καὶ αὐτοὶ ἑφθοὶ καταπλασσόμενοι. κάρυα ταῦτα μασσηθέντα καὶ ἐπιχριόμενα. μηδὲν ἀνυόντων τούτων τὸ διὰ χάρτου ξηρίον ἐπίχριε σὺν ὄξει. εἰ δὲ δριμύτερόν σοι φαίνοιτο, λιθάργυρον ἴσην ἐπίβαλλε. μὴ παρόντος δὲ τοῦ διὰ χάρτου ξηρίου, χάρτην καύσας. καὶ τὴν τέφραν ὄξει λύσας, χρῶ ἐπὶ τῶν σκληροσάρκων. τινὰ δὲ οὕτως σφοδρὰν τὴν δύναμιν κέκτηται, ὥστε δύνασθαι κενοῦν τοὺς πάνυ παχεῖς καὶ γλίσχρους χυμούς. κἂν ἤδη σκιῤῥώδεις εἶεν, διαλύειν αὐτούς. τοιαῦτα δέ ἐστι χαλκῖτις. τρὺξ οἴνου κεκαυμένη σὺν σανδαράκῃ τε καὶ πίτυος. τὸ δ᾽ ὄξος ἰσχυρότατον ἐν παντὶ καιρῷ πρὸς ἀχῶρας. καὶ διαφοροῦν καὶ ἀποκρουόμενον. δριμύτατον δὲ ἔστω. διαφορεῖ δὲ κάλλιστα, καὶ κρίνου ῥίζα σμωμένη. καὶ λιβανωτὸς σὺν ὕδατι καὶ νίτρῳ. καὶ θέρμων πικρῶν ἀφέψημα σμώμενον. σικύου ἀγρίου ῥίζα ἑψομένη. συκῆς φύλλα σὺν ὄξει λεία. βολβοὶ σὺν νίτρῳ σμώμενοι. πηγάνου φύλλα καταπλασσόμενα. πτίσανον ἄλευρον σὺν νίτρῳ σμώμενον. λίβανον μετ᾽ ὄξους καταχριόμενον. σιδία ῥόας μετὰ δαφνίνου ἐλαίου καταχριόμενα. σκόροδον σὺν τῷ καυλῷ καύσας τῇ τέφρᾳ μετ᾽ ἐλαίου χρῶ. πάνυ κάλλιστον. Ἄλλο.

Κάρυα βασιλικὰ ἐμασᾶτο γυνή τις. καὶ ἐπετίθει τῷ παιδὶ ἀχῶρας ἔχοντι. καὶ ἰάθη.

Ἄλλο. Ἀγχούσης ῥίζας καύσας, λεάνας μετ᾽ ἐλαίου ὡς γλοιοῦ ἔχειν πάχος, ἐπίχριε πίτυρῳ. καὶ ὑγιάσεις. Ἄλλο. Θύμου καύσας, μετ᾽ οἴνου καὶ ἐλαίου τὴν τέφραν δεύσας ἐπίχριε. Ἄλλο. Νῆστρον ὃν ἐν ἀλεξανδρείᾳ, ὃ λιπαρώαν καλοῦσι, καύσας καὶ τὴν τέφραν λεάνας μετ᾽ οἴνου, κατάχριε. Ἄλλο. Κέρατα καύσας, λεάνας τὴν τέφραν, μεθ᾽ ὕδατος χρῶ. ἔστι γὰρ σωτήριον φάρμακον, οὐ μόνον πρὸς ἀχῶρας, ἀλλὰ καὶ πρὸς πᾶν γινόμενον ἐξάνθημα. Ἐὰν δὲ συμπέσῃ ποτὲ ἀχὼρ ἢ φλεγμονώδει τε καὶ ὀδυνώδει, παρηγορήσεις δηλονότι τὴν φλεγμονὴν αὐτοῦ πρότερον, ὑγρῷ φαρμάκῳ. πεπτικῷ τε καὶ μαλακτικῷ καὶ ἀδήκτῳ. ὁποῖόν ἐστι τὸ πάρυγρον. καὶ πάντα τὰ ἑδρικὰ καλούμενα. καὶ τὰ πρὸς καρκινώματα ἀναγεγραμμένα. ἄλευρα οὖν κυάμινα, οἴνῳ βρέξας καὶ λεάνας ὡς ἐμπλαστρώδες γενέσθαι, ἐπιτίθει. ποιεῖ δὲ πρὸς τὰ πυῤῥώδεστερα καὶ ἄγρια ἐν τῇ κεφαλῇ μάλιστα ψυδράκια. Ἄλλο. Πρὸς τὰς μεγίστας καὶ φλεγμονώδεις ὀδύνας παρηγορικὸν ἀνώδυνον. καὶ ἀποθεραπεῦον. Τοῦ ἀστέρος κολλυρίου. ἢ τὸ διὰ λιβάνου. ἢ τινὸς τῶν παραπλησίων λεάνας, μετὰ χυλοῦ ὑοσκυάμου ὀλίγου. καὶ ἐπιβαλὼν ἕψημα καὶ ῥόδινον, κατάχριε.

Ἄλλη. Λιπαρὰ πρὸς ἀχῶρας. ψύδρακας ἐκζέσματα. παρατρίμματα. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. λιθαργύρου ∠. η. πηγάνου φύλλων ἁπαλῶν, ∠. κε. ὄξει διαλύσας. καὶ ῥοδίνῳ ἢ μυρσίνῳ ἀναλαβὼν, ἐπίχριε πιτύροις. ἱκανὴν ὑμῖν πεῖραν ἔδωκεν. Ἄλλο παραπλήσιον. Λιθαργύρου, ∠. δ. ψιμμυθίου, ∠. ϛ. θείου ἀπύρου, ∠. δ. κηροῦ, ∠. δ. ῥοδίνου ἢ μυρσίνου τὸ ἀρκοῦν. ὡς ἔχειν σύστασιν ὑγρᾶς κηρωτῆς. τὰ τηκτὰ, ἐπίχεε. καὶ ἑνώσας, χρῶ. τοῦτο πρὸς τὰ ἐν ὅλῳ τῷ σώματι ἐξανθήματα χρήσιμόν ἐστιν. Ἄλλο πρὸς τοὺς καθύγρους ἀχῶρας. Λαδάνου, ∠. η. ψιμ

μυθίου τὸ ἴσον. θείου ἀπείρου, ∠. η̅. χρῶ σὺν οἴνῳ ἢ μυρσίνῳ. Ἄλλο. Λαδάνου, μύρτων μελανῶν λιθαργύρου. θείου ὑοσκυάμου σπέρματος σιδίων λειώσας, παράχει οἴνου καὶ μυρσίνου. ἢ ῥοδίνου, κατάχριε. Πρὸς τὰ πυρρώδη. καὶ ἰχωρώδη. καὶ λιχηνώδη. ἀνδράχνης ὑπτίου, ∠. η̅. ἀκακίας, ∠. η̅. σμύρνης ∠. β̅. οἴνῳ αὐστηρῷ λειώσας κατάχριε. Ἄλλο ποιεῖ, καὶ πρὸς τὰς ἐν τῷ γενείῳ. Μύρτων. σιδίων. χαλκάνθου. λιθαργύρου ἴσα, λειώσας καὶ μυρσίνῳ χρῶ. Ἔμπλαστρος πρὸς ἀχῶρας. Θεραπεύει τοὺς χρονιωτάτους. πιτυΐνης ξηρᾶς. κηροῦ. στέατος ὑείου. ἢ βοείου. ἴσον ἑκάστου τήξας ἅμα καὶ διηθήσας εἰς ὕδωρ. καὶ ἐπιπολὺ ἀναμαλάξας χερσὶ χρῶ. Ἄλλη ᾗ ἐχρήσατο ὁ αἰγύπτιος ἐπὶ παλλαδίου τοῦ μαγιστριανοῦ ἐν ἀλεξανδρείᾳ μετὰ τὸ ἀποτυχεῖν τὰ τῶν ἰατρῶν βοηθήματα. Κολοφωνίας, Γο. ϛ̅. ἀμμωνιακοῦ θυμιάματος, Γο. β̅. χαλβάνης, ⊢. δ̅. [ὀποπάνακος ⊢. γ̅.] ἐλαίου ∠. δ̅. μαστίχης κηροῦ ἀνὰ Γο. α̅. πιτυΐνης ὑγρᾶς τῆς ξυλώδους, ∠. δ̅. ἰοῦ ⊢. δ̅. εἰ δὲ δριμύτης εἴη πολλή, μὴ βάλῃς τὸν ἰόν. διαφορεῖ καὶ ἀποστήματα καὶ τὰ ἤδη ῥαγέντα, ἐγκαινοῖ καὶ ὑγιάζει.

Πρὸς τὰ ἐν τῇ κεφαλῇ ψωρώδη. ξθ̅.

Πήγανον καὶ στυπτηρίαν λειώσας μετὰ μέλιτος. καὶ ξυρίσας τὰς θρίχας, ἐπίχριε. Ἄλλο. Θεῖον ἄπυρον. καὶ σταφίδα ἀγρίαν λειώσας. καὶ πίσσαν ὀρρῷ μίξας ἐπίχριε.

Πρὸς τὰ σμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ. ο̅.

Πρὸς δὲ τὰ σμικρὰ καὶ πυκνὰ καὶ ἐρυθρὰ ἑλκύδρια ἐν τῇ κεφαλῇ. θηλαῖς μαστῶν παραπλήσια. ἀφ᾽ ὧν καὶ ἰχὼρ ἀποῤῥεῖ. ξυρήσας. καὶ λίνου σπέρμα τρίψας. καὶ μέλιτι δεύσας, κατάπλασσε. ἢ κογχύλιον καύσας. καὶ τρίψας ἐν ὕδατι, κατάπλασσε. ἢ τὴν διαιρῶν ἔμπλαστρον ἐμπλάσας, ἐπιτίθει. καὶ ὅταν ἐκκενωθῇ τὰ ὑγρὰ ἄρας ταύτην, ἐπιτίθει τοῦ μυρσινάτου λεγομένου. οα̅.

Πρὸς δὲ τὰ ὀξέα ἐρυθρὰ ἐξανθήματα ἐν τῇ κεφαλῇ. ψιμμυθίῳ σὺν δαφνίνῳ κατάχριε. ἢ πίτυος φλοιὸν σὺν κηρωτῇ. ἢ ὄστρακον ἀπὸ κλιβάνου σὺν ὄξει. ἢ οἴνῳ. ἢ σεύτλῳ ἑφθῷ κατάπλασσε. ἢ σεύτλου χυλὸν ἐπιβαλὼν κηρωτῇ ῥοδίνῃ ὅσον ἐπιδέχεται ἐπιτίθει.

Ἀναξηραντικὸν καὶ ἀπουλωτικὸν ἀχώρων. οβ̅.

Λιθαργύρου, ∠. κα̅. ἀσβέστου τὸ ἴσον, ὄξους Γο. α̅. ῥοδίνου τὸ ἴσον, χρῶ. Ἄλλο σφόδρα καλόν. ἀναξηραίνον τὰ κάθυγρα ἕλκη. καὶ ἀπουλοῖ. Λιθαργύρου. ψιμμυθίου. κριθῶν κεκαυμένων ἴσα, σὺν ῥοδίνῳ. ἢ μυρσινίνῳ ἐπίχριε. Ἔμπλαστρος μηλίνη ἀναξηραντικὴ παντὸς ῥεύματος. μάλιστα καὶ ἀπουλωτικὴ ἐπὶ τῶν χρονίων ἑλκῶν. λιθαργύρου. ψιμμυθίου. ἁλὸς ὀρυκτοῦ, ἀνὰ λι. α̅. στυπτηρίας σχιστῆς, Γο. ϛ̅. χαλκάνθου, Γο. ϛ̅. ἐλαίου λι. β̅. ὄξους ξ α̅. ἕψε ἔλαιον. ψιμμύθιον. λιθάργυρον. ἅλας λειότατον προσεμβαλλόμενον ἕκαστον κατ᾽ ἰδίαν καὶ ἅμα. ὅταν δὲ ἀμόλυντον γένηται, τὴν σχιστὴν καὶ χάλκανθον ὄξει διαλύσας. καὶ ἄρας τὸ φάρμακον, ἀπὸ τοῦ πυρός. καὶ ψύξας ποσῶς, ἐπίβαλλε κατὰ βραχύ. καὶ ἑνώσας, κατάχει ἐν τῇ θυίᾳ. καὶ μαλάξας ἐπιμελῶς χρῶ. ογ̅.

Σμῆγμα πρὸς ἀχῶρας καὶ πιτυριάσεις. καὶ τραχύτητας. καὶ ψωριάσεις. παρακμαζούσης δὲ τῆς διαθέσεως καὶ παντελῶς, οὐλῆς γινομένης, εἰς μετάθεσιν τῆς ὅλης διαθέσεως χρηστέον σμήγμασι τοιούτοις ἐν βαλανείοις. Γῆς κιμωλίας, λι. β̅. νίτρου ἐρυθροῦ τὸ ἴσον. μυροβαλάνου λι. α̅. ζιγγιβέρεως. ἴρεως πεπέρεως, ἀνὰ Γο. α̅. νάρδου. κελτικῆς, κασίας. κόστου, ἀνὰ Γο. α̅. κόψας. σήσας, χρῶ ἐν βαλανείῳ.

Πρὸς τὰ ἐν ὠσὶ πάθη. οδ̅.

Ὤτων πόνοι γίγνονται, διά τε ψύξιν ἀπὸ ἀνέμων γιγνομένην. ἢ ὑδάτων ψυχρῶν. ἢ φαρμακωδῶν ἐν οἷς λούονται. καὶ διὰ φλεγμονὴν ἢ τοῦ κατὰ τὸν πόρον δέρματος, ἢ τοῦ ἐν βάθει ἀκουστικοῦ νεύρου. γίγνεται δὲ ὀδύνη, καὶ διὰ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον.

Πρὸς τὰς διὰ ψύξιν ὀδύνας. οε̅.

Τὰς μὲν οὖν ἀπὸ ψύξεως μόνης γιγνομένας ὀδύνας, τὰ θερμαίνοντα θεραπεύει τάχιστα. κρόμμυον οὖν ἢ σκόροδον ἀποζεσθὲν ἐλαίῳ, ἰᾶται τὰς ψύξεις πάσας. ἐγὼ δὲ εὐφορβίου παντελῶς ὀλίγου, ἐλαίῳ πολλῷ μιγνὺς χρῶμαι. ἢ πεπέρεως ἀκριβέστατως λελειωμένου μετὰ οἴνου καὶ ἐλαίου. ὠφελεῖ δὲ καὶ τὸ ἀμαράκινον. καὶ ἡ ἀρίστη νάρδος. καὶ τὸ δαφνέλαιον. καὶ τὸ πήγανον, ἐλαίῳ γλυκυτάτῳ ἑψηθὲν ὀνίνησι μεγάλως.

Πρὸς τὰς διὰ ὕδατος φαρμακώδεις ὀδύνας τοῦ πόρου τοῦ ὠτός. ϛε.

Ὅταν δὲ φαρμακῶδες ὕδωρ ἐνοχλοίη κατὰ τὸν ἀκουστικὸν πόρον, συνεχῶς ἔλαιον ἐγχεῖν προσή-
κεν. ἐκκλύζοντας τὸ οὖς. καὶ δι' ἐρίου μαλακοῦ ἀπομάττοντας. εἶτ' αὖθις ἐγχέοντας. παρηγορεῖ
δ' αὐτοῖς μεγάλως, ᾠοῦ τὸ λεπτὸν καὶ λευκὸν μετὰ γάλακτος χλιαρὸν ἐγχεόμενον. πάντα γὰρ
ἔστω μετρίως θερμὰ τὰ προσφερόμενα. ὠφελεῖ δ' αὐτοὺς καὶ τὸ χήνειον στέαρ. ἀπείρως δέ, καὶ ὁ διὰ τοῦ
στόματος ἐκμυζηθμὸς ἐπισπᾶται τὸ ὕδωρ. ἢ καλάμῳ ἐκμυζήσας, ὡς διὰ σίφωνος. ἔνσταζε χυλὸν
κρομμύου μετὰ χηνείου στέατος. παρηγορεῖ γὰρ πάνυ. εἰ δέ τις καὶ ἐφ' ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον
οὖς ἅλλοιτο, παρεγκλίνων πως ἑαυτόν, ἐκκρίνεται ῥᾳδίως τὸ ὕδωρ.

10 Πρὸς τὰς ἐν ὠσὶν ὀδύνας διὰ πάχος χυμῶν. οζ.

Εἰ δὲ ὀδύνη τοῦ ὠτὸς μετὰ βάρους τῆς κεφαλῆς γένοιτο, παχεῖς καὶ φλεγματώδεις αἴτιοι τῆς ὀδύ-
νης χυμοί. διάγνωσις δέ σοι γινέσθω ἐκ τῆς προγεγενημένης διαίτης. νίτρον οὖν καὶ ἀφρόνιτρον τοῖς
ὠτικοῖς μίξεις φαρμάκοις. καὶ λευκὸν καὶ μέλανα ἐλλέβορον. ἀμύγδαλά τε πικρά. καὶ ἀριστολο-
χίαν τὴν παροῦσαν. καὶ σικύου ἀγρίου. καὶ βρυωνίας ῥίζαν. καὶ κενταυρείου τοῦ μεγάλου ῥίζαν.
καὶ τοῦ μικροῦ τὴν κόμην. καὶ ἴριν. καὶ κασίαν καὶ ἁπλῶς πάντα τὰ πικρὰ ἀδήκτως καὶ ἀλύ-
πως καθαίρει τοὺς πόρους. καὶ διαρρύπτει. καὶ τέμνει τὰ ἐμπεφραγμένα τῶν παχέων ὑγρῶν.

Πρὸς τὸν ἐν ὠσὶ ῥύπον. οη.

Νάρδινον μύρον χλιάνας, ἔνσταζε. καὶ τῇ ἑξῆς διὰ κυαθίσκου μηλωτρίδος τὸ προχειρότερον ἐκκά-
θαιρε. καὶ πάλιν ἔγχει τὴν νάρδον. εἰ δὲ σκληρὸς ὁ τόπος εἴη ὁ ῥύπος, νίτρον ὀπτήσας. καὶ λειό-
τατον ποιήσας, ἔμπλασσε εἰς τὸ οὖς. καὶ ἐπίσταζε ὄξος θερμόν. καὶ ἔριον προσθείς, ἔα διανυκτε-
20 ρεύειν. τῇ δὲ ἑξῆς, κλύζε ὕδατι καὶ ἐλαίῳ θερμαίνας. Περὶ τῶν ἐν ὠσὶν ἤχων. οθ.

Οἱ ἐν τοῖς ὠσὶν ἦχοι, ὡς ἐπίπαν φυσώδους πνεύματος εἰσὶν ἔκγονοι. γίνονται ποτὲ καὶ δι' ἀκρίβειαν
τῆς ἀκουστικῆς αἰσθήσεως ἐκ τῶν ἀναθυμιάσεων. ἡ δὲ διάγνωσίς σοι ἔστω. πρῶτον μὲν, ἐκ τῆς κρά-
σεως καὶ τῆς ἕξεως τοῦ ἀνθρώπου. ἔπειτα δὲ καὶ ἐκ τῆς προγεγενημένης διαίτης πάσης. καὶ τὸ κατὰ
βραχὺ δὲ συστῆναι τὸν ἦχον ἢ ἀθρόως γενέσθαι, συντελεῖ τι πρὸς τὴν τῆς διαθέσεως εὕρεσιν. ἔτι τὸ
τὰ διαλείμματα ποιεῖν, ἢ παραμένειν τὸ σύμπτωμα διηνεκῶς. ἀκριβὴς δὲ διάγνωσις αὕτη σοι γι-
νέσθω. ἐὰν γάρ τις ὑπονοήσας πνεύματι φυσώδει, διέξοδον οὐκ ἔχοντι γίνεσθαι τὸν ἦχον, τὰ
τέμνοντα καὶ λεπτύνοντα προσφέρων. μηδὲν ἀνύει μετὰ τοῦ καὶ ἀποφλεγματισμοῖς χρῆσθαι,
τότε δι' ἀκρίβειαν αἰσθήσεως στοχάζοιτο γίνεσθαι τὸν ἦχον. ἐγὼ δὲ ἐπὶ τῶν τοιούτων προσπλέκω,
τῶν ναρκούντων τὴν αἴσθησιν. οἷον μανδραγόρου χυλόν. ἢ ὄπιον βραχύτατον. ἢ ἔλαιον ἐναφεψημέ-
30 νον αὐτῷ γῆς ἐντέρων, ἐγχέω. Πρὸς δὲ τοὺς ἐπὶ πνεύματι φυσώδει συνισταμένους ἤχους,
χρήσιμα ἐστι τὰ τοιαῦτα. Ἀπολλωνίου πρὸς τοὺς ἐξαίφνης γινομένους
ἤχους καὶ βόμβους καὶ συριγμούς. Ὄξος δριμύτατον θερμαίνων, ἔνσταζε. ἢ ὄξος μετὰ ῥο-
δίνου θερμαίνων ἔνσταζε. εἰ δ' ἐπιμένοι, κύμινον. πήγανον. ἄνηθον. καὶ μελάνθιον ἑψήσας σὺν ὄξει.
καὶ ἐπιβαλὼν τὸ ῥόδινον, χρῶ. κολοκυνθίδα ἐντεριώνης ἕψει τῷ ἐλαίῳ. εἰ δ' ἐπιμένει, πλείονα
χρόνον, χρῶ πᾶσι τοῖς πικροῖς καὶ δριμέσι. καὶ λεπτυντικοῖς καὶ διαφορητικοῖς. τοῖς πρὸ βραχέος
ἀναγραφεῖσιν ἐπὶ τῶν διὰ πάχος χυμοῦ ὀδυνωμένων ἕκαστον ἑψῶν σὺν ὄξει. καὶ μέλι προσπλέ-
κων. ποιεῖ δὲ πρὸς τοὺς κεχρονισμένους ἤχους, καστόρειον. καὶ ναρδοστάχυ ἴσα μετὰ ὄξους καὶ ῥοδίνου.

Ἄλλο πρὸς ἤχους χρονίους. Σποδίου. θείου. κρόκου. καστορίου. ἐλλεβόρου λευκοῦ ἴσα, ὄξει λείου.
40 καὶ ποίει τροχίσκους. καὶ χρῶ σὺν οἴνῳ. Ἐπὶ δὲ τῶν ἐκ νόσου ἤχων, ἀψινθίου ἀφεψήματι πυ-
ριάσας. ἢ ὄξος μετὰ ῥοδίνου, ἔγχει. ἢ ῥαφανίου χυλὸν μετὰ ῥοδίνου. ἢ ἀλόην καλλίστην μετ' οἰ-
νομέλιτος. εἰ δ' ἐπιμένοι, ἐλλέβορον μέλαν ἑψήσας ὄξει χρῶ.

Πρὸς δυσηκοΐας καὶ κωφώσεις. π.

Τοὺς δυσηκοοῦντας, καθαρτέον τῇ ἱερᾷ. ἢ τοῖς δι' ἀλόης καὶ κολοκυνθίδος καταποτίοις. ἀπο-
φλεγματιστέον τε, καὶ τὴν κεφαλὴν ξηραντέον ἅπαντι τρόπῳ. καὶ ξυστέον. ἔτι δὲ καὶ τῇ λεπτυνού-
σῃ διαίτῃ χρηστέον. εἰς αὐτὸ δὲ τὸ οὖς ἐμβλητέον, φαρμακά τε διαιρετικὰ καὶ τμητικὰ καὶ λεπτυ-
ντικά. γλίσχρων τε καὶ παχέων χυμῶν. ὧν ἡ ὕλη ἤδη προείρηται, ἐπὶ τῶν διὰ πάχος χυμοῦ ὀ-
δυνωμένων. Πυρίαι πρὸς δυσηκοΐας, Ἀπολλωνίου. Τὰς δὲ ἐξαπίνης γινομένας δυσηκοΐας,
καὶ τὰς ἐκ τῶν κεφαλαλγιῶν, ἀψίνθιον μεθ' ὕδατος, ἑψήσας ἐν χύτρᾳ, διὰ καλάμου πυρία, τὸ μὲν
50 ἕτερον μέρος τοῦ καλάμου ἐναρμόσας τῇ κοιλότητι τοῦ ὠτός. τῷ δὲ ἑτέρῳ, τῷ στόματι τοῦ πώμα-
τος τῆς χύτρας. ὥστε τὸν ἀναφερόμενον ἀτμὸν προσπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ. Δαφνίδας ἢ
φύλλα δάφνης ἑψήσας ἐν ὕδατι, παραπλησίως, χρῶ. ἢ ὀρίγανον. ἢ ὕσσωπον ὁμοίως. ἢ θάλασσαν σὺν
ὄξει ὁμοίως. ἔστι δὲ καὶ τὸ κάλλιστον. οὖρον ταύρου. εἰ δὲ μή, βοὸς ἔχων, ὄξους τὸ τρίτον. καὶ μυρσίνας
κεκομμένας ὁμοίως ἑψήσας χρῶ. πρὸς δὲ τὸ οὖς, κύκλον χρὴ ποιεῖν ἐξ ἐρίου. πρὸς τὸ μὴ καίεσθαι

τῶν κύκλῳ τόπους. Κλυσμοὶ δὲ τούτοις ἁρμόζουσιν, ὄξος δριμὺ λευκόν. καὶ ὕδωρ ἴσον. καὶ νί-
τρον λειότατον θερμάνας, ἔγκλυζε ἡμέρας πλείους. καὶ μετὰ ταῦτα ὕδατι θερμῷ ἀπόπλυνε.
καὶ οὕτως ἐγχυμάτιζε τοῖς ὑπογεγραμμένοις. Ἔγχυτα δὲ πρὸς δυσηκοΐας χρήσιμα, πράσου
χυλός. καὶ ἴρινον μύρον· μίξας λεάνας, χρῶ. Ἐλλεβόρου μέλανος ῥίζαν λείαν μετ' ὄξους. καὶ
μέλιτος λεάνας, ἐντίθει ἄχρι τῆς ἀκοῆς. καὶ ἔα ἐφ' ἡμέρας πέντε. Αἰγὸς πρόσφατον ἐσφα-
γμένην, ἄρας τὴν κύστιν, πλήρωσον οὔρου αἰγός. μάλιστα μὲν τοῦ εὑρισκομένου ἐν τῇ κύστει αὐτῆς.
εἰ δὲ μή, ἑτέρου τετηρημένου. καὶ κρέμασον εἰς καπνόν. ἐπὶ ἡμέρας ἐννέα. καὶ χρῶ. Ἥλους χα-
λκείων παλαιῶν τὸν ἀριθμὸν ρ̄, βρέχε ἐν οἴνῳ ἀμιναίῳ ἐπὶ ἡμέρας ζ̄. καὶ ἑψήσας μέχρι
βρασμάτων ἑπτά. διηθήσας, φύλαττε. καὶ ἐπὶ τῆς χρείας θερμάνας ὅσον ἐξαρκεῖ, ἔγχει. τούτῳ
10 κἀγὼ χρησάμενος, κωφὸν ἐθεράπευσα. Ἄλλο πρὸς δυσηκοΐας.
Ἀσφοδέλου ῥίζαν ἐν ἐλαίῳ ἑψήσας, χρῶ· ὠφελεῖ δὲ καὶ τὰς χρονίους δυσκωφίας. κάλλιστον δὲ καὶ
σικύου ἀγρίου τῶν ῥιζῶν ἢ τῶν φύλλων ὁ χυλός, σὺν ὄξει ἐγχεόμενος. ἢ οὖρον αἰγός. καὶ χολὴν αὐ-
τῆς ἅμα θερμάνας, ἐγχυμάτιζε. ἢ καστόρειον μετὰ δαφνίδων. καὶ ὄξους. ἢ ἐλλέβορον μέλανα σὺν ὄ-
ξει λεάνας. καὶ μέλιτι ἐπιπολὺ ἑψημένῳ ἀναλαβών, ποίει κολλύρια βαλανοειδῆ μικρά. καὶ ἐν-
τίθει τῷ πόρῳ. καὶ ἔα ἡμέρας τρεῖς. Ἄλλο. Καρδάμου σπέρματος ὅσον ἐξαρκεῖ. καὶ
νίτρου βραχύ. σύκου λιπαροῦ σαρκίου. χωρὶς τῶν κεγχραμίδων. ἀναλαβὼν ποίει βαλάνια ἁρμό-
δια τῷ πόρῳ τῆς ἀκοῆς. καὶ ἐντίθει. καὶ ἔα ἡμέρας τρεῖς. ταῦτα ἄγει ῥύπον ἱκανόν. καὶ παραχρῆμα
κουφίζει. ἐνίοτε δὲ ἀντὶ τοῦ καρδάμου, σίνηπι βάλλομεν. χρῶ αὐτῷ καὶ πρὸς τὸν ἐν ὠσὶ ῥύπον.
βοηθεῖ δὲ ἱκανῶς τοῖς δυσηκοοῦσι. καὶ σποδίασις λεπτὰ κατατεμνομένη. καὶ συνεστραμμένη. καὶ
20 μέλιτι καταβρεχομένη. καὶ ἐντιθεμένη τῷ πόρῳ. τὸ αὐτὸ δὲ χρήσιμόν ἐστι καὶ πρὸς τὴν φυομένην
ἐν τῷ ἀκουστικῷ πόρῳ σάρκα περιττήν. Ἄλλο. Γαύρου ἰχθύος χολὴ ἐγχυματιζομένη, ὠφε-
λεῖ. καὶ πέρδικος. καὶ αἰγός. Ἄλλο. Χολὴ ταύρου, μετὰ γήρως ὄφεως λειοτάτου. καὶ ὄξους
ἀναλαμβανομένη τῷ πόρῳ, λύει τὰς δυσηκοΐας. ἔνιοι δὲ μετὰ ῥοδίνου. χρὴ δὲ ἀποπυριᾶν ὕδατι.
Ἄλλο. Ἐλελισφάκου χυλὸν μετ' ἐλαίου ὀμφακίνου ἔνσταζε εἰς τὸ οὖς. χρῶ, καλὸν λίαν. Ἄλλο.
Ἐχίνου χερσαίου χολὴν μετ' ἐλαίου ἔγχει. Ἄλλο. Ἐλλεβόρου λευκοῦ, ∠. δ̄. καστορείου. ∠.
ᾱ. ἀφρονίτρου, ∠. ᾱ. χρῶ μετ' ὄξους ὡς καλλίστῳ. χρῶ δὲ καὶ τῷ διὰ τῶν πικρῶν ἀμυγδάλων
τροχίσκῳ μετ' ὀξυμέλιτος. ἀναγέγραπται δὲ πρὸς ὦτα πυορροοῦντα.

Πρὸς φλεγμονὰς ὤτων. πᾱ.

Τὰς μετρίας καὶ μὴ σφυγματώδεις φλεγμονάς, ἰᾶται ὀξυρόδινον χλιανθέν. καὶ γλαύκιον ἐπ'
30 ἀκόνης ἰατρικῆς ἀποτριβόμενον, μετὰ γλυκέος οἴνου. καὶ βραχέος ὄξους. εἰ δὲ σφοδρότερον εἴη ἡ
φλεγμονή, παρηγορεῖ μὲν τὰς ὀδύνας, τὸ λεπτὸν καὶ λευκὸν τοῦ ᾠοῦ, μετὰ γάλακτος τοῦ γυναι-
κείου ἐγχεόμενον χλιαρόν. κάλλιστον δὲ πρὸς αὐτὰς φάρμακον τὸ νάρκινον μύρον, μετὰ βραχυτά-
του φαρμάκου τοῦ βασιλικοῦ. ἢ μετὰ στέατος χηνείου. ἢ φασιανοῦ. μεγάλης δὲ οὔσης τῆς ὀδύνης, ἀ-
ναγκαῖον χρῆσθαι τοῖς ναρκοῦσι τὴν αἴσθησιν. τῷ γυναικείῳ γάλακτι. καὶ τῷ λευκῷ τοῦ ᾠοῦ μι-
γνύντας πάνυ βραχύτατον ὄπιον. μιγνύειν δὲ καὶ καστορείου. πρὸς μὲν τὰς σφοδροτέρας ὀδύ-
νας, ἴσον. πρὸς δὲ τὰς κουφοτέρας, διπλάσιον τὸ καστόρειον. ἡμεῖς δὲ λειοῦντες τὸ ὄπιον, καὶ τὸ
καστόρειον, εὖ μάλα μετὰ ἑψήματος καὶ χλιαίνοντες, ἐγχέομεν. χρὴ δὲ μηδόλως ψαύειν τοῦ ἀκουστι-
κοῦ πόρου κατὰ τὸν καιρὸν τῆς ὀδύνης. πυριᾶν δὲ διὰ μηλωτίδος ἀμφιεσμένης ἐρίῳ μαλακωτά-
40 τῳ. βάπτοντες τὸ περὶ τὴν μηλωτίδα ἔριον, κεχλιασμένῳ τῷ βασιλικῷ φαρμάκῳ μετὰ τῆς ναρ-
δου. ἢ ἑτέρῳ τῶν ἐγχεομένων. καὶ ἐντιθέντες κατὰ τὴν ἀρχὴν τοῦ ἀκουστικοῦ πόρου. καὶ συγχω-
ροῦνται ἀπορρεῖν εἰς τὸ βάθος τὸ φάρμακον. καὶ συνεχῶς τοῦτο ποιεῖν. πεπληρωμένου δὲ τοῦ πό-
ρου, ἐπίφραττε ἄνωθεν ἐρίῳ. εἰ δὲ θέρος εἴη, καὶ θερμασίας πολλῆς αἴσθησις τῷ κάμνοντι κατὰ τὸ
φλεγμαῖνον εἰς γένηται, διὰ ῥοδίνου καλοῦ γινέσθω ἡ πυρία. παραμυθεῖται τὰς ζεούσας φλε-
γμονάς, ἐνσταζόμενα χλιαρὰ μετὰ ῥοδίνου, ἀλσίνης χυλός. καὶ πολυγόνου. καὶ ἀνδράχνης. καὶ ξυ-
σμάτων κολοκύνθης ἀρράχνας τὰ ζῶα ἑψόμενα μετὰ τοῦ ῥοδίνου. καὶ οἱ ὑπὸ τὰς ὑδρείας ὄ-
νοι ὁμοίως. καὶ γῆς ἔντερα ὁμοίως. καὶ σίλφας κατοικιδίου τὸ ἐντὸς μετὰ ῥοδίνου ἀμυγδάλινον ἔ-
λαιον. ὑοσκυάμινον ἔλαιον. Ὠτικὸν διὰ χυλῶν.
Πρὸς τὰς δυσμεταβλήτους φλεγμονάς, ἐκπυΐσκει γὰρ αὐτὰς ταχέως, κολοκύνθης ξυσμάτων χυ-
50 λός. καλάμου χυλός. ὑοσκυάμου χυλός. περδικίου χυλός. κράμβης χυλός, ἀνὰ κύαθον ᾱ. νίτρου ὀπτοῦ
ζιγγιβέρεως. κρόκου ἀνὰ ∠. δ̄. νάρδου μύρου, Γο. ᾱ. στυπτηρίας ὑγρᾶς Γο. ᾱ. ὄξους σκιλλιτι-
κοῦ Γο. ε̄. μέλιτος καλλίστου, λι. ᾱ. ἀναλαβών, ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ. καὶ ἐπὶ τῆς χρείας ἀνέσας,
μετὰ νάρδου. ἢ ῥοδίνου, χρῶ. Ἄλλο. Πρὸς τὰς χρονιζούσας καὶ δυσμεταβλήτους φλεγμονάς.
χαλβάνης ∠. ζ̄. στέατος ταυρείου, ∠. δ̄. κηροῦ κολοφωνίας. σάπωνος, ἀνὰ ∠. γ̄. πίσσης, ∠. ᾱ.

προστήξας κολοφωνίαν πίσσαν. στέαρ, ἐπίβαλλε τὴν χαλβάνην μετὰ τοῦ κηροῦ προμεμαλαγμένην. ἔπειτα τὸ νίτρον σάπωνα. καὶ διηθήσας χρῶ ἡνίκα τῆς χρείας ὕδατι ἐπ᾽ ἀκόνης ἢ σὺν ἐλαίῳ τινὶ ἀνέσας. Πρὸς τὰς κατ᾽ ἄκρον παραδυνίας. Ἀλόην καλλίστην οἰνομέλιτι ἀνέσας, ἔνσταζε. θρία ὑπὸ σποδιᾷ πυρᾷ ζέσας ὄξει ἐγχυμάτιζε. καὶ αὐτὸ τὸ θρίον ἐντίθει εἰς τὸ οὖς. εἰ δὲ πραότερον αὐτὸ ποιῆσαι βούλοιο, μετὰ ἑψήματος καὶ ὄξους ἀφέψει.

Πρὸς τὰ χωρὶς ἑλκώσεως καθυγραινόμενα ὦτα, ἢ διϊδροῦντα καὶ ὀῤῥῶδες ὑγρὸν ἐκφέροντα. σβ´.

Μίσυ ἐν ὀθονίῳ ἐνδύσας καὶ κρύψας ἄνθραξι. καὶ καύσας λεάνας ἅμα τῷ συγκαυθέντι ὀθονίῳ, ἐμφύσα διὰ καλάμου. ἢ κηκῖδας λεάνας. καὶ ἐνδήσας ὀθονίῳ, καῖε. καὶ χρῶ ὁμοίως. ἢ στυπτηρίαν ὀπτήσας ἐπὶ ὀστράκῳ. καὶ λεάνας, ἔλαιον προσεγχέας, ἐμφύσα. παυσαμένης δὲ τελέως τῆς φλεγμονῆς, ἐγχεῖν ὕδωρ εἰς τὸ οὖς καθάρειον σὺν ἐλαίῳ. λύειν μηχανωμένους τὴν ἐκ τῆς κακώσεως βλάβην. Πρὸς ἕλκη ἐν τῷ πόρῳ τοῦ ὠτός. σγ´.

Ὅσα μὲν πρόσφατα τῶν ἑλκῶν, τότε γλαύκιον ἀποθεραπεύει μόνον ἀποτριβόμενον μετ᾽ ὄξους. καὶ τὰ δι᾽ αὐτοῦ κολλύρια πάντα. καὶ τὰ διάκροκα. καὶ τὰ διαρόδων καλούμενα. θεραπεύει δὲ αὐτὰ καὶ τὸ διὰ μονοκράτους διάσμυρνον. τὰ δὲ πυῤῥοοῦντα χωρὶς ὀδύνης. ὅσα μὲν μετρίως τοῦτο πάσχει, διὰ τῶν αὐτῶν θεραπεύεται. τὰ δὲ ἰσχυρῶς πυῤῥοοῦντα, διὰ τῶν τροχίσκων. ὁποῖός ἐστιν ὁ τοῦ Ἀνδρῶνος. καὶ μάλιστα ὁ τοῦ Μούσα, μετὰ ἑψήματος καὶ ὀλίγου ὄξους ἀνιέμενος. νικωμένων δὲ καὶ τούτων, σκωρίαν σιδήρου δι᾽ ὄξους δριμυτάτου λεάνας ἐν ἡλίῳ τοῖς ὑπὸ κύνα καύμασιν, ἀνάπλασσε τροχίσκους. καὶ χρῶ μετ᾽ ὄξους. εἰ δὲ οὐκ εἰσὶ τὰ κυνοκαύματα, τὴν σκωρίαν τοῦ σιδήρου λειοτάτην ποιήσας καὶ λεάνας σὺν τῷ ὄξει, ἕψε ἐπ᾽ ἀνθράκων καλῶς ἄχρις ἂν ξηρανθῇ. καὶ χρῶ μετ᾽ ὄξους. Κλυσμοί. Ἀπολλώνιος δὲ πρὸς τὰς ἑλκώσεις τῶν ὤτων, τοιαῦτα γράφει. οἰνομέλιτι θερμῷ συνεχέστερον ἔκκλυζε. ἢ μυρσίνην ἕψει σὺν τῷ οἴνῳ καὶ χρῶ. εἰ δὲ δυσῶδες εἴη τὸ φερόμενον, σίδια ῥοιᾶς καὶ φακὸν ἑψήσας τῷ οἴνῳ, κλύζε χλιαρῷ. Ἐγχύματα δὲ μετὰ τοὺς κλυσμοὺς ἁρμόδια. χολὴν βοός. ἢ μάλιστα χοίρου. ἐν σιδίῳ ῥοιᾶς χλιάνας, ἔνσταζε. τὸ αὐτὸ δὲ ποιεῖ καὶ αἰγὸς χολὴ καὶ ἰχθύος παντὸς, ῥοδίνῳ προσμιγνυμένων. Ἄλλο κάλλιστον. Στυπτηρίαν σχιστὴν λεάνας μετὰ ἑψήματος καὶ ὄξους, ἕψει ἡνίκα θερμοσποδιᾷ, ἕως σχῇ μέλιτος πάχος, καὶ χρῶ. ποιεῖ δὲ καὶ πάλιν στυπτηρίαν μετὰ πολυγόνου χυλόν. καὶ ἡ Ἐρασιστράτου πάγχρυσος ὑγρά. ἀναγέγραπται δὲ ἐν τοῖς ὀφθαλμικοῖς. Ἄλλο. Στυπτηρίας σχιστῆς. κρόκου. κηκίδων. ἴσα χρῶ σὺν οἴνῳ αὐστηρῷ. Ὠτικὸν δόκιμον πρός τε ὀδύνας τὰς μεγάλας, καὶ πῦον λευκόν. Ἀμύγδαλα πικρὰ λελεπισμένα, η. ἀφρονίτρου λευκοῦ, ∠ γ´. λιβάνου, ∠ γ´. ὀπίου, ∠ γ´. κρόκου ∠ δ´. χαλβάνης, ∠ β´. ζιγγιβέρεως ∠ α´. ὄξει λειώσας, ἀναλάμβανε. ποίει τροχίσκους καὶ χρῶ. ὀδύνης μὲν οὔσης, σὺν ῥοδίνῳ. πυῤῥοούντων δὲ, οἰνομέλιτι ἢ ὄξει καὶ ἑψήματι. δυσηκοΐας δὲ οὔσης, σὺν ὄξει. Πρὸς τὰς χρονίας ἑλκώσεις. Ἀλόης. λιβάνου. σμύρνης, ἀνὰ ∠ δ´. μίσυος, ∠ β´. δι᾽ ὄξους ἀνάπλασσε καὶ χρῶ. ἀνιεὶς σὺν ὄξει καὶ ῥοδίνῳ.

Πρὸς φθορὰς καὶ δυσωδίας ὤτων. σδ´.

Ἀφεψήματι προσκλυζέσθω τῶν σιδίων καὶ φακοὺς ὡς προείρηται. χρῶ τοῖς προγεγραμμένοις. Στυπτηρίας σχιστῆς, λι. α´. χαλκάνθης, ∠ η´. ζιγγιβέρεως ∠ η´. ἀλόης, ∠ η´. κροκομάγματος, ∠ η´. οἴνου γλυκέος μυρσίτου ξε. γ´. ἕψει στυπτηρίαν μετὰ τοῦ γλυκέος. καὶ ὅταν συστῇ, ἐπίβαλλε τὰ λοιπὰ, ὄξει προλειώσας καὶ ἑνώσας χρῶ, μεθ᾽ ἑψήματος καὶ ὄξους. Πρὸς πυῤῥοοῦντα καὶ δυσώδη. Ἄρκου χολὴν ἔνσταζε. εἰ δὲ ξηρὰ εἴη, ἀνιεὶς μετ᾽ ὄξους καὶ ἑψήματος χρῶ, ἄκρως γὰρ ποιεῖ. Αἰγυπτία πρὸς τὰς εἰρημένας πάσας διαθέσεις. κἂν ὦσι γεγυνημέναι, ἀμυγδάλων πικρῶν, ∠ β´. πεπέρεως λευκοῦ, ∠ β´. κυάμων αἰγυπτίων τὸ ἐντὸς, ∠ β´. κρόκου. σμύρνης. ὀπίου. λιβάνου. καστορίου, ἀνὰ ∠ β´. ὀμφακίου, ∠ δ´. χαλκάνθης, ∠ δ´. ἀφρονίτρου ∠ β´. ὄξει λείου. ἐναφεψημένων αὐτῷ σιδίων. καὶ ἀναλάμβανε τὸ φάρμακον ὡς ἔχειν γλοιοῦ πάχος. ἡνίκα δὲ τῆς χρείας λαβὼν τὸ αὔταρκες ἐκ τοῦ φαρμάκου. καὶ μύρῳ ἀνέσας, ῥοδίνῳ ἐγχυμάτιζε. Πρὸς τὰ ἐν ὠσὶν ὑπερσαρκώματα καὶ ἕλκη, Ἡρακλείδου Ταραντίνου, ἰοῦ ∠ η´. λεπίδος, ∠ δ´. μέλιτος κοτύλας, η´. τουτέστιν Γο. θ´. τὰ ξηρὰ λειότατα τῷ μέλιτι ἀναλαβὼν, ἕψει ὡς ἐρυθρὸν γενέσθαι. καὶ ἀνελόμενος χρῶ. ἐντιθεὶς κατὰ τοῦ ὑπερέχοντος τόπου. ἰοῦ, ∠ δ´. χαλκάνθου ∠ δ´. πράσου χυλοῦ κύαθοι γ´. μέλιτος τὸ ἱκανὸν σκεύαζε καὶ χρῶ ὡς εἴρηται. Ἄλλο Ἀπολλωνίου Μεμφίτου.

Καταστέλλει πάσας ὑπερσαρκώσεις χωρὶς πόνου. στυπτηρίας σχιστῆς, Γο. δ´. μίσυος κεκαυμένου, Γο. δ´. ἰοῦ Γο. β´. λημνίας σφραγῖδος, Γο. β´. κόμμεως, Γο. β´. ὄξει λείου. καὶ ἀναπλάσας τροχίσκους, χρῶ σὺν ὕδατι ἢ οἴνῳ. καταστέλλει καὶ ἐπουλοῖ. ποιεῖ καὶ πρὸς μυκτῆρας ἡλκωμένους.

Πρὸς σκώληκας ἐν ὠσί. πε.

Σκώληκας ἐν ὠσὶ ἢ γεννηθέντας ἢ ἔξωθεν ἐμπεσόντας, ἀποκτείνει τὰ πικρὰ καὶ τὰ δριμέα καθόλου. οἷον καππάρεως φύλλου ἢ χυλός. κεδρέα. οὖρον ἀνθρώπινον παλαιόν. σὺν μέλιτι ἕκαστον. ἢ ἀριστολοχίαν λείαν ἐμφύσα. ἢ καλαμίνθης χυλὸν ἔγχει. ἢ ἐλλέβορον λευκὸν μετ᾽ οἴνου. ἢ κολοκυνθίδος ἀφέψημα. ἢ κενταυρείου. ἢ ἀψινθίου. ἢ πολίου μετ᾽ οἴνου. ἢ σκορδίου. ἢ πρασίου. ἢ ἐλατήριον μετ᾽ ὄξους. ποιεῖ δὲ καὶ μαλάχης ἡμέρου ἢ ἀγρίας ὁ χυλὸς μάλιστα ἐπὶ τῶν φλεγμαινόντων.

Πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας. πϛ.

Πρὸς δὲ τὰς ἐκ τῶν ὤτων αἱμορραγίας ὥστε μὴ θρομβοῦσθαι τὸ αἷμα. πράσου χυλὸν καὶ ὄξους μίξας, ἐγχυμάτιζε καὶ τὸ αἷμα στέλλει. καὶ τοὺς θρόμβους διαλύει. ἢ ῥοὰν ἐν ὄξει ἑψήσας ἐγχυμάτιζε. ἢ κικίδα ἐν ὄξει ἑψήσας καὶ διηθήσας. καὶ βάτου χυλὸν μίξας, ἐγχυμάτιζε. ἢ πολυγόνου χυλὸν ἐν ὄξει βρεχθέντα. ἢ ἀκακίαν. ἢ ἀμόργην. ἢ λύκιον μάλιστα μετ᾽ ὄξους.

Περὶ ψηφίδος. πζ.

Ψηφίδος ἐμπεσούσης τῷ πόρῳ τοῦ ὠτός. ἢ κυάμου. ἢ τινὸς παραπλησίου, ἔκκλυζε. ἢ μηλωτρίδι περιελίξας ἔριον. καὶ ἐμβάψας ῥητίνῃ, ἀνάσπα. ἢ διά τινος τῶν ἐχεκόλλων φαρμάκων, ἢ δρωπάκων. μὴ ὑπακούσαντος δὲ, πταρμικὸν ταῖς ῥισὶν ἐντιθεὶς, ἔμφραττε τὸ στόμα. καὶ τὰς ῥῖνας. κατὰ γὰρ τὴν γινομένην ἔντασιν τοῦ πνεύματος, ἐμφυσᾶται τὸ ἐμπεσόν. ποίει δὲ συνεχῶς μέχρις ἂν ἐκπέσῃ. εἰ δὲ ἐμμένοι ἐπιφλεγμαῖνον τὸ οὖς, σπασμοὺς ἐπιφέρει. κάλλιστα δὲ συνεργεῖ εἰς τὴν τῶν ἐμπεσόντων ἀποβολὴν, καὶ ὁ κατασεισμός. εἰ μὲν παιδίον εἴη τῷ ποδὶ κατεχόμενον. καὶ ἐπὶ κεφαλὴν αἰωρούμενον μετὰ κατασεισμοῦ. εἰ δὲ τέλειος εἴη ὁ πάσχων, κατακλίνας αὐτὸν ἐπὶ σανίδι κατὰ τὸ πάσχον οὖς. κελεύων ἐρείδειν τὴν κεφαλὴν τῇ σανίδι. ἔπειτα κουφίζων τὸ πρὸς τῇ κεφαλῇ μέρος τῆς σανίδος, ὑπόβαλλε. καὶ τοῦτο ποίει πλειστάκις. κινηθήσεται γὰρ τὸ ἐμπεσὸν καὶ προβιβασθήσεται περὶ τὰ προχειρότερα μέρη τοῦ πόρου. μετὰ δὲ ταῦτα κυαθίσκῳ μικρῷ στενῷ μηλωτρίδος, ἀνάσπα εὐφυῶς. εἰ δὲ κύαμος ἐμπεσὼν ἢ τι ἕτερον παραπλήσιον. καὶ ἐμμεῖναν. καὶ διάβροχον γινόμενον ἐξοιδῆσαν ὀδύνας ἐπιφέρει, ὁλόκληρον μὲν ἐξελεῖν αὐτὸ ἀδύνατον. χρὴ δὲ τῷ κυαθίσκῳ τῆς μηλωτρίδος εὐφυῶς αὐτὸ διαμερίζειν. καὶ οὕτω κατὰ βραχὺ ἐκφέρειν. ἔπειτα ἑψήματι ἢ γλυκεῖ οἶνον θερμὸν ἐγχεῖν. καὶ παρηγορεῖν τὸν πόρον, διὰ τὸν γινόμενον σπαραγμόν.

Πρὸς τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη. πη.

Τὰ φλεγμαίνοντα τρίμματα τῶν ὤτων ἐπὶ παιδίων, ἐλαίῳ ἐν χαλκῷ λυχνωθέντι, συνεχῶς κατάχριε. καὶ ὑγιάσεις. πρὸς δὲ τὰ τεθλασμένα τῶν ὤτων, σμύρναν. μάνναν. λίβανον. γῆν μέλαιναν. ἣ σημαίνονται τινὲς, σὺν ὄξει ἑνώσας. καὶ ποιήσας κηρωτῆς πάχος, κατάπλασσε. καὶ μὴ αὐτὰ ἐρέθιζε μηδαμῶς. Ἄλλο. Θεῖον ἄπυρον. σμύρναν. λίβανον. μετὰ πίσσης ὑγρᾶς, σπλήνιον ἐπιτίθει. Φιλαγρίου πρὸς τεθλασμένα ὦτα. Μάνναν. λίβανον. ἢ αὐτὸν τὸν λίβανον. καὶ ἀλόην μετ᾽ οἴνου λειώσας καὶ ῥοδίνου, ἐπιτίθει. πρόσπλεξον δὲ αὐτοῖς, εἰ εὕρῃς, καὶ κοχλίας τοὺς μικροὺς ὅλους λειώσας. φλεγμονῆς δὲ οὔσης, μάνναν οἴνῳ καὶ ἐλαίῳ μίξας, θεράπευε. ὕστερον δὲ τοῖς καταλλήλοις τῷ κλύσματι χρήσῃ. Ἄλλο. Γῆς ἔντερα λεάνας σὺν ὀλίγῃ γῇ ἐξ ἧς ἐλήφθησαν. ἐφ᾽ ὧν δὲ κέκλασται τὰ ὦτα, πληρώσας ἔσωθεν τὴν κοιλότητα τὴν προχειροτέραν τοῦ χόνδρου, τῇ κεραμικῇ πηλοῦ. καὶ ἐάσας ξηρανθῆναι, ἐπίχριε στρύχνου μετὰ ἀψινθίου μέχρι καταστάσεως. εἰ δὲ φλεγμονὴ ἐπιγένοιτο τῇ θλάσει, τῷ μὲν πόρῳ ἔνσταζε, βούτυρον χλιαρόν. ἢ στέαρ χήνειον. ἢ ὀρνίθειον. ἢ ὠκίμου χυλὸν, μετά τινος τῶν ῥηθέντων στεκτῶν. ἔξωθεν δὲ, περίχριε ψιμμυθίου μετὰ στρύχνου. ἢ πολυγόνου. ἢ κωνείου χυλόν. ἢ ῥόας γλυκείας σίδια ἐν οἴνῳ ἑψήσας καὶ λεάνας, κατάχριε. ἢ γλαυκίῳ χρῶ. ἐμπλάστρῳ δὲ τούτῳ χρῶ, σανδύκος λι. α. ἐλαίου λι. α. ὕδατος 𐅻 ϛ. ἕψει ἅμα μέχρι ἀμολύντου καὶ χρῶ.

Περὶ παρωτίδων. πθ.

Αἱ παρωτίδες, ἐν τῷ γένει μέν εἰσι τῶν φλεγμονῶν. γίνονται δὲ τῶν περὶ τὰ ὦτα ἀδένων παθόντων. οὐ μὴν χρώμεθά γε ἐπ᾽ αὐτῶν, ὥσπερ ἐπὶ τῶν ἄλλων μορίων φλεγμαινόντων ἐν ἀρχῇ τοῖς ἀποκρουστικοῖς. τοὐναντίον δὲ τοῖς ἑλκτικοῖς χρώμεθα. σπεύδοντες τὸν λυποῦντα χυμὸν, ἐκ τοῦ βάθους ἐπισπᾶσθαι πρὸς τὸ δέρμα. καὶ συνεργεῖ τῇ φύσει δι᾽ ἀποστημάτων. ἐνίοτε τοὺς πυρετοὺς ἰωμένην. ὅταν μέντοι σφοδρὰν ὁρμὴν ἔχοι τὸ ἐπιρρέον, οὐδὲν ἡμεῖς τηνικαῦτα προσπεριεργαζόμεθα. τῇ φύσει τὸ πᾶν ἐπιτρέποντες. ἐὰν γὰρ ἤτοι συκέαν ἢ τι φάρμακον ἕλκον τοὺς χυμοὺς ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα ἐπιθήσωμεν, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον. ὡς δι᾽ αὐτὴν ἀγρυπνίαν τε ἐπιγίνεσθαι. καὶ τοὺς πυρετοὺς ἐπιτείνεσθαι. καὶ τὴν δύναμιν καταλύεσθαι. παρηγορεῖν οὖν τηνικαῦτα μᾶλλον προσήκει. οὐ συμπράττειν τῇ ῥοπῇ τῶν χυμῶν. καταπλάσμασι χρωμένους παρηγο-

εἰκωτάτοις. ὅσα πρὸς τὰ σύμμετρα τῆς ὑγρᾶς θερμότητος. ἑξῆς τὸ παρηγορεῖν ἔχει τὰς ὀδύνας, ἔτι καὶ πέττειν δύναται τοὺς ἐπιρρέοντας χυμοὺς ἢ διαπνεῖν σκευεῖν. ἐκπυηθέντας δὲ, διαφορεῖν ἐπιχειρήσομεν. σκληρεία δὲ εἰ φαίνοιτο μετ' ὀδύνης, μίξομεν τὰ μαλακτικὰ τοῖς ἑλκτικοῖς. ὀδύνης μὲν οὖν σφοδρᾶς ἐπικρατούσης, καὶ τῶν χυμῶν ἔτι ἐπιρρεόντων, βουτύρῳ χρησόμεθα, ἀλείφοντες τὸν τόπον συνεχῶς. ἢ στέατι ὑείῳ. ἢ τήξαντες βουτύρῳ, καὶ τὸ στέαρ. ἅμα δὲ καὶ κηρὸν βραχὺν ἐμβάλλοντες, ὡς γίνεσθαι κηρωτὴν μαλακωτέραν, ἐπιθήσομεν. τὰς δὲ μετρίας παρωτίδας, ἐφ' ὧν μήτε πλῆθος ἐστὶ τὸ ἐπιρρέον. μήτε ὀδύνη σφοδρὰ παρῇ, μήτ' ἐκπυήσεως προσδοκία, ῥαδίως ἰασόμεθα. πυρίαις δι' ἅλμης καὶ καταπλάσμασι. καὶ φαρμάκοις διαφορητικωτέροις. οἷα ἐστὶν ἥτε μνασαίου. καὶ ἡ διὰ χυλοῦ. καὶ τούτων ἔτι μᾶλλον αἱ μαλακώτεραι καὶ κηρωτοειδεῖς, αἱ διὰ βουτύρου καὶ ὑσσώπου, προσλαμβάνουσαι ὀστρέων κεκαυμένων. ἢ κηρύκων. ἢ πορφύρων οἷα ἐστὶν αὕτη. στέατος χοιρείου παλαιοῦ ἀνάλου Γο. ϛ. βουτύρου. Γο. α. κηροῦ. Γο. β. S. ὀστρέων κεκαυμένων λειοτάτων, Γο. β. τήξας τὰ τηκτὰ, ἐπίπασσε τὰ ὄστρεα. καὶ ἑνώσας, χρῶ θαρρῶν ὡς ἐνεργεστάτῳ. Ἄλλο φάρμακον πάνυ καλόν. Ἀποχύματος, Γο. ιϛ. πίσσης, Γο. η. κηροῦ, Γο. γ. κολοφωνίας, Γο. β. στέατος μοσχείου, Γο. α. S. ἀσφάλτου, Γο. β. τῆκε τὰ λοιπὰ καὶ διήθει. τὴν δὲ ἄσφαλτον λεάνας μετ' ὀλίγου ὄξους, ἐπίχεε αὐτῇ τὰ τηκτά. καὶ ἀναμαλάξας, χρῶ. καὶ μὴν κἀπὶ τῶν ἤδη σκιρρουμένων, καὶ χρονιζουσῶν παρωτίδων, οἱ κεκαυμένοι κήρυκες καὶ τὰ ὄστρεα πάντα, σὺν παλαιῷ στέατι χοιρείῳ τετηκότι μιγέντα ὡς προείρηται, ἀλυπότατα διαφορεῖ. καὶ πάσας τὰς χρονιζούσας καὶ σκληρουμένας φλεγμονάς. διὸ χρηστέον ἐπὶ τῶν σκληροτέρων παρωτίδων, καὶ τῇ διὰ κηρύκων λευκῇ ἐμπλάστρῳ. τῇ ἀριοβαρζανίῳ λεγομένῃ. καὶ τῇ διὰ μίσυος διονυσίας καλουμένῃ. ἀναγραφήσονται δὲ ἐν τῷ περὶ ἐμπλάστρων λόγῳ. ἐγὼ δὲ εἴωθα τὰς παρωτίδας τῶν παίδων καὶ τῶν γυναικῶν, τῷ βουτύρῳ μόνῳ ἰᾶσθαι.

Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν. ϟ.

Ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων, οἱ πολύποδες ἐν ταῖς ῥισὶν γίνονται. κατὰ δὲ τὸ τῶν ἑλκώσεων. ἐκ δὲ τῶν παρὰ φύσιν ἐκκρίσεων, αἱ αἱμορραγίαι. αἱ μὲν οὖν ὀζαιναι ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων, καὶ σηπεδονωδῶν γίνονται, ὡς ἐάν γε μόνον ᾖ δριμέα, δυσίατα ἕλκη ποιεῖν πέφυκεν, οὐ μὴν ὄζοντά γε, μοχθηρόν. ὁ δὲ πολύπους λεγόμενος ἐοικὼς κατὰ τῆς οὐσίας ἰδιότητα τῇ χρόᾳ καὶ τῇ συστάσει, τῇ τοῦ πολύποδος τοῦ θαλαττίου σαρκὶ, ἐκ παχέων καὶ γλίσχρων χυμῶν ἔχει τὴν γένεσιν. ἡ δὲ θεραπεία, κοινὴ μὲν ἀμφοῖν τῶν τε ὀζαινῶν καὶ τῶν πολυπόδων. πρότερον ξηραίνειν καὶ ῥῶσαι τὴν κεφαλήν. εὔδηλον γὰρ ὅτι διὰ περιουσίαν ὑγρῶν μοχθηρῶν, ἐπιρρεῖ ταῖς ῥισὶν ἐξ αὐτῆς. ὅπως δὲ ῥωννύναι χρὴ τὴν κεφαλὴν, ἤδη προείρηται ἐν τῷ περὶ κεφαλαλγίας τόπῳ. σμηγμάτων διαφόρων συνθέσεις ἀναγράψαντες. καὶ ἐπιθεμάτων κατὰ τοῦ βρέγματος καὶ ὅλης τῆς κεφαλῆς προεξυρημένης, ἐπιτιθεμένων. πρὸς δὲ τοῖς ἤδη προγεγραμμένοις, ἄριστα ποιεῖ ἐπ' αὐτῶν, καὶ ἡ δι' ἀνεμώνης κατὰ τῆς κεφαλῆς ἐπιτιθεμένη. καὶ αὕτη δὲ σμύρνης, Γο. α. λιβάνου Γο. α. κοχλίους ὁλοκλήρους, ε. ὠῶν τὰ λευκὰ, β. ὁλμοκοπήσας καὶ μίξας ἅπαντα, κατάχριε τὴν κεφαλήν. ἐπιθεὶς ἄνωθεν ὀθόνην. καὶ ἐῶν ἡμέρας θ. καὶ οὕτως ὕστερον χρώμενος τοῖς τοπικοῖς βοηθήμασιν.

Ὀζαινῶν θεραπεία. ϟα.

Ὅταν τοίνυν διὰ τῶν προειρημένων παρασκευάσῃς ἐρρωμένην τὴν κεφαλὴν, ἐπὶ τὴν τῆς ῥινὸς ἄρξῃ θεραπείαν, σκοπὸν ἔχων ἐν ταῖς ὀζαιναις, ξηραίνειν τὸ πεπονθὸς μόριον διαφαρμάκων μικτὴν ἐχόντων τὴν δύναμιν. ἀποκρουομένων τε καὶ διαφορούντων. ἀποκρούεται μὲν οὖν δηλονότι τά τε αὐστηρὰ καὶ τὰ στρυφνὰ καὶ τὰ στύφοντα προσαγορευόμενα. διαφορεῖ δὲ τὰ θερμὰ καὶ ξηρὰ ταῖς δυνάμεσιν. ἀρχιγένης δὲ πρὸς τὰς ἐν ταῖς ῥισὶν ὀδύνας καὶ ὀζαινας, τοιαῦτα γράφει. καλαμίνθης χυλὸν ἐγχυμάτιζε. ἢ αὐτὴν ξηρὰν λείαν ἐμφύσα διὰ καλάμου. ἢ εὐζώμου χυλὸν ἐγχυμάτιζε συνεχῶς. ἢ μέλι ἐνστάξας εἰς τὴν ῥῖνα. καὶ διαστήσας πταρμῷ, τὰς ἐφελκίδας ἐκτίναξον. εἶτα ἐλλέβορον λευκὸν μετὰ καρδαμου σπέρματος ἀνασπᾶν τῇ ῥινὶ, ποίει ὡς πλεῖστον. καὶ μετὰ ταῦτα διάχριε ἀμόργῃ μετὰ μέλιτος. ἢ βατραχείου χυλὸν, μετὰ στυπτηρίας ὑγρᾶς ἐγχυμάτιζε εἰς τὴν ῥῖνα. καὶ κέλευε ἀνασπᾶν. καὶ τοῦτο ποίει ἕως ἂν ἀποθεραπεύσῃς. ἐὰν δὲ παλαιὸν εἴη τὸ πάθος, καὶ ὄξος δριμύτατον πρόσμιγε. διάχριε δὲ τοὺς πόρους τῆς ῥινὸς τούτῳ. ναρδόσταχυ καὶ μίσυ ἴσα λεάνας μετ' οἴνου αὐστηροῦ. γλοιοῦ πάχος ποιήσας, διάχριε. καὶ ἐρίῳ ἔμφραττε. μάλιστα δὲ ποιεῖ πρὸς ὀζαινας, καὶ χαλκανθος ἀναλαμβανομένη μέλιτι ἑφθῷ. καὶ χαλκίτης ὁμοίως. καὶ ἰός. καὶ λεπὶς χαλκοῦ. καὶ τὸ αἰθηροῦ στοματικόν. καὶ τοῦτο, χαλκίτεως ὠμῆς, ∠. ιβ. καδμείας, ∠. η. λείου μετ' ὄξους ἐν τοῖς ὑπὸ κύνα καύμασιν ἐπὶ πολλὰς ἡμέρας. καὶ ξηράνας χρῶ μετὰ οἴνου ἀνέσας. ἢ αὐτὸ ξηρὸν ἐμφύσα. Ἄλλο πρὸς ὀζαινας. Μίσυος. χαλκίτεως. ζιγγιβέρεως ἀνὰ ∠. δ. χαλκάνθου ∠. δ. στυπτηρίας σχιστῆς. κηκίδος. λεπίδος ἀνὰ ∠. δ. στυπτηρίας στρογγύλης ∠. β. λιβάνου ∠. α. ὄξους λι. α. ἕψε πάντα ἅμα λεῖα ἐν χαλκῷ σκεύει. καὶ ὅταν μελιτώδη σύστασιν λάβῃ, ἀνελόμενος χρῶ. ἐλλύχνιον βάπτων. καὶ ἐντιθεὶς ταῖς ῥισὶν ἐσωτάτω.

Ξηρίον πρὸς ὀζαίνας.

Εἰρίνης καρποῦ. ζιγγιβέρεως. νίτρου σιδίων ἀνὰ ∠ δ´. κρινίνου κόστου, ἀνὰ ∠ β´. λείοις ἐμφύσα. Ἄλλο. Σχιστῆς ζιγγιβέρεως ἀνὰ ∠ δ´. συνδαράχης. ῥοῦ μαγειρικοῦ. ἁλῶν ἀμμωνιακοῦ. κρόκου. κόστου. ἀνὰ ∠ ϛ´. λείοις ἐμφύσα. οἰνομέλιτι προεκκλύζων τὸν μυκτῆρα.

Ἄλλο Θεοδώρου πρὸς δυσωδίαν μυκτήρων.

Ἀμώμου. ζιγγιβέρεως. κασσίας. ῥόδων ξηρῶν λεάνας. καὶ μετὰ ναρδίνου μύρου ἀνέπλασας, χρῶ. Ἄλλο.

Ζιγγιβέρεως. κασσίας. ῥόδων. ἑκάστου τὸ ἴσον κόψας, σήσας. φυράσας μέλιτι, διάχριε πρωῒ καὶ δείλης ἕως ἀπαλλαγῆ. Ἄλλο.

Ἡδύχροον μετ' οἰνομέλιτος, λεάνας, χρῶ. Ἄλλο τὸ ἄρπυον καλούμενον.

Ζιγγιβέρεως ∠ δ´. κασσίας, ∠ δ´. σχοίνου ἄνθος ∠ δ´. ῥόδων ξηρῶν, ∠ α´. λεάνας σὺν οἰνομέλιτι παλαιῷ, ἀπόθου. καὶ χρῶ. διαχρίων τὸν μυκτῆρα.

Κυπέρων, Γο. γ´. συνδαράκης σχιστῆς. σμύρνης. κρόκου ἀνὰ Γο. α´. ἐμφύσα ξηρόν. Ἄλλο.

Ἀπολλωνίου πρὸς πολύποδας.

Ἐλλέβορον. καὶ ὀρίγανον. λεῖα ἐμφύσα ἴσα. Ἄλλο.

Ἐλλέβορον μέλανα. καὶ σανδαράκην, ἴσα. λεάνας μετ' ἐλαίου ἀναλαβὼν ὀθονίῳ, πλήρωσον τὸν μυκτῆρα. Ἄλλο.

Χαλκανθον. καὶ ἰόν. καὶ λάσαρ. ἴσα τρίψας μετ' ἐλαίου ὑπάλειφε διὰ μήλης ὀθόνιον ἐχούσης τὸν μυκτῆρα. ἐπὶ ἡμέρας ε´. εἶτα λαβιδίῳ ἕλκε καὶ ἔξαιρε.

Ἄλλο πρὸς ὀζαίνας ᾧ συχνῶς χρῶμαι.

Τῇ σκευασίᾳ τῇ μούσα τροχίσκῳ πρόσβαλε. χαλκίτεως, ∠ ϛ´. ἐνίοτε δὲ καὶ ∠ ιβ´. καὶ λευκοῦ ἐλλεβόρου, ∠ β´. χρῶ σὺν οἰνομέλιτι. Ἄλλο. Ἀρσενικὸν ῥίψας μήλῃ παράπτου δαψιλῶς. ἐπειδὰν δὲ ἐξοιδήσῃ καὶ ἐπαρθῇ, ἐλλεβόρῳ μέλανι ξηρῷ λείῳ συμμίξας χρῶ. ἐν ἡμέραις ζ´ ταῖς πλείσταις, κενὸς ὁ μυκτὴρ γίνεται. εἶτα ἀποκάθαιρε διφρυγεῖ λείῳ μετὰ μέλιτος. ἢ ἀρσενικὸν καὶ τίτανον. καὶ ἐλλέβορον λευκὸν λεάνας, μέλιτι πρόσαπτε. Ἄλλο δόκιμον.

Ζιγγιβέρεως ∠ γ´. χαλκίτεως, ∠ δ´. κασσίας, ∠ γ´. ναρδοστάχυος, ∠ ϛ´. μίσυος ∠ ϛ´. ἐλλεβόρου λευκοῦ, ∠ α´. χρῶ ξηρῷ μετ' οἰνομέλιτος. Ἄλλο καλόν.

Μίσυος ὀπτοῦ, ∠ η´. ἴρεως ∠ δ´. κρόκου, ∠ α´. μέλιτι ἀναλαβὼν, διάχριε. Ἄλλο.

Σχιστῆς, Γο. α´. ζιγγιβέρεως, Γο. α´. λιβάνου, Γο. τ´ S. μουσκιλίδος βοτάνης τῆς δρακοντίδος καλουμένης, ∠ δ´. ἰοῦ ∠ ϛ´. ἁλῶν ἀμμωνιακῶν ⊢ δ´. τερεβινθίνης, Γο. α´. μέλιτος, Γο. δ´, ὄξους τὸ ἀρκοῦν.

Ἄλλο ποιεῖ καὶ πρὸς πολύποδας.

Χαλκοῦ κεκαυμένου. λεπίδος σιδήρου στομώματος. στυπτηρίας σχιστῆς Γο. α´. ζιγγιβέρεως Γο. α´. λιβάνου τ´ S. Γο. ἀριστολοχίας. πολυτρίχου ὀρθοῦ. λεπίδος χαλκοῦ. ἰοῦ. ἴσα χρῶ. ποτὲ μὲν ἀνεὼν οἴνῳ. καὶ διὲ λλυχνίου ἐντιθείς. ποτὲ τῇ διὰ μόρων. ποτὲ δὲ μέλιτι. ποτὲ δὲ ξηρὸν ἐμφυσῶν. ὕδατος πληρῶν τὸ στόμα. Ἄλλο πρὸς ὀζαίνας.

Μὴ καταφρονήσῃς τῆς εὐτελείας. κενταυρείου λεπτοῦ κεκαυμένου. πολίου κεκαυμένου. χαμαιμήλου κεκαυμένου, ἀνὰ ∠ η´. ἰοῦ λεπίδος χαλκοῦ κεκαυμένου. κυκλαμίνου ῥίζης ξηρᾶς. ζιγγιβέρεως. ἀλόης. σιδίων ἀνὰ ∠ δ´. λείοις χρῶ ὡς βούλει.

Ἄλλο πρὸς ὀζαίνας καὶ ἀναβρώσεις. καὶ νομὰς. καὶ παχύσματα καὶ ὅσα περὶ μυκτῆρας.

Ἀμπέλου λευκῆς φύλλων χυλὸν, Γο. γ´. μάννης. χαλκάνθης. λιβάνου. χαλκίτεως. ἀριστολοχίας, ἀνὰ ∠ γ´. λείου καὶ ξηράνας, χρῶ ἐμφυσῶν.

Τροχίσκος πρὸς ὄζαιναν κύρου ἀρχιητροῦ ἐδέσσης.

Καδμείας ξίτου κεκαυμένης. καὶ οἴνῳ σβεσθείσης. μολιβδαίνης. μολίβδου κεκαυμένου. λιθαργύρου. ναρδοστάχυος. λιβάνου. κυπαρίσσου φύλλων. βράθυος. κηκίδος. λυκίου ἰνδικοῦ. κόμεως, ἀνὰ ∠ δ´. ψιμμυθίου. γλαυκίου. φύλλου. βαλαυστίων. σχοίνου ἄνθος. σιδίων. ἀλόης. ἀκακίας, ἀνὰ ⊢ η´. ῥόδων φύλλων. ῥόδων ἄνθους, ἀνὰ ⊢ ϛ´. κόψας. σήσας. λειώσας ὄξει, ἀναλάμβανε τροχίσκους. καὶ χρῶ μετ' οἴνου. ἢ ἑψήματος.

Πολυπόδων θεραπεία. ϙβ´.

Ἤδη προείρηται, ὡς ἐκ παχέων καὶ γλίσχρων ὑγρῶν, τὴν γένεσιν ὁ πολύπους ἔχει. καὶ διὰ τοῦτο μικτῆς ὕλης δεόμενος. στυφούσης καὶ τεμνούσης. καὶ διαφορούσης. καὶ ξηραινούσης. ὧν ἡ ὕλη τοιαύτη.

Ξηρίον πρὸς πολύποδας καὶ ὀζαίνας.

Στυπτηρίας σχιστῆς, ζιγγιβέρεως. σανδαράχης, ἀνὰ ∠ δ´. χαλκάνθου κεκαυμένου, ∠ α´. κηκίδων, ∠ α´. λείοις χρῶ. πρότερον κλύζων τὸν μυκτῆρα, οἴνῳ εὐώδει. καὶ τότε διάχριε πυρῆνι μήλης. χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις πρὸς ὀζαίνας. Ἄλλο πρὸς πολύποδας.

Σώρεως ∠ ϛ´. χαλκίτεως ὀπτῆς, ∠ ϛ´. μυρίκης καρπὸν, ∠ α´. κρόκου ∠ α´. ζιγγιβέρεως. ∠ α´. λείοις χρῶ ἐμφυσῶν ὡς προείρηται. Ἄλλο. Χαλκίτεως ὀπτῆς, ∠ β´. μίσυος, ∠ β´. χαλκάνθης ὀπτῆς.

ὀπτῆς, ∠. β. ἀμώμου ∠. β. ζιγγιβέρεως, ∠. δ. κρόκου ∠. α. λείοις χρῶ ξηρῷ. Ἄλλο πάνυ θαυμαστόν. Σώρεως, γο. γ. στυπτηρίας σχιστῆς, γο. γ. κηκίδων, γο. ϛ. ζιγγιβέρεως, γο. ϛ. ξηρῷ χρῶ.
Ἄλλο. Πρὸς πολύποδας καὶ ὀζαίνας. αἰγίλωπας. καὶ ὅσα βούλει χωρὶς τομῆς καὶ καύσεως ἀπαλλάττειν. ἀφίστησι δὲ καὶ ὀστᾶ διεφθορότα. χαλκοῦ ἐρυθροῦ ῥινίσματα γο. α. ἁλὸς ἀμμωνιακοῦ, γο. β. στυπτηρίας. στρογγύλης, γο. γ. ὄξους δριμυτάτου κοτύλας, ϛ. τὰ ξηρὰ λειώσας. καὶ ἐπιβαλὼν ὄξος, ἀναλάμβανε εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ. καὶ τίθει ἐν ἡλιακοῖς καὶ κερκίδι χαλκῇ ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ξηρανθῇ. εἶτα λεάνας, ἀπόθου εἰς ἄγγος κεραμεοῦν. ἐπὶ δὲ τῆς χρήσεως, ἐπιδίδου ὕδωρ ἐν τῷ στόματι κρατῶν. καὶ ἐμφύσα ταῖς ῥισὶ διὰ καλάμου. Πρὸς πολύποδας καὶ ὀζαίνας. Σίνηπι λεάνας, φύρασον ὕδατι. καὶ ποιήσας βαλανοειδῆ. ἔπειτα λαβὼν ῥάκος ἰσχνόν,
10 περίπλασον τὸ ῥάκος κατὰ κύκλον τῷ νάπυϊ. πρὸς τὸ ἀποσπάσαι αὐτὸ ὅτε βούλει. καὶ ἐντίθει τῷ μυκτῆρι. καταλιπὼν ἔξωθεν τὴν ἀρχὴν τοῦ ῥάκους. καὶ ἔα ὅλην τὴν ἡμέραν. καὶ ἐμπεσεῖται ὁ πολύπους. Ἄλλο πρὸς πολύποδας καὶ ὀζαίνας. καὶ ὑπερσαρκώματα. Σχιστῆς ⊬. θ. στυπτηρίας στρογγύλης ⊬. ϛ. χαλκάνθου ⊬. ϛ. χαλκίτεως ⊬. ιη. ζιγγιβέρεως, ⊬. ιη. λεπίδος χαλκοῦ γο. θ. λιβάνου ⊬. γ. κηκίδος, ⊬. ιβ. κόψας. σήσας. λείου μετ' ὄξους ὡς κολλύριον. καὶ ἀνάπλαττε τροχίσκους. ἐπὶ δὲ τῆς χρείας λεάνας ὅσον ἐξαρκεῖ σὺν μέλιτι. καὶ ἐλλύχνιον ποιήσας. καὶ βάπτων τῷ φαρμάκῳ, ἐντίθει τοῖς μυκτῆρσι. καὶ ἔα ἡμέραν μίαν. τῇ δ' ἑξῆς, ἕλκε. καὶ ἀκολουθεῖ ὁ πόλυψ, ὡς ἐπίπαν. Ὀρειβασίου πρὸς πολύποδας καὶ σαρκώματα. Λεπίδος ∠. η. σανδαράχης ∠. δ. χαλκοῦ ∠. ϛ. ἐλλεβόρου μέλανος ∠. β. ἐμφύσα ξηρόν. χρῶ ὡς κάλλιστα. ἐν γὰρ ἡμέραις δέκα, ὠφέλειαν ἔκδηλον ποιεῖ. Νέχεψ ὁ βασιλεὺς πρὸς σαρκώματα ἐν μυκτῆρσι. λεπίδα σιδήρου. καὶ λε-
20 πίδα χαλκοῦ. καὶ στυπτηρίαν σχιστὴν ἴσα λεάνας, ἐμφύσα. ἢ τῇ μήλῃ παράπτου. καὶ ἐλλυχνίῳ χρῶ. Ἀσκληπιάδου πρὸς πολύποδας. Χαλκάνθης ∠. α. κεκαυμένου διαφρυγοῦς ∠. β. ἀσβέστου ∠. β. σανδαράχης ∠. ϛ. ξηροῖς παράπτου. ἢ στρεπτὸν προβρέχων ὕδατι. καὶ μολύνων τῷ φαρμάκῳ ἐντίθει. Ἄλλο ᾧ Ἀντίπατρος ἐχρήσατο. † χαλκάνθου σανδαράχης, ἴσα. λεάνας ἐμφύσα. καὶ διὰ μήλης παράπτου. β χαλκάνθου κεκαυμένου, ∠. δ. μίλτου σινωπικῆς ∠. α. λείοις ἐμφύσα. Φυσικὸν πρὸς πολύποδας Ἀπολλωνίου. Νυκτικόρακα σφάξας, περίχεε θερμῷ τῷ αἵματι τὸν πολύπουν. τὸ δὲ λοιπὸν ξήραινε ἐν ἡλίῳ. καὶ ἀπόθου. καὶ ἐπίπασσε ξηρὸν λεῖον. Ἄλλο τοῦ αὐτοῦ πρὸς τοὺς ἡλκωμένους πολύποδας καὶ ὀζαίνας. Δρακοντίου ῥίζα ξηρὰ λεία ἐπιπασσομένη. ἢ χυλὸς αὐτῆς διαχειόμενος. ἢ κυπαρίσσου φύλλα. ἢ σφαιρίαν ἀναληφθέντα σύκου σαρκὶ καὶ ἐνδυθέντα. ποιεῖ καὶ ἐλελίσφακος καταπλασσομένη. καὶ λάβε μετὰ χαλκάνθου ἴσου.
30 ἢ ἰῶν. ὁ δὲ Γαληνὸς ἐπὶ τῶν ἐν ταῖς ῥισὶ πολυπόδων τε καὶ ὀζαινῶν εὗρον εὐδοκιμοῦντα τὰ ὑπογεγραμμένα. πρῶτον μὲν, τὸ διὰ τῶν ῥοιῶν. ἔστωσαν δὲ ἴσαι τὸν ἀριθμὸν καὶ τὸ μέγεθος τῶν τριῶν διαφορῶν λαμβανόμεναι. αὐστηρῶν. καὶ γλυκέων. καὶ ὀξέων. κόπτων δὲ αὐτὰς, προσφάτους πεπείρους χρή. καὶ συνθλᾶν ὅλας ἀκριβῶς. ὥστε ἐνθλιβῆναι δύνασθαι τὸν ἐξ αὐτῶν χυλόν. εἶτα ἐπ' ὀλίγον αὐτὸν ἑψήσαντες, ἀποθώμεθα ἐν κασσιτηρίνῳ ἀγγείῳ. τὸ δὲ ὑπολιμπανόμενον στερεὸν καὶ παχὺ κόπτε ἀκριβῶς ἐν ὅλμῳ. καὶ λείου εὖ μάλα ἐν θυΐᾳ. καὶ ἀνάπλαττε κολλύρια. εὐμήκη διάφορα, τῷ πάχει καὶ τῷ μήκει. καὶ ξήραινε. καὶ ἐπὶ τῆς χρείας ἐντίθει ἁρμόδια ἐξ αὐτῶν κολλύριον εἰς τὸν πόρον τῆς ῥινὸς ἐν ᾧ ὁ πολύπους ἐστίν. ἄνευ γὰρ δήξεως καὶ συμπαθείας καθαιρεῖ τὸν πολύποδα πλείονι χρόνῳ. ἐὰν δὲ ὑγρότερος καὶ μαλακώτερος ὁ πολύπους σοι φαίνηται, πλέον ἐκβάλλοις τῶν αὐστηρῶν ῥοιῶν. εἰ δὲ σκληρότερος τῶν ὀξείων. ἐπεὶ δὲ δύσφορόν ἐστιν ἀνέχεσθαι διαπαντὸς τοῦ κολλυ-
40 ρίου, προσίθει διαναπαύειν. χρώμενος ἐν οἷς οὐκ ἐντίθης τὸ κολλύριον τῷ ἐκτεθλιμμένῳ χυλῷ. καὶ μέντοι καὶ χρίοντα τὰ ἔνδον τοῦ στόματος πεπονθότα. διαχρίειν ἐξ αὐτοῦ κατ' ἐκεῖνα τὰ μόρια. καθὰ συντέτρηνται πρὸς τὸν οὐρανίσκον ἡ ῥίς. ἢ πτεροῖς ἢ ἐρίῳ περιβεβλημένῳ μηλωτρίδι. τῶν δὲ ξηρῶν φαρμάκων, ἀδήκτως οἶδα ποτὲ τὸ διαφρυγὲν δαπανηθέντα τὸν πολύπουν. εὐδοκιμεῖ δὲ ἐπ' αὐτοῦ, καὶ τὸ προειρημένον διὰ τῶν ῥοιῶν κολλύριον ξηρὸν. λειότατον γινόμενον. καὶ ἐμφυσώμενον. ἢ διὰ πυρήνος μήλης ἐντιθέμενον ταῖς ῥισίν. ἅπαντα δὲ ταῦτα, συνεχῶς δεῖ ποιεῖν, ὡς μηδέποτε λείπειν τὸ φάρμακον τῷ πεπονθότι μορίῳ. ῥᾳδίως γὰρ ὑπὸ τῆς ἐπιρρεούσης ὑγρότητος ἐκκλύζεται. Φιλαργύρου. Ἐπὶ δὲ εὐνούχων, ἢ μαλακὸν σῶμα ἐχόντων. καὶ διατοῦτο μὴ φερόντων μηδεμίαν δῆξιν, ῥόδα ξηρὰ ποιήσας λειότατα, πρόσαγε. θαυμαστῶς γὰρ ὠφελεῖ τὰ μαλακὰ καὶ ὑγρὰ σώματα. τὰ γὰρ πλεῖστα τῶν δραστικῶν καθαίροντα τοὺς πολύποδας, παροξυντικά πως ἐστὶν ὅταν μὴ
50 τύχῃ τοῦ σκοποῦ. ἐπὶ δὲ πλουσίου τινὸς ἀξιοῦντος εὐῶδες εἶναι τὸ προσφερόμενον φάρμακον, ἐπὶ τὴν τῆς ὀζαίνης θεραπείαν, τῷ ἡδυχρόῳ τροχίσκῳ ἐχρησάμην. διεὶς αὐτὸ οἴνῳ παλαιῷ εὐώδει. καὶ θαυμαστῶς ὅπως ἐν τάχει τὸ πάθος ἐθεραπεύθη. λέλεκται δὲ ἡ τούτου σκευασία, κατὰ τὴν τῆς θηριακῆς γραφήν. Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη. Ἕλκη τὰ ἐν τοῖς πόροις τῆς ῥινὸς, τὰ ἀπολούστρα ἀεὶ ἐθεράπευσα διὰ τῶν τροχίσκων. τοῦ τε ἀνθρωνίου. καὶ τοῦ πασίωνος. καὶ τοῦ πολυει-

δους. καὶ τοῦ μούσι. καὶ τοῦ βυθηνοῦ. ποτὲ μὲν οἴνῳ γλυκεῖ λύων αὐτό. ποτὲ δὲ αὐστηρῷ. ποτὲ δὲ δι᾽ ὄξους οἰνώδους. ἢ δριμέος, ἀπὸ τῶν κατὰ τὰ πάθη συμπτωμάτων, τῆς χρήσεως τῶν φαρμάκων εὖ εἰσκομένης. ἀρχιγένης δὲ λιπαρῶς ἐχρήσατο ὧδε αὐτῶν τοιαύταις. μολίβδου σκωρίαν λεάνας, σὺν οἴνῳ παλαιῷ καὶ μυρσίνῳ ἑκάστου τὸ ἴσον, ἕψε ἐν ὀστρακίνῳ ἀγγείῳ ἐπ᾽ ἀνθράκων συνεχῶς κινῶν. καὶ ὅταν γλισχρῶδες γένηται τὸ φάρμακον, ἀνελόμενος εἰς πυξίδα μολιβδίνην φύλαττε.

Ὀρειβασίου πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη. ϟγ.

Λ ιθαργύρου ∠ . ϛ. ψιμμυθίου ∠ . ϛ. μολίβδου κεκαυμένου καὶ πεπλυμένου, ∠ . δ. σμύρνης. ἀλόης ἀνὰ ∠ . β. κικίδιος ∠ . α. οἴνῳ καὶ μυρσίνῳ ἀνέσας χρῶ. ἔστι καὶ ἐξορικόν. Ἄλλο Ὀρειβασίου πρὸς ἕλκη μυκτήρων. Ἄλλο. χαλκάνθου ∠ . ζ. στυπτηρίας σχιστῆς, ∠ . ϛ. κικίδων ∠ . γ. σιδίων
10 ∠ . γ. ὄξει ἢ οἴνῳ λείου. Ἄλλο τοῦ αὐτοῦ πρὸς τὰ ἐν τοῖς πόροις τῆς ῥινὸς ἁπλούστερα ἕλκη.
Ἄλλο λιθαργύρου, ∠ . ϛ. ψιμμυθίου ∠ . η. σιδίων ∠ . δ. σχιστῆς ∠ . δ. οἴνῳ λεάνας καὶ ἐπιβαλὼν, μύρσινον ἔλαιον, φύλαττε ἐν μολιβδίνῳ ἀγγείῳ. καὶ χρῶ. ἄριστα δὲ ποιεῖ ἐπ᾽ αὐτῶν, τὰ τοῦ ἀστέρος κονκία. καὶ τὰ λιβιανὰ. καὶ μάλιστα τοῦ κλέωνος. καὶ τὰ παραπλήσια, σὺν οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ.

Πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας. ϟδ.

Τ ὰς ἐκ τῶν μυκτήρων αἱμορραγίας, στέλλει φύλλων κνίδης χυλὸς διὰ ἐλλυχνίου ἐντιθέμενος. καὶ αὐτὰ τὰ φύλλα λεῖα κατὰ τοῦ μετώπου καταπλαττόμενα. χαλκῖτις ξηρὰ λεία. ἐλλυχνίῳ ἀναλαμβανομένη καὶ ἐντιθεμένη. δεῖ δὲ τὸ ἐλλύχνιον βάψαντα ψυχρῷ ὕδατι, κωλύειν ἐν τῇ χαλκίτιδι. στέλλει καὶ λυσιμάχου πόας ὁ χυλὸς. καὶ ἀνθήλης. καὶ νάρθηκος τὸ ἐριῶδες, σὺν ὄξει ἐντιθέμενον. λίβανος μετὰ πολυγόνου. ἢ πράσου χυλοῦ. ὀνείας κόπρου προσφάτου χυλὸς, μετὰ πρασίου χυλοῦ. καὶ ὄξους
20 διὰ ἐλλυχνίου ἐντιθέμενος, παραχρῆμα στέλλει. ἢ τὴν κόπρον καύσας, ἐμφύσα τὴν σποδόν. ἢ σπόγγον καινὸν πίσσῃ ὑγρᾷ βρέχων ἐντίθει. ἢ ἱππούρεως χυλὸν. ἢ αὐτὴν λείαν ἐπιτίθει. καὶ κατάπλαττε τὸ μέτωπον. ἢ ἐλελισφάκου φύλλα λεῖα πρόσαγε. ἢ ὠῶν κελύφη καύσας καὶ λεάνας. τούτων μὲν ἔμβαλλε μέρη δύο. κικίδια ὀμφακίνης τοῦ ἐντὸς μέρους ἕν. καὶ ἐλλυχνίῳ ὕδατι βεβρεγμένῳ. ἢ ὄξει ἀναλαβὼν, ἐντίθει. καταπλάσσε δὲ τὸ μέτωπον βολβοῖς λείοις σὺν πράσου χυλῷ. ἢ ὄξει. ἢ γύψον φυράσας ὠοῦ τὸ λευκὸν κατάπλαττε τὸ μέτωπον καὶ τὴν ῥῖνα. μᾶλλον δὲ ποιεῖ τὸ διαφανὲς κεκαυμένον μετ᾽ ὄξους. Ἄλλο. κοχλίων σάρκας σὺν ὄξει λεάνας, χρῶ. ἢ καύσας τοὺς κοχλίους σὺν τοῖς ὀστράκοις καὶ λεάνας, κατάπλασσε τὸ μέτωπον καὶ τὴν ῥῖνα μετὰ ὄξους. ἀπολλώνιος δέ φησι κοχλίων σάρκας μετὰ λιβάνου ῥίψας, ἔμφραττε τοὺς μυκτῆρας. καὶ ἵσταται. τοῖς αὐτοῖς δὲ καὶ τὸ μέτωπον κατάπλαττε. καὶ τοῦ διὰ τῆς ἀνεμώνης ξηροῦ φαρμάκου ἐπιτίθει ἐμπλάσας κατὰ τοῦ μετώπου.
30 ἢ τῆς δικτέας. κρεῖσσον δὲ τούτου ᾧ πλειστάκις χρησάμενος ηὐδοκίμησα. λίθον μυλίτην πυρώσας, σβέννυε ἐν ὄξει δριμυτάτῳ. καὶ πρόσαγε ταῖς ῥισὶ τὴν ἀτμίδα. καὶ ἵσταται. εὔθετον δὲ καὶ ψύχειν σπόγγοις τὸ μέτωπον. καὶ μετέωρα ποιεῖν τὰ περὶ τὴν κεφαλήν. ἀποδεσμεύειν δὲ καρπούς καὶ βουβῶνας καὶ γόνατα. ἀπολλώνιος δέ φησι τοῦ κατὰ τὸν αἱμορραγοῦντα μυκτῆρα κατευθὺ ποδὸς τὸν μέγαν δάκτυλον δῆσον. καὶ παύσεις πολλὴν καὶ ἄσχετον φορὰν αἵματος. καλὸν δὲ καὶ φράττειν κηρῷ τὰ ὦτα. καὶ τῷ στόματι δὲ κατέχειν ὕδωρ ὄμβριον ψυχρόν. καὶ σικύαν τῷ ἰνίῳ πρόσβαλλε μετὰ ἀφαιρέσεως. καὶ περὶ τὰ σπλάγχνα εὐμεγέθη σικύαν πρόσβαλλε. εἰ μὲν τὸ δεξιὸν μέρος εἴη τὸ αἱμορραγοῦν, τῷ ἥπατι. εἰ δὲ τὸ εὐώνυμον, τῷ σπληνί. ἔσθ᾽ ὅτε δὲ καὶ φλεβοτομεῖν ἀναγκαζόμεθα. ἄκρως δὲ ποιεῖ τοῦτο. ῥόδου ξηροῦ καὶ ὤχρας ἴσον ἀνὰ ἑκάστου ἀνὰ ἴσον, μετ᾽ ὄξους ἔνσταζε εἰς τὸ ἀντικείμενον τῷ αἱμορραγοῦντι μυκτῆρι οὖς. λέγω δὴ εἰ μὲν ὁ δεξιὸς μυκτὴρ αἱμορραγοίη, τῷ ἀριστερῷ ὠτὶ ἔνσταζε. εἰ
40 δὲ ὁ ἀριστερὸς, τῷ δεξιῷ ὠτί. πότιζε δὲ, καὶ τοῖς πρὸς αἱμοπτοϊκοὺς ἀναγραφησομένοις.

Αἷμα ἀπὸ μυκτήρων. ϟε.

Ἡ δύοσμον λειώσας. καὶ ἀναλαβὼν μέλιτι, κολλύριον ποιήσας, ἐντίθει εἰς τοὺς μυκτῆρας. ἢ ἐρυθροδάνου ῥίζαν λειοτάτην ποιήσας. καὶ φυράσας σὺν ἐλαίῳ, ὑπόχριε τοὺς μυκτῆρας ἐσωτάτου. ἢ ἀγρώστεως ἄνθος. ἤτοι τὸ ἄκρον τὸ παχύτερον ἐντίθει τῷ μυκτῆρι. καὶ περίστρεφε μέχρις ἂν αἱμορραγήσῃ.

Περὶ ἐμφράξεως μυκτήρων καὶ ὀσφρήσεως βεβλαμμένης, Γαληνοῦ. ϟϛ.

Ὀ φθαλμοῖς τε καὶ γλώττῃ. καὶ τῷ παντὶ σώματι, αἴσθησίν τε καὶ κίνησιν διὰ νεύρων χορηγεῖ ὁ ἐγκέφαλος. τὸ δὲ τῶν ὀσμῶν αἰσθητήριον, ἔνδον ἐγένετο τοῦ κρανίου ἐν ταῖς τοῦ ἐγκεφάλου προσθίοις κοιλίαις, ἀτμῶδές τι πνεῦμα ἐχούσαις. ἀναγκαῖον δέ ἐστιν ἐπίστασθαι πρότερον ὅπως κατεσκεύασται ἡ ῥίς. καὶ τίνα συνεχῆ τοῖς πόροις αὐτῆς ἐστι σώματα. τῆς τοίνυν ῥινὸς ἐχούσης μέσον διάφραγμα.
50 καὶ πόρους δύο ἀξιολόγους. τούτους δὴ τοὺς φαινομένους ἐν καθ᾽ ἑκάτερον μυκτῆρα, χρὴ γινώσκειν ἀνωτέρω τῶν μερῶν τῆς ῥινὸς. ἑκάτερόν τε αὐτῶν, δεξιόν τε καὶ εὐώνυμον. διχῇ σχιζόμενον. ἥκει δὲ τῶν μερῶν τὸ ἕτερον. εἰς τὸ τοῦ στόματος ἔνδον κατὰ τὴν ὑπερῴαν. τὸ δὲ ἕτερον ὄρθιον ὡς ἐξ ἀρχῆς ἐφέρετο, πρὸς αὐτὸν ἀναβαίνειν τὸν ἐγκέφαλον. εἰσὶ δὲ τῷ ἐγκεφάλῳ δύο ἀποφύσεις. προμήκεις καὶ κοῖλαι. τὴν ἀρχὴν μὲν, ἐκ τῶν προσθίων ἔχουσαι κοιλιῶν. καθήκουσαι δὲ κατ᾽ ἐκεῖνο.

τοῦ κρανίου τὸ μέρος, ὅθεν ἡ ῥὶς ἔχει τὴν ἀρχήν. κατὰ τοῦτο δὲ τὸ μέρος καὶ ἡ τῶν ἠθμοειδῶν ὀστῶν ἐστὶ θέσις. δι' ὧν εἰσπνοή τε καὶ ἐκπνοὴ κατὰ τὸν ἐγκέφαλον γίνεται. ἐκκαθαίρεται δὲ τὰ ἐν αὐτῷ περιττώματα. καὶ ἡ παχεῖα δὲ μῆνιγξ καθὸ ψαύει τῶν ἠθμοειδῶν ὀστῶν, ὀπαῖς λεπταῖς τέτρηται. διὰ ταύτης γε τῆς πρώτης, διηθεῖται τὰ παχύτερα τοῦ ἐγκεφάλου περιττώματα. ἅπινα βλέννας καὶ μύξας καλοῦμεν. καὶ ταῦτα καταντιφερόμενα, πρώτην μὲν αὐτὴν τὴν μήνιγγα διεξέρχεται. μετ' ἐκείνην δὲ διὰ τῶν ἠθμοειδῶν ὀστῶν ἠθούμενα. κἄπειθ' οὕτως ἐμπίπτοντα τοῖς πόροις τῆς ῥινός. ἐν δὲ τῇ διὰ τῶν πόρων τούτων πορείᾳ, ἔστιν ὅτε μέρος τι τῶν καταφερομένων, παραρρεῖ εἰς τὸ στόμα, διὰ τῶν εἰρημένων ἐκ τῆς ῥινὸς εἰς τὴν ὑπερῴαν συντρήσεων. καὶ μάλιστα ὅταν ὦσιν αἱ βλένναι χλιαραί τε καὶ παχεῖαι. τὸ δὲ ὑπόλοιπον καταφερόμενον, ἐκκενοῦται διὰ τῶν μυκτήρων. συνεργοῦμεν δὲ ταῖς διὰ τοῦ στόματος ἐκ τῆς ὑπερῴας ἐκκρίσεσιν, ἀναχρέμψει. τῇ δὲ ἐκ τῆς ῥινὸς ἐκκρίσει, βιαιοτέρᾳ ἐκφύσει χρώμενοι, καὶ πταρμοῖς. ἀναπνοῆς μὲν οὖν πρώτης καὶ ὀσφρήσεως γεγόνασιν, αἱ εἰς τὰς ῥῖνας τοῦ ἐγκεφάλου συντρήσεις. χρῆται δὲ αὐταῖς ἡ φύσις, εἰς τὴν τῶν περιττωμάτων ἐγκεφάλου κάθαρσιν. καὶ τοίνυν καὶ ἡ τῆς ὀσφρήσεως βλάβη οὐ κατὰ τῶν τὴν ῥῖνα πόρων ἐστὶν. ἀλλ' ἤτοι τῶν προσθίων κοιλιῶν τοῦ ἐγκεφάλου εἰς δυσκρασίαν ἀγομένων. ἢ τῶν ἐν τοῖς ἠθμοειδέσι πόρων ἐμφραττομένων. κορύζης καὶ καταρρόου ὡς ἤδη τὸ πολὺ προηγησαμένων. ἢ ψυχομένων τούτων τῶν μερῶν. ἢ ὑγραινομένων. καὶ γὰρ καὶ ὁ κατὰ τὰς εἰσπνοὰς ἑλκόμενος ἀὴρ αὐτίκα, τάς τε ῥῖνας αὐτὰς ἐνίοτε ψύχει. τά τε συνεχῆ αὐταῖς πάντα. καὶ μάλιστα ψυχροτέρου γενομένου τοῦ περιέχοντος ἡμᾶς ἀέρος. Ἀρχιγένους.

Πρῶτον μὲν οὖν προσήκει τοὺς τὴν ὀσφρητικὴν δύναμιν βλαβέντας. ἤ τινα τῶν μυξωτήρων ἐμπεφραγμένα ἔχοντας, ἐν ξηροτέροις τόποις τὴν διατριβὴν ποιεῖσθαι. οἷοί εἰσιν οἱ παραθαλάττιοι μάλιστα. γυμνασίοις τε πρὸς δύναμιν καὶ ἀλείμμασι χρῆσθαι καθ' ἑκάστην ἡμέραν. ὄρθιον ἐχόντων τὸν τράχηλον. καὶ δι' ἑτέρων ἀνατριβομένων. κτενίζειν τε τὴν κεφαλήν. καὶ σμήχειν νίτρῳ ἐν βαλανείῳ. καὶ θαλάσσῃ θερμᾷ ἀποπλύνειν καὶ καταντλεῖν τὴν κεφαλήν. καὶ ἐπιχέειν τὴν θάλασσαν θερμήν. ἔπειτα καὶ τῷ ψυχρῷ ὕδατι ὑπεξελθόντας, ἐμβάπτειν πρὸς ὀλίγον. ἄριστον δὲ καὶ τῇ θαλάσσῃ αὐτῇ νήχεσθαι συνεχῶς. χρῆσθαι καὶ ἐρρίνοις. τὰ δ' ἐν τροφῇ διδόμενα πάντα, τῆς λεπτυνούσης ἔστω δυνάμεως. ὅθεν καὶ δριμυφαγίαν ἐκ διαλειμμάτων δοκιμαζέσθω. οἶνος δὲ ἐν ᾧ διάγουσι, συμμέτρως ἔστω θερμὸς πρὸς τὴν ὥραν τοῦ ἔτους. ὕπνος δὲ ἡμερινὸς ἀνοίκειος αὐτοῖς. ὑπνοῦντες δὲ, μετέωρα ἐχέτωσαν τὰ προσκεφάλαια. καὶ ἤδη πλευρὰν κατακλινέσθωσαν. καὶ μὴ κατὰ τὸ πεπονθὸς μέρος οἷον εἰ τύχῃ ἕνα τῶν μυξωτήρων ἐμπεφράχθαι. εἰ μὲν οὖν καθημερινὴ δίαιτα, τοιαύτη ἔστω. σαφοῦς δὲ ἐνστάντος ἀέρος, ὑπάξαι τὴν κοιλίαν πρῶτον πειράσθητι. τῇ διὰ τῆς κολοκυνθίδος ἀρχιγένους ἱερᾷ. ἔπειτα βδέλλας προσάγειν τῷ ὑψηλοτέρῳ μέρει τῆς ῥινός. καὶ συγχωρεῖν αἷμα ἱκανὸν, ἑλκυσθῆναι. μετὰ δὲ τρίτην ἡμέραν, σπληνίῳ ἀπὸ τοῦ μεσοφρύου ἄχρι τοῦ μύλου καταλείφειν τούτου τῆς ῥινὸς τὸ ἐπιπεφραγμένον μέρος. τῶν διαφορεῖν ἐπαγγελλομένων ἐμπλάστρων. οἷα ἐστὶν ἡ σαραπίωνος μηλίνη. καὶ ἡ ἱκεσίου. καὶ ἡ ἀρχιγένους μέλαινα. καὶ ἡ διὰ τιθυμάλλου ὀποῦ σκευαζομένη. καὶ ἡ διὰ σκίλλης. καὶ αἱ παραπλήσιοι. γινέσθω δὲ ἡ χρῆσις τούτων, μὴ ἔλαττον ἡμερῶν ιε. μετὰ δὲ ταύτας, τῇ διὰ τῆς ἀλόης πικρᾷ ὑπαγέσθω συνεχῶς ἡ κοιλία. ὠφέλιμος γὰρ αὐτῆς ἡ συνεχεστέρα χρῆσις γένοιτο. ἔπειτα ἀποφλεγματισμοῖς χρηστέον, διὰ σταφίδος ἀγρίας καὶ μαστίχης. ἱκανῆς δὲ καὶ διὰ τοῦ στόματος γινομένης κενώσεως, τῇ διὰ τοῦ ἀγαρικοῦ ἐμπλάστρῳ ἢ τῷ διὰ κάγχρυος. καὶ τῷ διὰ δαφνίδων μαλάγματι. ἤ τινι τῶν παραπλησίων μαλαγμάτων, περιβλητέον τὴν ῥῖνα. καὶ τὸ μέτωπον ἄχρι φοινίξεως τῆς ἐπιφανείας, εἴωθε γὰρ τὰ τοιαῦτα μυξώδη ὑγρασίαν διὰ τῆς ἐπιφανείας ἐπισπᾶσθαι. μετὰ δὲ ταῦτα, πταρμικῷ χρηστέον. πρῶτον μὲν, ἁπλουστέρῳ, ἔπειτα δὲ καὶ δραστικωτέρῳ. οἷος ἐστὶ λευκὸς ἐλλέβορος λειότατος. τρίτη δὲ ἢ τετάρτη ἀπὸ τοῦ πταρμικοῦ γινομένη ἡμέρα. ξυρήσαντες τὴν κεφαλὴν, σιναπιστέον ἕως τοῦ μετώπου. εἶτα λουστέον. καὶ μεθ' ἱκανὰς πάλιν ἡμέρας εἰδέοι, διὰ ῥινεγχύτου καθαρτέον τὴν κεφαλὴν, ἔστω δὲ δραστικὸν τὸ προσαγόμενον. οἷον ἐστὶ τὸ ἐλατήριον μετὰ γάλακτος. ἢ χυλὸν κυκλαμίνου. ἢ αὐτὴν τὴν κυκλάμινον. ξηρὰν λείαν ἐφύσα. ἢ τὴν τοῦ ἀγρίου σικύου ῥίζαν. καὶ τὸ μελάνθιον δὲ κόψας. σήσας λεπτοτάτως. ἔπειτα σὺν ἐλαίῳ παλαιοτάτῳ λεάνας ἐπιμελῶς. διδοὺς δὲ τῷ πάσχοντι ὕδωρ ἐν στόματι διακατέχειν. ἐγχεῖν διὰ τῶν μυκτήρων κελεύων ἕλκειν τὸ φάρμακον, σφοδρότερον διὰ τῆς ἀναπνοῆς. τούτῳ ἐχρησάμην ἐπί τινος νεανίσκου. ἐκ κορύζης τε καὶ καταρρόου πολυχρονίου, βλαβέντος τὴν ὀσφρητικὴν αἴσθησιν. ἐφεξῆς δὲ τριῶν ἡμερῶν ὁ νεανίσκος τῷ βοηθήματι χρησάμενος, μεγάλως ὤνητο. τῇ δὲ τετάρτῃ ἑλκύσας τὸ φάρμακον σφοδρότερον διὰ τῆς εἰσπνοῆς, δήξεως ἰσχυρᾶς ᾔσθετο ἐν τῷ βάθει τῆς κεφαλῆς. καὶ ταύτης κατὰ βραχὺ μειωμένης, παντάπασιν ἐπαύσατο κατὰ τὴν ὑστεραίαν, ὠφελίμως δὲ τὸ μελάνθιον παραλαμβάνεται. καὶ μετ' ὄξους προσήκει μετὰ τὴν τούτων χρῆσιν. ὡς μεθ' ἡμέρας τρεῖς σιναπίζειν τὸ πρόσωπον τὸ μέτωπον. καὶ τὴν ῥῖνα. καὶ λούειν. καὶ ὀσφραντὰ δὲ προσαγέσθω συνεχῶς. εὐώδη μὲν ταῦτα. νάρκισσος. σισύμβριον. ἕρπυλλον. κρίνων φύλλα. καὶ ἴον. ἢ ἡδύοσμον. πόλιον. πήγανον ἄγριον. μάλιστα

θύμβρα. πάντων δὲ λυσιτελέστατον, καστόρειον ἐν ὄξει δημμένον. καὶ ποτισθὲν μὲν τὸ καστόρειον λεῖον μετ' ὑδρομέλιτος κυάθους τρεῖς, ἀντὶ πολλῶν ἔσται βοηθημάτων. δραστικώτερον δὲ γίγνεται τοῦ σκιλλιτικοῦ ὄξους, ἥμισυ κυάθου προσλαβόν. τὸ δὲ σκίλλινον ὄξος, καὶ καθ' ἑκάστην ἡμέραν προσλαμβανόμενον νῆστις, ὅσον κοχλιάρειον γ᾽, ὠφελιμώτατον αὐτοῖς γίγνεται. μετὰ δὲ τούτους τοὺς σπαραγμοὺς πάντας εἰ ἔτι τινὸς δέῃ ἡ διάθεσις, παραληπτέος καὶ ὁ ἀπὸ ῥαφανίδων ἔμετος. ὀξυμέλιτι βρεχομένων αὐτῶν τετμημένων. ἢ γάρῳ. τῇ δ' ἑξῆς μετὰ τὸν ἀπὸ ῥαφανίδων ἔμετον, ἀψινθίου ἀφέψημα πινέτω. ἢ γλήχωνος. καὶ μετὰ ταῦτα, ἐπιθετέον τῇ ῥινὶ, τὴν διὰ σκίλλης ἔμπλαστρον ἧς καὶ πεπείραμαι. καὶ καταλιπεῖν χρόνον τινὰ, ὡς ἰόνθους ἐπεγείρειν τῷ τόπῳ. καὶ γλινώδη ὑγρασίαν ἐξέλκει. ἀναγέγραπται καὶ αὐτὴ ἐν τῷ περὶ ἐμπλάστρων λόγῳ. ταῦτα πάντα καὶ δὶς καὶ τρὶς καὶ
10 πλεονάκις παραληπτέον, πρὸς τὰς ἀπειθεστέρας διαθέσεις.

Περὶ πταρμικῶν Ἱπποκράτους. ϛζ.

Πταρμὸς γίγνεται, διαθερμαινομένου τοῦ ἐγκεφάλου. ψυχομένου. ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ψόφος δὲ γίγνεται, ὅτι διὰ κενοῦ καὶ στενοῦ ἡ διέξοδος τῷ πνεύματι γίνεται. ἐπισκεψόμεθα δὲ ἐφεξῆς ὅπως οἱ πταρμοὶ τὰ τῆς κεφαλῆς ἰῶνται βάρη. γίγνονται μὲν οἱ πταρμοὶ, ὥσπερ προηγησαμέναις μεγίσταις εἰσπνοαῖς. ἐκφυσήσεως τάχιστα ἑπομένης. ὀνομάζω δὲ ἐκφύσησιν, τὴν ἀθρόαν ἐκπνοήν. ἔχει γὰρ ὁ ἐγκέφαλος, δύο ταύτας δυνάμεις. ὧν τῇ μὲν ἑτέρᾳ χρώμενος, τὰ κατὰ τὰς ἐμπροσθίους κοιλίας ἐκκενοῖ περιττώματα. συντεινόμενος ἐφ' ἑαυτόν. τῇ δὲ ἑτέρᾳ καθ' ἣν διαστέλλει τὰ κατὰ τὰς ῥῖνας πτερύγια καὶ ἕλκει τὸ πνεῦμα. ὅταν τοίνυν ὑπὸ πνεύματος βαρύνηται, ποτὲ μὲν ἐκκρίνει συστελλόμενος. εἰ δὲ ποτὲ ἐμπεφραγμένων τῶν κατὰ τοὺς μυκτῆρας ὁδῶν, κω-
20 λύονται ἐκκρίναι τὸ βαροῦν πνεῦμα ἢ βλένναν, ὥσπερ τὸν πταρμὸν, τηνικαῦτα ὁρμᾷ βιαίᾳ κινήσει. διώσασθαι σπουδὴν τὰ ἐμφράττοντα τοὺς πόρους. ὅθεν ἰῶνται οἱ πταρμοὶ ὡς προείρηται τὰ τῆς κεφαλῆς βάρη. καὶ μὲν δὴ καὶ πάθη τινὰ τῶν κατὰ τὸν ἐγκέφαλον συνισταμένων. οἷα μάλιστά ἐστι τὰ ληθαργικὰ. καὶ καρώδη. καὶ τὰ παραπλήσια. διὰ τῶν πταρμικῶν γὰρ τὰ τοιαῦτα μάλιστα θεραπεύεται φαρμάκων. καὶ πρὸς τὸν ἥλιον ἀποβλέποντες, ἐρεθιζόμεθα πρὸς πταρμόν. ὡς ἂν οἶμαι χεομένων ὑπὸ τῆς θερμασίας τῶν παχυτέρων κατὰ τὸν ἐγκέφαλον πνευμάτων. καταρρήσσουσι δὲ οἱ πταρμοὶ καὶ βλέννας ἐξ ἐγκεφάλων παχείας καὶ γλίσχρας. τῷ σφοδρῷ τῆς τοῦ πνεύματος ἔξω φορᾶς. καὶ ταύτας συνεκβάλλοντες. Πταρμὸν δὲ κινεῖ, ἐλλέβορος λευκὸς. στρουθίον. πεπέρεως. καστόρειον. κυκλάμινον. εὐφόρβιον. νίτρον. ἢ πταρμικὴ πόα. κύμινον. ἕκαστον ἰδίᾳ. καὶ ἅμα λειότατα γινόμενα. καὶ προσαγόμενα. Οὐ χρὴ δὲ ἐμφυσᾶν. ἀλλὰ τὴν πυξίδα ἀνακινήσαντα, προσάγειν τῇ ὀσφρήσει. ἢ
30 πυρῆνι μήλης ἐντιθέναι ἐσωτάτω τῆς ῥινός. Ἁπλᾶ μὲν οὖν ταῦτα. ἔστι δὲ καὶ σύνθετα ἐξ αὐτῶν συγκείμενα. οἷον ἐστὶ τοῦτο. Ἡρακλείδου Ταραντίνου πταρμικόν. κυμίνου αἰθιοπικοῦ. πεπέρεως. στρουθίου. καστορίου. ἑκάστου τὸ ἴσον, κόψας, σήσας. ἀπόθου εἰς πυξίδα χαλκῆν. ἐν δὲ τῇ χρήσει σαλεύων τὴν πυξίδα καὶ ἀναπωμάσας, πρόσφερε τῇ ῥινί. ἢ διὰ μήλης ἐντίθει ἐσωτάτω τῆς ῥινός. Ἄλλο. Πεπέρεως. ἐλλεβόρου λευκοῦ. στρουθίου. εὐφορβίου. καστορείου κυκλαμίνου χυλοῦ. ξηροῦ. ἴσα χρῶ καθὼς προείρηται. Ποιεῖ κεχρονισμέναις κεφαλαλγίαις. σκοτωματικοῖς. κεφαλὴν βαρυνομένοις. ἐπιληπτικοῖς. Ἐλλεβόρου λευκοῦ, ∠. δ. νίτρου. στρουθίου ἐρυθροῦ. καστορίου. πεπέρεως ἀνὰ ∠. α. χρῶ καθὼς προείρηται. Πρὸς τὸ πλεονάζοντας πταρμοὺς παῦσαι. ϛη.

Πλεονάζοντας δὲ πταρμοὺς παύει, ἅπερ καὶ τὴν κόρυζαν ἰᾶται. ἔλαιον ῥόδινον ἐγχεόμενον τοῖς μυκτῆρσι καὶ γλυκὺ ἔλαιον. καὶ τὸ νάρδινον ἔλαιον μύρον. ὀσφραινόμενα δὲ παύει πταρμὸν ἄνισον. ὠ-
40 κίμου κάρφη ξηρὰ κοπέντα. μελάνθιον λεῖον ξηρὸν. ἢ θύμον ζύμῃ φυράσας. καὶ εἰς τέφραν ἐγκρύψας ὅταν ὀπτηθῇ λειώσας, χρῶ. ἕκαστον δὲ ὀθονίῳ ἀραιῷ ἐνδήσας δίδου ὀσφραίνεσθαι. παύει δὲ πταρμοὺς καὶ κόρυζαν. καὶ σμύρνα καθ' ἑαυτήν. καὶ λίβανον σὺν οἴνῳ εὐώδει λειωθέντα διαχριομένων τῶν μυκτήρων. ποιεῖ καὶ τὸ ἡδύοσμον. καὶ τὸ ἡλίχρυσον ὀσφραινόμενον. καὶ τὸ κύφι. καὶ ὕδωρ δὲ χλιαρὸν προσφερόμενον τῷ προσώπῳ, παύει πταρμούς. καὶ τὰς ἑκατέρωθεν δὲ τῆς ῥινὸς, πρὸς τοὺς μεγάλους κανθοὺς κειμένας φλέβας ἀποπιέζων τοῖς δακτύλοις, κωλύσεις τὸν πταρμόν.

Ἀπολλώνιος δὲ φυσικὸν γράφει πρὸς τὸ μὴ πτάρνυσθαι τὰ παιδία, πελαργοῦ πτερὰ ἔχειν δεῖ ἐν οἰκίᾳ. καὶ ἀδύνατον πτάρνυσθαι.

Τέλος τοῦ ἕκτου λόγου τῶν περὶ τὴν κεφαλὴν παθῶν. καὶ τῶν περὶ τὰ ὦτα καὶ ῥῖνας.

ΤΑ ΔΕ ΕΝΕΣΤΙΝ ΕΝ ΤΩΙ ΕΒΔΟΜΩΙ ΛΟΓΩΙ.

ΠΕΡΙ ΦΥΣΕΩΣ ΟΦΘΑΛΜΩΝ. α.

Κατὰ τοὺς ὀφθαλμοὺς θεραπεία, ποικίλη πώς ἐστι καὶ διαφέρουσα. ἐπειδὴ καὶ αὐτὸ τὸ μόριον. λέγω δὴ ὁ ὀφθαλμὸς, οὐχ ἁπλοῦν. ἀλλὰ σύνθεσιν πρὸς τὸ εἶναι ἔλαχε. χιτῶσι λέγω καὶ ὑγροῖς. καὶ προσέτι τοῖς βλεφάροις κεκοσμημένον. ἡ γὰρ φύσις τὰ ἄνω ἐγκεφάλου καταφερόμενα νεῦρα ἄχρι τὰς χώρας τῶν ὀφθαλμῶν. λέγω δὴ τὰ ὀπτικά. καὶ τὴν συνδιεξερχομένην αὐτοῖς μοῖραν τῶν περιεχουσῶν τὸν ἐγκέφαλον δύο μηνίγγων διαυξάνουσα. καὶ οἷον πλατύνουσα, τοῖς ἐν τῷ ὀφθαλμῷ χιτῶσι τὴν ὕπαρξιν ἐδωρήσατο. τὸν μὲν πάντων ἔνδοθεν χιτῶνα ἀμφιβληστροειδῆ καλούμενον, ἐκ τοῦ ὀπτικοῦ νεύρου κατασκευάσασα. τὸν δὲ τούτου προβεβλημένον χιτῶνα ῥαγοειδῆ καλούμενον, ἐκ τῆς λεπτῆς μήνιγγος ἀποφύσασα. ἔοικε γὰρ ῥαγὶ σταφυλῆς τό τε σχῆμα καὶ τὴν χρόαν. καὶ τέτρηται κυκλοτερεῖ τρήματι κατὰ τὴν κόρην. ὁ δὲ τούτων ἀμφοτέρων ἔξωθεν χιτὼν κερατοειδὴς ὀνομαζόμενος, ἐκ τῆς παχείας μήνιγγος ἔχει τὴν ὕπαρξιν. ὁ δὲ τούτων πάντων ἔξωθεν προβεβλημένος ὁ λευκὸς οὗτος ὁ ἐπιπεφυκὼς καλούμενος ἐκ τοῦ περικειμένου ἔξωθεν τῷ τῆς κεφαλῆς ὀστῷ ὑμένος, περιοστέου καὶ περικρανίου λεγομένου, ἔχει τὴν γένεσιν ἐκ τῶν ἀποφύσεων τῶν περικειμένων τῷ ὀφθαλμῷ σωμάτων. ὑγρὰ δέ ἐστιν ἐν τῷ ὀφθαλμῷ τρία. ἔνδοθεν μὲν πάντων τὸ περιεχόμενον ἐν τῇ κοιλότητι τοῦ ἀμφιβληστροειδοῦς χιτῶνος ὑαλοειδὲς λεγόμενον. προσέοικε γὰρ καὶ τῇ χροιᾷ καὶ τῇ συστάσει, τῇ κεχυμένῃ ὑάλῳ. τούτου δὲ ἐξωτέρω κεῖται κατὰ τὸ πέρας τοῦ ἀμφιβληστροειδοῦς χιτῶνος. καὶ κρυσταλλοειδὲς ὑγρόν. ὃ καὶ δισκοειδὲς καὶ φακοειδὲς καλεῖται. προσέοικε γοῦν, τῇ μὲν χροιᾷ, κρυστάλλῳ. τῷ δὲ σχήματι φακῷ. ἔξωθεν δὲ περικέχυται τούτῳ τὸ ᾠοειδὲς ὑγρόν. προσέοικε γὰρ τῇ χρόᾳ καὶ τῇ συστάσει, τῷ ἐν τοῖς ᾠοῖς ὑγρῷ τῷ λευκῷ καὶ λεπτῷ. τὸ μὲν οὖν πάντων ἔνδοθεν τὸ ὑαλοειδὲς ὑγρὸν, πρὸς τὸ τρέφειν τὸ κρυσταλλοειδὲς παρεσκεύασται. τὸ δὲ ἔξωθεν αὐτῷ περικεχυμένον τὸ ᾠοειδὲς, πρὸς τὸ ἐπιτέγγειν τοῦτο γεγένηται. καὶ μὴ συγχωρεῖν αὐτὸ ἀδικεῖσθαι ὑπὸ τῆς τοῦ ἡλίου αὐγῆς. τὰ δὲ βλέφαρα συνίστησιν ὁ ἐπιπεφυκὼς ὑμήν. τούτων ἕκαστον ἐκτρεπόμενον τοῦ κατὰ φύσιν νοσεῖν παρασκευάζει τὸν ὀφθαλμόν.

Πόσα καὶ τίνα πάθη περὶ ἓν ἕκαστον μέρος τοῦ ὀφθαλμοῦ συνίσταται. β.

Αἱ ἰδίως λεγόμεναι ὀφθαλμίαι, καὶ αἱ χυμώσεις. καὶ ταράξεις. οἰδήματα ὑποσφάγματα καὶ πτερύγια πάθη τοῦ ἐπιπεφυκότος εἰσίν. ἀλλὰ καὶ ἑλκοῦται. καὶ ἀνθρακοῦται. καὶ καρκινώδη διάθεσιν ἴσχει. σκληροφθαλμία δὲ καὶ ξηροφθαλμία, κοινόν ἐστι πάθος βλεφάρων, καὶ αὐτοῦ τοῦ ὀφθαλμοῦ. περὶ δὲ τὴν ἔξωθεν ἐπιφάνειαν τῶν βλεφάρων, ὑδατίδες γίγνονται. καὶ μελικηρίδες. καὶ στεατώματα. τῶν δὲ περὶ τῶν ἐντὸς τῶν βλεφάρων συνισταμένων, ἐστὶ δασύτης καὶ τραχώματα. καὶ συκώσεις. χαλάζιά τε καὶ λιθιάσεις. σύμφυσις. καὶ μύσις. καὶ λαγόφθαλμοι καλοῦνται, οἷς τὸ ἄνω

βλέφαρον

βλέφαρον ἀνέσπασται, ὡς ἐπικαλύπτειν τὸν ὀφθαλμὸν μὴ δύνασθαι. ἐκτρόπια δὲ οἷς τὸ κάτω βλέ-
φαρον ἐξέστραπται. ἀλλὰ καὶ κολοβώματα. καὶ διαβρώσεις. καὶ ἑλκώσεις ἐν τοῖς βλεφάροις συ-
νίστανται. περὶ δὲ τοὺς ταρσοὺς γίγνεται ἡ διστιχίασις καλουμένη. καὶ ἡ μαδάρωσις τῶν τριχῶν. ἤτοι βλε-
φαρίδων. ἥτις καὶ πτίλωσις καλεῖται. γίγνεται δὲ καὶ φθειρίασις. καὶ πιτυρίασις. καὶ κριθή. καὶ
ἡ λεγομένη δὲ μίλφωσις, τῶν ταρσῶν ἐστι πάθος. ἐρυθροὶ γὰρ τούτοις εἰσὶν οἱ ταρσοί. ἐοικότες μίλτῳ
τῇ χροιᾷ. οἱ δὲ κανθοὶ πεπόνθασι μὲν κοινῶς τοῖς αἰγίλωψιν. ἀλλ' οὐ μόνοι. ἐγκανθίδες δὲ καὶ ῥοιάδες, μόνων
τῶν κανθῶν εἰσὶ πάθη. περὶ δὲ τὸν κερατοειδῆ χιτῶνα συνίσταται ἀχλὺς. νεφέλιον. αἴγμα. ἐπίκαυ-
σις. ἕλκωσις. κοίλωμα. βόθριον. ῥῆξις. πρόπτωσις. ὀνυχία. πύωσις. φλυκταίναι. ἄνθρακες. καρκινώ-
δεις διαθέσεις. περὶ δὲ τὸν ῥαγοειδῆ χιτῶνα συνίσταται πάθη. πρόπτωσις. μυοκέφαλα. σταφυλώ-
10 ματα. ἧλοι. μυδριάσεις τε ἡ καὶ πλατυκορία καλουμένη. φθίσις. σύγχυσις. παρασπασμοὶ τῆς κό-
ρης. τὸ δὲ ὑπόχυμα συνίσταται κατ' αὐτὸ τὸ τρῆμα τοῦ ῥαγοειδοῦς. τουτέστι κατὰ τὴν κόρην λεγόμενα.
ἀλλὰ καὶ τὸ ᾠοειδὲς ὑγρὸν πλεῖον ἑαυτοῦ γινόμενον. ἢ παχύτερον, ἐμποδίζει τὸ ἀκριβῶς ὁρᾶν. καὶ μειού-
μενον δὲ ξηραίνει τὸ κρυσταλλοειδὲς ὑγρόν. ἡ γλαύκωσις δὲ λεγομένη. ξηρότης ἐστὶ σφοδρὰ τοῦ κρυστα-
λοειδοῦς ὑγροῦ. ἡ δὲ ἀμαύρωσις, ἔμφραξίς ἐστι τοῦ ὀπτικοῦ νεύρου, ὡς μηδόλως ὁρᾶν τὸν οὕτω παθόν-
τα. καθαρᾶς φαινομένης τῆς κόρης. βεβλαμμένοι δὲ εἰσὶ τοὺς ὀφθαλμοὺς, χωρὶς τοῦ φαίνεσθαί τι φαῦ-
λον περὶ τοὺς ὀφθαλμούς. καὶ οἱ νυκταλωπιῶντες. ὅλων δὲ τῶν ὀφθαλμῶν, βλάβη φανερά ἐστιν ὁ
ἐκπιεσμὸς καλούμενος. ἔστι δὲ προπέτεια τοῦ ὀφθαλμοῦ οἷον ἔξω ἐγκειμένου. ἀρκτέον δὲ τῆς θερα-
πείας. ἀπὸ τῶν ἁπλουστέρων τε καὶ ἐπιπολαίων ἐν ὀφθαλμοῖς νοσημάτων.

20 Θεραπεία ταράξεως. γ.

Τὰς μὲν οὖν τῶν ὀφθαλμῶν ταράξεις, ὑπό τε καπνοῦ γιγνομένας. καὶ ἐγκαύσεως. ἢ κονιορτοῦ. ἢ τι-
νὸς παραπλησίου ἑτέρου, θεραπεύσεις ῥᾳδίως. πρῶτον μὲν κελεύων τὸν πάσχοντα, ἀφίστασθαι τῆς
βλαπτούσης αἰτίας. οἷον ἡλίου. ἢ καπνοῦ. ἢ τινὸς ἄλλου παραπλησίου. ἔπειτα ἀπονίπτειν τὰς ὄψεις.
πρότερον μὲν, χλιαρῷ ὕδατι γλυκεῖ. μετὰ δὲ ταῦτα καὶ ψυχρῷ. καὶ τὴν αὐγὴν ἀποστρεφόμενος.
καὶ μύων τοῖς ὀφθαλμοῖς. ἐπὶ τούτοις γὰρ καθίσταται. μηδενὸς ἑτέρου προσενεχθέντος. ἀλλὰ μόνον
ἐνδεέστερον διαιτηθέντος. ποτῷ δὲ πλείονι χρῆσθαι ἐπὶ τῶν ἐγκαύσεων. εἰ γὰρ ὕπνος ἐπιλάβοι βαθύ-
τερος, καὶ ὀφθαλμία τις προσδοκωμένη πεφθήσεται. διὸ μὴ δὲ τῶν λουτρῶν ἀπέχεσθαι. διαιτᾶσθαι
δὲ ἀκριβέστερον. ἐπιμενούσης δὲ τῆς διαθέσεως, ἡσυχάζειν καὶ ἐπιχρίειν τὰ βλέφαρα τοῖς διακρό-
κου. ἢ διὰ ῥόδων κολλυρίοις. καὶ μάλιστα τῷ Νείλου διὰ ῥόδων. τὰς δὲ λήμας καὶ τὰς ἐν νυκτὶ γινομέ-
νας περὶ τὰ βλέφαρα κολλήσεις, διακαθαίρει τε καὶ ὀνίνησι καλῶς, ὀξύκρατον ὑδαρέστατον. καὶ
30 αὐτὸ τὸ ὕδωρ καθ' αὐτὸ ψυχρὸν καταντλούμενον. καὶ τῶν ξηρῶν τι προσαγόμενον τῶν ἀποδακρυ-
τικῶν. καὶ μάλιστα τὸ κροκῶδες προσκαταληπτικὸν καλούμενον.

Θεραπεία ἐπιπολαίου φλεγμονῆς ἐν ὀφθαλμοῖς. Γαληνοῦ. δ.

Φλεγμονῆς δὲ ἐπιπολαίου γινομένης τοῦ ἐπιπεφυκότος ὑμένος. ὀδύνης σφοδρᾶς μὴ παρούσης. ἀπο-
κρουστικὰ παραληπτέον ἐπ' αὐτῶν κολλύρια. πραΰνονται τὸ σφοδρὸν αὐτῶν τῆς δήξεως, τῇ μίξει
τοῦ ᾠοῦ. ὡς τὸ πολὺ γὰρ ἀρκεῖ τὸ λεπτὸν τοῦ ᾠοῦ μετὰ τῶν καλουμένων μονοημέρων κολλυρίων, ἐκθερα-
πεύειν τὰς ἐπιπολαίους καὶ ἀρχομένας ὀφθαλμίας. χωρὶς μεγάλης φλεγμονῆς. καὶ σφοδρᾶς ὀδύ-
νης. πολλάκις γὰρ οὕτως ἐπράϋνε τὰς φλεγμονάς. ὡς εἰς ἑσπέραν μὲν λουτρῷ χρήσασθαι τὸν ἄνθρω-
πον. ἐπὶ δὲ τῆς ὑστεραίας τῷ ναρδίνῳ κολλυρίῳ πρὸς ἀποκατάστασίν τε καὶ τόνωσιν ὑπαλείψασθαι. πα-
ραμίγνυται δὲ τῷ ναρδίνῳ κολλυρίῳ. παρὰ μὲν τὴν πρώτην ὑπάλειψιν, ἐλάχιστόν τε τῶν ἀπο-
40 κρουστικῶν. κατὰ δὲ τὴν δευτέραν ἔτι βραχύτατον. ἐφ' ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα, πλεῖ-
στον εἶναι δεῖ τὸ ὑγρὸν τοῦ ᾠοῦ. βραχύτατον δὲ τοῦ κολλυρίου. ἐφ' ὧν δὲ τὰ συμπεπτικὰ ἐπικρατεῖ
κολλύρια. οἷόν ἐστι τὸ νάρδινον. παχυτέρῳ χρηστέον. πυρίᾳ δὲ χρηστέον τούτοις διὰ σπόγγου. μετρίως μὲν
ὀδυνωμένου, ἅπαξ. ἢ δίς. εἰ δὲ σφοδροτέρα εἴη ὀδύνη, ἄμεινόν ἐστι καὶ πεντάκις χρῆσθαι. προσέχειν
μέντοι καὶ τῇ εὐαισθησίᾳ. καὶ δυσαισθησίᾳ τοῦ θεραπευομένου ὀφθαλμοῦ. ὅσοι γὰρ ὀφθαλμοὶ κατὰ
φύσιν φλέβας εὐρείας ἔχουσιν αἵματος μεστάς. καὶ ὅσοι γλαυκοὶ, οὐδόλως φέρουσι τὴν ἐκ τῶν κολ-
λυρίων στύψιν. ὅθεν ὑδαρέστερα ἐπὶ τούτων προσακτέον τὰ κολλύρια.

Περὶ τῆς ἐπὶ πλήθει φλεγμονῆς καὶ χυμώσεως ἐν ὀφθαλμοῖς. ε.

Πλήθους δὲ ὑποκειμένου ἐν ὅλῳ τῷ σώματι. καὶ τῆς ἐν τοῖς ὀφθαλμοῖς φλεγμονῆς μεγάλης γιγνομένης.
καὶ ὀδύνης σφοδρᾶς παρούσης. οὐκέτ' ἐπαρκεῖ ἡ τῶν κολλυρίων χρῆσις πρὸς τὴν τοιαύτην διάθε-
50 σιν. ποικίλης οὖν δεόμεθα ἐπὶ τούτων ἀγωγῆς. καὶ χρὴ τὰ πρῶτα καὶ μέγιστα βοηθήματα παραλαμ-
βάνειν, ὧν καὶ Ἱπποκράτης ἐν τοῖς ἀφορισμοῖς ἐμνημόνευσεν εἰπὼν, ὀδύνας ὀφθαλμῶν ἀκρατοπο-
σίη. ἢ λουτρὸν ἢ πυρίη. ἢ φαρμακίη. ἢ φλεβοτομίη, λύει. ἀλλ' οὐ τῷ αὐτῷ ἀνθρώπῳ πάντα ταῦτα
κελεύει προσάγεσθαι βοηθήματα. ἀλλὰ τούτῳ μὲν, φλεβοτομίαν. ἑτέρῳ δὲ καθαρτήριον. ἄλλῳ δὲ
τὴν πυρίαν. ἑτέρῳ δὲ τὸ λουτρόν. καὶ ἄλλῳ τὴν τοῦ οἴνου πόσιν. ἀρξώμεθα δὲ ἀπὸ τοῦ λουτροῦ τοίνυν.

Περὶ λουτρῶν. ϛ.

Τὸ λουτρὸν, ἐφ' ὧν φλεγμονὴ οἰδηματώδης κατὰ τῶν ὀφθαλμῶν ὑπάρχει. ἔστι δὲ τὸ οἴδημα. τῷ μὲν ὄγκῳ σεσομφωμένον. τῇ δὲ ἁφῇ μᾶλλον ψυχρότερον. καὶ τῷ χρώματι λευκόν. καὶ τὸ ἐπιρρέον ῥεῦμα ἀδηκτότερον ἐστὶ καὶ ἧττον θερμόν. ἀλλ' οὐδὲ ἡ κατ' αὐτὸν τὸν ὀφθαλμὸν χύμωσις ὑπέρυθρός ἐστιν, οὐδὲ περιτεταμένη. συνεδρεύει δὲ τὸ πάθος τοῦτο ἐν ἡλικίᾳ μᾶλλον πρεσβυτικῇ. καὶ ἐν ὥρᾳ χειμερινῇ ὡς ἐπίπαν. καὶ μᾶλλον γυναιξὶ ταῖς καταπιμέλοις. καὶ συντόμως εἰπεῖν, πᾶσι τοῖς ψυχρὸν καὶ φλεγματικὸν τὸν ἐγκέφαλον ἔχουσι, συμβαίνει ἡ οἰδηματώδης φλεγμονή. ὅταν οὖν πάντα τὰ εἰρημένα σημεῖα θεάσῃ, θαρρῶν τὸ λουτρὸν παραλάμβανε. εἰς τοσοῦτον γὰρ ῥᾷστον εἰς φορεῖ τὸν πάσχοντα, ὡς ἑτέρου μὴ δεηθῆναι βοηθήματος. χρονίζειν δὲ προσήκει μᾶλλον ἐν τῷ ἀέρι. καὶ πυριᾶν τοὺς ὀφθαλμοὺς, ἐπὶ πλεῖστον ξηροτέρᾳ πυρίᾳ διὰ σπόγγων ἱκανῶς ἐκτεθλιμμένων. τοῦτο δὲ ποιῶν, θεάσῃ αἰσθητῶς τὸ οἴδημα ἐν τῷ θερμῷ ἀέρι ἀφανὲς γιγνόμενον. καὶ ἐν τοσούτῳ τέλεον ἀπηλλαγμένης τῆς διαθέσεως. εἰ δέ τι ἐγκαταλείπηται πρὸς τὸ εἰς παντελῆ ἀποθεραπείαν ἐνέγκαι τὸν ἄνθρωπον, τῷ ναρδίνῳ κολλυρίῳ μέλλοντι εἰσιέναι ἐν τῷ βαλανείῳ, ἐγχυμάτιζε. εἰ δὲ μετρία σοι φαίνοιτο ἡ ὀδύνη, καὶ παχύτερον τὸ κολλύριον παραλαμβάνειν. προθερμαίνας αὐτὸ δηλονότι ἐπ' ἀκόνης. εἶτα λούσαντα ὡς προείρηται καὶ ἐξελθόντα, ἐπιμελῶς ἀποσπογγίζειν τὴν ὑγρότητα. καὶ οὕτως ἐπιχρίειν τῷ αὐτῷ κολλυρίῳ. παραφυλαττόμενος μή τι αὐτοῦ παρεμπέσῃ εἰς τὸν ὀφθαλμόν. εἴωθε γὰρ μεγάλην βλάβην κινεῖν. ὅθεν οὐδὲ τοὺς ἱδρῶτας δεῖ ἐπιχρίεσθαι. χύσις γὰρ τῶν ὑγρῶν ἐν τῷ βαλανείῳ γίνεται. καὶ παρεμπεσὸν τὸ κολλύριον. καὶ δῆξίν τινα ἐμποιῆσαν, ἐπισύρει πρὸς τὸν ὀφθαλμὸν τὰς ὕλας ῥᾳδίως. καὶ διπλασιάσῃ τὰς φλεγμονάς. εἰ δὲ συμβαίη μονιμωτέραν γενέσθαι τὴν εἰρημένην διάθεσιν. καὶ τὴν τοῦ ῥεύματος οὐσίαν, ἤδη τὸ ψυχρότερον μᾶλλον ἀχθῆναι. καὶ τὸ τηνικαῦτα παραλαμβάνειν σμήγματα τῆς κεφαλῆς ἐν τῷ λουτρῷ. καὶ πάσματα μετὰ τὸ λουτρόν. καὶ πρῶτον μὲν τοῖς ἁπλοῖς κεχρῆσθαι. εἰ δ' ἐπιμένοι ἡ αἰτία, καὶ ἤδη τὰ σύνθετα μεταβαίνειν. ὧν ἡ ὕλη τοιαύτη. δαφνίδες. νίτρον ὀπτὸν οἴνῳ ἐσβεσμένον. σάμψυχον. φὺξ κεκαυμένη. καὶ τὰ ὅμοια. τὰ δὲ πλάσματα, ἤδη τῶν γυναικῶν μάλιστα παραλαμβάνει τὰ συνήθη. οἷά ἐστι τὰ διὰ τῆς ἴρεως. σελίνου τε σπέρματος. καὶ κυπαρίσσου σφαιρίων. καὶ τῶν ξηρῶν μόρων. δεῖ γὰρ μὴ ἀμέτρως εἶναι θερμά. μὴ δὲ δριμέα τὰ προσφερόμενα. ἀλλ' ἠπίως θερμά. συμμεμιγμένην ἔχοντα τὴν στύψιν. αἱ δὲ τούτων συνθέσεις, ἤδη προείρηνται ἐν τῷ πρὸ τούτου λόγῳ. ἐμβαλεῖν μὲν οὖν χρὴ τὰ μὲν σμήγματα ἐν τῷ λουτρῷ, τῷ βρέγματι. διαστέλλοντα τὰς τρίχας ἀπ' ἀλλήλων. ἵνα προσομιλήσῃ τῷ σώματι τὸ βοήθημα. καὶ προστάττειν ἐν τῷ βαλανείῳ μύειν τὸ στόμα, ἵνα διὰ τῶν μυκτήρων σφοδρῶς ἐπισυρόμενοι τὸν θερμὸν ἀέρα βαθύτερον μεταβάλλωσι τὴν ὑποκειμένην ὕλην. μετὰ δὲ τὸ λουτρὸν ἀπομάξαντα τὰς τρίχας, ἐπιπάσσειν ὡς εἴρηται τὰ πάσματα. καὶ περὶ μὲν λουτρῶν, ἐπὶ τοσοῦτον. ῥητέον δὲ περὶ οἰνοποσίας.

Περὶ οἰνοποσίας. ζ.

Ὁ οἶνος λεπτύνει καὶ μεταβάλλει τὰ πεπαχυμένα τῶν ὑγρῶν. καὶ πολλάκις κατά τι συμβεβηκὸς, τὴν τούτων κένωσιν ποιεῖται. προσήκει δὲ εἶναι τὸν οἶνον. κιρρὸν τῷ χρώματι. καὶ λεπτὸν τῇ συστάσει. καὶ μὴ πάνυ παλαιόν. μὴ δὲ στύφοντα σφοδρῶς. διδόναι δὲ τὸν οἶνον τοῖς ἐν ἔθει αὐτοῦ ὑπάρχουσι μάλιστα. καὶ τοῖς ξηρὰν μᾶλλον ἔχουσι δυσκρασίαν. καὶ τοῖς ψυχρὰν μᾶλλον ἐπικρατοῦσαν ἔχουσι. δοκεῖ γὰρ κοινωνίαν τινὰ ἔχειν πρὸς τὸ λουτρὸν ὁ οἶνος. ὅταν οὖν κενώσεως ὑγρῶν καὶ μεταβολῆς γένηται χρεία, τὸ λουτρὸν παραληπτέον. ὅτε δὲ μεταβολῆς καὶ ἀναθρέψεως. καὶ ὑγράνσεως. καὶ θερμάνσεως. καὶ μετρίας κενώσεως, οἴνου δεόμεθα. κεράσαι οὖν δεῖ τὸν οἶνον, ὕδατι θερμῷ μὴ πολλῷ. καὶ ἀκρατέστερος ἤτω τῆς συνήθους κράσεως. καὶ τὸ ἐμβαλλόμενον ὕδωρ καθαρώτατον. καὶ ἄκαπνον. καὶ ἄοσμον. καὶ σφόδρα ζέον. ἵνα καὶ λεπτομερέστερον ἑαυτοῦ γένηται. καὶ ἐπαρκέσῃ εἰς τὴν τοῦ πλείονος οἴνου κρᾶσιν. ἤτω δὲ ἡ προσαγομένη κύλιξ πλατυτέρα. καὶ πειραθῇ ὁ πάσχων. διανοίγειν τοὺς ὀφθαλμοὺς ἐν τῇ πόσει. οὕτως γὰρ λυθείσης τῆς σφηνώσεως, καὶ ἐπιρρυέντος δακρύου πολλοῦ φυσικοῦ καὶ ὑγιεινοτάτου, ἀπαλλαγήσεται τῆς ὀδύνης. παρ' αὐτὰ γὰρ χαλῶνται τὰ βλέφαρα. καὶ εὐκινητότερα ἑαυτῶν γίγνονται. καὶ κουφότερα. ἐπιβλέπειν δὲ χρὴ, μήπως ἡ κεφαλὴ τοῦ ἀνθρώπου εὐπαθὴς ὑπάρχῃ, πλήττεται γὰρ τῶν τοιούτων ῥᾳδίως ἡ κεφαλὴ ὑπὸ τῆς τοῦ οἴνου πόσεως. πρὸς δὲ τὸ λείψανον τῆς κακώσεως τοῦ ὀφθαλμοῦ, χρῆσθαι δεῖ κολλυρίῳ. πρῶτον μὲν, ἀδήκτῳ τε καὶ γλυκεῖ ἐγχυματίζοντα, πρὸς τῷ καὶ τὴν προσγενομένην ταραχὴν ἐκθεραπεῦσαι. καὶ ὅταν ἐν καταστάσει οἱ ὀφθαλμοὶ γένωνται, καὶ τῆς πυρώσεως ἀπαλλαγῶσι, τότε ἀποκρουστικὸν κολλύριον προσαγέσθω. οἷός ἐστιν ὁ Ἑρμόλαος. καὶ τὰ παραπλήσια στατικὰ καλούμενα. ἐρεύθους γὰρ ὄντος καὶ φλεγμονῆς, οὐ δεῖ τοῖς στύφουσι κολλυρίοις κεχρῆσθαι. ἀποκλείοντες γὰρ τῇ στύψει τὸ λείψανον τῆς ὕλης, μεγεθοποιοῦσι τὴν ὀδύνην. καὶ περὶ μὲν οὖν τῆς τοῦ οἴνου πόσεως, ἤδη τοσοῦτον. ῥητέον δὲ περὶ φλεβοτομίας.

Περὶ φλεβοτομίας. η.

Προσακτέον τοίνυν τὸ φλεβοτόμον, εἰ μηδὲν ἕτερον κωλύει τῶν πολλάκις εἰρημένων ἤδη τῆς τῶν

ὀφθαλμῶν

ὀφθαλμῶν περιωδυνίας. ἐφ' ὧν πολλὴ μὲν ἡ διάτασίς ἐστι τῶν ὀφθαλμῶν, καὶ ἔρευθος πολὺς. καὶ τῇ ἁφῇ ἀντιτυπία. καὶ φλόγωσις. καὶ δάκρυον πολὺ. καὶ θερμόν. καὶ χύμωσις κατὰ τὸν κερατοειδῆ καὶ τὸν ἐπιπεφυκότα χιτῶνα ὥστε ὑπὸ τῆς τῆς φλεγμονῆς σφοδρᾶς γινομένης, τὰ βλέφαρα ἐκστρέφεσθαι. ὡς μόγις τοὺς ὀφθαλμοὺς καλύπτεσθαι, ὑπέρυθρός τε φαίνεται ὁ ἐπιπεφυκὼς ὑμήν. καὶ ἐν ὄγκῳ μείζονι γίγνεται. καὶ τὸ πᾶν σῶμα πεπληρωμένον αἵματος. τμητέον δὲ μᾶλλον τὴν ἀνωτέραν ἐν τῷ ἀγκῶνι φλέβα, τὴν ὠμιαίαν καλουμένην. καὶ μείζονα τὴν διαίρεσιν, ποιητέον, πρὸς τῷ, καὶ παχύτερον ἐν τῷ αἵματι κενωθῆναι. καὶ ταχεῖαν τὴν λειποθυμίαν γενέσθαι, πρὸς τὴν καθαίρεσιν τῆς ὀδύνης καὶ τὴν σβέσιν τῆς πυρώσεως. κενουμένου δὲ τοῦ παντὸς σώματος, ἀποθεραπεύειν τὸ λείψανον τοῦ πάθους, κολλυρίοις καὶ τῇ λοιπῇ ἐπιμελείᾳ. κολλυρίοις δὲ χρηστέον ἐπὶ τούτων, οἷά ἐστι τὰ κυκνάρια. καὶ τὰ λιβιανά. ἐγχυματίζοντες συνεχῶς, ὑδαρεστέροις θερμοῖς. πυρίας δὲ ἐπὶ τούτων, οὐ πάνυ τι προσακτέον. ἀλλὰ πράως ἀποσπογγίζειν ὕδατι χλιαρῷ. ῥοφὰς δὲ δοτέον ἀδήκτους εὐαναδότους. εὐκοιλίους. ῥυπτικάς. μηδὲν δριμὺ καὶ ἁλυκὸν ἐχούσας. ἢ παχύχυμον. ἢ δύσπεπτον. μετὰ δὲ τὴν ἀποκατάστασιν τῆς φλεγμονῆς, τῷ ναρδίνῳ ὑδαρεστάτῳ ἐγχυματίζειν μέχρι τελείας ὑγείας. καὶ περὶ μὲν φλεβοτομίας, ἐπὶ τοσοῦτον. ῥητέον δὲ περὶ καθάρσεως.

Περὶ καθάρσεως. θ.

Εἰ μήτε ἡλικία. μήτε ὥρα. μήτε στομάχου μάλιστα ἀσθένεια. ἢ ἑτέρου τινὸς τῶν σπλάγχνων. μήτε ἕτερόν τι μέγιστον κώλυμα εἴη, παραλαμβάνειν τὴν κάθαρσιν. ἐφ' ὧν λεπτὸν καὶ πολὺ τὸ δάκρυον φέρεται. ἢ ἁλυκὸν ἢ δριμὺ ἢ ψυχρὸν. καὶ τὸ σύμπαν σῶμα κακόχυμον. καὶ ἡ κεφαλὴ περιττωματική. καὶ ἡ γαστὴρ συνεχῶς ἐπεχομένη. καὶ πλῆθος περιττωμάτων μοχθηρῶν ἐκ τούτου ἀθροίζουσα. καὶ περιωδυνία σφοδρὰ πρόσεστιν. ἐπὶ γὰρ τῶν φλεβοτομουμένων τὴν πληθώραν τοῦ παντὸς σώματος ὑφορώμεθα. ἐπὶ δὲ τῆς καθάρσεως, τὴν κακοχυμίαν φεύγομεν. ἡ δὲ τῶν καθαρτηρίων φύσις. οὐ μία. ἀλλὰ πλείονες. πρὸς γοῦν τὸν πλεονάζοντα καὶ λυποῦντα χυμὸν, ἐξαλλάττεται ἡ τῶν φαρμάκων ὕλη. εἰ μὲν οὖν γαστρὸς εἴη συνεχὴς σχέσις, δοτέον αὐτοῖς τὴν ἀλόην. λειωθεῖσαν μετὰ χυλοῦ κράμβης καὶ ἀναπλασθεῖσαν εἰς καταπότια. εἰ δὲ φλέγμα μᾶλλον πλεονάζοι τὸ ὑδατῶδες, δίδου τὸ δι' εὐφορβίου. καὶ πεπέρεως. καὶ ἁλῶν ἀμμωνιακῶν σκευαζόμενον. εἰ δὲ χολὴ πλεονεκτῇ, διδόναι τὴν δι' ἀλόης πικράν. προσπλέκοντα τῇ δόσει, σκαμμωνίας λειοτάτης ℈ β. ἢ ἔλαττον πρὸς τὴν δύναμιν. εἰ δὲ ὁ μελαγχολικὸς ἐπικρατεῖ χυμὸς, προσπλέκειν τῇ δόσει ἐπιθύμου ℈ ϛ. καὶ σκαμμωνίας ὀβολοὺς γ. μετὰ δὲ τὴν διὰ τοῦ καθαρτηρίου γιγνομένην, ἱκανὴν κένωσιν. εἰ μὲν ἁπλῆ καὶ ἀτραυμάτιστος εἴη ἡ διάθεσις, τοῖς στύφουσι κολλυρίοις κεχρῆσθαι. οἷός ἐστιν ὁ ἑρμόλαος καὶ τὰ παραπλήσια. καὶ τούτων, δι' ἐγχυματισμὸν παραλαμβανομένων. εἰ δὲ συμβῇ τραυματισθῆναι τὸν ὀφθαλμὸν, τοῖς ἁπαλοῖς χρηστέον. οἷά εἰσι τὰ κυκνάρια. καὶ τὰ λιβιανά. ὁ μὲν οὖν πρὸς τὴν παροῦσαν χρείαν σκοπὸς τοῦ ἀφορισμοῦ, ἱπποκράτης ἤδη προείρηται. τουτέστιν ὅπως δεῖ πρὸς τὰς μεγίστας ὀδύνας καὶ φλεγμονὰς ὀξέως ἐνίστασθαι. ἐπειδὴ δὲ ἐπὶ πολλῶν παραλιμπάνεται τὰ μέγιστα βοηθήματα, μάλιστα φλεβοτομία καὶ κάθαρσις. σκοπητέον δὴ ὅπως τοὺς τοιούτους μεταχειρίζεσθαι, σὺν τοῖς καθολικοῖς τοίνυν σημείοις τοῖς προειρημένοις, καὶ ἰδικά τινα κατὰ τὸν ὀφθαλμόν ἐστιν ἰδεῖν σημεῖα. πᾶσαν τὴν νόσον ἐξελέγχοντα. λῆμαι τε καὶ δάκρυον ἐπιφαίνεται. ποτὲ μὲν καὶ κολλῶδες. καὶ παχύ. ποτὲ δὲ λεπτὸν καὶ συντόμως ῥέον. καὶ ἄλλοτε μὲν ἁλμυρὸν. ἄλλοτε δὲ δριμὺ. καὶ δακνῶδες. καὶ ποτὲ μὲν θερμόν. ποτὲ δὲ ψυχρόν. ἐν ἀρχῇ δὲ τῆς ὀφθαλμίας εὐθὺς ἡ λήμη φανεῖσα, μᾶλλον ἀπεψίας ἐστὶ γνώρισμα. καὶ χρονίαν τὴν ὀφθαλμίαν γίγνεσθαι συμβαίνει. δεῖ οὖν ἐπὶ τῶν τοιούτων παρηγορικῶς θεραπεύειν γλυκέσι κολλυρίοις, δι' ἐγχυματισμῶν καὶ τῆς λοιπῆς ἀγωγῆς. ἵνα τῷ χρόνῳ ἡ σύμπεψις ἀληθῶς γένηται. τὰ γὰρ ἀποκρουστικὰ κολλύρια ὡς ἐπίπαν. ψυχρότερα ὄντα τῇ δυνάμει, πίλησιν ἢ πύκνωσιν τῶν σωμάτων ποιεῖται. καὶ ἀποκλείοντα τὰς ὕλας φλεγμονὰς μεγίστας καὶ ὀδύνας χαλεπὰς ἐπιφέρει. ἐνίοτε δὲ, καὶ ῥῆξιν τοῦ κερατοειδοῦς χιτῶνος διὰ τὴν ἐκ τῶν ὑγρῶν περίστασιν. καὶ μάλιστα ἐρεύθους ὄντως καὶ φλεγμονῆς. καὶ πλήθους ὕλης ὑποκειμένου ἐν τοῖς ὀφθαλμοῖς. τοιαῦτα ἐστὶ κολλύρια τὰ διὰ πλείονος ὀπίου καὶ ἀκακίας σκευαζόμενα. οἷός ἐστιν ὁ Ἀντωνῖνος. καὶ ὁ Ἑρμόλαος. καὶ τὰ πηλάρια καλούμενα. καὶ τὰ τούτοις παραπλήσια. τινὲς γὰρ ἐπὶ πλεῖον τῷ ἀντωνίνῳ κολλυρίῳ χρησάμενοι μετὰ τῆς προσθήκης τῶν ὀδυνῶν. καὶ τὴν ὀπτικὴν δύναμιν ἠδίκησαν. τῇ γὰρ ἀμέτρῳ ψύξει, νέκρωσιν μᾶλλον τοῦ μορίου εἰργάσαντο.

Περὶ πυρίας. ι.

Πυρίᾳ μὲν οὖν χρηστέον πολλῇ, εἴγε μάλιστα ἐν ἀρχῇ φανείη ἡ παχυτάτη λήμη πρὸς τὸ ἀπολεπτύνειν αὐτήν. λουτρῶν δὲ παντάπασιν ἀπέχεσθαι. ἐνίοτε δὲ καὶ οἴνου. καὶ ῥοφὰς διδόναι ὀλίγας. καὶ εὐκοιλίους καὶ λεπτυνούσας. εἰ δὲ σκληροκοίλιοι, ἐκκλύζειν σεύτλων καὶ πιτύρων ἀφεψήματι σὺν μέλιτι καὶ ἁλσί. καὶ διαχριστέον τὸ στόμα τῆς διὰ μόρων πρὸς τὴν τῆς ὕλης κένωσιν. ἢ τινὶ διακλύσματι ἀποφλεγματίζειν. οἱ πλείους γὰρ εὐπαθεῖς ἔχοντες τοὺς σιαγονίτας μῦς, δυσφόρως πρὸς τὴν μάσησιν ἔχουσι.

μετὰ δὲ ταῦτα καθὼς προείρηται, τοῖς ἁπλοῖς κολλυρίοις ἐγχυματίζειν. καὶ εἰ μὲν θερμὴ διάθεσις εἴη, τοῖς λιβανίοις κολλυρίοις χρηστέον. οἷον ἐστὶ τὸ ὑφ' ἡμῶν πρὸς τὰς τοιαύτας διαθέσεις δεδοκιμασμένον. ἐν δὲ τοῖς τοῦ Ἥρα τόμοις ἀναγεγραμμένον. τοῦτο δὲ καὶ τέφρον πρὸς αὐτοῦ ὠνόμασται. πομφόλυγος μὴ λαμβάνον. ὅθεν καὶ ἡμεῖς ἐπελεξάμεθα τὴν τούτου γραφήν. ἡ γὰρ πομφόλυξ σπανίως μὲν εὑρίσκεται. ἑτοίμως δὲ νοθεύεται.

Δοκιμασία πομφόλυγος. ια.

Ἔστι δὲ τῷ χρώματι τὸ κάλλιστον, οὐ λευκὸν. ἀλλὰ μᾶλλον ἐπὶ τὸ πελιδνότερον ῥέπον. δοκιμασία δὲ αὐτοῦ ἀρίστη. ἐπ' ἀνθράκων γὰρ ἐπιπαττόμενος, χρυσίζουσαν τοῦ πυρὸς τὴν ἰδέαν ἀπεργάζεται. χρηστέον οὖν τῷ τέφρῳ καλουμένῳ κολλυρίῳ, πρὸς τὴν ἀπὸ θερμοῦ χυμοῦ συνισταμένην ὀφθαλμίαν. εἰ δὲ μὴ παρείη τοῦτο, τινὶ τῶν ἄλλων λιβιανῶν καλουμένων, χρηστέον. ἢ τῷ κυκνείῳ. εἰ δὲ φλεγμονὴ παρείη, μετὰ δακρύου θερμοῦ ἐπιρροῆς, τὸ ἑκατοντάρχιον ὑδαρέστερον ἐγχυματίζειν συμφέρει, εἰ μὴ ἡλκωμένος εἴη ὁ ὀφθαλμός. καὶ εἰ μὲν ἡ φλεγμονὴ ἐπικρατεῖ, προσπλέκειν δεῖ τῷ ἑκατονταρχίῳ τινὰ τῶν ἀστύφων κολλυρίων. εἰ δὲ τὸ ῥεῦμα μᾶλλον ἐπικρατεῖ. αὐτὸ καθ' αὐτὸ ὑδαρέστερον ἐγχυματίζεσθαι. πάντων δὲ κρεῖττον ποιεῖ, ἐφ' ὧν λῆμαι εἰσὶ παχεῖαι καὶ γλίσχραι. τὸ διοίνου ἰσόθεον, ἐπιγραφόμενον μετὰ τοῦ λευκοῦ ᾠοῦ ἐγχυματιζόμενον. ὑδαρέστερον ὠχρωθῆναι μόνον δεῖ κολλυρίῳ τὸ ᾠόν. καὶ γὰρ ταχίστην ἀπαλλαγὴν φέρει χωρὶς ἑτέρου τινὸς βοηθήματος. μετὰ δὲ τὴν τῶν κολλυρίων χρῆσιν, εἰ μὲν νύξεως τινὸς ἢ δήξεως ἢ θερμασίας ἐπαισθάνοιτο, τῷ λευκῷ τοῦ ᾠοῦ ψιλῷ ἐγχυματίζειν θερμανθέντι. φερόμενον γὰρ τὸ δάκρυον ἐκ τῶν ὑποκειμένων μερῶν, πρὸς τῷ βλεφάρῳ τὴν σύστασιν ποιεῖται. καὶ φαντασίαν ψάμμου ἐνδείκνυται. καὶ τινὲς τῶν ἰατρῶν πιστεύσαντες τοῖς ἀπὸ τοῦ κάμνοντος λεγομένοις, ὡς εἶναί τι ἀπὸ τὸ βλέφαρον ψαμμίον, εἶτα στρέψαντες ὀπίσω ἀποξέουσι τὸ βλέφαρον. καὶ δοκοῦσι μὲν πρὸς τὸ παρὸν τῆς ὑπονοίας ἀπαλλάττειν τὸν πάσχοντα. ὕστερον δὲ μεγίστης βλάβης αὐτῷ πρόξενοι γίνονται. τραχύνοντες γὰρ τὸ βλέφαρον, διπλασιάζουσι τὸ νυγματῶδες ἄλγημα. δεῖ οὖν μὴ πάνυ τοῖς παρὰ τῶν καμνόντων λεγομένοις προσέχειν. ἐπιθολούμενοι γὰρ ταῖς ὀδύναις, ἀγνοοῦσι τὸ βλάπτον. προσήκει οὖν μετὰ τὴν τοῦ κολλυρίου χρῆσιν, πυριᾶν δαψιλέστερον. διάλυσις γὰρ ἔσται τῆς ἐνστάσεως τοῦ δακρύου. ἔπειτα τῷ ψιλῷ ᾠῷ ἐγχυματίζειν προθερμανθέντι. παρ' αὐτὰ γὰρ ἀπαλλάττονται τῆς νύξεως.

Περὶ τοῦ λευκοῦ τοῦ ᾠοῦ.

Ἀραιοῖ μὲν γὰρ τοὺς πόρους, τὸ τοῦ ᾠοῦ λευκόν. καὶ τῇ γλισχρότητι, ῥᾳδίως ἐκκενοῖ τὸ δάκρυον. καὶ ἐμπλάττει τοὺς πόρους. καὶ κατακεραννύσι τὴν τῶν ὑγρῶν δριμύτητα. καὶ τὴν αὐτῶν λεπτότητα πρὸς τὴν οἰκείαν παχύτητα μεταβάλλει. καὶ συντόμως φάναι κἄν τι νύξις παρενοχλῇ. κἄν τι μή. ἐγχυματίζειν τῷ ᾠῷ καθ' ἑαυτὸ μετὰ τὴν τῶν κολλυρίων χρῆσιν σοι προσφέρει. ἀποσμήχει μὲν γὰρ πᾶσαν τὴν ἔννοσον σαπρίαν. καὶ γὰρ ἡ τῶν κολλυρίων χρὴ οὐσία ὅπως ἂν ἡ λεπτομερὴς ὑφιζάνουσα τοῖς τε χιτῶσι τῶν ὀφθαλμῶν καὶ τοῖς βλεφάροις φέρει τινὰ τραχύτητα. καὶ ταύτην προσαπαλλάξουσαν τῷ ὀφθαλμῷ οὐκ ἀγαθὴν νομιστέον.

Περὶ τῶν γάλα ἐγχυματιζομένων τοὺς φλεγμαίνοντας ὀφθαλμούς. ιβ.

Τινὲς δὲ βουλόμενοι ἀμβλῦναι τὴν ὀδύνην, ἢ γλυκᾶναι τὴν θερμότητα δριμύτητα, γάλακτι ἀντὶ τοῦ ᾠοῦ ἐγχυματίζουσιν. ἔλαθον δὲ ἑαυτοὺς ἀντὶ μικρῆς παραμυθίας, χρονίας διαθέσεως τῷ πάσχοντι πρόξενοι γινόμενοι. τὸ αὐτὸ γὰρ πάσχουσι τοῖς τραύματα λιπαίνουσι. καὶ τὰ ὑποσαρκώματα ἐπαύξουσιν ἀλλὰ καὶ εὐαλλοίωτον ὑπάρχον τὸ γάλα ἀπὸ τῆς παρὰ φύσιν ἐν τῷ ὀφθαλμῷ θερμασίας, εὐθὺ τὸ δριμύτερον μεταβάλλεται. καὶ περὶ μὲν τῆς θερμῆς ὀφθαλμίας, ἱκανὰ τὰ εἰρημένα. ἑπομένως δὲ περὶ τῆς ψυχρᾶς ῥητέον.

Περὶ τῆς κατὰ τοὺς ὀφθαλμοὺς ψυχρᾶς δυσκρασίας. ιγ.

Ἐπὶ δὲ τῆς αὐτοῖς ὀφθαλμοῖς ψυχρᾶς δυσκρασίας, ἥττοι τῆς θερμῆς οἱ πόνοι γίνονται. χρονίζει δὲ μᾶλλον ἐν τῇ θεραπείᾳ, καὶ εἰ ἐπιγένοιτο ἐπὶ τούτων φλεγμονὴ, οἰδηματώδης γίνεται. καὶ οἱονεὶ μολιβδώδης τὴν χρόαν. ὡς ἐπίπαν δὲ τούτοις ὁ ὀφθαλμὸς οὐ πάνυ τεταραγμένος. οὐδὲ ἐνερευθὴς εὑρίσκεται. δάκρυον δὲ αὐτοῖς ἀπορρεῖ, διὰ τοῦ μικροῦ κανθοῦ. ἔσθ' ὅτε δὲ καὶ διὰ τοῦ μεγάλου βραχύτατον καὶ ψυχρότατον. προβαίνοντος δὲ τοῦ χρόνου, καὶ ὑποφλεγμαίνει τὰ βλέφαρα. καὶ νυγμοὶ παρακολουθοῦσι. συνίσταται δὲ τὸ πάθος, φλεγματικῶν καὶ ψυχρῶν ἐν τῇ κεφαλῇ πλεονασάντων. ἐνίοτε δὲ καὶ ἀέρι ψυχρῷ ἐνδιατριψάντων. καὶ μάλιστα μετὰ βαλανεῖον. τούτοις μὲν εὐκαίρως προσήκει κενωμένοις κλυστῆρι τὴν κοιλίαν, καὶ τὸ λουτρὸν προσαγέσθω. ἀλλὰ καὶ οἶνον δοτέον. καθὼς πρὸ βραχέων ἐν τοῖς τοῦ Ἱπποκράτους ἀφορισμοῖς προείρηται. ἐγχυματιστέον δὲ αὐτοὺς ἀρχομένης τῆς ὀφθαλμίας, τῷ ναρδίνου ζωΐλου. ὑδαρεστέραν τὴν σύστασιν ποιοῦντες ἐν τῇ ἀνέσει. καὶ ὅσον ἀπομειοῦται τὰ τοῦ δακρύου, παχύνειν καὶ τὴν τοῦ κολλυρίου σύστασιν. ἔσται δέ σοι οὗτος καθολικὸς ὅρος τῆς κατὰ τοὺς ὀφθαλμοὺς θεραπείας, τῇ μειώσει τῶν ἐπιφερομένων παχύνειν τὴν τῶν προσαγομένων κολλυρίων σύστασιν. παρακμαζούσης δὲ τῆς ὀφθαλμίας, ὕδατι ἀνιέντες τὸ νάρδινον, ὑπαλείφειν δεῖ τῷ πυρῆνι τῆς μήλης, τὸ βλέφαρον.

Περὶ ἐμφυσήματος ἐκ τῶν Δημοσθένους. ιδ.

Ἐμφυσᾶσθαι τὸν ὀφθαλμὸν λέγουσιν, ὅταν χωρὶς φανερᾶς αἰτίας οἰδήσας ὁ ὀφθαλμός, ἀχρούστερος

τε καὶ φλεγματωδέστερος. καὶ κνησμώδης ἰσχυρῶς μετὰ ῥεύματος γίγνεται. συμβαίνει δὲ τοῦτο ὡς ἐπίπαν τοῖς πρεσβυτέροις μάλιστα. ἀπὸ τοῦ πρὸς τῇ ῥινὶ κανθοῦ, κνησμοῦ ἀρχομένου. ὥσπερ ὑπὸ μύας δακνομένου ἢ κώνωπος. προσπλεονάζει δὲ ἐν θέρει. θεραπεύεται δὲ πυριῶντα διὰ σπόγγου. εἶτα ὑποχρίειν ἔνδοθεν τὸ βλέφαρον μέλι. καὶ ἰδίαν. καὶ μετὰ κρόκου λείου. καὶ ἡ ἐρασιστράτειος καὶ πάγχρηστος ὑγρὰ εὔθετεῖ. ἐπιχρίειν δὲ ἔξωθεν τὰ βλέφαρα τῷ μέλιτι. συμφέρει δὲ καὶ κενοῦν τὴν κοιλίαν. εἶτα καὶ λούειν. καὶ καταχεῖν κατὰ τῆς κεφαλῆς εὔκρατον θερμὸν ὕδωρ. καὶ μετὰ τὸ λουτρὸν, οἶνον διδόναι. ἐπὶ δὲ τῶν ἄγαν κνησμωδῶν εἰ ἐπιτρέποι ἡλικία καὶ τὰ ἑξῆς. καὶ μηδὲν ἕτερον ἀντιπράττει, φλεβοτομεῖν ἀπ᾿ ἀγκῶνος ἢ προκενώσαντα τὴν κοιλίαν καθαίρειν. καὶ θάλασσα δὲ ἡ θερμὴ ὠφελεῖ καταντλουμένη μάλιστα χειμῶνος.

Περὶ οἰδήματος. ιε΄.

Οἰδαίνειν τὸν ὀφθαλμὸν λέγουσιν. ὅταν συμβῇ ἐπαίρεσθαι τὸ βλέφαρον ἔξωθεν. καὶ ἀχρούστερον εἶναι καὶ βαρύτερον. καὶ δυσκινητότερον. καὶ ὠχρότερον φαίνεσθαι. ἐνίοτε δὲ καὶ τὸ λευκὸν τοῦ βλεφάρου ὑπεραίρει ἐπὶ ποσὸν τοῦ μέλανος. ἔστι δὲ σομφὸν οἴδημα ἔξωθεν περὶ τὸ βλέφαρον γιγνόμενον. ὃ πιεζόμενα μὲν τῷ δακτύλῳ, ταχέως ὑποχωρεῖ. καὶ ταχέως ἀναπληροῦται. καὶ ἔστιν ἄπονον ὡς ἐπὶ τὸ πολὺ. καὶ ὁμόχροον τῷ κατὰ φύσιν. γίγνεται δὲ ὡς ἐπίπαν ὑπὸ ῥεύματος ὑδαροῦς. θεραπευτέον δὲ ὅσα ἔξωθεν περὶ τὰ βλέφαρα μόνα ἐστὶν οἰδήματα, χωρὶς τῆς τοῦ ὀφθαλμοῦ συμπαθείας. προκενωθείσης τῆς κοιλίας κλυστῆρι τοῖς ἐπιχρίστοις μόνοις προπυριάσαντα δὲ σπόγγον. τὰ δὲ σομφὰ οἰδήματα, καὶ ὁμόχροα. προκενώσαντα ὁμοίως τὴν κοιλίαν καὶ πυριάσαντα, μέλιτι ὑποχρίειν ἔνδοθεν τὸ βλέφαρον. ὠφελοῦνται δὲ καὶ οὗτοι ὑποχριόμενοι, τῇ ἐρασιστράτου ὑγρᾷ. χρηστέον δὲ ἐπ᾿ αὐτῶν καὶ ἀποφλεγματισμοῖς διὰ μέλιτος ἑφθοῦ. καὶ σταφίδος ἡμέρου. καὶ θύμου. καὶ γλήχωνος. τὰ δὲ δριμύτερα παραιτητέον, καθάπερ σταφίδα ἀγρίαν καὶ τὰ ὅμοια. ἐφ᾿ ὧν δὲ καὶ ὀφθαλμὸς συμπέπονθε τῷ βλεφάρῳ. προκενώσαντα τὴν κοιλίαν καὶ ἐν ἀσιτίᾳ τηρήσαντα, πυριᾶν σπόγγοις. ἐνίοτε καὶ προσηκάντλησει τοῦ προσώπου χρῆσθαι. καὶ μάλιστα ἐφ᾿ ὧν κνησμὸς παρέπεται. ἔπειτα ἀψίνθιον λεῖον. ἢ ὕσσωπον μετὰ μέλιτος ἐπιχρίειν ἄνωθεν. ἐὰν δὲ ὁ χρὼς ἀσθενὴς ὑπάρχοι, φακὸν ἑψήσας. καὶ δι᾿ ἠθμοῦ μαγειρικοῦ ἢ διὰ κοσκίνου. ἢ ῥάκους ἀραιοῦ ἐκθλίψας. καὶ μέλιτι μίξας, τὸ ἀπόθλιμμα ἐπίχριε. ἐὰν δὲ θερμὸς εἴη, κρόκον μετ᾿ οἰνομέλιτος ἐπιχρίειν. ἢ διὰ χυλοῦ κόρεως. ἢ στρύχνου. ἢ σέρεως. ποιεῖ δὲ καὶ τὸ γλαύκιον. τὸν δὲ ὀφθαλμὸν ὑποχρίειν τῇ τοῦ ἐρασιστράτου ὑγρᾷ. ἢ τινὶ ἑτέρῳ, ὑγρασίαν πλείστην ἐκ τῶν ὀφθαλμῶν ἄγειν δυναμένῳ.

Περὶ σκιρρώδους οἰδήματος. ις΄.

Γίγνεται δὲ καὶ σκιρρώδη οἰδήματα περὶ τὸν ὀφθαλμὸν ἔξωθεν ὡς ἐπίπαν ἀντίτυπα καὶ σκληρά. προσερχόμενα μέχρι μήλων καὶ τῶν ὀφρύων. μάλιστα δὲ τοῦτο ἐπισυμβαίνει, ἐκ τῶν ἀνθρακώσεων. καὶ τῶν πολυχρονίων ὀφθαλμιῶν. πλεονάζει δὲ μάλιστα γυναιξί. δεῖ οὖν ἐὰν μετὰ τὰ βλέφαρα ἅμα ἔνδοθεν παχυνθῇ. ἐκστρέφοντα παραξύειν κατὰ τὸ ἔθος, τοῖς τραχωματικοῖς κολλυρίοις. ἐὰν δὲ ἔξωθεν ᾖ μόνον ἡ διάθεσις, μηδόλως ὑποχρίειν τὸν ὀφθαλμόν. ἀλλὰ ῥίψει περιλαμβάνειν τοῦ παντὸς σώματος. καὶ αὐτοῦ τοῦ σκιρρωθέντος μέρους. μετὰ ταῦτα κελεύοντα μύειν τοὺς ὀφθαλμούς. καὶ ἀνατρίβοντα πλείονι χρόνῳ. εἶτ᾿ ἐγχρίειν τοὺς ὀφθαλμοὺς τῷ ὑποκειμένῳ κολλυρίῳ. πεῖρχριστον. λιβανωτοῦ, ∠ ϛ΄. κόμμεως, ∠ ϛ΄. στυπτηρίας σχιστῆς, ∠ α΄. σιδίων, ∠ α΄. λείοις ὕδατι παράχριε. καὶ ἔα ξηραίνεσθαι. ἑσπέρας δὲ ὀθόνιον μαλακὸν. καὶ ἔριον ἐπιδεσμεῖν. ἐὰν δὲ καρτεροῦσι καὶ ἡμέρας. περιπάτῳ δὲ χρῆσθαι πλείονι ἠρεμαίῳ. παραιτεῖσθαι βαλανεῖα. καὶ ἥλιον. καὶ τὰ λοιπὰ πυριατήρια. ὄσπριά τε καὶ τραγήματα. θυμούς τε καὶ κατοχὰς πνεύματος. καὶ ἐμέτους. καὶ συνουσίας περιϊστασθαι.

Κοινὴ θεραπεία τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν Σευήρου. ιζ΄.

Ἑλκοῦται ὁ ὀφθαλμὸς, ὁτὲ μὲν ἔξωθεν τινὸς προσπίπτοντος. ὁτὲ δὲ διὰ ἐπιφορὰς ἑλκῶν ἢ ἀναβρώσεως. εἴτε τοῦ ἐπιπεφυκότος ὑμένος. εἴτε τοῦ κερατοειδοῦς. ἢ τῶν βλεφάρων ἐστὶν ἢ τῶν κανθῶν. θεραπευτέον δὲ κοινῶς καθόλου πάντα τὰ ἐν ὀφθαλμῷ ὁποσοῦν γιγνόμενα ἕλκη. πρὸ πάντων τοῦ ὅλου σώματος προνοοῦντας. ὅπως τὸ πλεονάζον ἐν τῇ ἕξει, συναιρεθῇ διὰ φλεβοτομίας. ἢ καθάρσεως ἢ κλυστῆρος. εἰ δὲ καὶ πάντων τούτων ἡ περίστασις δέοιτο, πᾶσι χρηστέον. τὴν δὲ δίαιταν τυποῦν ἐναντίαν τῷ ἐνοχλοῦντι. τὸ μὲν λεπτὸν ῥεῦμα παχύνοντες. τὸ δὲ παχὺ λεπτύνοντες. τὸ δὲ γλίσχρον τέμνοντες. τῶν διεφθορότων καὶ δριμέων ἐπίκρασιν ἐργαζόμενοι. καὶ πάντοθεν τὴν κατὰ φύσιν εὐκρασίαν τῷ κάμνοντι πορίζομενοι. τὴν δὲ κοιλίαν εὔλυτον ἀεὶ ταῖς τροφαῖς ποιητέον. ῥίψει τε πλείονι χρῆσθαι τῶν κάτω μερῶν. καὶ περιπάτοις πλείοσιν ἠρεμαίοις. ὑδροποσίᾳ δὲ χρῆσθαι. καὶ σπανιαίτατα λούειν. κολλυρίοις δὲ ἁπαλοῖς χρῆσθαι ἐγχυματίζοντες τὸν ἡλκωμένον ὀφθαλμόν. οἷός ἐστιν ὁ ἀστὴρ, εὐδοκιμώτατον πρὸς ἕλκη φάρμακον. καὶ τὰ λευκὰ δὲ τὰ κυκνάρια ἐκ τῆς χροιᾶς προσαγορευόμενα. καὶ μάλιστα τὰ διὰ χυλοῦ τήλεως σκευαζόμενα. εἰ δὲ ῥυπαρὸν εἴη τὸ ἕλκος, μετὰ χυλοῦ τήλεως ἀνιέναι τὰ κολλύρια χρή. καὶ οὕτως ἐγχυματίζειν. τὸ γὰρ γλίσχρον αὐτῆς, ῥᾳδίαν τὴν ἀποβολὴν ποιεῖται τοῦ ῥύπου. κέκτηται δὲ σὺν τῷ γλίσχρῳ καὶ χαλαστικὴν δύναμιν. ὥστε πολλάκις ἐπὶ τῶν ἑλκῶν, αὐτῷ μόνῳ τῷ τῆς τήλεως χυλῷ χρησάμενοι, ἠνύσαμεν τὸ δέον. εἰ δὲ πολὺς εἴη ὁ ῥύπος, προσπλέκειν τῷ

τῆς τίλεως χυλῷ. καὶ μέλιτος βραχὺ προσήκει. Σκευασία τῆς τίλεως.

Καθαίρειν δὲ χρὴ τὴν τίλιν ἀκριβέστατα. καὶ ἀποπλύνοντα αὐτὴν πλειστάκις. ἀποβρέχειν, ὕδατι γλυκεῖ καθαρῷ. ἐν ὀστρακίνῳ ἀγγείῳ καλῶς ὠπτημένῳ. παραιτεῖσθαι δὲ χαλκοῦν σκεῦος πρὸς τὴν ἕψησιν. τῇ δ᾽ ἑξῆς ἀποχέας τὸ ὕδωρ. καὶ ἕτερον καθαρὸν ἐπιβάλλων, ἕψε πυρὶ μαλθακῷ ἀκάπνῳ χρώμενος. ἀποβαλλέσθω δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον ἀφέψημα, πρὸς τὸ τὴν πικρότητα πᾶσαν ἀποβληθῆναι. ἔπειτα καθαρώτατον ὕδωρ ἐπιβαλὼν. καὶ σκεπάσας ἐπιμελῶς, ἕψε ἕως ἔχει σύστασιν μέλιτος ὑγροτέραν. ἔπειτα διηθήσας δι᾽ ὀθονίου μὴ ἀποπιέζων τὴν τίλιν. ἀλλ᾽ ἀρκούμενος τῷ αὐτομάτως ἀπορρέοντι χυλῷ, χρῶ καὶ ὡς προείρηται. δεῖ δὲ ἕως τῆς δευτέρας. ἢ τὸ μήκιστον τρίτης φυλάττειν τὸ ἀφέψημα. δριμύτερον γὰρ γίνεται χρονίζον. καθαρῶν δὲ γιγνομένων τῶν ἑλκῶν, ἀπέχεσθαι χρὴ τοῦ χυλοῦ τῆς τίλεως. καὶ εἰ μὴ βαθύτερα εἴη τὰ ἑλκώδη, χρῆσθαι τῷ λιβιανῷ. ἢ μᾶλλον τῷ διὰ λιβάνου κολλυρίῳ. σαρκωθέντων δὲ τῶν ἑλκῶν. ἰσοπέδων γιγνομένων. ἢ καὶ ἔτι καθυτέρων ὑπαρχόντων, βραχὺ προσάγειν τὰ ἐπουλοῦν δυνάμενα κολλύρια. οἷόν ἐστι τὸ τοῦ κλέωνος. καὶ περὶ μὲν τῆς κοινῆς τῶν ἑλκῶν ἐπιμελείας, ἱκανὰ τὰ εἰρημένα. ἑπόμενα δὲ ἐστι λέγειν ὅπως χρὴ πρὸς ἑκάστην διάθεσιν ἰδίᾳ ἐνίστασθαι. πρότερον δὲ ῥητέον περὶ τῶν ἐκ τῶν ἔξωθεν προσπιπτόντων γιγνομένων ἑλκῶν.

Περὶ τῶν ἐμπιπτόντων εἰς τὸν ὀφθαλμὸν ζωϋφίων. ἢ ἀχύρου. ἢ ψάμμου. Δημοσθένους. ιη.

Ἐὰν εἰς τὸν ὀφθαλμὸν κώνωψ. ἤ τι ἕτερον ζωύφιον ἐμπέσῃ. μύσας τὸν ἕτερον ὀφθαλμὸν. καὶ διανοίγων τὸν πεπονθότα, ἐξελεύσεται αὐτομάτως τὸ ζωύφιον. ἐὰν δὲ ἄχυρον. ἢ ψάμμος. ἤ τι τοιοῦτον ἐμπέσῃ. πειράθητι μὲν καὶ τότε τὸ αὐτὸ ποιεῖν. εἰ δὲ ἐμμένῃ, δακτυλίῳ ἔξελε. ἢ ὕδωρ. ἢ γάλα. ἢ μελίκρατον μᾶλλον ἐγχυμάτιζε. ἐὰν δὲ μᾶλλον προσέχηται τῷ ὀφθαλμῷ, φαρμάκῳ τινὶ τῶν ἀμολύντων καὶ μὴ δριμέων ἀναρπάζειν. οἷόν ἐστι τὸ διὰ μέλιτος. Περὶ τῆς εἰς τὸν ὀφθαλμὸν ἐμπεσούσης ἀσβέστου. ιθ.

Εἰ δὲ ἄσβεστος ἐμπέσῃ εἰς τὸν ὀφθαλμὸν, ὕδωρ μὲν καὶ γάλα ἐγχυματισθὲν, προσέλκει καὶ ἐκκαίει. ἀμαυροῖ δὲ τὴν καυστικὴν δύναμιν. ὠοῦ τὸ λευκὸν ἐγχεόμενον. καὶ μᾶλλον τὸ ῥόδινον ἔλαιον.

Περὶ τῶν ἀπὸ πυρὸς ἑλκώσεων. κ.

Ὅσα δὲ ἀπὸ πυρὸς γίνεται ἕλκη, σκληροτέρας ἐσχάρας ποιεῖ. ἐνυγραντέον οὖν αὐτὰς συνεχέστερον. ἐγχυματίζοντα γάλακτι σὺν τῷ λευκῷ τοῦ ὠοῦ. κολλυρίοις δὲ χρηστέον τοῖς διὰ στίμμεως καὶ τοῖς κλέωνος. Περὶ τῶν ἐμπηγνυμένων εἰς τὸν ὀφθαλμόν. κα.

Ἐὰν δὲ ἐμπαγῇ εἰς τὸν ὀφθαλμὸν ἤτοι σκολόπιον. ἢ ὀστάριον, λαβιδίῳ ἐξελκέσθω. προσέχοντος κατευθὺ μὴ ἀποκλασθῇ. εἰ δὲ μηδὲν ἐξέχοι. ἀλλ᾽ ἰσόπεδον τῷ σώματι εἴη, μήλας β. λαβὼν, αἶρε τοὺς πυρῆνας, ἔνθεν καὶ ἔνθεν. καὶ προσπίεζε τὸν ὀφθαλμόν. μεσολαβουμένου τοῦ ἐμπαρέντος. ὅταν δὲ προκύψῃ, τῷ λαβιδίῳ ἐξελκέσθω. εἶτα ἐγχυματιζέσθω αἵματι τρυγόνου. ἢ περιστερᾶς. ἢ ὠοῦ τῷ λευκῷ. εἰ δὲ παραχρῆμα κομισθῆναι μὴ δυνηθείη, ἐγχυματιζέσθω ὁ ὀφθαλμὸς. καὶ καταπλασσέσθω τοῖς πρὸς φλεγμονὰς καταπλάσμασι. μετὰ γάρ τινας ἡμέρας πυωθέντος τοῦ μύγματος, ἀναπλεῖ τὸ καταπαρέν.

Περὶ ὑποσφάγματος. κβ.

Ὑπόσφαγμα λέγεται, ὅταν ἐκ πληγῆς τινὸς ῥαγέντων. ἢ θλασθέντων τῶν ἐν τοῖς χιτῶσι τοῦ ὀφθαλμοῦ ἀγγείων, καὶ μεταξὺ τοῦ χιτῶνος τὸ αἷμα ὑπέλθῃ, καὶ παραχρῆμα μένει αἱμοφανὲς τὸ χρῶμα τοῦ ὀφθαλμοῦ. ὕστερον δὲ πελιδνόν. θεραπευτέον δὲ τούτους σὺν τῇ προρρηθείσῃ κοινῇ τῶν ἑλκῶν ἐπιμελείᾳ, τῇ διὰ φλεβοτομίας. ἢ καθάρσεως. καὶ τῶν ἀκολούθων. ὠοῦ τὸ λευκὸν χλιαρὸν ἐγχυματίζοντα. ἢ αἷμα τρυγόνος. ἢ περιστερᾶς. ἄνωθεν δὲ ἐπιθετέον ἔριον. οἴνῳ καὶ ῥοδίνῳ καὶ ὠῷ διάβροχον, καὶ ἐπιδέσμῳ κούφῳ χρηστέον. τῇ δ᾽ ἑξῆς πυριατέον πολλάκις τὸν ὀφθαλμὸν. σπόγγῳ δι᾽ ἀφεψήματος ἀψινθίου ἢ ὑσσώπου μάλιστα. ἔξωθεν δὲ ἔριον ἐπιτιθέσθω. ὅταν δὲ ὁ ὀφθαλμὸς ἀφλέγμαντος γένηται, μέλιτι ὑπαλειφέσθω. ἢ τῇ ἐρασιστράτου ὑγρᾷ. ἢ τῷ ἀρωματικῷ κολλυρίῳ. καλῶς δὲ ποιεῖ καὶ στρύχνου χυλὸς μετὰ μέλιτος ἐγχεόμενος. καὶ λίβανος ὑποθυμιώμενος μετὰ ἀσφάλτου ἴσης. πρὸς δὲ τὰ κεχρονικότα ὑποσφάγματα καλῶς ποιεῖ τοῦτο. εἰς χαλκοῦν ἐρυθρὸν. βαλὼν παιδὸς ἀφθόρου οὖρον, λείου δίδυκι χαλκῷ ἐν ἡλίῳ ἐφ᾽ ἱκανὰς ἡμέρας. ὡς ἱκανὸν χυλὸν ἀνέσῃ. καὶ ἐάσας ξηρανθῆναι ἀναλαβὼν. καὶ μέλιτι μίξας, χρῶ. ἀπολλώνιος δὲ ὁ μεμφίτης πρὸς ὑποσφάγματα καὶ μώλωπας, κολλύριον τοιοῦτον ἐκτίθεται. λίθου αἱματίτου, αἵματος ὀνείου ἀπὸ καρδίας. ξηρανθέντα ἐν ἡλίῳ ἴσα, οὔρῳ παιδὸς ἀφθόρου λείου. καὶ καρδαμέας τῆς ἰβηρίδος καλουμένης χυλὸν ἐπιβαλὼν καὶ σβαλεάρας, ἐγχυμάτιζε. πλὴν κολλύρια ἀνάπλασσε τοιαῦτα καὶ ἐπὶ τῆς χρείας μετὰ ἅλμης ἐγχυμάτιζε. Ἄλλο. λίθου αἱματίτου, ∠. δ. αἵματος περιστερᾶς ξηροῦ, ∠. δ. ὀνείου αἵματος, ∠. δ. κόμμεως, ∠. β. λείου ὡς προείρηται καὶ χρῶ.

Περὶ νυγμάτων. κγ.

Γίνεται τὰ ἐπὶ τὸν ὀφθαλμὸν νύγματα διὰ συμβαίνει ἀπὸ γραφίων. ἤ τινος τοιούτου μετὰ τὴν προειρημένην κοινὴν ἐπιμέλειαν, αἵματι τρυγόνος. ἢ περιστερᾶς ἐγχυματιζέσθω εὐθὺς ἐξ ἀρχῆς. ἢ ὠοῦ τὸ λευκὸν. καὶ κατ᾽ ἀρχὰς μὲν παραιτητέον τὰς πυρίας καὶ τὰ θερμὰ καταπλάσματα. μετὰ δὲ τὴν τρίτην ἢ τετάρτην ἡμέραν προκενωθέντος τοῦ παντὸς σώματος, σπόγγοις ἀποπυριᾶν. καὶ καταπλάσσειν τοῖς πρὸς φλε-

γμένας ἀναγραφησομένοις. κολλύρια δὲ προσάγειν ἀδηκτότατα. καὶ ἀδιάφθαρτα φαίνεται τὰ ἕλκη. χρηστέον οὖν τῷ τε σποδιακῷ καὶ τῷ τεφρῷ. καὶ τῷ ἀστέρι. καὶ τοῖς ὁμοίοις. ποίει δὲ καὶ τὸν ἥλου διάρροδον ὑδαρὲς μετὰ ᾠοῦ ἐγχυματιζόμενον.

Περὶ θραυμάτων βαθυτέρων. κδ.

Ὅταν δὲ βαθύτερον καὶ μεῖζον γένηται ἐν ὀφθαλμῷ θραῦμα ὡς ἐκρυῆναι, κινδυνεύει τὰ ἐν τῷ ὀφθαλμῷ ὑγρὰ, προσεκτέον μὴ φλεγμονὴ ἐπιγένηται. καὶ παρέπεται πυρετός. πρὸ πάντων οὖν τῇ ἀγκῶνος φλεβοτομίᾳ χρηστέον. εἴγε ἀντέχοι ἡ δύναμις. οὐδὲν γὰρ ἐνεργέστερον βοήθημα κατ᾽ ἀρχάς. παρεχλιμπανομένης δὲ τῆς φλεβοτομίας, καθαρτηρίῳ ἐπιτηδείῳ χρηστέον. εἰ δὲ μὴ κλυστῆρσιν ὑπακτικοῖς τὴν κοιλίαν κενωτέον. τὸν δὲ ὀφθαλμὸν ἐγχυματιστέον τῷ λευκῷ τοῦ ᾠοῦ. καὶ καταπλαστέον ᾠῷ ἀνακεκομμένῳ τῷ πυῤῥῷ μετὰ ῥοδίνου καὶ οἴνου ἐγχέοντα. καὶ χλιαίνοντα ἡσυχῆ. καὶ εἰς ἔριον ἀναλαβόντα. ταῖς δὲ ἑξῆς ἡμέραις, πυριᾶν δι᾽ ἀφεψήματος ῥόδων. ἢ μελιλώτων. καὶ ἐγχυματίζειν γάλακτι γυναικείῳ μετ᾽ ᾠοῦ χλιαροῖς. καταπλάσμασι δὲ χρηστέον, τοῖς πρὸς φλεγμονὰς ἀναγεγραμμένοις. καὶ μάλιστα τῷ διὰ κωδύων καὶ μελιλώτων. καὶ κρόκου. καὶ ἄρτου. καταχριστέον δὲ καὶ ὀπίῳ ὀλίγῳ μετὰ κρόκου διαλελυμένῳ, μέτωπον καὶ κροτάφους. κοῦφα δὲ ἔστω τὰ καταπλάσματα. καὶ τὸ ἄνω βλέφαρον μόνον καταπλαττέσθω. πρὸς τὸ δύνασθαι ἀνοίγειν καὶ ἐκκρίνειν τὸ ἐπιφερόμενον δάκρυον. ἐπιδείσθω δὲ ὁ ὀφθαλμὸς κούφως. εἰ δέ τινες μὴ φέροιεν τὰ καταπλάσματα, ἐπιχριέσθωσαν τῷ νείλου διαρόδῳ τὰ βλέφαρα. καὶ τοὺς κροτάφους. καὶ τὸ μέτωπον. σφοδροτέρων δὲ γινομένων τῶν ὀδυνῶν, παραληπτέον ψίλωσιν τῶν τριχῶν τῆς κεφαλῆς. καὶ σικύαν κολλητέον τῷ ἰνίῳ καὶ τῇ κορυφῇ. καὶ ποτιστέον εἰς νύκτα τινὰ τῶν ἀνωδύνων. περὶ δὲ τετάρτην, ἢ ἑβδόμην ἡμέραν, ἐγχυματιστέον τῷ νείλου διαρόδῳ ὑδαρεστάτῳ μέχρις ἀποθεραπείας. τροφὴν δὲ διδόναι ῥοφηματώδη. εὔχυμον. καὶ εὐκοίλιον. δεῖ γὰρ εὔλυτον εἶναι τὴν κοιλίαν ἀεί. ἀφεκτέον δὲ οἴνου μέχρι παρακμῆς. παραφυλακτέα δὲ, καὶ ὅσα πληροῖ τὴν κεφαλήν. καὶ ἐρεθίζει τὸν ῥευματισμόν.

Περὶ τῆς τοῦ ᾠοειδοῦς ἐκκρίσεως. κε.

Εἰ δὲ νυγέντος τοῦ ὀφθαλμοῦ, ἔκκρισις τοῦ ᾠοειδοῦς ὑγροῦ γένηται ὥστε καὶ συσταλῆναι ἐπὶ ποσὸν τὸν ὀφθαλμόν. τὰ μὲν ἄλλα παραπλήσια τοῖς εἰρημένοις γινέσθω, πρὸς τὸ μὴ φλεγμονὴν ἐπιγίνεσθαι. μετὰ δὲ τὴν τῆς φλεγμονῆς παρακμὴν καὶ τῆς ἑλκώσεως, βαλανεῖον συνοίσει. καὶ οἶνος λεπτὸς σύμμετρος. καὶ εὔχυμος πρὸς τὸ εὐτροφῆσαι καὶ ἀναπληρωθῆναι τὸ ὑγρόν.

Περὶ τῆς τοῦ ὀφθαλμοῦ προπτώσεως. κϛ.

Ἡ πρόπτωσις τοῦ ὅλου ὀφθαλμοῦ συμβαίνει, ἔκ τινος βιαίου πληγῆς τῆς κεφαλῆς. ἢ ἑλκῶν ἀνθρακωδῶν. ἢ τῶν ἐν τοῖς ἀγγείων καὶ ὑμένων. οἷς προσπέφυκεν ὁ ὀφθαλμὸς, ἀποῤῥηγνυμένων ἢ χαλωμένων. προσπίπτει γὰρ ἐπ᾽ ἐνίων ὅλος ὁ ὀφθαλμὸς εἰς τὸ ἐκτός. ὡς μὴ δύνασθαι ὑπὸ τῶν βλεφάρων καλύπτεσθαι. ἐνίοτε δὲ καὶ μέχρι μήλων καὶ ὀφρύων προσπίπτει. καὶ μάλιστα τοῦτο συμβαίνει ταῖς ἐξ ὑψηλῶν καταπτώσεως, ἢ ταῖς βιαίαις κατὰ κεφαλῆς πληγαῖς. κινδυνῶδες δέ ἐστι τὸ πάθος. θεραπευτέον οὖν παραχρῆμα φλεβοτομίᾳ. ἢ καθάρσει. καὶ τὰ λοιπὰ πρακτέον τὰ προῤῥηθέντα ἐν τῇ κοινῇ τῶν ἑλκῶν ἐπιμελείᾳ. καὶ τὴν τροφὴν περιαιρετέον. ἔπειτα ᾠῷ καὶ ῥοδίνῳ καὶ οἴνῳ ἀνακεκομμένῳ. ἔριον βρέχων ἐπιτίθει. μετὰ δὲ ταῦτα καταπλαττέ τῷ διὰ μελιλώτων καὶ κωδύων καταπλάσματι. καὶ ὑοσκυάμου φύλλοις, σὺν ἄρτῳ ἢ ψυλλίῳ ἐπ᾽ ὀλίγον βραχέντι. συνεχῶς δὲ ἀλλασσέσθω τὰ καταπλάσματα. ἵνα μὴ θερμανθέντα τὰ μέρη διαπυήσῃ. ταῖς δὲ ἑξῆς ἡμέραις ἐνδιδούσης τῆς φλεγμονῆς, σικύαν προσβλητέον τῷ ἰνίῳ μετὰ κατασχασμοῦ. παρούσης δὲ τῆς φλεγμονῆς, ἀνάρμοστοι αἱ σικύαι. ἐγχυματιστέον δὲ συνεχῶς, ᾠῷ καὶ γάλακτι χλιαροῖς. ἐνδιδούσης δὲ τῆς φλεγμονῆς, τῷ νείλου διαρόδῳ μετ᾽ ᾠοῦ χρηστέον. ἢ καὶ μέλιτος βραχὺ ἀκάπνου προσμιγνύειν αὐτῷ. πρὸς τὸ ἐκκρίνεσθαι τοὺς ἰχῶρας. ἅμα δὲ καὶ τὸν πυρῆνα τῆς μήλης ὑποβλητέον ὑπὸ τὸ βλέφαρον. εἰς τὸ μὴ πρόσφυσίν τινα γενέσθαι. τῆς δὲ προπτώσεως ἐπὶ πολὺ γεγενημένης. καὶ μηδεμιᾶς ἐλπίδος οὔσης ἀποκαταστῆναι τὴν ὄψιν, καταπλάσμασι χρηστέον τοῖς ἐκτήκειν δυναμένοις. οἷά ἐστι τὰ διὰ γύρεως. ἀλλὰ καὶ φακῷ καταπλαστέον μετὰ μέλιτος. ἐνδιδούσης δὲ τῆς φλεγμονῆς, ἐπὶ λουτρὸν ἄγειν.

Περὶ τῶν ἐκ τῆς ἐπιφορᾶς ὑγρῶν γινομένων ἑλκώσεων ἐπιπολαίων. νεφελίου ἀχλύος. ἐπικαύματος. ἐγκαύματος. κζ.

Αἱ δὲ ἐκ τῆς τῶν ὑγρῶν ἐπιφορᾶς γιγνόμεναι ἐπιπολαιότεραι ἑλκώσεις, διαφόρως ὀνομάζονται. ἡ μὲν γὰρ ἀχλὺς, ἐπιπόλαιός ἐστιν ἕλκωσις ἐπὶ τοῦ μέλανος γιγνομένη. παραπλησία ἀχλυώδει ἀέρι τῷ χρώματι κυανῷ. πλείω τόπον ἐπέχουσα τοῦ μέλανος. ὅταν δὲ ἐπὶ τῆς κόρης γένηται, οὐ ῥαδίως ὁρῶσι. νεφέλιον καλεῖται τὸ ἐπὶ τοῦ μέλανος βαθύτερον τῆς ἀχλύος ἕλκος καὶ μικρότερον. τῇ δὲ χρόᾳ λευκότερον. ἐπίκαυμα δὲ λέγεται, ὅταν τὸ μέλαν τοῦ ὀφθαλμοῦ τραχυνθὲν ἐπιπολῆς ἐπικεκαυμένον φανῇ τῇ χρόᾳ τεφρὸν γινόμενον. ἔγκαυμα δέ ἐστι τὸ κατὰ τὸ πλεῖστον γιγνόμενον ἐκ πυρετοῦ ἕλκος μετὰ ἐσχάρας ἀκαθάρτου ἐπὶ τοῦ μέλανος ἢ τοῦ λευκοῦ. ἐπὶ μὲν τοῦ μέλανος κατὰ βάθος γιγνόμενον. καὶ ὡς ἐπίπαν ἐν τῇ καθάρσει μείζονος διαβρώσεως γιγνομένης τῶν ὑμένων, προχεῖται ἐκ τοῦ κατ᾽ ὀλίγον τὰ ὑγρά.

καὶ ἐκρεῖ ὅλος ὁ ὀφθαλμός. ταύτας μὲν οὖν τὰς αὐτῶν πολλάκις τὰς ἑλκώσεις μετὰ πυρετοῦ ἢ χω-
ρὶς πυρετοῦ γιγνομένας ἰᾶσθαι χρή. προκενώσαντας κλυστῆρι τὴν κοιλίαν, ἐγχυματίζειν τῷ νείλου
διαρόδῳ ὑδαρεστέρῳ. μεταξὺ τῆς τοῦ κολλυρίου προσαγωγῆς. ἐγχυματίζοντας γάλακτι. κατὰ βρα-
χὺ δὲ διαβαινουσῶν τῶν ἡμερῶν, προσμίγειν τὸ μέλαν τὸ χιακὸν ἀπολλωνίου. ἢ τὸ ἀρωματικόν. ὕστε-
ρον δὲ καὶ ἀκράτοις τούτοις χρηστέον. ταχέως γὰρ ἐπουλοῖ. καὶ λεπτὰς οὐλὰς ἄγει. καὶ σχεδὸν ἀδήλους.

Περὶ ἀργέμου. κη.

Ἄργεμον ἐστὶ τὸ κατὰ τὸν τῆς ἴρεως κύκλον γιγνόμενον ἑλκύδριον, ἀπειληφὸς τὸ μὲν τι τοῦ λευκοῦ. τὸ
δὲ τι τοῦ μέλανος, λευκὸν φαινόμενον. ὅταν μὲν οὖν βαθύτερον καὶ ῥυπαρὸν γένηται κατὰ τὸν τῆς
ἴρεως κύκλον. καὶ θᾶττον ἀνακαθαρθῇ. ἐνίοτε δὲ προπίπτει ὁ ῥαγοειδής. διὸ παρεμπλάσουσι φαρμά-
10 κοις ἐπ᾽ αὐτῶν χρηστέον κατ᾽ ἀρχάς, ὡς ἀφλέγμαντα γένηται τὰ ἕλκη. καὶ ἀπογραφεὶς ὁ χιτὼν τοῦ
ὀφθαλμοῦ, ἀποστήσει τὴν ἐσχάραν. Περὶ βοθρίων κοιλωμάτων. κθ.

Βόθρια μὲν καλεῖται, ὅταν ἐπὶ τοῦ μέλανος γένηται κοῖλα. καὶ στενὰ καὶ καθαρὰ ἕλκη κεντήμασιν ὅ-
μοια. κοιλώματα δὲ καλεῖται τὰ στρογγύλα καὶ πλατύτερα τῶν βοθρίων ἕλκη. καὶ ἧττον βαθέα.
οὐ καθαρτέον τοίνυν αὐτὰ κολλυρίοις δριμέσιν. ἀλλὰ μᾶλλον τοῖς πραέσιν ἀναθρέφειν. καὶ μάλιστα τὰ
βόθρια λεγόμενα. τὰ δὲ κοιλώματα ἐγχρονίζοντα τοῖς ὑσυχῇ ἀποσμήχουσι πρῶτον χρησάμενοι,
μεταβαίνειν ἐπὶ τὰ ἀναφέροντα, οἷά ἐστι τὰ διὰ λιβάνου. ἰσόπεδα δὲ γεγονότα ἢ καὶ ἔτι κοιλότε-
ρα ὄντα, τῷ κλέωνος χρηστέον. εἰ δὲ ῥύπος πολὺς ἐπικείμενος εἴη τοῖς ἕλκεσι, μελικράτῳ ἐγχυματι-
στέον. ἡμεῖς δὲ τῷ ἀφεψήματι τῆς τίλεως σκευασθέντι ὡς προείρηται. προσμίξαντες μέλι βραχύ, θᾶττον
ἐτύχομεν τοῦ ζητουμένου. χρώμεθα δὲ ἐπὶ τῶν κοίλων καὶ ῥυπαρῶν ἑλκῶν, τῷ θεοδοτίῳ σὺν βραχεῖ μετ᾽
20 ὠοῦ ὑδαρεστέρῳ. καὶ χωρὶς πάσης ὀδύνης ἀνακαθαίρει. καὶ εἰς οὐλὴν ἄγει τάχιστα. μεμνῆσθαι δὲ χρὴ
κἀπὶ τούτων τῆς προρηθείσης κοίλης τῶν ἑλκῶν ἐπιμελείας. Περὶ πυώσεως ἤτοι ὀνύχων. λ.

Αἱ γινόμεναι ἐν τοῖς ἕλκεσι πυώσεις, διαφόρου προσηγορίας τετυχήκασιν. ὀνύχια μὲν γὰρ λέγεται
ὅταν ἀπὸ βαθυτέρου ἕλκους τὸ πύον ἀποῤῥυῇ. καὶ μεταξὺ τῶν χιτώνων παρεμπεσὸν καὶ σχηματι-
σθὲν τῷ κύκλῳ τῆς ἴρεως, ὁμοίαν ὄνυχος ἀποτομῇ φαντασίαν ἀποτελέσει. πλείονος δὲ συστάντος
πύου. καὶ τὸ ἥμισυ τοῦ μέλανος ἀπολαβόντος. ἢ καὶ δι᾽ ὅλου τοῦ κερατοειδοῦς διαυγουμένου, ὑπόπυον
εἶναι λέγομεν. τὸν ὀφθαλμὸν γίγνεται δὲ ταῦτα καὶ χωρὶς ἑλκώσεως κεφαλαλγίας προηγησαμέ-
νης. ἢ ὀφθαλμίας. συμβαίνει δὲ καὶ φλεγμονῆς προγεγενημένης, διὰ τὴν πλείονα πλήρωσιν τῶν ὑ-
γρῶν. ῥηγνυμένων τινῶν ἀγγείων. καὶ τοῦ διὰ αὐτῶν προχεομένου αἵματος πυουμένου. παρέπεται δὲ πᾶν-
τοῖς ὑποπύοις, ὀδύνη σφοδρὰ σφυγματώδης. καὶ ἐρύθημα περὶ τὸν ὀφθαλμὸν ὅλον. καὶ κροτάφων
30 ἄλγημα. θεραπευτέον δὲ αὐτοὺς κατ᾽ ἀρχὰς παραιτουμένους τὰς πυρίας. κενώσει δὲ κοιλίας χρω-
μένους διὰ κλυστῆρος. ἔπειτα καὶ φλέβα τέμνοντας τὴν ἀνωτέραν ἐν ἀγκῶνι. λύοντας δὲ μετὰ ταῦ-
τα καὶ τὴν περὶ τὸν μέγαν κανθὸν φλέβα χωρὶς στραγγαλῆς τῆς περὶ τὸν τράχηλον. καὶ σικύαν δὲ ἐνίῳ
προσβάλλειν. ἢ βδέλλας τοῖς κροτάφοις. εἶτα τοῖς πρὸς φλεγμονὰς κολλυρίοις χρῆσθαι. καὶ μάλιστα
τῷ νείλου διαρόδῳ. μετ᾽ ὠοῦ ἢ γάλακτος ὑδαρέστερον ἐγχυματίζοντας. μετὰ δὲ τὴν τρίτην ἡμέραν ὑπό-
γοις ἀπὸ πυριῶν μετρίως τὸ πρῶτον. ἔπειτα ἐκ προσαγωγῆς παραύξειν τὴν πυρίαν. καὶ τὰ παρεμ-
πλάττοντα μὲν κολλύρια παραιτεῖσθαι. τοῖς δὲ παρηγοροῦσι καὶ διαφοροῦσι χρηστέον. μάλιστα μὲν τῷ
χιακῷ ἀπολλωνίου καὶ τοῖς ὁμοίοις διὰ σμύρνης σκευαζομένοις. ἃ δὴ καὶ διὰ σμύρνα καλεῖται. τὰ γὰρ
σφοδρῶς διαφοροῦντα καὶ ξηραίνοντα, παραχρῆμα μὲν ἱκανὴν κένωσιν ποιεῖται τοῦ λεπτομερε-
στέρου. τὸ δὲ ὑπόλοιπον καὶ παχύτερον πηγνύει. καὶ ξηραίνει δυσλύτως.

40 Γαληνοῦ ἐκ τῆς τοῦ θεραπευτικοῦ λόγου. λα.

Ἰατρὸς δέ τις τῶν καθ᾽ ἡμᾶς ἐμπειρικώτατος ὀφθαλμικός. καὶ διὰ κατασείσεως τῆς κεφαλῆς, πολλοὺς
τῶν ὑποπύων ἐθεράπευσε. καθίζων μὲν αὐτοὺς ὀρθίους ἐπὶ δίφρου. περιλαμβάνων δὲ τὴν κεφα-
λὴν ἑκατέρωθεν ἐκ τῶν πλαγίων. εἶτα διασείων οὕτως, ὡς ὁρᾶν ἡμᾶς ἐναργῶς κάτω καταφερόμε-
νον τὸ πύον. καὶ μένον κάτω, διὰ τὸ βάρος δηλονότι. ὅτε μὲν οὖν ἐπιπολῆς τὸ πύον καὶ προσεχὲς τῷ ἕλ-
κει, ἐν τῷ καθαίρεσθαι τὸ ἕλκος, ἔξω ἀναμέμικται. πάντως καὶ τὸ πύον. ὅταν δὲ τὸ μὲν ἕλκος ἐπιπόλαιον ᾖ,
καὶ ἀνωτέρω. τὸ δὲ πύον πλεῖον τε καὶ ἐν βάθει κατωτέρῳ τοῦ ἕλκους. καὶ μὴ δύνηται ὑπὸ τῶν φαρ-
μάκων, χρὴ τὸν ὀφθαλμὸν διακεντεῖν ὑπὸ τὸ πύον. πλάγιος τὸ παρακεντητήριον κατὰ τὴν ἴριν καὶ
στεφάνην λεγομένην. καὶ ἐκκρίνειν τὸ πύον. παραλαμβάνειν δὲ τὴν χειρουργίαν ταύτην χρή, ἀφλε-
γμάντων ὄντων τῶν τόπων. Τὰς δὲ ἐπὶ τοῦ λευκοῦ χιτῶνος τοῦ ἐπιπεφυκότος γιγνομένας πυώσεις
50 τοῦ ὑγροῦ, φλεβοτόμῳ διαίρει ἐκ τοῦ κάτωθεν μέρους, ὑποδέρων ἠρέμα τὸν ἐπιπεφυκότα χιτῶνα.
μετὰ δὲ τὴν τοῦ ὑγροῦ κένωσιν ἐπ᾽ ἀμφοτέρων, ὠοῦ τὸ λευκὸν ἐγχυμάτιζε. εἶτα ἀνακόψας ὠὸν ὅλον
μετ᾽ οἴνου μέλιτος. καὶ ἀναλαβὼν ἐρίῳ μαλακῷ, ἐπιτίθει ἐπὶ τὸν ὀφθαλμὸν καὶ ἐπίδησον. τῇ δ᾽ ἑξῆς ἡ-
μέρᾳ ἀπόλυσον διὰ ὕδατος θερμοῦ ἀποπυριάσας. καὶ τῷ ὠῷ ἐγχυματίσας, πάλιν τὸ προειρημένον
ἐπίθεμα ἐπιτίθει. καὶ μεθ᾽ ἡμέρας τρεῖς, ὑπάλειφε τῷ διὰ οἴνου λεγομένῳ κολλυρίῳ. ἤ τινι τῶν πρὸς

τὰς παρακεντήσεις παραλαμβανομένων. ἔστι δὲ τὸ δι' οἴνου κολλύριον, τοῦτο. ὀπωδίου, ∠ γ̄. λιβά-
νου. λεπίδος. σμύρνης ἀκακίας. ναρδοστάχυος. ὀπίου ἀνὰ ∠ ᾱ. κόμμεως ∠ ς̄. ὕδωρ ὄμβριον. ἐπὶ δὲ
τῆς χρείας ἐγχυμάτιζε σὺν τῷ λευκῷ τοῦ ᾠοῦ. καὶ τὸ προειρημένον πτύγμα ἐπιτίθει. εἰ δὲ μετὰ τὸ ἀ-
φλέγμαντον γενέσθαι προκύψει ἐκ τῆς διαιρέσεως σάρξ. ἀνέσας τὸ προειρημένον κολλύριον, μετὰ
γάλακτος, ἔγχριε. καλῶς δὲ καταστέλλει καὶ ἀνακαθαίρει καὶ τὸ χιακὸν Ἀπολλωνίου.

Περὶ φλυκταινῶν. λα̅.

Φλυκταῖναι δὲ γίγνονται μὲν καὶ ἐπὶ τοῦ λευκοῦ. καὶ ἐπὶ τῶν βλεφάρων. ὡς ἐπὶ τὸ πολὺ δέ, περὶ
τὸν κερατοειδῆ χιτῶνα. καὶ αἱ μέν, ἐπιπολῆς γίγνονται. αἱ δέ, ἐν βάθει. συνέστηκε γὰρ ὁ κερατοειδὴς
χιτὼν ἐκ τεσσάρων. οἷον ὑμενωδῶν σωμάτων. πυκνοτάτων καὶ ἰσχυροτάτων. ποτὲ μὲν ἀπὸ τὸν πρῶ-
10 τον ὑμένα συμβαίνει τὴν φλυκταῖναν γενέσθαι. ὅτε καὶ τὴν χρόαν μελαντέραν ἐμφαίνει. ποτὲ δὲ
ἀπὸ τὸν δεύτερον ἢ τὸν τρίτον συνίσταται. ὅτε δὲ καὶ λευκότερον τὸ χρῶμα τῆς φλυκταίνης γίγνε-
ται, διὰ τὸ ἐν τῷ βάθει κατακρύπτεσθαι τοῦ κερατοειδοῦς χιτῶνος. ἡ γὰρ κατὰ φύσιν χροιὰ τῆς φλυ-
κταίνης, μέλαινα ἐστίν. ὁ δὲ κερατοειδὴς χιτών, ἐστὶ λευκὸς τοῖς κέρασιν ὁμοιότατος. ἐφ' ὅσον οὖν ἐν τῷ
βάθει τοῦ κερατοειδοῦς κατακρύπτεται ἡ φλύκταινα, ἐπὶ τοσοῦτον τὴν χρόαν φαντάζει. καὶ μᾶλ-
λον ἐπώδυνος γίγνεται καὶ χαλεπωτέρα. καὶ γὰρ εἴτε διὰ πλῆθος ῥαγεῖσα ἡ φλυκτὶς. εἴτε διαβρω-
θεῖσα ἀπὸ δριμύτητος ὡς ἑλκωθῆναι τὸν ὑμένα, ῥᾴστη μὲν ἡ ἐπιπολῆς ἕλκωσις ἰαθῆναι. χαλεπὴ δὲ
ἡ κατὰ βάθος. κίνδυνος γάρ ἐστι τὸ λοιπὸν τοῦ κερατοειδοῦς ἐν τῷ βάθει λεπτὸν ὑπάρχον, ῥαγῆναι.
καὶ πρόπτωσιν τοῦ ῥαγοειδοῦς ἀπαντῆσαι καὶ τῶν κατὰ τὸν ὀφθαλμὸν ὑγρῶν· καὶ μάλιστα ἐὰν
κατὰ τὴν κόρην ἡ ῥῆξις γένηται. κατὰ γὰρ τὴν κόρην, καὶ κατὰ τρόπον θεραπευομένου τοῦ πάθου-
20 ς ὁμοίως ἕπεται τι ἕτερον δεινόν. συνουλωθέντων γὰρ τῶν ἑλκῶν, ἄνθρωπος οὐκ ὄψεται διὰ
τὰς ἐπιγιγνομένας οὐλάς. ἐπειδὴ δ' ἔστιν ὅτε καὶ κατὰ διάβρωσιν τοῦ κερατοειδοῦς προπίπτει ὁ ῥαγοει-
δὴς. καὶ ποιεῖ φαντασίαν ἐπιπολαίας φλυκταίνης, ἄξιον αὐτὰ ἀκριβέστερον διορίζειν. ἡ μὲν οὖν ἐπι-
πολῆς φλύκταινα, ὁμοίως πάντοθεν ἐστὶ μέλαινα, οὐ πάνυ δὲ κατὰ κόρης τῇ μελανίᾳ. ἐπὶ δὲ τοῦ ῥα-
γοειδοῦς τὸ προπεπτωκὸς μέρος ἤτοι μέλαν ἐστίν, ἢ κυανοῦν. τὸ δὲ μέγιστον σημεῖον τὴν βάσιν κατὰ κύ-
κλον τῆς προπτώσεως τοῦ ῥαγοειδοῦς εὑρήσεις λευκήν. λευκὸς γάρ ἐστι τῇ χρόᾳ ὁ κερατοειδὴς χιτών
οὗ ῥαγέντος, προέπεσεν ὁ ῥαγοειδὴς χιτών. ἀλλὰ καὶ τὸ μέγεθος τῆς κόρης μειοῦσθαι συμβαίνει ἐπὶ ταῖς
προπτώσεσι τοῦ ῥαγοειδοῦς. ἢ πάντως γε τῷ σχήματι παραλλάττειν. οὐ γὰρ ἀποσώζει ἡ κόρη ἐπὶ τῆς
προπτώσεως τὸ περιφερὲς σχῆμα ἀκριβῶς. ἀλλὰ κατά τι μέρος οἷον παρεσπάσθαι φαίνεται. προ-
σέχειν οὖν ἀκριβῶς χρὴ τοῖς ῥηθεῖσι σημείοις. καὶ διορίζειν ἀλλήλοις τὰ πάθη, διὰ τὸ καὶ τὴν θεραπείαν
30 ἐναλλάττεσθαι συμβαίνειν περὶ τὰς τῶν παθῶν διαφοράς. ἐπὶ γὰρ τῆς προπτώσεως τοῦ ῥαγοει-
δοῦς, τοῖς μᾶλλον στύφουσι καὶ ἀποκρουομένοις χρώμεθα. ἐπὶ δὲ τῶν φλυκταινῶν, τοῖς ἠρέμα δια-
φοροῦσι. θεραπευτέον μὲν οὖν τὰς φλυκταίνας, πρῶτον μὲν παραφυλαττομένων λαλιὰν πλείω.
πταρμούς. θυμούς. κατοχὰς πνεύματος, αὐγὴν λαμπράν. ἔπειτα δὲ συστέλλει καὶ τὸ ποτὸν καὶ τὸ σιτίον,
ὡς μάλιστα κενώσει τὰ τῆς κοιλίας κλύσματι δριμεῖ χρωμένοις. πειρᾶσθαι δὲ καὶ γάλακτι τὴν κοι-
λίαν ἐκλύειν. ἐφ' ὧν μήτ' ὀξύνεται. μήτε κνισοῦται. μήτε εἰς ἔμετον ὁρμᾷ. ἐπὶ γὰρ τῶν τοιούτων πα-
ραιτητέον μὲν τὸ γάλα. ζωμῷ δὲ ὄρνιθος. ἢ κνίκου χυλῷ. ἢ ἀλόῃ. ἢ τινὶ τῶν ἁπλουστέρων τὴν κοιλίαν
λύειν. παραιτεῖσθαι τὸ τὰ σφοδρότερα τῶν καθαρτηρίων. καὶ μάλιστα τὰ κακοστομαχώτερα. τοὺς
δὲ ἐπιδέσμους, καὶ τὰ πολλὰ πτύγματα, ἐπὶ τούτων παραιτούμεθα· πάνυ γάρ εἰσι βλαβερά. οὐ μόνον
ἐπὶ τούτων, ἀλλὰ καὶ ἐπὶ πάσης ὀφθαλμίας, διὰ δριμύτητα χυμῶν γιγνομένης. καταπλάσσειν
40 οὖν χρὴ ἐν ἀρχῇ μάλιστα, ὅταν φλεγμονὴ συνεδρεύῃ. κούφως μὲν οὖν ἀλλ' ἐπιπλάτως. δεῖ γὰρ εἰς
ὀθόνια λεπτὰ μαλακὰ ἐναλείφειν τὰ καταπλάσματα. καὶ ἐπιτιθέναι ἐφ' ὅλον τὸν ὀφθαλμὸν περι-
λαμβάνοντα ὀφρύν τε καὶ μῆλον. καὶ κρόταφον. καὶ ἐᾶν αὐτὰ ἐπικεῖσθαι, ἕως ἂν ἔνικμα ᾖ. ὅταν δὲ ξη-
ραίνηται, αἴρειν καὶ ἕτερα ἐπιτιθέναι.

Πρὸς φλεγμονήν.

Παραλαμβανέσθω δὲ τὰ πρὸς φλεγμονὰς ἁρμόττοντα. οἷον ᾠῶν λεπτῶν. λέκυθοι λεανθέντες μετὰ
κρόκου καὶ ὀπίου βραχέος. καὶ γλυκέος συμμέτρου. καὶ ἄρτου. ἐπιτήδεια δὲ καὶ τὰ στύφοντα. οἷον, μῆλα. κυ-
δώνια ἑφθά. ἢ σίδια ἐν ὕδατι ἑψημένα. παραιτεῖσθαι δὲ ὡς εἴρηται ἐπιδεσμεῖν τὸν ὀφθαλμὸν ἐπὶ τούτων
ἐπὶ πολύ. βλαβερώτατον γάρ. παρηγορηθείσης δὲ τῆς φλεγμονῆς, καὶ τῶν καταπλασμάτων ἀφε-
κτέον διὰ τὸ βάρος. κολλύρια δὲ ἐν ἀρχαῖς ἁρμόδια, τὸ νίλου διάροδον. σὺν γάλακτι ἐγχυματιζόμε-
νον ὑδαρές. προκοπτούσης δὲ τῆς θεραπείας, καὶ διὰ σμύρνης καὶ λιβάνου καὶ κρόκου προσάγειν. ὕστε-
50 ρον δὲ, καὶ τὰ νάρδινα. ἔξωθεν δὲ ἐπιχρίειν. τὰ μὲν βλέφαρα τῷ νίλου διαρόδων. τὸ δὲ μέτωπον ἀκα-
κίᾳ καὶ ὑποκυστίδι μετὰ κρόκου καὶ ὀπίου βραχέος. πυρίας δὲ κατ' ἀρχὰς μὲν, χλιαρὰς παραλαμ-
βάνειν. αἱ γὰρ ἐπιτεταμέναι κατ' ἀρχὰς, παροξύνουσι τὰς φλεγμονάς. ὕστερον δὲ ἐπιτείνειν χρὴ τὴν θερ-
μασίαν. περίπατοι δὲ καὶ αἱ ἄλλαι κινήσεις κατ' ἀρχὰς, οὐκ ἐπιτήδειοι. βαλανεῖα δὲ κατὰ τὰς ἀρχὰς.
καὶ τὰ ἄλλα πυριατήρια. οἴνου δὲ ἀπέχεσθαι δεῖ παρ' ὅλην τὴν θεραπείαν. ὕδατι δὲ θερμῷ χρῆ-

θαι ποτῷ. καὶ τροφὰς μαλακὰς. καὶ εὐδιοικήτους λαμβάνειν. φεύγειν δὲ ἐπὶ τούτων, τὴν ἐκ τοῦ με-
τώπου ἢ τῶν ἐγκανθίων φλεβῶν αἵματος ἀφαίρεσιν. προπίπτει γὰρ ὁ ὀφθαλμὸς. καὶ μάλιστα εἰ φλε-
γμονὴ συμπαρείη. ἢ ἕλκωσις βαθυτέρα.

Περὶ ἀνθράκων ἐν βλεφάροις σευήρου. λβ.

Ἐπειδὴ δὲ καὶ οἱ ἄνθρακες τοῦ γένους εἰσὶ τῶν φλυκταινῶν. γίνονται δὲ καὶ οὗτοι ποτὲ ἐν τοῖς βλεφά-
ροις εἰς συμπάθειαν ἄγοντες τὸν ὀφθαλμὸν μεγίστην, φέρε καὶ περὶ τούτων μικρὰ βοηθήματα λέξω,
τὰς διαγνώσεις αὐτῶν πρότερον ἐκθέμενος. καὶ ἕτερα τινὰ ἀφιστάμενα τοῖς βλεφάροις ἀνθράκων,
τοῖς ἀπείροις ἐμφαίνουσι. κεῖσθαι μὲν γὰρ καὶ φύματα. καὶ ἴονθοι, περὶ τὰ βλέφαρα γίγνονται.
ἀλλὰ μετ᾽ ὄγκου τινὸς ταῦτα. καὶ ἀφλέγμαντα ὡς ἐπὶ τὸ πολὺ. καὶ οὐ πάνυ ὀδυνώδη. οἱ δὲ ἄν-
θρακες, ἐρύθημα κατ᾽ ἀρχὰς ἴσχουσιν ὡς διακαίεσθαι αὐτοῖς δοκεῖν τὸν ὀφθαλμόν. ὄγκον δέ τινα
10 ἢ ἐπανάστασιν οὐ ταχέως ἐμποιοῦσι. διὰ γὰρ τὴν ἄμετρον θερμότητα ὥσπερ ῥῆξίν τινα ὑπομένει
τὰ τοῦ ἄνθρακος. καὶ τὸ ἀπορρέον ἐξ αὐτοῦ δριμὺ καὶ δηκτικὸν ὑπάρχον. τὴν μὲν ἐπιφάνειαν τοῦ ἄν-
θρακος ξηραίνει καὶ ἐσχαροῖ. καὶ τοῖς πλησίον δὲ τόποις τὴν νόσον ἐγκατασπείρει. παρέπεται οὖν
αὐτοῖς ἰσχυρὰ φλεγμονὴ καὶ αὐτοῦ τοῦ ὀφθαλμοῦ. καὶ τῶν περίξ μερῶν. καὶ μάλιστα τῶν περὶ τὰ
ὦτα ἀδένων. ὥστε καὶ ἑλκώσεων μεγάλων ἐνίοτε. καὶ ῥήξεων τοῦ ὀφθαλμοῦ αἰτίους γίγνεσθαι.
ἔτι δὲ καὶ προπτώσεων. καὶ βλεφαρίδων ψιλώσεως. αἵτε ἀπὸ τῶν ἀνθράκων οὐλαὶ, παχεῖαι γί-
γνονται. καὶ συνεχῶς ἑλκοῦνται. καὶ ἐπὶ μὲν τοῦ ἄλλου σώματος τὸ ἀπορρέον ἐκ τῶν ἀνθράκων
αἷμα, μέλαν εὑρίσκεται διὰ τὴν ὑπερόπτησιν. ἐπὶ δὲ τῶν ὀφθαλμῶν, αἷμα μὲν οὐ πάντως ἄγεται
ἐκ τῶν ἀνθράκων, διὰ τὸ μὴ δὲ πλεονεκτεῖν ἐν τῷ ὀφθαλμῷ αἷμα. ὅθεν ὡς ἐπίπαν καὶ λευκοὶ τὴν
χρόαν εἰσὶν οἱ ἐπὶ τῶν βλεφάρων ἄνθρακες. καὶ εἰ μὲν ἡ ἀπαλλαγὴ τοῦ πάθους αἰτία γίγνοιτο διὰ
20 τῆς προσηκούσης ἐπιμελείας, ἀφανὴς ὁ ἄνθραξ γίγνεται. εἰ δὲ ἐπιμένοι καὶ δυσδιαφόρητος γίγνοι-
το, ἀναγκαίως μελαίνεται ὁ τόπος. δεῖ οὖν ἀρχομένων τῶν ἀνθράκων, μὴ ἐπὶ τὰ καταπλάσμα-
τα. καὶ τὰς ὑπαλείψεις εὐθέως ὁρμᾶν. ἀλλὰ κενοῦν κλυστῆρι πρῶτον τὴν κοιλίαν. εἶτα καθαί-
ρειν γάλακτι συμμέτρως ἀπέφθω. ἐπὶ δὲ τῶν πολυαίμων, καὶ φλεβοτομεῖν. εἶτα σπόγγῳ ἀποπυ-
ριάζοντα, τοῖς ἀπλουστέροις πρῶτον κεχρῆσθαι. τοῖς γὰρ στύφουσι καὶ ψύχουσιν, ἐνίοτε δὲ καὶ
ξηραίνουσι φαρμάκοις χρησάμενοι, τούτοις ἰασόμεθα. ἐπὶ μὲν οὖν τῆς ἀρχῆς ὅτε ἡ πυράκτωσις
πάρεστι, σβέσαι τὸν χυμὸν ζητοῦντες. κολλύριον λειώσαντες, ἐπιχρίομεν τὸ ἔρευθος τοῦ ὀφθαλμοῦ.
καὶ στρύχνος δὲ ἅμα γλυκεῖ λειωθεὶς. καὶ ἐπιβληθεὶς τῷ ἄνθρακι, παραυτὰ τοῦτον ἀφανῆ πεποίη-
κε. καὶ αὕτη ἡ ἀγωγὴ, ὀνίνησιν ἐν ἀρχαῖς μεγάλως. τὰ δὲ ψύχοντα καταπλάσματα προσαγόμενα
ἐπὶ τῶν ἀνθράκων τῷ ὀφθαλμῷ, ἀποκρούεται μὲν τὸ ἀπορρέον τῷ ἄνθρακι. καὶ παύει τὰς ἐξω-
30 τέρας φλεγμονάς. φόβος δὲ μὴ εἰς αὐτὸν τὸν ὀφθαλμὸν κατασκήψῃ. τοῦτο γὰρ εἰργάσατο ὁ στρύχνος
προσαχθεὶς σὺν γλυκεῖ μετ᾽ ἀφανῆ τὸν ὄγκον εὐθὺς πεποίηκεν. ἐπληρώθη δὲ ὁ ὀφθαλμὸς. τοὺς δὲ ἤδη
νεμομένους ἄνθρακας, ποικίλως χρὴ ἰᾶσθαι. καὶ γὰρ τὸ ἀπορρέον δριμὺ καὶ δακνῶδες ὑπάρχει. ὥσ-
τε καὶ τοὺς πλησίον τόπους ἐπινέμεσθαι τὴν διάθεσιν. καὶ κίνδυνος ἀδικηθῆναι τὸν ὀφθαλμόν. ἀνά-
βρωσις γὰρ εἴωθε τούτοις ἐπιγίνεσθαι. προσήκει οὖν ἀποσπογγίζειν καὶ μετρίως προσεντλεῖν τὸν ὀ-
φθαλμὸν, ἀφεψήματι ῥόδων. ἢ βάτων. ἢ ἑλίκων ἀμπέλων. χλιαρώτερον δὲ ἔστω τὸ ἀφέψημα ἢ γα-
λακτῶδες μᾶλλον. εἰ δὲ καὶ ῥυπώδεις οἱ τόποι γένοιντο, ἐκ τοῦ τὴν νομὴν ἐπὶ πλέον κεκρατηκέναι.
πολλάκις γὰρ καὶ βλεφάρων ἔκπτωσις γίγνεται. πρὸς τοὺς τοιούτους ῥυματισμοὺς. καὶ ὑποκυστίδος
χυλὸν προσμίγομεν τῷ ὕδατι. καὶ μυρσίνας καὶ ἀκακίαν γλυκεῖ ἀναλύσαντες, ἐπιχρίομεν τοῖς τό-
ποις. δεῖ γὰρ πρὸς τὸ θεραπευόμενον σῶμα, καὶ τὰς ὕλας ἐπιλέγεσθαι τὰς μέσας μάλιστα. τῶν γὰρ
40 πάνυ δραστικῶν φαρμάκων, οὐκ ἀνέχονται οἱ τόποι. οἷος ἐστὶν ἰὸς. καὶ τὰ παραπλήσια. τῇ τε δήξει,
κἂν ἐλπίδα σωτηρίας ἔχῃ ὁ ὀφθαλμὸς, καὶ ταύτης ἀποστερεῖται. τὰ γὰρ νευρώδη μόρια καὶ γε-
γυμνωμένα μάλιστα τῶν σαρκῶν ἀδικεῖται, ὑπὸ τῶν σφόδρα καμνόντων καὶ δακνόντων. ὥστε
καὶ σφακέλους ἐπιφέρειν. τὰ τοίνυν κελύφη τῶν ῥοῶν μάλιστα τῶν ὀξείων, ἀποζέσαντες μετὰ
φακῆς. καὶ τὴν ἐντεριώνην ἀποξύσαντες. καὶ λειώσαντες σὺν ἐλαχίστῳ μέλιτι, μεγάλην ὠ-
φέλειαν ἐκ τούτου πεποιήμεθα. ταχεῖαν γὰρ τὴν κάθαρσιν ποιεῖται. καὶ τὰ ἐπιφερόμενα τοῖς
ὀφθαλμοῖς ὑγρὰ, ποσῶς ἐφίστησι. τὰ γὰρ λιπαίνονται, ἐπιτείνει τὰς νομὰς. ἐπιταθείσεις δὲ
τῆς νομῆς, οἴνῳ χρὴ ἕψειν τὰ σίδια. καὶ καθ᾽ αὑτὰ χωρὶς τῆς φακῆς ἐπιτιθέμενα, τὰς δὲ ἐσχά-
ρας μᾶλλον τὰ σίδια ἐφθὰ λεῖα μετὰ μέλιτος ἐπιτιθέμενα, ἀπολύει. ἔστι δὲ καὶ συνθετὰ φάρ-
μακα. καὶ τοῖς ἄνθραξιν ἁρμοδιώτατα. καὶ γὰρ ἐν ταῖς ἀρχαῖς τῶν πυρακτώσεων, ὁ διὰ λιβανο-
50 κάβων τροχίσκος ἐπιχριόμενος, ὑπερβαλλόντως σβεννύσι. ψύχει γὰρ καὶ ξηραίνει συμμέτρως. εἰ δὲ
καταστῆλαι δέοι τὰ ὑπερσαρκοῦντα τῷ μούσα τροχίσκῳ ξηρῷ λείῳ προσαπτόμεθα. εἰ δὲ σαρκῶ-
σαι χρεία, ἀναλύσαντες αὐτὸν τὸν τοῦ μούσα τροχίσκον μετὰ ἑψήματος ἐπιχρίομεν. εἰ δὲ ἐπουλώ-
σεως σκοπὸς, πάλιν τὸν διὰ λιβανοκάβων παραλαμβάνομεν. ἀπολλώνιος δέ φησιν ἐπὶ τῶν ἐν ὀφθαλ-
μοῖς ἀνθράκων τῷ φαρμάκῳ τούτῳ χρώμεθα. σποδίου, ∠. δ. λίθου σχιστοῦ, ∠. β. κρόκου στιό-
βολον.

βολον σμύρνης ἐπ' ὀλίγον πεφωγμένης διόβολον. λεάνας οἴνῳ εὐώδει ἕως ξηρανθῇ, μίσγε γλυκέος κρητικοῦ ἢ ἄλλου ὁμοίως μὴ δριμέος κοτύλην καὶ συλλεάνας ἀναλάμβανε καὶ ὑπάλειφε. ἀφίστησι γὰρ τὰς ἐσχάρας, καὶ καθαίρει τὰ ἕλκη, κἂν ἔξωθεν τῶν βλεφάρων τὸ πάθος ᾖ, κἂν ἐν τῷ βάθει ἔνδοθεν. ποιεῖ δὲ καὶ πρὸς ῥεύματα καὶ πρὸς φλεγμονάς. ἐὰν δὲ πόνος τὸν ὀφθαλμὸν αὐτὸν ἔχῃ, ὑπόχριε τῷδε τῷ κολλυρίῳ. καὶ τὴν νομὴν παραχρῆμα ἵστησι. μολίβδου σκωρίας λειωθείσης καὶ πεπλυμένης ἐξηρασμένης < δ. νάρδου στάχυος, < α. κόμμεως, < β. ἐλαιῶν φύλλα εἰς χυλὸν μετὰ κοτύλης ὕδατος ἐμβαλὼν τὸν χυλόν. καὶ διηθήσας, καὶ λεάνας, χρῶ. ποιεῖ δὲ καὶ τὸ νείλου διὰ ῥόδων μετ' ᾠοῦ ἐγχυματιζόμενον. μάλιστα δὲ τὸ νάρδινον τὸ κανδίδου ἐπιγραφόμενον. ἔξωθεν χριόμενον καθ' ὑπερβολὴν τῷ βλεφάρῳ μέχρι τελείας ἀπαλλαγῆς. δεῖ δὲ καθαρῶν γινομένων τῶν ἑλκῶν προπυριάσαντας, ἔπειτα εἰς γάλα πυρῆνα μήλης βάπτοντας, ὑποβάλλειν ὑπὸ τὰ βλέφαρα. καὶ τοὺς κανθοὺς ἀπ' ἀλλήλων χωρίζειν. ἵνα μὴ ἀγκύλη ἡ πρόσφυσις γένηται. διὰ τοῦτο δὲ μὴ ἐπιδεῖν τὸν ὀφθαλμὸν μάλιστα μετὰ τὴν κάθαρσιν τῶν ἑλκῶν. περὶ γὰρ τὰς ἀρχὰς εἰ φλεγμοναὶ μέγισται καὶ περιτάσεις γίγνοιντο, καταπλάττειν ἀναγκαζόμεθα φακῷ ἑφθῷ μετ' ἄρτου. καὶ τὸ ψύλλιον δὲ καταπλαττόμενον, παραμυθεῖται τὰς φλεγμονάς. ἐν γὰρ ταῖς περιωδυνίαις τῶν ἄλλων φλεγμονῶν τοῦ ὀφθαλμοῦ, προσαγόμενον τοῖς πάσχουσιν, ἐμποιεῖ κουφότητα. δὲ ἔστω τὰ καταπλάσματα. ἀλλ' οὐδὲ χρὴ ἐπιπολὺ τοῖς καταπλάσμασιν ἐπιμένειν. ἐπιτείνει γὰρ τὴν σῆψιν. καὶ μεγάλως ἀδικεῖ τὸν ὀφθαλμόν. ὥσπερ καὶ ἐπὶ τῶν φλυκταινῶν προείρηται. παρηγορήσαντες οὖν ποσῶς τὰς φλεγμονάς, ἀποσχώμεθα παραχρῆμα τῶν καταπλασμάτων καὶ ἐπὶ τῶν ἀνθράκων. καὶ ἐπὶ τῶν φλυκταινῶν. ἐπὶ δὲ τῶν περὶ τὰ ὦτα φλεγμαινόντων τῇ συμπαθείᾳ τόπων, σπλήνιον ἐπιτίθει τῆς βουτυρίνης κηρωτῆς.

Περὶ καρκινωδῶν ἑλκῶν ἐν ὀφθαλμοῖς. Δημοσθένους. λγ.

Τὰ δὲ ἐπὶ τοῦ μέλανος τοῦ ὀφθαλμοῦ γιγνόμενα ἑλκύδρια ἀκατούλωτα μικρὰ ἐπώδυνα. ἀδεῖα μικρὰ ἔχοντα. ῥυπαρώδη πεφυκότα, καρκινώδη λέγεται. καὶ ἐνίοτε δόξαντα κατουλοῦσθαι, ἀναλύεται χωρὶς φανερᾶς αἰτίας. νυγματώδεις δὲ διαδρομαὶ γίγνονται μέχρι κροτάφου. καὶ παρέπεται αὐτοῖς ῥευματισμὸς ὑγροῦ συμμέτρου δριμέος καὶ λεπτοῦ. καὶ τὸ ἐν τῷ ὀφθαλμῷ λευκὸν, καὶ τὸ μέλαν ἀεὶ, ἐνερευθὲς ἐστί. καὶ ἀνορεκτοῦσι πρὸς τροφήν. ἐπιτείνονται δὲ αὐτοῖς σφοδρῶς αἱ ἀλγηδόνες ἐπιχριόμεναι, δριμυτέροις φαρμάκοις. γίγνεται δὲ τὸ πάθος μάλιστα πρεσβυτέροις ἐπὶ πολυχρονίαις ὀφθαλμίαις καὶ γυναιξίν, αἷς ἐκλέλοιπε τὰ καταμήνια. θεραπευτέον δὲ ἐπιμελουμένους τοῦ παντὸς σώματος. καὶ προλέγοντας μὲν, ὅτι εἰς τέλος ἀποκαταστῆσαι αὐτὰ ἀδύνατον. πραΰνεσθαι δὲ οἷόν τε πρότερον μὲν, διὰ τῆς προσηκούσης διαίτης. ἔπειτα δὲ καὶ διὰ φαρμάκων, παραμυθεῖσθαι τὰς ὀδύνας δυναμένων. ἡ μὲν οὖν δίαιτα, τοιαύτη ἔστω μετὰ τὴν ἀπὸ κοίτης ἐπανάστασιν. συναλείψαντα μετρίως τὸ σῶμα ἐλαίῳ γλυκεῖ. τὴν δὲ κεφαλὴν, ῥοδίνῳ ὀλίγῳ ἢ ὀμφακίνῳ. ῥάκος πρασόχροον παραπετάσαντα τῷ ὀφθαλμῷ περιπατεῖν κέλευε ἐν τόπῳ σκοτεινῷ καὶ ἀνέμῳ, χωρὶς λαλιᾶς καὶ τῆς ἄλλης διατάσεως. μὴ σείοντα τὴν κεφαλὴν καθόσον οἷόν τε. πλείονι δὲ χρώμενον καὶ ἠρεμαίῳ περιπάτῳ. ἔπειτα εἰσελθόντα εἰς οἴκημα σκοτεινὸν καὶ μὴ ἄγαν φωτεινόν, πάλιν ἀλείφειν δι' ἑτέρου τὸ σῶμα χωρὶς κεφαλῆς τρίβοντα. μάλιστα ὀσφὺν καὶ τὰ κάτω μέρη, ἔπειτα λαμβάνειν γάλακτος μετρίως ἑψημένου. καὶ ἀφῃρημένου τοῦ ἐπιπάγου ὅσον κοτύλην. τὰς γὰρ ἐπιφερομένας δριμύτητας ἀμβλύνει. καὶ τὴν κοιλίαν εὔλυτον ποιεῖ. εἰ δὲ ἀήθως ἔχει πρὸς γάλα, πάλιν ἀλφίτου ἐπιπάσσειν γλυκύ, συμμέτρῳ θερμῷ κεκραμμένῳ. καὶ διδόναι ῥοφεῖν. μετὰ δὲ τοῦτο εἰ πρόσπεινοι γίνωνται, δυσὶν ᾠοῖς ῥοφητοῖς ἀρκείσθωσαν. καὶ τὸν ἡμερινὸν ὕπνον παραιτείσθωσαν. περὶ δὲ ὥραν δεκάτην ἀλειψάμενοι, παραλαμβανέτωσαν ἄρτον καθαρὸν μετὰ προσεψήματός τινος τῶν ὑπόγλισχρόν τι ἐχόντων. οἷον, ᾠὰ ῥοφητὰ. ἐγκέφαλον χοίρειον δυσὶν ἑψημένον ὕδασι. ἰχθῦς δὲ, σμύραιναν, νάρκην, γλαυκίσκον. λαχάνων δὲ μαλάχην, ἀνδράφαξιν, θριδακίνην. προσφερέσθωσαν δὲ καὶ ἄλικα, καὶ ὄρυζαν, καὶ λάγανον ἐν ζωμῷ ὄρνιθος ἑψημένον. πόδας ὑὸς. καὶ ἀγκύλας πάνυ κατέφθους. πάντα δὲ μέτρια ἔστω. οἶνον δὲ πίνειν λευκὸν καὶ λεπτὸν ὑπόστυφον. σύμμετρον καὶ αὐτόν. ταριχηρῶν δὲ πάντων, καὶ ὀσπρίων παντάπασιν ἀπεχέσθωσαν καὶ βαλανείου. εἰ μὴ ἀνάγκη γένοιτο ἢ κόπου ἕνεκα ἢ βραδυπεψίας. καὶ τότε μὴ χρονίζειν ἐν αὐτῷ. ἀλλὰ ταχέως ἐξιέναι. περιωδυνίας δὲ καὶ ῥευματισμοῦ γινομένου, ἐγχυτέον φαρμάκοις τοῖς πρὸς τὰ καθαρὰ ἕλκη ἁρμόζουσιν ἀδήκτοις. οἷον ἐστὶ τὸ σπονδιακὸν, καὶ τὸ Κλέωνος, καὶ τὰ παραπλήσια. ἐγχυματίζειν δὲ συνεχῶς τὸν ὀφθαλμὸν, ᾠῷ ἢ γάλακτι γυναικείῳ χλιαρῷ. πραΰνει δὲ καὶ τὸ τοῦ φακοῦ ἀφέψημα ἐγχυματιζόμενον ἢ ἀρνογλώσσου ἢ ἀνδράχνης. πρὸς δὲ τὰς τῶν κροτάφων ἀλγηδόνας τῷ νείλου διὰ ῥόδων κολλυρίῳ. εἰ δὲ διὰ τὰς σφοδρὰς φλεγμονὰς καταπλάττειν ἀναγκασθῶμεν, τῷ διὰ τῶν κωδύων καταπλάσματι χρηστέον κουφοτάτῳ. προείρηται δὲ ὅτι φεύγειν δεῖ τὰ καταπλάσματα ἐπὶ τῶν θερμὴν διάθεσιν ἐχόντων ὀφθαλμῶν. προσμιγνύειν δὲ τῷ διὰ τῶν κωδύων καταπλάσματι ἐπὶ τούτων, καὶ κρόκον, καὶ γάλα γυναικεῖον.

Περὶ κακοήθων ἑλκῶν ἐν ὀφθαλμοῖς. λδ.

Ἄλλα δὲ κακοήθη γίγνεται ἕλκη. τὰ μὲν, ἀπὸ τοῦ μεγάλου κανθοῦ ἀρχόμενα. τὰ δὲ, ἀπὸ τοῦ μέλανος.

τὰ δὲ, ἀπὸ τοῦ λευκοῦ. καὶ διαβιβρώσκει ταχέως τὸν ὀφθαλμόν. καὶ μάλιστα ἐπὶ τῶν κακοχύμων
σωμάτων. καὶ δριμυφαγίαις κεχρημένων. ἰχῶρές τε ἀπὸ τοῦ ἕλκους ἀποῤῥέουσι πολλοὶ καὶ δυσώ-
δεις. καὶ παρέπονται αὐτοῖς ἀλγηδόνες σφοδραὶ καὶ πυρετοί. πολλάκις δὲ καὶ κοιλίας ῥύσις.
ἐπινέμεται δὲ ἐνίοτε τὰ ἕλκη. καὶ τοὺς πλησίον τόπους τῶν ὀφθαλμῶν. θεραπευτέον δὲ καὶ τὰς
τοιαύτας νομὰς, τῇ προειρημένῃ διαίτῃ χρωμένους. πλὴν τοιαῦτα διδόναι, ὅσα οὐ λύει κοιλίαν. ὅ-
θεν μᾶλλον ἐπὶ τούτων, τῷ πτηνῷ γένει. καὶ μάλιστα τῶν ὀρείων χρηστέον. τὸν δὲ ὀφθαλμὸν ἐγχυμα-
τιστέον ᾠῷ ἢ γάλακτι. καὶ τοῖς προῤῥηθεῖσι κολλυρίοις. ἐὰν μέντοι ἡ νομὴ περιαίρῃ τοὺς ὀφθαλμοὺς,
θεραπευτέον οὕτως. πομφόλυγα καλλίστην πεπλυμένην, δεῖ ἐν γάλακτι γυναικείῳ ἐπιχρίειν. καὶ
ἐπανώματα ἐπιτιθέναι. προαποκλύζοντα τοὺς ἰχῶρας ὕδατι. εἶτα καὶ γάλακτι. ποιεῖ δὲ ὁμοίως
10 καὶ τὸ ψιμμύθιον πεπλυμένον καὶ ἐξηρασμένον. καὶ σὺν τῷ γάλακτι προσαγόμενον. καὶ μολίβδου
ἀπόπλυμα ξηρόν. ὅπερ λειουμένης θυΐας μολιβδαίνης, διδύμῳ μολιβδίνῳ συνάγεται. ποιεῖ δὲ καὶ
σκωρία μολίβδου πεπλυμένη, καὶ ἄμυλον. ἕκαστον δὲ, μετὰ γάλακτος γυναικείου. κατὰ πλάσματα
δὲ εἴγε ἀναγκασθείημεν προσάγειν, μῆλα κυδώνια ἑφθὰ προσαγέσθω, ἢ ῥόδα χλωρὰ ἢ ξηρὰ οἴνῳ
βεβρεγμένα. πολύγονον. στρύχνον. ἀείζωον. σέριν μετὰ πάλιν ἀλφίτου. ἐὰν δὲ τὰ κατὰ τὸ μέτω-
πον καὶ τοὺς κροτάφους ἀγγεῖα εἴη κεκυρτωμένα ἀγγειολογεῖν χρή.

Περὶ μυοκεφάλων. λε΄.

Τῶν ἑλκῶν βαθυνθέντων ὅσα δι' ἀνάβρωσιν ἢ ῥῆξιν γίνεται τοῦ κερατοειδοῦς χιτῶνος. προπίπτει μέ-
ρος τοῦ ῥαγοειδοῦς. καὶ τὸ προπεπτωκὸς μέρος μέλαν ἢ κυανοῦν φαίνεται. κύκλῳ δὲ περὶ τὴν βά-
σιν τοῦ προπεσόντος, λευκὰ φαίνεται τὰ χείλη τοῦ διαβρωθέντος κερατοειδοῦς. καὶ εἰ ἔτι μᾶλλον
20 χρονίσοι τὸ προπεσὸν, τυλωδέστερα γινόμενα τὰ χείλη τῆς ῥήξεως τοῦ κερατοειδοῦς ἔτι καὶ μᾶλλον
λευκότερα φανεῖται. παρέσπασται δὲ πάντως ἐπὶ τῆς τοῦ ῥαγοειδοῦς προπτώσεως ἡ κόρη. ὥστε
μηδόλως φαίνεσθαι ἢ παρηλλαγμένην τήν τε θέσιν. καὶ τὸ σχῆμα. καὶ τούτοις διορίζεται τὸ μυοκέφα-
λον τῆς φλυκταίνης. μυοκέφαλον δὲ λέγεται, ἐπειδὴ τῷ σχήματι προσέοικε μυὸς κεφαλῇ, ἀπο-
κρουστικῶν δὲ καὶ στυπτικῶν δεῖται φαρμάκων, ὁποῖά ἐστι μάλιστα τὰ δι' οἴνου σκευαζόμενα. ὁποῖον
ἐστὶ τοῦτο εὐδοκιμοῦν ἐπ' αὐτῶν. καδμίας. χαλκοῦ. χαλκίτεως ὠμῆς ἀνὰ 𐅻 α΄. ἰοῦ ∠ δ΄. σμύρνης ζω-
γλίτιδος, ∠ β΄ S. κρόκου ∠ β΄. ἁλὸς ἀμμωνιακοῦ, ∠ δ΄. κόμεως ∠ δ΄. οἴνῳ παλαιῷ στύφοντι
ἀνίει. Πρὸς πτερύγια. ἐγκανθίδας. τραχώματα, σμήχει καὶ τὰς οὐλάς. ἐν ἄλλῳ εὗρον οὕτως πρὸς
σταφυλώματα ποιοῦν. μίσυος ὠμοῦ, ∠ ιβ΄. λείου ὕδατι ὡς κοχλιάριον. εἶτα ἐπίβαλλε κρόκου λειο-
τάτου, ∠ η΄. καὶ πάλιν λείου. εἶτα σμύρνης, ∠ δ΄. καὶ ἀναπλάσας χρῶ. μετὰ δὲ τὴν ἔγχρισιν, ἐπι-
30 χρίσας ἔξωθεν αὐτοῦ. καὶ σπόγγιον ἁπαλὸν ἐπιθεὶς, ἐπίδησον. Ἄλλο καλὸν ποιεῖ καὶ ἐπὶ σταφυλωμά-
των. Μίσυος ὠμοῦ, 𐅻 β΄. κρόκου 𐅻 α΄. κόμεως 𐅻 α΄. οἴνῳ λείου. καὶ χρῶ. παραδόξως δὲ ποιεῖ ἐπ' αὐ-
τῶν. καὶ τὸ θεοδότιον Σευήρου. εἰ μὲν ἀφλέγμαντοι εἶεν, παχύτερον ἔγχριε. εἰ δὲ φλεγμαίνοιεν, ἐγ-
χυμάτιζε μετ' ᾠοῦ μάλιστα τῷ θεοδοτίῳ. παραλαμβανέσθω δὲ ἐπ' αὐτῶν καὶ ἡ προσήκουσα ἐπίδεσις.
καταπλαττέσθω δὲ τὰ φλεγμαίνοντα, τῷ διὰ κωδυῶν καταπλάσματι. ἢ ψυλλίῳ βραχέντι ὕ-
δατι θερμῷ. κολλύριον τὸ ὥρου, πρὸς μυοκέφαλα ποιοῦν μετὰ τοῦ θεοδοτίου. ποιεῖ καὶ πρὸς τὰ χρό-
νια λεπτὰ ῥεύματα. καδμίας. χαλκοῦ. κρόκου λεπίδος ἀνὰ ∠ η΄. ὀπίου, ∠ ιβ΄. μίσυος κεκαυμένης
ζιγγιβέρεως. ἀκακίας. κόμεως ἀνὰ ∠ δ΄. ὕδωρ.

Περὶ σταφυλωμάτων. λς΄.

Διαφοραὶ μὲν τῶν σταφυλωμάτων, πλείους. διότι καὶ αἰτίαι τοῦ πάθους ποικίλαι. ὡς ἐπίπαν δὲ ὅπως
δ' ἂν γένηται σταφύλωμα, τηρεῖ τὴν ὄψιν. καλεῖται δὲ σταφύλωμα, ὅταν ὁ κερατοειδὴς χιτὼν κυρ-
40 τωθῇ. καὶ τὴν ὑπεροχὴν, ῥαγὶ σταφυλῆς παραπλησίαν ποιήσηται. γίνεται δὲ ποτὲ μὲν, ὑγρῶν ὑ-
ποχυθέντων ὑπό τινα τῶν κτηδόνων τοῦ κερατοειδοῦς χιτῶνος. ὑφ' ὧν ὑγρῶν βιαζομένων ὑφίστασθαι
συμβαίνει τὸν κερατοειδῆ καὶ κυρτούμενον, ποιεῖν τὸ σταφύλωμα χωρὶς ῥήξεως. γίνεται δὲ τοῦτο, καὶ
ἔκ τινος φλυκταινώδους μεταξὺ τῶν κτηδόνων τοῦ κερατοειδοῦς χιτῶνος. ἐφ' ἱκανὸν βάθος συ-
στάντος καὶ μετεωρίσαντος τὸν χιτῶνα. μὴ μέντοι γε ῥήξαντος. καλοῦσι δὲ σταφύλωμα, καὶ ὅταν κα-
τὰ ῥῆξιν τοῦ κερατοειδοῦς πρόπτωσις μεγάλη τοῦ ῥαγοειδοῦς γένηται. διαφέρει δὲ τοῦτο τοῦ πρώτου,
ὅτι ἐπ' ἐκείνου κύρτωσίς ἐστι μόνη τοῦ κερατοειδοῦς χιτῶνος. ὅθεν καὶ λευκότερος ὅλος ὁ ὄγκος φαί-
νεται. ἐπὶ δὲ τῶν ἄλλων, καὶ ῥῆξις γέγονε τοῦ κερατοειδοῦς. καὶ τὸ προπεσὸν κυανοῦν ἢ μέλαν
φαίνεται. ὅταν δὲ μέγιστον γένηται σταφύλωμα, ὡς περιαίρειν ἔξω τὰ βλέφαρα. καὶ σκλη-
ρυνθῇ. περιτυλωθέντος αὐτοῦ κατὰ κύκλον τοῦ κερατοειδοῦς καὶ σφίγγοντος, τὸ τοιοῦτον πά-
50 θος, ἧλον καλοῦσιν. ἐπειδὴ προσέοικε κατὰ πάντα ἥλου κεφαλῇ. τὸ μὲν οὖν πάθος ὅπως ἂν
γένηται, δυσὶ δεδούλωκε κακοῖς. βλάβῃ τε τοῦ ὁρᾶν μετὰ τῆς ἀπρεπείας τοῦ σχήματος, εἰς
τὸ κατὰ φύσιν μὲν οὖν ἐπανάγειν τὸν οὕτω παθόντα ὀφθαλμὸν, ἀδύνατόν ἐστι τῇ τέχνῃ. τῆς
δὲ εὐπρεπείας καὶ τοῦ σχήματος, δυνατὸν φροντίσαι διὰ τῆς χειρουργίας μάλιστα. θεραπευ-
τέον οὖν ὅσα μὲν τῶν σταφυλωμάτων νεοσύστατά ἐστι καὶ διὰ φλεγμονήν τινα ἐκυρτώθησαν.

οἰδούμενα.

οἱ ὑμένες. χρώμενον τοῖς πρὸς φλεγμονὰς ἀναγεγραμμένοις καταπλάσμασι. καὶ τῇ ὁμοίᾳ διαίτῃ. ἐφ' ὧν δὲ ὑπὸ τὰς κτηδόνας τοῦ κερατοειδοῦς ὑγρῶν τινῶν ὑπεληλυθότων τὴν κύρτωσιν εἰργάσαντο. εἰ μὲν ὀδύνη συνεδρεύοι, καταπλάττειν λινοσπέρμῳ μετὰ τήλεως σὺν ὑδρομέλιτι, ἑφθοῖς. παρακμασάντων δὲ τῶν ἀλγημάτων, κυάμινον ἄλευρον μετὰ ῥόδων. ἢ λινοσπέρμου σὺν ὕδατι. ἢ βάτου φύλλοις. ἢ βρυωνίας βότρυας. ὀμφακίζοντας σὺν βουτύρῳ καὶ τερεβινθίνῃ, ἴσους λεάνας ἐπιτίθει. καὶ ἐπίδησον. ἐπὶ δὲ τῶν ὀδυνωμένων, ἁρμόδιον στρύχνου χυλὸν μετὰ γάλακτος γυναικείου ἐγχυματιζόμενος. κολλύριον δὲ ἐπὶ τῶν ἀφλεγμάντων, ἁρμόδιον τόδε. ἁλκυονίου, ∠. δ. ἁλὸς ἀμμωνιακοῦ, Γο. α. ἀφρονίτρου, ∠. α. ἐλαίας ἀγρίας δακρύου, ∠. α. κόμμεως, Γο. β. ὕδωρ. τὸ δὲ Σεβήρου θεοδότιον κολλύριον, χυλῷ κράμβης ἀνιέμενον. καὶ παχὺ πλῆθος προσαγόμενον τῷ ὀφθαλμῷ μετὰ καὶ τῆς τοῦ σπόγγου ἐπιδέσεως, ἀφανῆ τὸν ὄγκον πεποίηκεν. εἰ μὴ χρόνιον εἴη τὸ πάθημα. δυσθεράπευτα δέ ἐστι σταφυλώματα, ὅσα πλατυτέραν ἔχει τὴν βάσιν. καὶ ὅσα φλέβας ἔχει πλήρεις αἵματος διαπεφυκυίας. ἀθεράπευτα δέ ἐστι τὰ ὀχλώδη. καὶ ποικίλα τῷ χρώματι. καὶ κροτάφων ἀλγήματα ποιοῦντα. τούτοις δὲ οὐδὲν ἕτερον προσάγειν, πλὴν τῶν πραΰνειν τὰς ἀλγηδόνας δυναμένων. ἅτινα ἐπὶ τῶν κακοήθων ἑλκῶν προείρηται.

Χειρουργία σταφυλωμάτων. λζ.

Ἐπὶ μὲν οὖν τῶν στενῇ βάσει κεχρημένων σταφυλωμάτων, καὶ μὴ κακοήθων, ὄργανον εὐθετεῖ τὸ κατασφίγγειν. οὗ ὁ τρόπος τοιοῦτος. βελόνας δύο λαμβάνειν χρὴ, λίνον ἐχούσας ἐστεμμένον διπλοῦν, ἴσας ἔχοντας τὰς ἀρχάς. ἔπειτα καθίζειν τὸν ἄνθρωπον καὶ σχηματίζειν πρὸς τοῖς σοῖς ποσὶν, ἀνακλῶντα αὐτοῦ τὴν κεφαλὴν, στηρίζεσθαι δὲ χρή. τὸ αὐτοῦ ἰνίον κατὰ τῶν σῶν γονάτων. εἶτα διαστελλόντων τῶν βλεφάρων, διὰ μέσης τῆς τοῦ σταφυλώματος βάσεως ἄνωθεν κάτω καταπείρειν τὴν βελόνην. ἔστω δὲ μὴ πάνυ παχεῖα. μηδὲ εὐμήκης. εἶτα διακρατουμένου τοῦ ὀφθαλμοῦ ὑπὸ τῆς καταπαρείσης βελόνης, τὴν ἑτέραν βελόνην διπλοῦν λίνον ἔχουσαν, ὁμοίως διεμβάλλειν ἀπὸ τοῦ μικροῦ κανθοῦ ἐπὶ τὸν μέγαν ὁμοίως διὰ μέσης τῆς βάσεως τοῦ σταφυλώματος. ἵνα γένηται τὸ σχῆμα τῶν ἐμπεπαρμένων δύο βελονῶν σταυροειδές. ἢ τῷ χ γράμματι παραπλήσιον. ὅταν γὰρ ἐπ' ὀλίγον λοξωτέρα γένηται ἡ ἔμπαρσις, εὐχερὴς ἡ κομιδὴ τῶν βελόνων γίνεται. εἶτα κόψαντες τὰς ἀρχὰς τῶν διπλωμένων λίνων, τὰς μὲν ἄνω δύο ἀρχὰς, ὑποβάλλοντες τῇ ἄνω ἀρχῇ τῆς βελόνης. τὰς δὲ κάτω τῇ κάτω ἀποσφίγγομεν γενναίως. ὁμοίως δὲ καὶ τὰς τῆς πλαγίας βελόνης ἀρχὰς ἀποσφίγγομεν. ἡ δὲ καλλίστη ἀπόσφιγξις γίνεται, τῶν εὐθειῶν ἀρχῶν πρὸς τὰς πλαγίους φερομένων καὶ συνδεσμουμένων τούτῳ τῷ τρόπῳ. ἔπειτα ἀποτέμνομεν τὴν κορυφὴν τοῦ σταφυλώματος μόνην τὴν βάσιν αὐτοῦ ὑπολιπόντες χάριν τῶν λίνων. ἵνα μὴ ἐκπεσόντων αὐτῶν, προχυθῇ τὰ ὑγρὰ τοῦ ὀφθαλμοῦ καὶ κοιλότερος γένηται, διατί δὲ ἐκτέμνομεν τὸ σταφύλωμα. πρῶτον μὲν συντόμου χάριν θεραπείας. θᾶττον γὰρ τὰ λίνα ἐκπίπτει. καὶ ἡ ἕλκωσις θεραπεύεται. ἔπειτα δὲ καὶ ἀνωδυνώτερος ὁ πάσχων μένει παρ' ὅλον τὸν τῆς θεραπείας χρόνον. διαπνεομένων τῶν σωμάτων. καὶ μηδὲ φλεγμονῆς μεγάλης ἑπομένης. μετὰ δὲ τὴν ἐκτομὴν τῆς κορυφῆς τοῦ σταφυλώματος, τὰς βελόνας ἑλκύσαι δεῖ. ἀποσφίγξαντα ὡς εἴρηται τὰ λίνα. καὶ τότε ἐγχυματίζειν γάλακτι. ἢ ὠοῦ τῷ λευκῷ. ἄνωθεν δὲ ἐπιτιθέναι, τῷ ὀφθαλμῷ ὠὸν ἀνακόψαντα μετὰ ῥοδίνου καὶ ὀλίγου οἴνου. καὶ εἰς ἔριον μαλακὸν ἀναλαβόντα. καὶ κατὰ τοῦ κροτάφου ἕτερον πτυγμάτιον τῷ αὐτῷ βεβρεγμένον, ἐπιθεῖναι. εἶτα ἐπιδήσαντα, ἐπὶ ἡσυχίας τηρεῖν. τῇ δὲ δευτέρᾳ πυριάσαντα διὰ σπόγγων ἐκπεπιεσμένων ἀκριβῶς. καὶ γάλακτι ἐγχυματίσαντα, ἐπιτιθέναι ὡς βρεχὲς ἔριον καὶ ἐπιδεῖν. καὶ τόδε ποιεῖν ἐπὶ πλείους ἡμέρας, μέχρις τῆς τῶν λίνων ἐκπτώσεως. ἐκπεσόντων δὲ τῶν λίνων, ὑπαλείφειν κολλυρίοις ἁπαλοῖς τοῖς πρὸς τὰ ἕλκη ἀναγεγραμμένοις. ἵνα καθαρὰ ἡ ἕλκωσις γένηται ἔπειτα τοῖς ἀπουλωτικοῖς χρῆσθαι.

Περὶ τῶν ἐπουλώσεως δεομένων ἑλκῶν. λη.

Καθαρθέντων τῶν ἐν τῷ ὀφθαλμῷ ἑλκῶν. καὶ πληροῦσθαι δεομένων, προσέχειν δὲ ὅπως μὴ ὑπερσαρκώσῃ. ἀλλ' ὀλίγον τινὶ κοιλότερον ἀπουλωθῇ. καὶ μάλιστα εἰ κατὰ τῆς κόρης εἴη τὸ ἕλκος. αἱ γὰρ ὑπερέχουσαι οὐλαὶ ἐμποδίζουσαι τὸ ὁρᾶν, καὶ ἀπρέπειαν παρέχουσι. καὶ νυττόμεναι ἐκ τῶν βλεφάρων, ῥευματισμοὺς ἐπάγουσιν. αἱ δὲ ποσῶς ἔγκοιλαι φαίνονται. καὶ διαυγοῦνται βέλτιον. καὶ εὐπρεπεῖς εἰσὶν ὁμοχροοῦσαι τῷ μέρει. τοιαῦται γὰρ ἕπονται τοῖς ἀπὸ τῶν μαλακῶν καὶ ἐμπλαστόντων φαρμάκων συντόμως ἐπὶ τὰ ἀπουλωτικὰ μεταβαίνουσι. βέλτιον δὲ ἐὰν ποτὲ διαλάθωσιν ὑπερσαρκήσασαι, ταχέως καταστέλλειν καὶ λεπτύνειν τὰς ὑπεροχάς. καὶ οὕτως ἀπουλοῦν. παραιτεῖσθαι δὲ καὶ τὰ βλάπτοντα τὰς οὐλὰς φάρμακα. καὶ μάλιστα εἰ κατὰ τὴν κόρην εἴη τὸ ἕλκος. μελαινόμεναι γὰρ πλέον, ἐμποδίζουσι τὸ ὁρᾶν. καὶ τὰς ἐπιδέσεις δὲ τῶν ὀφθαλμῶν, ἐπὶ τῶν ἑλκώσεων παραιτητέον. αἷς χρῶνται τινὲς βουλόμενοι ταπεινοῦν τὰς οὐλάς, ἐπιδεθεὶς γὰρ ὁ ἑλκωμένος ὀφθαλμός. καὶ ἀκίνητος γινόμενος, προσφύεται πολλάκις τοῖς βλεφάροις. σημειοῦσθαι δὲ ἀκριβῶς προσήκει τὰ κατουλωθέντα ἕλκη. ἔνιοι δὲ πλανῶνται τὰς κοιλοτέρας γινομένας οὐλάς, κοιλώματα νομίζοντες, ὑπαλείφουσι μαλακοῖς καὶ ἀναπληρωτικοῖς κολλυρίοις. εἶτα συμβαίνει, μὴ πληροῦσθαι

μὲν τοὺς τόπους. παχύνεσθαι δὲ ἐκ τούτου τὸν ὑμένα. ὅταν τοίνυν θεάσῃ τὴν ἐπιφάνειαν τοῦ ἕλκους λαμπρὰν γενομένην καὶ λευκὴν καὶ λείαν, καὶ τὸ λευκὸν τοῦ ὀφθαλμοῦ τὴν κατὰ φύσιν χροιὰν ἀπολαμβάνον, καὶ τὸν ὅλον ὀφθαλμὸν ἀρευμάτιστον, γνῶθι ἀπόλλυσθαι ἤδη τὸ ἕλκος.

ἔστι δὲ ἄριστον κολλύριον, ᾧ κεχρήμεθα ἐπὶ τῶν καθαρῶν ἑλκῶν καὶ ἐπουλώσεως δεομένων, τὸ κλέωνος.

Περὶ οὐλῶν ἤτοι λευκωμάτων. λθ'.

Οὐλαὶ πᾶσαι αἱ ἐπὶ τοῦ μέλανος τοῦ ὀφθαλμοῦ λευκαὶ φαίνονται. πυκνουμένου μὲν τοῦ κερατοειδοῦς χιτῶνος, καὶ μὴ διαυγοῦντος τὴν ὑποκειμένην αὐτῷ κυανῆν χρόαν. μάλιστα δὲ αἱ ὑπερέχουσαι, λευκαίνονται. αἱ δὲ ἰσόπεδοι, ἧσσον εἰσὶ λευκαί. αἱ δὲ κοιλότεραι, ὁμοχροοῦσί πως τῷ μέλανι. ὅσοι δὲ τοῖς στυπτικοῖς φαρμάκοις ἕως ἀπουλώσεως θεραπεύονται, μᾶλλον ἐπισκοτοῦσι τῷ πυκνοῦσθαι ἐπὶ πολὺ τῇ στύψει τὸν ὑμένα. τὰς δὲ τετυλωμένας καὶ χρονίους καὶ παχείας οὐλὰς, παραιτεῖσθαι θεραπεύειν. ἀνάγκη γὰρ ἐπὶ τῶν τοιούτων τοῖς πάνυ δριμέσι κολλυρίοις κεχρῆσθαι. ὑπὸ γὰρ τῆς σφοδρᾶς δήξεως τὰ ἄλλα μέρη τοῦ ὀφθαλμοῦ ἑλκωθήσεται. εἰ δὲ καὶ ὑπόχυσις ἢ γλαύκωσις εἴη, μάταιον τὰς οὐλὰς ἀποσμήχειν. δεῖ δὲ πρὸ πάντων ὑποσμῆξαι βουλόμενον οὐλὴν, τῇ διαίτῃ εὐτρεπίζειν τὸ σῶμα. ὅπως σύμμετρός τε ἡ ὕλη παρακείσεται ἐν τῷ ὅλῳ σώματι καὶ εὔχυμος. δεῖ οὖν ἀπέχεσθαι τῶν δριμέων ἁπάντων, καὶ ἁλυκῶν, καὶ παχυχύμων, καὶ πλείονος οἴνου. εὐπεψίας δὲ μάλιστα φροντίζειν, καὶ τοῖς μέσως εὐχύμοις κεχρῆσθαι. βαλανείου δὲ ἐν τῷ καιρῷ τῆς ἐπιμελείας ἀπέχεσθαι. ὑπαλείφειν δὲ πρὸ τῆς τροφῆς εὔπεπτόν τε ὄντα καὶ τῇ κεφαλῇ καὶ τῷ ὅλῳ σώματι, κοῦφον. προαποδεδωκυίας τῆς κοιλίας. καὶ μὴ δὲ ἐκ τῆς κοίτης εὐθέως ἐγχρίειν. μὴ δὲ πρὸ δείπνου. παραιτεῖσθαι δὲ τὰ ἐκδέροντα τὰς οὐλὰς φάρμακα. τινὲς γὰρ ὑπαλείφοντες τοῖς δριμέσι φαρμάκοις, καὶ ἀποδέροντες τὰς οὐλάς, καὶ ἀποσύροντες τοῖς ὠτίοις τὰ λευκὰ ἐπ' ἀκονίων μελανῶν περιφέροντες, δεικνύουσιν. εἶτ' ἐπεγχρίουσί τινι τῶν βλάπτειν δυναμένων. ῥευματισμῶν δὲ ἐπιγινομένων ἐκ τῆς τῶν φαρμάκων δριμύτητος καὶ φλεγμονῶν, καὶ ἀναλυομένων ἔσθ' ὅτε τῶν οὐλῶν, βαρύνεται μᾶλλον τὰ ἕλκη. εἶτα ἀναγκάζονται πάλιν τοῖς στύφουσι καὶ ἐμπλάσσουσι χρῆσθαι κολλυρίοις, καὶ παχύνουσι μᾶλλον τὰς οὐλάς.

Ἄλλη λεπτύνουσα οὐλὰς καὶ λευκώματα. Γαληνοῦ. μ'.

Κεχρῆσθαι οὖν ἐπὶ τῶν λεπτυνθῆναι δυναμένων προσήκει τοῖς μετρίως ῥύπτουσι φαρμάκοις. ῥυπτικῆς δὲ οὐκ ἐλαχίστης μετέχει δυνάμεως, ὅ, τε κεκαυμένος χαλκὸς, καὶ ἡ λεπὶς τοῦ χαλκοῦ αὐτοῦ, καὶ τὸ ἄνθος, καὶ ἡ κεκαυμένη χαλκίτης. εἰ δὲ πλυθείη τὰ τοιαῦτα, ῥυπτικὰ μὲν ἔτι μένει. τοσούτῳ δὲ ἀσθενέστερα ταῖς ἐνεργείαις, ὅσῳ καὶ ἀδηκτότερα γίνεται. ἀσφαλέστερον δὲ τοῖς ἀδηκτοτέροις χρῆσθαι. ἰσχυρότερα δὲ τούτων ἐστὶ, μίσυ καὶ ὁ ἰός. ὥστε καὶ τὰς προσηκώσεις καὶ τύλους ἁρμόττουσι μιγνύμενα. τινὲς δὲ προσβάλλουσι τούτοις καὶ κικίδας. σφοδρῶς στῦφον φάρμακον. σφοδρότερον δέ ἐστι τῇ στύψει ἅμα δριμύτητι, τὸ χάλκανθον. μετριώτερον δὲ πολὺ γίνεται, καυθέν τε καὶ πλυθὲν, καὶ ἡ λεπὶς δὲ τοῦ στομώματος, τῆς αὐτῆς ἐστιν ὕλης. ὅσα μὲν τῶν στυφόντων ἱκανῶς γεώδη ταῖς συστάσεσιν ἐστὶ, τραχώματά τε καὶ συκώσεις καὶ τύλους ἐκτήκει, καθάπερ μίσυ καὶ ἰὸς καὶ τὰ παραπλήσια. τὰ δὲ ἐν τῷ γένει τῶν χυλῶν ὄντα, καθάπερ ὀμφάκιόν τε καὶ ὑποκυστὶς, γλαύκιόν τε καὶ ἀκακία, ἐκπλύνεται ῥᾳδίως ἐν ταῖς ὑπαλείψεσι μετὰ τοῦ δακρύου. ῥυπτικὸν δὲ ἀδήκτως ἐστὶν, ἐλάφου κέρας καυθὲν, καὶ τὰ τῶν αἰγῶν. ὁ δὲ λιβανωτὸς, βραδυτάτης μετείληφε τῆς ῥυπτικῆς δυνάμεως, ἀνώδυνός τε καὶ πεπτικὸς ὑπάρχει. τῶν δὲ εἰρημένων ζώων τὰ κέρατα, ῥυπτικὰ μέν ἐστιν. οὔτε δὲ ἀνώδυνον οὔτε πεπτικὸν ἔχει. ψυχρὰ καὶ ξηρὰ ταῖς κράσεσιν ὑπάρχοντα. ὁ δὲ τοῦ λιβάνου φλοιὸς, στύφει μὲν καὶ αὐτὸς οὐκ ἀγεννῶς. ἀπολείπεται δὲ τῶν εἰρημένων ἁπάντων πάμπολυ. τὸ δὲ ὑπόσησμα τοῦ τεθραυσμένου κατὰ τὰ φορτία λιβάνου, ὃ καλοῦσι μάννα, διαφέρει τοῦ λιβανωτοῦ τῷ προσειληφέναι βραχύ τι στύψεως. συνεμφέρεται γὰρ αὐτῷ μικρά τινα θραύσματα τοῦ φλοιοῦ. ῥυπτικὸν δὲ καὶ τὸ καλούμενον ἀρμένιον ἔχει, ᾧ χρῶνται οἱ ζωγράφοι. καὶ τὸ μέλαν τὸ ἰνδικόν. καὶ διαφερόντως τοῖς ἀφλεγμάντοις ἕλκεσιν ἀλύπως ὁμιλεῖ, μικτῆς πως ἐστὶ δυνάμεως, ἡ ἀλόη. καθάπερ τὸ ῥόδον. ἔχει μὲν γάρ τι πικρὸν, ὃ ῥύπτειν πέφυκεν. ἔχει δέ τι καὶ στυπτικὸν, ὃ συνάγει τε καὶ συνουλοῖ τὰ ἕλκη. ἅλες δὲ ἀμμωνιακοὶ, καὶ λίθος ἄσιος, καὶ τὸ ἄνθος αὐτοῦ, ἰσχυρότατον φάρμακον. ὡς καὶ πρὸς τὰς ψωρώδεις ἐν βλεφάροις διαθέσεις, ἁρμόττει. ἐκ δὲ τῶν ἀρωματικῶν φαρμάκων ἐπιτηδείως μίγνυται τούτοις, κασία καὶ μαλάβαθρον, καὶ ἄμωμον. διαφορητικῆς μὲν ὄντα δυνάμεως. μετέχοντα δὲ καὶ στύψεως. κοινὴ γὰρ ἐπὶ πάντων ἐγνωκέναι χρὴ τῶν ῥυπτικῶν φαρμάκων. ὅσα μέτρια, καὶ ὅσα τὰς συκώσεις καὶ τύλους ἐκτήκει. ταῦτα πάντα καὶ πρὸς οὐλὰς παχείας ἁρμόττει.

Βοηθήματα

Βοηθήματα πρὸς οὐλὰς καὶ λευκώματα. μα.

Πρὸς λευκώματα, δρακοντίου τοῦ ἔχοντος τὸ σπέρμα κρυπτόμενον ἐν τῇ γῇ, ὅμοιον πεπέρεως λαβών,
καὶ λειώσας μετὰ μέλιτος, ἔγχριε. Ἄλλο πρὸς οὐλὰς καὶ ἀμβλυωπίας. Ευζώμου σπέρματος,
γρ. β. ἀρμονιακοῦ, γρ. η. ἁλὸς ἀμμωνιακοῦ, γρ. γ. ἀμμωνιακοῦ θυμιάματος, γρ. γ. ξηρῷ χρῶ.
Ἄλλο. Οὐλὰς τὰς προσφάτους σμήχει ἀλειπότατα. ἵππειον γάλα. μέλιτι ὀλίγῳ ἐγχριόμενον συ-
νεχῶς. ἀνήθου τὸ πορφυρίζον ἄνθος, τρίβε μεθ' ὕδατος ἐλαχίστου. καὶ διηθήσας δι' ὀθονίου, ἔνσταζε
τῷ ὀφθαλμῷ τὸν χυλὸν δὶς τῆς ἡμέρας. καὶ μετὰ ταῦτα σικύου κηπαίου σπέρμα διαμασησάμενος
τὸν χυλὸν ἐκθλίψας δι' ὀθονίου, ἔνσταζε εἰς τὸν ὀφθαλμόν. καὶ συνεχῶς τοῦτο ποίει. Πρὸς λευκώ-
ματα ἄλλο. Σιδηρῖτις βοτάνης τὸν καρπὸν λειότατον ποιήσας, ἔμφυσα. ἔπειτα καταλαμβά-
10 νων τὸν ὀφθαλμὸν τῇ χειρὶ ἐπ' ὀλίγον ψυχρῷ ὕδατι, πρόσκλυζε. σμήχει δὲ γενναίως ἀλκυόνιον.
μελίσσιον σὺν μέλιτι. ἀμμωνιακὸν θυμίαμα λεανθὲν σὺν οἴνῳ καὶ μέλιτι. ἐὰν δὲ παιδίῳ σμικρῷ λεύ-
κωμα γένηται εἰς τὸν ὀφθαλμόν, ἡ μήτηρ τοῦ παιδίου ἀμμωνιακὸν μασησαμένη, ἐμφυσάτω εἰς τὸν
τοῦ παιδίου ὀφθαλμόν. ποιεῖ καὶ ἀνεμώνης ῥίζα ἡ βολβοειδὴς λειοτάτη ἐγχριομένη. καὶ ἀναγαλλίδος
τῆς τὸ κυανοῦν ἄνθος ἐχούσης ὁ χυλὸς σὺν μέλιτι. Ἄλλο. Καπνίου τοῦ χελιδονίου λεγομένου ὁ
χυλὸς σὺν μέλιτι. νίτρον μετ' ἐλαίου παλαιοῦ. ἢ ἡδυόσμου χυλὸς ποιεῖ θαυμαστῶς. πυρῆνες ἰσάτιδος καὶ πρὸς
ἐπ' ἀκόνης μεθ' ὕδατος ἀνιεμένη, ποιεῖ παραδόξως. ἐλούρου χολὴ ἐγχριομένη. Ἄλλο πρὸς λευκώ-
ματα. Βούτυρον τετηγμένον. ἀδιάπτωτον, μόνον ἔγχριε. ποιεῖ ἄκρως. καὶ χρῶ. πλείω γὰρ ἐπαγγέλ-
λεσθαι οὐ χρή. ὅτι νικᾷ πᾶσαν ἐπαγγελίαν. Ἄλλο κάλλιστον. Γάλα γυναικεῖον. μελαντηρίαν τὴν
ἀπὸ ἥλων παλαιῶν καὶ ὄξους ἐσκευασμένων. μέλι καλόν, ἐξ ἴσου τὰ γ΄ μίξας ἅμα καὶ διηθήσας,
20 χρῶ ὡς θείῳ φαρμάκῳ. λαπάθου ἡμέρου. ἢ ἀρνογλώσσου σπέρμα καύσας ἐπ' ὀστράκῳ, ἀκριβῶς λέαι-
νε τὴν τέφραν. καὶ χρῶ. Ἄλλο. Κρόκον. πέπερι ἴσα λειότατα ποιήσας. καὶ ἀναλαβὼν κολ-
λύριον. καὶ σιλούρου χολῇ, χρῶ. Ἄλλο. Χελιδόνων νεοσσῶν κεφαλὰς ἀφελών, καὶ ἐν χύτρᾳ
καύσας. καὶ λειώσας, ἀπόθου ἐν ἀγγείῳ κερατίνῳ. καὶ χρῶ. ἔστι γὰρ χρειωδέστατον βοήθημα, καὶ πρὸς τοὺς
πληγέντας ὀφθαλμοὺς στιμμιζόμενον. Ἄλλο. Λίθον σαρκοφάγον λεγόμενον. ἐξ οὗ σορούς με-
γάλους κατασκευάζουσι. κόψας. σήσας. καὶ λεάνας πτυέλῳ νήστεως αὐτοῦ τοῦ πάσχοντος, μάλιστα
ὑπόχριε θαρρῶν. Ἄλλο πρὸς οὐλὰς καὶ λευκώματα. Μόσχου θηλείας χολὴν ὅσον κοτύλην λα-
βών, καὶ ἑψῶν ἐπὶ πυρὸς ἐπ' ὀλίγον, ἐπίβαλλε μέλιτος καλλίστου τὸ ἴσον. καὶ σμύρνης, ∠. β. κρόκου,
∠. β. λειώσας ἅμα, ἕψε πάλιν ἐν χαλκῇ λοπάδι ἐπὶ ἱκανόν. καὶ ἀπόθου εἰς πυξίδα χαλκῆν. καὶ
χρῶ. Λίθου μαγνήτου ζῶντος. λίθου ὀφίτου. στίμμεως ἴσα κόψας. σήσας. λεάνας, πάλιν εὖ μάλα,
30 ἐπίβαλλε χυλὸν βοτάνης νυκτορίδος καλουμένης. καὶ μέλι τὸ κάλλιστον, καὶ ἔγχριε. μήλην ποιήσας ἀπὸ
λίθου σαρκοφάγου. Ἄλλο. Χαλβάνην μέλι τήξας. καὶ συλλεάνας, χρῶ. Ἄλλο. Κολλύριον.
Αἴρει λευκώματα, πάνυ θαυμαστῶς καὶ ταχέως. λεπίδος σιδήρου στομώματος, ∠. β. στυπτηρίας σχι-
στῆς, ∠. ϛ. κόμμεως. σκώληκος, ∠. γ. ὕδατι λείου. καὶ ἀνάπλασσε κολλύρια καὶ χρῶ. Ἄλλο. Ῥάμνου
χυλόν, εἰ οἷόν τε τοῦ καρποῦ. εἰ δὲ μὴ τῶν φύλλων, γο. β. ἀμμωνιακοῦ θυμιάματος, γο. α. σηπίας ὀστρά-
κων, γο. α. μέλιτος ἀττικοῦ, γο. β. λείοις ἀναλάμβανε καὶ χρῶ. τινὲς δὲ τὸ ἀμμωνιακὸν μόνον λεαίνον-
τες μετὰ τοῦ χυλοῦ τῆς ῥάμνου, ἐγχρίουσιν. αὐτὸς δὲ ὁ χυλὸς κατὰ πιδίαν ἐγχριόμενος, βάπτει τὰς οὐ-
λάς. Αρχιγένους πρὸς λευκώματα κολλύριον. Ὥστε ἀπὸ μιᾶς ἐγχρίσεως, αἴρει τὸ πλεῖστον τοῦ
λευκώματος. ποιεῖ δὲ πρὸς πᾶσαν σφαλερὰν καὶ χρονίαν ὀφθαλμίαν ἄκρως. κοχλίων κεκαυμένων,
∠. γ. χαλκοῦ κεκαυμένου ∠. δ. λεπίδος χαλκοῦ, ∠. ϛ. λεπίδος στομώματος σιδήρου, ∠. ιβ. ἰοῦ,
40 ∠. ϛ. λίθου σχιστοῦ, ∠. α. ἀλόης ∠. α. ὀμφακίου ξηροῦ, ∠. ϛ. λυκίου ἰνδικοῦ, ∠. δ. χαλκίτεως,
∠. γ. σμύρνης, ∠. γ. λιβανίου, ∠. γ. φλοιοῦ λιβανίου, ∠. ϛ. κρόκου, ∠. β. κροκομάγματος, ∠.
ϛ. ναρδοστάχυος, ∠. γ. κυτίνων, ∠. β. κόμμεως, ∠. η. λείου ὕδατι. καὶ ἀνάπλασσε κολλύρια. καὶ
χρῶ σὺν ὕδατι. καὶ ξηρὸν δὲ εἰ βούλει ποιῆσαι, λεάνας τὸ κολλύριον, ξηρῷ χρῶ. καλῶς δὲ ποιεῖ πρὸς
οὐλάς φησὶ ὁ Ἀπολλώνιος, τὸ πεπιεσμένον κολλύριον. ποιεῖ δὲ καὶ τὸ ἁρμότιον. καὶ τὸ προσγεγραμ-
μένον δι' οἴνου, πρὸς μυοκέφαλα καὶ τὰ τούτοις παραπλήσια. ἅτινα ἐν τῷ περὶ συνθέσεως τῶν
πολυχρίστων κολλυρίων τόπῳ γραφήσεται. τὸ δὲ σεβήρου θεοδότιον σὺν ὕδατι παχὺ ἐγχριόμενον
εἰς τοσοῦτον λεπτότητος φέρει τὰς οὐλάς, ὥστε μὴ δι' ὅλως αὐτὰς τῇ αἰσθήσει γνωρίζειν. κάλλιστον
δὲ ἐπ' αὐτῶν ξηρὸν τὸ ἐπιγεγραμμένον Ἀλεξάνδρου βασιλέως. διὰ κρόκου καὶ ἑλκτικῆς καὶ ἀμ-
πελίτιδος γῆς σκευαζόμενον. κεῖται δὲ ἐν τοῖς πολυχρίστοις ξηροῖς.

Βάμματα λευκωμάτων. μβ.

50 Προείρηται ὡς ἀπέχεσθαι χρὴ τῶν βαπτόντων τὰς οὐλὰς φαρμάκων, πρὸς τῷ μὴ δὲ ἀγνοεῖν τὰ τοῦτο
ποιεῖν δυνάμενα. μνημονευτέον καὶ αὐτῶν. κηκῖδα φησὶ λείαν ἔχε ἀποκειμένην. καὶ ἐν τῇ χρήσει πυ-
ρῶν μήλης θερμαίνων. καὶ ἀναλαμβάνων ἀπὸ τοῦ φαρμάκου, παράπτου τοῦ λευκώματος. ἔπειτα
χαλκάνθου λύσας ὕδατι, παράπτου. Ἄλλο. Σιδίοις λείοις παράπτου. ἔπειτα χαλκάνθῳ σὺν

ὕδατι. Ἄλλο. Ῥόας γλυκείας, τὴν σάρκα λεάνας, παραστάζων ὕδωρ ὀλίγον, καὶ ποιήσας λειότατον ἀπόθου. ὅταν δὲ χρεία γένηται προσύψας πάνυ πολλάκις, ἐπίχριε ὑοσκυάμου χυλόν, ἐπὶ ἡμέρας ιε΄. πάνυ γὰρ βάπτει λευκώματα καὶ ἀφανῆ ποιεῖ, ἐπιχριόμενον ἱκανόν. Ἄλλο. ποιοῦν καὶ πρὸς γλαυκοὺς ὀφθαλμούς. Μίσυ τρίψας μεθ' ὕδατος, ἀνάπλασσε κολλύρια. ὁμοίως δὲ καὶ ἕτερον διὰ κηκίδος. ἐπὶ δὲ τῆς χρείας προσαποτρίψας τῷ διὰ τῆς κηκίδος, ἐπίχριε τὸ διὰ μίσυος. Ἄλλο ξηρόν. Κηκίδος, < α΄. ἀκακίας, < α΄. χαλκάνθου < β΄. χρῶ. Ἄλλο δὲ κολλύριον πάνυ. Ῥόας τὸ ἄνθος. χαλκάνθου. ἀκακίας. κόμεως, ἀνὰ < δ΄. στίμμεως, < δ΄. κηκίδων, < β΄. ὕδωρ. μὴ παρὸν δὲ τὸ ἄνθος τῶν ῥοῶν, τὸ ἐν τῷ μεταξὺ τῶν κόκκων ὑμενῶδες ἔμβαλε.

Πρὸς γλαυκοφθάλμους ὥστε μέλανας ἔχειν τὰς οὐλάς. μγ΄.

Σιδίων ῥοᾶς γλυκείας τὸν χυλὸν ἐγχυμάτιζε. ἔπειτα διαστήσας ἔνσταζε ὑοσκυάμου τὸ κυανοῦν ἄνθος τρίψας μετ' οἴνου. ἢ ὑοσκυάμου χυλόν. δεῖ δὲ τῷ δέοντι καιρῷ τὰ ἄνθη συνάγειν, καὶ ἀποτίθεσθαι. Ἄλλο. Ἀκακίας τὸν καρπόν, καὶ κηκίδων ὀλίγον τρίψας ἐπιμελῶς, ἀναλάμβανε ἀνεμώνης τῷ χυλῷ, ὡς μέλιτος ἔχειν πάχος. ἔπειτα ἐκθλίψας διὰ ῥάκους ἐπιμελῶς τὸ ὑγρόν, ἀπόθου. καὶ χρῶ καθὼς προείρηται. Ἄλλο. Σικύου ἀγρίου τῷ χυλῷ, ἔγχριε τὰς γλαυκοφθάλμους γυναῖκας, μελανοφθάλμους ποιεῖ. Ἄλλο. Ὑοσκυάμου τὸ κυανοῦν ἄνθος, λαβών, ξήρανε ἐν σκιᾷ, καὶ ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως διεὶς τὸ ἄνθος οἴνῳ αὐστηρῷ προϋπόχριε. εἶτα τῷ ἄνθει αὐτῷ λειοτριβηθέντι κατ' ἰδίαν, ἀπόχριε. καὶ παραχρῆμα ποιεῖ.

Περὶ τῆς τῶν παιδίων θεραπείας. Σευήρου. μδ΄.

Ἄπειρον εὑρίσκεται κατὰ τοὺς τῶν παίδων ὀφθαλμούς, καὶ διαφυσῶνται δὲ ὡς ἐπίπαν τούτων τὰ βλέφαρα ὑπὸ τοῦ πάθους τῆς ὕλης. ὑγρότερα γὰρ καὶ θερμότερα φύσει τὰ παιδία. τὰ οὖν τούτων κολλύρια, ψυκτικά εἰσι, καὶ ποσῶς ἀναξηραντικά, μετέχοντα καὶ στύψεως οὐκ ὀλίγης, διὰ τό, τὰ ἐπιφερόμενα τῶν λημῶν πλῆθος ἀποκρούεσθαι. εἰς τοσοῦτον δὲ ἧκται στύψεως τὰ παιδικὰ κολλύρια, ὥστε καὶ τῶν τραχωματικῶν αὐτὰ ἀναιρετικὰ τυγχάνειν. ἀμβλύνεται γὰρ ἐπὶ τῶν παίδων, ἡ τῶν κολλυρίων δριμύτης ὑπὸ τῆς ἐγχωρίου ὑγρότητος, καὶ τοῦ πλήθους τῶν λημῶν. ἀλλὰ καὶ τῷ πλήθει τῶν ἐπιφερομένων ὑγρῶν, διὰ τὸν ἐπιγινόμενον κλαυθμόν, ἀποπλύνεται τὰ κολλύρια. ἔστι δὲ ἡμῖν διὰ πείρας ἐπὶ τούτων. πρῶτον μὲν καὶ θαυμάσιον κολλύριον, λαμβάνον λίθου σχιστοῦ < η΄. λίθου αἱματίτου, < η΄. ἰοῦ < δ΄. χαλκίτεως ὀπτῆς < δ΄. χαλκοῦ κεκαυμένου, < δ΄. ὀπίου. < ϛ΄. σμύρνης, < ϛ΄. κόμεως < ιϛ΄. αὕτη μὲν ἡ τοῦ κολλυρίου σύνθεσις, καὶ λόγῳ δεδοκίμασται, καὶ τῇ πείρᾳ χρήσιμος ὤφθη. ὕδατι λειοῦται. καὶ ἄλλο δὲ κολλύριον πρὸς τὰ αὐτὰ διὰ πείρας χρήσιμον ὑπῆρξε. λαμβάνον λίθου σχιστοῦ, < κδ΄. λίθου αἱματίτου, < κδ΄. χαλκοῦ κεκαυμένου, < η΄. ἀμμωνιακοῦ θυμιάματος, < η΄. μίσυος κεκαυμένου, < η΄. ὀπίου, < δ΄. ὑοσκυάμου σπέρματος, < δ΄. κόμεως < η΄. ὕδωρ. δεῖ δὲ καὶ ἐπὶ τούτων κατ' ἀρχὰς προσπλέκειν τῶν ἀδήκτων κολλυρίων. καὶ οὕτω κατ' ὀλίγον ἐπὶ τὴν δραστικὴν τῶν βοηθημάτων ἄγεσθαι δύναμιν. παραδόξως δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ τὸ Θεοφίλειον ἐπιγεγραμμένον κολλύριον. καὶ τὸ καλούμενον θεοφίλιον ἀναγεγραμμένον δέ ἐστιν ἐν τοῖς πολυχρίστοις κολλυρίοις.

Περὶ τραχωμάτων καὶ δασυμάτων. συκώσεων, καὶ τύλων Σευήρου. με΄.

Ἐπειδὴ ὁ λόγος συγγένειαν βοηθημάτων τεθέαται, καὶ τὰς ἀπηρτισμένας ἀλλήλων εὗρε δυνάμεις, ταύτας ἀφορίζει. οὐκέτι οὐδὲ μεσοσυλλαβεῖν τι ἕτερον αὐτῶν παρακελεύεται. τὰ τοίνυν τραχώματα, ἅπερ καὶ δασύματα πρός τινων κέκληται, ἐκ κακοθεραπείας πολλάκις γίνεται. ἐπὶ πολὺ γοῦν τῶν ἰατρῶν ἐγχυματιζόντων πάνυ συμβαίνει. ὥσπερ γὰρ ἐπὶ τῶν ἐκτὸς τραυμάτων τὸ λιπαίνειν σαρκῶν τινῶν ἀχρείων αἴτιον γίνεται, καὶ ἐπὶ τοῦ παρόντος οὕτως ἐστὶν ἐννοῆσαι τὸ γινόμενον. γίνεται δὲ καὶ ἐκ ῥεύματος πολυχρονίου ἀδηκτοτέρου τυγχάνοντος. εἰ γὰρ δριμὺς γένηται, φθάσειε τῷ ὀφθαλμῷ τὴν βλάβην ἐκποιῆσαι, πρὶν ἂν τοῖς βλεφάροις τὸ πάθος ἐγκατασπεῖραι. γίνεται δὲ ἐνίοτε καὶ μὴ προηγησαμένων ῥευματισμῶν. μηδὲ προδήλου αἰτίας παρούσης. καὶ ἔστι τὰ τοιαῦτα, οὐχ ὅμοια τοῖς ἐκ τῶν ῥευμάτων γινομένοις. ἐπ' ἐκείνων μὲν γὰρ δασύτερα καὶ τραχύτερα καὶ ἀνωμαλώτερα φαίνεται. ἐκστραφέντα τὰ βλέφαρα. ἐπὶ δὲ τούτων ὥσπερ τινὰ κέγχρω, ἢ ὀρόβια μικρὰ ὁρᾷς ἐπανιστάμενα τῶν βλεφάρων ἐντός. καὶ ἔστι πάνυ τὸ εἶδος τῶν ἄλλων δυσιατότερον. διαφέρουσι δὲ ἀλλήλων ταῦτα. ὅτι ἡ μὲν δασύτης, ἐπιπολῆς ἐστι καὶ μετὰ ἐρεύθους. ἡ δὲ τραχύτης, μείζονα τὴν ἀνωμαλίαν καὶ τὴν ἐπανάστασιν ἔχει, μετ' ἀλγήματος ἅμα καὶ βάρους. ἄμφω δὲ τοὺς ὀφθαλμοὺς ἐξυγραίνουσιν. ἡ δὲ σύκωσις λεγομένη, ὑψηλοτέρας τὰς ἐξοχὰς ἔχει. καὶ οἷον ἐντετμημένας. καὶ τινὶ γὰρ ἄλλῳ ἢ σύκῳ ἔοικε κεχηνότι. ἡ δὲ τύλωσις, τραχύτης ἐστὶ χρόνιος. ἐσκληρυμένας ἔχουσα καὶ τετυλωμένας τὰς ἀνωμαλίας. τινὲς μὲν οὖν ξέειν τὰ τραχώματα πειρῶνται. οἱ μέν, σιδήρῳ. οἱ δέ, φύλλοις συκῆς. ἔστι δὲ ἐπιβλαβὲς τὸ ἐπιχείρημα. ἐπὶ πλεῖον γοῦν ταῦτα ἐπαύξουσι. καὶ σκληρὰς τὰς οὐλὰς ἐπάγουσι. καὶ αἴτιοι συνεχῶν ῥευματισμῶν γίνονται. κνιζομένων ἀεὶ τῶν ὀφθαλμῶν ἐκ τῶν ἐπιγινομένων σκληροτέρων οὐλῶν. θεραπεύειν δὲ χρὴ τὰ τραχώματα, μηδενὸς ἕλκους περὶ τὸν ὀφθαλμὸν ὄντος, τοῖς ἐπὶ τῶν παίδων προρρηθεῖσι κολλυρίοις ἐκστρέφοντες τὰ βλέφαρα, εἰ μὴ φλεγμαίνοιεν, ἐπαλείφειν

καὶ

καὶ παρατρίβειν τῷ πυρῆνι τῆς μήλης ἐπὶ πολύ· ταχέως γὰρ ἀφιστάμενοι, τῆς παρατρίψεως, δακρύουσι μᾶλλον καὶ ῥευματίζουσι τοὺς ὀφθαλμούς. εἰ δὲ ἐπιμένοι ἡ αἰτία, τοῖς δραστικωτέροις κεχρῆσθαι προσήκει. ἔστι δὲ ταῦτα· σηπίας ὀστράκου, ℒ. η. καττιτέρεως, ℒ. η. μίλτου σινωπικῆς. ἀμμωνιακοῦ θυμιάματος, ℒ. γ. κόμεως, ℒ. η. ὕδωρ, τούτῳ χρώμενος, μεγάλως εὐδοκιμήσεις. παρ' αὐτὰ γὰρ τῆς ἐγχρίσεως ἐπιδερματίδες τινὲς ἐν τῷ ἀποσπογγίζειν ἐκπίπτουσι. ψυχρῷ δὲ ὕδατι μετὰ τὴν χρίσιν τοῦ κολλυρίου δέον ἀποσπογγίζειν. ἔστι δὲ καὶ ἄλλο κολλύριον πρὸς τὰς τοιαύτας διαθέσεις. λαμβάνων καδμίας, ℒ. δ. λεπίδος χαλκοῦ, ℒ. δ. ἁλὸς ἀμμωνιακοῦ, ℒ. δ. ὀπίου, ℒ. β. κόμεως, ℒ. ιβ. ὕδωρ. ἐγὼ δὲ τῷ σεβηριανῷ ξηρῷ κολλυρίῳ χρησάμενος, ὠφέλησα. ἕξεις δὲ καὶ τούτου τὴν πεῖραν διδάσκαλον. ὁ δὲ Ἀπολλώνιός φησι φαρμάκοις χρηστέον ἐπὶ τῶν τετραχυσμένων βλεφάρων, οἷς καὶ τὰς παχυτάτας οὐλὰς ἀποκαθαίρομεν. ἔστι δὲ ταῦτα· χαλκοῦ κεκαυμένου, ℒ. η. σμύρνης ℒ. α. λεπίδος χαλκοῦ, ℒ. α. ἀκακίας, ℒ. β. καδμίας, ℒ. β. ναρδοστάχυος, ℒ. α. κινναμώμου, ℒ. α. κρόκου, ℒ. α. πεπέρεως κόκκοι ιϛ. ὑπερικοῦ, ℒ. γ. ἀμμωνιακοῦ θυμιάματος, ℒ. γ. ἰοῦ ξυστοῦ, ℒ. β. κόμεως, ℒ. α. λεάνας οἴνῳ παλαιῷ αὐστηρῷ, ἀνάπλασσε κολλύρια· καὶ χρῶ. Ἄλλο πρὸς ῥεύματα παλαιά, καὶ δασέα βλέφαρα. Καδμίας, ℒ. ιϛ. χαλκοῦ κεκαυμένου, ℒ. δ. ὑοσκυάμου σπέρματος, ℒ. α. ὀπίου ℒ. β. σμύρνης. σελήνης καρποῦ. ἀκακίας, ἀνὰ ℒ. δ. κόμεως, ℒ. η. ξηρὰ πάντα λειότατα ποιήσας, ἐπίβαλλε γάλα γυναικεῖον. καὶ συλλεάνας, ἀνάλαμβανε κολλύρια. καὶ γάλακτι ὁμοίως ἀποτρίβων, ἔγχριε παχύ. Προσπυελίας ὑγρὰ τραχωματική, ποιεῖ καὶ ὑποπύοις. χαλκίτεως κεκαυμένης, ℒ. γ. κρόκου, ℒ. η. μέλιτος, ℒ. θ. λεάνας τὰ ξηρὰ μεθ' ὕδατος, μετὰ τὸ ξηρανθῆναι καλῶς, μίσγε τὸ μέλι καὶ χρῶ. Θεοφίλου καλουμένη ὑγρά, πρὸς τὰς συκώδεις ἐπαναστάσεις. καὶ πάσης σαρκὸς ἐξοχήν. χαλκοῦ κεκαυμένου, ℒ. β. μίσυος κεκαυμένης, ℒ. α. σμύρνης. κρόκου. ὀμφακίου, ἀνὰ ℒ. α. οἴνου χίου. ἢ ἑτέρου στύφοντος παλαιοῦ εὐώδους, Γο. ιϛ. μέλιτος ἀττικοῦ, Γο. γ. καὶ ἔστι δὲ καὶ ἕτερα κολλύρια ἁρμόζοντα πρὸς τραχώματα. οἷος ἐστὶν ὁ φοῖνιξ. καὶ διόνυσος. καὶ τὰ παραπλήσια ἅτινα ἀναγραφήσεται ἐν τοῖς πολυχρίστοις κολλυρίοις. ἐφ' ὧν δὲ σὺν τῇ τραχύτητι τῶν βλεφάρων καὶ οἱ χιτῶνες τῶν ὀφθαλμῶν ὀδυνῶνται φλεγμαίνοντες, παραμίσγειν χρὴ τοῖς ἰδίοις τῆς φλεγμονῆς φαρμάκοις τι τῶν ῥυπτικῶν. ὁποῖα ἐστὶ τὰ δι' οἴνου γραφησόμενα κολλύρια. Ἀφλεγμαντοτέρων δὲ γινομένων τῶν κατὰ τὸν ὀφθαλμόν, ἀποῤῥύψαι χρὴ τὰς τραχύτητας. ἐπὶ δὲ τῶν ἕλκος ἐχόντων μετὰ ῥεύματος δακνώδους, οὐχ οἷόν τε τοιούτῳ χρῆσθαι φαρμάκῳ. διαβρωθήσεται γὰρ ἐπὶ πλέον, ὁ κερατοειδής, ἥτε τοῦ ῥαγοειδοῦς πρόπτωσις μείζων. ὀδύνη τε σφοδρὰ καταλήψεται τὸν ἄνθρωπον. ἐπιταθήσεται δὲ καὶ τὸ κακόηθες ῥεῦμα. ἐπὶ τούτων οὖν τὸ κολλύριον σκευάζειν χρὴ τὸν τοιοῦτον. κίσσηριν λειοτάτην ποιήσαντες, ἀναλαμβάνομεν τραγακάνθῃ βεβρεγμένῃ. ἢ κόμμει. καὶ ἀναπλάττομεν μικρὰ κολλύρια. εἶτα ἐκστρέφοντες κούφως τὰ βλέφαρα, τρίβομεν ἐπὶ πολύ. κἄπειτα ἐγχυματίζομεν γάλακτι. καὶ τοῖς πρὸς φλυκταίνας καὶ ἕλκη κολλυρίοις χρώμεθα. παυομένου δὲ ἐν τῷ χρόνῳ τοῦ ῥεύματος, μεταβαίνομεν ἐπὶ τὰ δριμύτερα κολλύρια. ἀνατρίβοντες αὐτοῖς ὡς εἴρηται τὰ βλέφαρα. μίγνυμεν δὲ καὶ τοῖς πρὸς τὰ ἕλκη ἁρμόττουσι, τὰ δι' οἴνου κολλύρια. κατὰ βραχὺ ἐπαύξοντες αὐτῶν τὴν μίξιν. ὥστε μήτε τὰ βλέφαρα ἐνοχλεῖν τοῖς χιτῶσι τῶν ὀφθαλμῶν, τά τε ἕλκη καθαρὰ γινόμενα, πληρωθῆ τε καὶ συνουλωθῆ.

Περὶ ὀφθαλμῶν ἀτονίας. Δημοσθένους. μϛ.

Ἀτονεῖν λέγονται οἱ ὀφθαλμοί, οἱ μὴ δὲ λευκόν, μὴ δὲ λαμπρόν, μήτε πυρῶδες ὁρᾶν ὑπομένοντες. ἀλλ' ἀπὸ τῆς τυχούσης προφάσεως συνεχόμενοι τὰς ὄψεις. καὶ δακρύοντες. καὶ μάλιστα ἐν τῷ ἀναγινώσκειν. διαφέρουσι δὲ οὗτοι τῶν ῥοιαδικῶν. ὅτι οἱ μὲν ῥοιαδικοί, καὶ χωρὶς τινὸς ἔξωθεν προφάσεως δακρυῤῥοοῦσιν. οὗτοι δὲ πρόφασίν τινα λαμβάνοντες. θεραπευτέον δὲ αὐτοὺς περιπάτοις δρόμοις. γυμνασίοις τῶν ἄνω μερῶν, μετὰ τρίψεως καὶ κατοχῆς πνεύματος. καὶ κεφαλῆς ξυρήσει. καὶ τρίψει τῶν ὀφθαλμῶν ἐλαφρᾷ μετὰ τὰ γυμνάσια. καὶ ψυχροῦ κατὰ κεφαλῆς καταχύσει. χρῆσθαι δὲ καὶ ὑδροποσίᾳ. καὶ διαίτῃ μέσῃ. συμφέρει δὲ καὶ ἀναγινώσκειν μετὰ κραυγῆς. καὶ γράφειν. φαρμάκοις δὲ εἴποτε δεοίμεθα, χρῆσθαι στύφουσι. καὶ ψύχουσι. καὶ ἐμπλάσσουσι χρησόμεθα.

Περὶ μυωπίας. μζ.

Μύωπες λέγονται, οἱ ἐκ γενετῆς, τὰ μὲν μικρὰ καὶ σύνεγγυς βλέποντες. τὰ δὲ μεγάλα καὶ πόῤῥω βλέπειν μὴ δυνάμενοι. τά τε γεγραμμένα ἀναγινώσκοντες, συνερίζουσι τοῖς ὀφθαλμοῖς. καὶ οἱ μὲν ἀνωμάλους, σκορδόφθαλμοί εἰσιν. οἱ δέ, ὁμαλοὺς ἔχουσι τοὺς ὀφθαλμούς. αἴτιος δὲ ἐστιν ἡ τοιαύτη διάθεσις.

Περὶ νυκτάλωπος. μη.

Νυκτάλωπα δὲ λέγουσιν, ὅταν συμβῇ τὴν μὲν ἡμέραν βλέπειν. δύναντος δὲ τοῦ ἡλίου, ἀμαυρότερον ὁρᾶν. εἶτα νυκτὸς γινομένης, μηδόλως βλέπειν. γίγνεσθαι δὲ τοῦτο δοκεῖ μᾶλλον διά τινα ἀσθένειαν περὶ τὴν κεφαλήν. καὶ μάλιστα διὰ τὴν τοῦ ὀπτικοῦ πνεύματος παχύτητα. καὶ τῶν λοιπῶν περὶ τὸν ὀφθαλμὸν ὑγρῶν καὶ χιτώνων. τισὶ δὲ συμβαίνει, νυκτὸς μὲν βέλτιον ὁρᾶν. ἡμέρας δὲ

χεῖρον. καὶ εἰ νύκτωρ σελήνη φαίνοι, μὴ ὁρᾶν. σπάνιον δὲ τοῦτο. τὸ δὲ πρότερον πλείστοις συμβαίνει. θεραπεύειν δὲ τοὺς ἐν νυκτὶ μὴ ὁρῶντας, τοὺς μὲν εὐέκτας, φλεβοτομοῦντας ἀπ' ἀγκῶνος καὶ τῶν κανθῶν. τοὺς δὲ κακοχύμους καθαίροντας καταλλήλῳ φαρμάκῳ. ἔπειτα δὲ μετὰ τὴν καθολικὴν κένωσιν ἀποφλεγματισμοῖς χρῆσθαι καὶ διὰ ῥινῶν καθαίρειν. καὶ πταρμοὺς κινεῖν. ἔρρινον δὲ αὐτοῖς, ἁρμόδιον τοῦτο. πεπέρεως. σταφίδος ἀγρίας ἀνὰ < β. σινήπεως < α. κόψας. σήσας ἐπίβαλλε σεύτλου ῥιζῶν χυλὸν. ὡς μέλιτος ὑγροῦ ἔχειν τὴν σύστασιν. καὶ συλλεάνας, ἔγχει εἰς τὰς ῥῖνας. καὶ κέλευε ἀνασπᾶν. καὶ τοῦτο ποίει ἐπὶ ἡμέρας ἑπτὰ ἢ ε. χρῶ δὲ καὶ τοῖς ἄλλοις ἐρρίνοις τοῖς προγεγραμμένοις ἐν τῷ περὶ τῶν τῆς ῥινὸς παθῶν λόγῳ. πινέτωσαν δὲ πρὸ τροφῆς, ὕσσωπον. ὀρίγανον. πήγανον. δίαιτα δὲ λεπτυνοῦσα ἔστω πᾶσιν. ἐὰν δὲ μὴ ὑπακούῃ διὰ τούτων, πάλιν καθαρτήριον διδόναι. ὅ ἐστι τοῦτο. σκαμμωνίας μὲν, τριόβολον καστορείου δὲ ὀβολοὺς δύο. καὶ ἁλῶν τριόβολον. ἐπὶ δὲ τῶν ἀσθενεστέρων, τῆς σκαμμωνίας ὀβολοὺς ϛ ἔμβαλε. ἡ γὰρ τοιαύτη κάθαρσις, πολλάκις παραχρῆμα ἀπήλλαξε τοῦ πάθους, ἢ πολλῷ βέλτιον διέθηκε. μετὰ δὲ ἡμέρας ὀλίγας, διδόναι καθαρτήριον. φλέγμα καὶ χολὴν ἄγον. ὅ ἐστι τοῦτο. κολοκυνθίδος ὀβολοὺς β. σκαμμωνίας, ὀβολοὺς δ. ἀλόης ὀβολοὺς, δ. ἀναλάμβανε καταπότια ἕξ. καὶ δίδου τοῖς μέσοις ταῖς ἕξεσι, γ. τοῖς δὲ ἰσχυροῖς πάντα. ἐγχρίειν δὲ τοὺς ὀφθαλμοὺς, μέλιτι ἀπεζεσμένῳ. καὶ καταμύειν συνέχοντα τὰ ὑγρά. ἢ ἐλαίῳ παλαιοτάτῳ ὁμοίως ἐγχρίειν. ἢ στυπτηρίας σχιστῆς κεκαυμένης ἐπ' ὀστράκου, < ϛ. ἁλὸς ἀμμωνιακοῦ ἢ καππαδοκικοῦ, < α. λεῖα μετὰ μέλιτος. καὶ γάλακτος γυναικείου. ἢ ὑαίνης χολὴν μετὰ μέλιτος. παραιτεῖσθαι μέντοι τὴν συνεχῆ χρῆσιν τῶν δριμυτέρων φαρμάκων. συνεχῶς δὲ κεχρῆσθαι τῷ παλαιοτάτῳ ἐλαίῳ. δοκεῖ δὲ αὐτοῖς ὠφελεῖν ἧπαρ τράγου ὀπτὸν μεθ' ἁλὸς ἄνευ ἐλαίου θερμότατον ἐσθιόμενον. οἱ δὲ, καὶ τῷ ἀπορρέοντι ἰχῶρι ἐκ τοῦ ἥπατος ὀπτωμένου ἐγχρίουσιν. οἱ δὲ, ἕψοντες τὸ ἧπαρ, ὑπὲρ τὸν ἀναφερόμενον ἀτμὸν τὴν ὄψιν προσάγοντες, πυριῶσι τοὺς ὀφθαλμοὺς. βοηθεῖ δὲ καὶ τὸ ἐλατήριον σὺν μέλιτι ἐκ διαλειμμάτων ἐγχριόμενον. καὶ ἡ τοῦ πέρδικος χολὴ, ἢ αἰγὸς ἀγρίας ἢ τράγου. καὶ βουγλώσσου δὲ χολὴ ἐγχεομένη, σφόδρα ὠφελεῖ. ἡ δὲ σύμπασα δίαιτα λεπτυνοῦσα ἔστω. κατ' ἀρχὰς δὲ καὶ οἴνου ἀπέχεσθαι. παραιτεῖσθαι δὲ τὰ παχύνοντα πάντα. ἐπὶ δὲ τῶν νύκτωρ μὲν βέλτιον ὁρώντων. ἡμέρας δὲ χεῖρον, ἡμεῖς τεκμαιρόμεθα, λεπτύνεσθαι ἐπιπολὺ τὸ πνεῦμα ἢ τοὺς χιτῶνας ἀραιοῦσθαι. καὶ ἐκ τούτου σκιδνάμενον τὸ πνεῦμα τὸ ἀμαυροῦν τὴν ὄψιν. νύκτωρ δὲ παχυνόμενον καὶ συνιστάμενον, κινεῖν τὴν αἴσθησιν. καὶ χρὴ ἐπὶ τούτων μᾶλλον τόνον ἐντιθέναι τῷ ὀφθαλμῷ. ἡρόφιλος δὲ τὸ ἀνάπαλιν ἐν τῷ περὶ ὀφθαλμῶν φησὶ πρὸς τοὺς ἐν ἡμέρας μὴ βλέποντας. κόμμι. κροκοδείλου χερσαίου ἡ κόπρος. μίσυ. χολὴν ὑγιαίνης λεῖα μετὰ μέλιτος ὑπόχριε δὶς τῆς ἡμέρας. καὶ ἐσθίειν δίδου νῆστιν ἧπαρ τράγου. ἐγὼ δὲ τεκμαίρομαι τοῦτο ποιεῖν μᾶλλον τοῖς νύκτωρ μὴ ὁρῶσιν.

Περὶ ἀμβλυωπίας Γαληνοῦ. μθ.

Ἀμβλυωπία δὲ ἐστὶν ἀμυδρότης τοῦ ὁρᾶν διὰ πλείστας αἰτίας γιγνομένη. ἢ τοῦ ὀπτικοῦ πνεύματος παχυνομένου, ἢ τῶν χιτώνων πυκνουμένων καὶ παχυνομένων. ἢ τῶν ἐν τῷ ὀφθαλμῷ ὑγρῶν παχέων καὶ γλίσχρων γινομένων. συμβαίνει δὲ ἀμβλυωπεῖν, καὶ τοὺς πολυχρονίαν νόσῳ συσχεθέντας, καὶ ἐπὶ λύπαις ἰσχυραῖς. ἐπὶ δὲ τῶν γεγηρακότων σὺν τῷ ὑπερπαχύνεσθαι. καὶ τὰ ὑγρὰ καὶ τοὺς χιτῶνας. καὶ τὸ ὀπτικὸν. καὶ ἀτονία πάρεστι τοῦ ὀπτικοῦ πνεύματος. καὶ μείωσις πολλὴ καὶ σύμπτωσις. καὶ δὴ ῥυτίδωσις τοῦ ὀπτικοῦ νεύρου. καὶ τῶν ἐν τῷ ὀφθαλμῷ χιτώνων πυκνουμένων καὶ παχυνομένων. ἐλαττουμένων γὰρ τῶν ἐν τῷ ὀφθαλμῷ ὑγρῶν τοῖς πρεσβύταις. ἐλάττονος καταφερομένου τοῦ ἄνωθεν πνεύματος ἐπὶ τὴν κόρην, ῥυσσὸς εἰς τοσοῦτον πολλάκις γίγνεται ὁ κερατοειδὴς χιτὼν. ὥστε οἱ μὲν, τῶν γερόντων, οὐδόλως ὁρῶσιν. οἱ δὲ, φαύλως καὶ μόγις ἔτι βλέπουσιν. ἐπιπίπτουσι γὰρ ἀλλήλαις αἱ ῥυτιδώσεις. καὶ δὴ ἐπιδιπλοῦται ὁ χιτών. καὶ πάχος ἕτερον ἐπίκτητον λαμβάνει. βοηθήματα δὲ κοινῶς καὶ τοῖς ἀμβλυώττουσι συντίθεται ἐκ τῆς αὐτῆς ὕλης. ἐξ ἧς καὶ ἐπὶ τῶν ἀρχομένων ὑποχύσεων. τὰ μὲν, εἰς κολλυρίων ἰδέας ἀναπλαττόμενα. τὰ δὲ, ὑγρὰ, ἅπερ καὶ σκιρρουμέναις φλεγμοναῖς τῶν χιτώνων ἁρμόττει. τὰ δὲ ξηρὰ, ῥηθήσονται τούτων αἱ σκευασίαι, περὶ τὰ τέλει τοῦ δὲ τοῦ λόγου.

Περὶ ἀμαυρώσεως. Δημοσθένους καὶ Γαληνοῦ. ν.

Ἀμαύρωσις ἐστὶ, ὁ παντελὴς ὡς ἐπιτοπολὺ παρεμποδισμὸς τοῦ ὁρᾶν χωρὶς φανεροῦ πάθους περὶ τὸν ὀφθαλμόν. καθαρᾶς δηλονότι φαινομένης τῆς κόρης. καὶ τοῖς μὲν, κατὰ βραχὺ τὸ πάθος συνίσταται. τοῖς δὲ ἀθρόως ἐπιπίπτει. ὡς ἐλάχιστον ἢ καθάπαξ μὴ ὁρᾶν. τῆς μὲν οὖν κατὰ βραχὺ συνισταμένης ἀμαυρώσεως, αἰτίαι πλείους εἰσὶν αἱ ἐπὶ τῆς ἀμβλυωπίας προειρημέναι. τῆς δὲ ἀθρόως συμπιπτούσης, ἡ ἔμφραξις ἐστὶ τοῦ ὀπτικοῦ νεύρου. παχέων καὶ γλίσχρων ὑγρῶν ἐμπεσόντων ἐν αὐτῷ ἀθρόως, ἢ παράλυσις αὐτοῦ τοῦ νεύρου. προηγοῦνται δὲ τοῦ πάθους, ἀπεψίαι συνεχεῖς. καὶ ἀκρατοποσίαι. ἡλίωσις. ἔγκαυσις τῆς κεφαλῆς ἢ κατάψυξις. ἢ συνεχὴς ἀνάγνωσις μετὰ τροφὴν, ἢ βαλανεῖα ὁμοίως συνεχῆ ἐπὶ τροφῇ. καὶ ἔμετοι ἄκαιροι. συνουσία ἄμετρός τε καὶ ἄκαιρος. καὶ κατοχὴ πνεύματος βιαία. ὥσπερ ἐπὶ τῶν σαλπιστῶν γίγνεται. ταῦτα γὰρ καὶ τὰ τούτοις παραπλήσια. σύμ-

μεζα μὲν

μετρίᾳ μὲν γινομένη, ἀμβλυωπίαν ἐργάζεται· ὑπερμεγέθης δὲ τὴν ἀμαύρωσιν. γίνεται δὲ ἐνίοτε ἡ ἀμαύρωσις, καὶ ἐπὶ πληγαῖς ἰσχυραῖς κατὰ τῆς κεφαλῆς· ἢ κατὰ πτώσεσιν, ἐξ ὑψηλοῦ. παραλυθέντος ἐνίοτε τοῦ ὀπτικοῦ ἢ καὶ ἀπορραγέντος· ἢ τὸ πάντων ἡττώτατον τῇ σφοδρᾷ κατασείσει πλῆθος ὑγρῶν ἐπενεχθὲν καὶ ἐμφράξαν τὸ ὀπτικὸν νεῦρον. ἐπὶ μὲν οὖν ταῖς τοῦ πόρου παραλύσεσι, βραδέως κινεῖται ὁ ὀφθαλμός· ἢ οὐδόλως. ὅταν δὲ ἐκ βιαίου πληγῆς κατὰ κεφαλῆς γινομένης, ἢ κατὰ πτώσεως ἀπορραγῇ τῆς συμφυΐας τοῦ ἐγκεφάλου ὁ πόρος, πρῶτον μὲν προπετέστερος ὁ ὀφθαλμός· ὕστερον δὲ κοιλαίνεται καὶ ἀτροφεῖ. ὅταν δὲ διὰ πλῆθος ὑγρῶν παχέων ἢ γλίσχρων, ἔμφραξιν ἀθρόως ὑπομείνῃ ὁ πόρος χωρὶς αἰτίας, ἀνάγκη βάρος παρέπεσθαι τῆς κεφαλῆς· καὶ μάλιστα ἐν βάθει κατὰ τὰς ῥίζας τῶν ὀφθαλμῶν. τοὺς μὲν ἀθρόως ἀμαυρουμένους, θεραπευτέον· φλεβοτομοῦντας ἀπ᾽ ἀγκῶνος, εἰ πληθωρικὸς εἴη ὁ νοσῶν· ὀξύτατον γὰρ αὐτῶν βοήθημα ἡ φλεβοτομία. εἶτα διαλιπόντας ἡμέρας τινὰς στραγγάλην περιτιθέντας τῷ τραχήλῳ καὶ περισφίγγοντας, ὅταν τὰ περὶ τὸ μέτωπον ἀγγεῖα κυρωθῇ. ἀνιέντες μετὰ τὴν κύρτωσιν· καὶ τὸ τρίτον αὐτὸ ποιοῦντες πρὸς τὸ τῇ κινήσει τοῦ πνεύματος καὶ τῶν ὑγρῶν, σαλεύεσθαι βιαίως τὰ ἐμφράγματα. εἶτα τὰς κυρτωθείσας ἐγκαθίους φλέβας, ἑκατέρωθεν τῆς ῥινὸς διελεῖν χρὴ ἀμφοτέρας· καὶ κένωσιν ἰσχυρὰν ποιεῖσθαι. ἐγὼ γὰρ καὶ μέχρι κοτύλων τριῶν ἐκ τῶν ἐγκαθίων φλεβῶν, ποτὲ ἐκένωσα. μετὰ δὲ ταῦτα, σικύαν παραχρῆμα τῷ ἰνίῳ προσβάλλειν μετὰ κατασχασμοῦ. συμβαίνει γὰρ ὡς ἐπὶ τὸ πολὺ παραχρῆμα ἔτι τῆς σικύας ἐπικειμένης, ἀναβλέψαι τὸν ἄνθρωπον. ἀλλ᾽ οὐ δεῖ ἀρκεῖσθαι τῷ βοηθήματι τούτῳ· ἀλλ᾽ ἀνακτησάμενος τὴν δύναμιν, μετὰ τρίτην ἡμέραν καθαίρειν. εἶτ᾽ ἐπὶ τὴν δίαιταν ἀνάγειν. ἐπὶ δὲ τῶν κατὰ βραχὺ ἐν πολλῷ χρόνῳ ἀμαυρουμένων, προδιαρτήσαντες ἀπὸ τῶν ἐγκαθίων φλεβῶν τὴν κένωσιν ὡς προείρηται ποιησόμεθα. καὶ ἐπὶ τῶν μὴ πολυαίμων δὲ, ἀπὸ τῶν κανθῶν ἀφαιρετέον εὐθὺς ἐξ ἀρχῆς. ἔπειτα σικύαν τῷ ἰνίῳ προσβάλλειν. καὶ μετὰ ταῦτα καθαίρειν. διαιτῶν δὲ, μάλιστα τὴν κοιλίαν εὔλυτον ποίει διὰ τῶν τροφῶν. εὐπεψίας πρὸ πάντων προνοουμένους. διὰ δὲ τινῶν ἡμερῶν, διδόναι ἀλόην καταπίνειν. ἀναληφθεῖσαν μετὰ τερεβινθίνης εἰς καταπότια. ποιεῖ δὲ καὶ κνίκου χυλὸς μετὰ μέλιτος. γυμνασίοις τε τῶν κάτω μερῶν χρηστέον καὶ περιπάτοις πλείοσιν ἐν σκεπηνοῖς τόποις. παραιτεῖσθαι δὲ καὶ οἴνου πόσιν. ἀνδρείως δὲ ὑπομενετέον τὴν ὑδροποσίαν. παραιτεῖσθαι δὲ καὶ πᾶσαν τροφὴν παχύνουσαν. καὶ συνεχῆ συνουσίαν· καὶ ἡλίωσιν τῆς κεφαλῆς. οὐδὲ φιλολουστέον· οὐδὲ ἡμέρας καθεύδειν· οὐδὲ μετὰ τροφὴν κινεῖσθαι σφοδρότερον· ἢ ἀναγινώσκειν ἢ γράφειν. παραφυλάττεσθαι δὲ ὀργάς. θυμούς· καὶ φροντίδας συντόνους· καὶ ἐκπλήξεις σφοδρὰς, καὶ φόβους· μάλιστα μετὰ τροφὴν, καὶ τοὺς συνεχεῖς ἐμέτους. κλύζειν δὲ καθ᾽ ἑκάστην τὸ πρόσωπον ψυχρῷ ὕδατι· μάλιστα ὀμβρείῳ. καὶ συγχρίεσθαι τὸ πᾶν σῶμα δι᾽ ἑτέρων. χρονίζοντος δὲ τοῦ πάθους, καὶ τὴν κεφαλὴν καθαίρειν διαρρίνου. ἐγχέοντα τοῖς μυκτῆρσιν, ὅσα πρὸς κεφαλαλγίαν εἴρηται. χρῆσθαι δὲ καὶ τοῖς ἐκεῖθεν ῥηθεῖσιν ἀποφλεγματισμοῖς. ἡ δὲ ὑπάλειψις τῶν ὀφθαλμῶν· χρονίζοντος ἤδη τοῦ πάθους. πρῶτον μὲν διὰ τῶν ἁπλῶν γινέσθω· καθάπερ διὰ τοῦ ἀκάπνου μέλιτος ἢ ἐλαίου παλαιοῦ. μετὰ δὲ ταῦτα, καὶ τοῖς συνθέτοις χρηστέον. ἡμεῖς δὲ εὐδοκιμοῦμεν ἐπ᾽ αὐτῶν. τῷ τε διακεντήτῳ κολλυρίῳ· καὶ τῇ πρὸς ὑποχύσεις ἀγλαΐδου ὑγρᾷ χρώμενοι. κοινὸν δὲ πάσης ἀμαυρώσεως καὶ ἀμβλυωπίας καὶ τόδε. δοκεῖ δὲ ποιεῖν καὶ πρὸς τὰς παχύτητας τῶν ὑμένων. κρόκου, < α. ζιγγιβέρεως < α. πεπέρεως κόκκοι ιε. νάρδου στάχυος ὀβολοὶ β. μαράθου χυλοῦ < ις. ἀμμωνιακοῦ θυμιάματος, < α. μέλιτος γο. ε. πάντα λειότατα ποιήσας, ἐπίχεε τὸν τοῦ μαράθου χυλόν. εἶτα λεάνας, ἀναξήρανον. καὶ μίξας τὸ μέλι ἀνάλαμβανε εἰς πυξίδα χαλκῆν· καὶ χρῶ. πρὸ δὲ τοῦ ἐγχρίειν ἀποπυριᾶν χρὴ [illegible] τοὺς ὀφθαλμοὺς εἰς θερμὸν· θάλασσαν ἀποβάπτων. ἐνίοτε δὲ καὶ τὸ πρόσωπον εἰς θάλασσαν χλιαρὰν ὅλον καθιέναι. ταῦτα μὲν κοινὰ πάσης ἀμαυρώσεως. ἰδίως δὲ τοῖς κατὰ θλῖψιν πολλῶν ἢ παχέων ὑγρῶν ἐπενεχθέντων τῷ πόρῳ ἐμποδιζομένοις τὸ ὁρᾶν. μετὰ τὴν φλεβοτομίαν καὶ τὸν σικυασμὸν καὶ τὴν κάθαρσιν, σιναπίζειν τὴν κεφαλήν. ἔπειτα καὶ καυστικῷ φαρμάκῳ ἑλκῶσαι τὸ ἰνίον. καὶ καταχύματι χρῆσθαι κατὰ τῆς κεφαλῆς, θερμοῦ ὕδατος. καὶ μᾶλλον εἰς ἁλμυρὸν. ἢ νιτρῶδες εἴη τὸ ὕδωρ.

Περὶ παραλύσεως ὀφθαλμῶν. να.

Οὐ μόνον τὸ ὀπτικὸν νεῦρον ὡς προείρηται, ἀλλὰ καὶ ὅλος ὁ ὀφθαλμὸς ἐνίοτε παραλύεται. ποτὲ μὲν, μετὰ τοῦ λοιποῦ σώματος τῶν δεξιῶν· ἢ τῶν ἀριστερῶν μερῶν παραλυθέντων. ἔστι δὲ ὅτε καὶ ἰδίᾳ γίνεται περὶ τὸν ὀφθαλμὸν μόνον παράλυσις. ποτὲ δὲ καὶ ὅλος ὁ ὀφθαλμὸς, καὶ εἰ μὲν τὸ βλέφαρον παραλυθείη, μέμυκε διηνεκῶς ὁ ὀφθαλμὸς· καὶ ἀναισθητεῖ τὸ βλέφαρον. εἰ δὲ ὅλος ὁ ὀφθαλμὸς παραλυθείη, τὰς εἰς τὰ πλάγια καὶ ἄνω καὶ κάτω κινήσεις οὐ δύναται ἐπιτελεῖν. καὶ εἴ τις ὑπαλείψοι δριμυτέρῳ φαρμάκῳ οὐκ ἐπιδάκνεται. εἰ μὲν τοῦ βλεφάρου μόνου εἴη παράλυσις, προκαθαίροντες σύμπαν τὸ σῶμα τοῖς ἀλουσίαις· καὶ ὑδροποσίᾳ χρησάμενοι· καὶ περιπάτῳ πλείονι· καὶ τρίψει πολλῇ τῶν κάτω μερῶν. ἐπιχρίειν τε συνεχῶς τὸ βλέφαρον. καὶ στυπτηρίᾳ σχιστῇ μετ᾽

ὄξους δριμέος. καὶ τοῖς θερμοτέροις κολλυρίοις. ἢ τῷ διὰ σάνδυκος. μὴ καθισαμένου δὲ ἀναρράπτειν τὸ βλέφαρον. αἱ δὲ τοῦ ὀφθαλμοῦ ὅλου παραλύσεις, δυσίατοι εἰσίν. καὶ μάλιστα ἤδη τῶν προβεβηκότων τῇ ἡλικίᾳ. εἰ δὲ καὶ ἐκ γενετῆς συνέβη, ἀδύνατον ταύτην διορθώσασθαι. ἐφ᾽ ὧν μὲν οὖν ἐλπίδες σωτηρίας εἰσί, τὴν ἐπιμέλειαν τοιαύτην ποιητέον. πρὸ πάντων μὲν, εἰ ἐνεκτὸς εἴη, φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος. ἑξῆς δὲ κλύζειν τὴν κοιλίαν. ἔπειτα καθαρτηρίῳ κενοῦν τὸ σῶμα. εἶτα ἀποφλεγματισμοῖς χρῆσθαι. εἶτα δι᾽ ἐρρίνων καθαίρειν. καὶ μετέπειτα σικύαν προσβάλλειν τῷ ἰνίῳ μετὰ καταχασμοῦ. καὶ βδέλλας τοῖς κροτάφοις. προσαπτέον δὲ καὶ καστόριον καθ᾽ αὑτό. καὶ μετὰ ἀψινθίου διδόναι καὶ ὑσσώπου. γλίχωνος. πήγανον μετ᾽ ὀξυμέλιτος καὶ ἄλλων. ἔπειτα καὶ καστορίῳ τὴν κεφαλὴν ἐπιχρίειν μετὰ ῥοδίνου καὶ ὄξους. ἐκ τοῦ αὐτοῦ δὲ χρίσματος μαλακῷ ἐρίῳ ἀναλαβόν-
10 τα, μεμυκότι τῷ ὀφθαλμῷ ἐπιτιθέναι. στοχαζόμενος μὴ ἐπιστάξαι εἰς τὸν ὀφθαλμόν. θεραπεύειν δὲ δὶς τῆς ἡμέρας. ἐπιχρίειν δὲ ἔξωθεν τὰ βλέφαρα. καὶ τὸ μέτωπον, καστορίῳ μετὰ κρόκου σὺν ὄξει. ἐμοὶ δὲ δοκοῦσιν αἱ διὰ καστορίου καὶ μέλιτος ὑγραὶ, ἐπιτήδειοι τῷ πάθει. αἷς καὶ ἐγχριστέον καὶ ἐπιχριστέον. οἴνου δὲ καὶ τῆς κρεώδους τροφῆς καὶ πολυτρόφου. καὶ παχυχύμου πάσης ἀπέχεσθαι. λαμβάνειν δὲ ὅσα τὰς ἐκκρίσεις εὐλύτους ποιεῖ. καὶ τὰ ὑγρὰ λεπτύνει. τοὺς δὲ πρώτους χρόνους, καὶ τὰ βαλανεῖα παραιτεῖσθαι. καὶ τὰ πυριατήρια. καὶ ἡλιώσεις. ἐν μέτοις δὲ ἐκ διαλειμμάτων χρῆσθαι, νῆστις ἀπὸ ῥαφανίδων καθεζόμενον. ἤδη δὲ μένου τοῦ ὀφθαλμοῦ. καὶ χωρὶς πολλοῦ σπαραγμοῦ.

Περὶ γλαυκώσεως. νβ.

Γλαύκωσις λέγεται διττῶς. ἡ μὲν γὰρ κυρίως γλαύκωσις, μεταβολή ἐστι πρὸς τὸ γλαυκὸν καὶ ξηρότης. καὶ πῆξις τοῦ κρυσταλλοειδοῦς ὑγροῦ. τὸ δὲ ἕτερον εἶδος τῆς γλαυκώσεως, ἐκ προηγησαμένου
20 ὑποχύματος γίνεται. πηγνυμένου κατὰ τὴν κόρην τοῦ ὑγροῦ σφοδρότατα. καὶ ξηραινομένου. καὶ ἔστι τοῦτο τὸ εἶδος ἀνίατον. τὴν δὲ κυρίως γλαύκωσιν ἀρχομένην ἐνίοτε δυνατὸν ἰᾶσθαι. περιπάτω τε πρὸς δύναμιν καὶ τρίψει τοῦ ὅλου σώματος χρώμενοι. καὶ λουτροῖς μάλιστα κατὰ κεφαλῆς. θέρους δὲ καὶ ψυχρολουτεῖν. καὶ πρὸς χρῶτα κείρειν τὴν κεφαλήν. τοὺς δὲ ὀφθαλμοὺς ὑπαλείφειν ἐλαίῳ παλαιῷ μόνῳ.

Περὶ ὑποχύσεως Δημοσθένους. νγ.

Τὸ δὲ ὑπόχυμα, ὑγρῶν ἐστι παρέγχυσις. πηγνυμένων κατὰ τὴν κόρην. ὥστε ἐπειδὰν τελειωθῇ, κωλύειν τὸ ὁρᾶν. ἀρχομένης δὲ τῆς ὑποχύσεως, τοιαῦτα παρέπεται τοῖς πάσχουσιν. οἷον, κωνώπια μικρὰ, καί τινα ὀρφνώδη πολλάκις παραφαίνεσθαι δοκεῖν πρὸ τῶν ὀφθαλμῶν ἀδιαλείπτως. καί τινὲς μὲν αὐτῶν, τριχοειδῆ ὁρῶσιν. ἕτεροι δὲ ὡς ἐρίων μηρύματα. ἢ ἀραχνίων ὑφάσματα. τισὶ δὲ περὶ τοὺς λύχνους, κύκλοι φαίνονται. τούτων δὲ προφαινομένων, ποτὲ μὲν καθαρὰ ἡ κόρη φαίνεται
30 τοῖς ἀμελέστερον κατανοοῦσι. ποτὲ δὲ τῇ χρόᾳ θαλασσίζει. αὐξανομένου δὲ τοῦ πάθους, αὔξει καὶ τὰ συμπτώματα. τελειουμένου δὲ ὁ μὲν ἄνθρωπος οὐκ ὄψεται. ἡ δὲ κόρη τὴν χροιὰν ἤδη τὸ λευκὸν τρέπει. καὶ ὅλως οὐ διαυγεῖται. πλείω δὲ τῆς χροιᾶς τὰ εἴδη. τὰ μὲν γὰρ τῶν ὑποχυμάτων ἀερίζει. τὰ δὲ, ὑελλίζει. τὰ δέ ἐστιν ἔκλευκα. τὰ δὲ, ἤδη τὸ κυανώτερον τρέπεται. τὰ δὲ, ἀπογλαυκοῦται. καὶ ἔστιν ἀνίατον. θεραπεύειν δὲ τοὺς ὑποχύσει πειραζομένους ἐν ἀρχῇ, αἵματος ἀπ᾽ ἀγκῶνος ἀφαιρέσει. εἰ μηδὲν κωλύει, καὶ κλυστῆρσι δριμυτέροις. καὶ καθάρσεσιν. ἔπειτα καὶ σικύαν τῷ ἰνίῳ προσβάλλειν μετὰ καταχασμοῦ. ἀποφλεγματισμοῖς τε χρῆσθαι καὶ ἐρρίνοις ἐκ διαλειμμάτων τινῶν. οἴνου δὲ ἀπέχεσθαι παρ᾽ ὅλην τὴν θεραπείαν. καὶ πάντων τῶν πληρωτικῶν τῆς κεφαλῆς. καὶ λουτροῦ, εἰ μή που συνήθεια καὶ βραδυπεψίας ἀνάγκη γένοιτο λούειν. καὶ τότε μηδόλως ἐν τῷ ἀέρι διατρίβειν. μὴ δὲ μὴν ἐν τῇ ἐμβάσει χρονίζειν. μετὰ μικρὸν μὲν, ἐμβαίνειν. ταχέως δὲ ἀνιέναι. δίαιτα δὲ
40 πᾶσα ἔστω λεπτύνουσα. φαρμάκοις δὲ χρηστέον, τὸ μὲν πρῶτον, ἁπλοῖς. καθάπερ μέλιτι καὶ ἐλαίῳ παλαιῷ. καὶ μαράθου χυλῷ. ἔπειτα δὲ καὶ τοῖς συνθέτοις ὑγροῖς τε καὶ ξηροῖς φαρμάκοις ἢ κολλυρίοις. ἅ τινα γραφήσεται μετὰ βραχὺ, ἐν τοῖς κοινοῖς βοηθήμασι.

Περὶ μυδριάσεως ἤτοι πλατυκορίας. νδ.

Μυδρίασις ἢ πλατυκορία καλεῖται, ὅταν ἡ κόρη τῷ μὲν χρώματι, μηδὲν ἀλλοιοτέρα γένηται. πλατυτέρα δὲ πολλῷ τοῦ κατὰ φύσιν. ὥστε ἐνίοτε συνεγγίζειν τῷ τῆς ἴρεως κύκλῳ. καί ποτε ὅλως ἐμποδίζειν τῷ ὁρᾶν. ποτὲ δὲ ὁρῶσιν. ἀμυδρῶς δὲ, καὶ τὰ ὁρώμενα αὐτοῖς, δοκεῖ πάντα μικρότερα εἶναι. χεομένου δηλονότι τοῦ ὀπτικοῦ πνεύματος. γίνεται δὲ τὸ πάθος, δι᾽ ἐπιφορὰν ὑγρῶν ἤτοι ἀθρόως φερομένων. ἢ κατὰ βραχὺ ἀνεπαισθήτως διατεινομένου τοῦ ῥαγοειδοῦς. καὶ ἐπιπλεῖον πλατυνομένης τῆς κόρης. ἔστι δὲ τὸ πάθος ἄγαν δυσίατον. ὑμενώδης γὰρ ὑπάρχων ὁ ῥαγοειδὴς, ὅταν ἅπαξ διαστῇ, σκληρυνεται. καὶ οὐκέτι ῥᾳδίως δύναται [συνάγεσθαι]. γίνεται δὲ τὸ πάθος μᾶλλον παιδίοις διὰ τὴν τῶν χιτώνων ἀσθένειαν. καὶ οἱ μελανόφθαλμοι δὲ φύσει, μεγαλόκοροι εἰσί. διόπερ καὶ τῷ πάθει ἔμπτωτοι εἰσί. θεραπεύειν δὲ τὸ πάθος εἰ μηδὲν κωλύει, φλεβοτομοῦντας ἀπ᾽ ἀγκῶνος. ἢ καθαίροντας. εἰ δὲ ταῦτα ποιεῖν ἀδύνατον, τοὺς ἐγκαθίους λύειν φλέβας. ἔπειτα σικύας τῷ ἰνίῳ προσβάλλειν. περιπάτοις τε ἠρεμαίοις καὶ πλείοσι χρῆσθαι, ἐν τόποις σκεπηνοῖς. καὶ παντὶ τρόπῳ πε-

χροιὰν

χάσ

βρου

συνάγεσθαι

τὸ

θεραπεύειν δὲ

πρὸ πάντων

εἰσπᾶν τὴν ὕλην ἐπὶ τὰ κάτω μέρη. διὸ κατ᾽ ἀρχὰς, καὶ κλυστῆρι, χρηστέον· καὶ τρίψει τῶν κάτω μερῶν, δι᾽ ἑτέρων. μετὰ δὲ τὸν περίπατον καὶ τὸ ἄλειμμα, θαλάσσῃ προσαντλεῖσθαι τὸ πρόσωπον. χειμῶνος δὲ χλιαρᾷ. θέρους δὲ ψυχρᾷ. καὶ καθιέναι ὅλον τὸ πρόσωπον εἰς τὸ ὕδωρ, χρόνον τινὰ διανοίγοντα τοὺς ὀφθαλμούς. θαλάσσης δὲ μὴ παρούσης, ἅλας ὀλίγον παραμίσγειν τῷ ὕδατι. ἢ ὀξυκράτῳ χρῆσθαι ὑδαρεῖ. οἴνου δὲ ἀπέχεσθαι, ἕως οὗ ἡ διάθεσις λυθῇ. καὶ ἡ δίαιτα πᾶσα, λεπτοτέρα ἔστω. καὶ εὐκοίλιος. βαλανείου δὲ σπανίως ἡ χρῆσις. καὶ τότε μὴ πάνυ καταχέειν κατὰ κεφαλῆς. φαρμάκοις δὲ τοῖς ἀποστύφουσιν. οἷον, ῥόδῳ. κρόκῳ. νάρδῳ. λιβάνου φλοιῷ. πομφόλυγι. καὶ σποδίῳ. καὶ ἀκακίᾳ. αἱ γὰρ σφόδρα δριμεῖαι δυνάμεις ἐπισπώμεναι ὑγρῶν πλῆθος, διατείνουσι τοὺς ὑμένας. καὶ πλατυτέραν ἐργάζονται τὴν κόρην. διόπερ καὶ τὰ στύφοντα σφοδρῶς, καθάπερ χαλκῖτις. μίσυ. καὶ τὰ ἐπιπλέον ψύχοντα ὡς κώνειον, σκληρύνουσι τοὺς ὑμένας. καὶ τὸ ἐπιπλέον δὲ συνάγειν καὶ στενοῦν τὴν κόρην, ἀλυσιτελές. περιΐσταται γὰρ εἰς φθίσιν.

Περὶ φθίσεως τῆς κόρης. νε.

Φθίσις δὲ λέγεται τῆς κόρης, ὅταν στενοτέρα καὶ ἀμβλυτέρα γένηται. τοῦτο δὲ γίνεται τοῖς πλείστοις, ἐξ ἀσθενειῶν ἐπικινδύνων. ἢ ἐπιτεταμένων κεφαλαλγιῶν. μείζονα δὲ τοῦ κατὰ φύσιν φαίνεται τούτοις τὰ ὁρώμενα, διὰ τὴν τῆς κόρης στενότητα. τὴν δὲ θεραπείαν ἐπὶ τούτων ἐναντίαν τῇ μυδριάσει ποιεῖσθαι χρή. γυμνάζοντας τὰ ἄνω μέρη, ὤμους καὶ χεῖρας μετὰ κατοχῆς τοῦ πνεύματος. καὶ τρίβοντας ἐπιμελῶς τὴν κεφαλὴν καὶ τὸ πρόσωπον. εἶτα καὶ τοὺς ὀφθαλμοὺς ἄκροις τοῖς δακτύλοις. καὶ ὕδατι θερμῷ προσαντλεῖσθαι τὸ πρόσωπον. ἀλείφοντας τὴν κεφαλὴν, μύρῳ τινὶ θερμαίνειν μετρίως δυναμένῳ. οἷον ἰρίνῳ, ἢ μικρῷ διαστάζοντας, ὑπαλείφειν τοὺς ὀφθαλμοὺς ἀραιοῦντι καὶ δριμυτέρῳ φαρμάκῳ. καὶ ὑγρασίαν ἐπισπωμένῳ, οἷόν ἐστι τοῦτο τὸ κολλύριον. ἀμμωνιακοῦ θυμιάματος, ∠. α. κροκομάγματος, ∠. δ. κρόκου, ∠. β. ἰοῦ ∠. δ. λεάνας ἐν ὕδατι ἀνάπλασσε καὶ χρῶ. ποιεῖ δὲ καὶ ἡ ἐρασιστράτου ὑγρά. τροφὴ δὲ ἔστω εὐχυμοτάτη καὶ ῥοφήματα. καὶ οἶνος κιῤῥός. καὶ εὐώδης. καὶ ὕπνος διαδεχέσθω τὴν τροφὴν, καὶ τὰ λουτρὰ δὲ ἁρμόδια. καὶ κατάχυσις θερμοῦ κατὰ κεφαλῆς.

Περὶ ἀτροφίας ὀφθαλμοῦ καὶ φθίσεως. νϛ.

Ἀτροφεῖν δὲ λέγουσι τὸν ὀφθαλμὸν, ὅταν ἐκ σφοδρῶν κεφαλαλγιῶν. ἢ ἐν πυρετοῖς ὀξέσι κατὰ βραχὺ ὁ ὀφθαλμὸς ταπεινούμενος καὶ κοιλαινόμενος. καὶ τὸ ὅλον μικρότερος γινόμενος. καὶ ἐπὶ ποσὸν ἀμαυρότερος, ἐμποδίζει τὸ ὁρᾶν. συμβαίνει δὲ τοῦτο πολλάκις καὶ ἐκ περισκυφισμῶν. καὶ ἀναχρίσεων. οἵτινες καὶ δυσίατοι εἰσί. διαφέρει δὲ ἡ ἀτροφία τῆς φθίσεως. ὅτι ἡ μὲν φθίσις τὴν κόρην μόνην μικροτέραν ποιεῖ. ἡ δὲ ἀτροφία, ὅλον τὸν ὀφθαλμὸν μικρότερον καὶ ταπεινότερον ἐργάζεται. θεραπεύειν δὲ καὶ τούτους, σπόγγους ἐκ θερμοῦ ὕδατος ἀποπυριῶντες τοὺς ὀφθαλμούς. καὶ γάλα χλιαρὸν ἐγχυματίζοντες. ἀπεχόμενοι δὲ παντὸς κολλυρίου προσαγωγῆς. τροφὰς δὲ διδόναι πολυτρόφους καὶ εὐχυμωτάτας. καὶ οἶνον κιῤῥὸν καὶ λεπτὸν, καὶ λουτροῖς χρῆσθαι. καὶ καταχύσει θερμοῦ κατὰ κεφαλῆς. καὶ γυμνασίοις τῶν ἄνω μερῶν. καὶ κατοχῇ πνεύματος.

Περὶ ἐκπιεσμοῦ. νζ.

Ἐκπιέζονται δὲ οἱ ὀφθαλμοὶ, ἐνίοτε ὥστε διαμένειν προσέχοντες. συμβαίνει δὲ τοῦτο τοῖς ἀπαγχομένοις. καὶ ἐν ἀγῶσι δὲ ἀθλητικοῖς καὶ γυναιξὶ ταῖς ἐπιπλέον διατεθείσαις ἐν ταῖς ὠδῖσιν. ἢ ἐκ ῥευμάτων πλείστων ἀθρόως ἀπὸ τῆς κεφαλῆς καταῤῥευσάντων. τοὺς μὲν οὖν ἀπὸ ἀγχόνης εἰς τοῦτο ἐμπεσόντας, φλεβοτομεῖν ἀπ᾽ ἀγκῶνος. εἰ δὲ ἄλλως πισὶ πάχος ἐπιῤῥεύσειν, προσέμβαλλε τοῖς ὀφθαλμοῖς καθαίρειν. ἐλλεβόρῳ μέλανι. ἢ σκαμμωνίᾳ. τὰς δὲ ἐπὶ γυναικῶν ἐκ τῶν ὠδίνων τῶν ἐν τοῖς τόκοις πολλάκις γιγνομένας ἐκθλίψεις τῶν ὀφθαλμῶν, αἱ διὰ τῶν γυναικείων τόπων καθάρσεις λύουσιν. ὅθεν δεῖ συνεργεῖν ταύταις. ἐπὶ δὲ τῶν ἀνδρῶν μετὰ φλεβοτομίαν ἢ κάθαρσιν εἰ ἐπιμένοι, σικύαν τῷ ἰνίῳ κολλᾶν, καὶ ὑδροποσίᾳ. καὶ σιτίων ἀποστολῇ χρῆσθαι. ἐπιτιθέναι δὲ τῷ ὀφθαλμῷ ἔριον μέλιτι κεχρισμένον μετ᾽ ὀλίγου κρόκου. καὶ ἄνωθεν πτύγμα. καὶ ἐπιδεσμεῖν πιέζοντα ἡσυχῇ. συμφέρει δὲ τούτοις μετὰ τὴν ἀρχὴν, καὶ θάλασσα ψυχρὰ προσαντλουμένη τῷ προσώπῳ. καὶ σέρεως χυλός. καὶ πολυγόνου. καὶ ψυλλίου μετὰ ὀπίου χριόμενα. καὶ τὰ ἄλλα ὅσα δύναται στέλλειν καὶ συνάγειν.

Περὶ συγχύσεως. νη.

Σύγχυσις δὲ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ, πληγαῖς ἕπεται σφοδραῖς. καὶ ἐπὶ φλεγμονῇ δὲ τοῦ ῥαγοειδοῦς συμβαίνει. ῥαγέντων τῶν ἐν αὐτῷ ἀγγείων. ἡ δὲ κόρη, τῷ χρώματι θολερὰ γίνεται. καὶ ἢ μείζων ἑαυτῆς γίνεται, ἢ μικροτέρα. θεραπεύειν μὲν οὖν τὰς ἐκ πληγῆς συγχύσεις φλεβοτομίᾳ ἀπ᾽ ἀγκῶνος. αἵματι δὲ νεοσφαγοῦς, μάλιστα δὲ τρυγόνος. εἰ δὲ μήγε, περιστερᾶς, ἐκπληροῦν ὅλον τὸν ὀφθαλμόν. ἔριον δὲ μαλακὸν βρέξαντες εἰς ᾠὸν ἀνακεκομμένον μετ᾽ οἴνου καὶ ῥοδίνου, ἐπιτιθέναι καὶ ἐπιδεῖν. καὶ τῇ ἑξῆς τὸ αὐτὸ ποιεῖν. τῇ δὲ τρίτῃ ἀποπυριᾶν. καὶ γάλακτι ἐγχυματίζειν. ἔπειτα καταπλάττειν ᾠῶν ὀπτῶν λεκύθους μετὰ μέλιτος, καὶ κρόκου λείου, εἰς ὀθόνιον ἐγχρίσαντα. ὅταν δὲ ἤδη προσκαθαίρηται ἡ κόρη, ὑπαλείφειν τοῖς πρὸς τὰς παλαιὰς διαθέσεις κολλυρίοις. οἷον τῷ

ἀρωματικῷ· καὶ τῷ κυκνῷ ἀπολλωνίου, καὶ τοῖς ὁμοίοις. εὐιατώτερα δέ ἐστι, σύγχυσις, ἐφ' ὧν ἡ κόρη μόνη διαφθείρεται· τῷ δὲ χρώματι καὶ τῷ σχήματι, ὁμοία διαμένει. δυσίατος δὲ, ἐφ' ὧν παρέσπασται ἡ κόρη.

Περὶ τῶν ἐπιφυομένων τῷ λευκῷ τοῦ ὀφθαλμοῦ. νθ΄.

Τὰ ἐπιφυόμενα τῷ λευκῷ τοῦ ὀφθαλμοῦ παρὰ φύσιν πάντα. τὰ μὲν ἀνώδυνα ἐφ' ὧν τρίχες πολλάκις ἐκπεφύκασι. καὶ τὰ μὴ πάνυ διαλλάττοντα τῆς κατὰ φύσιν χρέας, θεραπευτέον ἀγκίστρῳ ἐπιλαβόμενος καὶ ἀνατείνων. ἔπειτα πτερυγοτόμῳ ἀποτέμνων. εἶτα ἐπιπλάττων ἅλας λεπτόν. ἢ πτύγμα ἐπιτιθεὶς καὶ ἐπιδεσμῶν. καὶ τὴν λοιπὴν ἐπιμέλειαν ποιούμενος ὡς ἐπὶ τῶν πτερυγοτομουμένων. τὰ δὲ ὑπέρυθρα, καὶ ὀχθώδη. καὶ κιρσωμένα ἐπώδυνα καὶ τραχέα. καὶ συμπαθείας τῶν κροτάφων ἐπιφέροντα. πάντα ταῦτα φεύγειν χρὴ ὡς κακοήθη. καὶ κινδύνους καὶ προπτώσεις
10 τῶν ὀφθαλμῶν ἐπιφέροντα ἐν ταῖς χειρουργίαις.

Περὶ πτερυγίων. ξ΄.

Πτερύγιον λέγεται, ὅταν ἤδη πλεῖον αὐξηθέντος, ἢ ὑπερβαρήσαντος τοῦ ἐν τῷ ὀφθαλμῷ λευκοῦ, ἔκ τινος ψωροφθαλμίας, ἢ ῥευματισμῶν συνεχῶν. ἄρχεται δὲ τούτου ἡ αὔξησις πλειστάκις μὲν, ἀπὸ τοῦ πρὸς τῇ ῥινὶ κανθοῦ τοῦ μεγάλου καλουμένου. σπανιώτερον δὲ ἀπὸ τοῦ μικροῦ. ἔτι δὲ σπανιώτερον γίνεται, ἀπὸ τοῦ ἄνωθεν ἢ κάτωθεν βλεφάρου. ἐπεκτείνεται δὲ μέχρι τοῦ μέλανος. ὅταν δὲ μεῖζον γένηται, καὶ τῆς κόρης ἅπτεται. καὶ παραποδίζει τὸ ὁρᾶν. εὐίατα δέ ἐστι πτερύγια. λευκανθίζοντα. καὶ στενὴν τὴν βάσιν ἔχοντα. τὰ δὲ ἐναντία τούτων, δυσίατα. τὰ μὲν γὰρ ὑπέρυθρα μετὰ τὴν χειρουργίαν, σφακέλους καὶ ὀδύνας ἢ μικρανικὰς ἐπιφέρει. ἀλλ' ὅμως μετὰ τὴν καθαίρεσιν τῶν συμπτωμάτων ἐλευθεροῦται ὁ ὀφθαλμός. τὰ δὲ πτερύγια ἐφ' ὧν καὶ ἀρχαί εἰσιν ὑποχύσεως, οὐ δεῖ θεραπεύειν. τούτων γὰρ ἀρθέντων, θᾶττον ἡ ὑπόχυσις συνίσταται. μήτε δὲ τὰ παχέα
20 θεραπεύειν. καὶ ἐκτρεπόμενα καὶ ὀχθώδη. καὶ ἐσκιρρωμένα. ἢ κροτάφων ποιοῦντα συμπαθείας. ἔστι γὰρ κακοήθη. καὶ καρκινώδη. τὰ δὲ μέχρι τῆς κόρης. καὶ διὰ τοῦτο παραποδίζοντα τὸ ὁρᾶν ἀφαιρούμενα, ἐλευθεροῖ τὸν ὀφθαλμὸν τῶν ῥευματισμῶν. ἡ δὲ ἐπιγιγνομένη κατὰ τὴν κόρην ἐκ τῆς χειρουργίας οὐλὴ, οὐδὲν ἧττον κωλύει τὸ βλέπειν. τῶν δὲ πτερυγίων, ταῦτα χειρίζειν δεῖ, ὅσα αὐξηθέντα ἐπιβάλλει τῷ μέλανι. ὅσα δὲ μικρὰ καὶ ἤδη τοῦ λευκοῦ ἐστὶ, ταῦτα φαρμάκοις πειρᾶσθαι καταστέλλειν.

Φάρμακα πρὸς πτερύγια. ξα΄.

Καταστέλλει δὲ ἱκανῶς τὰ πτερύγια, τὸ διὰ τῆς χαλκίτεως. καὶ καδμείας ξηρὸν ψωρικὸν, τὸ πρὸς τοὺς ψωρώδεις κανθοὺς ἀναγεγραμμένον. καὶ τὰ παραπλήσια. καὶ τὸ θεοδότιον κολλύριον σβεννύμενον λεπτοποιηθὲν, καὶ ξηρὸν προσαγόμενον. ἢ τὰ ῥυπτικὰ πάντα κολλύρια. τὰ ἤδη τῶν τραχωμάτων. καὶ συκώσεων γεγραμμένα. καὶ τὰ ἤδη τῶν μυοκεφάλων καὶ σταφυλωμάτων ἁρμόζοντα. τὰ δι'
30 οἴνου μάλιστα. Ἀρχιγένης δέ φησι πρὸς πτερύγια. χαλκάνθου ∠ .ς΄. ἁλὸς ἀμμωνιακοῦ, ∠ .ς΄. κόμεως, ∠ .α΄. ὄξει λεάνας ἀνάπλαττε κολλύρια. καὶ χρῶ. Πρὸς πτερύγια δόκιμον. Ἀναλίσκει γὰρ αὐτὰ τάχιστα, χαλκίτεως κεκαυμένης, ὡς γενέσθαι πυρρὰν, ∠ .δ΄. κρόκου, ∠ .α΄. λείοις χρῶ ξηροῖς. Ἄλλο καὶ αὐτὸ πεπειραμένον. χαλκίτεως κεκαυμένης, ∠ .η΄. καδμείας, ∠ .ι΄. λεπίδος ἐρυθρᾶς ∠ .α΄. πεπέρεως ∠ .α΄. χρῶ. Ἄλλο ἀφαιρεῖ πτερύγια ἐκ βάσεως. χαλκάνθου ἀπτῆς, ∠ .ς΄. χαλκοῦ κεκαυμένου, ∠ .α΄. ξηρῷ παράπτου. μετὰ δὲ τὸ ἀφελεῖν, θεράπευε τῷ διὰ ῥόδων. ἢ τῷ διὰ κρόκων κολλυρίῳ. Μαγνῆτιν ζῶντα λίθον. λειώσας ἀκριβῶς, χρῶ ξηρῷ ἅπαξ τῆς ἡμέρας. Ἄλλο. Αἰγείρου ὀπὸν μετὰ διπλοῦ μέλιτος, ἔγχριε. Ἄλλο. Χάλκανθος μετὰ χολῆς χοιρείας, ἴσα τῷ σταθμῷ συλλεάνας, ἔγχριε. Ἄλλο. Σηπίας ὀστράκου κεκαυμένου, μετὰ ἁλῶν ἀμμωνιακῶν λεάνας, χρῶ. ἔστω δὲ ἴσα. Ἄλλο ποιεῖ καὶ ὑπωπίαις καὶ ἀμβλυωπίαις.
40 λίθου μαγνήτου ζῶντος, ∠ .δ΄. ἰοῦ ∠ .α΄. μίλτου σινωπικῆς, ∠ .δ΄. ἀμμωνιακοῦ θυμιάματος, ∠ .δ΄. κρόκου, ∠ .β΄. μέλιτος Γο. ε΄. ποιεῖ καὶ πρὸς λευκώματα. Γλαύκιον κόψας. σήσας. ἔπειτα ὕδατι ὀλίγῳ λειώσας. καὶ σποδὸν πομφόλυγος ἐπιβαλὼν ὅσον ἐπιδέχεται, ἀνάπλασσε κολλύρια. καὶ χρῶ μεθ' ὕδατος δὶς τῆς ἡμέρας. Ἄλλο. χαλκὸν κεκαυμένον λείου μετὰ οὔρου παιδὸς ἀφθόρου. καὶ χρῶ. Ἄλλο. Λεπίδος ἐρυθρᾶς. νίτρου ἐρυθροῦ. κασσιτέρου. κιμωλίας, ἀνὰ ∠ .δ΄. λείου ὄξει ἕως ξηρανθῇ καὶ χρῶ. ἀπόθου δὲ ἐν ὀστρακίνῳ ἀγγείῳ καθαρῷ.

Χειρουργία πτερυγίων. ξβ΄.

Ἐγχειροῦμεν δὲ οὕτω πρὸς τὴν ἀφαίρεσιν τοῦ πτερυγίου. διαστέλλοντες τὰ βλέφαρα ἀπ' ἀλλήλων. καὶ ἄγκιστρον καταπείροντες περὶ τὰ μέσα τοῦ πτερυγίου, ἀνατείνομεν ἠρέμα, ἵνα μὴ ἡ ἐπιδερματὶς τοῦ κερατοειδοῦς μετεωρισθῇ. συναναφαιρεθεῖσα γὰρ, φλεγμονὰς παμμεγέθεις ἐπιφέρει. εἶτα βε-
50 λόνην λαμβάνων λίνον ἔχουσαν διηρημένον. καὶ τρίχα ἱππείαν. καὶ ταύτην ὑποβάλλομεν τῷ πτερυγίῳ ἀνατανθέντι διὰ τοῦ ἀγκίστρου. εἶτα ἀποδήσαντες τῷ ὑποβληθέντι λίνῳ τὸ πτερύγιον, ἀνατείνομεν ἕλκοντες ἠρέμα τὸ λίνον ἄνω. καὶ δόντες ὑπηρέτῃ κατέχειν εὐφυῶς τὴν ἀρχὴν τοῦ λίνου, ἀμφοτέραις ταῖς χερσὶ κατέχοντες τὴν τρίχα διακινοῦμεν ἄνω τε καὶ κάτω ὑποδέροντες τὸ πτερύγιον, ἀρχόμενοι ἀπὸ τοῦ μέλανος μέχρι τοῦ κανθοῦ. εἶτα ἀπολύσαντες τὴν πρὸς τὸ μέλαν αὐτοῦ συ-

νέχειαν διὰ τῆς τριχός, καὶ ἀνατείναντες, τῷ λίνῳ ἀφαιροῦμεν, πτερυγοτόμῳ ἐκ τῆς βάσεως τὸ πρὸς τὸν κανθὸν μέρος τοῦ πτερυγίου φυλασσόμενοι τὰ βλέφαρα. καὶ τὸν κανθόν. τοῖς μὲν γὰρ τὰ βλέφαρα συνδιακοπεῖσι, προσφύσεις γίνονται. τοῖς δὲ ἐκ βάσεως τὸν κανθὸν ἀποτμηθεῖσι, ῥυάδες γίνονται. εἰ δὲ βάσις τοῦ πτερυγίου καταληφθῇ, παλιγγενεσία γίνεται, εἰ μὴ φαρμάκῳ τινὶ τῶν προειρημένων δαπανηθείη στοχαζόμενος τοῦ δεῖν τῆς συμμετρίας. ἐὰν δὲ ὥσπερ δεδιότες οἱ πάσχοντες μὴ τολμῶσιν ἀνοίγειν τοὺς ὀφθαλμούς. ἀγκίστρον ὑποβάλλοντες τῷ ἄνω βλεφάρῳ. καὶ ἠρέμα ὑποστρέφοντες, οὕτω τὸ σκότος ἀνατείνομεν. καὶ οὕτως ἐνεργοῦμεν ὡς προείρηται. μετὰ δὲ τὴν ἀφαίρεσιν, ἅλμη δριμυτέρα δεῖ ἐγχυματίζειν τὸν ὀφθαλμόν. εἶτα ἔριον ᾠῷ βρεχθὲν ἐπιτιθέντες, ἐπιδεῖν τὸν ὀφθαλμόν. τῇ δὲ ἑξῆς ἐπιλύοντες, καὶ μετρίως πυριάζοντες, ἐγχυματίζομεν τῷ λευκῷ καὶ ἁπαλῷ κολλυρίῳ Σεβήρου. τῇ δὲ τετάρτῃ ὑπαλείφομεν τοῖς πρὸς τὰς διαθέσεις κολλυρίοις. παραιτούμενοι τὸ λοιπὸν τὰ ἁπαλὰ καὶ σαρκωτικὰ κολλύρια. εἰσὶ δὲ τὰ πρὸς διαθέσεις, τὰ ναρδηνὰ καὶ τὰ θεοδότια. καὶ τὰ δι᾽ οἴνου πάντα.

Περὶ ἐγκανθίδος. ξγ.

Ἐγκανθίδα δὲ καλοῦσιν, ὅταν ὑπερσαρκώσῃ ὁ πρὸς τῇ ῥινὶ μέγας κανθὸς αὐξηθείς. ὅπερ γίνεται οὕτω κυνῶν μάλιστα. οὕτω δὲ τῶν ἀνθρώπων πλεονάζει, τοῖς ἐν θαλάσσῃ διατελοῦσιν. ἡ μὲν οὖν εὐήθης ἐγκανθίς, σκληρὰ καὶ ἀνώμαλος. ἡ γαγγραινώδης. πόνους ἔχουσα. δεῖ δὲ τὰς εὐήθεις θεραπεύειν. τὰς μὲν μικράς, φαρμάκοις ξηροῖς. ὥστε πρὸς ψωρώδεις κανθοὺς διὰ καδμείας καὶ χαλκίτεως. ἢ τούτῳ καλλίστῳ ὄντι. στυπτηρίας σχιστῆς. μίσυος ὀπτοῦ. χαλκάνθου ἴσα, ἱκανῶς δαπανᾷ πάσας τὰς ἐγκανθίδας. χρῶ δὲ καὶ τῷ θεοδοτίου Σεβήρου κολλυρίῳ. λειώσας αὐτὸ ξηρόν. καὶ τὸ πρὸς μυοκέφαλα, δι᾽ οἴνου.

Χειρουργία ἐγκανθίδων. ξδ.

Τὰς δὲ μείζονας καὶ κακοήθεις ἐγκανθίδας, μυδίῳ ἐπιλαβόμενον δεῖ ἀποτέμνειν. εἰ δὲ μείζων εἴη ἡ ὑπεροχή, βελόνῃ χρὴ λινὸν διπλοῦν ἐχούσῃ πρὸς τῇ βάσει διείρειν. εἶτα ἀποσφίγγειν τὸ λινόν. καὶ διαστέλλοντα βραχύ, ἕως πελιωθῇ ἡ σάρξ, σμιλίῳ ἀφαιρεῖν. καὶ τῷ ψωρικῷ ξηρῷ ἐφάπτεσθαι. καὶ πτύγματα ἐπιτιθέναι. τῇ δὲ ἑξῆς ἀποπυριᾶν. καὶ μετὰ τὴν τρίτην τῷ μέλιτι χρώμενον, ἀποθεραπεύειν. παραφυλάττεσθαι δὲ μὴ συναφαιρεῖν ἐκ βάσεως τὸν κανθὸν σὺν τῇ παρὰ φύσιν σαρκί. εἰ δὲ μή, ῥυάδες ἐπιγίνονται.

Περὶ αἱμορραγίας ἐκ τῶν κανθῶν. ξε.

Γίνεται δὲ αἱμορραγία ἀπὸ τῶν κανθῶν, καὶ μάλιστα παιδίοις, διὰ τοὺς συνεχεῖς κλαυθμούς. καὶ τὰς διατάσεις ἀνασπωμένων τῶν περὶ τὰ βλέφαρα ἀγγείων. θεραπευτέον δὲ αὐτοὺς προσαντλήσει ὀξυκράτου ψυχροῦ. καὶ κατὰ κεφαλῆς προσαντλήσει ψυχροῦ ὀξυκράτου. καὶ κατὰ φύσει ψυχροῦ. ἐγχυματίζειν δὲ ᾠοῦ τὸ λευκὸν καθ᾽ αὑτό. καὶ σύν τινι τῶν πρὸς τὰ λεπτὰ ῥεύματα ἁρμοττόντων κολλυρίων. καὶ διαθέσει τῶν κάτω μερῶν χρῆσθαι. καὶ παχυνούσῃ τροφῇ. οὕτω δὲ τῶν τελείων, καὶ σικύαν τῷ ἰνίῳ προσβάλλειν μετὰ κατασχασμοῦ.

Περὶ προσφύσεως βλεφάρων καὶ ἀγκυλώσεων. ξϛ.

Προσφύεται τὰ βλέφαρα, τῷ λευκῷ ἢ τῷ μέλανι. ἢ πρὸς ἄλληλα ἑλκώσεως προηγησαμένης. ὅταν οὖν πρὸς τὸ λευκὸν ἡ πρόσφυσις τῶν βλεφάρων γίνηται, κατὰ δὲ τὴν κίνησιν ἐμποδίζηται ὁ ὀφθαλμός, καλοῦσι τὸ πάθος ἀγκύλωσιν. ὅσαι μὲν οὖν προσφύσεις κατὰ τὸν κανθὸν γεγόνασι τῶν βλεφάρων ἀμφοτέρων, ἀγκίστροις ἀνατείνοντα, χρὴ διελεῖν καὶ ἀναστέλλειν μοτῷ. κἄπειτα θεραπεύειν ὡς τὰ κοινὰ ἕλκη. ὅσαι δὲ προσφύσεις τοῦ ταρσοῦ πρὸς τὸν χιτῶνα γεγένηνται. τυφλαγκίστρῳ ἀνατείνοντα πτερυγοτόμῳ, ἀπολύειν τὴν πρόσφυσιν. ἔπειτα τὰ ὑπερσαρκώματα ξηρῷ τινὶ καταστέλλειν. καὶ χαλκῷ λειοτάτῳ καθ᾽ ὑπερβολὴν τὰ βλέφαρα ὑποχρίειν, μέχρις ἀποθεραπείας ἀνεπίδετον ἐῶν τὸν ὀφθαλμόν.

Περὶ τῶν ἐν βλεφάροις φθειρῶν. ξζ.

Φθεῖρες γίνονται κατὰ τὰς βλεφαρίδας πλατεῖς. μικροί. πολλοί. ἐξ ἀδηφαγίας τὴν γένεσιν λαμβάνοντες. καὶ ἀλουσίας. καὶ ἀδηφαγίας. καὶ φαύλης διαίτης. θεραπευτέον αὐτοὺς οὖν, πρῶτον μέν, ἐπιμελῶς ἐκκαθαίροντας τοὺς φθεῖρας. καὶ θαλάσσῃ προσαντλοῦντα χλιαρᾷ. εἶτα προσεπιπτομένους τῷ τόπῳ τῷ ὑπογεγραμμένῳ φαρμάκῳ. στυπτηρίας σχιστῆς, ∠. β. σταφίδος ἀγρίας ὀβολὸς α. πεπέρεως ὀβολοί, ϛ. χαλκοῦ κεκαυμένου, ∠. α. σμύρνης ὀβολοὶ β. λίθου σχιστοῦ τριόβολον. μίσυος ὀπτοῦ, ∠. α. λεῖα ποιήσας, ξηρῷ χρῶ. λούειν τε καὶ σμήχειν τοῖς διαφοροῦσι καὶ τονοῦσι τὴν κεφαλήν. καὶ γυμνάζειν τὰ κάτω μέρη. καὶ διαίτῃ εὐχύμῳ χρῆσθαι. παραπλησίως καὶ τὰς γινομένας περὶ τὰ βλέφαρα κόνιδας θεραπεύειν.

Περὶ τριχιάσεως βλεφάρων. καὶ διστιχιάσεως κεφαλαλγιῶν Σεβήρου. ξη.

Τριχίασιν δὲ λέγουσιν, ὅταν ὑπὸ τὰς ἐν τοῖς βλεφάροις κατὰ φύσιν τρίχας ἄλλαι ἀποφυεῖσαι καὶ ἔσω νεύουσαι, διανύττουσι τὸν χιτῶνα. καὶ ῥευματίζουσι τὸν ὀφθαλμόν. λέγεται δὲ τριχίασις, καὶ ὅταν αὐτὰ τὰ βλέφαρα χαλασθέντα. ἢ ὁ ταρσὸς ἔσω νεύσας ὥστε μὴ φαίνεσθαι ῥᾳδίως τὰς τρίχας. εἰ μή τις ἀντιτείνοι καὶ διαστέλλοι τὰ βλέφαρα. καλοῦσι δὲ οἱ ἰατροὶ τὴν μὲν τοῦ βλεφάρου χάλασιν, φαλάγγωσιν. ἢ πτῶσιν. τὴν δὲ τῶν τριχῶν ὑπόφυσιν, διστιχίασιν. γίνεται δὲ τὰ πάθη καὶ μά-

λισα ἡ διστιχίασις, διὰ πολλὴν ὑγρότητα. ὥσπερ γὰρ ἐπὶ τῆς γῆς ἡ δαψίλεια τῶν ὑδάτων πόας πλείστας ἐκφέρει, οὕτως καὶ ἐπὶ τῶν βλεφάρων, καὶ μάλιστα ὅταν ἄδηκτα ὑπάρχῃ τὰ ἐπιῤῥέοντα ὑγρά, εἰ γὰρ ἁλμυρὸν εἴη τὸ ἐπιῤῥέον, καὶ τὰς κατὰ φύσιν ἀποβάλλει τρίχας. ἡ μὲν οὖν τῆς διστιχιάσεως τελεία θεραπεία, ἡ ἀναῤῥαφὴ τῶν βλεφάρων ἐστίν. ἐπειδὴ δέ τινες διὰ μαλακίαν οὐκ ἀνέχονται ἑαυτοὺς τῇ χειρουργίᾳ παραδοῦναι, βοηθητέον αὐτοῖς. ὡς οἷόν τε. γεγράφασι μὲν οὖν οἱ ἀρχαῖοι βοηθήματα ἐπ' αὐτῶν τοιαῦτα.

Φάρμακα πρὸς τὸ τὰς ἐκτιλλομένας τρίχας μὴ φύειν. ξθ.

Τὰς νύττουσας τρίχας προεκτίλλας καὶ ἐκστρέψας τὸ βλέφαρον, κατάχριε αἵματι βατράχων προσφάτῳ. καὶ ἔα ψυγῆναι. καὶ αἵματι κορέων ὁμοίως χρῶ. ἢ χαμαιλέοντα λευκὸν καύσας, ἀναλάμβανε τὴν τέφραν τῷ αἵματι τῶν βατράχων. καὶ ἐπὶ τῆς χρείας σπόγγῳ ὑγράνας καὶ προεκτίλλας κατάχριε τὸν τόπον. Ἄλλο. Τὸν χυλὸν τῆς χελιδονίου. καὶ καπνίου λεγομένης, πόας λαβὼν, καὶ κόμμι τὸ ἀρκοῦν ἐπιβαλὼν καὶ ξηράνας, καὶ ἀναπλάσας μικρὰ κολλύρια χρῶ ὡς προείρηται. Ἄλλο. Κοχλίων σάρκας σὺν αἵματι βατράχων χλωρῶν τῶν ἐν τοῖς καλάμοις. ἢ ἐχίνου χερσαίου λεάνας. καὶ μέλαν γραφικὸν σύμμετρον ἐπιβαλὼν, ἔα ταριχεύεσθαι. καὶ χρῶ ὡς προείρηται. φυλαττόμενος τὴν κόρην. Ἄλλο. Βδέλλας καύσας καὶ λεάνας, χρῶ συνεχῶς προεκτίλλας. Γῆς ἔντερα ἐπ' ὀστράκῳ καύσας ἕως τεφρωθῇ. καὶ λειότατον ποιήσας. καὶ προεκτίλλας, ἐπίπασσε. Σαύραν ἐν χύτρᾳ καύσας. καὶ τὴν τέφραν λεάνας, ἐπίβαλλε σανδαράχης τὸ ἴσον, καὶ χρῶ.

Ἄλλο καλὸν ἄλυπον. Κεράτια ξηρὰ μὴ παλαιὰ ἀποκλαύσας τὸ εὑρισκόμενον ἐν ταῖς κοιλότησιν ὑγρὸν γλισχρότερον ἐλάχιστον μελιτῶδες ἀναλαβὼν πυρῆνι μήλης. καὶ προεκτίλλας τὰς τρίχας, ἐπίχριε τὸν τόπον. συνεχῶς τοῦτο ποιῶν. Ἄλλο ἄκρως δὲ ποιεῖ φησὶν ἀρχιγένης. ἐχίνου χερσαίου χολή. καὶ τοῦ αἵματος ἴσα. καστορίου τὸ σύμμετρον. λειότατον ποιήσας τὸ καστόριον, ἀναλάμβανε τῷ αἵματι καὶ ἀνάπλασσε ὡς λεπίδας ὀψαρίου. χρῶ δὲ ἐκριζῶν τίλλων τὰς τρίχας. εἶτα λεπίδα μίαν, τῷ ἐκ τοῦ στόματος σιέλῳ νήσει διαλύων. ἐκστρέψας τὸ βλέφαρον κατάχριε. καὶ κράτει τὸν τόπον ὡς ἡμιώριον, ἕως ξηρανθῇ. ἀλγοῦσι μὲν, ἀλλ' οὐκέτι φύονται. Ἄλλο. Ψύλλειον καὶ κωνείου σπέρμα. καὶ κεδρέαν ἴσα, ἀναλαβὼν αἵματι νυκτερίδος, χρῶ καθὼς προείρηται. μὴ θιγὼν τοῦ ὀφθαλμοῦ. Ἄλλο. Ὀθόνιον ἐκ πλοίου παλαιὸν λαβὼν, ἐντίθει εἰς λύχνον ἀντὶ ἐλλυχνίου. πληρώσας δὲ τὸν λύχνον ἐλαίῳ κυπρίνῳ τὴν αἰθάλην συνάγαγε ἐπὶ χαλκοῦ ἀπείρου. καὶ χρῶ. ἐκτίλλων καὶ συμμίξων τὸν τόπον συνεχῶς. καὶ ἐὰν φύωσι, τὸ αὐτὸ ποίει. Ἄλλο. Ποταμογείτονος χυλόν. καὶ ἀρτεμισίας χυλὸν, τὸ ἴσον χρῶ. Ἄλλο. Χολὴν μοσχίαν, καὶ καστορίου. καὶ κόμεως ἴσα. χωρὶς ὕδατος συλλεάνας, ἀνάπλασσε καὶ χρῶ. προεκτίλλας καὶ ἐπιχρίων τρεῖς τῆς ἡμέρας, καὶ ἐπιτεύξῃ. Ἄλλο. Λαβὼν χοιρείου ἄρρενος χολὴν, καὶ στέαρ ἐξ αὐτοῦ, βάλε εἰς ἀγγεῖον κεραμεοῦν καινὸν, τῶν πυκνοτάτων καὶ λειοτάτων. καὶ ἐπίχει ὄξους δριμυτάτου κοτύλης τὸ τέταρτον. καὶ ἐλαίου ἀλιώου κοτύλης τὸ τέταρτον. καὶ περιδήσας ὀθονίῳ πυκνῷ, ἔα ἡμέρας ζ. καὶ ἐπιχέας αὐτὸ εἰς θυίαν, τρίβε. καὶ ἀναλάμβανε ὡς χρυσίον. τὸ δ' αὐτὸ καὶ ἐφ' ὅλου τοῦ σώματος καλῶς ποιεῖ. τὸ δὲ ἄλιωον, ἔλαιον λέγεται εἶναι τὸ ἀμυγδάλινον.

Ἀνακολλήματα τριχῶν. ο.

Ἀνακολλᾷ δὲ τὰς εἴσω ἀνακλωμένας παρὰ φύσιν ἐν τοῖς βλεφάροις τρίχας, μαστίχη. μηλωτρίδος θερμῆς προσαπτομένης. καὶ οὕτως ἀνακλωμένων ἐπὶ τὴν ἰδίαν τάξιν τῶν τριχῶν. ἄσφαλτος ὁμοίως. ταυρόκολλα ὁμοίως. κοχλίου τὸ κολλῶδες. βελόνῃ ἀναλαμβανόμενον. ἱδρακίας ὀπὸς τῶν ἀνακολλυρίων λεγομένων ὁ ὀπὸς. ἀμμωνιακὸν, θυμίαμα. σύνθετον δὲ τοῦτο. ῥητίνης ξηρᾶς. πίσσης ξηρᾶς. θείου ἀπύρου. ἀσφάλτου, ἀνὰ ∠ α. κηροῦ ∠ ς. τήξας, ἀπόθου. ἐν δὲ τῇ χρήσει μηλωτρίδα πυρώσον. καὶ παραπτόμενος τοῦ φαρμάκου, ἀνακόλλα τὰς τρίχας.

Περὶ ἀναῤῥαφῆς καὶ καταῤῥαφῆς βλεφάρων, Λεωνίδου. οα.

Πρὸς τὴν ἀναῤῥαφὴν καθέδριον ὁ πάσχων σχηματιζέσθω, πρὸς τοῖς ἀριστεροῖς μέρεσι τοῦ ἐνεργοῦντος, ταπεινότερος αὐτοῦ πρὸς αὐγὴν λαμπράν. ἑστώσαν δὲ καὶ οἱ ὑπηρέται, εὐπαίδευτοι δύο παρεστῶτες. εἷς μὲν ὄπισθεν ἀντιβαίνων. εἷς δὲ ἐκ πλαγίων. ὁ δὲ χειρίζων, πρῶτον σημειούσθω κολλυρίῳ ἢ ἐγχαράξεσιν ἐπιπολαίοις τὴν αὐτάρκη τοῦ περιττεύοντος κατὰ τὸ βλέφαρον. καὶ ἐῤῥυτιδωμένου δέρματος ἐκτομήν. ἵνα μήτε πλέον τοῦ δέοντος ἐκτμηθῇ, μήτ' ἔλαττον. πλατυτέρου μὲν γὰρ ἐκτμηθέντος, λαγόφθαλμος γίγνεται ὁ πάσχων. στενοτέρου δὲ ἐκτμηθέντος, πάλιν χαλᾶται τὸ βλέφαρον. καὶ νύττουσιν ὁμοίως αἱ τρίχες. σημειούσθω δὲ καὶ ὁ κατὰ τὴν μεσότητα τοῦ βλεφάρου πρὸς τὸν ταρσὸν τόπος ἐπιπολαίῳ διαιρέσει. μετὰ δὲ τὴν σημείωσιν ἐκστρέψαντες τὸ βλέφαρον, δίδομεν τὴν ὑποτομὴν ἔσωθεν τῶν παρὰ φύσιν τριχῶν. ὥστε αὐτὰς πρὸς τὰς κατὰ φύσιν ἐξωνεῦσαι. ἐνίοτε δὲ κατ' αὐτῶν τῶν παρὰ φύσιν τριχῶν. εἴγε ἐν δευτέρῳ ἦ, τάσσομεν τὴν ὑποτομήν. ἵνα ἡ ἐπιγινομένη οὐλή, κωλύσῃ αὐτὰς πάλιν φυῆναι. οὐδὲν δὲ κωλύει καὶ δύο ὑποτομὰς διδόναι. μίαν μὲν,

ἐνδοτέρω τῶν παρὰ φύσιν τριχῶν, ἵνα ἀνάκλασις γένηται τοῦ ταρσοῦ. ἑτέραν δὲ κατ' αὐτῶν τῶν παρὰ φύσιν τριχῶν, βαθυτέρα δὲ ἔστω ἡ ὑποτομή, συνεργεῖ γὰρ τῇ ἀνακλάσει καὶ τῷ κουφισμῷ τοῦ βλεφάρου. καὶ ἀπὸ τῶν περάτων τοῦ ταρσοῦ, εἰς τὰ πέρατα διδόσθω. ἔπειτα πτυγμάτια μικρὰ διπλωμένα τρίγωνα τῷ σχήματι τασσέσθω. ἓν μὲν, παρὰ τῷ μεγάλῳ κανθῷ. καὶ ἕτερον πλησίον τοῦ μικροῦ. κατὰ δὲ τούτων τῶν πτυγματίων, ὁ ἔξωθέν τε καὶ ὀπίσω ἑστὼς ὑπηρέτης, ἐρειδέτω τὰς κορυφὰς τῶν μεγάλων δακτύλων. καὶ ὑπὸ μίαν ὁρμὴν, διατεινέτω τὸ βλέφαρον. ἐρείδων τὸν δάκτυλον ὑπὸ τὴν ὀφρύν. ἵνα ἰσότονος γένηται ἡ τοῦ βλεφάρου τάσις. σημεῖον δὲ ἔστω τῆς καλλίστης τάσεως τοῦ βλεφάρου, ὅταν τὸ μέσον σημεῖον, φυλάξῃ τὸν ἴδιον τόπον. τουτέστι κατὰ τὴν μέσην εὑρεθῇ. μετὰ τὴν διάτασιν δὲ, πρῶτον δοτέον τὴν πλαγίαν, καὶ ὀβελιαίαν κάτω διαίρεσιν ἐπιπολαίαν. ἵνα μὴ τὸ ἐπιῤῥέον ἐκ τῆς ἄνωθεν αἷμα, παρεμποδὼν γένηται τῇ χειρουργίᾳ. ἔστω δὲ ἡ τομὴ συνεγγίζουσα ταῖς βλεφαρίσιν. ἔπειτα δοτέον τὴν ἄνω μηνοειδῆ διαίρεσιν. ἀρχέσθω δὲ καὶ αὐτὴ κάτωθεν ἐκ τοῦ πρὸς τὸν μέγαν κανθὸν τόπου. καὶ ἀναφερομένη ἐπὶ τὸ σημεῖον, πάλιν νευέτω κάτω περὶ τὸν μικρὸν κανθόν. ἔστω δὲ καὶ αὐτὴ ἐπιπολαιοτέρα. ἵνα μὴ μυόχρωτος γένηται ὁ πάσχων. εἶτα ἐκ πλαγίων ἑστὼς ὑπηρέτης, ἀνατεινέτω τὸ βλέφαρον. ἔπειτα ἄγκιστρον καταπειρέσθω εἰς τὴν ἀρχὴν τοῦ περικεχαραγμένου τενιδίου. ἐπὶ μὲν τοῦ ἀριστεροῦ ὀφθαλμοῦ, πρὸς τῷ μικρῷ κανθῷ. ἐπὶ δὲ τοῦ δεξιοῦ, πρὸς τῷ μεγάλῳ. ἀνατεθέντος δὲ τοῦ ἀγκίστρου τῇ ἀριστερᾷ χειρὶ, ὑποδερέσθω τὸ τενίδιον τῷ ἀναῤῥιφικῷ σμιλίῳ, προσέχοντες ἵνα μὴ ἐπιπολὺ βαθυνομένης τῆς ὑποδορᾶς, μυόχρωτοι γένωνται. καὶ ἀνίατον ἔχωσι τὸ χάλασμα τοῦ βλεφάρου. μετὰ δὲ τὴν τοῦ δέρματος ἐκτομὴν, ἐπὶ τὴν ἀναῤῥαφὴν ἐλθετέον. διδόσθω δὲ πρώτη ῥαφὴ, ἡ μέση. ἔπειτα ἑκατέρωθεν ἄλλαι δύο, ὡς εἶναι τὰς πάσας ῥαφὰς πέντε. μετὰ δὲ τὴν ἀναῤῥαφὴν, ἀνατείνας τὸ βλέφαρον διὰ τὰ τραύματα, συμμέτρῳ σπληνίῳ ἐχεκόλλῳ καταλαβοῦ τὰ ῥάμματα ὑπὸ τὴν ὀφρύν. κατὰ δὲ τῶν διαιρέσεων σπληνάρια μικρὰ κολλητικῆς καὶ ἀφλεγμάντου δυνάμεως ἐπιτιθέναι. ἔπειτα ἔριον ὠοβραχὲς καθ' ὅλον τὸν ὀφθαλμὸν, καὶ ἐπιδέσμει. ἐπειδὴ δὲ ἐπιτεῖνον, καὶ δριμὺ, καὶ ἁλμυρὸν φερόμενον ῥεῦμα, ἀποβάλλει τὰς κατὰ φύσιν τρίχας. καὶ σκληρὸν τὸν ταρσὸν ἀποτελεῖ. ταῖς δὲ παρὰ φύσιν ὑποπεφυκυίαις θριξὶ καὶ αὔξησιν παρέχει, δυσχερής τε ἐπὶ τούτων ἡ ἐκστροφὴ τοῦ βλεφάρου γίγνεται, προσήκει βελόνην ῥάμμα στερεὸν ἔχουσαν, καταπείρειν τῷ μέσῳ τοῦ ταρσοῦ. καὶ ἀνέλκειν ἐπὶ τὸ ἄνω τὸ ῥάμμα. καὶ οὕτω τῇ μήλῃ ἐκστρέφειν τὸ βλέφαρον κατὰ τὸ ἔθος. καὶ διδόναι τὴν ὑποτομὴν ὡς προείρηται.

Περὶ καταῤῥαφῆς. οβʹ.

Τοῦ δὲ κάτω βλεφάρου τριχιῶντος, καταῤῥαφὴ δοκιμάζεται. πρότερον δὲ κἀπὶ τούτων σημειούσθω εἰ αὐτάρκης τοῦ χαλασμένου περιττοῦ δέρματος ἐκτομή. κἀνταῦθα γὰρ πλατυτέρου ἐκτμηθέντος τενιδίου, ἐκτρόπιον γίγνεται. στενοτέρου δὲ, ἀνωφελής ἐστιν ἡ χειρουργία. μετὰ δὲ τὴν σημείωσιν, τὰ πτύγματα ὡς προείρηται κατὰ τῶν κανθῶν τασσέσθω. καὶ περιτεινέσθω τὸ βλέφαρον. ἔπειτα πρὸς τῷ μήλῳ ἐρείδων τὸν δάκτυλον ὑπηρέτης καθελκέτω κάτω. διδόσθω δὲ πρώτη διαίρεσις ἡ μηνοειδὴς λεγομένη ἡ κάτω. ἔπειτα ἡ ὀβελιαία καὶ πλαγία λεγομένη ἡ περὶ τὸν ταρσόν. ὑποδέρειν δὲ ὡς προείρηται καὶ ῥάπτειν. καὶ τὰ ἀκόλουθα ποιεῖν. μόνῃ δὲ τῇ καταῤῥαφῇ ἀρκούμεθα ἐπὶ τοῦ κάτω βλεφάρου. παραιτούμενοι τὴν ὑποτομήν. ἵνα μὴ ἐκτροπὴ τοῦ βλεφάρου γένηται.

Περὶ ἐκτροπίου Δημοσθένους. ογʹ.

Ἐκτρέπεσθαι ἐπιπλέον συμβαίνει τὰ βλέφαρα, ἑλκώσεως προηγησαμένης. καὶ ὑπερσαρκωσάντων τῶν βλεφάρων. ποτὲ δὲ ὑπὸ οὐλῆς σκληροτέρας συνελκομένου τοῦ βλεφάρου καὶ ἐκστρεφομένου. γίγνεται δὲ μᾶλλον περὶ τὰ κάτω βλέφαρα. θεραπευτέον δὲ, τὰς μὲν συμμέτρως ὑπερσαρκώσεις, τῷ ὑποκειμένῳ ξηρῷ. χαλκοῦ κεκαυμένου, ∠. αʹ. χαλκοῦ ∠. αʹ. μίσυος ὀπτοῦ, ∠. αʹ. χαλκίτεως ὀπτῆς, ∠. αʹ. Ἄλλο. χαλκοῦ κεκαυμένου, ∠. ηʹ. μίσυος ὀπτοῦ, ∠. βʹ. χαλκίτεως ὀπτῆς ∠. αʹ. χαλκάνθου, ∠. αʹ. Ἄλλο. πρὸς τὰ κεχρονικότα ἤδη ἐκτρόπια. τὸν πεφρυγμένον ἐπ' ὀστράκου λεάνας, παράθου καθ' αὐτό. ἢ μόλιβδον κράτου ἴσον πρόσπλεκε.

Χειρουργία ἐκτροπίου Ἀντύλλου. οδʹ.

Τὰς δὲ μείζονας ὑπερσαρκώσεις, σμιλίῳ χρὴ περιαιρεῖν. ἔπειτα χαλκῷ κεκαυμένῳ λείῳ προσάπτεσθαι. ἢ ἀλόῃ μετὰ μάννης. καὶ τῇ ἑξῆς ἀποπυριάζοντα ὁμοίως θεραπεύειν. τῇ δὲ τρίτῃ μετὰ τὴν πυρίαν μέλιτι χρῆσθαι, μέχρι ἀποθεραπείας. εἰ δὲ μείζων εἴη ἡ ἐκτροπὴ, δέον ἐγχειρεῖν οὕτως. ἐκ τοῦ ἔσωθεν μέρους τοῦ βλεφάρου. δύο διαιρέσεις ἐκβλητέον. τὸ λ στοιχεῖον ἐχούσας σχῆμα. ἵνα τὸ μὲν στενὸν μέρος τοῦ λ κάτω γένηται ὡς πρὸς τῷ μήλῳ. τὸ δὲ πλατὺ ἄνω πρὸς ταῖς βλεφαρίσι. εἶτα ἐκκοπτέον τὸ λαβδοειδὲς τενίδιον. συνεκκόπτοντες καὶ τὴν ὑποκειμένην σάρκα. οὐ γάρ ἐστι χονδρῶδες τὸ κάτω βλέφαρον. τὸ μέντοι δέρμα, ἀδιαίρετον φυλακτέον. εἶτα τὰ χείλη τῆς ἐκκοπῆς ῥαφῇ συνακτέον. ἀρκέσει γὰρ μία ῥαφὴ, ἐμβαλλομένη κατὰ τὰ πρὸς ταῖς βλεφαρίσι μέρη. οὕτω γὰρ καμπυλωθὲν καὶ κυρτὸν γενόμενον τὸ βλέφαρον, εἰς τὰ ἐντὸς εἰστραπήσεται μέρη. εἰ δὲ οὐλὴ ἐκτι-

νος αἰτίας ἔξωθεν τοῦ βλεφάρου γινομένη ἐκστρέψη τὸ βλέφαρον, ἀφαιρεῖν μὲν καθὼς προείρη-
ται ἐκ τῶν ἔσωθεν μερῶν τοῦ βλεφάρου τὸ λαβδοειδὲς τενίδιον· μὴ πάνυ βαθεῖαν τὴν διαίρεσιν ποιού-
μενοι. καὶ συνάγειν ῥαφῇ ὡς εἴρηται τὰ χείλη τῆς διαιρέσεως. ἔπειτα ἔξωθεν ἀγκίστρῳ ἀνατεί-
νοντες τὴν οὐλὴν. βελόνην διπλοῦν ἔχουσαν λίνον, διαπείρομεν ὑπὸ τὸ ὑπερσάρκωμα ὅλης τῆς οὐ-
λῆς ἀπὸ τοῦ μικροῦ κανθοῦ ἀρχόμενοι, καὶ ἐπὶ τὸν μέγαν τὴν παραγωγὴν τῆς βελόνης ποιούμενοι. εἶ-
τα κειμένης τῆς βελόνης, τὸ λίνον ὑποβάλλομεν ὑπ' ἀμφοτέροις τοῖς μέρεσιν αὐτῆς. καὶ ἀνατείνο-
μεν δι' αὐτῆς τὸ ὑπερσάρκωμα τῆς οὐλῆς ὅλον· καὶ οὕτως τὴν ἐκτομὴν αὐτοῦ ποιούμεθα· συνεκφέρον-
τες ἅμα τῷ σαρκώματι. καὶ τὴν ἐμπεπαρμένην βελόνην· μετὰ δὲ τὴν χειρουργίαν, τὴν ἔξω διαίρε-
σιν διαμοτώσαντες. καὶ ἐκ ψυχροῦ ὕδατος πτύγμα ἐπιτιθέντες, ἐπιδέσει χρώμεθα μέχρι τῆς τρί-
10 της ἐπιβρέχοντες τῷ ψυχρῷ, ἐῶμεν τὸ πτύγμα ἐπικείμενον. τῇ δὲ τρίτῃ ἐπιλύσαντες, ὕδατι χλια-
ρῷ πυριῶμεν. πυρία γὰρ ἐπὶ τούτων οὐ συμφέρει. φυλάττεσθαι γὰρ δεῖ μήποτε ἀποτευχθῇ ἡ ἔν-
δον κόλλησις· μετὰ δὲ τὸ ἀποπεσεῖν ἀπ' αὐτῶν τὰ ῥάμματα κολληθέντων τῶν σωμάτων ἀδεῶς λοι-
πὸν τὴν πυρίαν προσακτέον, πρὸς τῷ καὶ τὴν οὐλὴν λεπτοτέραν γίνεσθαι. καὶ τὸν ὀφθαλμὸν πα-
ραμυθήσασθαι. εἶθ' ὑπαλείφειν τοῖς σταλτικοῖς κολλυρίοις ἔνδοθεν τὸ βλέφαρον· τὴν δὲ ἔξωθεν διαί-
ρεσιν φυλακτέον, ἐν διαστάσει κατὰ πᾶσαν τὴν θεραπείαν μαλακώτερα τὰ φάρμακα προσάγον-
τες. ἔσται γὰρ ἐκ τῆς ἐπιδόσεως τοῦ ἔξωθεν δέρματος, σύλληψις πόση εἰς τὸ στραπῆναι εἴσω τὸ βλέ-
φαρον. εἰ δὲ δι' ἐγκανθίδα γινομένην ἐκτροπὴ γένηται τοῦ βλεφάρου, ἐκκοπείσης τῆς ἐγκανθί-
δος, εἰς τὸ κατὰ φύσιν ἐπανήξει τὸ βλέφαρον· εἰδέναι δέ σε προσήκει ὡς ἡ τοῦ ἄνω βλεφάρου ἐκτρο-
πὴ, ἀνίατός ἐστιν. ἀθεράπευτος δὲ καὶ ἡ διὰ παράλυσιν τοῦ κάτω βλεφάρου γινομένη. ὁμοίως δὲ καὶ
20 ἡ δι' ἐκτομὴν πάνυ πλατυτέρου τενιδίου γινομένη ἐπὶ τῶν καταρράφων μάλιστα. καὶ διὰ πλα-
τεῖαν οὐλὴν γινομένη. ἑλκώσεως δηλονότι προηγησαμένης, ὡς ἐπὶ τῶν ἀνθράκων γίνεται.

Περὶ λαγοφθάλμων· Δημοσθένους. οε.

Λαγόφθαλμοι καλοῦνται, ἐφ' ὧν ἀνέσπασται τὸ ἄνω βλέφαρον. καὶ ἀνέῳγεν ὁ ὀφθαλμὸς ἐν τῷ
καθεύδειν· καθάπερ τῶν λαγωῶν. γίνεται δὲ τὸ πάθος ποτὲ μὲν, ἐξ ἀρραφῆς πλέον τοῦ δέοντος ἀ-
νασπασθέντος τοῦ βλεφάρου. ὡς μὴ δύνασθαι καλύπτειν τὸν ὀφθαλμόν. ποτὲ δὲ, ἑλκώσεως προη-
γησαμένης αὐτομάτου. ὥσπερ ἐπὶ τῶν ἀνθράκων γίνεται. θεραπεύειν δὲ αὐτοὺς, μηνοειδῆ τομὴν
κατὰ τῆς οὐλῆς ὅλης ἐμβάλλοντα. ὡς τὸ μὲν κυρτὸν τῆς τομῆς ἄνω. τὰς δὲ κεραίας κάτω πρὸς τοὺς
ταρσοὺς βλέπειν. ἔπειτα διαστέλλειν ξύσμασιν ὀθονίων τὴν διαίρεσιν. καὶ κατάγειν κάτω τὸ βλέ-
φαρον. καὶ ἴσον ποιεῖν τῷ κατὰ φύσιν σχήματι. τὰ δὲ παρεσπαρμένα τῶν βλεφάρων καθ' ἃ μέρη συ-
30 νέλκεται, κατ' ἐκεῖνα τὴν τομὴν ἐμβαλεῖν. καὶ χαλᾶν ὁμοίως τὸ βλέφαρον. ἐν δὲ τῇ θεραπείᾳ,
φεύγειν δεῖ τὰ ξηραντικὰ φάρμακα. καὶ τὸ μελίκρατον. προσακτέον δὲ ἀναλελυμένην τὴν τετρα-
φάρμακον. καὶ χυλὸν τήλεως ἀπαντλητέον αὐτούς. καὶ πᾶσαν ἁπλῶς τὴν χαλῶσαν καὶ λιπαί-
νουσαν ἀγωγὴν ἐπὶ τούτων παραλαμβάνειν.

Περὶ σκληροφθαλμίας· Δημοσθένους. ος.

Σκληροφθαλμία ἐστὶν, ὅταν συμβῇ τὰ βλέφαρα σκληρὰ εἶναι. καὶ αὐτὸν τὸν ὀφθαλμὸν σκληρότε-
ρόν τε καὶ δυσκινητότερον ὑπάρχειν. ἔμπονόν τε καὶ ἐρυθρόν. καὶ μάλιστα μετὰ τὸ ἐκ τῶν ὕπνων
ἐξαναστῆναι, δυσκόλως διανοίγειν τὰ βλέφαρα· ὑγρασίαν τε μηδεμίαν κενοῦσθαι. λήμια δὲ ἐν τοῖς
κανθοῖς συνίστασθαι μικρὰ συνεστραμμένα ὑπόξηρα. καὶ ὅταν ἐκστρέφειν αὐτῶν βουλόμεθα τὰ βλέ-
φαρα, μὴ ῥᾳδίως στρέφεσθαι δύνασθαι διὰ τὴν σκληρότητα.

40 Περὶ ξηροφθαλμίας. οζ.

Ξηροφθαλμία ἐστὶν, ὅταν ὑπόξηρος ὁ ὀφθαλμὸς γένηται. καὶ κνησμώδης. καὶ ἡσυχῆ ἐπίπονος χωρὶς
σκληρότητος τῶν βλεφάρων.

Περὶ ψωροφθαλμίας. οη.

Ψωροφθαλμία δέ ἐστιν, ὅταν οἱ κανθοὶ ἑλκώδεις εἰσὶ καὶ ἐρυθροί. καὶ κνησμώδεις σφόδρα. καὶ τὰ
βλέφαρα ἐρυθρά. καὶ δάκρυον ἁλμυρὸν. ἢ νιτρῶδες ἀποστάζει.

Ἐπιμέλεια ξηροφθαλμίας· καὶ σκληροφθαλμίας. καὶ ψωροφθαλμίας. οθ.

Ἐπιμελητέον τοίνυν σπουδαίως τῶν εἰρημένων διαθέσεων. ἀμεληθεῖσαι γὰρ, ὑποχύσεων καὶ γλαυ-
κώσεων· καὶ ὀφθαλμίας πολυχρονίας. καὶ ἑλκώσεων. καὶ σταφυλωμάτων αἴτιαι γίνονται. θε-
ραπεύειν μὲν οὖν τὴν ξηροφθαλμίαν, μετὰ τῆς λοιπῆς τοῦ σώματος ἐπιμελείας. καὶ διὰ τῶν ὑγρα-
σίαν προσκαλουμένων ἐπὶ τοὺς ὀφθαλμούς οἷά ἐστι τὰ γραφησόμενα ξηρὰ φάρμακα. τά τε στρατιω-
50 τικά. καὶ τὸ διακέντητον κολλύριον. καὶ τὰ παραπλήσια. τὴν δὲ σκληροφθαλμίαν, ἰατέον ὁμοίως
μὲν, διὰ τῶν ὑγρασίαν ἀποκρίνειν δυναμένων φαρμάκων. ὑπαλείφοντες τῇ Ἐρασιστράτου ὑγρᾷ.
καὶ τοῖς παραπλησίοις. πρὸς τούτοις δὲ, καὶ τοῖς μαλάσσουσι χρηστέον καὶ ὑγραίνουσι. καθάπερ θέρ-
μου τε προσηνοῦς τῇ κράσει, προσκλύσει. καὶ ποδίοις συνεχῶς ἀποπυριᾶν. παραιτεῖσθαι δὲ ἐπ'
αὐτῶν, τὰ ἐμψύχοντα καὶ ἐμπλάσσοντα καὶ παρακολλῶντα φάρμακα. καὶ ψυχροῦ προσάν-

πλῆσιν. σκληροῦται δὲ μᾶλλον ὑπὸ τούτων ὁ ὀφθαλμός. εἰ δὲ ἅμα εἴη ψωροφθαλμία καὶ σκληροφθαλμία. τῇ γὰρ ὑγρῶν δριμύτητι, εἴωθε σκληροῦσθαι τὰ βλέφαρα. ὥστε τοὺς μὲν κανθοὺς ἀναβιβρώσκεσθαι. καὶ ἑλκώδεις εἶναι. τὸν δὲ ὀφθαλμὸν καὶ τὰ βλέφαρα δυσκίνητα εἶναι. καὶ σκληρά, τοὺς τοιούτους ἀποπυριάσαντα σπόγγῳ, πρότερον παράπτεσθαι τῶν κανθῶν. πρῶτον μὲν τῷ ψωρικῷ ξηρῷ. εἶτα σύμμετρον διαλιπόντα χρόνον, ἀποπυριᾶν πάλιν σπόγγῳ. καὶ ὑπαλείφειν δεῖ δυωδεκαμερεῖ ὑγρᾷ σίαν ἀποσπᾶν. καθάπερ τῇ Ἐρασιστράτου ὑγρᾷ. καὶ δεῖ στρατιωτικῷ κολλυρίῳ. καὶ τῷ δι᾽ ἑκκαίδεκα τῷ.

Ἔστι δὲ ἡ σύνθεσις πρὸς τοὺς ψωρώδεις κανθοὺς ξηροῦ, ἥδε. χαλκίτεως ὠμῆς, ∠. ε. καδμίας ∠. ε. λεῖα γιγνόμενα ἐντίθεται εἰς χυτρίδιον. καὶ πωμασθὲν, καταχρίεται γύψῳ. καὶ ἐντίθεται εἰς ἀγγεῖον ἔχον κεκραμμένον ὄξος. ὥστε ἔξωθεν μὲν βρέχεσθαι τὸ χυτρίδιον. μὴ παρεῤῥυῆναι δὲ εἰς αὐτὸ τὸ ὑγρόν.
10 καὶ ἀφίεται εἰς ἡμέρας ζ. εἶτα ξηραίνεται ἐν ἡλίῳ. καὶ λειαίνεται. Ἄλλο Φιλοξένου ξηρὸν ἀχάρειστον πρὸς τοὺς βεβρωμένους κανθούς. καὶ ψωρώδεις διαθέσεις. καὶ σκληροφθαλμίας. Καδμίας, ∠. ϛ. χαλκίτεως ὠμῆς, ∠. α. ἁλὸς ὀβολοὶ, β. ἰοῦ ὀβολοὶ ϛ. πεπέρεως κόκκοι, ι. ῥόδων ἄνθους, ∠. δ. λείοις χρῶ. Ἄλλο πρὸς ψωροφθαλμίας. Καδμίας, ∠. α. χαλκοῦ κεκαυμένου, ∠. α. ναρδοστάχυος, ∠. α. πεπέρεως πεφρυγμένου, ὀβολοὶ β. τρίβε μετ᾽ ὄξους ἐν ἡλίῳ. καὶ ξηράνας χρῶ ὡς σπουδαίῳ. Ἄλλο πρὸς τοὺς διαβεβρωμένους κανθούς. τὸ Μενεκλέους ἀποδακρυτικόν. Στυπτηρίας, ∠. δ. ὀμφακίου ξηροῦ, ∠. β. ναρδοστάχυος διόβολον. πεπέρεως πεφρυγμένου, κόκκοι, ιε. λείοις χρῶ. Ἄλλο Καδμίας, Γο. β. ἁλὸς ἀμμωνιακοῦ, Γο. β. φύλλου, Γο. ϛ. πεπέρεως Γο. α. χρῶ. Ἄλλο ποιοῦν καὶ πρὸς ῥοιάδους θαυμάσιον. Κόστου, Γο. γ. χαλκοῦ Γο. β. κεδρίας αἰθάλης Γο. α. χρῶ. Ἄλλο πρὸς ψωροφθαλμίας. συκώσεις. σηπεδόνας. καὶ ὑπερσαρκώματα. Καδμίας, ∠. γ. χαλ-
20 κίτεως, ∠. η. πεπέρεως κόκκοι, ν. νάρδου κελτικῆς, ∠. α. τρίβε καδμίαν. χαλκίτην μετ᾽ οἴνου. καὶ ὅταν ξηρανθῇ, ἐπίβαλλε νάρδον. καὶ πέπερι λειότατα. καὶ ποιήσας χνοώδη, χρῶ. Καπίτωνος πρὸς ξηροφθαλμίαν. καὶ βεβρωμένους κανθούς. καὶ ὑγραινομένους ὀφθαλμούς. καὶ βλέφαρα συκώδη. Καδμίαν λαβόντες θραύομεν ὡς ἀλφίτων ἔχειν μέγεθος. ἔπειτα μέλιτι ἀττικῷ φυράσαντες εἰσβάλλομεν εἰς ἀγγεῖον κεραμεοῦν. καὶ πωμάσαντες πώματι τρῆμα ἔχοντι. καὶ χρίσαντες πηλῷ. καὶ στήσαντες τὸ ἀγγεῖον ὀρθὸν μεταξὺ ἀνθράκων, ῥιπίζομεν. ὅταν δὲ λευκότερος γένηται ὁ ἀναφερόμενος ἀτμὸς, αἴροντες καὶ ἀποπωμάσαντες, κατασβέννυμεν τὴν καδμίαν οἴνῳ παλαιῷ. εἶτα ταύτης ἐμβάλλοντες, ∠. η. χαλκοῦ κεκαυμένου, ∠. η. στίμμεως, ∠. δ. εἰ δὲ παρείη καὶ ἀρμενίου, ∠. η. κόψαντες δὲ καὶ σήθοντες, λειοῦμεν μετ᾽ οἴνου ὡς κολλύριον. καὶ ξηραίνοντες, ἀνελόμενοι χρώμεθα πυρῆνι μήλης. ὑποστιμμίζοντες τὰ βλέφαρα πρωΐ, καὶ εἰς ἑσπέραν. ἡμεῖς δὲ τὴν καδμίαν.
30 καὶ τὰ λοιπὰ ἅμα πάντα. σὺν τῇ ἐχίδνῃ φυράσαντες, ὀπτήσαμεν. ἔπειτα οἴνῳ κατασβέσαντες, καὶ ξηραίνοντες καὶ λειώσαντες, ἐχρησάμεθα. Ἄλλο. Κρονύδου πορφύρας ἀληθινῆς, ∠. η. καδμίας, ∠. η. χαλκοῦ κεκαυμένου, ∠. ι. λίθου αἱματίτου, ∠. ι. πάντα λεπτὰ ποιήσας, καὶ μέλιτι φυράσας, καὶ ὀπτήσας ὡς προείρηται. καὶ σβέσας, καὶ λεάνας οἴνῳ, ξηράνας χρῶ. Ἄλλο Ἀρχιγένους πρὸς πάντα τὰ προειρημένα. Ἀμόργην ἑφθὴν λεάνας μετὰ μέλιτος, χρῶ. χρῶ δὲ καὶ τοῖς ἀναγραφησομένοις κολλυρίοις καὶ ξηροῖς, ἐν τοῖς πολυχρήστοις.

Πρὸς μαδάρωσιν βλεφάρων. πτίλωσιν. μίλφωσιν. π.

Ἡ μαδάρωσις καὶ ἡ πτίλωσις, τῶν ταρσῶν εἰσὶ πάθη. καὶ ἡ μὲν μαδάρωσις, αὐτὸ μόνον ἐστὶν ἡ ἀπόπτωσις τῶν τριχῶν διὰ ῥεῦμα δριμὺ γιγνομένη. ἐπὶ δὲ τῶν πτιλῶν καλουμένων, καὶ πεπάχυνται καὶ τετύλωται τὰ μέρη ταῦτα, ὡς εἶναι σύνθετον τὸ πάθος ἐκ μαδαρώσεως καὶ σκληροφθαλμίας.
40 ὥστε καὶ τὰ τούτων βοηθήματα, παραπλήσια ἐστὶ τοῖς ἐπ᾽ ἐκείνων προειρημένοις. κάλλιστον δὲ πρὸς αὐτούς. Ξηρὸν τὸ Φιλοξένου πρὸς κνησμώδους κανθοὺς, καὶ περιβεβρωμένους. ποιεῖ καὶ πρὸς ἀμβλυωπίαν. Καδμίας, ∠. η. ἁλῶν ἀμμωνιακῶν, ∠. β. κρόκου, ∠. β. ναρδοστάχυος, ∠. β. πεπέρεως λευκοῦ ∠. α. λείοις χρῶ. Ἄλλο. Στίμμι γυναικεῖον. ποιοῦν πρὸς τοὺς βεβρωμένους κανθούς. καὶ πτίλους. Στίμμεως κεκαυμένης. καὶ ἐσβεσμένης γάλακτι γυναικείῳ, ∠. ιγ. ἁλόης. σμύρνης. ναρδοστάχυος ἀνὰ ∠. β. κριθῶν κεκαυμένων λειοτάτων, ∠. δ. ξηρῷ χρῶ. Ἄλλο πρὸς πτίλους καὶ βεβρωμένα βλέφαρα. Μυελοῦ βοείου, τοῦ ἐμπροσθίου δεξιοῦ ποδὸς λειώσας μετὰ αἰθάλης, χρῶ. τὴν δὲ αἰθάλην ποίει οὕτως. πάπυρον ἀντὶ ἐλλυχνίου βαλὼν εἰς λύχνον. καὶ πλήσας ἐλαίῳ σησαμίνῳ ἅναψον. καὶ τίθει ἄνω τοῦ λύχνου ὀστράκινον λεῖον ἢ χαλκοῦν ἀγγεῖον. καὶ δέχου τὴν λιγνύν. καὶ σύναγε κατὰ βραχὺ πτερῷ. καὶ λεάνας σὺν τῷ μυελῷ, χρῶ. Ἄλλο. Μόσχου πιτύα
50 ἐγχριομένη, ἀκριβῶς ποιεῖ. Ἄλλο πρὸς μιλφώσεις Σωσάνδρου καὶ τὰς κεχρονισμένας διαθέσεις. ποιεῖ δὲ καὶ πρὸς ἀγκαθίδας. καδμίας. στίμμεως. χαλκίτεως ὠμῆς. μίσυος ὠμῆς ἀνὰ ∠. η. λεπτοκοπήσας. καὶ μέλιτι φυράσας, ὄπτα καθὼς προείρηται. ἔπειτα σβέσας οἴνῳ καὶ λεάνας, ἐπίβαλλε ναρδοστάχυος, ∠. β. κρόκου πεφρυγμένου, ∠. β. πεπέρεως, ∠. α. καὶ συλλεάνας χρῶ. Ἁπλᾶ δέ ἐστι ποιοῦντα πρὸς πτίλους. καὶ ἐπὶ τὰ βεβρωμένα βλέφαρα, ἀμόργη ἑψημένη. λύκιον ἰνδι-

κόν. ἁρμένιον ᾧ χρῶνται οἱ ζωγράφοι. σὺν ὕδατι γὰρ ἐγχριόμενον ἐκκόπτει πᾶσαν τὴν κακοχυμίαν. καὶ αὔξει τὰς κατὰ φύσιν τρίχας. Ἰὸς σιδήρου ὠφελεῖ πολλὰς ἡμέρας ἐν ἡλίῳ λειωθεὶς μετ' οἴνου καὶ σμύρνης. καὶ ἀναπλασθεὶς εἰς κολλύριον ὕστερον ἀναληφθὲν κρομμύου χυλῷ.

Περὶ ἀποστήματος ἐν ὀφθαλμοῖς. Δημοσθένους. πα.

Τὰ δὲ ἐπὶ τῶν βλεφάρων ἀποστήματα θεραπευτέον. τὰ μὲν ἐντὸς, ἀποκορυφοῦντα ἀποτομίᾳ καὶ ἐκθλίψει τοῦ ὑγροῦ. εἶτα ἐγχυματίζειν ἅλμη. καὶ ἄνωθεν ἐπιτιθέντα ἔριον ὠοβρεχὲς ἐπιδεῖν. τῇ δὲ ἑξῆς ἀποπυριᾶν. καὶ μέλιτι ὑπαλείφειν. καὶ τοῦ λοιποῦ τῷ σαλτικῷ κολλυρίῳ ἐγχυματίζειν. τὰ δὲ ἔξωθεν μετὰ τὴν διαίρεσιν καὶ τὴν τοῦ ὑγροῦ κένωσιν ξύσματα ἐπιτιθέντα διὰ μέλιτος. καὶ ἔριον ἐπιδεῖν. ὅσα δὲ τῶν ἀποστημάτων τὸν χόνδρον ἐλίπανε τοῦ βλεφάρου, εἰ μὲν ἔξωθεν γίγνοιτο, δυνατὸν δεῖ ᾠῷ καὶ μέλιτι καθαίροντας, σαρκοῦν τῷ κεφαλικῷ ξηρῷ. εἰ δὲ ἐντὸς εἴη, ἐκστρέφοντες τὸ βλέφαρον. καὶ τὸ ἐψιλωμένον μέρος τοῦ χόνδρου περιξύσαντες χαλκῷ λειοτάτῳ, προσσάπτεσθαι. καὶ ἄνωθεν τοῦ βλεφάρου ᾠὸν σὺν οἴνῳ καὶ ῥοδίνῳ ἀνακόψαντες, ἐπιθήσομεν. τῇ δ' ἑξῆς πυριάσαντες χαλκῷ λειοτάτῳ προσσάπτεσθαι. καὶ ἄνωθεν τοῦ βλεφάρου ᾠόν. τῇ δὲ τρίτῃ τῷ μέλιτι ὑποχρίειν δεῖ τὸ βλέφαρον. καὶ μετὰ ταῦτα τῷ σαλτικῷ κολλυρίῳ χρῆσθαι.

Περὶ λιθιάσεως ἐν βλεφάροις. πβ.

Λιθίασιν ἐν βλεφάροις λέγουσιν, ὅταν ἐκστραφέντων τῶν βλεφάρων, πώροις ὅμοια περὶ αὐτὰ ὑπάρχῃ λευκὰ καὶ τραχέα. ἰόνθοις παρεμφερῆ. θεραπεύειν δὲ ἐκστρέφοντα τὰ βλέφαρα καὶ σμιλίῳ στενῷ κατὰ κορυφὴν διαιροῦντα τὸ δέρμα. ἔπειτα ἐκλύφειν κυαθίσκῳ μηλωτρίδος τὸν ἐκχόμενον ὄγκον. εἶτα χαλκῷ κεκαυμένῳ λείῳ προσεπτόμενον. καὶ ᾠὸν σὺν οἴνῳ καὶ ῥοδίνῳ ἀναλαβόντα, ἐρίῳ ἐπιτιθέναι καὶ ἐπιδεῖν. καὶ τῇ ἑξῆς πυριάσαντα, ὁμοίως θεραπεύειν. τῇ δὲ τρίτῃ μέλιτι ὑπαλείφειν. ἐπὶ δὲ τῶν ἔξωθεν τοῖς βλεφάροις ἐπιφυομένων πώρων, μετὰ τὸ διελεῖν καὶ ἐγγλύψαι σπληνίον, ἐπιτίθει τῆς τετραφαρμάκου.

Περὶ χαλαζίων. πγ.

Χαλαζιᾶν δὲ λέγουσι τὰ βλέφαρα, ὅταν ἐκστραφέντων αὐτῶν φαίνεταί τινα ὑπερέχοντα στρογγύλα διαφανῆ, ὅμοια χαλάζῃ. καὶ διαιρουμένων, ὑγρὸν κενοῦται ὅμοιον τῷ λευκῷ τοῦ ᾠοῦ. θεραπεύειν δὲ ἐκστρέφοντα τὰ βλέφαρα. καὶ διαιροῦντα σμιλίῳ. καὶ τὸ ὑγρὸν ἐκκρίνοντα, προστρίβειν τῷ ὑποκειμένῳ ξηρῷ. χαλκοῦ κεκαυμένου, ∠. β. λεπίδος, ∠. α. σανδαράκης, ∠. α. ἰοῦ. ἁλὸς ἀμμωνιακοῦ, ∠. γ. κρόκου, ∠. γ. σμύρνης ὀβολοὺς β. λείοις χρῶ. γίγνεται δὲ ἐνίοτε καὶ ἔξωθεν τῶν βλεφάρων χαλάζια ὑπόσκληρα. κυάμοις ὅμοια. τούτων εἴ τις βιαιότερον ἅπτοιτο. ἀλγηδόνας συντόνους ἐπιφέρει. ποτὲ δὲ καὶ ἔκλυσιν. θεραπευτέον δὲ αὐτὰ, διαιροῦντα τὸ δέρμα κατὰ κορυφήν. καὶ μηλωτρίδος κυαθίσκῳ ἐκλύφοντα. ῥᾳδίως δὲ ὑγιάζεται, μέλιτι καὶ ξυσμάτων ἐπιθέσει. καὶ πυριάσει. εἰ δὲ φαρμάκοις βούλει θεραπεύειν τὰ χαλάζια. τούτοις χρῶ. συκῆς ἀγρίας ὀλύνθους ἑψήσας, κατάπλασσε. ἢ τὰ τῆς συκῆς φύλλα. Ἄλλο ἐπίχρισμα κάλλιστον. Γύρεως σιτίνης, Γο. γ. θείου ἀπύρου, Γο. α. ὕδατι συλλεάνας ἀνάπλασσε τροχίσκους. καὶ χρῶ. ποιεῖ καὶ τὰ πρὸς κριθὰς ἀναγεγραμμένα.

Περὶ κριθῆς ἤτοι ποσθίας. πδ.

Κριθὴν καλοῦσιν ἤτοι ποσθίαν, ὅταν ἐπὶ τῶν βλεφάρων πρὸς ταῖς βλεφαρίσιν ἔξωθεν μάλιστα ὑπόπυόν τι γένηται, τὸ σχῆμα κριθῇ ὅμοιον. θεραπεύεται δὲ ῥᾳδίως, πυρῆνι μήλης τεθερμασμένῳ πυριωμένη. καὶ κηρῷ λευκῷ θερμῷ πυριάζων, διαφορήσεις. ἢ μυίας τὴν κεφαλὴν ἀποβαλὼν τῷ λοιπῷ σώματι, παράτριβε τὴν κριθήν. ἢ χαλβάνην μαλάξας. καὶ νίτρον βραχὺ προσπλέκων, ἐπιτίθει, ἢ κηρῷ μεμαλαγμένῳ μέσον ὠμὸν βραχὺ συναναμαλάξας, ἐπιτίθει. ποιεῖ δὲ καὶ σῦκα ξηρὰ ἑψηθέντα μετ' οἰνομέλιτος. καὶ λειανθέντα σὺν ὀλίγῃ χαλβάνῃ. ἢ σαγαπηνὸν σὺν ὄξει λειάνας, κατάχριε. ποιεῖ καὶ πρὸς χαλάζια. πυριατέον δὲ τὸν τόπον, καὶ σπόγγῳ. καὶ ἄρτῳ θερμῷ. μετὰ δὲ τὴν ἔκκρισιν τοῦ ὑγροῦ μέλιτι χριστέον. εἶτα, τοῖς πρὸς τὰ ἕλκη κολλυρίοις.

Περὶ γαγγλίων. ἀθερωμάτων. στεατωμάτων. μελικηρίδων ἐν βλεφάροις. πε.

Γίνεται τισὶν ἔξωθεν τῶν βλεφάρων, καὶ ταῦτα τὰ πάθη. θεραπεύεται δὲ τὰ μὲν γάγγλια, κηρωταῖς καὶ μαλάγμασι τοῖς ῥηθησομένοις πρὸς τὰ γάγγλια, καὶ ὕδατος θερμοῦ καταντλήσει. ὑδέρου γὰρ δεῖ συστροφὴ τὸ γάγγλιον. αἱ δὲ μελικηρίδες καὶ τὰ μικρὰ στεατώματα καὶ ἀθερώματα θεραπεύεται ποτὲ, καυστικοῦ φαρμάκου κατὰ κορυφῆς ἐπιθέσει, ἕως εἰς βάθος ἐσχαρωθῇ τὸ ἐπικείμενον δέρμα. εἶτα μετὰ τὴν ἔκπτωσιν τῆς ἐσχάρας. ἐκλυφομένου τῷ κυαθίσκῳ τῆς μηλωτρίδος, τοῦ χιτῶνος τοῦ περιέχοντος τὸ ὑγρόν. εἰ δὲ μὴ δύναται ἐξαιρεθῆναι ὁ χιτὼν, ἐκτήκειν αὐτὸν τῷ ὑποκειμένῳ σηπτῷ φαρμάκῳ. σανδαράκης, ∠. ϛ. ἀρσενικοῦ, ∠. α. λεπίδος χαλκοῦ, ∠. α. ἐλλεβόρου μέλανος, ∠. α. ἐλατηρίου, ∠. β. χάρτου κεκαυμένου ὥστε φρῶσαι χρῶ μετὰ ῥοδίνου. τὰ δὲ ὑπερμεγέθη, χειρουργίᾳ θεραπεύεται. ὥσπερ τὰ ἐν τῷ λοιπῷ σώματι ἐκβάσεως ἀφαιρούμενα, σὺν τῷ περιέχοντι τὸ ὑγρὸν χιτῶνι. εἶτα ῥαφῇ ἀγκτηριασθέντα τὰ χείλη τοῦ δέρματος θεραπευέσθω. ὡς ἐπὶ τῶν ἀναρραπτομένων. φυλακτέον δὲ μὴ πλατὺ ταινίδιον ἀφαιρεῖν τοῦ δέρματος ἐν τῇ χειρουργίᾳ.

ἵνα μὴ

ἵνα μὴ λαγόφθαλμοι γένωνται. Περὶ κιρσῶν ἐν βλεφάροις καὶ κακοήθων ἐπιφύσεων. οϛ.

Τὰ δὲ ἐπὶ τῶν βλεφάρων κιρσοὺς μὴ θεράπευε. εἰσὶ γὰρ κακοήθεις. μὴ δὲ μὴν τὰ ἐπιφυόμενα τοῖς βλεφάροις ὀχθώδη καὶ ἐπώδυνα. καὶ ἐπέρυθρα. καὶ ἐν ταῖς παραπτέσεσι τῶν δακτύλων εἰς ἑαυτὰ συνέχοντα. ἔστι γὰρ καὶ ταῦτα κακοήθη. καὶ ἀθεράπευτα. Περὶ αἰγίλωπος. Σευήρου. οζ.

Ὁ αἰγίλωψ, ἀποστημάτιον ἐστὶ, πλησίον τοῦ μεγάλου κανθοῦ γιγνόμενον. δυσίατον δέ ἐστι τὸ πάθος, διὰ τὴν τῶν σωμάτων λεπτότητα, λιπαινομένου τοῦ ὑποκειμένου ὀστοῦ. τῇ δὲ ἐγγύτητι τῆς θέσεως καὶ αὐτῷ τῷ ὀφθαλμῷ τὴν βλάβην ἐκπέμπει. ἐνίοτε διὰ τοῦ φυσικοῦ κατὰ τὸν κανθὸν, μικροῦ τρηματίου, ἀρχομένης τοίνυν τῆς φλεγμονῆς, εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν πειρατέον αὐτὴν ἀποκρούεσθαι. ἐπιχρίοντες μόνον αὐτὸν τὸν φλεγμαίνοντα τόπον, τῷ ἀντωνίνου κολλυρίῳ. ἢ τινὶ ἑτέρῳ τῶν σφόδρα ἀποκρουομένων. καὶ ναρκωτικῶν. εἴωθε γὰρ τὸ ἐπίχρισμα διασκορπίζειν τὸ συρρεῦσαν. εἰ δὲ ἐπιμένοι τὰ τῆς φλεγμονῆς, πειρατέον αὐτὴν θεραπεύειν ὁμοίως ταῖς ἄλλαις φλεγμοναῖς, τοῖς διαφορητικοῖς φαρμάκοις, ὅσα χωρὶς δήξεως ἐνεργεῖ. συμπάσχει τε γὰρ ὁ ὀφθαλμὸς ἐπὶ τοῖς δριμέσιν αὐτό τε τὸ πεπονθὸς μόριον αὔξεται φλεγμαῖνον. ἡμεῖς δὲ ἐπὶ τῶν μήπω μεταβληθεισῶν φλεγμονῶν, τῇ βαρβάρῳ. ἢ τῇ λεαίνῃ. ἢ τῇ ἀθηνᾷ. ἢ τῇ δι᾽ ἰτεῶν. ἢ τῇ δι᾽ ὀξελαίου ἐμπλάστρῳ χρώμενοι διαφοροῦμεν καὶ ὑποξηραίνομεν τὸ ἀπόστημα. Ἀσκληπιάδης δὲ φάρμακα πρὸς αἰγίλωπας, ἔγραψε τοιαῦτα. ἠλεκέβρας χυλοῦ. οἱ τινὲς ἀνδράχνην ἀγρίαν καλοῦσιν. ἢ μικρὸν ἀείζωον. στρύχνου χυλοῦ, ἀνὰ γο. ϛ. λιβάνου, ∠ η. χαλβάνης, γο. ϛ. μαστίχης, γο. γ. λεάνας τὸν λίβανον ἕψε. καὶ ὅταν διαλυθῇ, τὴν χαλβάνην προμεμαλαγμένην, ἐπίβαλε. τὴν γὰρ μαστίχην, παραυτίκα. Ἄλλο. λιβάνου, ∠ η. σμύρνης, ∠ η. λαδάνου ∠ α. κηροῦ ∠ η. στυπτηρίας σχιστῆς, ∠ δ. ἀφρονίτρου, ∠ δ. πιτύας λαγωοῦ, ∠ δ. κόπτε τὸ φάρμακον. καὶ μάλασσε τῷ ἰρίνου μύρου ὑποστάθμῃ. Εἰ δὲ νικηθέντων τῶν διαφορούντων φαρμάκων, πυοποιήσει ἡ φλεγμονὴ, διαιρεῖν χρὴ ὅτι τάχιστα. καὶ κενώσαντα τὸ ὑγρὸν, χρῆσθαι τοῖς ὑπογεγραμμένοις. βδελλίου. σμύρνης. λαδάνου. ἀφρονίτρου. κολοφωνίας, ἀνὰ ∠ δ. κηροῦ ∠ ι. ἰρίνου μύρου τὸ ἀρκοῦν. ἄλλοι, ἀντὶ τῆς κολοφωνίας, φύλλα ἐλαίας λεῖα, μετὰ ἀξουγγίου, καταπλάττε τὴν αἰγίλωπα. ῥύπος μασχαλῶν προβάτων, μετὰ ἀξουγγίου ὁμοίως. ἢ ἐλλεβόρου μέλανος ῥίζαν βρέξας ἐπιτίθει. ἢ περδίκιον βοτάνην, καταπλάσσε. ἢ ἄλευρον ὀρόβινον σὺν μέλιτι. σποδὸν ἀμπελίνων ξύλων, σὺν ὄξει φυράσας ἐπίθες. σταφίδα ἀγρίαν καὶ ἀμμωνιακὸν θυμίαμα, σὺν μέλιτι ἐπίθες, ἢ στυπτηρίαν σχιστὴν σὺν τερεβινθίνῃ ὡς σπλήνιον ἐπίθες. εἰ δὲ καὶ πρὸς τὸν κανθὸν ῥέψῃ, πρὸς δὲ τὴν ἐπιφάνειαν μηδόλως ὁρμήσει, τὸ τηνικαῦτα φλεβοτόμῳ. ἢ πτερυγοτόμῳ, τὸ μέσον σῶμα τοῦ κανθοῦ διελεῖν χρή. καὶ σάρκα χρηστὴν ἐκ τοῦ βάθους φύειν. εἶτα αὐτὴν τὴν φυομένην σάρκα ὑποξηραίνειν. τοῦτο δὲ γίγνεται, ἐὰν μηδόλως τὰ λιπαίνοντα τοῖς τόποις προσενέγκωμεν. ὅθεν δὴ ἐπὶ τῆς ἀρχῆς μετὰ τὴν ἀναστόμωσιν, φακῇ ἑφθῇ. ἢ σιδίοις μετὰ μέλιτος χρῆσθαι. ἀνακαθαρθέντος δὲ τοῦ τόπου. καὶ φυομένης ἤδη τῆς σαρκὸς ὕελλον λειώσαντες χνοωδέστατα, ἐπιπάττομεν ξηρόν. καὶ τούτῳ προσμένομεν, ἕως παντελοῦς ἀποθεραπείας. θαυμάσιον γάρ ἐστι τὸ βοήθημα. καὶ μετὰ τῆς ἐνεργείας οὐδὲ ἀνεξέταστόν ἐστι τῷ λόγῳ. καὶ ἡ σχιστὴ δὲ στυπτηρία λειοτάτη γενομένη. καὶ τερεβινθίνῃ ὀλίγῃ ἀναληφθεῖσα ὡς ἐμπλαστρώδης γενέσθαι, καθαίρει καὶ σαρκοῖ. καὶ ἐπουλοῖ ἀσφαλῶς. δεῖ δὲ καὶ τῇ κοιλότητι τοῦ ἕλκους, ἐνθεῖναι τοῦ φαρμάκου. καὶ ἔξωθεν σπλήνιον μικρὸν ἐξ αὐτοῦ ἐπιθεῖναι. ἡμεῖς μὲν οὖν ταύτῃ τῇ ἀγωγῇ χρησάμενοι ἑτέρου βοηθήματος ἐπὶ τῶν προσφάτων αἰγιλώπων, οὐκ ἐδεήθημεν. τὰ δὲ ὑπὸ τῶν ἀρχαίων γεγραμμένα πρὸς τὸ πάθος βοηθήματα ἐστὶ τοιαῦτα. αἰγίλωπα θεραπεύειν, ἐφ᾽ ὧν μὴ διὰ βάθους ἔφθαρται τὸ ὀστέον. ἀνθεμίδος φύλλα μασσηθέντα καὶ ἐπιτεθέντα. ἢ μαλάχης φύλλα μασσησάμενος μεθ᾽ ἁλῶν ἐπιτίθει. μετὰ δὲ τὸ ἀναστομῶσαι αὐτῇ τῇ μαλάχῃ λείᾳ χρῶ μέχρι ἀπουλώσεως. ἢ στρύχνου. καὶ μάλιστα ἁλικακάβου. ἢ μύρτα μασσησάμενος, ἐπιτίθει. ἢ οἰνάνθου. ἢ μυωτίδος φύλλου. ἢ αἰγίλωπος τοῦ ἐν τοῖς σίτοις χυλίσματι σὺν ἀλεύρῳ σιτανίῳ καταπλασσόμενον. ἀρνογλώσσου φύλλα μασσηθέντα καὶ ἐπιτεθέντα λιβανωτός. καὶ περιστερᾶς κόπρος διαμίγνυται καὶ ἐπιτίθεται. καὶ λιθοῦται. καὶ προσμένει, μέχρι ἀπουλώσεως. Ἄλλο. Πρόπολιν. τερεβινθίνην. καὶ λιβανωτὸν, ἴσα σπλήνιον ποιήσας, χρῶ. ποιεῖ καὶ τὸ δι᾽ ὀρόβων ξηρίον μετὰ μέλιτος. Χολὴν χοίρου ὑπὲρ καπνὸν ξηράνας λεῖον, ἐπιτίθει τῷ ἡλκωμένῳ αἰγίλωπι. Ἄλλο. Λιβανωτὸν λεάνας, ἀνάλαμβανε πίσσῃ ὑγρᾷ. καὶ ποιήσας ἐμπλάστριον ἐπιτίθει. τοὺς μὲν γὰρ ἀρχομένους, ἀφανεῖς ποιεῖ, τοὺς δὲ ἤδη ῥαγέντας, ὑγιάζει ἐντιθέμενον τῷ ἕλκει καὶ ἄνωθεν ἐπιπλασσόμενον. Πρὸς αἰγίλωπας πεπειραμένον. καὶ πρὸς χοιράδας. Κρίνου ῥίζαν ξηρὰν, λειώσας ὡς ἐμπλαστρῶδες γενέσθαι, οὕτω γὰρ γίνεται λειουμένη καὶ ἐπιτιθεμένη αὐτῷ, ῥήσσει αὐτὸ καὶ ἀνακαθαίρει αὐτὸ ἀπουλοῖ ἕως τέλους. Περὶ καύσεως αἰγίλωπος. οη.

Ἐφ᾽ ὧν δὲ χρονίζον τὸ πάθος, ἐλίπανε τὸ ὀστέον. ἢ πρὸς τὸν κανθὸν ἐσυριγγώθη. ἀπουλωθείσης τῆς ἐπιφανείας, ζίτωνον τὴν ἀφαίρεσιν τῆς ἐπικειμένης σαρκὸς ποιησάμενοι, τὸ στενὸν μέρος τῆς διαιρέσεως πρὸς τὸν κανθὸν ἁρμόσαντες, εἶτα, σπόγγιον ἐπιθέντες τῷ ὀφθαλμῷ, καυτήρια πεπυρωμένα ἐπιτί-

θεμεν τῇ διαιρέσει μέχρις ὀστέου εἰς λεπίδος ἀπόστασιν ἐπικαίοντες. καὶ τὰ πλάγια μόρια ἐν τῇ κοι
λότητι τοῦ ἕλκους. καὶ μάλιστα τὰ ἄνω, καταγνώσῃ γάρ σοι μετὰ τὴν προσαγωγὴν τοῦ πρώτου καυ
τῆρος, φανήσεται τρημάτιον λεπτότατον ἄνωθεν ἐκ τῶν πλαγίων παραπέμπον τῷ ἕλκει τὸ ὑγρὸν,
ὥσπερ δάκρυον. ὅθεν χρὴ τὸ καυτήριον κατὰ τρηματίου ἐρείδειν ἰσχυρῶς. αὐτάρκους δὲ τῆς καύ-
σεως γεγενημένης, τῇ φακῇ ἑφθῇ σὺν τῷ μέλιτι χρώμεθα. ἐκπεσούσης δὲ τῆς ἐσχάρας καὶ καθαρ
θέντος ποσῶς τοῦ ἕλκους, συμπίλιον αἰγείαν λειώσαντες καὶ ἀναλαβόντες ὑγρᾷ τερεβινθίνῃ ὀλίγῃ
ὡς ἐμπλαστρώδες γενέσθαι, ἐντίθεμεν τῇ κοιλότητι τοῦ ἕλκους. καὶ σπλήνιον ἐξ αὐτοῦ ποιήσαντες,
ἐπιτίθεμεν τῇ κοιλότητι τοῦ ἕλκους. τάχιστα γὰρ ἀνακαθαίρει. σαρκοῖ. καὶ ἐπουλοῖ. καλῶς πάνυ σαρ-
κοῖ καὶ ὕελλος λειοτάτη ἐπιπασσομένη, χρῶ. πεπείραται.

Περὶ ἀγχίλωπος. πθ.

Περὶ τὸν προρρηθέντα τόπον ἔνθα ὁ αἰγίλωψ γίγνεται, συνίσταται ἀργὸν ὑγρὸν μελιτῶδες. ἢ ἀθε-
10 ρῶδες. περιεχόμενον ὡς τὸ πολὺ χιτῶνι, ἀνώδυνον. κατὰ βραχὺ τὴν αὔξησιν λαμβάνον, θεραπεύε
ται δὲ χειρουργίᾳ ὥσπερ καὶ τὰ λοιπὰ περὶ τὸ ἄλλο σῶμα ἀθερώματα. διαιρουμένης τῆς ἐπιφα-
νείας καὶ ἀποδερομένου. καὶ κομιζομένου τοῦ περιέχοντος τὸ ὑγρὸν χιτῶνος, ἐκβάσεως. μετὰ
δὲ τὴν αὐτοῦ ἀναίρεσιν, πρὸς τὴν ἀσφαλῆ θεραπείαν. ἵνα μὴ πάλιν γενεσία τοῦ πάθους γένηται, καυ
τηρίοις πεπυρακτωμένοις ἐσχαροῦμεν τὸν τόπον. κἄπειτα θεραπεύομεν τῇ φακῇ μετὰ τοῦ μέλιτος.
ἀποπεσούσης δὲ τῆς ἐσχάρας, χρώμεθα ὡς προείρηται τῇ συμπιλίᾳ μετὰ τῆς τερεβινθίνης μέ-
χρις ἀπουλώσεως.

Περὶ ῥοιάδων ὀφθαλμῶν. ϙ.

Ῥοιάδες ὀφθαλμοὶ λέγονται, ὅταν ἐξελκώσεως ἢ περιβρυγίου ἀφαιρέσεως. ἢ ἐγκανθίδος ἐκβάσεως ὁ
κανθὸς ὅλος ἀρθῇ. καὶ στέγειν μὴ δύνηται τὸ ἐπιφερόμενον δάκρυον. ἀλλὰ κατὰ τῶν μήλων ῥέῃ.
20 συμβαίνει δὲ τοῦτο ἐνίοτε καὶ ἐπὶ τῶν κακῶς θεραπευομένων αἰγιλώπων. λέγονται δὲ ῥοιάδες, καὶ
διὰ τοὺς συνεχεῖς ῥευματισμοὺς τῶν ὀφθαλμῶν δακρυρροοῦντες ἀεί. θεραπευτέον δὲ τοὺς τὸν καν
θὸν ἐκ βάθους ἀφαιρεθέντας, παραπτομένους φαρμάκῳ δυναμένῳ πυκνοῦν τοὺς τόπους. καὶ στε-
ρεοῦν οἷόν ἐστι τὸ τέφρον λεγόμενον. εἰ δὲ τύλος εἴη, προσβρεθίζειν δεῖ, διά τινος δριμυτέρου φαρμά-
κου. καὶ χειρουργίαις δὲ θεραπευτέον. περιθέντες γὰρ ἐκμαγεῖον τῷ τραχήλῳ. καὶ περισφίγξαντες,
σημειοῦνται τὸ περὶ τὴν ῥῖνα ἀγγεῖον. εἶτα διαιροῦσι τὸ ἀγγεῖον σμιλίῳ διπύρῳ. εἶτα σπόγγον τῷ ὀφθαλ
μῷ περιθέντες, ἐπερείδουσι καυτήριον τῷ τόπῳ. οὐκ ἄχρι ὀστέου. ἀλλὰ τὸ δέρμα καὶ τὴν διαίρεσιν
φλογίζοντες. ἔστω δὲ τὸ καυτήριον, τρίτωνον. μετὰ δὲ ταῦτα φακῷ μετὰ μέλιτος χρῶνται. κα-
θαρῶν δὲ γενομένων τῶν ἑλκῶν, ἐν διαστολῇ τηροῦσι τὸν ὀφθαλμὸν, ἕως σαρκὶ καθαρᾷ ἀναπληρω-
θῇ ὁ κανθός. ἵνα μὴ σύμφυσις γένηται. καλῶς δὲ ποιεῖ καὶ ἐπ' αὐτῶν ἡ συμπιλία μετὰ τερεβινθί-
30 νης. τοὺς δὲ ὑπὸ χρονίους ὀφθαλμίας δακρύοντας ἢ ὑγραινομένους ὀφθαλμοὺς θεραπεύειν. πρὸ μὲν
πάντων, ὑδροποσίᾳ. καὶ ὀλιγοσιτίᾳ ἐνέχοντας. καὶ γυμνασίοις καὶ περιπάτοις. τρίψει τε κεφαλῆς
καὶ ξυρήσει. καὶ ψυχροῦ καταχύσει. διαίτῃ τε εὐχυμοτάτῃ. καὶ παχυνούσῃ χρῆσθαι. ὑπαλείφειν
δὲ τοὺς ὀφθαλμοὺς τοῖς μᾶλλον ἐμπλάσσουσι καὶ ψύχουσι. καὶ στύφουσι φαρμάκοις. μετὰ δὲ τὴν ἐγ-
χείρησιν, καὶ ψυχρῷ καὶ ὀξυκράτῳ προσκλύζεσθαι τοὺς ὀφθαλμούς. κάλλιστον δὲ φάρμακον πρὸς
τούτοις πεπείραται τοῦτο. ἀρνογλώσσου φύλλα. χυλιάσας καὶ διηθήσας. καὶ βαλὼν ἐν ὀστρακίνῳ
καινῷ ἀγγείῳ, τίθει ἐν ἡλίῳ. σκεπάσας ῥάκει ὑψηλῷ καθαρῷ κινῶν καθ' ἑκάστην. ξηρανθέντα δὲ
λεάνας, ἀπόθου. καὶ χρῶ ἀντὶ ξηροῦ κολλυρίου. στίμμι πρὸς τοὺς ῥοιαδικοὺς τὸ ἀλεξάνδρου βασιλέως
πάνυ καλόν. ποιεῖ καὶ ἐπὶ τῶν πτιλῶν βλεφάρων. τῆς ἀμπελίτιδος. κρόκου. νάρδου κελτικῆς,
κόψας, φύρα τῷ μέλιτι. καὶ βαλὼν ἐν χυτριδίῳ. καὶ πωμάσας πώματι τρῆμα ἔχοντι. καὶ χρίσας,
40 τίθει ἐπ' ἀνθράκων. καὶ μὴ ῥίπιζε. ὅταν δὲ μηκέτι ἀτμὸς ζοφώδης διὰ τῶν τρημάτων ἀναβαίνοι, ἆρον
ἐκ τοῦ πυρός. καὶ ἔα ψυγῆναι. ἔπειτα κόψας. σήσας. καὶ λεάνας χνοωδέστατα, χρῶ στιμμίζων.
Ἄλλο στίμμι ῥοιαδικόν. χαλκοῦ κεκαυμένου γο. α. S. στίμμεως, γο. α. S. κρόκου, γο. α. ναρδοστάχυος,
γο. α. φύλλα γο. δ. ῥόδων χλωρῶν, γο. α. S. τὰ λοιπὰ λειότατα ποιήσας. ἔπειτα λεάνας τὰ ῥόδα
κατ' ἰδίαν εὖ μάλα, ἔνωσον τὰ ξηρά. καὶ λεῖον ἕως ξηρανθῆναι χρῶ. Ἄλλο διὰ πολλῆς πείρας στίμ
μι. χαλκοῦ κεκαυμένου. στίμμεως, ἀνὰ γο. β. πεπέρεως κόκκοι, ιδ. καρεοφύλλου. γο. α. σπόγγων και-
νῶν, γο. γ. μέλιτος τὸ ἀρκοῦν. χαλκὸν κεκαυμένον. στίμμι κόψας φύρασον τῷ μέλιτι ἀρκοῦντι. εἶτα
ἀναλαβὼν αὐτὰ σπόγγῳ. καὶ βαλὼν ἐν χύτρᾳ. καὶ χρίσας, καῖε. καὶ λεάνας τὴν τέφραν, ἄχρι σβέ-
σθῇ, ἐπίβαλλε τὸ πέπερι καὶ τὸ καρεόφυλλον καὶ κοπέντα καὶ σηθέντα σὺν λεάνας πάλιν ἄχρι
βέσατα χρῶ.

Περὶ τῶν καιόντων τοὺς κροτάφους. ϙα.

Τινὲς βαρβαρικῷ νόμῳ δουλεύοντες ἐπὶ τῶν χρονιζόντων περὶ τοὺς ὀφθαλμοὺς ῥευμάτων, καίουσι
50 τοὺς κροτάφους, ἤτοι διὰ φαρμάκου. ἢ τῇ ἐντεριώνῃ τῶν καρυΐνων ξύλων. ὃ καλοῦσιν ὕσκας. τινὲς
δὲ καὶ σίδηρον ἐκπυρώσαντες, ποιοῦνται τὴν καῦσιν. ἐγὼ δὲ τοιαύτην διάθεσιν ἐθεασάμην ἐκ τῆς
τῶν κροτάφων καύσεως συστᾶσαν. ἀμέλει γὰρ οὗτοι χρησάμενοι τῷ φαρμάκῳ. καὶ ἕως διὰ βάθους
καύσαντες μετὰ τῶν ἀλλοτρίων ὑγρῶν, καὶ τὰ κατὰ φύσιν κατεδαπάνησαν. καὶ εἰς ἐσχάτην ξη-
ρότητα.

ρότητα περιέστησαν τὸν ὀφθαλμόν. καὶ ἔλαθον ἑαυτοὺς ἀνίατον κατασκευάσαντες νόσημα. τὸ γὰρ οὖν τὸ συμβαῖνον νόσημα, πρῶτον, ὀδύνη χαλεπὴ καὶ πύρωσις ἄμετρος. ὡς οὖν ἐπειρώμεθα διὰ τῶν κολλυρίων ἀμβλύνειν τὰς ὀδύνας, πλεῖον ἐπεφορτίζομεν τῷ πάσχοντι. τὸ γὰρ κολλύριον ὑγρὸν ἐπιχριόμενον τῷ ὀφθαλμῷ, διὰ ψάμμια τινὰ ἐγίνετο ὑπὸ τῆς ἀμέτρου θερμότητος φρυττόμενον. καὶ τοῦτο αὖθις βουληθέντες παρηγορῆσαι, καὶ αὐτὸ πάλιν διὰ τῆς θερμότητος παχυνόμενον. καὶ ὥσπερ τινὲς ὑμένες γιγνόμεναι, δυσχερῶς τοὺς ὀφθαλμοὺς ἐχωρίζοντο. καὶ γάλακτι ἐχρησάμεθα. καὶ αὐτὸ ὁμοίως ἐπαχύνετο. καὶ συντόμως φάναι ὥσπερ ὑπὸ πυρὸς τὰ ὑγρὰ συνεστρέφετο. πολλὰ οὖν καμόντες, τῷ χυλῷ τῆς τήλεως ἐγχυματίζοντες, μετρίως παρηγορήσαμεν. καὶ τοῦτο γὰρ ἐκωλύετο ὑπὸ τῆς νόσου. ὕστερον δὲ τῷ λόγῳ ποδηγούμενοι, ἐπὶ τὴν τοῦ ῥοδίνου χρῆσιν ἤλθομεν. 10 χλιαίνοντες δὲ τοῦτο καὶ ἐγχυματίζοντες, ὥστε καὶ τὸν κάμνοντα μετὰ τὴν ἡμῶν ἀπουσίαν αὐτῷ μόνῳ κεχρημένον, κουφίζεσθαι τῶν συμπτωμάτων. καὶ εἰς πολλὰ δὲ ἡμῖν ἄλλα χρήσιμον ὤφθη τὸ ῥόδινον ἐπὶ τῶν ὀφθαλμῶν. εἰ γὰρ ἐκ φύσεως ξηρότης προσγένηται, ὡς δυσκίνητον. καὶ ὅλως ἀδάκρυτον τὸν ὀφθαλμὸν εἶναι. καὶ τούτοις χρήσιμόν ἐστιν ἀντὶ κολλυρίου ὑπαλειφόμενον.

Περὶ ἀρτηριοτομίας Σευήρου. ϟβ.

Τῶν περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον χειρουργιῶν, εἷς μὲν ἐστὶ γενικώτατος σκοπός, τὸ τῆς ῥευματικῆς ἀπαλλάξαι διαθέσεως. ἰδικωτέρας δὲ τινὰς καὶ οἱονεὶ μερικωτέρας ποιούμεθα τὰς ἐγχειρήσεις, διὰ τὴν δύναμιν. διὰ τὰ συμπτώματα. διὰ τοὺς τόπους. διὰ τὴν ποιὰν τῶν ῥευμάτων ὕλην. Τῶν μὲν οὖν ἀρτηριῶν, γένος ἕν. διαφέροντες δὲ οἱ τόποι. νῦν δὲ περὶ τῶν ὀπισθίων ποιούμεθα τὴν ἐξέτασιν. αὗται γὰρ ὥσπερ ἀρχαί τινες τῶν περὶ τὴν ἐπιφάνειαν τῆς κεφαλῆς εἰσί. προσήκει οὖν 20 ἐπὶ τῶν περιωδυνιῶν τε καὶ σφακέλων. σταφυλωμάτων τε καὶ προπτώσεων, τὰς ἐν τοῖς ὀπισθίοις μέρεσι τῆς κεφαλῆς, τέμνειν ἀρτηρίας. παρ' αὐτὰ γὰρ τῆς ὠφελείας αἰσθάνονται οἱ κάμνοντες. προξυρητέον δὲ τοὺς τόπους. καὶ οὕτως ἀκριβῶς σημειωτέον τῇ ἁφῇ τὸν σφυγμόν. καὶ μεταξὺ ἀπὸ τῶν ὤτων ὡς τρεῖς δακτύλους τὸ διάστημα. ἐπὶ τὸ λεγόμενον ὀπισθοκράνιον. διαιρεῖν δὲ προσήκει, μὴ πλαγίως. ἀλλ' ἐγκαρσίως, μέχρις ὀστέου. καὶ ξέειν τὸν περικράνιον ὑμένα ἀκριβέστατα. ἀναχωρεῖν δὲ τὴν ἔκκρισιν τοῦ αἵματος μέχρι λειποθυμίας, ἐφ' ὧν ἡ δύναμις ἰσχυρά. καὶ ἡ ὀδύνη σφοδρά. οὕτω γὰρ κοιμήσεις τὸ σύμπτωμα. εἶτα σφηνίσκον ἰσόμετρον ἐντίθεμεν. καὶ πλατὰ ὀθόνια πλεῖστα ἐπιθέντες τῷ σφηνίσκῳ, πτύγματι χρώμεθα μοτῷ φύλακι ὀξυκράτῳ βεβρεγμένῳ. εἶτα ἐπιδέσμῳ χρώμεθα ἱκανῶς σφίγγοντες καὶ περὶ τὸ μέτωπον φέροντες ἀμφοτέρας τὰς ἀρχὰς καὶ δεσμοῦντες. τῇ δὲ ἑξῆς ἐπιβρέχομεν οἰνελαίῳ τὸν ἐπίδεσμον οὐ λύοντες. τῇ δὲ τρίτῃ ἐπιλύσαν- 30 τες καὶ ἀποντλήσαντες μετρίως τοὺς μώλωπας, ἀποξέομεν τοῦ ὀστέου τῷ κοπαρίῳ. καὶ μετὰ ταῦτα τῇ ξύσει τοῦ ὀστέου χρώμεθα. καὶ τοῦτο ποιοῦμεν ἕως τεσσάρων καὶ πέντε ἡμερῶν. ἄχρις αἱμάξει τὸ ὀστέον. τοῦτο γὰρ σημεῖόν ἐστιν αὐτάρκους ξέσεως. ἐμμότοις δὲ χρηστέον ἐπὶ τούτων, τοῖς διὰ κιστήρεως καὶ κηρελαίου. καὶ μετὰ τοῦτο τῷ κεφαλικῷ λεγομένῳ. δι' ὀρόβων ξηρίῳ χρηστέον. καὶ τὸ ὑφ' ἡμῶν δὲ σκευαζόμενον μονογενῶς ἐπὶ τούτων ποιεῖ. παρ' αὐτὰ γὰρ τῆς ξέσεως ἐπιτεθὲν, τὴν σάρκα προσήγαγε. λαμβάνει δὲ ἀλεύρου πυρίνου λεπτοτάτου μέρη δύο. κολοφωνίας ὑγροτάτης μέρος α. ἐπιπάσσονται δὲ τὸ ξηρίον, σκέπειν μοτοῖς καὶ σπληνίῳ μοτοφύλακι. χρηστέον τινὶ τῶν διὰ ψιμμυθίου, συνεργεῖ γὰρ καὶ τῇ ἀπουλώσει.

Περὶ τοῦ περισκυφισμοῦ. ϟγ.

Καὶ τὸν περισκυφισμὸν δὲ παραλαμβάνομεν, ἐφ' ὧν χρόνιον καὶ λεπτὸν τὸ ῥεῦμα τῶν ὀφθαλμῶν τυγχάνει. καὶ πολλὰ τὰ ῥευματίζοντα ἀγγεῖα. δεῖ οὖν ξυρήσαντας τοὺς τόπους, σημειοῦσθαι, ὡς μὴ 40 κατὰ τῆς στεφανιαίας ῥαφῆς, ἢ τῶν κροταφιτῶν μυῶν δοθῆναι τὴν τομήν. ἐμβάλλειν δὲ τὴν διαίρεσιν ὀλίγον ἀνωτέρω τοῦ μετώπου. ἐγκαρσίαν ἀρχόμενοι ἀπὸ κροτάφου ἐπὶ κρόταφον. συνδιαιρουμένου καὶ τοῦ περικρανίου ὑμένος. καὶ ξεομένου ἀκριβῶς. εἶτα σφηνίσκους τῇ τομῇ ἐντιθέντες, διαμοτοῦμεν. καὶ τὰ ἀκόλουθα ποιοῦμεν, ὡς ἐπὶ τῆς ἀρτηριοτομίας προείρηται. δοκιμαζομένης τῆς ἀπὸ τοῦ οἰνελαίου ἐμβροχῆς. ἀπὸ δὲ τῆς τρίτης, θεραπεία πυοποιός. ἔπειτα ἡ ἀναξηραίνειν ἐπαγγελλομένη. εἰ μὲν οὖν ἀπὸ τοῦ βρέγματος μόνου ῥευματίζοιεν οἱ ὀφθαλμοί, ἀρκούμεθα τῇ προειρημένῃ διαιρέσει. εἰ δὲ καὶ τοῖς ἄνωθεν ἀγγείοις, καὶ ἐκ τῶν κροτάφων φέροιτο τὸ ῥεῦμα, μετὰ τὸ ἐμβαλεῖν τὴν εἰρημένην ἄνω διαίρεσιν, ἄλλας δύο παραληψόμεθα μηνοειδεῖς. μίαν καθ' ἑκάτερον μέρος. τὴν δὲ ἀρχὴν ἐχέτω ἥτε ἐκ δεξιῶν. καὶ ἡ ἐξ εὐωνύμων, ἀπὸ τῶν ἀρχῶν τῆς δοθείσης ἄνω ἐγκαρσίας διαιρέσεως. καταφερόμεναι δὲ ἄνωθεν ἐπὶ τοὺς κροτάφους, μέχρις ἡμίσους τοῦ μετώπου, 50 προελθέτωσαν μηνοειδῶς ἀπογραφεῖσαι περὶ τὰς ὀφρῦς ὡς μὴ ἀδικεῖν τοὺς κροταφίτας μῦς. ἔστω δὲ τὸ σχῆμα τῶν τριῶν διαιρέσεων, παραπλήσιον τῷ π γράμματι. τὰς κεραίας ἔχον σεσιμωμένας, εἰς τὰ ἐντὸς μέρη. τρόπῳ τοιούτῳ. Δεήσει δὲ κἀνταῦθα τοὺς σφηνίσκους ταῖς τομαῖς ἐντιθέναι, καὶ τὰ ἀκόλουθα πράττειν ὡς προείρηται. αἰθίοπες δὲ ἐκ γενετῆς τὸ μέτωπον περικόπτειν φασὶν, ὡς μὴ ῥευματίζεσθαι τοὺς ὀφθαλμούς.

Περὶ ὑποσπαθισμοῦ. ϟδ.

ὸν ὑποσπαθισμὸν παραλαμβάνουσι φεύγοντες τὴν ἀπρέπειαν, τῆς ἐπὶ τοῦ περισκυθισμοῦ γιγνομένης κατὰ κύκλον μεγίστης οὐλῆς. ἡ δὲ ἀποθεραπεία, ἀτελεστέρα ἐκείνης. ὅθεν δὴ μᾶλλον τῷ περισκυθισμῷ χρηστέον, τοῦ ἀναγκαιοτέρου φροντίδα ποιούμενοι.

Περὶ ἀγγειολογίας. ϟε΄.

Τὴν ἀγγειολογίαν δὲ παραλαμβάνομεν, ἐπὶ ἑνὸς ὀφθαλμοῦ παθόντος· καὶ ἐπὶ ῥευματικῶν καὶ ἐπὶ ἡμικρανίας. παραλαμβάνομεν δὲ τὴν ἀγγειολογίαν, ἐφ' ὧν κεκυρτωμένα καὶ προφανῆ τὰ κατὰ τὸ μέτωπον ἀγγεῖα τυγχάνει. σημειούμενοι δὲ μέλανι τὸ ἀγγεῖον, καθίζομεν ἄκροις τοῖς δακτύλοις ἀμφοτέρων τῶν χειρῶν τὸ δέρμα τοῦ μετώπου ἑκατέρωθεν τοῦ σημείου. καὶ δίδομεν ἐπιπολαίαν διαίρεσιν κατὰ τὸ σημεῖον κατ' εὐθὺ τοῦ ἀγγείου. καὶ αὖθις πάλιν ἐπιδιαιροῦμεν κατὰ βραχὺ τοὺς ὑποκειμένους τῷ δέρματι ὑμένας, ἄχρι γυμνὸν φανῇ τὸ ἀγγεῖον. καὶ οὕτως ἀγκίστρα δύο καταπείραντες τοῖς χείλεσι τῆς διαιρέσεως κουφίζομεν. καὶ ὑποξέοντες κατὰ βραχὺ τῷ σμιλίῳ, ἐλευθεροῦμεν τὸ ἀγγεῖον τῶν περικειμένων ὑμένων. καὶ ὑποβάλλοντες τυφλάγκιστρον, ἀναιροῦμεν ἐκ τοῦ βάθους τὸ ἀγγεῖον. καὶ οὕτως μετεωρήσαντες, βελόνην διπλοῦν λίνον ἔχουσαν. καὶ ἀφαιροῦντες τὴν βελόνην ἀφίεμεν τὸ λίνον. τὸ δ' αὐτὸ ποιοῦμεν κἀπὶ τοῦ ἄλλου πέρατος τοῦ ἀγγείου. καὶ μετὰ ταῦτα κεντοῦμεν τὸ ἀγγεῖον. συγχωροῦντες κένωσιν γενέσθαι. ἐκκριθέντος δὲ αὐτάρκους αἵματος, ἀποδήσαντες τὰ πέρατα ἀμφότερα τοῦ ἀγγείου τοῖς ἤδη ὑποβεβλημένοις λίνοις, τὸ μέσον αὐτοῦ ἐκτέμνομεν. καὶ οὕτως διαμοτώσαντες καὶ πτύγμα ἐξ ὕδατος ψυχροῦ ἐπιθέντες, ἐπιδέσμῳ χρώμεθα. τῇ δὲ δευτέρᾳ, οἰνελαίῳ ἐπιβρέχομεν. καὶ τῇ τρίτῃ ἐπιλύσαντες, σύμμετρόν τε ἀπαύτλησιν ποιούμενοι, διαμοτοῦμεν μελικράτῳ, ἕως ἀποπέσωσι τὰ λίνα. καὶ ἕως τελείας σαρκώσεως, τῷ αὐτῷ χρώμεθα. ἀγαθὸν γάρ ἐστι βοήθημα. τὴν δὲ ἀπούλωσιν ποιοῦμεν, διὰ τοῦ μηλίνου φαρμάκου. ἢ τῷ διὰ καδμείας. εἴωθα δέ φησιν ὁ Λεωνίδης, ἐπὶ μακροῦ τοῦ ῥεύματος ὄντος ἀπὸ μετώπου. ἔτι τε τῶν κροταφιτῶν μυῶν παρὰ τοῖς μικροῖς κανθοῖς τοῖς πλησιάζουσι τοῖς κροτάφοις ὑπεράνω τῶν περάτων τῶν ὀφρύων, ἐμβάλλειν ἐσχάρας διὰ καυτήρων πυρηνοειδῶν. παραφυλασσόμενος σφόδρα, μὴ ἅψασθαι τῶν κροταφιτῶν μυῶν. ἐπὶ δὲ τῶν ἀπὸ τοῦ βρέγματος ῥευμάτων, ἀποσφίγγων τὸν τράχηλον. καὶ σημειούμενος τὰ μᾶλλον κυρτούμενα ἀγγεῖα ἐν τῷ μετώπῳ. καὶ ταῦτα προξυρήσας τὰς τρίχας. Ἄλλο πάνυ δόκιμον πρὸς τὰ χρόνια ῥεύματα. Ἐχιδνῶν κεφαλὰς καύσας ἐν χύτρᾳ ἀκριβῶς καὶ λεάνας τὴν τέφραν μετὰ ἀφεψήματος θέρμων πικρῶν, ἐπίχριε τὸν κρόταφον. καὶ θαυμάσεις.

Περὶ τῶν κροταφιτῶν μυῶν καταπλασμάτων. καὶ ἀνακολλημάτων. καὶ ἐπιχρισμάτων. Σευήρου. ϟϛ΄.

Ἐπειδὴ ἡ χορηγία τῶν ῥευμάτων ἐπὶ τοὺς ὀφθαλμοὺς ἐκ τῶν ὑπερκειμένων τόπων γίγνεται, ἡμικρανίαι γὰρ καὶ σφάκελοι. καὶ ῥευματισμοὶ τῆς κεφαλῆς ἐπαύξουσι τὰς τῶν ὀφθαλμῶν ὀδύνας. ὅθεν καὶ τούτοις βραχέα βοηθήματα δέον ἀπονεῖμαι, χρηστέον τοίνυν παρακολλήμασι καὶ παραχρίστοις ὡς εἴρηται, ἐφ' ὧν ῥευματίζονται οἱ ὀφθαλμοί. καὶ ἐφ' ὧν τὰ περὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους ἀγγεῖα κυρτούμενα διατείνηται. εἰ γὰρ ἡ ἐπιφορὰ μὴ ἐκ τῶν περὶ τὸ μέτωπον καὶ τοὺς κροτάφους καὶ τὰ βλέφαρα ἀγγείων συμβαίνει, ἀλλ' ἐκ τῶν ἐν βάθει, τὰ παρακολλήματα. καὶ αἱ ἐπιχρίσεις βλάπτουσι μᾶλλον. ἔτι δὲ εἰ μὲν ἄνευ φλεγμονῆς οἱ ῥευματισμοὶ τῶν ὀφθαλμῶν γίγνονται, ἐπέχουσι τὰ παρακολλήματα. φλεγμονῆς δὲ γενομένης, προσδιατείνει μᾶλλον τῇ θλίψει ἐκ τῶν κύκλῳ τόπων ἐπὶ τοὺς φλεγμαίνοντας διωθούμενα τὰ ὑγρά. τὰ μὲν οὖν διὰ τῆς σεμιδάλεως καὶ ὠῶν, καὶ λιβάνου συντιθέμενα παρακολλήματα παραιτητέον. ξηραινόμενα γὰρ παρατείνει τὰ ἀγγεῖα. καὶ τοὺς ῥευματισμοὺς αὔξει. ὅσα δὲ μαλακὰ διαμένει, ἢ περίτασιν οὐκ ἐργάζεται. τῇ τε ψύξει, καὶ τῇ στύψει, στέλλει τὰ ἀγγεῖα, τούτοις χρηστέον. εἰ μὲν οὖν θερμὴ δυσκρασία τὸ βλάπτον ἐστί. κρόκου. ὀπίου. σμύρνης. λιβάνου. ἴσα λειώσαντες ὕδατι καὶ γλοιοῦ πάχος ποιοῦντες, ἐπιχρίομεν. καὶ παρ' αὐτὰ ὑπνοποιήσαντες, τῆς ὀδύνης ἀπαλλάττομεν. καὶ [illegible] στρατιῶται συλλειωθέντες μετὰ ἀλόης, τὸ αὐτὸ ποιοῦσι. καὶ πολύγονον δὲ σὺν μαστίχῃ λειωθὲν καὶ ἐπιχρισθὲν, παρηγορεῖ. καὶ ὁ τοῦ μανδραγόρου δὲ φλοιὸς σὺν λιβάνῳ, οὕτω θαυμαστῶς ποιεῖ. καὶ μαστίχη σὺν χυλῷ κράμβης ἀπλύτου λειωθεῖσα, ὑποξηραίνει θαυμαστῶς. καὶ ἡ τῶν χαλκέων αἰθάλη ἣν καλοῦσιν ἡφαίστιον, ἥτις ἠρέμα μετὰ ᾠοῦ φυραθεῖ. καὶ ἄσβεστος μετ' ᾠοῦ ἐπὶ τῶν ψυχρῶν δυσκρασιῶν. καὶ χελιδόνων κόπρος μετὰ μαστίχης, σὺν τῷ λευκῷ τοῦ ᾠοῦ.

Ὅλης τῆς κεφαλῆς ἐπίχρισμα. Σευήρου. ϟζ΄.

Ὅλην δὲ τὴν κεφαλὴν δυσκρασίᾳ θερμῇ καταληφθεῖσαν, ἀκακίαν σὺν οἴνῳ λειωθεῖσαν, χρίειν. παραιτεῖσθαι γὰρ χρὴ τὸ ὄξος ἐπὶ τῶν τοιούτων τῆς κεφαλῆς ἐπιχρισμάτων. ποιεῖ καὶ σαμία γῆ λειωθεῖσα μετ' ἀρνογλώσσου χυλοῦ. ἢ στρύχνου. ψυχροτέρας δὲ τῆς αἰτίας ὑπαρχούσης, ὥστε σαφῶς τὸν πάσχοντα τῆς ψύξεως αἰσθάνεσθαι κατὰ τὴν κεφαλήν. καὶ τὸ καταφερόμενον δάκρυον ψυχρὸν, τὰ ἐναντία τῇ θερμῇ διαθέσει βοηθήματα προσακτέον. κάρδαμον γὰρ ἅμα ᾠῷ λειώσαντες ὠφελήσαμεν ἱκανῶς. καὶ τὸ τοῦ εὐζώμου σπέρμα λειώσαντες, σὺν ὄξει, τὸ αὐτὸ πεποιήκαμεν. καὶ θαψία δὲ σὺν νάπυϊ ὄξει λειωθεῖσα, μεγάλως ὠφελεῖ. καὶ οἱ λιβυκοὶ κοχλίαι σὺν λιβανωτῷ ἅμα ὄξει λειωθέντες, πολλὴν φορὰν ῥεύματος ἀνέκοψαν. καὶ ἡ τῶν χελιδόνων νοσσιὰ σὺν τῇ εὑρισκομένῃ ἐν

αὐτῇ κόπρῳ σὺν ὄξει φυραθεῖσα, τὰς χαλεπὰς ἡμικρανικὰς ὀδύνας ἰάσατο. καὶ τὸ εὐφόρβιον σὺν ὄξει λειωθέν. χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις σμήγμασι. καὶ πάσμασιν ἐπὶ τῶν χρονίως κεφαλαλγούντων.

Καταπλάσματα ὀφθαλμιώντων. Διοσκουρίδου. λη΄.

Καταπλασσόμενα δὲ, πραΰνει φλεγμονὰς ὀφθαλμῶν· βάτου φύλλα. ἢ ἀλσίνης. ἢ τριβόλου χλωροῦ. ἢ ἀνδράχνης. ἢ ἀειζώου. ἢ πολυγόνου. ἢ σέρεως. ἢ κορίου. ἢ κυπαρίσσου. ἢ ὑοσκυάμου φύλλα λεῖα. ἢ κολοκύντης ξύσματα. ἢ πέπονος σὰρξ. ἢ κωδύων ἀφέψημα προσεντλούμενον. καὶ αὗται αἱ κωδύαι ἑφθαὶ λεῖαι καταπλασσόμεναι. χρήσιμος δὲ καὶ ἄρτος ὕδατι διάβροχος λεῖος σὺν ῥοδίνῳ ὀλίγῳ ἐπιτιθέμενος. καὶ ᾠὸν σὺν ῥοδίνῳ καὶ οἴνῳ ἀνακοπὲν, καὶ πτύγματι ἐρίου ἀναληφθέν. καὶ ἐπιτιθέμενον. ἢ ᾠῶν ὀπτῶν. ἢ ἑφθῶν λεκύθους. μετὰ κρόκου ὀλίγου καὶ ὀπίου ὅσον φασήλου μέγεθος μετὰ ἑψήματος λειώσας, ἐπιτίθει. Ἄλλο Ἀσκληπιάδου πρὸς τὰς μεγίστας ἐπιφορὰς καὶ περιωδυνίας· ῥόδων ξηρῶν, ∠ α΄. ὀπίου, ∠ α΄. κρόκου, ∠ α΄. ἀναλάμβανε τροχίσκους διὰ γλυκέως. ἐν ᾧ μελίλωτα ἕψηται. καὶ ἐπὶ τῆς χρείας λειώσας ἐξ αὐτῶν μετὰ γλυκέος. καὶ ἄρτῳ συμμίξας, καταπλάττε. Ἄλλο πρὸς τὰς μεγίστας ὀδύνας καὶ ἀγρυπνίας. ψυλλίου σπέρμα βαλὼν ὕδατι ζέοντι, ἔα βραχύ. καὶ ὅταν διαλυθῇ, ἀνατάραξον ὡς ἐμπλαστρῶδες γενέσθαι. καὶ κατάπλασσε τὸν ὀφθαλμόν. ὕπνον γὰρ ποιεῖ ἡδύν. Ἄλλο Δημοσθένους πρὸς τὰς ὀδύνας καὶ προπτώσεις, ἐξόχως ποιοῦν. Κωδύας μήκωνος ἑψήσας ἐν ὑδρομέλιτι, αὐτὰς μὲν ἐκθλίψας ῥῖπτε. τὸ δὲ ὑδρομέλιτι πυρίνην ἢ κριθίνην γυρίνην μιγνὺς, κατάπλασσε. ὀλίγον ῥόδινον ἐπιβαλών. ἢ πάλιν ἀλφίτου ἀντὶ τῆς γύρεως. ἢ ἄρτον καθαρόν. τὰ δὲ καταπλάσματα, πάντως καταλαμβανέτω τὸν κρόταφον. καὶ τὴν ὀφρὺν σὺν τῷ μετώπῳ. μόνον δὲ τὸ ἄνω βλέφαρον καταπλάττομεν, οὐ παραθλίβοντες τὸ κάτω εἰς τὸ δύνασθαι παρανοιγόμενον τὸν ὀφθαλμὸν, ἐκκρίνειν τὸ ἐπιφερόμενον δάκρυον. συνεχῶς δὲ ἀλλασσέσθω. καὶ μάλιστα θέρους. ἵνα μὴ ἐκπυρούμενα παροξύνῃ. τῇ δὲ ἁφῇ, ἄκρα χλιαρὰ προστιθέσθω. χειμῶνος δὲ, προσηνῶς θερμά.

Ἐπιχρίσματα ὀφθαλμῶν. λθ΄.

Τὰ δὲ βλέφαρα ἔξωθεν περιχρίειν δεῖ ἐν ταῖς περιωδυνίαις. μάλιστα μὲν τῷ Νείλου διαρρόδῳ. ἢ τινὶ τῶν διὰ κρόκου ἀνωδύνων κολλυρίων ἢ κρόκῳ λείῳ μετὰ μηκωνίου βραχέος σὺν γάλακτι. ἢ ὑοσκυάμου χυλίσματι. Ἄλλο περίχριστον πρὸς τὰς περιωδυνίας Ἀσκληπιάδου. Ἀλόης. λυκίου ἰνδικοῦ. ῥόδων χλωρῶν. κρόκου ὀπίου. σμύρνης. ἑκάστου τὸ ἴσον οἴνῳ λειώσας, ἀνάπλασσε τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως γλυκεῖ διαλύων. ἐπίχριε τοὺς ὀφθαλμοὺς καὶ τοὺς κροτάφους. Ἄλλο ἐπίχριστον ἀποκρουστικὸν κάλλιστον. Μηλέας φύλλων ξηρῶν κεκαυμένων καὶ σεσησμένων, λι΄ α΄. σμύρνης, Γο. β΄. γλαυκίου κόμμεως Γο. ϛ΄. ὕδωρ. Ἀσκληπιάδου ἐπίχριστον ἐκκινηρόν. παραχρῆμα ἐπέχον τὸ ῥεῦμα. ποιεῖ δὲ καὶ πρὸς ψωροφθαλμίας. χαλκοῦ κεκαυμένου, ∠ δ΄. κρόκου, ∠ δ΄. πεπέρεως ∠ β΄. ὀπίου, ∠ β΄. κόμμεως, ∠ δ΄. ὕδωρ. ἔξωθεν ἐπιχριόμενον, ἀνακόπτει μεγίστας ἐπιφοράς. φυλάττεσθαι δὲ χρὴ τὰς εἰς τὸν ὀφθαλμὸν παρεμπτώσεις τοῦ φαρμάκου. Ἄλλο τὸ φλόγινον ἐπιγραφόμενον. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ∠ ιβ΄. κρόκου, ∠ ϛ΄. πεπέρεως ∠ δ΄. σμύρνης, ∠ γ΄. ὀπίου, ∠ γ΄. κόμμεως, ∠ ιβ΄. οἴνῳ λείου παλαιῷ εὐώδει στύφοντι. Ἄλλο περίχριστον διὰ σάνδυκος. Πρὸς τὰς ψύξεις καὶ τὰς παραλύσεις τῶν βλεφάρων. οἷαι συμβαίνουσι καὶ ἐπὶ τῶν κωικῶν σπωμένων. ποιεῖ δὲ καὶ πρὸς ὀξυδορκίαν, περὶ βαλανείου περιχριόμενον. σάνδυκος ∠ ιδ΄. κροκομάγματος, ∠ ϛ΄. πεπέρεως, ∠ δ΄. κόμμεως, ∠ ϛ΄. ὕδωρ. ἔνιοι δὲ προσβάλλουσι καὶ ὀποβαλσάμου, ∠ δ΄. καὶ ἐγχρίουσι πρὸς ἀμβλυωπίαν.

Περὶ ξηροκολλυρίων Γαληνοῦ. μ΄.

Τῶν ξηρῶν φαρμάκων, ἔνια κωλύει συστῆναι τι πάθος ἐν ὀφθαλμοῖς, τὰς ἐπιρροὰς κωλύοντα δηλονότι τῶν ὑγρῶν, ἐξ ὧν εἰώθασιν οἱ ὀφθαλμοὶ κακοῦσθαι. κάλλιστον δὲ αὐτῶν ἐφάνη τῇ πείρᾳ κριθὲν, τὸ ὑπ' ἐμοῦ φησὶν ὁ Γαληνὸς συντεθέν. καὶ διὰ τοῦτο παρὰ πολλοῖς ὂν ἐν χρήσει, σχεδὸν ἐν ἅπασι τοῖς ἔθνεσιν ὧν ἄρχουσιν οἱ ῥωμαῖοι. καὶ πρῶτόν τε αὐτοῦ τὴν κατασκευὴν γράφω. βέλτιον ἡγούμενος εἶναι τὸ μηδόλως ἁλίσκεσθαι πάθεσι τοῦ, φθάσαντα παθεῖν θεραπεύεσθαι. χρησιμεύεται δὲ [illegible] καὶ ὑγιαίνουσιν ὀφθαλμοῖς, τὸ φάρμακον. καίεται δὲ λίθος φρύγιος καταθραυσθεὶς εἰς κυαμιαῖον μέγεθος. εἰς χυτρίδιον δὲ καινὸν αὐτὸν βαλόντες. εἶτα πηλώσαντες ἔξωθεν. καὶ ἐπιτιθέντες πῶμα τρῆμά τι ἔχοντι. καὶ χρίσαντες, τίθεμεν ἐπ' ἀνθράκων. ὅταν δὲ ὁ λίθος διάπυρος γένηται, τηνικαῦτα χρὴ τὸ χυτρίδιον μετακενῶσαι εἰς ἕτερον ἀγγεῖον καθαρόν. καὶ σβεννύειν βουτύρῳ προσφάτῳ. σβεσθέντος δὲ, πάλιν εἰς τὸ αὐτὸ χυτρίδιον ἐμβάλλοντες ἐπιτίθεμεν τοῖς ἄνθραξι, καὶ ῥιπίζομεν. πυρωθέντος δὲ τοῦ λίθου, ὅταν καθαρὸν θεασώμεθα τὸν ἀναφερόμενον ἀτμὸν, πάλιν ἐκκενώσαντες, σβέννυμεν οἴνῳ παλαιῷ κιῤῥῷ εὐώδει. εἶτα πάλιν ἐμβάλλοντες τὸν λίθον εἰς τὸ χυτρίδιον, ἐκ τρίτου καίομεν, καὶ σβέννυμεν αὖθις μέλιτι ἀττικῷ μὴ πολλῷ. ἔσχατον τὸ τῷ μέλιτι σβέννυται, ἵνα ἡ τοῦ μέλιτος ποιότης ἐμμένῃ τῷ λίθῳ. ἔστω δέ σοι προλελειωμένα πλείοσιν ἡμέραις ἀκριβῶς, ὡς

χρυσώδη γεγονέναι τὰ ὑπογεγραμμένα. Χαλκοῦ κεκαυμένου, ℥ α. πεπέρεως λευκοῦ, ℥ β.
φύλλου ℥ α. στίμμεως, ∠ ιβ. τούτοις μίγνυε τοῦ κεκαυμένου λίθου, καὶ κεκομμένου, καὶ σεσησμέ-
νου, καὶ λελειωμένου, λι. α. κἀπειδὰν ἅμα πάντα καλῶς ἑνωθῇ, καὶ μέλλῃ ἀφαιρεῖσθαι τὸ φάρ-
μακον, ἐπίβαλε ὀποβαλσάμου πρωτείου, ∠ ιβ. λεπτὸν δὲ καὶ διαφανὲς ἔστω κατὰ τὴν σύστασιν
τὸ ὀποβάλσαμον, μὴ παχύ. κωλύει γὰρ τὸ πάχος ξηρὸν γενέσθαι τὸ φάρμακον. χρῆσθαι δὲ αὐτῷ
δεῖ κατὰ τῶν βλεφάρων μόνων. ἐπιφέροντα τὴν μήλην χωρὶς τοῦ ἅψασθαι τῶν χιτώνων τοῦ
ὀφθαλμοῦ. κελεύειν δὲ ἀνεῳγμένα ἔχειν τὰ βλέφαρα τὸν ὑπαλειφόμενον ἄνθρωπον. τοῦτο μὲν
οὖν ἐπ' ἐμοῦ συνετέθη. οὐκ ἐπιτρέπον ὀφθαλμιάζειν τὸν καλῶς αὐτῷ χρώμενον. Στίμμι καλ-
λιβλέφαρον προφυλακτικὸν, νηπίοις μάλιστα χρήσιμον. στίμμεως, ∠ ιϛ. μολίβδου κεκαυμένου
10 καὶ πεπλυμένου, ∠ η. λεπίδος, ∠ α. κρόκου, ∠ α. ῥόδων ἄνθους. σμύρνης. ναρδοστάχυος. λιβά-
νου. πεπέρεως, ἀνὰ ∠ α. φοινίκων βαλάνων ὀστᾶ, ι. ἅπαντα βαλὼν εἰς ἀγγεῖον κεραμεοῦν, ὤπτα φι-
λοπόνως. ἔπειτα κόψας. λεάνας, ἐπίβαλε ὀποβαλσάμου λεπτοτέρου πρωτείου τῇ συστάσει, κο-
χλιάρια δύο. καὶ λεάνας. καὶ ξηράνας, χρῶ. Ἄλλο Σευήρου. ποιοῦν πρὸς εὐμορφίαν ὀφθαλ-
μῶν. καὶ βλεφάρων. Στίμμεως. ℥ γ. πορφύρας ἀληθινῆς κεκαυμένης, ℥ β. ναρδοστάχυος,
℥ α. χρῶ. Στίμμι καλλιβλέφαρον. στίμμεως ὡς κεκαυμένου. καὶ πεπλυμένου, ∠ η. ὀστέων
φοινίκων κεκαυμένων, ∠ η. χαλκάνθου ∠ β. νάρδου κελτικοῦ, ∠ β. χρῶ. πεπείραται
γάρ. Ἄλλο ποιοῦν πρὸς εὐπρέπειαν μετρίως ἀποξηραῖνον κανθοὺς ἠραιωμένους, καὶ διύ-
γρους. Κέρατος ἐλαφείου κεκαυμένου. πορφύρας κεκαυμένης, ἀνὰ ℥ γ. φύλλου σκύλμα-
τος, ℥ α. χρῶ. Στίμμι κάλλιστον πρὸς ῥεῦμα λεπτὸν, καὶ διαβεβρωμένους κανθούς. φέρει δὲ
20 τὸ τοιοῦτον καὶ τοὺς κατηθενηκότας ὀφθαλμούς. δεδοκιμασμένον ἐστὶ πολλῶν παθῶν. καὶ παρα-
δόξως ἀπαντῆσον ἐστὶ πάντων. παρέχει δὲ καὶ εὐπρέπειαν. στιμμιζόμενον γὰρ ἐστὶ χρόνον ἱκανὸν
ἐν τοῖς κανθοῖς παραμένοι. ἔχει δὲ οὕτως. πορφύρας σαρκὸς πεφρυγμένης, ∠ δ. ἀνεμώνης χυ-
λὸν, ∠ ϛ. καὶ στίμμεως κοπτοῦ τοῦ κεκαυμένου καὶ ἐσβεσμένου οἴνῳ, ∠ γ. ἀκτῆς χυλοῦ τοῦ καρ-
ποῦ, ∠ γ. ἀκακίας αἰγυπτίας, ∠ β. κειθῶν κεκαυμένων, ∠ β. κικίδων μελανῶν, ∠ β.
ἀκακίας, ∠ β. συκαμίνων τῶν ἐκ τῆς βάτου ξηρῶν κεκαυμένων, ∠ γ. κόστου κεκαυμένου, ∠ γ.
φύλλου κεκαυμένου, ∠ δ. λεῖον ἕκαστον ἰδίᾳ καὶ ἅμα ἀποτίθει ἐν ἀγγείῳ μολιβδίνῳ. καὶ χρῶ.

Ξηρὸν τοῦ Δανάου ὅπερ ὡς ἐπιθυμῶν ἐπράθη ἐν τῇ βασιλευούσῃ πόλει εἰς νομίσματα ρη. μετὰ
πολλοῦ καμάτου. ἔστι δὲ προφυλακτικὸν πάσης ὀφθαλμίας, στιμμιζομένων τῶν βλεφάρων.
Χαλκοῦ κεκαυμένου, ℥ α. ὄνυχας ἀρωματικοὺς κεκαυμένους μεγάλους, τρεῖς. πεπέρεως κόκκοι,
30 κζ. κειθῶν κεκαυμένων, κόκκοι, κζ. φοινίκων ὀστᾶ κεκαυμένα, θ. χαλκομυίας, κζ. φύλλου γράμ-
ματα, θ. δρακοντίου αἵματος [illegible] δ. τὸν χαλκὸν λάμβανε τὸν ξεόμενον ἀπὸ τῶν χαλκωμάτων καὶ βα-
λὼν εἰς ἀγγεῖον ὀστράκινον. καὶ στήσας ἐπ' ἀνθράκων καίε ἐπὶ ἡμέρας γ. καθ' ἑκάστην ἡμέραν τρίτον
σβεννύων αὐτὸν οὔρῳ παιδὸς ἀφθόρου. ὕστερον δὲ ὕδατι γλυκεῖ, τὰς δὲ χαλκομυίας λάμβανε ἐκ
τόπων. ἔνθα βόες διατρίβουσιν. εἰ δὲ μὴ, ἐκ τῶν νεκρῶν ζώων. Ἄλλο καλλιβλέφαρον. φάρ-
μακον ἐπιτετευγμένον ποιεῖ καὶ πρὸς κεχρονισμένας ὀφθαλμίας. Στίμμεως κεκαυμένης.
καὶ οἴνῳ ἐσβεσμένης, ∠ γ. μολίβδου κεκαυμένου καὶ πεπλυμένου, ∠ η. λιβάνου ἀθάλης. ναρ-
δοστάχυος. σμύρνης πεφρυγμένης. κρόκου πεφρυγμένου. λεπίδος χαλκοῦ, ἀνὰ ∠ α. λείοις χρῶ.
Ξηρὸν πρὸς θερμοτέρους κανθούς. καὶ ἐρυθαινομένους. καὶ δριμυττομένους. Σευήρου. Κρό-
κου, ∠ δ. καδμίας πεπλυμένης, ∠ β. ψιμμυθίου ∠ α. χρῶ. σεβηριανοῦ. Ψιμμυθίου, ℥
40 η. καδμίας, ℥ δ. ἁλῶν ἀμμωνιακῶν, ℥ β. πεπέρεως ℥ ϛ. φύλλων, ℥ δ. Ἄλλο καλλιβλέ-
φαρον ποιοῦν πρὸς ξηροφθαλμίαν. ἰᾶται δὲ καὶ πᾶσαν ὀφθαλμίαν μετὰ τὸ παρηγορῆσαι τὰς
ὀδύνας ἐγχριόμενον. Χαλκοῦ κεκαυμένου λειοτάτου, ℥ α. κεδρίας καθαρᾶς ℥ δ. λεάνας
τὸν χαλκὸν μετὰ τῆς κεδρίας ὡς γλοιῶδες γενέσθαι, βάλε εἰς κάλαμον. καὶ φιμώσας πήλωσον
ἔξωθεν ὅλον τὸν κάλαμον. καὶ κρύβε εἰς ἄνθρακα ἐν κλιβάνῳ. καὶ ἔα νυχθήμερον. καὶ ἐξελὼν, λεάνας
καὶ ἐπίβαλε τοῦ πηλαρίου κολλυρίου κδ. καὶ κρόκου, ∠ ϛ. καὶ φύλλου γραμμάρια β. καὶ χρῶ.

Ἄλλο ξηροκολλύριον δόκιμον αὐχμηραντικὸν ῥευμάτων πολλῶν. καὶ ὀξυωπίαν παρέχον. λε-
πτύνει δὲ καὶ τὰς οὐλὰς κάλλιστα. ἰοῦ ℥ α. καδμίας, ℥ α. χαλκίτεως, ℥ α. στίμμεως ℥ α. μέλιτος
σύμμετρον. λειότητα ποιήσας καὶ φυράσας τῷ μέλιτι, βαλὼν εἰς χύτραν. καὶ πωμάσας πώματι
τρῆμα τὰ ἔχοντι. καὶ χρίσας, καίε, ἄχρις ἂν λεπτὸς ἀτμὸς ἀνέλθῃ. ἔπειτα λαβὼν καὶ ἐκλεά-
50 νας, χρῶ. εἰ δὲ βούλει αὐτὸ μικρὸν ἀποδάκνειν, πρόσβαλε μετὰ τὴν καῦσιν, πεπέρεως κόκκους,
κε. Ἄλλο ξηρὸν πάνυ καλόν. Καδμίας ℥ β. μέλιτος, ℥ β. χαλκοῦ κεκαυμένου, ∠ δ.
ἁλὸς ἀμμωνιακοῦ, ∠ ϛ. πεπέρεως, ∠ δ. ναρδοστάχυος, ∠ β. τὴν καδμίαν λειοτάτην φυρά-
σας τῷ μέλιτι, καῦσον. καὶ σβέννυε οἴνῳ αὐστηρῷ. καὶ λεάνας, σὺν τοῖς λοιποῖς χρῶ. ἔστι δὲ ἀποθε-
ρευτικόν. ποιεῖ καὶ πρὸς τὰ τραχέα βλέφαρα. Ἄλλο ξηρὸν πρὸς τοὺς δακρύοντας ὀφθαλ-
μούς. καὶ

μούς. καὶ τοὺς ἀπὸ μακρᾶς ὀφθαλμίας μὴ καλῶς ὑγιασθέντας. ἔστι δὲ καὶ προσκαταληπτικόν.
καδμίας, ∠ η. χαλκοῦ κεκαυμένου, ∠ η. στίμμεως, ∠ δ. τὴν καδμίαν μετὰ τοῦ χαλκοῦ ἀδρο-
μερῶς κόψας. καὶ μέλιτι φυράσας, καῦσον ἐν χυτριδίῳ, καθὼς προείρηται. καὶ σβέσον οἴνῳ
εὐώδει παλαιῷ. καὶ ξηράνας, μίξον τὸ στίμμι ὀπτημένον ἐν χύτρᾳ καττιτιδίαν. καὶ κόψας, σήσας.
λειώσας χνοωδέστατα, χρῶ. τινὲς προσμίγνυσι καὶ ἀρμενιακοῦ, ∠ β. τὸ προειρημένον, ξηρὸν μετ'
οἴνου ἐλείωσα ὡς κολλύριον. καὶ ξηράνας, ἐχρησάμην. ὑποστιμμίζων τὰ βλέφαρα πρωῒ καὶ εἰς
ἑσπέραν. ἐνίοτε δὲ καὶ στίμμεως βαλὼν, ∠ η. Ἄλλο ξηρὸν τὸ κροκῶδες προσκαταληπτικόν.
Ἀλόης. κρόκου. γλαυκίων. σαρκοκόλλης ἀνὰ γο α. λειότατα ποιήσας, χρῶ. Ἄλλο ᾧ χρῶμαι καὶ
διαθέσεις ἐγχρίω. καὶ ῥεῦμα μονοήμερον ἵστησι πυκνῶς. καὶ πλειστάκις ἐγχριόμενον, ποιεῖ καὶ ἐπὶ
10 τῶν ἐχόντων αἰγίλωπας. καὶ βλέφαρα περιβεβρωμένα. καὶ τραχώσεις μετὰ τὴν ἄρσιν τῶν
τραχῶν, ἀνατρίχα ἐγχριόμενον. σαρκοκόλλης. κρόκου. γλαυκίων ξανθῶν. ἀλόης. χελιδονίας, ἀνὰ
γο α. σμύρνης φωλίτιδος, ∠ δ. τὴν χελιδονίαν κόψας σήσας, ἐπίβαλε τοῖς λοιποῖς. καὶ συλλεά-
νας, χρῶ. ἐγὼ σὺν ὕδατι ἐλείωσα ὡς κολλύριον. καὶ ξηράνας, ἐχρησάμην. Ἄλλο ξηροκολλύ-
ριον δόκιμον. ὀξυδερκὲς. ἀνεπηρεάστους φυλάττοντας τοὺς ὀφθαλμούς. Στίμμεως, ℔ δ. αἰθάλης
πορφύρας ἀληθινῆς ῥόδων ξηρῶν, ℔ β. κρόκου ℔ γ. φύλλου ℔ γ. ναρδοστάχυος, ℔ γ. λείοις
χρῶ. τὴν δὲ αἰθάλην, ποίει οὕτως. πορφύραν ὁλίαν βάψας κεδρίᾳ, ἅψον. καὶ σκέπασον λεκανιδίῳ
λειοτάτῳ. ἢ χαλκῷ. καὶ τὴν συλλεγομένην αἰθάλην συλλέξας πτερῷ, χρῶ. Ξηρὸν λευκὸν ὀξυ
δερκὲς. ποιεῖ πρὸς κνησμονάς. καὶ τὰς ὑφ' ἡλίου ἐγκαύσεις. καὶ τὰς ἀρχομένας ἐκψύξεως ὀφθαλ
μίας. καὶ πρὸ λουτροῦ. καὶ μετὰ λουτρόν. Καδμίας, ∠ β. ἁλῶν ἀμμονιακῶν, ∠ α. πεπέρεως,
20 ∠ ϛ. στυπτηρίας σχιστῆς, ∠ β. φύλλου ψιμμυθίου, ἡμιωβόλιον. λείου σὺν οἴνῳ λευκῷ καὶ ξηράνας
χρῶ. Ἄλλο ξηρὸν δριμύ. Καδμίας, ∠ κδ. ἁλὸς ἀμμωνιακοῦ ∠ ϛ. ναρδοστάχυος ∠ α. πε-
πέρεως λευκοῦ ∠ α. λείοις χρῶ. Ἄλλο κάλλιστον. Καδμίας, ∠ η. κρόκου ∠ β. ἁλὸς ἀμμω
νιακοῦ, ∠ ϛ. ναρδοστάχυος, ∠ α. πεπέρεως λευκοῦ, ∠ ϛ. λείοις χρῶ. Ξηρὸν τὸ σευηριανοῦ.
Καδμίας κεκαυμένης πεπλυμένης, ∠ η. ἁλῶν ἀμμωνιακῶν, ∠ ϛ. πεπέρεως λευκοῦ, ∠ ϛ.
φύλλου ∠ α. κόψας. σήσας. λεάνας, εὖ μάλα χρῶ. Ἄλλο ξηρὸν δριμύ. Καδμίας, ∠ η. ση-
πίας ὀστράκων, γο ϛ. ἁλῶν ἀμμωνιακῶν, γο α. πεπέρεως γο α. φύλλου γο α. χρῶ. πεπείραται.
Ἄλλο ξηρὸν ὀξυδερκὲς ὀριβασίου. Χελιδονίας ῥίζης, γο ϛ. ἀλόης γο β. φύλλου γο α. πεπέρεως λε
λεπτυσμένου, ∠ δ. ἐλλεβόρου λευκοῦ, ∠ α. χρῶ. Ξηρὸν τὸ ἀπολλωνίου, πρὸς ἀμβλυωπίαν.
Καδμίας, ∠ η. τρυγὸς οἴνου παλαιοῦ ξηρᾶς κεκαυμένης ∠ ε. πεπέρεως λευκοῦ ∠ ε. ἀμμωνια-
30 κοῦ ∠ ι. σανδαράκης ∠ β. φύλλου ∠ β. νίτρου κεκαυμένου, ∠ γ. χρῶ. Ἄλλο ξηρὸν πρὸς ὑπο
χύσεις καὶ ἀμβλυωπίας. Ἄρρενα ἔχιν ὅλον ζῶντα, ἐμβαλὼν εἰς χύτραν. καὶ προσβαλὼν μαρά-
θρου χυλὸν ὅσον κύαθον ἕνα. καὶ λιβάνου ἀτόμου χόνδρον μέγαν. ἔπειτα περιπλάσας πηλῷ ἔξω
θεν ὅλην τὴν χύτραν, καῖε, ἕως τέφρα γένηται. καὶ λεάνας, χρῶ ξηρῷ ὡς δόκιμον. ποιοῦσι καὶ αἱ
τῆς ἐχίδνης κεφαλαὶ κεκαυμέναι λεῖαι. ἢ διαστιμμιζόμεναι. Ἄλλο ἀσύγκριτον. Ἐλλεβόρου
λευκοῦ. καὶ πεπέρεως, ἴσα κόψας. λεάνας, χρῶ δι' ἡμερῶν τριῶν. προκαθάρας διὰ γαστρός. καὶ
ῥινῶν. καὶ στόματος. Ξηρὸν πρὸς ἀρχομένας ὑποχύσεις. γλαυκώσεις. καὶ ὑμένων παχύτητας.
καδμίας, ∠ κδ. ἁλῶν ἀμμωνιακῶν, ∠ ι. σανδαράκης, ∠ δ. ἐλλεβόρου λευκοῦ, ∠ β. φύλ-
λου ∠ β. χρῶ. Ἐστὼ εἰ ἀπορήσω περὶ τὸ ξηρίου κολλυρίων τῶν πρὸς τὴν παροῦσαν διάθεσιν ἁρ-
μοττόντων, λεάνας καὶ χνοωδέστατα ποιήσας, χρῶμαι. Ἄλλο ξηρὸν ὀξυδερκὲς διὰ πείρας.
40 Καδμίας, ∠ η. φύλλου ∠ η. ναρδοστάχυος, ∠ ϛ. πεπέρεως κρόκου. ἀρσενικοῦ. ἁλὸς ἀμμωνια-
κοῦ. χελιδονίας ἀνὰ ∠ ϛ. ἀρτεμισίας φύλλου ∠ α. λείοις χρῶ.

Περὶ ὑγροκολλυρίων. Γαληνοῦ. ρα.

Ὑγρὰ φάρμακα ὀφθαλμικὰ συντίθεται. ὀπῶν καὶ χυλῶν καὶ χολῶν καὶ μέλιτος. καὶ ἀμμω-
νιακοῦ θυμιάματος, μιγνυμένων αὐτοῖς. καὶ τῶν μετεωροτέρων μὲν, οὐκ ἀντιπραττόντων δὲ τῇ δυ-
νάμει. σμύρνης λέγω καὶ λιβάνου. καὶ κρόκου. καὶ χαλβάνης. ὅσα τ' ἄλλα τοιαῦτα ἀραιοῦν τοὺς χι-
τῶνας δυνάμενα. καὶ λεπτύνειν τὰ πάχη τῶν ὑγρῶν. καὶ τοῦ πνεύματος. ἢ τὴν παρὰ φύσιν ὑγρό
τητα διαφορεῖν. τόνον δὲ τῇ εὐκρασίᾳ διδόναι τοῖς χιτῶσι τῶν ὀφθαλμῶν. Ὑγρὰ ὀξυδερκής.
Ῥόδων κόκκων τὸν χυλὸν ἐκπιέσας, βάλε εἰς ἄγγος ἀττικοῦ ὀστράκου λειοτάτου καὶ πυκνοτάτου. καὶ
ὀθονίῳ ψιλῷ περιδήσας, τίθει εἰς ἥλιον, ἕως ἂν πάχος σχῇ μέλιτος. καὶ ἴσον πρὸς ἴσον βάλε τὸν χυ
50 λὸν τῷ μέλιτι. καὶ ἀνελόμενος εἰς ἀγγεῖον ὀστράκινον, φύλαττε. παλαιούμενον γὰρ, βέλτιον γίνε
ται. ὅταν δὲ καθεύδειν μέλλῃς, ὑπόχριε τούτῳ κούφως τοὺς ὀφθαλμούς. ποιεῖ ζωγράφοις. καὶ δα-
κτυλογράφοις. καὶ χρυσοχόοις. καὶ πρεσβύταις ἁρμόζει. Ἄλλο. Ἄμπουλαν ὑελί-
νην πλήσας ἐλαίου. καὶ ἐμβαλὼν αὐτῷ μαράθου τὰ ἁπαλὰ φύλλα τίθει εἰς τὸν ἥλιον ἡμέρας μ.
καὶ ἐκπιέσας τὸ μάραθον, τῷ ἐλαίῳ ἔγχριε. Ἄλλο ὀξυδερκικὸν, στέαρ ἐχίδνης βαλὼν εἰς ὑε-

λεαίου ἄμπουλαν, ὅταν τακῇ. ἐμβάλλων αὐτῷ τὴν μήλην, ὑπόχριε. λίαν σπουδαῖον ἐστίν.
Ἄλλο ὀξυδερκικόν, κολοκυνθίδος αὐτὸ τὸ σπέρμα κόψας. σήσας. λειότατον ποιήσας, μετὰ μέλι-
τος χρῶ πεπείραται. Πρὸς ὀξυδερκίαν. καὶ ὑποχύσεις. καὶ οὐλὰς ὀφθαλμῶν. Χαμαιλέον-
τος μέλανος ῥίζαν. καύσας. λειώσας ἀκριβέστατα, ἔγχριε. Ἄλλο. Γῆς ἔντερα καύσας ἐπ' ὀστρά-
κῳ, ἕως τεφρωθῇ. καὶ λεάνας χρῶ. Ἄλλο. Χελιδόνων νεοσσοὺς ζῶντας, βαλὼν ἐν χύτρᾳ. καὶ
χρίσας ὅλην ἔξωθεν, καίε. καὶ λεάνας τὴν τέφραν μετὰ μέλιτος, χρῶ. ἐγὼ ξηρῷ ἐχρησάμην πρὸς
λευκώματα. Πρὸς ὑποχύσεις ἀρχομένας. Μέλι. ἔλαιον παλαιόν. καὶ μαράθρου χυλόν,
ἴσα. Ἄλλο. Σαγαπηνοῦ, ∠. β. ἀφρονίτρου, ∠. ε. μέλιτος λίτρας, β. Ἄλλο Δημοσθένους.
Ἡμεῖς δὲ τῷ ὑπογεγραμμένῳ χρώμεθα. καυκαλίδος χυλόν. κορωνόποδος χυλόν. χαμαίδρυος χυ-
λόν. ἕκαστον ἴσον διηθήσας. ξηράνας, ποίει κολλύρια. καὶ χρῶ. εἰ δὲ ὑγρῷ ἐθέλεις χρῆσθαι μετὰ μέ-
λιτος, λεάνας, χρῶ. Ἀγλαΐδου ὑγρά, πρὸς ἀρχὰς ὑποχύσεως. Χαλκοῦ ἄνθους ὀβολοί, ε.
πεπέρεως ὀβολοί, ε. κρόκου, ∠. β. καστορίου ∠. β. ἀλέκτορος χολῆς ∠. α. ὀμφακίου, ∠. τ. S.
ναρδοστάχυος ὀβολός, α. λίθου αἱματίτου, ὀβολοὶ β. νίτρου ἀφροῦ, ὀβολοὶ β. ἁλὸς ἄνθους, ∠. λβ.
ὀποβαλσάμου. ∠. λβ. μέλιτος, ℥. ε. λεῖα πάντα ἀργυρῷ σκεύει ἀπόθου. Ἄλλο. Ἐρασιστράτου
ὑγρὰ πάγχρηστος πρὸς ἐμφυσήματα κνησμώδη. καὶ ψωροφθαλμίας. ὦτα πυορροοῦντα. καὶ πρὸς
τὰ δυσκατούλωτα ἕλκη. καὶ κυνάγχην. καὶ τὰς ἐν τῷ στόματι καὶ αἰδοίοις νομάς. Χαλκοῦ κε-
καυμένου ∠. β. σμύρνης, ∠. γ. μίσυος ὀπτοῦ, ∠. γ. πεπέρεως ∠. α. κρόκου, ∠. α. S. οἴνου αὐστη-
ροῦ παλαιοῦ κοχλιάρια, γ. γλυκέος κρητικοῦ, κοχλιάριον, α. S. λεῖα τρίψας τρίβε σὺν οἴνῳ. καὶ ὅταν
συμπίῃ, ἐπίβαλε τὸ γλυκύ. καὶ ἑνώσας, ἕψε ἐν χαλκῷ ἀγγείῳ μαλακῷ πυρί, ἕως σχῇ μέλιτος πά-
χος. καὶ ἀπόθου εἰς χαλκῆν πυξίδα. Ἄλλο. Διὰ τοῦ χυλοῦ τοῦ περιστερεῶνος ὑγρά. ποιοῦσα πρὸς
ἀμβλυωπίαν. ἀτονίαν κόρης. καὶ ἀμαύρωσιν πάνυ καλόν. ποιεῖ καὶ πρὸς βεβρωμένους κανθούς, ῥεῦ-
μα λεπτόν. καὶ τὰς ἀρχομένας ὑποχύσεις. Αἰγὸς θηλείας χολήν, ∠. η. μέλιτος ἀττικοῦ, ℥.
ς. λυκίου ἰνδικοῦ, ∠. γ. πεπέρεως, ∠. δ. περιστερεῶνος ὀρθοῦ χυλόν, ℥. ια. καὶ ξηροῦ, ∠. η. κό-
ψας. σήσας. λεπτοτάτῳ κοσκίνῳ τὸ πέπερι. κἄπειτα λειοτριβήσας ἐν θυίᾳ ἐπὶ πολύ, ἐπίβαλε τὸν
ξηρὸν χυλὸν καὶ σὺν λεῖον. εἶτα τὸν ὑγρὸν χυλόν. ἔπειτα λύκιον. καὶ ὅταν λεῖα γένηται, ἐπίβαλε
τὸ μέλι. καὶ οὕτως τὴν χολήν. καὶ ἑνώσας, ἀναλάμβανε. καὶ χρῶ. Τινὲς αὐτὴν τὴν βοτάνην τὴν
περιστερεῶνα λέγω, κόπτοντες καὶ σήθοντες, ἐμβάλλουσι τὰς η. δραχμάς. εἰ δὲ ξηρότερον γένηται,
ἀνάπλασσε κολλύριον. καὶ χρῶ. ξηρόν. τοῦ κασσίου πρὸς ὀξυδορκίαν καὶ γλαυκώσεις. καὶ παλαιὰς
ὀφθαλμίας. καὶ ἀμβλυωπίας. καὶ ἀμαυρώσεις, δόκιμον. Χολὴν ταυρείαν κενώσας ὅλην εἰς
πυξίδα χαλκῆν, ἔα ἡμέρας δέκα. ἔπειτα ἐπίβαλε λεῖα. σμύρνης. κρόκου. ὀποβαλσάμου ἀνὰ ∠.
α. καὶ πεπέρεως κόκκους, κ. μέλιτος ἀττικοῦ, τὸ διπλοῦν τῆς χολῆς. καὶ λεάνας ἅμα πάντα, ἔμ-
βαλε εἰς χαλκοῦν ἀγγεῖον. καὶ ἕψε ἐπὶ τέφρας μαλακῆς ἕως σχῇ μέλιτος πάχος. καὶ ἀπόθου ἐν
χαλκῇ πυξίδι καὶ χρῶ ὡς σπουδαίῳ. ἅμα γὰρ τῇ ἐγχρίσει, δηλώσει σοι τὴν ἐνέργειαν. Ἄλλη
πρὸς ὑποχύσεις βόλου λεγομένη. Αἰλούρου χολῆς. μέλιτος ἀττικοῦ τὸ διπλοῦν. ἱερακίας χυ-
λοῦ τὸ ἴσον τοῦ μέλιτος χρῶ. Ἄλλο πρὸς ὑποχύσεις δόκιμον. Χολῆς κοράκων προσφάτων,
℥. δ. σαγαπηνοῦ περσικοῦ ∠. α. ὀποῦ κυρηναϊκοῦ ℥. α. ὀποβαλσάμου, ℥. α. μέλιτος ℥. θ. Ἄλλη
πάνυ δόκιμος ᾗ χρησάμενος ἐπέτυχον. Χολῆς αἰγός, ∠. δ. ὀποβαλσάμου, ∠. β. κρόκου, ∠.
β. ναρδοστάχυος. κασσίας. ἐλαίας αἰθιοπικῆς δακρύου. στυπτηρίας σχιστῆς. μυελοῦ στρουθοκαμή-
λου σμύρνης ἀνὰ ∠. α. μέλιτος ℥. ιη. σκευάσας ἐπιμελῶς ἀναλάμβανε εἰς πυξίδα χαλκῆν κυπρί-
αν, καὶ χρῶ. Ἄλλη. Τῆς θηριακῆς ἀνδρομάχου, ∠. δ. ὀποῦ κυρηναϊκοῦ, ∠. ς. ὀ-
ποβαλσάμου, ∠. β. μέλιτος ἀκάπνου, ∠. ε. οἴνῳ γλυκεῖ παλαιῷ διαλύσας πρότερον τὴν
θηριακήν, ἐπίβαλε τὸν ὀποβάλσαμον. καὶ τὸ μέλι. καὶ χρῶ. Ἄλλη ἀπολλωνίου ὑγρὰ
πρὸς ὑποχύσεις ἀνδρικὴ δύναμις. Σαγαπηνοῦ, ∠. β. ὀποῦ κυρηναϊκοῦ ὀβολὸς α. ἐλ-
λεβόρου λευκοῦ κεκαυμένου, θ. πηγάνου ἀγρίου, ∠. α. ἀφρονίτρου ὀβολόν, δ. μέλιτος ℥. γ.
Ἄλλη. Ὀμφακίου, ∠. α. σμύρνης, ∠. α. ἁλὸς ἀμμωνιακοῦ, ∠. α. ὀποβαλσάμου. ἐ-
λαίας αἰθιοπικῆς δακρύου. ἀμμωνιακοῦ θυμιάματος ἀνά, ∠. α. χολῆς ὑαίνης, ∠. β. μέλιτι
ἀναλάμβανε. καὶ χρῶ. Ἄλλη. Χολῆς ὑαίνης σέκτος ἐχίδνης, ∠. α. S. κρόκου, ∠. α. ὀμφακίου,
∠. α. ὀποβαλσάμου, ∠. α. σμύρνης, ∠. τ. S. μέλιτος τὸ ἀρκοῦν.
κἂν ὦσι χρόνιαι. Ἄλλη πρὸς ὑποχύσεις
Λίθον σκυθικὸν μετὰ χολῆς ἀσπίδος λειώσας, ἔγχριε, συντόμως ἀπαλ-
λάσσει. ἔστω δὲ ἡ ἀσπὶς, ἀκοντίας λεγομένη. εὑρίσκεται δὲ ἐν τῷ νώτῳ ἡ χολή. προσπεφυκυῖα τῷ ἥ-
πατι. Ἄλλη πρὸς πᾶσαν ἀμβλυωπίαν. καὶ ὑποχύσεις ποιεῖ καὶ πρὸς τὰ τραχυνόμενα βλέ-
φαρα. Μέλιτος, ℥. β. ὀποβαλσάμου, ∠. β. σμύρνης, ∠. β. ὀποῦ κυρηναϊκοῦ, ∠. α. ὀπο-
πάνακος, ∠. α. χρῶ. Ἄλλη πρὸς ὑποχύσεις. ὥστε τὸν πάσχοντα ἀναβλέπειν ἐν ἡμέραις, ε.
οὕτως ἐστὶ μέγιστον καὶ θαυμαστόν. ποιεῖ καὶ πρὸς τραχύτητας βλεφάρων σπανίως τὶς τοιοῦτον

ἔχει. Στέατος ἐχίδνης. χολῆς ἀλέκτορος λευκοῦ. χαλκοῦ λίθους. πηγάνου ἀγρίου χυλόν. γάλακτος καυσείου. ὀποβαλσάμου. ἴσα λείοις χρῶ. ἐνίοτε δὲ ἀντὶ τοῦ χαλκοῦ λίθους, χάλκανθον βάλλω. Ἄλλη ὑγρὰ μέλαινα. πρὸς ἀμβλυωπίας καὶ τὰ ῥεύματα καὶ τὰς διαθέσεις. λαβὼν λίθου μέαν κίσσων παλαιῶν καὶ λιγίων προαπολυθέντων καὶ ξηρανθέντων ἀκριβῶς, βάλε εἰς ξέστην ὄξους δριμυτάτου. καὶ ἐᾶ ἡμέρας ε. εἶτα ἕψε ἐν χύτρᾳ ἢ σιδήρῳ, πρᾳοτάτῳ, περὶ ἕως λάβῃ βραχέα σβεσθέντα διά. καὶ διηθήσας, ἐπίβαλε μέλιτος ἀπηφρισμένου. καὶ διηθημένου, λι. α. καὶ ἕψε μαλακῷ πυρὶ, ἕως γλοιοῦ σχῆ πάχος. κινῶν κλωνίοις στρεοῖς ἀψινθίας, δισὶν ἅμα δεδεμένοις. εἶτα μετὰ τὸ συστῆναι, ἐπίπασσε χαλκίτιδος λειοτάτης ℥. α. καὶ χρῶ. προσαπτόμενος τῶν κανθῶν, τῷ πυρῆνι τῆς μήλης. Ἄλλη ἀποκρουστικὴ τῶν ῥευμάτων καὶ σμηκτικὴ τῶν χιτώνων τῶν ὀφθαλμῶν. λεπτύνει καὶ τὰς οὐλάς. καὶ ἔξωθεν ἐπιχριομένη τῷ ἄνω βλεφάρῳ, ἀποκρούεται τοὺς ῥευματισμούς. ἐγὼ εὐθὺς ἐξ ἀρχῆς ἐπιχριωθῆ. μελαντηρίας ὡς προείρηται ἐσκευασμένης. Μέλιτος τὸ ἴσον τίλεως χυλοῦ τὸ ἴσον, μίξας ἅμα καὶ διηθήσας, ἕψε πρᾳοτάτῳ πυρί. κινῶν συνεχῶς ἕως σύστασιν μέλιτος λάβῃ. καὶ ἀναλαβὼν χρῶ. Τὸν δὲ χυλὸν τῆς τίλεως, σκεύαζε ὡς προείρηται ἐν τῷ περὶ τῶν ὀφθαλμῶν ἑλκῶν λόγῳ. καὶ διηθῶν δὲ τὸν χυλὸν τῆς τίλεως, καὶ ἐκπίεζε τὴν τίλιν. ἀλλὰ τὸν αὐτομάτως ἀποῤῥέοντα ἔμβαλε. εἰ δὲ μετὰ τὸ σκευασθῆναι τὸ φάρμακον καὶ ψυγῆναι, θρόμβοι ἐν αὐτῷ γίνωνται. μετακενώσας ὅλον ἢ κατὰ βραχὺ ἐν θυΐᾳ, λείου. καὶ διαλύσας τοὺς θρόμβους ἀναλάμβανε. καὶ χρῶ. Ἄλλη ὑγρὰ πρὸς τὰς συκώσεις ἐπαναστάσεις. καὶ πάσαν σκληρὸς διαχύνει. καὶ πρὸς ἐγκανθίδας. καὶ τὰς ἀρχομένας ὀφθαλμίας. Μίσυος ὀπτοῦ, ∠. η. σμύρνης, ∠. β. μέλιτος τὸ ἀρκοῦν. Ἄλλη. Μίσυος ὀπτοῦ, ∠. ς. χαλκανθοῦ, ∠. δ. σμύρνης, ∠. δ. μέλιτος τὸ ἀρκοῦν. Ὀριβασίου ὑγρά. πρὸς τοὺς διὰ ἑλκώσεως ὑπωπίους. Χαλκάνθου ∠. η. κρόκου, ∠. η. σμύρνης, ∠. δ. μέλιτος λι. α. τοῦ αὐτοῦ, ὑγρά. Μέλιτος, ℥. β. ὀποβαλσάμου, ∠. β. ὀποῦ κυρηναϊκοῦ, ∠. α. S. ὀποπάνακος ∠. α. S. Τοῦ αὐτοῦ πρὸς ὑπωπίους ὑγρά. Βάσου κρόκου. ἀλόης. σμύρνης. ἀνὰ ℥. α. S. οἴνου ℥. γ. μέλιτος ℥. ς. λειοῦται ὁ κρόκος σὺν ὀλίγῳ οἴνῳ. εἶτα ἀλόη. σμύρνα. καὶ ἐπειδὰν σύστασιν λάβῃ παχυτέραν, ἐπιβάλλεται τῷ μέλιτι καὶ ἐν ἀγγείῳ ἀποτίθεται. ἐν ὑέλῳ. χρῶ δὲ δὶς τῆς ἡμέρας ἐγχρίων. εἰ δ' ἐπείγοι, καὶ τρίς. καὶ ἐπιδάκνει τὸν ὀφθαλμόν. ἀνακαθαίρει καὶ σαρκοῖ. ἐπὶ πολλοῖ. μέχρι τέλους ἐγχριομένη. ἔστι δὲ τῶν πλείστων μετὰ τὴν ἀνακάθαρσιν, ἔστι τὰ κολλύρια μεταβαινόμεν. καὶ μάλιστα τὸ ἐπιγεγραμμένον αἰγυπτιάριον αἰγοπρόσωπον. Ὑγρὰ διὰ πείρας πολυειδεστάτη ὀρθοῦ χυλόν. λυκίου ἰνδικοῦ ἴσα τουτέστι ἀνὰ ℥. α. ἑκάστου. μέλιτος τὸ ἴσον. Ὑγρὰ διὰ στέατος τὸ ἐχίδνης. παραδόξως ποιοῦσα πρὸς ἀρχομένας ὑποχύσεις καὶ ἀμβλυωπίας ἰᾶται. πηγάνου χυλοῦ. ὀποβαλσάμου. μαράθου χυλοῦ. χελιδονίας τῆς παρὰ τοῖς φραγμοῖς χυλοῦ. στέατος ἐχίδνης τετηκότος ἐν διπλώματι. μέλιτος ἀκάπνου ἴσον ἑκάστου μίξας ἅμα καὶ διηθήσας διὰ ῥάκκους καθαροῦ, χρῶ θαῤῥῶν. ἐνίοτε τοῦ μέλιτος βαλὼν ℥. α. S. τῶν δὲ λοιπῶν ἀνὰ ℥. α.

Κολλύρια διάκροκον. καὶ διὰ χυλῶν διάφορα. ϙβ.

Κολλύριον διάκροκον πρὸς ἀρχὰς ὀφθαλμῶν, γλαυκίου, ∠. κδ. σαρκοκόλλης, ∠. ις. κρόκου, ∠. η. κόμμεως, ∠. η. φαγακάνθου ∠. δ. ξηρὰ λειώσας πάντα. καὶ λειότατα ποιήσας ἀναλάμβανε τῇ τραγακάνθῃ ἀποβεβρεγμένῃ. εἶθ' οὕτως σκεύαζε. λείου ὕδατι τὴν σαρκοκόλλαν. εἶτα ἐπίβαλε τὰ γλαύκια σεσησμένα. καὶ πάλιν λείου. εἶτα κρόκον ξηρὸν χνοωδέστατον γενόμενον. εἶτα τραγάκανθον ξηρὰν λειοτάτην. καὶ χνοώδη γενομένην, καὶ τὸ κόμμι ὁμοίως ἐπίπασσον, ἵνα αὐθημερὸν ἢ τῇ ἑξῆς κολλυρεῖσθαι. χρονίζοντα γὰρ ἐν τῇ θυΐᾳ, τὰ διάκροκα, μελαίνεται. καὶ τῇ δυνάμει ἀλλοιοῦται. χρῶ δὲ αὐτῷ, δι' ὠοῦ ὑδαρὲς ἐγχυμάζων, ἀρχομένης τῆς ὀφθαλμίας. ἀρχομένης δὲ τῆς παρακμῆς, παχύ. βεβαίας δὲ τῆς παρακμῆς γενομένης, ὕδατι ἔγχριε. Ἄλλο διάσμυρνον. Γλαυκίου, ∠. μη. σαρκοκόλλης, ∠. μη. κρόκου, ∠. κδ. ὀπίου ∠. ς. σμύρνης, ∠. ς. τραγακάνθης, ∠. μη. αἱματίτου λίθου, ∠. ς. κόμμεως, ∠. ις. ὕδωρ ἢ χρῆσις δι' ὠοῦ. Ἄλλο φωσφόρος πρὸς ὀδυνωδίαν. καὶ πᾶσαν φλεγμονὴν, καὶ τὰς ἐπιτεταμένας ἐπιφορὰς, γλαυκίου ∠. κδ. σαρκοκόλλης, ∠. η. κρόκου, ∠. η. ὀπίου, ∠. η. σμύρνης, ∠. η. μίσυος κεκαυμένου, ∠. η. κόμμεως, ∠. ις. ὕδωρ. Ἄλλο εὔχρουν ποιεῖ ὅσα ὁ φωσφόρος. ἔστι καὶ πρὸς βλέφαρα τραχέα. καλόν ἐστι καὶ παιδίοις. γλαυκίου, ∠. ξδ. σαρκοκόλλης ∠. λς. κρόκου, ∠. κδ. ὀπίου, ∠. ς. σμύρνης ∠. ς. αἱματίτου, ∠. ς. τραγακάνθης, ∠. ις. κόμμεως, ∠. ις. ὕδωρ. ἐγχυμάτιζε κατ' ἀρχὰς δι' ὠοῦ. Ἄλλο ἀνώδυνον διὰ χυλῶν πρὸς πᾶσαν ὀδυνωδίαν. ὕπνον ποιεῖ παραχρῆμα. γλαυκίου, ∠. μη. σαρκοκόλλης, ∠. ις. κρόκου, ∠. η. ὀπίου, ∠. δ. λυκίου ἰνδικοῦ, ∠. δ. ῥόδων χυλοῦ, ∠. δ. μανδραγόρου χυλὸν, ∠. δ. ὑοσκυάμου χυλὸν, ∠. δ. κωνίου χυλὸν, ∠. δ. τραγακάνθου, ∠. ις. κόμμεως, ∠. μη. ἀναλάμβανε μελιλώτου ἀφεψήματι. συντίθεται δὲ τὸν τρόπον τοῦτον. λαβὼν μελιλώτου λίτραν μίαν. καὶ ὕδατος ὀμβρίου ξ. ς. ἕψε εἰς τρίτον. καὶ διηθήσας τὸ ὑγρὸν, πρὸς τὴν τοῦ φαρμάκου σκευασίαν. Κολλύριον διὰ χυλοῦ πολυγόνου. Πολυγόνου χυλοῦ, ℥. ς. λυκίου ἰνδικοῦ, ∠. ς.

ἀλόης, ∠. δ̄. σμύρνης, ∠. δ̄. λιβάνου, ∠. δ̄. ὀπίου ∠. γ̄. ἀκακίας μελαίνης πρωτίας, ∠. ιβ̄.
οἴνου παλαιοῦ εὐώδους τὸ ἀρκοῦν. ποιεῖ πρὸς πάντα τὰ ἐν ὀφθαλμοῖς πάθη. ἀναστέλλει τὰ ῥεύ-
ματα. καὶ παύει τὰς ὀδύνας. ἔστι δὲ φιλόλουτρον. ὅθεν ἐγχρίσας, κέλευε λούεσθαι. ποιεῖ καὶ πρὸς
ἕλκη. Κολλύριον διὰ χυλῶν, ἐρανοῦ. Κολλύριον πρὸς χυμώσεις καὶ περιωδυνίας, εἰς ὃ μεγά-
λα τινὲς καυχῶνται. χαλκοῦ Γο. β̄. καδμίας Γο. β̄. ὀπίου, Γο. β̄. ἀλόης ⊤ ιβ̄. κρόκου ⊤. ιϛ̄. ἀ-
κακίας, Γο. η̄. κόμεως, Γο. η̄, ῥάμνου καρποῦ τοῦ χυλοῦ Γο. ιβ̄. ὕδωρ τὸ ἀρκοῦν. εἰ δὲ ἀπορεῖς, βάλε χυ-
λὸν τοῦ καρποῦ ὅλον. τὸ δὲ κόμμι, ὕδατι βρέχε. Κολλύριον διὰ χυλοῦ περιστερεῶνος. ὥστε μεγίστας
ἐπιφορὰς ἐν τῆς δευτέρας ἐγχρίσεως λύειν. κρόκου, ∠. γ̄. μελιλώτων, ∠. ϛ̄. γλαυκίου, ∠. ιϛ̄.
ὀπίου ⊤. γ̄. ἀμύλου ∠. δ̄. κόμεως, ∠. ᾱ. λέαινε, παραχέων χυλὸν περιστερεῶνος ὀρθοῦ. καὶ ἀνά-
10 πλασσε καὶ χρῶ. ἔστι δὲ καὶ ἑτέρα δύναμις, μὴ δὲ πιστευθῆναι δυναμένη. ποιεῖ γὰρ πρὸς ὀφθαλμίας
καὶ οἰδήματα. καὶ ἐμφυσήματα. καὶ πᾶσαν ἐπιφοράν. καὶ τὰς ἀπηλπισμένας ἐν ὀφθαλμοῖς δια-
θέσεις, ἐν ἡμέραις τρισὶν ἀπαλλάσσει. κρόκου ∠. ιδ̄. ἀμύλου ∠. ιβ̄. γλαυκίου, ∠. ιϛ̄. ὠοῦ τοῦ
λευκοῦ, ∠. γ̄. τραγακάνθης, ∠. δ̄. λείου, παραχέων περιστερεῶνος ὀρθοῦ χυλόν. καὶ χρῶ.
Τὸ διὰ μαράθου χυλόν. Καδμίας, Γο. θ̄. στίμμεως, Γο. η̄. μίσυος ὠμοῦ, Γο. ϛ̄. ὀμφακίνου Γο. ᾱ. S.
χαλκίτεως, Γο. ᾱ. κρόκου, ∠. ᾱ. S. φύλλου Γο. ᾱ. μαράθου χυλοῦ, Γο. η̄. καὶ πάλιν ἀφεψήσας ἑτέρα
μάραθρα ὕδατι ὀμβρίῳ λείου τῷ ἀφεψήματι. πολλοῖς ἐσκεύασται.

Περὶ μονοημέρων κολλυρίων. Γαληνοῦ. ε̄.

Ὡς τὸ πολὺ τὰ μονοήμερα κολλύρια μετὰ τοῦ λευκοῦ τοῦ ὠοῦ ἐγχριόμενα, εὐθὺς ἐξ ἀρχῆς ἐκθεραπεύει
τὰς ἄνευ πλήθους γιγνομένας ὀφθαλμίας. οὕτως γὰρ οὐκ ὀλιγάκις ταῦτα καὶ τὰς μεγάλας φλε-
20 γμονὰς ἐπράϋνεν οὕτως, ὡς εἰς ἑσπέραν μὲν λουτρῷ χρήσασθαι τὸν ἄνθρωπον. εὐθὺ δὲ τῆς ὑστεραίας,
τῷ ναρδίνῳ κολλυρίῳ, πρὸς ἀποκατάστασίν τε καὶ τόνωσιν ὑπαλείψασθαι. παραμίγνυται δὲ τῷ
ναρδίνῳ, κατὰ μὲν τὴν πρώτην ὑπάλειψιν, ἐλάχιστόν τι τῶν λειμμάτων καὶ στακτῶν ὀνομαζομένων
κολλυρίων. κατὰ δὲ τὴν δευτέραν, βραχύ τι τοῦ στακτοῦ πλέον. ἀρκοῦσι γὰρ αἱ δύο προσφοραὶ τοῦ
φαρμάκου. καί τις περίπατος οὐ πολὺς πρὸ βαλανείου εἰς τελείαν ἀποκατάστασιν. τὰ δ' οὖν μονο-
ήμερα καλούμενα, τὰ μὲν ἰδίως ὀνομαζόμενα ξυστώδη, πολλὴν ἔχουσι τὴν ἀκακίαν. ἔνια δὲ ἤτοι παν-
τάπασιν ὀλίγην, ἢ οὐδόλως ἔχοντα προσείληφε. τὰ μὲν, τὴν λεπίδα τοῦ χαλκοῦ. τὰ δὲ τὸν κεκαυ-
μένον χαλκὸν ὀλίγον ἅμα πολλοῖς τοῖς ἄλλοις ὅσα στύφει μετρίως καὶ πέττει καὶ διαφορεῖ. τοιαῦτα
δέ ἐστι κρόκος. καὶ σμύρνη. καὶ λύκιον ἰνδικόν. καστόριόν τε καὶ λιβανωτὸς, ἄνευ τοῦ στύφειν, πέττει ἅμα
καὶ διαφορεῖ. ἐφ' ὧν μὲν οὖν ἐπικρατεῖ τὰ στύφοντα, πλεῖστον μὲν εἶναι δεῖ τὸ ὑγρὸν τοῦ ὠοῦ. βρα-
30 χύτατον δὲ τοῦ φαρμάκου. καὶ μάλιστα ἐὰν ἔχῃ τι τῶν μεταλλικῶν τὸ φάρμακον. ἐφ' ὧν δὲ ὅ τε κρό-
κος καὶ ἡ σμύρνα. καὶ τὸ καστόριον, ὅ τε λιβανωτὸς καὶ τὸ λύκιον κρατεῖ, βραχὺ παχυτέρῳ χρηστέ-
ον δέ ἐστι τῷ φαρμάκῳ. πυρίᾳ δὲ χρηστέον πάντως ἐπ' αὐτοῖς, διὰ σπόγγου, μετρίως ὀδυνωμένων, ἅ-
παξ ἢ δὶς τῆς ἡμέρας. εἰ δὲ σφοδρότερον ὀδυνώμενοι τύχοιεν, ἄμεινόν ἐστι καὶ τρὶς καὶ τετράκις, καὶ
πλεονάκις χρῆσθαι. καὶ μάλιστα ἐν ταῖς μεγάλαις ἡμέραις, ἡ πυρία δὲ γιγνέσθω, δι' ἀφεψήματος
μελιλώτου καὶ τήλεως. παραφυλάττεσθαι δὲ τὴν χρῆσιν αὐτῶν, ἐφ' ὧν πλῆθος ὑπόκειται ἐν παν-
τὶ τῷ σώματι. τὰ γὰρ μονοήμερα ψυχρότερα ὄντα τῇ δυνάμει, πίλησιν τῶν σωμάτων, καὶ πύκνω-
σιν τῶν πόρων ποιεῖται. πλήθους δὲ ὕλης ὑποκειμένου τοῖς ὀφθαλμοῖς, ῥήξεως τοῦ κερατοειδοῦς
αἰτία γίγνεται. ἡμεῖς δὲ ἐπὶ τῶν προσφάτων ὀφθαλμιῶν, τῷ θεοδοτίῳ σευήρου ἐγχρίσαντες μεθ'
ὕδατος. καὶ σπόγγον ἔξωθεν τῷ ὀφθαλμῷ ἐπιθέντες, ἀπηλλάξαμεν τοῦ πάθους τὸν πάσχοντα. ὡς
40 ἐπίπαν δὲ λουτρῷ χρῆσθαι παραινοῦμεν εὐθὺς μετὰ τὴν πρώτην ἔγχρισιν. τὰ δὲ μονοήμερα κολλύ-
ρια, ἔστι ταῦτα, μονόμηλον καλούμενον διὰ τὸ ἀπὸ μιᾶς ἐγχρίσεως φησὶ θεραπεύειν. ἔστι δὲ πολυ-
χρηστότατον. ποιεῖ πρὸς τὰς χρονίας καὶ δυσλύτους διαθέσεις. καὶ μάλιστα ἐφ' ὧν καὶ τὰ βλέ-
φαρα τετράχυνται, καθ' ὑποβολὴν ἐγχριόμενα. δεῖ δὲ μετὰ τὴν ἔγχρισιν, μύειν τὸν ὀφθαλμὸν
ἐπὶ πολύ. ποιεῖ καὶ πρὸς τὰς συγχύσεις τῶν ὀφθαλμῶν. καὶ εὐθὺ σταφυλωμάτων. ἔστι δὲ καὶ
παιδικὸν ἀγαθόν. χρῶ δὲ εὐθὺ μὲν τῶν ὑπομένειν δυναμένων τὴν δῆξιν, μεθ' ὕδατος ἀλέων. εὐθὺ δὲ
τῶν ἄλλων, μετὰ ὠοῦ. ἐπὶ πάντων δὲ καθ' ὑποβολὴν τοῦ βλεφάρου ὑπάλειφε. εἰ δὲ σφοδρὰ εἴη ἡ
φλεγμονὴ, μετ' ὠοῦ ἐγχυμάτιζε. ἔχει δὲ οὕτως. καδμίας, ∠. κδ̄. χαλκοῦ, ∠. ιβ̄. χαλκίτεως
ὀπτῆς, ∠. ιβ̄. ὀπίου ∠. ιᾱ. πεπέρεως κόκκοι, κδ̄. μέλιτος Γο. ᾱ. S. κόμεως ∠. κδ̄, ὕδωρ τὸ μελί-
κρατον ἐμβάλλεται. Γιλάριον. πρὸς μὲν τὰς ἀρχὰς, ὑδαρὲς δι' ὕδατος. πρὸς δὲ τὰς ἀκμὰς, ὑδα-
50 ρὲς δι' ὠοῦ. πρὸς δὲ τὰς χρονιζούσας διαθέσεις, παχύτερον δι' ὠοῦ. εἶτα ἐκ προσθέτου γῆς καὶ ὕδατος
τῷ ὠῷ μιγνυμένου. ἐπὶ τέλει δὲ δι' ὕδατος μόνου. ἐπὶ μέντοι τῶν ἑλκώσεων, ἔλαττον ἐνεργεῖ. κα-
δμίας, ∠. ιϛ̄. ψιμμυθίου ∠. μη̄. ἀκακίας, κδ̄. ὀπίου ∠. λ̄. ἀμύλου. τραγακάνθης. κόμεως ἀνὰ
∠. ιβ̄. χαλκοῦ κεκαυμένου ∠. ᾱ. S. σμύρνης ∠. γ̄. κρόκου ∠. ᾱ. S. ὕδωρ. Ἕτερον πηλάριον ὁ αὐτὸ
ῥῖνος. Καδμίας, ∠. κδ̄. ψιμμυθίου, ∠. κδ̄. ἀκακίας. ὀπίου, ἀνὰ ∠. ιη̄. κόμεως. τραγακάνθου. ἀμύλου

ἀνὰ ∠ β΄. σμύρνης, ∠ γ΄. χαλκοῦ κεκαυμένου, ∠ α΄ S. ὕδωρ. τοῦτο μᾶλλον ποιεῖ ἑλκώσεσιν. Ἕτε-
ρον πηλάριον, ὃ καλοῦσι συνέκδημον. Καδμείας, Γο. γ΄. ψιμμυθίου Γο. ε΄. πομφόλυγος, Γο. γ΄. ὀ-
πίου Γο. α΄ S. ἀκακίας σμύρνης, κόμεως ἀνὰ ∠ η΄. τραγακάνθης, Γο. γ΄. ἀμύλου Γο. ς΄. χαλκοῦ κεκαυ-
μένου ∠ δ΄. κρόκου, ∠ δ΄. ὕδωρ. ἔστι δὲ κάλλιστον πρός τε χημώσεις. καὶ τὰς λοιπὰς ὀφθαλμίας.
καὶ πρὸς τὰς ἀκμὰς. καὶ ἑλκώσεις πάσας, μετὰ τοῦ δασύνειν τὰ βλέφαρα. ἀνακαθαίρει τε γὰρ
καὶ σκληροῖ. καὶ κατουλοῖ. μάλιστα τῷ πυρῷ μιγνύμενον, ἀντὶ πομφόλυγος καδμείας δὶς κεκαυ-
μένῃ χρῶμαι. Ηλάριον ἐδεσσηνόν. τραγακάνθης. κόμεως. ἀκακίας. ἀμύλου. σαρκοκόλλης, ἀνὰ ∠ β΄.
ὀπίου ∠ δ΄. ψιμμυθίου ∠ η΄. καδμείας, ∠ ις΄. ὕδωρ. Περὶ τῶν στατικῶν κολλυρίων. καὶ ὀρι-
κηρῶν, ἃ Σεβήρου. ργ΄. Καὶ τὰ στατικὰ δὲ καλούμενα κολλύρια, ἀποκρουστικὰ τυγχάνει ἵστησι γοῦν τὴν
10 ἄτακτον ὁρμὴν τοῦ ῥεύματος. καὶ τὰ μὲν αὐτῶν, ὀρμόλαοι καλοῦνται. ἕτερα δὲ ἑξηκοντάρχια ὡς
οἶμαι, ἐκ τοῦ τὴν σύμπασαν σκευὴν, ἑξήκοντα δραχμῶν ὑπάρχειν. καί τινα αὐτῶν ἑκατοντάρχια.
πολλαὶ δὲ καὶ τούτων αἱ ὗλαι γεγόνασι, πρὸς ἃς ὁ ἰατρὸς ἀχθεσθεὶς, καθάπερ ἐν πελάγει ἰλιγγιάσας,
πρὸς τὸ πλῆθος ἀφίσταται τοῦ σκοποῦ. δέον οὖν πάντων διακρίνοντα τὰς δυνάμεις, εἰς ἓν τέλος
ἁρμόσαι τὰς τούτων ἐνεργείας. γνῶναι δὲ χρὴ ὡς ἅπαντα τὰ στατικὰ ψύχει καὶ στύφει. τὰ μὲν,
μᾶλλον. τὰ δὲ, ἧττον. ἀλλὰ καὶ ξηραίνει πρόσως, πρὸς τὰς θερμοτέρας τοίνυν ὀφθαλμίας, τὰ τοιαῦ-
τα χρήσιμα. οὐ μέν τοι γε κατ' ἀρχὰς εὐθέως. πρὶν δὲ αὐτὴν πέψις φανῆ, ἄριστον ἡμῖν καὶ θαυμαστὸν ὤφθη
τὸ λευκὸν Σεβήρου κολλύριον. ὃ διὰ χυλοῦ τίλεως σκευάζεται. καὶ καδμείας. καὶ ψιμμυθίου. καὶ τραγα-
κάνθης. καὶ τὸ μετ' αὐτὸν γεγραμμένον, εἰς πέψιν δὲ ἀχθείσης τῆς διαθέσεως, πάλιν ἐκ τῶν πολλῶν στα-
τικὸν ἐπιτήδειον τὸ ἑκατοντάρχιον εὕρομεν. καὶ μᾶλλον αὐτοῦ τὸ μετ' αὐτὸ γεγραμμένον. λαμβάνει
20 δὲ τὸ ἑκατοντάρχιον, χαλκοῦ μὲν, ∠ ιβ΄. καδμείας δὲ, ∠ ιε΄. σμύρνης, ∠ δ΄. ἀκακίας, ∠ λβ΄.
ὀπίου, ∠ δ΄. κόμεως, ∠ λβ΄. τινὲς καὶ κρόκου ∠ α΄. ὕδωρ. τοῦτο τὸ κολλύριον ὑδαρὲς πρὸς τὴν ἔγ-
χρισιν παραλαμβανόμενον πρὸς τὰς συμπεπλεγμένας διαθέσεις, ἁρμόδιον ὤφθη. ἐφ' ὧν ἐστὶ
φλεγμονὴ καὶ περίτασις. καὶ ἐπίρροια τοῦ ῥεύματος. λεπτύνει μὲν γὰρ τὰ βλέφαρα. καὶ τὰ τούτων τρα-
σύματα. καὶ τραχώματα ἐξομαλίζει, ὕδατι ἐγχριόμενον. καὶ ἀμβλυωπίας δὲ ἔπαυσε στῦφον. καὶ
ὡς ἐκθλῖψαι τὰ προσκείμενα τῷ ὀφθαλμῷ ὑγρά. ἐπὶ δὲ τῶν δυσαισθήτων ὀφθαλμῶν τῷ λευκῷ
τοῦ ὠοῦ τὴν ἄνεσιν τοῦ κολλυρίου δεῖ ποιεῖσθαι. ἀπορήσαντα δὲ τοῦ λευκοῦ τοῦ ὠοῦ, ἄρτον καθαρὸν
μὴ ὀξίζοντα, μὴ δὲ ἁλῶν πλεῖστον μετέχοντα, ἀποβρέχοντες, λαμβάνομεν τὸ ὕδωρ διηθημένον πρὸς
τὴν ἔγχρισιν. εἰ δὲ μὴ, ἄλευρον καθαρὸν ἀποβρέχοντες καὶ διηθήσαντες, χρώμεθα τῷ ἀποβρέγμα-
τι. προσήκει δὲ μὴ ἀθρόας, τὰς μεταβολὰς τῶν βοηθημάτων ποιεῖσθαι. μὴ δὲ μίαν ἄλλῳ μὲν ἐγ-
30 χρίειν. ἄλλῳ δὲ ἐπιχρίειν κολλυρίῳ. ξενισμὸν γάρ τινα μᾶλλον παθὼν ὁ ὀφθαλμὸς, ἀδικεῖται.
τῷ μὲν οὖν ἑκατονταρχίῳ ὡς προείρηται, πρὸς τὰς συμπεπλεγμένας διαθέσεις, χρηστέον. ἐξυ-
δαρουμένων ἡμῶν αὐτὸ ἐν τῇ χρήσει. αὕτη γὰρ αὐτοῦ θαυμάσιος ἀγωγή. Ἄλλο δέ τι κολλύριον
ἐστὶ κατικόν. τῆς μὲν αὐτῆς ὕλης, τυγχάνον. διαφωνίαν δὲ μόνον φέρον πρὸς τὴν συσταθμίαν. ὑπερ-
βάλλει δὲ τοῦ προτέρου κατὰ τὴν οἰκείαν ἐνέργειαν. μεγάλως γὰρ ἐθεασάμεθα τὴν τῶν αὐτοῦ ἔρ-
γων ἔκβασιν. καὶ τοῦτο δὲ τοῖς πολλοῖς τῶν ἰατρῶν ἀγνοεῖται. λαμβάνει δὲ, χαλκοῦ κεκαυμένου, Γο.
γ΄. καδμείας, Γο. γ΄. ὀπίου σμύρνης, ἀνὰ ∠ δ΄. ἀκακίας, Γο. ζ΄ S. ὕδωρ, τοῦτο τὸ κολλύ-
ριον, ἄρρητόν τινα κεκτημένον δύναμιν. καὶ ἐν καιρῷ προσαχθὲν, ἀπεγνωσμένα πάθη ἰάσατο.
καὶ ὀδύνας χαλεπὰς ἰάσατο. καὶ ἔστησεν. ὁ δὲ καιρὸς τῆς προσαγωγῆς αὐτοῦ, ἡ τῆς ὀφθαλμίας
ἀκμὴ τυγχάνει, ὁπηνίκα πέψις γένηται. καὶ ἡ λήμη ὀφθείη καὶ ἐν αὐτῷ τῷ ὀφθαλμῷ. ὥσπερ ὑ-
40 φαιμόν τι ἐμφαίνηται. ἄν τε γὰρ χήμωσις τὸ λυποῦν. ἄν τε φλεγμονὴ τῶν βλεφάρων, ἁρμό-
διον ἐστὶ τούτοις τὸ βοήθημα. εἰς τοσοῦτον γὰρ ῥᾳστώνης οἱ κάμνοντες ἐπειράθησαν. ὡς ἐπὶ πολὺ, πρὸ
τούτου ἀγρυπνήσαντες, παρ' αὐτὰ τῆς ἐγχρίσεως, ὕπνου τυχεῖν. θαρρῶν οὖν προσέρχου τῷ βοη-
θήματι. προσκοπῶν μὴ λεπτὸν δάκρυον μετὰ τὴν ἔγχρισιν τοῦ κολλυρίου ἀποῤῥεύσειεν. ἕξεις γὰρ
κἂν τούτῳ τὸ σημεῖον τῆς ἐπιτεύξεως. τὸ μηθ' ὅλως μετὰ τὴν ἔγχρισιν δάκρυον ἀποῤῥεῦσαι. οἷς μὲν
γὰρ ἐπὶ τῆς πρώτης ἐγχρίσεως ἡ ἐπίχυσις τοῦ δακρύου γέγονεν, ἄστυφοι δὲ διέμειναν. καὶ ὁ ὕπνος
ἐπῆλθε, προσδοκητέον παρ' αὐτὰ τὴν ὑγείαν, ὡς μὴ δεηθῆναι ἡμᾶς δευτέρας ἐγχρίσεως. εἰ δὲ
στύψις γένοιτο κατὰ τὴν πρώτην ἔγχρισιν, ἐγχυματέον τὸ αὐτίκα τῷ λευκῷ τοῦ ὠοῦ καθ' αὑτὸ θερ-
μανθέντι μετρίως. ἀλλ' ἐν τῇ δευτέρᾳ χρίσει ἢ τῇ τρίτῃ, ἀπαλλάσσονται τοῦ συμπτώματος. τὸ
μὲν γὰρ πρῶτον ὥσπερ ξενιζόμενος ὁ ὀφθαλμὸς, δάκνεται. τὸ δὲ δεύτερον ὡς ἐν συνηθείᾳ γινό-
50 μενος, μᾶλλον ἥδεται. κνησμονὴ τε γὰρ αὐτοῖς ὀλίγη γίγνεται μετά τινος ἡδονῆς. καὶ τοῦτο ἐστὶ
τὸ σημεῖον τῆς ἐπιτυχίας. τὰ γὰρ ἐν βάθει σώματα ἐλευθερούμενα τοῖς ἐπιπολῆς, προσεῖπε
τὰς αἰτίας. παρακελεύειν δὲ τοῖς ἐγχρισθεῖσι, μὴ διανοίγειν πρὸ τῆς πέψεως τοῦ κολλυρίου, τοὺς
ὀφθαλμούς. διακινούμενοι γὰρ οἱ πόροι, ἀραιοῦνται. καὶ συγκαταβαῖνον τὸ κολλύριον τῷ βάθει,
τὴν δῆξιν ποιεῖται. μετὰ δὲ τὴν πέψιν τοῦ κολλυρίου, ἀποσπογγίζειν δεῖ μὴ πάνυ πιεζοῦντα. καὶ ἐπὶ

χρίειν αὐτῷ τῷ κολλυρίῳ ὑδαρεστέρῳ. περίτασις γὰρ τοῦ βλεφάρου γίνεται ἐν τοῖς παχυτέροις
περιχρίσμασιν, ὡς δυσφορεῖν τοὺς κάμνοντας. καὶ βαρεῖσθαι τὰ βλέφαρα. ἐπὶ μὲν οὖν τῆς ἀρ-
χῆς, ὠῷ ἐγχριέσθω. ὑδαρέστερον μὲν ἀνιέντες αὐτό. τὴν συστροφὴν δὲ αὐτοῦ ποιήσαντες, διὰ τοῦ πυρα
κονίου. παχύτερον γὰρ ἑαυτοῦ γίνεται θερμαινόμενον. οὕτως γὰρ προσενεχθὲν ἐπὶ τῆς περιω-
δυνίας, θαυμάσιον ὤφθη τὸ κολλύριον. καὶ γὰρ καὶ τὴν δοκοῦσαν ἐν αὐτῷ μικρὰν στύψιν ἐκ ταύ
της τῆς ἀγωγῆς ἀποβάλλομεν παντελῶς. ἐπὶ δὲ τῆς ἀκμῆς μετ᾽ ὠοῦ παραλαμβανέσθω. ἐπὶ δὲ τῆς
παρακμῆς ὕδατι. καὶ ὑπὸ τὸ βλέφαρον ἐγχριέσθω. κἂν γὰρ δάσυμα ὑπολειφθείη, ἰᾶται καὶ
τοῦτο. καὶ τοῖς παιδίοις δὲ μεγάλως ἁρμόττει. ἀποθεραπεύει γὰρ καὶ τὰ τούτων συγκαύματα.
ἐγχωρεῖ δὲ καὶ πλειόνων βοηθημάτων ἔκθεσιν ποιησαμένους, δυσχέρειαν τοῖς ἐντυγχάνουσι μᾶλ-
10 λον ἐμποιῆσαι. μικρῷ δὲ πόνῳ ἐπιδεξάμενοι. μᾶλλον δὲ τῇ πείρᾳ εὑρόντες τὰ προγεγραμμένα κολ-
λύρια. τὰς ἐνεργείας ἅμα ταῖς σκευασίαις ἀφθόνως ἐκδεδώκαμεν.

Κολλύριον στατικὸν τὸ δι᾽ ἐλαίου ὡς Ὀρειβάσιος.

Καδμίας κεκαυμένης, καὶ πεπλυμένης, ∠. μ̄. χαλκοῦ κεκαυμένου πεπλυμένου, ∠. η̄. ὀπίου, σμύρ
νης, ἀνὰ ∠. ῑ. ἀκακίας, ∠. ϙ̄. κόμεως ∠. ρκ̄. ὕδατι λείου. καὶ πρὸς τὴν ἀνάληψιν, ἐπίβαλε ἐλαίου
ὀμφακίνου, Γο. γ̄. καὶ ∠. γ̄. πρὸς ἀρχὰς ὑδαρὲς δι᾽ ὠοῦ. Ἄλλο τὸ δι᾽ ἐλαίου, ὡς ἐπειράθην. ποιεῖ
πρὸς ἀρχὰς ὀφθαλμιῶν καὶ ῥεύματα. καὶ παλαιὰς διαθέσεις. καὶ πρὸς τὰ διαβεβρωμένα βλέ-
φαρα. Καδμίας, ∠. κδ̄. χαλκοῦ ∠. κδ̄. σμύρνης, ∠. ς̄. ὀπίου ∠. ᾱ. ἀκακίας. κόμεως, ἀνὰ ∠.
μη̄. ἐλαίου ὀμφακίνου, Γο. β̄. ὕδατι λείου. Κολλύριον αἰγίδιον. αἰγοπρόσωπον στατικὸν, πρὸς μὲν
ἀρχὰς δι᾽ ὠοῦ παχύ. καὶ πρὸς τὰς παρακμὰς ὡσαύτως. πρὸς δὲ τὰς ἀκμὰς ὑδαρές. ποιεῖ παραδό
20 ξως πρὸς ὑπωπίους. καὶ ῥυπαρὰ ἕλκη ἀνακαθαίρει κατὰ βραχύ. ἀνωδύνους τε παραχρῆμα ποιεῖ.
Καδμίας, Γο. ᾱ. S. χαλκοῦ Γο. ᾱ. S. κρόκου ∠. δ̄. ἀλόης, Γο. η̄. λυκίου ἰνδικοῦ, Γο. β̄. ἀκακίας Γο. ς̄.
ὀπίου Γο. ᾱ S. σμύρνης ∠. δ̄. γλαυκίου(?) Γο. ᾱ. κόμεως Γο. ς̄. ὕδωρ. Ἑρμόλαος ὁ μικρὸς, καδμίας
Γο. ᾱ. κρόκου, ∠. δ̄. σμύρνης, ∠. δ̄. ἀλόης, ∠. η̄. ἀκακίας, ∠. η̄. κόμεως, ∠. η̄. ὕδωρ. χρῶ αὐτῷ πα
ραμίσγων τοῖς ἀδήκτοις κολλυρίοις. καὶ ἐγχυματίζων κατ᾽ ἀρχὰς μετ᾽ ὠοῦ. Ἑρμόλαος ὁ μέγας. ποιεῖ
πρὸς τὰ προῤῥηθέντα πολλῷ ἄμεινον. Καδμίας Γο. η̄. ναρδοστάχυος, Γο. ᾱ. S. χαλκοῦ Γο. ᾱ. S. κρόκου
Γο. δ̄. ἀλόης, Γο. η̄. λυκίου ἰνδικοῦ, Γο. β̄. ἀκακίας, Γο. ς̄. ὀπίου Γο. δ̄. ζιγγιβέρεως, Γο. δ̄. ζαγχαλάνθου(?), Γο
ᾱ. κόμεως, Γο. ς̄. ὕδωρ. Ὀλυμπιονίκου. Ποιεῖ πρὸς τὰς μεγίστας περιωδυνίας. καὶ χημώσεις. καὶ
καθόλου τῶν ἐπιτετευγμένων ἐστὶ κολλυρίων. καὶ γὰρ εὐθέως ἀπαλλάττει. Καδμίας πεπλυμένης
∠. η̄. στίμμεως πεπλυμένης, ∠. η̄. ἀλόης ∠. η̄. σμύρνης, ∠. δ̄ κρόκου, ∠. δ̄. ὀπίου ∠. δ̄. κόμεως, ∠
30 η̄. ὕδωρ. ἡ χρῆσις δι᾽ ὠοῦ. ἡ κρᾶσις παχυτέρα. ἐγὼ προσέθηκα πομφόλυγος, ∠. δ̄. καὶ λιβανίου. ∠
δ̄. Στρικηρὸν τὸ ἀχάριστον ἐπιγραφόμενον. πρὸς τὰς μεγίστας ἐπιφοράς. τούτῳ ἐν Αἰγύπτῳ χρώμε
νοι, εὐημεροῦσι μάλιστα ἐπὶ τῶν ἀγροικοτέρων. καδμίας, ∠. ις̄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου,
∠. η̄. ὀπίου ∠. δ̄. στρίχνου καρποῦ, ∠. δ̄. ἀκακίας, ∠. η̄. σμύρνης ∠. δ̄. κόμεως ∠. ις̄. ὕδατι λείου.
καὶ ἀναλάμβανε. ἡ χρῖσις διὰ γάλακτος γυναικείου. ἡ κρᾶσις μέση. ὅπου δέ ἐστι περὶ τοὺς ὀφθαλμοὺς
διάθεσις, ἀπέχεσθαι δεῖ τοῦ κολλυρίου. ἐγὼ δὲ τούτῳ ἐχρησάμην. καδμίας ∠. ις̄. χαλκοῦ κεκαυμένου
πεπλυμένου, ∠. δ̄. στρίχνου καρποῦ, ∠. β̄. ὀπίου ∠. β̄. σμύρνης, ∠. ᾱ. ἀκακίας, ∠. ᾱ. κόμεως,
∠. η̄. ὕδωρ. ἡ χρῖσις ἐν μὲν ταῖς ἀρχαῖς, ὑδαρές. καὶ λοῦε. ἐν δὲ ταῖς παρακμαῖς μετ᾽ ὠοῦ πάχει ἐγ
χρίε. Ἄλλο στρικηρὸν, ὃ ἔλαβον μετὰ πολλοῦ χρήματος. ὡς μέγα δῶρον. Ποιεῖ πρὸς τὰ προειρημένα
πολλῷ κρεῖττον καὶ πρὸς τὰ τραχέα βλέφαρα. καὶ πρὸς ἀτονίαν αὐτῶν. ἐὰν μὴ πρῶτον τὸ ῥεῦμα
40 ἀθροίσας λάβῃς, μὴ ἔγχριε. καδμίας, ∠. η̄. χαλκοῦ κεκαυμένου, ∠. δ̄. χαλκίτεως ὠμῆς, ∠. η̄. ἀλόης
∠. ς̄. ὀπίου, ∠. δ̄. κρόκου ∠. δ̄. στρίχνου καρποῦ, ∠. δ̄. ἀκακίας, ∠. ιβ̄. κόμεως, ∠. ιβ̄. ὕδωρ.
Ἄλλο στρικηρὸν εὐδόκιμον. ὃ καλεῖται ἐσχισμένον ἀχάριστον. ποιοῦν πρὸς ῥεύματα παλαιά. καὶ ὀδύ-
νας μεγίστας τὰς δίχα ἑλκώσεως. ἀπ᾽ ἀρχῆς μέχρι τέλους σὺν ὕδατι. ἐπέχει χρόνια ῥεύματα ἐπὶ
ἑλκώσεων μετ᾽ ὠοῦ ὑδαρές. τραχώματα δὲ λεπτύνει μεθ᾽ ὕδατος. καὶ λευκώματα ἀποσμήχει. καὶ τὰς
κεχρονισμένας τραχύτητας τῆς ὄψεως ἰᾶται. καὶ μετὰ τὴν ἆρσιν τῶν πτερυγίων, ἐστὶν εὔχρηστον. ἀπολε-
πτύνει γὰρ τοὺς ὑμένας. καὶ τὰς οὐλὰς ὁμαλὰς ἐργάζεται. σφόδρα δὲ ἐστὶν ὠφέλιμον, ἐπὶ τῶν ὑποκε-
χυμένων μετὰ τὴν παρακέντησιν. διὰ γὰρ τῆς ἠπίας στύψεως, τόνον τῷ ὀφθαλμῷ ἐντίθησιν. ἔστι δὲ καὶ
παιδικὸν εὔχρηστον, καδμίας, ∠. ις̄. χαλκοῦ, ∠. δ̄. στρίχνου καρποῦ. ὀπίου. σμύρνης ἀνὰ ∠. η̄. ἀκα
κίας, ∠. δ̄. κόμεως, ∠. η̄. τούτου μὲν πεῖραν ἐγὼ οὐκ ἔλαβον. ὅσα δὲ περὶ αὐτοῦ ἐῤῥέθη, ποιεῖ τὸ
50 πρὸ αὐτοῦ γεγραμμένον.

Περὶ τῶν ἀδήκτων κολλυρίων. Γαληνοῦ. ρδ᾽.

Τῶν ἀδήκτων λεγομένων, τινὰ μὲν γνώδη ταῖς οὐσίαις ἐστὶν ἄδηλα ψύξεως ἐπιφανοῦς. ἢ θερμασίας.
ἐν τῷ μέσῳ τούτων πως καθεστηκότα. καὶ τούτων αὐτῶν ἔνια μὲν, βραχὺ ψύξεως. ἢ θερμα-
σίας μετέχοντα. τινὰ δὲ οὐδόλως οὐδεμίαν ἐμφαίνονται τοιαύτην δύναμιν. ὅλον γοῦν τὸ
γένος αὐτῶν, ἐμπλαστικόν ἐστι. ἐναντίαν ἐχόντων δύναμιν τοῖς ἐμφρακτικοῖς, ὁποῖός ἐστιν

ὅτε σάμιος ἀστήρ. λεπτομερέστερος ὢν τῆς ἁπλῆς ὀνομαζομένης σαμίας γῆς. ὅτε πεπλυμένος πομ-
φόλυξ. καὶ ἡ σποδὸς αὐτοῦ πλυθεῖσα. καὶ ἡ καδμεία κεκαυμένη καὶ πεπλυμένη. ταύτῃ δὲ βραχὺ
καὶ ῥυπτικὸν τι ὑπάρχει. ἐάν τε μετὰ τὴν καῦσιν, ἐάν τε χωρὶς ταύτης πλυθῇ. τῇ πομφόλυγι δὲ καὶ
τῷ σποδίῳ βραχὺ στυπτικόν ἐστιν. ὥσπερ γε καὶ τῷ κεκαυμένῳ καὶ πεπλυμένῳ μολίβδῳ. ἔστι γὰρ
ἄδηκτον ἔχει δέ τι καὶ στύψεως. ἔστι δὲ καὶ τὸ ἄμυλον ἄδηκτον. καὶ τὸ ψιμμύθιον πλυθὲν, ἐγγύς ἐστι τῇ
δυνάμει τοῦ κεκαυμένου καὶ πεπλυμένου μολίβδου. ἄδηκτον δέ ἐστι καὶ τὸ τῆς πτίσεως ἀφέψημα.
καὶ τὸ ἐν τοῖς ᾠοῖς λευκὸν καὶ λεπτόν. καὶ τὸ γάλα τὸ εὔχυμον, ἐν τῷ γένει τούτων ἡγητέον εἶναι,
τό τε κόμμι. καὶ τὴν τραγάκανθαν. τὸ δὲ στίμμι, ἄπλυτον μὲν, ἰσχυρὰν ἐπιδείκνυται τὴν στυπτικὴν
δύναμιν. ἐκλύεται δὲ πλυθὲν, ὡς ἐγγὺς ἥκειν ἀδήκτου. Ἕτερον δὲ γένος ἐστὶ τῶν βραχεῖαν ἐχόν-
10 των δῆξιν, ἐκ τοῦ μεμίχθαι τινὰ αὐτοῖς τῶν ἐπ' ὀλίγον στυφόντων. ὁποῖά ἐστι ῥόδα τε καὶ λιβανωτός.
ὀλίγην μὲν ἐχόντων τῶν ῥόδων τὴν στύψιν. ὀλίγον δὲ καὶ τὸ ῥυπτικὸν τοῦ λιβανωτοῦ. θερμὸς δὲ συμμέ-
τρως κατὰ δύναμιν ὑπάρχων ὁ λιβανωτὸς, ἔχει τι διαφορητικόν τε καὶ ἀνώδυνον. ἐκ ταὐτοῦ δὲ
τοῦ γένους αὐτῷ κατὰ τὸ πέττειν τε καὶ διαφορεῖν μετρίως ἡγητέον εἶναι, τόν τε κρόκον. καὶ τὴν
σμύρναν ἀλλήλων διαφέροντα τῷ τὸν μὲν κρόκον, στύφειν μετρίως. τὴν δὲ σμύρναν ἄνευ στύψεως
διαφορεῖν. καὶ ξηραίνειν τὰς ὑγρότητας, οὐκ ἀλγεινῶς. προσφέρεται μὲν οὖν ἀπὸ τῶν ἰατρῶν,
τὰ ἀδηκτότατα κατὰ τὰς δυσιατωτέρας διαθέσεις. ἐν αἷς ἕλκος ἐστὶν ἤτοι μόνον, ἤτοι διὰ μετα-
βρώσεως τοῦ κερατοειδοῦς χιτῶνος. καὶ προπτώσεως τοῦ ῥαγοειδοῦς, ἐκρεόντων ἰχώρων δακνωδε-
στάτων. ἐπὶ τούτων γὰρ οὐδὲν τῶν ἄλλων φαρμάκων ἁρμόττειν φαίνεται. τῶν μὲν στυφόντων κατε-
χόντων τοὺς ἐκρέοντας ἰχῶρας. καὶ κατὰ τοῦτο ἐκ τῆς δήξεως αὐτῶν ὀδύνην ἐπιτεινόντων. τῶν
20 δὲ δριμέων συναυξανόντων τὴν διάθεσιν. ἡ δὲ τῶν χαλαστικῶν τε καὶ διαφορητικῶν φαρμάκων
δύναμις, ἐκκενοῦν μὲν δύναται τὸ χεόμενον. οὔτε δὲ τὸ ἡλκωμένον ἀνατρέφειν, ἢ ἐπουλοῦν.
οὔτε τὸ προπεπτωκὸς προστέλλειν τε καὶ κατακλείειν. ὥσπερ οὐδὲ ἡ τῶν πεπτικῶν, εἰ καὶ τὸ πέττειν
τὰς διαθέσεις, οὐ σμικρὸν ἔχει. τί δεῖ καὶ λέγειν ἔτι περὶ τῶν ὀξείας ἢ πικρὰς ἐχόντων δυνάμεις
φαρμάκων, ὡς δακνώδη καὶ παροξυντικὰ τῶν τοιούτων ἐστὶ διαθέσεων. ἐπὶ πλέον δὲ αὐτῶν ἥκει
κακίας, τὰ νιτρώδη δύναμιν καὶ ἁλμυρὰν ἔχοντα. πρὸς ταύτας οὖν τὰς διαθέσεις, ἁρμόττειν
φαίνεται τὸ τῶν προειρημένων ἀδήκτων φαρμάκων γένος. ἐκθεραπεύειν ἀδήκτως δυναμένων, τὰ
μετὰ ῥεύματος δριμέος ἕλκη. ἐν πλείονι χρόνῳ τὴν ἐν τῷ πεπονθότι μορίῳ ἐκδαπανῶντα κακο-
χυμίαν. καὶ ξηραίνοντα. ἥ τις διαφθείρει καὶ τὸ ἐπιρρέον τοῖς τόποις χρηστὸν αἷμα. καλεῖται δὲ ἀπὸ
τῶν ἰατρῶν τὰ τοιαῦτα κολλύρια, λιβυανὰ καὶ κύκνοι, προσάγουσι δὲ αὐτὰ τοῖς ὀφθαλμοῖς ἀπο
30 τρίβοντες σὺν γάλακτι εὐχύμου γυναικός. διότι βούλονται φυλάττεσθαι τὸ τῶν ᾠῶν ἐμπλαστι-
κόν. περιεχομένου γὰρ ἐν τῷ γάλακτι τινὸς ὀρρώδους ῥυπτικοῦ, σύμμετρος ἡ χρῆσις αὐτοῦ γίνεται τῇ
προκειμένῃ θεραπείᾳ. ῥυπτικῶν γὰρ ἀδήκτων χρήζει τὰ πληρώσεως δεόμενα τῶν ἑλκῶν. εἰ δὲ μὴ
παρείη γάλα τοιοῦτον, διὰ τοῦ τῆς πτίσεως ἀφεψήματος, ἄμεινον τρίβειν ἐπὶ τούτων τὰ κολλύρια.
ῥυπτικῆς ἐχούσης τι καὶ αὐτῆς. τὰ μὲν οὖν σποδιακὰ καὶ τὰ τεφρανὰ καλούμενα, κοινὴν ἔχει
δύναμιν. τὴν παρηγορικήν. ψυκτικήν τε καὶ μετρίως ἄδηκτον.

Περὶ τῶν ἀδήκτων καὶ λευκῶν κολλυρίων. ες΄.

Ἕτερον δέ ἐστι λευκὸν κολλύριον, ὃ τοὺς πολλοὺς μὲν διέφυγε, διὰ τὴν τῆς κατασκευῆς εὐτέλειαν. πρὸς
τινων δὲ ἐνομίσθη μηδὲν ἐργάσασθαι δυνάμενον. πολλὴν δὲ ἐκ τούτου ἐκαρπωσάμην τὴν ὠφέλειαν,
πρὸς τὴν προκειμένην διάθεσιν. ὑπερβαλλόντως μὲν οὖν ποιεῖ πρὸς πᾶσαν θερμὴν ὀφθαλμίαν.
40 ἐνεργεῖ δὲ καὶ πρὸς τὰ κνησμώδη καὶ περιβεβρωμένα βλέφαρα. πολλάκις γὰρ ἡμῶν πολλὰ
ποιησάντων ἐπὶ τῆς τοιαύτης δυσκρασίας, ἠτυχοῦμεν. ὀψὲ δὲ ποτε εὐπορήσαντες τούτου, μεγά-
λην δύναμιν εὕρομεν ἐν αὐτῷ ἐπὶ τῆς δυσιάτου καὶ σχεδὸν ἀνιάτου διαθέσεως. εἰς τοσοῦτον γὰρ
παρεμυθήθη ὁ κάμνων, ὡς θεόθεν αὐτὸ ῆ. λέγειν τὸ κολλύριον. καὶ πρὸς ὑπωπίους δὲ ὀφθαλμοὺς,
δαιμονίως ποιεῖ. ξηραίνει γὰρ αὐτῶν ἀδήκτως τὸ ὑγρὸν ἐν βραχεῖ χρόνῳ. καὶ ἀτάραχον τὸν ὀφθαλ-
μὸν φυλάττει. θεραπεύει δὲ συντόμως καὶ τὰς ἀπὸ τῶν μικρῶν κανθῶν ἐν τῷ λευκῷ γινομέ-
νας ἐρυθρότητας. συμπάρεστι δὲ αὐταῖς κατὰ μέσον ὥσπερ ἐξανθήματι. ἀφ' οὗ καὶ τὸ ὅλον ἐρύ-
θημα συνέβη. ἐπὶ μὲν οὖν τῶν προρηθεισῶν διαθέσεων. ἐν οἷς καὶ τὴν ἕλκωσιν ὑπεθέμεθα, δαιμο-
νίως ποιεῖ. ὡς μὴ δεῖ τῆς πτίσεως ἡμᾶς δεηθῆναι. ἐπειδὴ αὐτὴ τῇ συνθέσει τοῦ κολλυρίου συμπάρεστι.
χρώμεθα δὲ αὐτῷ ἄλλοτε ἄλλως. ἐπὶ μὲν περιωδυνίας, ἅμα τῷ λευκῷ τοῦ ᾠοῦ. οὕτως γὰρ αὐτοῦ
50 παρ' αὐτὰ παρηγορεῖ. ἐφ' ὧν δὲ ὀδύνη οὐ κρατεῖ. πεπάχυνται δὲ τὰ βλέφαρα, καὶ ὕδατι ἐγχυ-
ματίζομεν. ἐνίοτε δὲ καὶ ἐγχρίομεν. καὶ πρὸς πᾶσαν ἁπλῶς ὀφθαλμίας ἀρχὴν, τὴν ἄλλην τῶν
κολλυρίων ὕλην περιττὴν ἡγούμεθα. ὑπερανέβη γὰρ τῶν ὁμογενῶν αὐτοῦ κατὰ δύναμιν. ἀδηκ-
τότερον μὲν γὰρ καὶ παρηγορικώτερόν ἐστι τῶν ἄλλων. τὰ μὲν γὰρ ἄλλα ὀπίου λαμβάνουσι
καὶ ἀμύλου. ἔσθ' ὅτε δὲ καὶ σμύρνης. φθορούσης τινὰ στύψιν. τοῦτο δὲ τὸ κολλύριον, ἠλευθέρωται

τούτων. τοῦ μὲν γὰρ κροκινοῦ, ὑπερβάλλει κατ' ἐνέργειαν. πρὸς τὰς ἐγκαύσεις καὶ πυρακτώσεις
τῶν βλεφάρων ποιεῖ. καὶ πρὸς τὰς τοῦ ἡλίου περιφλέξεις. καὶ τὰ λεπτὰ δὲ καὶ τὰ δριμέα τῶν
ῥευμάτων ἀμβλύνει ὕδατι ἐγχριόμενον. ποτὲ δὲ καὶ ῥόδων ἀφεψήματι. καὶ τοὺς γλαυκοφθάλμους
δὲ καὶ προπετῆ ἔχοντας τὴν τοῦ κρυσταλλοειδοῦς ὑγροῦ θέσιν, καλῶς λαμπρύνει ὑδαρεῖ ἐγχυματι-
ζόμενον. καὶ ὅσοις δὲ ἡ τῶν ὀφθαλμῶν φύσις οὐ φέρει στύψιν, τούτοις πᾶσιν ἄριστόν ἐστι βοήθημα. ἡ
δὲ σύνθεσις τοῦ κολλυρίου αὕτη, ψιμμυθίου Γο. ιβ. καδμείας, Γο. ϛ. τραγακάνθης, Γο. γ. σκευάζεται
δὲ οὕτως. καδμείαν βοτρυΐτιν ἀνθράκοις διαπύροις κρύψαντες, ἐκριπίζομεν τὴν φλόγα. καὶ διαπύρου
γενομένης τῆς καδμείας, αἴροντες σβέννυμεν γάλακτι ὀνείῳ. ἔπειτα δεύτερον αὐτὴν τοῖς ἄνθραξιν
ἐγκρύπτομεν, καὶ πυρωθείσης, αὖθις σβέννυμεν γάλακτι. καὶ ἐκ τρίτου τὸ αὐτὸ ποιοῦμεν. εἶτα κό-
10 ψαντες. σήσαντες λεπτῷ κοσκίνῳ. καὶ βαλόντες εἰς θυίαν τινὰ βαθεῖαν. καὶ ἐπιβαλόντες ὕδωρ πηγαῖον
καθαρὸν, λειοῦμεν. εἶτα ἐάσαντες καταστῆναι, σίφωνι ἀνασπῶμεν τὸ ὕδωρ σὺν τῷ ἐφισταμένῳ ἐπι-
πάγῳ. καὶ αὖθις ἕτερον καθαρὸν ὕδωρ ἐπιβάλλομεν. καὶ λειώσαντες ἱκανῶς. καὶ ἐάσαντες πάλιν
καταστῆναι, ἀνασπῶμεν τῷ σίφωνι τὸ ὕδωρ. καὶ τοῦτο ποιοῦμεν πλειστάκις, ἄχρις ὅτου μηκέτι ἐφί-
σταται τῷ ὕδατι ἐπίπαγος. εἶτα ξηραίνοντες τὴν καδμείαν ἀκριβῶς. καὶ στήσαντες τὰς ἓξ Γο. καὶ βα-
λόντες εἰς θυίαν κολλυριακήν. καὶ ἐπιβαλόντες ὕδωρ ὄμβριον καθαρώτατον, λειοῦμεν ἀκριβέστα-
τα. ὡς μὴ ὑποπίπτειν τῇ γλώττῃ τὴν τραχύτητα. καὶ οὕτως τὸ ψιμμύθιον, τῷ προειρημένῳ τρόπῳ
ἀποπλύνοντες, ἐπιβάλλομεν τὴν καδμείαν. καὶ συλλειώσαντες αὐτὰ ἐπὶ ἡμέρας ιε σὺν ὀμβρίῳ
ὕδατι, τότε λαμβάνομεν τὴν τραγάκανθον λευκὴν καὶ διαυγεστάτην, καὶ ἀποπλύναντες. καὶ ἀπο-
βαλόντες τὸ ἐν αὐτῇ ψαμμῶδες, βρέχομεν εἰς ἀφέψημα τίλεως. καὶ ἐῶμεν βραχῆναι νύκτα καὶ
20 ἡμέραν μόνον. πλεῖστον δὲ χρὴ ἐμβάλλειν τοῦ χυλοῦ τῆς τίλεως. σκευασθέντος δὲ ὡς προείρηται ἐν
ἀρχῇ τοῦδε τοῦ λόγου, κεφαλαίῳ ις. ἀναπίνεται γὰρ ὑπὸ τῆς τραγακάνθης, ὡς ὑπὸ σπόγγου. τῇ
δὲ οὖν δευτέρᾳ τῶν ἡμερῶν ἐν θυίᾳ καθαρᾷ κατὰ βραχὺ λειοῦντες τὴν τραγάκανθον, ἐμβάλλο-
μεν ἐν τῇ θυίᾳ τὰ προλειωθέντα. καὶ συναναμίξαντες ἐπιμελῶς, ἀναλαμβάνομεν ἐν πίναξιν ὑελ-
λίνοις. καὶ σκεπάσαντες ὀθονίῳ ψιλῷ, εἰς ἄνικμον ἀποτιθέμεθα τόπον ἔνθα πνεῖ ἄνεμος. ἀναχαλᾷ γὰρ
τὸ κολλύριον. καὶ βραδύνει πρὸς τὸ πλασθῆναι ἐὰν ἐν διύγρῳ ἀποτεθῇ τόπῳ. οὐ τοσοῦτον γὰρ χρό-
νον ἀπαιτεῖ πρὸς τὴν λείωσιν, ὅσον πρὸς τὴν ἀνάπλασιν. ἔστι μὲν οὖν ἡ τοῦ κολλυρίου σκευὴ αὕτη.
καὶ δυνήσῃ δὲ ἐκ ταύτης τῆς μεθόδου. καὶ ἐπὶ τὰς ὁμογενεῖς τούτου βαδίζειν ὕλας. λυβιανὰ δέ ἐστι
τὰ τοιαῦτα. καὶ τέφρα, σποδιακὰ καλούμενα καὶ κυνάρια. καὶ τὰ λευκὰ διάρροδα. καὶ τὰ διὰ χυλοῦ
κορέως σκευαζόμενα. ὧν ἁπάντων κρεῖττον ὤφθη τὸ προκείμενον κολλύριον. κάλλιστον δὲ τῇ πείρᾳ
30 κέκειται καὶ τοῦτο. καδμείας κεκαυμένης καὶ πεπλυμένης ὡς προείρηται, Γο. δ. ψιμμυθίου ὁμοίως
πεπλυμένου, Γο. ις. ἀμύλου προσφάτου, Γο. ις. ὀπίου, ∠. δ. τραγακάνθης Γο. δ. λείου τὰ λοιπὰ
ὕδατι. τὴν δὲ τραγάκανθαν βρέχε τῷ χυλῷ τῆς τίλεως, ὡς προείρηται ἐπιμελῶς σκευασθέντα. τὸ
δὲ ἄμυλον, μήτε ὀξῶδες, μήτε δυσῶδες ἔστω. Ἄλλο ὀνιλαμμὸν ἐπικαλούμενον. ἁπαλόν. ἀνώδυνον.
ναρκωτικόν. ἐκ τοῦ γένους ὑπάρχον τῶν κυναρίων. ποιεῖ δὲ καὶ ἐπὶ τῶν ἑλκώσεων μετὰ τὴν πρώτην
ἀκμὴν ὀδύνης παρούσης ἐγχριόμενον παχύ. ψιμμυθίου πεπλυμένου, Γο. ϛ. καδμείας κεκαυμένης
καὶ πεπλυμένης, Γο. δ. πομφόλυγος διὰ ῥάκους πεπλυμένου, Γο. β. ὀπίου, Γο. ε. τραγακάνθης Γο. β.
κόμμεως, Γο. ε. ὕδωρ. Ἄλλο κολλύριον ἀσκληπιάδου, ἀνώδυνον πρὸς ῥεύματα παντοῖον. ἕλκη πε-
ριωδυνίας ψίδρακας. προσπτώσεις. χημώσεις. παντοίας διαθέσεις ψιμμυθίου πεπλυμένου,
∠. η. γῆς σαμίας, ∠. η. σποδοῦ πομφόλυγος πεπλυμένης, ∠. ε. τραγακάνθου ∠. β. ὀπίου, ∠. β.
40 κόμεως, ∠. δ. ὕδωρ, ἡ χρῖσις δι' ᾠοῦ. Ἄλλο ἀθανασία καλουμένη. καδμείας κεκαυμένης καὶ ἐσβε-
σμένης γάλακτι ὀνείῳ καὶ πεπλυμένου, Γο. ιε. λείου Γο. γ. ψιμμυθίου, Γο. ιβ. μανδραγόρου χυλοῦ, Γο. ιε.
ἀμύλου κριθίνου, Γο. ιβ. λείου ὕδατι. καὶ πρὸς τὴν ἀνάληψιν, ἐπίβαλε ᾠῶν προσφάτων τὰ λευκά. Κολ-
λύριον ὁ κύκνος τῆς βασιλίσσης. πρὸς τὰς μεγίστας περιωδυνίας καὶ διαθέσεις. καδμείας πεπλυ-
μένης, ∠. ις. ψιμμυθίου πεπλυμένου, ∠. η. ἀκακίας ξανθῆς, ∠. ε. ὀπίου ξανθοῦ, ∠. β. τραγακάν-
θης, ∠. β. κόμεως λευκοῦ, ∠. β. ἀμύλου, ∠. β. ὕδατι λείου. τὸ δὲ ἄμυλον ἔσχατον ἐπίπασσε. ἐγχρο-
νίσαν γὰρ ἐν τῇ θυίᾳ, ὀξίζει. καὶ δριμὺ ἀποτελεῖ τὸ κολλύριον. πρὸς δὲ τὴν ἀνάληψιν, ἐπίβαλλε ᾠῶν
προσφάτων δ, τὸ λευκόν. Ἄλλο τὸ τοῦ βολᾶ. παρηγορικὸν πάσης φλεγμονῆς καὶ συμπεπτικόν. ψιμ-
μυθίου πεφρυγμένου, ∠. λε. κρόκου, ∠. γ. ὀπίου ∠. δ. ἀμύλου προσφάτου, ∠. η. κόμεως, ∠. λβ.
ὕδωρ. Ἄλλο ὁ διὰ τοῦ λιθαργύρου. οὗ αὔγουστον καλοῦσι, λιθαργύρου κεκαυμένου, πεπλυμένου, Γο. ε. πομ-
50 φόλυγος πεπλυμένου, Γο. α. καδμείας κεκαυμένης καὶ πεπλυμένης, Γο. β. ἀμύλου, Γο. β. κόμεως, Γο. ε.
τραγακάνθης, Γο. α. ὕδωρ, ἔστιν ἀνωδυνώτατον καὶ ἀρευμάτιστον. καὶ ἀτάραχον φυλάττει τὸν ὀφθαλμόν.
Κολλύρια λιβυανά. καὶ τέφρα. καὶ σποδιακά. ρξ. Κολλύριον λιβυανὸν ἀσκληπιάδου. πρὸς φλυκ-
τίδας. ἐπικαύματα. ῥήξεις. κοιλώματα. ὑπωπίους ὀφθαλμούς. χημώσεις. σταφυλώματα. περιω-
δυνίας. καὶ διαθέσεις. ἁρμόζει δὲ καὶ ὀλάς. ἔχει δὲ οὕτως. καδμείας κεκαυμένης καὶ πεπλυμένης, ∠.

ις. ψιμμυθίου

ιϛ. ψιμμυθίου κεκαυμένου καὶ πεπλυμένου, ∠. ιϛ. στίμμεως κεκαυμένης πεπλυμένης, ∠. ιβ. ἀμύλου, ∠. ιβ. σποδοῦ πομφόλυγος, ∠. η. μολίβδου κεκαυμένου πεπλυμένου, ∠. η. τραγακάνθης, ∠. η. ὀπίου, ∠. ϛ. κόμμεως, ∠. ϛ. καὶ πρὸς τῇ ἀναλήψει, ὠῶν η. τὰ λευκά. Ὀρειβασίου ἀνίκητον καλούμενον φησὶν ἁπαλὸν λιβυανόν. Ὑπωπίοις ἐν ἀκμαῖς ἕλκεσι. περιωδυνίαις. χημώσεσι. καδμείας. ψιμμυθίου πομφόλυγος ἀνὰ ∠. ιϛ. στίμμεως. ∠. ιϛ. ἀμύλου, ∠. ιβ. μολίβδου κεκαυμένου. γῆς σαμίας. τραγακάνθης, ἀνὰ ∠. η. κόμμεως. ∠. ϛ. σμύρνης ∠. β. ὀπίου ∠. β. ὕδωρ. ἡ χρῖσις διὰ γυναικείου γάλακτος. ἢ ὠοῦ. Ἄλλο λιβυανὸν ὡς ὁ Ὀρειβάσιος. πρὸς ἀρχὰς καὶ ἑλκώσεις. καδμείας κεκαυμένης καὶ πεπλυμένης, ∠. ιϛ. ἀμύλου, ∠. ιϛ. μολίβδου κεκαυμένου πεπλυμένου ∠. η. ψιμμυθίου πεπλυμένου, ∠. η. τραγακάνθης ἀνὰ ∠. ϛ. κόμμεως ∠. ιδ. στίμμεως κεκαυμένης. καὶ πεπλυμένης, ∠. ιϛ. γῆς σαμίας πομφόλυγος πεπλυμένης ἀνὰ ∠. η. σμύρνης ∠. ϛ. ὀπίου, ∠. β. ὕδωρ. Ἄλλο κολλύριον ἀστὴρ Μάγνου τὸ σκευαζόμενον. καδμείας πεπλυμένης, ∠. λβ. μολίβδου κεκαυμένου πεπλυμένου, ∠. λϛ. ψιμμυθίου πεπλυμένου ∠. λβ. στίμμεως κεκαυμένης καὶ πεπλυμένης. ∠. κδ. πομφόλυγος πεπλυμένης ∠. λϛ. λιβάνου. ∠. η. γῆς ἀστέρος ∠. κ. σμύρνης ὀπίου, ἀνὰ ∠. δ. τραγακάνθης κόμμεως ἀνὰ ∠. ιϛ. ἀμύλου ∠. λϛ. ὕδωρ. Ἀσκληπιάδου ἀνίκητος. ἀνώδυνος ἀστὴρ πρὸς περιωδυνίας. φλυκταίνας. σταφυλώματα. ἕλκη ῥυπαρὰ καὶ νεμόμενα. ποιεῖ πρὸς κεχρονισμένας διαθέσεις. καὶ οὐλὰς ἀποσμήχει. καδμείας κεκαυμένης καὶ πεπλυμένης. ∠. ιϛ. στίμμεως κεκαυμένης, ∠. ιϛ. σποδοῦ πομφόλυγος πεπλυμένης, ∠. η. σμύρνης, ∠. β. ὀπίου ∠. ϛ. τραγακάνθης, ∠. η. κόμμεως, ∠. ϛ. ὕδωρ.

Ἄλλο κολλύριον τὸ οὐράνιον. ὡς ὁ Ὀρειβάσιος. πρὸς ἕλκη. καὶ φλυκταίνας. ῥήξεις. ἐπικαύματα. προπτώσεις. σταφυλώματα. ὑπωπίους. διαβρώσεις. νομὰς ἀνθρακώδεις καὶ πρὸς πάσας τὰς μεγάλας διαθέσεις. μάλιστα ψυχροφθάλμοις. καὶ γλαυκοφθάλμοις ἁρμόζει, ἐν ἀρχαῖς ὑδαρέστερον ἐγχυματίζεται. ὅταν δὲ λευκὸν ᾖ καὶ δηκτικόν. καὶ πυρῶδες τὸ ῥεῦμα χρῶ μετὰ γάλακτος. ὅταν δὲ παχὺ ῥεῦμα διαλῦσαι θέλῃς, δι' ὕδατος. καδμείας κεκαυμένης καὶ πεπλυμένης, Γο. β. λεπίδος πεπλυμένης, Γο. δ. γῆς σαμίας κεκαυμένης καὶ πεπλυμένης, Γο. ϛ. σποδοῦ πομφόλυγος πεπλυμένης, Γο. α. ὀπίου ∠. ϛ. κόμμεως, Γο. δ. στίμμεως πεπλυμένης Γο. β. ὕδωρ. χρῶ θαρρῶν. Κολλύριον σποδιακὸν Δημοσθένους. ποιεῖ πρὸς φλεγμονάς, καὶ ῥεύματα. καδμείας ∠. κδ. στίμμεως πεπλυμένης, ∠. ζ. ψιμμυθίου πεπλυμένου, ∠. κδ. γῆς ἀστέρος, ∠. ϛ. λιβάνου ∠. δ. ὀπίου, ∠. ϛ. κόμμεως, ∠. ε. λείου χυλῷ ἐλαίας φύλλων. ποιεῖ δὲ τὸν χυλὸν οὕτως. τὰ ἁπαλὰ φύλλα τῆς ἐλαίας πλύνας. εἶτα κόψας ἐν ὅλμῳ ὕδατος σύμμετρον παραχέων. ὡς χυλὸν ἱκανὸν ἀνεῖναι. εἶτα ἀποθλίψας καὶ διὰ ὀθονίου καθαροῦ διηθήσας, χρῶ. Ἄλλο σποδιακόν. ὡς θαυμαστόν. ἁπαλὸν ποιοῦν πρὸς ῥεύματα. καὶ ἐπιφοράς. ἕλκη. ἐπικαύματα. φλυκταίνας. καδμείας κεκαυμένης. καὶ πεπλυμένης, ∠. η. στίμμεως κεκαυμένης καὶ πεπλυμένης, ∠. β. γῆς ἀστέρος, ∠. δ. ὀπίου ∠. β. κόμμεως, ∠. β. ὕδωρ. Κολλύριον τὸ τέφρον. παχύνει καὶ περικολλᾷ τὰ ῥεύματα τὰ λεπτά. ὥσπερ καὶ τὰ πρὸ αὐτοῦ. κάλλιστα δέ ἐστι τοῦτο πρὸς τὰ θερμὰ ῥεύματα. καδμείας κεκαυμένης καὶ πεπλυμένης, ∠. κε. στίμμεως πεπλυμένης, ∠. η. γῆς σαμίας, ∠. ϛ. ψιμμυθίου, ∠. ϛ. ὀπίου ∠. ε. κόμμεως, ∠. η. ὠῶν προσφάτων τὰ λευκά, ϛ. ὕδωρ. Φιλαγρίου ἄδηκτον παντελῶς, ἀμαυροῖ γὰρ τὴν ἐκ τῶν ῥευμάτων. διὸ καὶ θαρρούντως αὐτῷ προσήκει χρῆσθαι, ἐπὶ δριμέων καὶ λεπτῶν ῥευμάτων. ἀμβλύνει γὰρ ταῦτα καὶ ἀναξηραίνει. τοῦτο καλοῦσι σηρικὸν ἢ σάνδυκα. λαμβάνει δὲ πομφόλυγος πεπλυμένης, ∠. κε. ψιμμυθίου κεκαυμένου καὶ πεπλυμένου, ∠. κε. γῆς ἀστέρος. μολίβδου κεκαυμένου. πεπλυμένου ἀνὰ ∠. κε. κόμμεως λευκοῦ, ∠. μ. ὕδατος ὀμβρίου καθαρωτάτου κόσμου τὸ ἀρκοῦν. ἕκαστον ἰδίᾳ καύσας. πλύνας. ξηράνας. στήσας. βαλὼν, λείου. ἐπὶ τέλει δὲ, κόμμι. εἶτα ἄμυλον. Ἄλλο τοῦ αὐτοῦ, πρὸς ἀναπλήρωσιν ἑλκῶν καὶ μάλιστα κακοήθων. καδμείας κεκαυμένης καὶ πεπλυμένης, ∠. κε. πομφόλυγος πεπλυμένης, ∠. κε. τραγακάνθης, ∠. ι. ὕδωρ. ρθ.

Κολλύριον διὰ λιβάνου, πρὸς ῥεύματα καὶ χημώσεις. καὶ κοιλώματα. καδμείας, ∠. η. λιβάνου. ∠. η. ψιμμυθίου ∠. μ. ὀπίου, ∠. ϛ. γῆς ἀστέρος, ∠. ϛ. κόμμεως. ∠. ϛ. ὕδωρ. ἡ χρῖσις δι' ὠοῦ. Ἄλλο ψυχρὸν ἐπιγραφόμενον. Πρὸς ἐπικαύματα. φλυκταίνας. χημώσεις. καὶ μάλιστα ἐπὶ τῶν μηδ' ἡντινοῦν δῆξιν ὑπομένειν δυναμένων. καδμείας πεπλυμένης, δραχμὰς η. ψιμμυθίου πεπλυμένου, δραχμὰς μη. λιβάνου δραχμὰς η. ὀπίου, δραχμὰς ϛ. ἀμύλου, δραχμὰς η. S. κόμμεως, δραχμὰς ιϛ. ὕδωρ. ἡ χρῖσις δι' ὠοῦ.

Κολλύριον τὸ Κλέωνος ὡς Δημοσθένης. πρὸς τὰ καθαρὰ ἕλκη. καὶ ἤδη δεόμενα ἐπουλώσεως ᾧ ἡμεῖς χρώμενοι, ἀρεσκόμεθα πάνυ. ὅτι τὰ βαθύματα ἕλκη καὶ καθαρὰ πληροῖ ταχ-

σα. καὶ κατουλοῖ συντόμως, λεπτὰς καὶ ἀδήλους οὐλὰς. καὶ ἀφλέγμαντα τὰ ἕλκη διατηρεῖ. ἔχει δὲ οὕτως. σποδίου πεπλυμένου, ∠. δ. μολίβδου κεκαυμένου πεπλυμένου, ∠. δ. λεπίδος σιδήρου στομώματος πεπλυμένου, ∠. α. κρόκου ∠. α. κόμμεως, ∠. β. ὕδωρ. χρῶ μετὰ γάλακτος ἢ ᾠοῦ. χρώμεθα δὲ αὐτῷ φησὶν ἀπολλώνιος, ἐπὶ βαθυτέρας ἑλκώσεως, μετὰ ἀποβρέγματος τραγακάνθης ὑδαροῦς. τινὲς δὲ τοῦ κρόκου, ∠. α. S. ἐμβάλλουσι καὶ αὐτὴ πομφόλυγος, καδμίας τρὶς κεκαυμένης. ἔστι δὲ ἄδηκτον μέν. ὀπισθοβαρὲς δέ. διὸ οὐδέ ποτε αὐτῷ χρηστέον παχεῖ. ἀλλ᾽ ὑδαρῷ.

Κολλύρια διάροδα. χλωρὰ καὶ λευκά. ρι.

10

Κολλύριον διαρόδου νείλου. Πρὸς περιωδυνίας. ῥεύματα λεπτὰ καὶ πολὺ φλυκτίδας. προπτώσεις. καὶ τὰ ἐν ὑπαρᾶ ἕλκη. καὶ τραχέα βλέφαρα. ῥόδων χλωρῶν χωρὶς τῶν λοβῶν, ∠. κδ. κρόκου κορυκιώτου, ∠. ιϛ. ὀπίου ∠. α. ναρδοστάχυος, ∠. α. κόμμεως, ∠. ϛ. ὕδωρ. ἡ χρῖσις δι᾽ ᾠοῦ. ἡ κρᾶσις ὑδαρεστάτη. τινὲς δὲ καὶ πρὸς συγχύσεις. καὶ πλατυκορίας αὐτῷ χρῶνται. Διάροδον τὸ διαγόρου τὸ μέγα καλούμενον. ἢ τὸ διὰ τῶν οβ. χλωρῶν. πρὸς χημώσεις, καὶ περιωδυνίας. φλυκτίδας ἐπικαύματα. σταφυλώματα. προπτώσεις. ὑποπίους ὀφθαλμούς. ῥεύματα παλαιά. κεχρονισμένας ὀφθαλμίας. καὶ δυσεπαλλάκτους διαθέσεις. ῥόδων χλωρῶν ἐξωνυχισμένων, ∠. οβ. καδμίας πεπλυμένης, ∠. κδ. κρόκου ∠. ϛ. στίμμεως, ∠. ϛ. ἰοῦ. ∠. β. ναρδοστάχυος, ∠. β. ὀπίου, ∠. γ. σμύρνης, ∠. γ. κόμμεως, ∠. κδ. λεπίδος χαλκοῦ, ∠. β. ὕδωρ. Ἄλλο ᾧ ἐχρήσατο φλῶρος ἐπὶ τῆς σφόσου μητρός. παρ᾽ ὀλίγον ὑπὸ τῶν ἄλλων ἰατρῶν πηρωθείσης. Ἀκακίας, ∠. μη. ῥόδων ξηρῶν, ∠. μη. μελιλώτων, ∠. κη. σποδοῦ πομφόλυγος, ∠. κδ. κρόκου ∠. κδ. μανδραγόρου μήλων, ∠. ιβ. ὑοσκυάμου σπέρματος, ∠. ϛ. ὀπίου ∠. ϛ. σμύρνης, ∠. δ. χαλκοῦ κεκαυμένου, ∠. δ. κόμμεως, ∠. μ. οἴνου φαλερίνου κοχλιάρια γ. ὕδατος ὀμβρίου κοτύλας τὸν οἶνον καὶ τὸ ὕδωρ μίξας. καὶ τούτοις ἐμβαλὼν ῥόδα μελίλωτον. ὑοσκυάμου σπέρμα. μανδραγόρου τὰ μῆλα. εἰ δὲ μή γε, τοῦ φλοιοῦ, ἔα βρέχεσθαι ἡμέρας, γ. ἔπειτα τὸ ὑγρὸν ἐκθλίψας, χρῶ εἰς τὴν τοῦ κολλυρίου σκευασίαν. χρῶ ὡς δοκιμωτάτῳ. Ἄλλο φιλαγρίου. διὰ ῥόδων πρὸς τὰς φλεγμονάς. συμμιγνύμενον τῷ προρρηθέντι ἀδήκτῳ κολλυρίῳ φιλαγρίου. Ῥόδων χλωρῶν ἐξωνυχισμένων ∠. π. χαλκοῦ κεκαυμένου ∠. λβ. λείου οἴνῳ εὐώδει παλαιῷ σύμφοντι καὶ χρῶ. Διάροδον λευκὸν ἡ μέτρον. φησὶν ὀριβάσιος πρός τε ἀκμὰς καὶ ἕλκη. καὶ ὑποπίους. ἐπικαύματα. ἐσχάρας. καὶ ῥυπαρίας ἑλκῶν. καδμίας κεκαυμένης καὶ πεπλυμένης. στίμμεως κεκαυμένης καὶ πεπλυμένης. ῥόδων νεαρῶν ἐξωνυχισμένων, ἀνὰ ∠. ιϛ. ψιμμυθίου πεπλυμένου. ∠. η. κρόκου, ∠. η. ὀπίου ∠. δ. κόμμεως, ∠. ιϛ. ὕδωρ. ἡ χρῖσις δι᾽ ᾠοῦ. ἢ γάλακτος. ἐν παρακμῇ δὲ μεθ᾽ ὕδατος. Ἄλλο τοῦ αὐτοῦ. ποιεῖ πρὸς ἀκμάς. καδμίας κεκαυμένης. καὶ πεπλυμένης, ∠. ιϛ. ῥόδων νεαρῶν ἐξωνυχισμένων, ∠. η. ὀπίου. ∠. δ. γάλακτος, ∠. δ. κόμμεως ∠. δ. τραγακάνθης, ∠. γ. ἀμύλου, ∠. δ. οἱ δὲ καὶ στιμμίου ἀσβέστου, ∠. β. Διάροδον λευκὸν τὸ διὰ χυλοῦ ὑοσκυάμου. ψιμμυθίου Γο. κε. κρόκου Γο. ε. ὀπίου, Γο. ιβ. σμύρνης, Γο. ε. ῥόδων χλωρῶν ἐξωνυχισμένων, Γο. ιβ. καδμίας κεκαυμένης καὶ πεπλυμένης, Γο. η. κόμμεως, Γο. ιβ. καδμίαν, κρόκον. ῥόδα. λείου ὕδατι. ἔπειτα τὸ ψιμμύθιον ἐπίβαλλε. τοὺς δὲ ὀποὺς καὶ τὸ κόμμι, βρέχε χυλῷ ὑοσκυάμου, χρῶ ἐπὶ τῶν λεπτοτάτων καὶ δριμέων ῥευμάτων. καὶ τῶν μεθ᾽ ἑλκώσεως, ἀποκρούεται γενναίως.

Κολλύριον τὸ διὰ χαλβάνης χλωρόν. ρια.

Πρὸς περιωδυνίας καὶ τὰς διαθέσεις τὰς παλαιάς. καδμίας πεπλυμένης ∠. η. σποδίου πεπλυμένου, ∠. η. χαλκοῦ κεκαυμένου πεπλυμένου, ∠. η. πομφόλυγος ∠. η. ὀπίου ∠. η. χαλβάνης, ∠. η. σμύρνης, ∠. η. κόμμεως, ∠. η. ὕδωρ. τινὲς πομφόλυγα οὐ βάλλουσι.

Κολλύρια διάσμυρνα καὶ κιρρὰ καλούμενα δι᾽ οἴνου. ριβ.

Κολλύριον διάσμυρνον εὐῶδες. συνδρωτὸς φάρμακον ἐπιτετευγμένον πρὸς τὰς κεχρονισμένας διαθέσεις. ποιεῖ πρὸς ῥοιάδας. αἰγίλωπας. καδμίας πεπλυμένης, ∠. κη. λίθου αἱματίτου πεπλυμένου, ∠. κη. σποδοῦ πομφόλυγος ∠. κδ. σμύρνης, ∠. μη. κρόκου ∠. ιδ. ὀπίου ∠. η. πεπέρεως κόκκοι, λ. κόμμεως, ∠. ϛ. οἴνῳ λείου παλαιῷ σύμφοντι. ἡ χρῖσις δι᾽ ᾠοῦ ἐπὶ διαθέσεων προσφάτων. καὶ ἡ κρᾶσις ὑδαρής. Ἄλλο.

Ἀσκληπιάδιον παικίου. Πρὸς περιωδυνίας. ῥεύμα λεπτὸν καὶ πολύ. ἐπικαύματα. φλυκταίνας. ὑμένων ἐπαναστάσεις. τραχώματα. κεχρονισμένας διαθέσεις. καὶ τοὺς ὑπὸ πολλῶν ἐγχρίσεων βλαβέντας,

βλαβέντας, παραχρῆμα ὠφελεῖ. καδμείας πεπλυμένης, ∠. ιβ. χαλκοῦ κεκαυμένου, ∠. ιβ. κρόκου ∠. ιβ. λεπίδος χαλκοῦ πεπλυμένου, ∠. ιβ. σμύρνης, ∠. δ. λίθου αἱματίτου. ∠. δ. ναρδοστάχυος, ∠. δ. πεπέρεως κόκκοι, κδ. ῥόδων ξηρῶν ∠. δ. ὀπίου, ∠. δ. κόμεως, ∠. ιϛ. οἴνῳ λείου παλαιῷ ἀνάλει σύμφοντι. ἡ χρῖσις διʼ ὠοῦ. ἡ κρᾶσις, ὑδαρές. Κολλύριον τὸ ἰσόφωτον. ὑπὸ δὲ τινῶν, ἰσόθεον καλούμενον. Ποιεῖ πρὸς ὑπωπίους καὶ τὰ ἀκάθαρτα ἕλκη. καὶ κοῖλα. καὶ ἀρχὰς ῥευμάτων. μάλιστα ἐπὶ τῶν πληθωρικῶν σωμάτων. ἐφʼ ὧν πλῆθος λημῶν παχυτάτων ἐπὶ τῶν ὀφθαλμῶν εὑρίσκεται. ἔστι δὲ καὶ παιδικόν. καὶ ῥαγωματικὸν ἀγαθόν. καδμείας, ∠. η. χαλκοῦ κεκαυμένου, ∠. δ. ῥόδων ξηρῶν, ∠. δ. κρόκου, ∠. α. φύλλου ∠. α. λίθου σχιστοῦ, ∠. α. σμύρνης, ∠. α. κόμεως ∠. ϛ. λείου οἴνῳ παλαιῷ ἀνάλει σύμφοντι. καὶ χρῶ. ἐπὶ πάντων τῶν προῤῥηθέντων μετʼ ὠοῦ. καθʼ αὑτὸ ὑδαρέστερον ἐγχυματίζων. μετὰ δὲ τὴν τελείαν ἀποκατάστασιν ἀνέσας αὐτὸ μετʼ ὠοῦ, ἔγχριε καθʼ ὑπὸ βελτίω. καὶ λοῦε. εἰ δὲ σύμφοιτο μετὰ τὴν ἔγχρισιν, ὠοῦ τὸ λευκὸν ἐγχυμάτιζε. πρὸς δὲ τὸ λεπτῦναι οὐλὰς, μετʼ ὠοῦ ἔγχριε ὑδαρέστερον. τινὲς προσβάλλουσι τῇ γραφῇ, καὶ πεπέρεως κόκκους θ. ἡμεῖς δὲ παραιτούμεθα τὸ πέπερι ἐπὶ τούτων. Κολλύριον ὁ Διόνυσος. Ποιοῦν πρὸς μυοκέφαλα. ῥαγώματα. ῥευματισμούς. ἀμβλυωπίας. μάλιστα δὲ ποιεῖ πρὸς τὰ χρόνια ῥεύματα. καδμείας, ∠. ιγ. χαλκοῦ. ∠. ε. λίθου σχιστοῦ ∠. γ. λίθου αἱματίτου, ∠. δ. κασσίας ∠. α. ἀλόης, ∠. β. κρόκου, ∠. β. ναρδοστάχυος, ∠. γ. φύλλου ∠. ϛ. λυκίου, ∠. α. πεπέρεως κόκκοι. κα. ὀπίου, ∠. α. σμύρνης, ∠. δ. ἀκακίας, ∠. β. κόμεως, ∠. ϛ. λείου οἴνῳ χίῳ. ἢ ἑτέρῳ αὐστηρῷ, παλαιῷ χρῶ ὡς ἐνεργεστάτῳ. καὶ πρὸς ὑπωπίους. καὶ ῥαγώματα ἐν ἀρχαῖς μετʼ ὠοῦ. εἶτα ὕδατι. ἔστι δὲ ὑπὲρ τὴν ὑπόληψιν ἡ ἐνέργεια. Κολλύριον τὸ χιακὸν ἐκ τῶν δημοσθένους καὶ ἀπολλωνίου φησί. Πρός τε τὰ καθαρὰ ἕλκη. καὶ τὰ νεμόμενα. καὶ τὰς ὑπεροχάς. καὶ τὰς παλαιὰς διαθέσεις. τραχέα βλέφαρα. συκώσεις. ἐκτρόπια. ἥλους. σταφυλώματα πάντα. περιωδυνίας. ψωροφθαλμίας. ποιεῖ δὲ καὶ τὰς οὐλὰς ἀδήλους. καὶ λεπτύνει τὰς οὐλὰς τὰς προσφάτους καὶ παχείας. δεῖ δὲ ὅτε μὲν παχεῖ, ὅτε δὲ, μέσῳ. ὅτε δὲ ὑδαρεστάτῳ ὑπαλείφειν. καὶ ποτὲ μὲν, ἐκ διαλειμμάτων. ποτὲ δὲ συνεχῶς. ποιεῖ δὲ καὶ πρὸς ἀνθρακώσεις. καὶ τὰς πυώσεις. παραλυθεῖ γοῦν τὸ πύον. καὶ καθόλου πρὸς πάντα τὰ ἐν ὀφθαλμοῖς ἐστὶ κάλλιστον. ἔχει δὲ οὕτως. σποδίου, ∠. γ. χαλκοῦ κεκαυμένου, ∠. β. κρόκου ∠. α. σμύρνης ὀβολοὺς δ. ὀπίου τὸ ἴσον. πεπέρεως κόκκοι, ιβ. κόμεως, ∠. α. λείου οἴνῳ χίῳ. ἢ ἑτέρῳ αὐστηρῷ παλαιῷ. Ἄλλο χιακὸν Ὀρειβάσιον. πρός τε τὰ σταφυλώματα καὶ ὑπωπίους. ἕλκη καθαρὰ καὶ ῥυπαρά. καὶ πρὸς παλαιὰς διαθέσεις. καδμείας. μέλτου σινωπικῆς. κηκῖδος. ὀμφακίτιδος. κρόκου. ῥόδων νεαρῶν ἀπωνυχισμένων. κόμεως. ἑκάστου Γο. γ. ὀπίου Γο. α. λείου οἴνῳ χίῳ. ἢ ἑτέρῳ αὐστηρῷ ἀθαλάσσῳ παλαιῷ. ἐν ἀρχαῖς μίγνυται. τῶν κυνναρίων. ἢ τῶν πηλαρίων τινί. καὶ τοῦ λοιποῦ δὲ κάλλιστα μετά τινος τούτων, καὶ καθʼ αὑτό. Φαιὸν ἡμέτερον φησὶν ὁ Ὀρειβάσιος. Πρὸς ὑπωπίους καὶ μεγάλας διαθέσεις. καὶ πᾶσαν ἕλκωσιν μάλιστα χρονίαν. ῥόδων ἀπωνυχισμένων, Γο. β. καδμείας ἀπαλῆς, ∠. κδ. ψιμμυθίου. ∠. ιϛ. ὀπίου ∠. κδ. ἰοῦ ∠. ιβ. χαλκοῦ, ∠. α. ἐρείκης καρποῦ ∠. ιβ. στίμμεως. ∠. η. σμύρνης, ∠. ϛ. ναρδοστάχυος. ∠. δ. κρόκου, ∠. δ. ἀκακίας, ∠. δ. νίτρου, ∠. δ. λυκίου ∠. δ. στυπτηρίας σχιστῆς, ∠. γ. χαλκίτεως κεκαυμένης. ∠. γ. κασσείου, ∠. γ. ὀμφακίου, ∠. β. κόμεως ∠. λδ. λείου οἴνῳ αὐστηρῷ. ἀνάλει παλαιῷ. καὶ χρῶ ἀνέων διὰ χυλοῦ τήλεως. ἢ ὠῷ ὑδαρεῖ. προκόπτων δὲ παχυτέρῳ. Τὸ ἀρωματικὸν ἐκ τῶν δημοσθένους. πρὸς τὰς ὑπὸ πλήθους παχέων ὑγρῶν γιγνομένας φλεγμονάς. λεπτῦνον διὰ παχέων καὶ διακρῖνον τὰ ὑγρὰ καὶ διαφοροῦν. ποιεῖ δὲ καὶ πρὸς τὰ ἀκάθαρτα τῶν ἑλκῶν. πομφόλυγος, ∠. α. χαλκοῦ κεκαυμένου. ∠. β. ζιγγιβέρεως, ∠. γ. λίθου αἱματίτου, ∠. δ. ὀπίου ∠. δ. πεπέρεως κόκκοι ιη. κρόκου ∠. ϛ. κόμεως, ∠. γ. οἴνῳ χίῳ. ἢ ἑτέρῳ αὐστηρῷ λείου. Κολλύριον τὸ σκυλάκιον ἐπιγραφόμενον. διὰ σπέρματος ὑοσκυάμου ποιεῖ πρὸς χημώσεις. καὶ παντοίας χρονίας διαθέσεις ῥευματικάς. ποιεῖ καὶ ἐπὶ σταφυλωμάτων. καὶ ἀποκρούεται τὰ ῥεύματα. πρῶτον μὲν, μετʼ ὠοῦ ὑδαρές. ἔπειτα καὶ στερεὸν ἐγχριόμενον μετʼ ὠοῦ. καδμείας. χαλκοῦ κεκαυμένου. λίθου αἱματίτου. χαλκίτεως κεκαυμένης, ἀνὰ Γο. γ. μίσυος. Γο. α. S. ἀμμωνιακοῦ θυμιάματος, Γο. α. S. ζιγγιβέρεως Γο. α. S. ὀπίου, Γο. α. S. ὑοσκυάμου σπέρματος, Γο. α. ἀλόης, Γο. ϛ. κόμεως, Γο. ϛ. οἴνῳ αὐστηρῷ λείου. ποιοῦν πρὸς μυοκέφαλα παραδόξως. δαπανᾷ δὲ καὶ τὰ πτερύγια. καὶ ἐγκανθίδας σμήχει. καὶ οὐλάς. ἔστι δὲ καὶ ῥαγωματικὸν ἀγαθόν. καδμείας, Γο. α. χαλκοῦ κεκαυμένου, Γο. α. χαλκίτεως ὠμῆς, Γο. α. ἰοῦ ξυστοῦ, ∠. δ. ζιγγιβέρεως, ∠. β. S. κρόκου, ∠. β. ἁλὸς ἀμμωνιακοῦ, ∠. α. κόμεως, ∠. δ. λείου οἴνῳ αὐστηρῷ. Φιλαγρίου περὶ οὗ γράφει οὕτως· Τρίτον ἐπὶ τούτοις ἐμὸν ἐστὶ κολ-

λύριον. ὃ προσαγορεύομεν προφυλακτικόν. ἀποκρουόμενον ἐν ἀρχῇ τὰ ῥεύματα. καὶ μέντοι καὶ ῥωννῦσαι δυνάμενον τοὺς ἀσθενεῖς τε καὶ εὐπαθεῖς ὀφθαλμούς. ὥστε οὐ μόνον ἐν ἀρχαῖς τῆς ὀφθαλμίας. ἀλλὰ καὶ τοῖς ὑγιαίνουσι προφυλακτικοῖς ἕνεκα προσφέρειν αὐτὸ χρή. ἔχει δὲ οὕτω. κυτίνων ῥοιᾶς τοῦ ἐοικότος τῷ τῆς ἀνεμώνης ἄνθει, ∠. κε̄. ἀκακίας ξανθῆς ∠. λε̄. γλαυκίου, ∠. ις̄. ἀλόης, ∠. ε̄. σμύρνης σταγονίτιδος, ∠. γ̄. μέλανος ἰνδικοῦ, ∠. ζ̄. φύλλων, ∠. ᾱ. ὀμφακίου ξηροῦ, ∠. γ̄. κόμμεως, ∠. ε̄. ὀποβαλσάμου πρὸς τὰς ἀναλήψεις, ∠. ε̄. οἴνῳ αὐστηρῷ παλαιῷ, λείου. ριδ̄.

Κολλύριον διὰ βδελλίου καὶ στύρακος. γυμνασθὲν ἐπὶ πολλῶν φιλαγρίου. οὗ πεῖραν πολλὴν ἔχω λαβών. οὐ μόνον πέπτοντος καλῶς. ἀλλὰ καὶ τὰς ἤδη ψύξει βλάβας τὰς ἄνευ φλεγμονῆς, ἰώμενον. ἔχει δὲ οὕτως. βδελλίου, ∠. ς̄. λιβάνου ἄρρενος ∠. ῑ. σμύρνης, ∠. ῑ. σαρκοκόλλης, ∠. ε̄. καστορίου, ∠. β̄.
10 χαλβάνης ∠. ε̄. στύρακος, ∠. ε̄. κρόκου ∠. ε̄. λυκίου, ∠. β̄. ἀμμωνιακοῦ θυμιάματος, ∠. ϛ̄. κόμμεως, ∠. β̄. ὕδωρ. ριε̄.

Κολλύρια ξηρωματικά. καὶ σμηκτικά. τραχωματικὸν ὁ φοίνιξ καλούμενος. Ποιεῖ καὶ πρὸς μίλφους. καὶ κεχρονισμένας διαθέσεις. καὶ πρὸς τοὺς δριμυττομένους τὰ βλέφαρα καὶ τοὺς κανθούς. λίθου αἱματίτου κεκαυμένου. καὶ πεπλυμένου, ∠. λβ̄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ∠. ις̄. λίθου σχιστοῦ. κεκαυμένου καὶ πεπλυμένου, ∠. ις̄. ἰοῦ. ∠. ις̄. καδμείας βοτρυίτιδος, ∠. δ̄. ὀπίου ∠. ς̄. χαλκίτεως ὀπτῆς, ∠. δ̄. κόμμεως, ∠. ις̄. ὕδωρ. Τραχωματικὸν τὸ μόνον καλούμενον. λίθου αἱματίτου, Γο. ς̄. λίθου σχιστοῦ, Γο. ς̄. χαλκοῦ κεκαυμένου, Γο. γ̄. καδμείας, Γο. ιβ̄. ἰοῦ ξυστοῦ. Γο. γ̄. χαλκίτεως ὀπτῆς Γο. ᾱ. ὀπίου, Γο. β̄. κόμμεως, Γο. ς̄. ὕδωρ. ἔστι δὲ καὶ παιδικὸν κάλλιστον. Κολλύριον τὸ θεοφίλιον. παιδικὸν παράδοξον. καὶ τραχωματικὸν καλόν. Καδμείας,
20 Γο. ιϛ̄. χαλκοῦ, Γο. ιδ̄. ἰοῦ Γο. γ̄. ὀπίου, Γο. ιβ̄. κόμμεως, Γο. ιβ̄. ὕδωρ. ἡ χρίσις μετ᾽ ᾠοῦ ἐν ἀρχαῖς ὑδαρές. ἐν παρακμῇ δὲ μετ᾽ ᾠοῦ ἔγχριε. Ἄλλως ὁ ξυστήρ. Ποιεῖ πρὸς λευκώματα. οὐλὰς λεπτύνει. καὶ ἀτάραχον τηρεῖ τὸν ὀφθαλμόν. ἀμμωνιακοῦ θυμιάματος. μίλτου σινωπικῆς ἀνὰ Γο. γ̄. ψιμμυθίου. κόμμεως, ἀνὰ ∠. ϛ̄. κασσιτέρεως ὀπτῆς, Γο. ᾱ. ὕδωρ. Κολλύριον ξηρωματικόν. Ποιοῦν πρὸς μιλφώσεις. ἕλκη βάθεια. παμπάλαιον ῥεῦμα. σταφυλώματα. μυοκέφαλα. λίθου αἱματίτου, Γο. δ̄. λίθου σχιστοῦ, Γο. δ̄. χαλκοῦ κεκαυμένου, Γο. δ̄. καδμείας, Γο. β̄. ἰοῦ. Γο. ϛ̄. χαλκίτεως κεκαυμένης, Γο. ᾱ. ὀπίου, Γο. δ̄. ἀπόβρεχε ῥόδα. εἰ μὲν παρείη χλωρά, εἰ δὲ μή, ξηρά. ὕδατι ἡμέραν καὶ νύκτα. καὶ ἐκπιέσας διηθήσας, λείου τῷ ἀποβρέγματι. Κολλύριον ὀξυστήρ. δόκιμον. ξηρωματικόν. Κασσιτέρεως κεκαυμένης. ὀστρέων κεκαυμένων. μίσυος κεκαυμένου. κόμμεως. ἴσα ὕδατι ἀναλάμβανε. Τραχωματικὸν ἐκ τῶν ὀρειβασίου. εὔτονον καλούμενον.
30 χαλκοῦ κεκαυμένου, ∠. κδ̄. καδμείας, ∠. κδ̄. ἰοῦ ∠. β̄. κρόκου. ∠. γ̄. ὀπίου, ∠. γ̄. σμύρνης ∠. γ̄. κόμμεως ∠. θ̄. ὕδωρ. ποιεῖ ἐξαισίως πρὸς ξηρὰ βλέφαρα. τυλώδη. ψωροφθαλμίας. ἔκτοπα χρόνια ῥεύματα. πλὴν ἑλκώσεως. μιγνύμενον τῷ κυκναρίῳ ἢ τῷ διακρόκῳ. ποιεῖ πρὸς ἀκμάς. ἔστι δὲ τὸ μιγνύμενον, δέκατον αὐτοῦ μόριον. καθόλου δὲ οὐδὲ ἐκστρέφειν τὰ βλέφαρα. ἀλλ᾽ ἔγχριε ἁπλῶς. τοῦτο οἱ μὲν ἀρμάτιον. οἱ δέ, ὀπιοβαρές. ἡμεῖς δὲ εὔτονον καλοῦμεν.

Ἄλλο τοῦ αὐτοῦ σμηκτικὸν φησὶ τὸ γρυαλ. ξηρωματικὸν τὸ διὰ τῶν δύο λίθων. αἱματίτου, ∠. ιη̄. λίθου σχιστοῦ ∠. ιη̄. χαλκοῦ κεκαυμένου, ∠. θ̄. καδμείας, ∠. θ̄. ἰοῦ, ∠. θ̄. χαλκίτεως κεκαυμένου, ∠. γ̄. ὀπίου, ∠. ς̄. κόμμεως ∠. θ̄. ὕδατι λείου. καὶ ἔγχριε. ἕως ἂν ἀπομένῃ ὁ πάσχων. μὴ παρατρίβων τὸ βλέφαρον. μὴ δ᾽ ἀποβάλλων τὴν μήλην. ἀλλὰ τῷ πυρῆνι πληρῶν τὸν ὀφθαλμόν. Ἄλλο τοῦ αὐτοῦ πρὸς πολλὰς διαθέσεις. χαλκίτεως ∠. κζ̄. καδ-
40 μείας ∠. κβ̄. χαλκοῦ κεκαυμένου, ∠. ις̄. λίθου αἱματίτου, ∠. ιγ̄. κρόκου, ∠. ις̄. μίσυος, ∠. ις̄. σμύρνης, ∠. ις̄. ὀπίου ∠. ιγ̄. κόμμεως, ∠. ιδ̄. οἴνῳ σπουδαίως λείου.

Κολλύριον διὰ θαλλίας. ποιεῖ πρὸς τὰ χρόνια ῥεύματα. καταστέλλει καὶ τὰ ξηρώματα. καὶ τονοῖ τὸν ὀφθαλμόν. σηρικοῦ, Γο. ς̄. χαλκοῦ Γο. γ̄. ὀπίου Γο. δ̄. κόμμεως, ∠. η̄. ἐλαίας φύλλων ἁπαλῶν ἐξηνιασμένων ∠. η̄. οἴνῳ ἀμιναίῳ λειοῦται τὰ φύλλα τῆς ἐλαίας ἀκριβῶς ἐξηνιάσας, λείου καθ᾽ αὐτὰ ἐν θυίᾳ εὖ μάλα ἤδη ἡμέρας ϛ̄. ἐπιρραίνων κατὰ βραχὺ τοῦ οἴνου. ὅταν δὲ λειότατα γένηται, ἐπίβαλλε τὸν χαλκόν. καὶ λείου ἅμα ἤδη πολύ. καὶ οὕτως ἐπιβαλὼν τὸν οἶνον, λείου. εἰ γὰρ καταρχὰς βληθείη ὁ οἶνος ἐπιπολάζουσι τὰ φύλλα, λειότατα μένει. λειωθέντος δὲ τοῦ χαλκοῦ, ἐπίβαλε τὸ σηρικόν. εἶτα ὄπιον. ἔπειτα κόμμι. καὶ ἀνάπλαττε. καὶ χρῶ καταρχὰς ἐγχυματίζων. ἐν παρακμῇ δέ, καὶ ἐγχρίων. ἐγὼ δὲ καθὼς δη-
50 μοσθένης παρακελεύεται, βαλὼν τὰ φύλλα ἐν ὅλμῳ. καὶ κόψας. ἐπιστάζων οἴνου κατὰ βραχὺ τὸ ἀρκοῦν. ἐκθλίψας διηθήσας, ἐλείωσα τῷ οἴνῳ. ῥίψας τὸ ἀπόθλιμμα. Ἁρμάτιον ἐπιγραφόμενον. ᾧ ἐχρήσατο πτολεμαῖος ὁ βασιλεύς. οὐλὰς ἀποσμήχει. ἔστι δὲ καὶ ὀξυδερκικός. καὶ ξηρωματικὸν ἀγαθόν. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ∠. η̄. ἀμμωνιακοῦ θυμιάματος, ∠. η̄. φλοιοῦ λιβάνου, ∠. η̄. κόμμεως, ∠. η̄. ὕδωρ. ἡ χρίσις δι᾽ ὕδατος ἐν ἄλλαις γραφαῖς

φαῖς ἔχει ἰοῦ, ∠. β. Ἄλλο διὰ τοῦ αἱματίτου ὀξυδερκικόν. οὐλὰς καὶ τύλους ἀποσμήχει. ἀμμω-
νιακοῦ θυμιάματος, ∠. κδ. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ∠. κδ. λίθου αἱματίτου, ∠.
κδ. ἰοῦ, ∠. η. κόμεως, ∠. κδ. ὕδωρ. Σμηκτικὸν ὁ ἐιβασίου. ποιεῖ καὶ πρὸς ἀρχὰς καὶ χημώ-
σεις ὑδαρές. δι᾽ ὠοῦ ἐγχυματιζόμενον. καὶ λημίας. ∠. η. χαλκοῦ. ∠. ιβ. λίθου αἱματίτου, ∠. η. λί-
θου σχιστοῦ, ∠. η. χαλκίτεως ὀπτῆς, ∠. ϛ. ἰοῦ, ∠. ιβ. κρόκου, ∠. γ. ζιγιβέρεως, ∠. γ. ὀπίου,
∠. ϛ. κόμεως, ∠. θ. οἴνῳ λέαιου. καὶ χρῶ μετ᾽ ὠοῦ. Φιλαγρίου. σμηκτικὸν ἢ αὐτὸ προσαγόμενον,
ἢ σὺν τῷ πρώτῳ γεγραμμένῳ, διαφόρῳ φιλαγρίου. ἰοῦ, ∠. ϛ. κασσήρεως, ∠. ιϛ. σηπίας ὀστρά-
κων, ∠. ιϛ. κόμεως, ∠. λβ. τούτοις ἐγώ φησι προστίθημι, λεπίδος χαλκοῦ, ∠. ιϛ. ὅταν σφοδρό-
τερον αὐτὸ ποιῆσαι βούλωμαι. Ῥίνι ἐπιγραφόμενον. ποιεῖ πρὸς τετυλωμένας διαθέσεις. καὶ
10 οὐλὰς ἀποσμήχει. ποιεῖ καὶ πρὸς ὑποχύματα. καὶ λημίας ∠. μη. ἀμμωνιακοῦ θυμιάματος, ∠. μη.
ὀπίου, ∠. ιϛ. λίθου αἱματίτου, ∠. κδ. χαλβάνης, ∠. ιϛ. ἀλόης, ∠. ιϛ. ὀποπάνακος, ∠. η. χο-
λῆς ταυρείας, ∠. η. ἁλὸς ἀμμωνιακοῦ, ∠. δ. ἰοῦ, ∠. ιϛ. σμύρνης, ∠. ιϛ. κόμεως, ∠. ξ. ὕδωρ.
ἡ κρᾶσις, ὑδαρές. Κολλύριον σμηκτικὸν λευκωμάτων. διὰ μιᾶς ἐγχρίσεως, ἐσθίει τὸ πολὺ τὴν
ἐνέργειαν ἐνδεικνύμενον. ποιεῖ δὲ καὶ πρὸς πτερύγια. ἐγκανθίδας. ἔστι δὲ ἄδηκτον κολλύριον. κοτυ-
λίου τῆς πορφύρας ξηρὸς κεκαυμένου, ∠. τ. χαλκοῦ κεκαυμένου, ∠. α. λεπίδος χαλκοῦ, ∠. β.
ἰοῦ. ∠. ϛ. χαλκάνθου, ∠. γ. στυπτηρίας σχιστῆς, ὀβολὸν α. λίθου σχιστοῦ, ∠. α. λίθου αἱματί-
του, ∠. α. κροκοδειλέας κόπρου, ∠. α. λυκίου, ∠. α. ὀμφακίου χυλοῦ ξηροῦ, ∠. ε. χαλκίτεως
ὀβολοὶ β. σμύρνης ∠. γ. λιβάνου ἄῤῥενος, ὀβολοὶ β. φλοιοῦ λιβάνου, ∠. α. κυτίνων ῥοιᾶς, ∠.
α. ὕδωρ. Κολλύριον ἡλιάδους λευκώματα αἶρον πάνυ τάχιον. ὥστε θαυμάζειν. ἀρμενίου λίθου,
20 ᾧ χρῶνται οἱ ζωγράφοι. γύψου. χαλκάνθου. χαλκοῦ ἄνθους. ἰοῦ σηπίας ὀστράκων κεκαυμένων.
ἀμμωνιακοῦ θυμιάματος. λίθου μαγνήτου ἕλκοντος. λιθοσπέρμου. κόμεως ἴσα. ὕδωρ. Ἄλλο ὃ
σκευάζει πέτρος ὁ ἀρχιατρός. καὶ πάνυ αὐτὸ μαρτυρεῖ. Ἁλὸς ἀμμωνιακοῦ ⊢. ϛ. λίθου ἀρ-
μενιακοῦ, ⊢. ιϛ. ῥαφανίου σπέρμα, ⊢. α. λευκοΐου σπέρματος, Γο. α. ⊢. ϛ. ἀμμωνιακοῦ θυμιάμα-
τος. ⊢. θ. κόμεως, ⊢. ιϛ. χυλοῦ πηγάνου ἀναλάμβανε. ποιεῖ. καὶ πρὸς ὑποχύσεις ἀρχομένας.
καὶ ὑπογλαυκώσεις. καὶ ἀμβλυωπίας δεδοκιμασμένον. Κολλύριον τὸ πεπιεσμένον. περὶ
οὗ ἀπολλώνιός φησιν ἄριστον εἶναι φάρμακον, πρός τε τὰς οὐλὰς καὶ τὰ ὑπερσαρκώματα. καὶ
τὰ τραχέα βλέφαρα. καὶ τὰς συκώσεις. καὶ τὰς ἐκτροπὰς τῶν βλεφάρων. καὶ λιθιάσεις. καὶ
χαλάζια. καὶ σκιῤῥώδεις διαθέσεις. καὶ πτερύγια. καὶ ἐγκανθίδας. καὶ ψωροφθαλμίας. καὶ
ὑμένων παχύτητας. καὶ ῥεύματος πολλοῦ καὶ παχέος ἀποκάθαρσιν. καὶ τὸ ὑδαρὲς δὲ καὶ πολὺ
30 ἐπέχει ῥεῦμα. ἀποτήκει δὲ καὶ ἀποκαθαίρει ἀσφαλῶς. λεπτύνει τε καὶ σμήχει. δάκνον ἱκανῶς.
ἀσύγχυτον δὲ τηρεῖ τὸν ὀφθαλμόν. ἥδιστόν τε καὶ προσηνέστατόν ἐστι, καὶ τὸ δέον ποιεῖ. ἔστι δὲ τοῦτο.
χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ὀβολοὶ ε. κρόκου, ∠. β. σμύρνης τρωγλίτιδος τριόβο-
λον. ναρδοστάχυος, ὀβολοὶ β. κασσίας τριόβολον. κινναμώμου, ὀβολοὶ, β. ὀπίου ὀβολοὶ, β. πε-
περέως. κόκκοι, ιε. κόμεως, ∠. α. οἴνου χίου. ἢ ἑτέρου αὐστηροῦ εὐώδους τὸ ἱκανόν. εἰ δέ ποτε βούλοιο
προσθεῖναι τῇ γραφῇ σποδίου, ∠. δ. γίγνεται πρὸς πᾶν ῥεῦμα. καὶ ὀφθαλμίαν κράτιστον.
Ὀξυδερκὲς τὸ τοῦ μεμφίτου ἰσιδώρου. ἐνέχριε φησὶ τοὺς μὴ βλέποντας. καὶ ἀπήρχοντο βλέπειν.
ἐπικαλεῖται δὲ ῥινάριον. ἐγὼ τοῦτο ἐσκεύασα. ἀμμωνιακοῦ θυμιάματος, ∠. ιϛ. ἰοῦ σκώληκος,
∠. ιβ. σηπίας ὀστράκων τὸ ἁπαλὸν ∠. η. σαγαπηνοῦ, ∠. η. ὀποπάνακος, ∠. β. ὀποῦ κυρηναϊ-
κοῦ, ∠. α. κόμεως, ∠. α. προλειώσας πάντα ὕδατι, ἐπίβαλλε χυμοῦ μανδραγόρου μαράθρου,
40 ∠. ιβ. καὶ μέλιτος ἀττικοῦ, ∠. ιβ. καὶ ἀνάπλασσε κολλύριον καὶ χρῶ. καὶ δὲ ἑτέρων τίς οὕτως
αὐτὸ νῦν ἐσκεύασε. ἀμμωνιακοῦ θυμιάματος, Γο. ιε. ἰοῦ ξυστοῦ, Γο. ια. καὶ ∠. β. σηπίας ὀστράκων,
Γο. δ. S. σαγαπηνοῦ, Γο. γ. καὶ ∠. ϛ. ὀποπάνακος, Γο. β. ὀποῦ κυρηναϊκοῦ, Γο. ϛ. ὕδωρ. κόμμι δὲ οὐκ
ἔλαβεν. Ἄλλο πρὸς ἀμβλυωπίας. λευκώματα. ὑποχύσεις. ἁρμάτιον λεγόμενον. χολῆς ὑαίνης,
∠. δ. ἀφρονίτρου, ∠. γ. κόμεως. ∠. ϛ. ἰοῦ, ∠. γ. σαγαπηνοῦ, ∠. γ. χαλβάνης, ∠. ϛ. ἀμμωνια-
κοῦ θυμιάματος, ∠. β. δαφνοκόκκων λελεπυσμένων, ∠. ο. ἀριστολοχίας στρογγύλης, ∠. α.
ὕδωρ. Κολλύριον πρὸς ἀρχομένας ὑποχύσεις. ὥστε ὕδωρ καὶ ἐκ τῶν ὤτων ῥεῖν. καλεῖται δὲ
τὸ χρυσοῦν. σαγαπηνοῦ περσικοῦ καθαροῦ, ∠. η. ἰοῦ, ∠. ϛ. ἀμμωνιακοῦ θυμιάματος, ∠. β.
κόμεως, ∠. β. ὕδωρ. λέαιου καὶ χρῶ ὑδαρὲς ἐγχρίων. καὶ ἐν τοῖς ἡμέραις ε, δείξει τὴν δοκιμὴν τῆς
ἐνεργείας. διαυγάσει γάρ. Κολλύριον μαρκιανοῦ. ᾧ φησιν ἐχρησάμην ἐπ᾽ ἐμαυτοῦ. μέλ-
λουσάν μοι συμβαίνειν ὑπόχυσιν. χελιδονίας τῆς καπνίτιδος τῆς περὶ τοὺς τραχήλους φυομένης.
50 πηγάνου. μαράθρου. κοριάνδρου. ἑκάστην βοτάνην ἰδίᾳ χύλιζε. καὶ διηθήσας, βάλε ἑκάστου
χυλὸν, Γο. γ. ὀποβαλσάμου, ∠. δ. μέλιτος ἀττικοῦ, ∠. δ. καὶ λεάνας μέχρι γλοιοῦ
πάχος ἔχειν, πρόσβαλε χυλὸν κονύζης λεπτοφύλλου, Γο. α. καὶ λέαιου. ἐπὰν δὲ καλῶς
ἔχοι πρὸς τὴν ἀνάληψιν, ἐπίβαλλε κόμεως καθαροῦ κεκομμένου καὶ σεσησμένου, ὅσον ἐξαρ-

κὰς συχαζόμενος, ὡς ἰατρός. ἵνα γένηται κολλύριον. καὶ ἀνάπλασσε. καὶ χρῶ. ἤδη μὲν τῇ ἀρ-
χομένων ὑποχύσεως μετ᾽ οἴνου. ἤδη δὲ ἀμβλυωπίας, μεθ᾽ ὕδατος. καὶ δίζε δὲ τὸ ἐγχριόμενον. ἐν
ὑλίῳ. ὁ πρωτεὺς. ᾧ οὐδὲν ἴσον πρὸς ἀρχὰς ὑποχύσεως. καὶ πᾶσαν ἀμβλυωπίαν. οὐλὰς καὶ τύλους
ἀποσμήχει. καδμείας, ∠. μ̄. ψιμμυθίου ∠. μ̄. πεπέρεως λευκοῦ, ∠. ᾱ. ὀποῦ κυρηναϊκοῦ, ∠. η̄.
κρόκου, ∠. ις̄. ὀπίου, ∠. ῑ. σαγαπηνοῦ, ∠. ιβ̄. ἐλαίας αἰθιοπικῆς δακρύου, ∠. ιβ̄. ἀρσενικοῦ
χρυσοῦ, ∠. η̄. ζιγγιβέρεως, ∠. ις̄. ἀμμωνιακοῦ θυμιάματος, ∠. η̄. κόμεως, ∠. η̄. ὀποπάνακος, ∠.
ις̄. ὀποβαλσάμου, ∠. ιβ̄. ὕδωρ ὄμβριον. ἡ χρῖσις μεθ᾽ ὕδατος.

Κολλύριον ἑρμοφίλου.

Θ αλασσερὸν ἐπιτετευγμένον πρὸς πᾶσαν ἀμβλυωπίαν. ποιεῖ καὶ πρὸς πᾶσαν ἀρχομένην ὑπό-
10 χυσιν. ἔστι δὲ ἀναδέστατον. καδμείας ∠. ις̄. ἰοῦ. ∠. δ̄. μέλανος ἰνδικοῦ, ∠. ις̄. πεπέρεως λευκοῦ, ∠.
η̄. ὀποῦ μηδικοῦ, ∠. δ̄. ὀποβαλσάμου ∠. δ̄. κόμεως, ∠. ια̅. ὕδωρ. ἡ χρῖσις μεθ᾽ ὕδατος. ἡ κρᾶσις
διαφόρους πρὸς τὰς διαθέσεις. Ἄλλο ἰνδικὸν βασίλειον ἐπιγραφόμενον. Ποιεῖ πρὸς ἀρχὰς
ὑποχύσεων. καὶ πᾶσαν ἀμβλυωπίαν. καὶ οὐλὰς ἀποσμήχει. καδμείας κεκαυμένης καὶ πεπλυμένης,
Γο. ις̄. μέλανος ἰνδικοῦ, Γο. ς̄. ψιμμυθίου, Γο. δ̄. πεπέρεως λευκοῦ, Γο. ς̄. χολῆς ὑαίνης τὸ ὅλον ὅσον
ἔχει. σκορπίων ἰχθύων χολὰς, γ̄. περδίκων χολὰς, δ̄. ὀπίου, Γο. ᾱ. ὀποβαλσάμου Γο. β̄. ὀποπάνακος.
Γο. β̄. σαγαπηνοῦ. Γο. ς̄. κόμεως λίτραν μίαν. ἀναλάμβανε χυλῷ μαράθου. Κιρὸν πάνυ χρηστὸν ἐπι-
καλούμενον φάρμακον ἐπιτεταγμένον πρὸς ψωρώδεις καὶ παλαιβεβρωμένους καὶ ἐπιτεταμένους
κνησμούς. καὶ βλέφαρα συκώδη. καδμείας, ∠. π̄. χαλκίτεως κεκαυμένης, ∠. μ̄. πεπέρεως
λευκοῦ, ∠. μ̄. κόμεως, ∠. μ̄. ὕδωρ. τινὲς δὲ προστιθέασι τούτοις, καὶ κρόκου ∠. ιβ̄. σμύρνης, ∠.
20 ιβ̄. Ψωρικὸν πτολεμαίου, ἐπιτεταγμένον πρὸς ψωρώδεις. καὶ παλαιβεβρωμένους κανθοὺς. ἐπιτε-
ταμένους κνησμούς. μιλφώσεις. ἀμβλυωπίας. ψωρικοῦ ∠. ξ̄. σανδαράχης, ∠. λ̄. χαλκίτεως
κεκαυμένης, ∠. κη̄. κρόκου ∠. κδ̄. σμύρνης, ∠. ιβ̄. ὀπίου ∠. δ̄. κασσίας, ∠. ις̄. πεπέρεως λευκοῦ
∠. ξ̄. πεπέρεως μέλανος, ∠. ιζ̄. ὀμφακίου, ∠. ις̄. μίσυος κεκαυμένου, ∠. γ̄. φύλλου, ∠. ᾱ. κό-
μεως, ∠. λς̄. ὕδωρ. Κολλύριον ὑγιεινὸν, τὸ χρυσοῦν. πρὸς βεβρωμένους κανθούς. καὶ ψωρώδεις δια-
θέσεις. σανδαράχης, ∠. κδ̄. πεπέρεως λευκοῦ, κόκκοι ιβ̄. σμύρνης ∠. ς̄. κρόκου ∠. ς̄. κόμεως, ∠.
ιβ̄. ὕδωρ. χρῶ μεθ᾽ ὕδατος. Κολλύριον τὸ διαφόρητον. ἐκ τῆς δημοσθένους. ἰοῦ ὀβολοὶ τρεῖς. μίσυος
τὸ ἴσον. μήκωνος ὀποῦ τὸ ἴσον. κόμεως, ∠. δ̄. ὕδωρ. ποιεῖ πρὸς τὰς εἰρημένας διαθέσεις. καὶ πρὸς
ἀμβλυωπίαν. καὶ ἀρχομένας ὑποχύσεις. καὶ οὐλὰς λεπτύνει. ἔστι δὲ θερμόν. Τοῦ δὲ στρατιώτου
κολλυρίου ἡ σύνθεσις ἐστὶν, ἥδε. καδμείας, ∠. η̄. ψιμμυθίου, ∠. ις̄. πεπέρεως λευκοῦ, ∠. ς̄. ἰοῦ.
30 ὀπίου. ἀνὰ ∠. β̄. ὀμφακίου, ∠. β̄. κόμεως, ∠. δ̄. ποιεῖ δὲ καὶ πρὸς τραχέα βλέφαρα. Κολλύ-
ριον σμηκτικόν. χαλκοῦ κεκαυμένου. κρόκου. ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ Γο. β̄. κόμεως. Γο. ᾱ.
ὕδωρ. ποιεῖ καὶ πρὸς ὑπώπια. ἄργεμα. νεφέλια. ἀχλύς. πρὸς δὲ τὰ τραχώματα. μετὰ μέλιτος.
Κολλύριον δόκιμον ἰδίως. Πρὸς οὐλὰς ἐν ὀφθαλμοῖς ποιοῦν. ποιεῖ καὶ πρὸς τὰς ἀμβλυωπίας.
καὶ τραχώματα. καὶ πτερύγια. σηπίας ὀστράκων. κασσιτέρου. λεπίδος. ἀμμωνιακοῦ θυμιάματος.
ἰοῦ. κέρατος ἐλαφείου κεκαυμένου, ἀνὰ λίτραν μίαν. σμύρνης, Γο. β̄. λιβάνου, Γο. β̄. ὀπίου, Γο. γ̄. κό-
μεως ∠. η̄. ὀστῶν φοινίκων, Γο. ῑ. μέλιτος Γο. β̄. ὕδωρ. τοῦτο ἐσκεύασεν ὁ ἀφρός. καὶ πάνυ αὐτῷ ἐθάρρει.
ὠνόμαζε δὲ αὐτὸ, φοίνιξ ὁ μέλας, διὰ τὸ ἔχειν ὀστᾶ φοινίκων κεκαυμένων, Γο. ῑ.

Κ ολλύρια ἄσακτα καλούμενα. ἄσακτον ποικιλὸν καλούμενον. καδμείας, ∠. ξδ̄. μίσυος, ∠. λς̄.
στίμμεως, ∠. λβ̄. χαλκάνθου, ∠. λβ̄. πεπέρεως λευκοῦ, ∠. λς̄. ἰοῦ, ∠. ις̄. ὀπίου, ∠. ις̄. ὀπο-
40 βαλσάμου, ∠. ις̄. κόμεως ∠. ξδ̄. ποιεῖ πρὸς ὀξυδερκίαν. καὶ τύλους ἀποσμήχει. Ἄλλο ἀρω-
ματικὸν ἐπιγραφόμενον. χαλκοῦ κεκαυμένου, ∠. ις̄. ἰοῦ, ∠. δ̄. σμύρνης, ∠. δ̄. νάρδου στάχυος,
∠. β̄. πεπέρεως λευκοῦ ∠. δ̄. κρόκου ∠. δ̄. ὀποβαλσάμου, ∠. β̄. κόμεως, ∠. δ̄. ὕδωρ.
ἄσακτον. ἀτάραχον. ὡς σεβάσιος. καδμείας, ∠. ις̄. ψιμμυθίου, ∠. η̄. ὀπίου, ∠. γ̄. ὀποβαλσά-
μου, ∠. γ̄. ἰοῦ, ∠. β̄. ὀμφακίου, ∠. β̄. πεπέρεως λευκοῦ, ∠. ς̄. κόμεως, ∠. ε̄. Ἄλλο ἄσακτον
ὀξυδερκὲς. καδμείας κεκαυμένης. καὶ ἐσβεσμένης οὔρῳ παιδὸς, ∠. ῑ. στίμμεως, ∠. ς̄. ὀποβαλσά-
μου, ∠. ᾱ. ὕδωρ. Ἄλλο μέλαν ὀξυδερκές. ποιεῖ καὶ πρὸς βεβρωμένους κανθούς. στίμμεως κεκαυ-
μένης καὶ πεπλυμένης. ∠. μ̄. πεπέρεως ∠. μ̄. ἀκακίας, ∠. μ̄. κόμεως, ∠. μ̄. καδμείας ∠. ις̄.
νάρδου κελτικῆς, ∠. η̄. ζιγγιβέρεως ∠. η̄. κρόκου, ∠. η̄. ὀμφακίου ∠. ς̄. ὀπίου. ∠. ς̄. ὕδωρ.
Κολλύριον ἀσκληπιάδου τὸ διὰ κέρατος. πρὸς ἕλκη. φλυκτίδας. καὶ οὐλὰς ἀποσμήχει. κέρατος
50 ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου, ∠. δ̄. μολίβδου κεκαυμένου καὶ πεπλυμένου, ∠. δ̄.
λεπίδος χαλκοῦ πεπλυμένου, ∠. β̄. λιβάνου ∠. δ̄. ὀπίου ∠. ᾱ. κόμεως, ∠. δ̄. ὕδωρ. Ἄλλο
πρὸς τὰς θερμοτέρας διαθέσεις. καὶ τὰ δριμύτατα τῶν ῥευμάτων μεθ᾽ ἑλκώσεως. κέρατος ἐλα-
φείου κεκαυμένου πεπλυμένου, ∠. ις̄. σποδίου. πομφόλυγος πεπλυμένου ∠. η̄. λεπίδος, ∠.
β̄. κρόκου. ∠. ς̄. ἀκακίας, ∠. η̄. λιβάνου ∠. η̄. ὀπίου ∠. β̄. σμύρνης, ∠. ᾱ. κόμεως.
∠. η̄.

∠. η̄. φαγανάνθου, ∠. ᾱ. ἀμύλου ∠. δ̄. λείου ὑοσκυάμου ἀποβρέγματι κολλύειον διὰ κέρατος
ὡς ὀρειβάσιος. μάλιστα μὲν πρὸς τὰς ἑλκώσεις ἐν ἀκμῇ. ἥλους τε καὶ σαφυλώματα. καὶ τὰ τοιαῦτα
πάντα μετὰ τοῦ μὴ δασύνειν τὰ βλέφαρα. πρός τε τὰ δυσκατούλωτα ἕλκη. καὶ τὰς ἀναλυο-
μένας οὐλὰς ἀκακίας, ∠. μ̄. σίμμεως, ∠. λϛ̄. μολίβδου κεκαυμένου καὶ πεπλυμένου, ∠. η̄.
κέρατος ἐλαφείου κεκαυμένου πεπλυμένου, ∠. η̄. κόμεως, ∠. η̄. καδμείας, ∠. ϛ̄. χαλκοῦ, ∠. ιϛ̄.
ὀπίου, ∠. ιϛ̄. σμύρνης. ∠. δ̄. λιβανου ∠. δ̄. ὕδωρ. χρῶ τε τῷ διὰ κέρατος κολλυρίῳ. πρὸς μὲν τὰ
κοῖλα ἕλκη, μετὰ γάλακτος. πρὸς δὲ τὰ ῥυπαρὰ, μετὰ χυλοῦ τίλεως. Ἄλλο κολλύειον διὰ κέ-
ρατος. σμηκτικώτατον τῶν ἐν ὀφθαλμοῖς οὐλῶν. ὕδατι χριόμενον. χρῶ δὲ κἀπὶ τῶν ἡλκωμένων
ὀφθαλμῶν, μετ' ὠοῦ ἐγχυματίζειν χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, Γο. ιᾱ. γραμμάρια ἕξ. κέ-
10 ρατος ἐλαφείου κεκαυμένου πεπλυμένου τὸ ἴσον γραμμάρια ἕξ. σίμμεως πεπλυμένου, Γο. β̄. S.
σηπίας ὀστράκων Γο. δ̄. S. ἰοῦ Γο. ϛ̄. ἀμμωνιακοῦ θυμιάματος Γο. ϛ̄. S. σμύρνης Γο. β̄. S. λιβάνου, Γο.
β̄. S. ὀπίου, Γο. β̄. S. ἀκακίας, Γο. ιε̄. ΓΓ. ιε̄. κόμεως, Γο. ιᾱ. ὕδωρ.

Κολλύρια νάρδινα. καὶ θεοδότια. εἰη̄.

Κολλύειον νάρδινον ζωΐλου. πρὸς τὰς παλαιὰς ὀφθαλμίας καὶ μυοκέφαλον. καὶ ἕλκη παλαιὰ
καὶ σαφυλώματα. καδμείας ∠. η̄. χαλκοῦ κεκαυμένου, ∠. η̄. σίμμεως, ∠. η̄. ψιμμυθίου, ∠. δ̄.
κασσίας, ∠. δ̄. ναρδοστάχυος ∠. ᾱ. S. ἀλόης, ∠. ᾱ. S. φύλλου. κρόκου. χαλκίτεως ὀπτῆς. χαλκάν-
θου. λυκίου ἰνδικοῦ. ὀπίου, ἀνὰ ∠. ᾱ. σμύρνης ∠. β̄. ἀκακίας ∠. κ̄. κόμεως, ∠. κ̄. ὕδωρ. ποιεῖ δὲ
τὸ ἄδηκτον νάρδινον. τὸ κανδίδου πρὸς μυοκέφαλα. καὶ σαφυλώματα, θαυμαστῶς. καὶ μάλιστα
γλαυκοφθάλμοις ἁρμόζει. Κολλύειον νάρδινον κανδίδου. ἀδηκτότατον. ἀναξηραντικόν. χρῶ
20 κἀπὶ τῶν μὴ δ' ἥντινα οὖν δῆξιν κολλυρίου ὑπομένειν δυναμένων. καδμείας κεκαυμένης καὶ πε-
πλυμένης, Γο. ιβ̄. ψιμμυθίου Γο. ζ̄. σίμμεως πεπλυμένης, Γο. β̄. κρόκου Γο. δ̄. σμύρνης τρωγλοδυτι-
κῆς, Γο. δ̄. ἀλόης, Γο. ᾱ. ἀκακίας Γο. ᾱ. ὀπίου, Γο. ϛ̄. ναρδοστάχυος, Γο. ᾱ. κόμεως, Γο. η̄. ὕδωρ. Θεοδότιον
νάρδινον οὗ πολλὴν πεῖραν ἔχομεν ἐπὶ τῶν μυοκεφάλων. καὶ τῶν χρονίων ἐν ὀφθαλμοῖς ἑλκῶν
καὶ συγχύσεων. ἔστι δὲ καὶ σμηκτικώτατον. καὶ τονωτικώτατον κατηθενηκότων ὀφθαλμῶν. καδ-
μείας πεπλυμένης. σίμμεως πεπλυμένης ἀκακίας. κόμεως, ἀνὰ ∠. κε̄. ῥόδων ξηρῶν κεκαθαρμέ-
νων, ∠. ιϛ̄. χαλκοῦ κεκαυμένου πεπλυμένου, ∠. η̄. σμύρνης τρωγλοδυτικῆς, ∠. η̄. κασσίας. λυ-
κίου ἰνδικοῦ. κρόκου. φύλλου. ναρδοστάχυος. χαλκίτεως ὀπτῆς. ψιμμυθίου. γλαυκίων. ὀρείκης καρ-
ποῦ. ὀπίου. κικίδων ὀμφακίνων, ἀνὰ ∠. β̄. ὕδωρ. χρῶ. ἐν ἀρχαῖς μὲν μετ' ὠοῦ ἐγχυματίζων. ἐν πα-
ρακμαῖς δὲ ὕδατι χρῶ. Τὸ νικάειον ζωΐλου τὸ διὰ γάλακτος νάρδινον. πρὸς διαθέσεις καὶ ῥεύ-
30 ματα κρανικά. ἕλκη βάθεια. μυοκέφαλα σαφυλώματα. παλαιὰς ὀφθαλμίας βλάπτει δὲ καὶ
οὐλὰς καὶ ἀδήκτους αὐτὰς ποιεῖ. γάλακτος γυναικείου παχὺ ἐγχυμάτισμα. καδμείας κεκαυμέ-
νης φρυγίας. καὶ ἐσβεσμένης γάλακτι γυναικείῳ καὶ πεπλυμένῳ, ∠. ρη̄. σίμμεως κεκαυμένου καὶ
ἐσβεσμένου γάλακτι γυναικείῳ. καὶ πεπλυμένου, ∠. ῑ. χαλκοῦ κεκαυμένου καὶ ἐσβεσμένου. καὶ
πεπλυμένου, ∠. λϛ̄. ψιμμυθίου πεπλυμένου, ∠. κδ̄. σμύρνης, ∠. ιϛ̄. ὀπίου, ∠. ιϛ̄. ναρδοστά-
χυος, ∠. γ̄. ἀλόης. ∠. γ̄. ἀκακίας, ∠. ρη̄. κόμεως ∠. ρη̄. ὕδωρ. Τὸ ὑγίδιον ὃ ποιοῦ ἀμμωνίου ἐ-
κέλευεν. Ποιοῦν πρὸς ἀρχομένας ὑποχύσεις. καὶ ἐπικαύματα. καὶ πρὸς πᾶν ἕλκος. καὶ
ὑπωπίους συγχύσεις. χημώσεις. προπτώσεις. καὶ πρὸς τὰ χρόνια μυοκέφαλα. σαφυλώματα ὀνύ-
χια. ποιεῖ δὲ καὶ πρὸς τὰς ἀπὸ τῶν ὑδέτων γινομένας ἀνακαθαίρει. καὶ ἀναπληροῖ. καὶ κατου-
λοῖ. τοὺς δὲ μὴ δυναμένους διά τινα αἰτίαν, ἤτοι διὰ κεφαλῆς πόνον, ἢ ὀφθαλμοῦ κοιμηθῆναι, ἄγει εἰς
40 ὕπνον γενικῶς. ὡς ὑπνωτικὸν φάρμακον. χρῶ δὲ μετ' ὠοῦ ἢ γάλακτος ἢ ὕδατος. μέσῃ κράσει. ἢ πα-
χυτέρᾳ πρὸς τὴν δυσαισθησίαν τῶν πασχόντων. ἔχει δὲ οὕτως. καδμείας πεπλυμένης ∠. ιϛ̄. ψιμ-
μυθίου πεπλυμένου, ∠. ιϛ̄. κασσίας ∠. ϛ̄. νάρδου ἰνδικῆς, ∠. δ̄. σίμμεως πεπλυμένου, ∠. μ̄.
χαλκοῦ κεκαυμένου πεπλυμένου, ∠. ιε̄. ῥόδων, ∠. κ̄. λεπίδος χαλκοῦ κεκαυμένου, ∠. ε̄. ἀλόης.
∠. ϛ̄. κασσίας, ∠. δ̄. σμύρνης, ∠. ϛ̄. λυκίου ἰνδικοῦ, ∠. γ̄. λίθου σχιστοῦ, πεπλυμένου ∠. δ̄. S.
κρόκου, ∠. ϛ̄. μολίβδου κεκαυμένου πεπλυμένου, ∠. η̄. S. ὀπίου ∠. γ̄. ἀκακίας, ∠. μ̄. κό-
μεως, ∠. μ̄. ὕδωρ. δεδοκιμασμένον ἄγαν. Κολλύειον τὸ ἰνδικὸν. Γε πορέως, ∠. ϛ̄. καδμείας,
∠. δ̄. κόστου, ∠. ᾱ. σίμμεως ∠. η̄. κικίδων, ∠. δ̄. ναρδοστάχυος, ∠. δ̄. νάρδου ∠. δ̄. ἀκακίας,
∠. δ̄. κόμεως, ∠. δ̄. ὀποβαλσάμου, ∠. β̄. ὕδωρ. ποιεῖ πρὸς ἀμβλυωπίας. σμήχει καὶ τὰς
οὐλάς. Κολλύειον θεοδότιον πλακιανόν. ποιεῖ καὶ πρὸς μεγίστας ἐπιφορὰς καὶ περιωδυνίας
50 ἀπαλλάττει χωρὶς φλεβοτομίας. καδμείας κεκαυμένης πεπλυμένης, ∠. η̄. χαλκοῦ κεκαυμένου
πεπλυμένου, ∠. η̄. σίμμεως πεπλυμένης, ∠. ιϛ̄. κρόκου ∠. γ̄. κασσίας. ∠. δ̄. ἰοῦ. ∠. ᾱ. ἀλόης.
∠. δ̄. σμύρνης τρωγλίτιδος. ∠. γ̄. λυκίου ἰνδικοῦ, ∠. β̄. ὀπίου ∠. β̄. ἀκακίας ∠. κδ̄. κόμεως,
∠. κδ̄. ὕδωρ. ἡ χρῖσις δι' ὠοῦ. ἡ κρᾶσις παχυτέρα. Κολλύειον οἰδημάτιον τοῖς βλεφάροις ἐπι-
φόρει. διαθήκης ἐπικαλούμενον τοῦ χρυσοχόου. ὃ κατέλιπεν ἀποθνήσκων τῷ ἐφεσίῳ ἱερῷ. ὥστε

τοὺς ἀπὸ τῶν ἰατρῶν καταλιμπανομένους ἐν τῷ ἰδρῷ ὑγιάζεσθαι. εὑρέθη δὲ ἀπὸ ἀδριανοῦ καίσαρος. ποιεῖ πρὸς ἐπιφορὰς ῥευμάτων. καὶ πρὸς πάντα τὰ ἀπεγνωσμένα πάθη. φλυκταίνας ἰᾶται. κοιλώματα ἰσοῖ. οὐλὰς ἀφανεῖς ποιεῖ. ἀτάραχον φυλάττει τὸν ὀφθαλμόν. ἐγχυμάτιζε δὲ ὠῷ ἢ γάλακτι. ὡς αὐτὴ ἡ χρεία καλῇ. ἐπὶ πάντων δὲ ὑδαρὲς ἔστω. καὶ ὀξυωπέστατον ἀγαθόν. ἔχει δὲ οὕτως. καδμείας πεπλυμένης, ∠. η̄. στίμμεως πεπλυμένης, ∠. ιε̄. ναρδοστάχυος, ∠. γ̄. σμύρνης τρωγλοδυτικῆς, ∠. β̄. κρόκου, ∠. ᾱ. κασσίας, ∠. β̄. λεπίδος σιδήρου στομώματος, ∠. δ̄. χαλκοῦ κεκαυμένου καὶ πεπλυμένου, ∠. ιϛ̄. ἰοῦ, ∠. β̄. ψιμμυθίου ∠. δ̄. πεπέρεως λυκίου ἰνδικοῦ. ὀπίου. λιβάνου. ὀποβαλσάμου, κασσίας, ἀνὰ ∠. β̄. λίθου σχιστοῦ, ∠. δ̄. ἰοῦ σκώληκος, ∠. γ̄. χαλκάνθου ∠. β̄. μαράθου χυλοῦ, ∠. δ̄. χολῆς αἰγός, ∠. δ̄. κόμμεως ∠. η̄. λείου οἴνῳ ἀμιναίῳ. ἢ φαλερίνῳ. ἢ ἑτέρῳ αὐστηρῷ παλαιῷ εὐώδει. κολλύριον διαθήκη. ὡς κεῖται παρὰ ἀστερίῳ. Καδμείας, ∠. ο̄. στίμμεως ∠. ιϛ̄. σμύρνης, ∠. ε̄ S. ναρδοστάχυος, ∠. ῑ. κρόκου, ∠. ῑ. κασσείου, ∠. ζ̄. λεπίδος σιδήρου στομώματος, ∠. ιγ̄. φύλλου, ∠. ιδ̄. χαλκοῦ κεκαυμένου, ∠. ε̄ S. πεπέρεως ∠. ξ̄. ψιμμυθίου, ∠. ιδ̄. λυκίου. λιβάνου. κασσίας. ὀποβαλσάμου, ἀνὰ ∠. ιδ̄. ὀπίου, ∠. ξ̄. ζιγγιβέρεως, ∠. ζ̄. λίθου σχιστοῦ, ∠. ιδ̄. ἰοῦ σκώληκος, ∠. η̄. χαλκάνθου, ∠. ιδ̄. κόμμεως, ∠. ο̄. μαράθου χυλοῦ, ∠. ιδ̄. χολῆς αἰγείας, ∠. ιδ̄. λείου οἴνῳ ἀμιναίῳ. Κολλύριον θεοδότιον τὸ μέγα. καδμείας πεπλυμένης, Γο. η̄. χαλκοῦ πεπλυμένου. Γο. η̄. στίμμεως πεπλυμένης, Γο. κε̄. ῥόδων ξηρῶν. ψιμμυθίου. χαλκίτεως. κικίδων. ἰοῦ κρόκου. λυκίου ἰνδικοῦ. ἀλόης. ναρδοστάχυος. ζιγγιβέρεως. τρωγλίτιδος, ἐβένου ῥινίσματος. κασσείου. μέλανος ἰνδικοῦ. λιβάνου. ὀπίου. σαρκοκόλλης. πομφόλυγος, ἀνὰ Γο. ᾱ. κέρατος ἐλαφείου κεκαυμένου καὶ πεπλυμένου, Γο. ᾱ. ἀκακίας, Γο. κε̄. κόμμεως, Γο. κε̄. ὕδωρ. τινὲς δὲ καὶ φύλλου Γο. ᾱ. ἀμώμου Γο. ᾱ. τῶν δὲ ῥόδων, Γο. γ̄. κόμμεως δὲ καὶ ἀκακίας, ἀνὰ Γο. κδ̄. τὰ δὲ λοιπὰ ὁμοίως ποιεῖ πρὸς ἀρχομένας ὀφθαλμίας. καὶ ἑλκώσεις πάσας. καὶ ῥεῦμα πρόσφατον. καὶ παλαιόν. φλεγμονάς. ἄνθρακας. ἀποπίους νομάς. νύγματα. προπτώσεις. μυοκέφαλα. σταφυλώματα. τραχέα βλέφαρα. καὶ ἀφηλπισμένας διαθέσεις. καὶ τὰς ἀπὸ ἡλίου ἐγκαύσεις. καὶ κονίας. καὶ κονιορτοῦ ἢ τινὸς τοιούτου. αἴρει δὲ καὶ πτερύγια φλεγμαίνοντα μετὰ βουτύρου. πρὸς δὲ τὰ ἕλκη μετ' ᾠοῦ. πρὸς δὲ τὰ κακοήθη, μετὰ γάλακτος γυναικείου. Θεοδότιον σεβήρου.

Ἕτερον δέ τι κολλύριον παρ' ἡμῖν εὕρηται φησὶν ὁ σεβῆρος, ὑπό τινος ἀρχαίου ἀναγεγραμμένον. σύνθετον μὲν καὶ αὐτὸ κεκτημένον ὕλην. πολὺ δὲ διάφορον τὴν ἐνέργειαν. πάντων γὰρ ὁμοῦ τῶν προειρημένων κολλυρίων. χρησιμώτερον ὤφθη. καὶ τούτου τὴν κατασκευὴν ἀναγκαῖον ἡγοῦμαι λέγειν. ὅτι οὐδὲ πᾶσιν ἐστὶ αὐτὸ γνώριμον. λαμβάνει δὲ καδμείας ∠. κδ̄. χαλκοῦ κεκαυμένου, ∠. ιβ̄. στίμμεως ∠. μ̄. ψιμμυθίου, ∠. η̄. χαλκίτεως ὀπτῆς, ∠. δ̄. μίσυος ὀπτοῦ, ∠. δ̄. ἐβένου ῥινίσματος, ∠. β̄. νάρδου κελτικῆς, ∠. δ̄. φύλλου ∠. δ̄. ναρδοστάχυος, ∠. δ̄. κρόκου, ∠. δ̄. κασσίας, ∠. ϛ̄. ἀλόης, ∠. η̄. λυκίου ἰνδικοῦ, ∠. δ̄. ῥόδων ξηρῶν, ∠. δ̄. κικίδων ὀμφακίνων, ∠. ϛ̄. ὀπίου, ∠. ϛ̄. σμύρνης, ∠. η̄. ἀκακίας, ∠. μ̄. κόμμεως σκώληκος, ∠. μ̄. τὴν καδμείαν καίομεν ἄνθραξι διαπύροις, κρύψαντες ἢ ῥιπίζοντες. ἢ διαπύρου γινομένης, αἴροντες σβέννυμεν γάλακτι ὀνείῳ. τὸ δὲ στίμμι ἐν ἀγγείῳ ὀστρακίνῳ βαλόντες καὶ πωμάσαντες πώματι τρῆμα ἔχοντι. καίομεν. καὶ ὁμοίως σβέννυμεν τῷ γάλακτι. τὰ δὲ κεκαυμένα, ἕκαστον ἰδίᾳ κόπτοντες καὶ σήθοντες. πλύνοντες καὶ ξηραίνοντες ἀκριβῶς, ἔπειτα στήσαντες, ἐμβάλλομεν τῇ σκευασίᾳ. τὸ δὲ κόμμι κόπτοντες ἐπιπάσσομεν ξηρόν, ἀλλ' ἀποβρέχοντες. οὕτω γὰρ οὐδὲ ξυλῶδές τι ἢ ψαμμῶδες συγκαταβήσεται αὐτῷ διηθουμένῳ. καὶ συστροφὴ καλλίστη γενήσεται τοῦ κολλυρίου. τινὲς δὲ προσεπιβάλλουσι τῇ προειρημένῃ σκευασίᾳ, καὶ κόστου ∠. η̄. καὶ σμήχει μᾶλλον τὰς οὐλάς. αἴρει φησὶ καὶ τὰ πτερύγια δαπανᾷ. καὶ τὰς ἐγκανθίδας. πρὸς δὲ τὰς φλεγμονὰς καὶ τὰ ἕλκη, ἀσύμφορος ὁ κόστος. τούτου μὲν οὖν τοῦ βοηθήματος τὰς ἐνεργείας λέγειν, οὐ ῥᾴδιον. δυσπιστίαν γὰρ τοῖς ἀκούουσιν ἐμποιεῖ. τὰς γὰρ ἀπηγορευμένας διαθέσεις, εἰς τὸ κατὰ φύσιν ἀνεκαλέσατο. καὶ συντόμως εἰπεῖν πάντα μὲν ὅσα πρόσεστι τοῖς θεοδοτίοις καλουμένοις. καὶ ναρδίνοις, καὶ τοῖς διὰ κέρατος, πολλῷ πλέον τούτῳ πρόσεστιν. ἐπὶ μὲν γὰρ τῶν προσφάτων διαθέσεων ἐγχρίσαντες. καὶ σπόγγον τῷ ὀφθαλμῷ ἐπιθέντες, ἀπηλλάξαμεν τοῦ πάθους τὸν κάμνοντα. ἐπὶ δὲ τῶν χρονίων καὶ ἀπεγνωσμένων διαθέσεων, τὰ μὲν, ἐγχυματίζοντες. τὰ δὲ, ἐγχρίοντες, ἐτύχομεν τοῦ σκοποῦ. ἐπὶ μὲν γὰρ τῶν δυσλύτων παθῶν τοῦ ὀφθαλμοῦ, ἐγχρίομεν αὐτό. ἐπὶ δὲ τῶν κοίλων καὶ ῥυπαρῶν ἑλκῶν, ἀνιεμένῳ αὐτῷ χρώμεθα σὺν ᾠῷ. ἢ τήλεως χυλῷ. ποτὲ δὲ καὶ μελικράτῳ. ἐπὶ δὲ μυοκεφάλων, παχύτερον ὕδατι καθ' ἀπὸ βολὴν ὑπαλείφομεν. καὶ τὰς οὐλὰς δὲ ὡσαύτως ἀπολεπτύνομεν. εἰς τοσοῦτον δὲ λεπτότητος φέρει τὰς οὐλάς, ὥστε μηδόλως αὐτὰς τῇ αἰσθήσει γνωρίζειν. καὶ συντόμως φάναι ἄρρητόν τινα κέκτηται δύναμιν. ἐπὶ μὲν γὰρ τῶν σταφυλωμάτων χυλῷ κράμβης ἀνιέμενον τὸ κολλύριον. καὶ παχὺ πλῆθος προσαγόμενον τῷ ὀφθαλμῷ, μετὰ καὶ τῆς τοῦ σπόγγου ἐπιδέσεως, ἀφανῆ τὸν ὄγκον πεποίηκε. καὶ τὰς ἐγκανθίδας δὲ ἀποδαπανᾶν δύναται λεπτοποιηθὲν τὸ κολλύριον.

λύειον. καὶ ὡς ξηρίον τι γινόμενον. καὶ τὰ περὶ βρύγια λεπτύνειν. καὶ ἐν ἄλλοις μὲν οὖν ὤφθη θαυμάσιον τὸ κολλύριον. ἀλλὰ καὶ ἡμεῖς παραχωροῦμεν τοῖς μεθ᾽ ἡμᾶς διὰ τῆς πείρας ποδηγηθεῖσι, μαρτυρεῖν τῷ βοηθήματι. ἤδη τινὲς χρησάμενοι αὐτῷ ἐπὶ τῶν περὶ τὴν ἕδραν χρονίων ἑλκῶν καὶ συριγγίων, ἔτυχον τοῦ σκοποῦ. ὅθεν, οὐκ ἄτοπον κἀπὶ τῶν περὶ τοὺς μυκτῆρας πολύπων καὶ ὀζαίνων, αὐτὸ προσάγειν. Κολλύριον τὸ διὰ μαράθου χυλοῦ. καδμίας, γο. θ. στίμμεως, γο. η. μίσυος ὠμοῦ γο. ς. ἰοῦ γο. ς. πεπέρεως γο. ε. χαλκάνθου, ∠. α. S. χαλκίτεως. γο. α. κρόκου ∠. α. S. φύλλου, γο. α. ὀμφακίου, ∠. α. S. ναρδοστάχυος, γο. δ. S. ὀπίου γο. ε. S. ὀποβαλσάμου, γο. δ. κόμμεως, οὐγγίας δύο. μαράθου χυλοῦ, γο. η. καὶ πάλιν ἀφεψήσας ἕτερα μάραθα ὕδατι ὀμβρείῳ, λείου τῷ ἀφεψήματι. πολλοῖς ἐσκεύασται.

10

ΠΙΝΑΞ ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΤΟΥ ΟΓΔΟΟΥ ΛΟΓΟΥ ΤΟΥ ΑΕΤΙΟΥ.

Περὶ τῶν ἐν τῷ προσώπῳ καὶ στόματι καὶ παρισθμίοις παθῶν, ὑποτάγη τῷδε τῷ λόγῳ. καὶ περὶ καταρρόου. καὶ βηχός. καὶ τῶν ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ. καὶ πνεύμονι. καὶ θώρακι παθῶν. λόγῳ ὀγδόῳ.

ἈΕΤΊΟΥ ΛΌΓΟΣ ὌΓΔΟΟΣ ΚΕΦΆΛΑΙΟΝ ΠΡΩ͂ΤΟΝ.

Πρὸς τὰς τῶν ὀφρύων διακοσμήσεις. α.

Προείρηται μὲν περὶ τούτου ἤδη, ἐν τῷ περὶ τῶν ἀπορρεουσῶν τριχῶν τῆς κεφαλῆς τόπῳ κατὰ τὸν ἕκτον λόγον. εἰρήσεται δὲ εὐκαίρως καὶ νῦν διὰ βραχέων. ἐπίχριστον αὐξητικὸν τριχῶν ἐν ὀφρύσιν καὶ ἐν ἄλλῳ τόπῳ τοῦ σώματος. τὸ δ᾽ αὐτὸ καὶ μελαίνει. καρύων ποντικῶν τὸ ἐντὸς ὄπτα ἐν ἀγγείῳ κεραμείῳ καὶ λεάνας, ἀναλάμβανε στέατι, αἰγὸς ἀγρίας. καὶ τούτῳ χρίεσθαι τοὺς τόπους κέλευε. Ἄλλο. Ἀδιάντου. λαδάνου, ἀνὰ γο. β. γλυκέος κρητικοῦ κοτύλην α. κόψας φυράσας τῷ γλυκεῖ ὄπτα καθὼς προείρηται, καὶ λεάνας χρῶ μετὰ στέατος αἰγάγρου. ἢ ἀρνείου. χρῶ δὲ καὶ τοῖς προγεγραμμένοις ἐν τῷ ἕκτῳ λόγῳ, καὶ τῷ ἀρμενιακῷ λίθῳ ὡς ἐν τῷ δευτέρῳ λόγῳ εἴρηται, ιβ. κεφαλαίῳ, ξηρῷ προσαπτόμενος τὰς ὀφρύας.

Περὶ ὑπωπίων γαληνοῦ. β.

Τὸ ὑπώπιον, ὅτι μὲν περὶ τοὺς ὀφθαλμοὺς γίνεται, τὸ ὄνομα δηλοῖ. ἐν τῷ γὰρ λέγειν ὑπώπιον, ὑποφθάλμιον λέγομεν. τοῦ γένους δὲ ἐστὶ τὸ ὑπώπιον τῶν ἐγχυμωμάτων. γίνεται δὲ ὅταν ἐκ πληγῆς τῶν ὑπὸ τὸ δέρμα λεπτῶν φλεβῶν θλασθεισῶν, αἷμα διὰ τῶν θλασμάτων ἐκχυθῇ ὑπὸ τὸ δέρμα ἀθρόως μὴ καθ᾽ ἕνα τόπον. θρομβοῦται γὰρ αὐτίκα καὶ συμβαίνει πελιδνοῦσθαι τὸν τόπον. καὶ μελαίνεσθαι τῷ χρόνῳ. ὅθεν σπεύδειν δεῖ θεραπεύειν αὐτίκα πρὶν μελανθῆναι. σκοπὸν ἔχοντα τῆς ἰάσεως, διαφορῆσαι τὸ θρομβωθὲν αἷμα. ἐπεὶ δὲ ὁ χιτὼν θλᾶται τῶν φλεβῶν ἐξ ὧν ἐκκρίνεται τὸ αἷμα, μίγνυται βραχύ τι τοῖς διαφορητικοῖς φαρμάκοις τῶν στυπτικῶν. ἐὰν γὰρ ἐξ ἀρχῆς μόνα τὰ διαφορητικὰ προσάγηται, οὐ διαφορήσει μόνον τὸ ἐκχυθὲν, ἀλλὰ καὶ διὰ τῶν θλασμάτων ἕλξει τι τοῦ περιεχομένου, κατὰ τὰς τεθλασμένας φλέβας αἵματος. ὅταν δὲ εἰς τὸ κατὰ φύσιν ἐπανέλθῃ τὰ φλεβία, καὶ χωρὶς τοῦ στύφειν, ἐπὶ τὰ διαφορητικὰ μεταβαίνειν καιρός. ἐγὼ δὲ κατ᾽ ἀρχὰς χρῶμαι τῷ νείλου διαρρόδῳ δι᾽ ὕδατος. αὐτὸ ἀποτρίβων, καὶ ἐπιχρίων τὸ ὑπώπιον. ἀφεψήματι δὲ προπυρέτων μελιλώτων, καὶ τίλεως. εἶτα ἑξῆς καὶ τὸ κολλύριον, διὰ τούτου τοῦ ἀφεψήματος λύω. κἄπειτα δι᾽ ἀφεψήματος μόνης, τίλεως, εἰ δὲ καταλείποι τὸ λείψανον τοῦ παθήματος. ἐν τῷ τῆς τίλεως ἀφεψήματι, τὰ καλούμενα διάσμυρνα κολλύρια λύω. ἐπιχρίων δὶς τῆς ἡμέρας. προπυρέτων διὰ ῥοδίου τῷ ἀφεψήματι ἔπειτα ἐπιχρίων. ποιεῖ δὲ ἐν ἀρχαῖς μὴ παρόντος τοῦ διαρρόδου, καὶ τὸ

γλαύκιον ἐπιχριόμενον. ἢ ἡ ἀμόργη τῇ ἑψήσει παχυνθεῖσα. ἐπὶ δὲ τῶν ἤδη χρονιζόντων, καὶ τὰ διὰ σανδύκος. καὶ ὅσα διαφορεῖ γενναίως οἷα ὁ διοσκουρίδης ἐν τοῖς εὐποριστοῖς γέγραφεν. ὕπωπια γάρ φησιν αἴρει καὶ πελιώματα δηλονότι τὰ χρονίζοντα, ἐχφαίου φλοιὸς σὺν μέλιτι ἐπιχριόμενος. βρυωνίας ῥίζα σὺν οἴνῳ ἢ κηρωτῇ ἀναληφθεῖσα. θάλασσα θερμὴ πυριωμένη. βολβὸς μετὰ λεκίθου ὠοῦ καταπλασσόμενος. πιτυΐα μόνη. ἢ ἅλμη. τυρὸς παλαιὸς καταπλασσόμενος. αἴρει γὰρ παραχρῆμα. σηπίας ὄστρακον μετ᾽ ὄξους ἐπιχριόμενον. σίνηπι ἀναληφθὲν κηρωτῇ. συκίου ἀγρίου ῥίζα λεία μετὰ μέλιτος. λινόσπερμα λεῖον μετὰ γάλακτος.

Κρίτωνος σύνθετον πρὸς πελιώματα βαθύτατα καὶ ὑπώπια.

Ἀγνου λευκῆς καρποῦ ∠. γ. στρουθίου ῥίζης ∠. γ. νίτρου ἐρυθροῦ, ἐχφαίου φλοιοῦ, ὑσσώπου. κυα-
10 μίνου ἀλεύρου ἀνὰ ∠. γ. μυροβαλάνου ∠. μ. πυτίας ἀρνείου κεκαυμένου τῆς ποδιοῦ ∠. μ. βολβῶν ἐρυθρῶν ∠. μ. θαψίας ῥίζης ἢ τοῦ χυλοῦ ∠. μ. λιβάνου ∠. ιβ. ἀναλάμβανε κηρωτῇ σκευασθείσῃ διὰ ῥοδίνου. καὶ χρῶ ἐμπλάσσων εἰς ὀθόνιον. καὶ ἐπιτιθείς. αἴρειν δὲ δεῖ συνεχῶς. καὶ κατανοεῖν μὴ ἑλκωθῇ.

Ἐγὼ δὲ ἐπειράθην φησί, καρύου λιπαροῦ ταριχεύοντος, θεραπεύοντος τούτους. δεῖ δὲ λειοῦν, καὶ κατακλίναντα ὕπτιον, ἵνα προσμένῃ τὸ φάρμακον ὥραις τρισίν, ἐπιτιθέναι.

Ἐπίχρισμα προφυλακτικὸν προσώπου ὥστε ἀπὸ ἡλίου, ἢ ἀπὸ ἀνέμου μὴ ἀποκαίεσθαι. γ.

Ἐπίχρισον προσώπου τὸ χρυσοῦν λεγόμενον.

Θέρμων ξηρῶν ἀλεύρου ξ. γ. ὕδατος ὀμβρίου, ξ. ιδ. βαλὼν ἐν ἀγγείῳ χαλκῷ γεγανωμένῳ, ἔα βρέχεσθαι ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ ἕψει ἐπ᾽ ἀνθράκων, μέχρι διαλύσεως τῶν θέρμων. εἶτα διηθήσας
20 τὸ ὑγρόν, ἕψει κατ᾽ ἰδίαν. καὶ ὅταν συστραφῇ καὶ ὅταν παχυνθῇ, μετάβαλε εἰς ἀγγεῖον ὑελοῦν. ἐπὶ δὲ τῆς χρήσεως αἴρων ὅσον ἐξαρκεῖ, ἀνίει μεθ᾽ ὕδατος ὀλίγου. καὶ ἐπίχριε τὸ πρόσωπον.

Ἄλλο ἀξιόλογον. Σεμίδαλιν πλύνας. καὶ διηθήσας διὰ ῥάκους. καὶ ἐάσας καταστῆναι, ἀπόχεε τὸ ὕδωρ. καὶ τῇ ὑποστάθμῃ προσμίξας ὠοῦ τὸ λευκὸν καὶ ποιῶν μέλιτος πάχος, τούτῳ ἐπίχριε τὸ πρόσωπον. ἐν ἡλίῳ μέλλων διατρίβειν. ἀπὸ δὲ τοῦ ἡλίου γενόμενος, πρόσκλυζε ψυχρῷ πολλῷ. Ἄλλο. Εὔχροον ποιοῦν τὸ πρόσωπον, καὶ τὸ πᾶν σῶμα.

Μαστίχην λεάνας μετ᾽ ἐλαίου ὀμφακίνου, ἐπίχριε, ἐνίοτε δὲ ἀντὶ τοῦ ἐλαίου, μυελὸν ἐλάφειον. ἢ μόσχειον ἔμβαλε. ἔστι δ᾽ ὅτε καὶ κηρωτὴν ὑγράν. Ἄλλο. Πελεκύνατα κυπαρίσσου, καὶ κρίνου ἐλαίῳ ἑψήσας, ἄλειφε τὸ σῶμα. Ἄλλο. Σφόγγου χυλὸν σὺν ἐλαίῳ ἄλειφε. Ἄλλο ἀρχιγένους.

Στροβίλια λεάνας μετ᾽ ὀλίγου ὄξους, ἐπίβαλλε μέλιτος τὸ ἀρκοῦν, καὶ ὠοῦ ὠμοῦ λέκιθον, καὶ
30 καταχρίε. ποιεῖ δέ, καὶ χωρὶς τοῦ ὄξους.

Ἄλλο ἐπίχρισον θερινὸν προφυλακτικὸν προσώπου. φαγεδαίνης. ἀμμωνιακοῦ θυμιάματος κόστου κεκομμένου ἀνὰ Γο. ϛ. στυπτηρίας ὑγρᾶς ∠. δ. λιβάνου Γο. β. ἀμύλου Γο. ϛ. ὠὰ ὠμὰ πρόσφατα. ιγ. μέλιτος καλοῦ ∠. γ. οἰνομέλιτος ξ. γ. βρέχε φαγέδαιναν. ἀμμωνιακὸν. λίβανον τῷ οἰνομέλιτι ἐπὶ ἡμέρας ἑπτὰ ἐν ἀγγείῳ ὑελίνῳ, τὰ δὲ ὠὰ ὁλόκληρα βαλὼν εἰς ὄξος λευκὸν δριμὺ ἔα βρέχεσθαι ἐπὶ ἡμέρας τρεῖς. τὴν δὲ στυπτηρίαν πλύνων ἐπιμελῶς εἶθ᾽ ἅμα πάντα βαλὼν εἰς θυείαν ὀστρακίνην, καὶ τρίψας ἐπιμελῶς ἀναλάμβανε ἐν μέλιτι ἑφθῷ, καὶ χρῶ ἐπιχρίων τὸ πρόσωπον. πρὸς δὲ τοῦ βαλανείου, ἀφαιρείσθω τὸ φάρμακον, δεῖ δὲ αὐτὸ ῥάβδους ἀποπατεῖν ἐκ τῆς ὄψεως τοῖς δακτύλοις ξηρὸν μετὰ δὲ τὴν ἀφαίρεσιν, προσκλύζεσθαι τὸ πρόσωπον, χλιαρῷ προσηνεῖ καὶ ποτίμῳ ὕδατι. εἶτα ἐπιχρίου μαινῇ διαλυθείσῃ ὠοῦ τῷ λευκῷ.

40 Πρὸς τὸ μὴ ῥυτιδοῦσθαι τὸ πρόσωπον. δ.

Τετάνωμα προσώπου. κέρας ἐλάφειον μὴ παλαιὸν ἕψησας ἐν ὕδατι ἕως χυλὸν ἐμποιήσει, διήθει τὸ ὕδωρ. καὶ τούτῳ φυράσας κυάμινον ἄλευρον, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ἐξανιέσας ὅσον ἐξαρκεῖ ὕδατι γλυκεῖ. καὶ ποιήσας ὑγρᾶς κηρωτῆς πάχος, ἐπιχρίεσθαι τὸ πρόσωπον παραίνει, καὶ ὅταν παγῇ, ἀπονίπτεσθαι κέλευε ὕδατι χλιαρῷ.

Πρὸς τὰς τῆς ὄψεως μελανίας ε.

Πρὸς δὲ τὰς τῆς ὄψεως μελανίας, χρηστέον τούτοις. ἴρεως λείας. πτισάνης ἀλεύρου. κυαμίνου ἀλεύρου ἀνὰ ξ. α. S. ἁλὸς ἀμμωνιακοῦ. κέρατος ἐλαφείου κεκαυμένου. ἀμμωνιακοῦ θυμιάματος, ἀνὰ Γο. β. ὕδατι λειώσας ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ, ἐπὶ δὲ τῆς χρήσεως ὕδατι διαλύων ἐπίχριε πρὸ τοῦ βαλανείου. Ἄλλο. Πτισάνης ἀλεύρου. κυαμίνου ἀλεύρου ὀροβίνου. ἀλεύρου. λι-
50 βάνου. ἴρεως κεκομμένου. ἀφρονίτρου κόστου ἑκάστου χοίνικος τέταρτον. ἀμύγδαλα πικρὰ κ. ἀνάπλαττε ὠῶν τῷ λευκῷ καὶ γάλακτι ὀνείῳ καὶ ξήραινε ἐν σκιᾷ. καὶ χρῶ καθὰ προείρηται.

Σμήγματα προσώπου καὶ στιλβώματα. ϛ.

Ἐπεὶ δὲ ἐν τῇ ἀφαιρέσει τῶν ἐπιχρίστων πειρῶνται τὴν ὄψιν σμήχειν, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις.

Σμῆγμα λαμπρυντικὸν προσώπου.

Ἀμύγδαλα λελεπισμένα μ. λιβάνου. ἀφρονίτρου. κόμεως ἀνὰ ∠. δ. σεμιδάλεως ∠. κδ. κυαμέ-
νου ἀλεύρου ∠. ιβ. ἀναλάμβανε ᾠοῦ τῷ λευκῷ καὶ ἀνάπλασσε τροχίσκους, καὶ χρῶ δι᾽ ὕδατος ἀνιὼν
ἐν βαλανείῳ καὶ χωρὶς βαλανείου.

Νίμμα προσώπου, εὐδόκιμον θαυμάσιον ποιεῖ τὸ πρόσωπον λαμπρὸν καὶ τέτανον. ἐκλεαίνει τὰς τρα-
χύτητας πάσας, ὠφέλησε καὶ ἀρχὴν ἔχοντα ἐλεφαντιάσεως. σὺν τοῖς ἄλλοις δηλονότι βοηθή-
μασι. χρῶ αὐτῷ καὶ ἐπὶ τῷ παντὶ σώματι.

Μαστίχης. λιβάνου. ἀμμωνιακοῦ θυμιάματος. ἴρεως ἀνὰ γο. α. τραγακάνθης γο. α. S. ὀμφακίου χυλοῦ γο.
θ. πέπονος σπέρματος σὺν τῷ ἐν αὐτῷ ὑγρῷ γο. ε. ᾠῶν τὰ λευκὰ. κα. σεμιδάλεως ξ. ε. κόψας πάν-
τα καὶ φυράσας τῷ λευκῷ τῶν ᾠῶν καὶ τῷ ὑγρῷ τοῦ πέπονος. καὶ τῷ χυλῷ τοῦ ὄμφακος ἀνάπλατ-
10 τε ἀρτίσκους καὶ ξήραινε. ἔπειτα κόψας σήσας φύλαττε ἐν ὑελίνῳ σκεύει, καὶ χρῶ.

Στίλβωμα προσώπου. τὸ αὐτὸ δὲ ὑπερυθραίνει.

Ὀροβίνου. καὶ κυαμίνου. καὶ θερμίνου. καὶ πτισάνης. καὶ ἐρεβίνθων ἀλεύρου. καὶ ναρκίσσου βολ-
βῶν ἀνὰ ξ. ἰταλικοῦ τὸ ἥμισυ. σεμιδάλεως ξ. α. κόψας σήσας λεπτοτάτῳ κοσκίνῳ καὶ φυρά-
σας ᾠοῦ τῷ λευκῷ, ἀνάπλαττε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως αἴρων ὅσον ἐξαρ-
κεῖ διάλυε ὕδατι καὶ χρῶ μετὰ βαλανεῖον.

Ἄλλο λαμπρυντικὸν προσώπου καὶ παντὸς τοῦ σώματος. τετανὸν δὲ καὶ καθαρὸν ποιεῖ τὴν χρῶτα.

Βρυωνίας ῥίζης τὸν φλοιὸν ἀποξύσας, ξήραινε τὸ λοιπὸν τῆς ῥίζης ἡλίῳ θερινῷ. ἔπειτα κόψας σή-
σας, λάμβανε ἐκ ταύτης ἰταλικοῦ χοίνικος τὸ ἥμισυ. ἴρεως κεκομμένης τὸ ἴσον. μυροβαλάνου λε-
λεπισμένης ξηρᾶς τὸ ἴσον. κυαμίνου ἀλεύρου χοίνικα. α. οἴνῳ λευκῷ παλαιῷ εὐώδει φυράσας, ἀνά-
20 πλασσε τροχίσκους λεπτοὺς καὶ ξήραινε ἐν σκιᾷ. ἐν δὲ τῇ χρήσει κόπτων σήθων. χρῶ μεθ᾽ ὕδατος.

Σμῆγμα Κλεοπάτρας τῆς βασιλίσσης πολυτελὲς εὐῶδες.

Κόστου. σμύρνης σταγλίτιδος. ἴρεως. ναρδοστάχυος. ἀμώμου. φύλλου. κασσίας. σχοίνου ἄνθους ἀνὰ γο. α.
μυροβαλάνου λίτρας δ. νίτρου ἀφροῦ λίτρας. α. κόψας σήσας χρῶ. ποιεῖ πρὸς ὅλον τὸ σῶμα.

Ἄλλο ἐνεργὲς καὶ εὐῶδες.

Σχοίνου ἄνθους. ἴρεως ἀνὰ ∠. β. μαστίχης ∠. α. λεάνας ἀναλάμβανε χυλὸν πτισάνης παχυτά-
τῳ. καὶ ποίει ἀρτίσκους. καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρείας ἀνέσας ὕδατι κατάχριε καὶ δια-
στήσας ὥραν, πρόσκλυζε ὕδατι ψυχρῷ.

Ἄλλο πρὸς δὲ λαμπρὸν καὶ τέτανον ποιεῖν τὸ πρόσωπον καὶ τὸ ὅλον σῶμα.

Κυαμίνου ἀλεύρου μόδιον ἰταλικὸν α. σεμιδάλεως ἰταλικοὶ ξ. δ. τριφύλλου κεκομμένης ξ. δ.
30 μυροβαλάνου τὸ ἴσον. ἴρεως κεκομμένης ξ. δ. ἀμμωνιακοῦ θυμιάματος λίτραν. α. κόστου λίτραν. α.
ᾠῶν ὠμῶν προσφάτων ἑξήκοντα τὰ λευκὰ. πεπόνων σπέρματος σὺν τῷ ὑγρῷ ξ. β. ὀμφάκων
χυλοῦ τὸ ἴσον φυράσας ἀνάπλαττε τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ ὅσον ἐξαρκεῖ. καὶ ἐπίχριε μετὰ
βαλανείου ποιεῖ καὶ πρὸς τὰς ἐν τῷ δακτύλῳ καὶ τῷ λοιπῷ σώματι μελανίας.

Ἄλλο πρὸς τὰς μελανίας προσώπου διὰ πολλῆς πείρας.

Λιβάνου γο. α. S. ψιμμυθίου πεπλυσμένου ἐπιμελῶς. λιθαργύρου πεπλυμένου πολλάκις ἐν ἡλίῳ ἐν
ἀφεψήματι λευκῶν ἐρεβίνθων. ἀμύλου προσφάτου. μαρμάρου λευκοτάτου ῥινίσματος μαστίχης κα-
θαρᾶς ἀφρονίτρου λευκοῦ. σηπίας ὀστράκου, ἀνὰ γο. α. σάπωνος γαλλικοῦ γο. ιβ. ᾠῶν δέκα τὰ λευκά.
σκεύαζε καὶ χρῶ καθάπερ προείρηται.

Ἄλλο θαυμάσιον ἀποκαθαῖρον τὴν ὄψιν καὶ λαμπρῦνον.

Τιλίνου ἀλεύρου γο. δ. γῆς ἀστέρος, γο. γ. ἀμύλου γο. δ. μαστίχης γο. ς. μυελοῦ ἐλαφείου προσφάτου
40 γο. ς. τραγακάνθης γο. δ. γάλακτι γυναικείῳ ἢ ὀνείῳ ἀπόβρεχε τὴν τραγάκανθαν. καὶ λεάνας, ἀνα-
λάμβανε αὐτῇ τὰ λοιπὰ λειότατα γενόμενα. καὶ ἀνάπλασσε τροχίσκους καὶ ξήραινε ἐν σκιᾷ καὶ
χρῶ καθὰ προείρηται.

Ἄλλο σμῆγμα ὄψεως καὶ τοῦ λειποῦ σώματος.

Κικέας κροτώνων τοῦ ἐντὸς ∠. η. ναρκίσσου βόλβων ξηρῶν λελεπισμένων ∠. η. σεμιδάλεως ∠.
δ. λιβάνου ∠. β. ᾠῶν β. τὰ λευκά. σκεύαζε καθὰ προείρηται καὶ χρῶ. τουτέστι φυράσας ἀνάπλατ-
τε τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρείας διαλύων ὅσον ἐξαρκεῖ, ἐπίχριε μετὰ βαλανεῖον.

Σάπωνι ᾧ ἐχρήσατο Πελάγια πατρικία. πρὸς τὸ λαμπρῦναι τὸ πρόσωπον.

Σάπωνος γαλλικοῦ γο. ς. ψιμμυθίου γο. β. μαστίχης γο. τὸ S. μυελοῦ ἐλαφείου. γο. α. ἀφρονίτρου λευκοῦ
γο. δ. κηροῦ τρακτοῦ γο. γ. προβρέχε τὸν σάπωνα εἰς ὕδωρ εἰς ὑελοῦν ἀγγεῖον ἡμέρας. ε. ἀλλάττων τὸ
50 ὕδωρ τὸ ὄμβριον καθ᾽ ἡμέραν καὶ ὕλιζε τὸν σάπωνα. καὶ μετὰ ταῦτα βαλὼν εἰς χύτραν καινουρ-
γίαν τὸν σάπωνα. καὶ τῆς ς. ἡμέρας πάλιν ὕδωρ ὄμβριον ἐπίθες ἐπ᾽ ἀνθράκων χαμαλῷ πυρὶ ἕως
διαλυθῇ ὁ σάπων. εἶτα ἐπίπασσε κηρόν. καὶ τὸν μυελόν. καὶ ὅταν διαλυθῶσι, λαβὼν τὴν λοπάδα
κίνει συνεχῶς σπαθῇ. καὶ πάσσον τὴν μαστίχην καὶ τὸ ἄμυλον προλειωθέντα. εἶτα τὸ ψιμμύθιον
προλελειωμένον ὀλίγῳ ὕδατι καὶ βαλὼν εἰς κόγχην ἀνάκοπτε τῇ χειρὶ συντόνως. καὶ βαλὼν εἰς

ἀμύλου γο. ς.

ὑέλου ἀγγείον, χρῶ καθ' οἶκον.

Σμῆγμα ἐκ τῶν ῥούφου πρὸς ῥυτίδωσιν· συνεχῶς γὰρ τούτῳ σμηχόμενον τὸ ῥύσον παρατείνεται.

Σύκα λιπαρώτατα καὶ βρυωνίας ῥίζαν λελεπισμένην ξηράν. καὶ σηπίας ὄστρακον ὀρόβων ἄλευρον ἕκαστον ἰδίᾳ κόψας. ἔπειτα καὶ ἅμα κόπτων, παράσταζε μέλιτος τὸ σύμμετρον καὶ χρῶ.

Σμῆγμα τοῦ ὅλου σώματος εὐῶδες πάνυ.

Γῆς κιμωλίας Γο. η. ἴρεως λειοτάτης L. κδ. νάρδου κελτικῆς L. κδ. κυπέρων καρδαμώμου. στύρακος ξανθοῦ λιπαροῦ, ἀνὰ L. ιβ. τὸν στύρακα οἴνῳ παλαιῷ λευκῷ εὐώδει διαλύσας ἔχε ἐν ἑτοίμῳ. ἔπειτα τὴν κιμωλίαν ἐν ὀστρακίνῳ ἀγγείῳ βαλὼν τίθει ἐπ' ἀνθράκων, καὶ ὅταν πυρωθῇ, ἔμβαλε εἰς τὸν διαλυθέντα στύρακα. εἶτα ἐπίπασσε τὰ ξηρὰ λειότατα. καὶ ἐνώσας ἱκανῶς, ἀνά-
10 πλαττε τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ. καὶ κόψας σήσας χρῶ.

Καταπλάσματα θερινά, εὐωδίαν ἐμποιοῦντα τῷ παντὶ σώματι. κρίτωνος. ζ.

Ἱδρώτων δὲ ἐνοχλούντων τῷ σώματι, πολλή ἐστιν ἡ ἐκ τούτου ἀηδία. καὶ μάλιστα θέρους. καὶ γὰρ πολλὴν ἄσην ἐπιφέρει καὶ δυσωδίαν. καὶ διὰ τοῦτο χρηστέον τοῖς ὑπογεγραμμένοις, οὐ μόνον ἐπὶ τῶν γυναικῶν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀνδρῶν. καιρὸς γὰρ καὶ τούτων μνήμην ποιήσασθαι σὺν τοῖς σμήγμασι. Κατάπλασμα ὅλου τοῦ σώματος εὐῶδες θερινόν. ῥόδων ξηρῶν, κασσίας, ἀνὰ Γο. γ. ἀμώμου. κόστου. ναρδοστάχυος, ἀνὰ L. β. στυπτηρίας ὑγρᾶς, Γο. β. οἴνῳ παλαιῷ εὐώδει διαλύσας, ἀνάπλασσε τροχίσκους, καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρείας κόψαντες σήσαντες, διαπασσέσθωσαν λουόμενοι. καὶ ἀνατρίβέσθωσαν ἐπιμελῶς, καὶ τότε ψυχρῷ ὕδατι περιχείσθωσαν. Ἄλλο.

Λιθαργύρου λελευκασμένου ἐν ἀφεψήματι τερεβίνθων. ἀμώμου. κασσίας. φύλλου. κόστου. ναρ-
20 δοστάχυος. στυπτηρίας ὑγρᾶς. ἴρεως. ἑκάστου ἴσον. σκεύαζε καὶ χρῶ καθὰ προείρηται. χρηστέον δὲ καὶ τοῖς προγεγραμμένοις καταπλάσμασι ὅλου τοῦ σώματος, ἐν ᾧ βούλει χρήσασθαι καιρῷ.

Εὐῶδες προσηνές.

Ῥόδων χλωρῶν ἀβρόχων L. μ. σμύρνης στακτῆς L. η. ἴρεως ἰλλυρικῆς. ναρδοστάχυος κασσίας ἀνὰ L. η. οἴνῳ εὐώδει φυράσας, ἀνάπλαττε τροχίσκους. ἐπὶ δὲ τῆς χρείας κόπτων καὶ σήθων καταπλασσε τὸ σῶμα μάλιστα μετὰ τὸ λουτρόν. Ἄλλο. Ἀμώμου. κασσίας. ναρδοστάχυος. κόστου. φύλλου. σμύρνης. ἴσον ἑκάστου. οἴνου τὸ ἀρκοῦν, σκεύαζε καὶ χρῶ καθὰ προείρηται. Ἄλλο. Κασσίας. ἴρεως. σμύρνης. στυπτηρίας καλλίστης. οἴνῳ εὐώδει φυράσας ποίει τροχίσκους καὶ χρῶ. Ἄλλο. ἴρεως. ναρδοστάχυος. σχοίνου ἄνθους, ἀνὰ L. δ. ἀμώμου L. β. σμύρνης L. β. μελιλώτων L. ε. σκεύαζε καὶ χρῶ ὁμοίως. Ἀρχιγένης δέ φησι πρὸς τὰς τοῦ παντὸς σώματος δυσωδίας.
30 καὶ τὰς καλουμένας γρασωνίας, ἁρμόδια μὲν πρὸ πάντων γυμνάσια. ἀλείμματα. ξηροτριβεία. κοιλίας συνεχὴς ὑποσυρμός, καὶ τροφαί, καὶ χρίσματα ἁρμόδια πρὸς ἀνασκευὴν τοῦ πάθους. ὁποῖα ἐστὶ ῥόδινον. μήλινον. μύρσινον. ἶρις ξηρὰ λεία καθ' αὑτὴν ἐπιπασσομένη. ἢ στυπτηρίαν ὑγρὰν λεάνας σὺν ὕδατι ἢ οἴνῳ, καὶ σμύρναν λειοτάτην παραμίξας, καὶ ποιήσας μέλιτος πάχος, ἐπίχριε τράχηλον. μασχάλην. βουβῶνας. καὶ τοὺς περιϊδροῦντας τόπους. Ἄλλο. Στυπτηρίας ὑγρᾶς L. δ. σμύρνης L. δ. λιθαργύρου πεπλυμένου L. β. κασσίας L. α. λείοις χρῶ. παραξύσων μασχάλας μεσομήρια. καὶ βουβῶνας περιαιρεῖ γὰρ παραχρῆμα τὰς δυσωδίας. Ἄλλο. Κασσίας L. β. σχιστῆς L. β. χρῶ μετὰ οἴνου καθ' αὑτήν. Ἄλλο. μαστίχης Γο. γ. σχιστῆς Γο. α. χρῶ μετ' οἴνου. Ἄλλο σμύρνης στακτῆς. ἴρεως ἰλλυρικῆς ῥόδων ἀβρόχων ἄνθους ἴσα. κόπτε. καὶ
40 σῆθε. ἀναλάμβανε τροχίσκους μετ' οἴνου. καὶ ξήραινε ἐν σκιᾷ ὅπου ἄνεμος οὐ πνεῖ. εἶτα κόψας σήσας ἀπόθου ἐν πυξίδι πωμάσας, ἵνα μὴ διαπνεύσῃ. καὶ χρῶ μετὰ τὸ λουτρόν. ἐπιπάσσων καὶ ἀνατρίβων τοὺς τόπους ἠρέμα. καὶ ἔα συμπίνειν. ἔπειτα κατάκλυζε ψυχρῷ. καὶ ἀπομένει ὀσμὴ ὥστε θαυμάσαι. Καλῶς ποιεῖ καὶ ἡ στυπτηρία σὺν οἴνῳ. καὶ τὸ κροκόμαγμα μετὰ σμύρνης, καὶ κυπαρίσσου πρίσμα, καὶ στυπτηρία μετ' οἴνου.

Πόματα πρὸς τοὺς δυσώδη ἔχοντας τὸν χρῶτα. καὶ πρὸς ὀξοσόμους. η.

Πόμασι δὲ τοιούτοις κεχρῆσθαι ἐπὶ τῶν δυσῶδες ἐχόντων τὸ σῶμα, σκολύμου ῥίζαν ἑψήσας ἐν οἴνῳ λευκῷ δίδου πιεῖν, καὶ οὐρήσει οὖρον παχὺ καὶ δυσῶδες. Ἄλλο. Τερεβινθίνης ὅσον ἐλαίας μέγεθος μετὰ μέλιτι ἴσον ἑψήσας, δίδου καταπίνειν. καὶ οἶνον ἐπιρροφεῖν. Ἄλλο. Σμύρναν, καὶ στρεβλωτὸν ἴσα λεάνας. καὶ καταπότια ποιήσας, δίδου δύο καταπίνειν, καὶ οἶνον ἐπιρροφεῖν,
50 ταῦτα δὲ καὶ πρὸς ὀξοσόμους ποιεῖ.

Πρὸς τὰς ἐπὶ τοῦ γενείου τραχύτητας. γαληνοῦ. θ.

Αἱ ἐπὶ τοῦ γενείου τραχύτητες γίγνονται τὰ πολλά, ἰχώρων ἀπὸ τῆς κεφαλῆς ἐπιρρεόντων. προηγησαμένης πιτυριάσεως. ἐνίοτε δὲ καὶ τῶν ἀκουστικῶν πόρων καθάπτεται. καὶ καθέρπει μέχρι τοῦ τραχήλου καὶ τῶν παρακειμένων μορίων ἐπώδυνος δέ ἐστιν ἡ τοιαύτη διάθεσις, κνησμὸν ἐπιφέρουσα. καὶ περιτείνουσα τὸν χρῶτα. χρηστέον οὖν ἐπὶ τούτων, τοῖς ὑπογεγραμμένοις. Κρίτωνος ἀμόρ-

γῇ τῇ ἀποστάζουσῃ ἀπὸ τῆς ἐλαίας πρὶν ἐκπιεσθῆναι ἡψημένῃ, καὶ συνεστραμμένῃ, καταχρίε συνεχῶς. Ἄλλο. Σμύρνης 𐅻. α. ὠῶν ὠμῶν λεκίθους. ε. πρότερον γάλακτι διαλύσας. εἶτα ἐπιβαλὼν τὰ ὠὰ, τότε ἀναλάμβανε γλυκεῖ καὶ καταχρίε συνεχῶς καὶ θαυμάσεις. Ἄλλο φάρμακον ἐπιτετευγμένον, πολλοὺς κατεχομένους ὑπὸ τῆς τοιαύτης διαθέσεως, ἀπηλλάξαμεν τούτῳ. Γλαυκίου ∠. ιϛ. κόμμεως ∠. δ. ἐλαίας δακρύου τὸ ἴσον. γλυκεῖ διαλύσας. καὶ γλοιοῦ πάχος ποιήσας, ἐπίχριε συνεχῶς. ἡλκωμένης δὲ τῆς ἐπιφανείας καὶ περιωδυνίας οὔσης, χρηστέον τοῖς ὑπογεγραμμένοις. Λιπαρὰ πρὸς τὰς ἐπὶ τοῦ προσώπου ἀνωφελεῖς διαθέσεις. καὶ τραχύτητας. ἔστι δὲ καὶ ἑδρικὴ ἀγαθή. ποιεῖ καὶ πρὸς πυρίκαυστα. Λιθαργύρου, 𐅻. γ. κηροῦ τυρρηνικοῦ, 𐅻. δ. ὠῶν ὀπτῶν, λεκίθους γ. στέατος χηνείου κατεσκευασμένου, λι. α. τὴν λιθάργυρον λειοτάτην ποιήσας, ἐπίβαλε τὰ ὠὰ, καὶ ἑνώσας, ἐπίβαλε γάλακτος ὅσον ἐξαρκεῖ. καὶ λείου ὡς γλοιοῦ πάχος ἔχειν. ἔπειτα κηρὸν μετὰ τοῦ στέατος τήξας καὶ ψύξας, ἐπίβαλε. καὶ ἑνώσας φύλαττε. ἐπὶ δὲ τῆς χρήσεως, ὕδωρ ἐξ αὐτοῦ ὅσον ἐξαρκεῖ, καὶ διαλύων ῥοδίνῳ, ἐπιτίθει. χρῶ δὲ καὶ ταῖς ἑδρικαῖς, καὶ τοῖς πυρικαύστοις.

Περὶ τῶν ἐπὶ τοῦ προσώπου φακούς. οἷς τισι καὶ ἐπὶ ἐφηλίδων δεῖ κεχρῆσθαι. καὶ ἰόνθων δεῖ κεχρῆσθαι. πρὸς θύμους δὲ καὶ μυρμηκίας, καὶ ἀκροχορδόνας, γέγραπται ἐν τῷ τετάρτῳ κεφαλαίῳ τοῦ. ιδ. λόγου.

Βρυωνίας ῥίζα λευκὴ καὶ μέλαινα ἑψηθεῖσα μετ' ἐλαίου μέχρι χυλωθῇ. αἴρει ἰονθοὺς καὶ φακούς. ἀμυγδάλινον ἔλαιον σὺν κηρῷ. κρίνου ῥίζα μετὰ μέλιτος. μάλιστα δὲ φακοὺς αἴρει κόμμι καὶ νίτρον ἴσα σὺν μέλιτι. Ἄλλο. Σπέρμα κράμβης, μεθ' ὕδατος τρίψας, καταχρίε προαποσμήξας τὸν τόπον. ὅταν δὲ ξηρανθῇ καὶ μετεωρίζεται ὁ χρώς, χρηστέον προσκλύσματι πολλῷ ὕδατι ψυχρῷ. καὶ καταχρηστέον στέατι χηνείῳ, ἢ μυελῷ ἐλαφείῳ. ἢ κηρωτῇ σκευασθείσῃ διά τινων τοιούτων. παραφυλακτέον δὲ μετὰ τὴν ἔκδοραν, τῷ μὴ περιπεσεῖν τινὶ τῶν βλαπτόντων. οἷον ἀέρι ψυχρῷ. ἢ ἀνέμῳ, ἢ προσκλύσματι. Ἄλλο πρὸς μώλωπας καὶ φακούς. Κόπρον περιστερᾶς μετ' ὄξους δριμέως λειώσας χρῶ καὶ θαυμάσεις. Ἄλλο. Σανδαράχην λειώσας μετὰ μέλιτος ὡς γλοιοῦ πάχος ἔχειν ἐπίχριε ἐπὶ ἡμέρας ἕξ. ξηρανθείσης δὲ τῆς ἐπιφανείας καὶ μετεωριζομένης, χρηστέον τούτοις χαλβάνῃ μετὰ ὀλίγου νίτρου, καὶ ὄξους λειωθείσῃ. χρονίων δὲ ὄντων τῶν φακῶν, χρηστέον τούτοις. Ἄλλο. Σικύου ἀγρίου ῥίζης, 𐅻. β. κιμωλίας, 𐅻. α. λειότατα ποιήσας, ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως ὅσον ἐξαρκεῖ ὕδατι λύων, ἐπίχριε. Ἄλλο. βολβῶν κεκαθαρμένων, 𐅻. α. λιβάνου. 𐅻. α. τρῖβε ἐπιβαλὼν κοχλίων χερσαίων μεγάλων τὴν ἰχῶρα δεῖ δὲ τούτους διακεντεῖν γραφίῳ ζῶντας. καὶ τὸ ἀπορρέον αὐτῶν μυξῶδες, ἐπιβάλλειν τῷ φαρμάκῳ. ὅταν δὲ διαλυθῇ, ἀναλάμβανε μέλιτι καὶ χρῶ. ποιεῖ καὶ ἡ τοῦ ἄρου ῥίζα ξηρὰ μετὰ μέλιτος καὶ ἡ τῆς κοτυληδόνος ῥίζα κηρωτῇ ὑγρᾷ ἀναληφθεῖσα καὶ καταχριομένη. Ἐπεὶ δὲ συμβαίνει αἰρομένων τῶν φακῶν, τυλοῦσθαι τὴν ἐπιφάνειαν, καὶ δυσαπαλλάκτους εἶναι τὰς διαθέσεις, χρηστέον μετὰ τὴν ἔκδοραν τῶν φακῶν, σμήγμασι τοιούτοις.

Σμῆγμα πρὸς τετυλωμένους φακούς.

Ἀλεύρου ὀροβίνου ἰταλικοῦ χοίνικος τὸ ἥμισυ. κριθίνου ἀλεύρου τὸ ἴσον. σκίλλους ὀπτῆς, 𐅻. β. ἅπαντα λεῖα ποιήσας, ἀναλάμβανε ὠῶν τῷ λευκῷ, καὶ ποίει τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως ὕδατι διαλύων, ἐπίχριε. καὶ διαστήσαντα βραχὺ, ψυχρῷ προσκλύζεσθαι παραίνει. ἢ πιτύρων ἀποβρέγματι, μάλιστα, ὅτε ἐστὶ φλεγμονή. Ἄλλο ἀφρονίτρου ∠. η. ἀλκυονίου ∠. η. χαλβάνης ∠. η. ἀμυγδάλων πικρῶν λελεπισμένων ∠. γ. μέλιτι ἀναλάμβανε. εἶτα ἐπιχρίων ἔα ξηρανθῆναι. ἔπειτα παραίνει σμήχεσθαι κυάμῳ διαμεμασημένῳ καὶ προσκλύζεσθαι ὕδατι συμμέτρως ψυχρῷ φειδομένους ἡλίου καὶ ἀνέμων.

Περὶ ἐφηλίδων καὶ κνίσμου. ιβ.

Γίνονται περὶ τὸ πρόσωπον, καὶ αἱ λεγόμεναι ἐφηλίδες περὶ τὰ μῆλα, καὶ τὴν ῥῖνα. φαίνονται μέντοι μὴ πάνυ κατὰ βάθος εἶναι. ἀλλ' ὥσπερ ἐπανθισμῷ ὅμοιαι. διόπερ ἐλαφρῶς αὐτὰς τῇ παρατρίψει μετεωρίσαντες, ἐᾶσαι δεῖ ξηρανθῆναι. καὶ παραινεῖν ἐν τῷ τῶν σμηγμάτων σμήχεσθαι. διαφορεῖται γὰρ διὰ τούτων, ἢ οὕτως ἀφίσταται, ὥστε τοῖς δακτύλοις αὐτὰς ἀφαιρεῖν. δεῖ δὲ μὴ βιαίως τοῦτο ποιεῖν ἀλλὰ κούφως, καὶ κατ' ὀλίγον. εἰ δ' ἔτι μένοιεν μὴ κουφιζόμεναι, χρηστέον τοῖς ὑπογεγραμμένοις. Κράμβη λεία ἐπιχριομένη, πρὸς ἐφήλεις, καὶ φακούς. καὶ ὅσα ἄλλα μετρίως δεῖται ῥύψεως, ποιεῖ. ὁμοίως δὲ καὶ σηπίας ὄστρακα καυθέντα. ἢ πορφυρῶν. ἢ κηρύκων. καὶ μετὰ μέλιτος ἐπιχριόμενα. δεῖ δὲ βάλλοντας ταῦτα ἐν χυτριδίῳ ὠμῷ δοθῆναι ὀπτᾶσθαι ἐν καμίνῳ χρῶ καὶ πρὸς φακούς. Ἄλλο πρὸς ἐφηλίδας. ἰόνθους, καὶ ἀλφοὺς Ὀρειβασίου. Ὀροβίνου ἀλεύρου, λι. β. ὀξυζώμου σπέρματος, λι. α. ἀμυγδάλων πικρῶν. σικύου ἀγρίου ῥίζης, ἀνὰ. λι. α. οἰνοτερμινθινοῦ ∠. ιε. ῥοδίνου ∠. ζ. S. στέατος χηνείου. 𐅻. α. λιθαργύρου πεπλυμένης καὶ λευκανθείσης

γο. α. ψιμμυθίου γο. α. κόμμεως < δ. μέλιτος ἀττικοῦ γο. α. ἀναλύσας ἐπίχριε τὸ πρόσωπον καὶ μετὰ ὥρας ζ, ἀποσπογγίσας νίπτε σάπωνι. Ὀριβασίου πρὸς φακούς. Θέρμους βρέχε ἐν κονίᾳ ἡμέρας γ. καὶ λειώσας, ἐπίχριε τοὺς φακοὺς ἕως ἀφέλῃ. Ἄλλο. Σάπωνα γαλλικὸν ὕδατι λειώσας. ὀλίγον καὶ μέλιτος προσβαλὼν, ἐπίχριε, καὶ ἔα ὥρας γ. ἢ περιστερᾶς κόπρον εἰς ὀθόνιον βαλὼν, κατάκαυσον ὡς τεφρωθῆναι, καὶ σὺν ἐλαίῳ λειώσας, ἐπίχριε θαρρῶν. καὶ μυροβάλανος δὲ λεία ἐπιχριομένη καλῶς ποιεῖ. καὶ βολβὸς ὠμὸς καθ' αὑτὸν, καὶ σὺν ὠοῦ λεκίθῳ καὶ ὄξει, ἢ μέλιτι. κεκαυμένοι δὲ οἱ βολβοὶ μετὰ ἀλκυονίου καὶ ἐπιχριόμενοι, ἀποκαθαίρουσι τὴν ἔφηλιν. ποιεῖ δὲ καὶ ἐλατήριον ἐπιχριόμενον. καὶ κασία σὺν μέλιτι. κράμβης σπέρμα σὺν ὄξει. κισσοῦ φύλλα σὺν οἴνῳ ἑφθά. κοτυληδόνος ῥίζα μετὰ κηρωτῆς ὑγρᾶς ἐπιχριομένη. καὶ σικύου ἀγρίου ῥίζα. καὶ συκῆς ἀκρεμόνας ἕψει ἐν ὄξει, καὶ λεῖα κατάπλασσε. ποιεῖ καὶ πρὸς ἀλφούς. ἢ ἐρυθρέδανον λεάνας σὺν ἐλαίῳ χρῖε. ἢ κόστον λεῖον μετὰ ὕδατος ἢ ἀφρόνιτρον μετὰ κηρωτῆς ὑγροτέρους ἢ θέρμους ὠμοὺς ἑψητοὺς μετὰ κονίας πηλοποιήσας καὶ λεάνας μετὰ μέλιτος ἐπίχριε. Ἄλλο ναρκίσσου ῥίζας λεπίσας ἕψε μετ' ὄξους. καὶ λεάνας, ἐπίβαλλε ἀλεύρου ὀροβίνου ὅσον ἐξαρκεῖ. καὶ ἀνάπλαττε τροχίσκους. καὶ ξήραινε ἐν σκιᾷ. ἐπὶ δὲ τῆς χρήσεως λεάνας μετὰ μέλιτος, ἐπίχριε ἀπὸ ἑσπέρας. πρωῒ δὲ ἀπονίπτεσθαι παραίνων. Ἄλλο. Κρίνου βολβοὺς ἑψήσας, ἐπίβαλλε ἀφρονίτρου λίτραν α. εἶτα μέλιτος ἀνιεὶς τὸ ἀρκοῦν, ἀπάλειφε μέχρι παντελοῦς ἀπαλλαγῆς ὡς προείρηται. Ἄλλο. Ἀμυγδάλων πικρῶν μέρη β. μελανθίου πεφρυγμένου μέρος α. ἕκαστον ἰδίᾳ λεάνας, μῖξον μετὰ μέλιτος καὶ ἑσπέρας ἐπιχρίων πρωῒ ἀπονίπτε ὕδατι γλυκεῖ.

Σμήγματι δὲ χρῶ τινὶ τῶν προγεγραμμένων πρὸς τὰς τοῦ προσώπου μελανίας. καὶ τοῖς παραπλησίοις, ποιεῖ δὲ καλῶς καὶ τοῦτο, μάλιστα πρὸς χρονίας. χήρυκας καύσας. καὶ λεάνας μετὰ μέλιτος, κατάχριε ἑσπέρας. πρωῒ δὲ ἀπονίπτεσθαι. παραίνει ὕδατι γλυκεῖ. Ἄλλο πρὸς τὰς ἐφήλεις καλὸν πάνυ, ὠὰ ὅλα ἀποβρέξας ὄξει μέχρις ἂν αὐτῶν τὸ ὄστρακον ἁπαλώτατον γένηται. καὶ παρασκευάσας ἄνωθεν, ἐκλάμβανε τὰ λευκά. καὶ παραμίξας ἴρεως ἰλλυρικῆς κεκομμένης σεσησμένης, καὶ μελανθίου λειοτάτου καὶ λιβάνου ἴσον ἑκάστου. σὺν λεάνας, καὶ ἐπιβαλὼν μέλιτος τὸ ἀρκοῦν, χρῶ καθὰ προείρηται. ἐπὶ μόνου δὲ τῆς διαθέσεως γινομένης, χρηστέον ἐκδορείοις τοιούτοις. Ἐκδόρειον ἐφηλίδων καὶ φακῶν. Μελάνθιον, ὠκίμου σπέρματος, ἄρου ῥίζης, ἀνὰ γο. γ, ὕδατι φυράσας, κατάπλαττε. εἶτα ἔα παγῆναι, διαστήματος δὲ γινομένου, ἀφελὼν τὸ ἐπικείμενον, προσκλύζεσθαι ὕδατι θερμῷ ὡς ὅτι πλείστῳ. Ἄλλο ποιεῖ καὶ πρὸς τὰ τυλωμένα πρόσωπα διὰ γῆρας, ἢ διὰ συνεχεῖς ἐκδορὰς, ἀπὸ φαρμάκων δριμυτέρων γινομένας. Εὐζώμου σπέρματος, γο. ς. ἄμμεως. καρδαμώμου. ἄρου ῥίζης. κόστου, ἀνὰ γο. γ. κόψας σήσας, ἀπόθου. ἐπὶ δὲ τῆς χρήσεως αἴρων, ὅσον ἐξαρκεῖ, καὶ ὄξει φυράσας, ἐπιτίθει εἰς πάχος καταπλάσσων. πεπηγμένου δὲ, ὄξος καὶ ὕδωρ ἐπίσταζε διασποδίσου. γινομένοις δὲ ἐκδοραῖς, προσαντλητέον ὕδατι πολλῷ θερμῷ. μετὰ δὲ τὴν ἐπάντλησιν, ἐπιτίθει τὴν ὑποκειμένην σκευασίαν εἰς ῥάκος, ἐμπλάσσων ὀθόνιον. ψιμμυθίου, < η. λιθαργύρου, πεπλυμένου, < δ. στέατος χηνείου γο. ς. μυελοῦ ἐλαφείου, γο. ς. ὑσσώπου φαρμάκου, γο. γ. ς. στέατος χοιρείου προσφάτου, γο. γ. σησαμίνου ἐλαίου ὅσον ἐξαρκεῖ. δεῖ δὲ ἀπὸ πυρίας δὶς τῆς ἡμέρας. ἀρθέντος δὲ τοῦ δέρματος ἐπιτηδείᾳ χρὴ τῇ ὑποκειμένῃ κηρωτῇ. στέατος αἰγείου ἐξινιασμένου καὶ πεπλυμένου, λι. β. σουσίνου ἐλαίου, γο. ς. ῥοδίνου ἐλαίου. καὶ ἀμυγδαλίνου. κηροῦ. μαστίχης, κέρατος ἐλαφείου κεκαυμένου. ἁλὸς ἀμμωνιακοῦ, ἀνὰ γο. α. γῆς κιμωλίας, γο. δ. τὰ τηκτὰ τήξας. καὶ διηθήσας, πάλιν ἕψε ἐπ' ὀλίγον ἐπ' ἀνθράκων καὶ κατάχει ἐν τῇ θυΐᾳ τῶν ξηρῶν, καὶ ἑνώσας χρῶ. ἐπὶ δὲ τῶν ἡλκωμένων ἐν τῷ γενείῳ τραχυτήτων, χρηστέον καὶ τοῖς ἀναγεγραμμένοις μετὰ βραχὺ ἐν τῷ ις κεφαλαίῳ, πρὸς τὰ ἀχωρώδη ἐπὶ τῷ γενείῳ ἐξανθήματα.

Περὶ στιγμάτων. ιβ.

Στίγματα καλοῦσι, τὰ ἐπὶ τοῦ προσώπου ἢ ἄλλου τινὸς μέρους τοῦ σώματος ἐπιγραφόμενα. οἷά ἐστι τῶν στρατευομένων ἐν ταῖς χερσί. μέλανι δὲ χρῶνται τοιούτῳ. Μέλαν πρὸς στίγματα. Ἀκάνθου αἰγυπτίας ξύλον, καὶ μάλιστα τοῦ φλοιοῦ, λι. α. χαλκοῦ κεκαυμένου. κηκίδων, ἀνὰ γο. β. χαλκάνθου, γο. α. κόψας. σήσας, λεία πρῶτον μετ' ὄξους τὸν χαλκόν. ἔπειτα καὶ τὰ λοιπὰ ἐπιβαλὼν, ἐπίχεε ὕδατος μὲν, μέρη β. καὶ πράσου χυλοῦ, μέρος α. καὶ ἑνώσας χρῶ. κεντῶν τοὺς τόπους ταῖς βελόναις. καὶ ἀφελὼν τὸ αἷμα, καὶ ἐπιχρίων πρῶτον πράσου χυλῷ. ἔπειτα τῷ φαρμάκῳ. ἐφ' ὧν δὲ τὰ τοιαῦτα στίγματα ἀφελεῖν βουλόμεθα, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. τιτάνου. νίτρου ὀπτοῦ, ἀνὰ μέρος α. λεία μεθ' ὕδατος πηλοποιοῦ ποιήσας, καὶ προεκνιφώσας ἀποσμήξας, κατάχριε συνεχῶς. ποιεῖ καὶ πρὸς μυρμηκίας. Ἄλλο ὥστε ἐξαίρειν στίγματα. Πετοσίρεως. πηγάνου ἀρσενικοῦ, ἀνὰ < δ. λεάνας καὶ μέλι ἐπιβαλὼν, ἀναλάμβανε εἰς πυξίδα κεραμεᾶν. ἐπὶ δὲ τῆς χρήσεως προεκνιφώσας τὰ στίγματα, κατάπλασσε ῥητίνῃ τερεβινθίνῃ, καὶ κατάδησον ἐπὶ ἡμέρας ε. τῇ δὲ ς. κατακέντα βελόνῃ τὰ στίγματα. καὶ περιαποσπογγίσας τὸ αἷμα, κατά-

πασσε ἁλσὶ λεπτοῖς τὰ κεντήματα. καὶ διαλειπὼν τοσοῦτον ὡς διελθεῖν σταδίους ι. ἐπίθες τὸ προειρημένον φάρμακον ἐμπλάσας λινῷ. καὶ μὴ λύε ἐπὶ ἡμέρας ε. τῇ δὲ ϛ. λύσας ἀποξύε τὰ στίγματα. καὶ τὸ μέλαν ἀφαιρῶν, κατάχριε πάλιν πλήρως ἐκ τοῦ φαρμάκου. ἐξαιρεῖται δὲ ἐν ἡμέραις κ. χωρὶς μεγάλης ἑλκώσεως καὶ χωρὶς οὐλῆς. ποιοῦσι δὲ τὰ αὐτὰ καὶ αἱ σηπτικαὶ αἱ ἐν τοῖς θαυματικοῖς γεγραμμέναι.

Περὶ ἰόνθων ἐν προσώπῳ, τινὲς δὲ ἄκνας καλοῦσιν. ιγ.

Ἴονθός ἐστιν, ὄγκος μικρὸς καὶ σκληρὸς ἐν τῷ κατὰ πρόσωπον δέρματι γινόμενος. ἀπὸ παχέος δηλονότι χυμοῦ συνιστάμενος. ἡ δὲ τούτου θεραπεία, διὰ τῶν μαλαττόντων τὴν σκληρότητα, καὶ διαφορούντων τοὺς ὄγκους φαρμάκων γίνεται. ὧν ἡ ὕλη ἐστὶ τοιαύτη. κρίνου ῥίζαν λειώσας σὺν μέλιτι ἐπίχριε. ἢ κυκλαμίνου ῥίζαν σὺν μέλιτι ἢ ναρκίσσου ῥίζαν σὺν μέλιτι ἢ κασσίαν μετὰ σμύρνης καὶ μέλιτος. ἢ μολιβδαίνης σὺν ὄξει ἢ γλήχωνα λειοτάτῃ κηρωτῇ ἀναλαβών, ἐπιτίθει. Ἄλλο. μέλιτι καὶ ὄξους δριμυτάτου τὸ ἴσον ἑκάστου μίξας, ἐπίπριε, τῷ δακτύλῳ παρατρίβων. Ἄλλο σηπίας ὄστρακον κεκαυμένου γο. β. κόστου γο. β. μυροβαλάνου γο. α. λειώσας μεθ' ὕδατος, ἐπίχριε. ξηραινόμενον δὲ πάλιν νότιζε. Ἄλλο κόστον κόψας σήσας λεπτοτάτως, ἀναλάμβανε αἰγείᾳ χολῇ, καὶ ποιήσας κηρωτῆς πάχος, ἐπίχριε τοὺς ἰόνθους περὶ ἑσπέραν. καὶ πρωῒ ἀναστάς, κέλευε γάλακτι τῷ παρόντι προσκλύζεσθαι τὸ πρόσωπον. Ἄλλο. Στυπτηρίας σχιστὴν λειοτάτην ποιήσας, ἀναλάμβανε τερεβινθίνῃ ὀλίγῃ. καὶ ἐμπλάσας ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν ἰόνθων, χρηστέον τούτοις. Πρὸς τετυλωμένους ἰόνθους. Σάπωνος γαλλικοῦ, ℒ. δ. ἀμμωνιακοῦ θυμιάματος λιβάνου, ἀνὰ ℒ. α. ὕδατι διαλύσας, ποίει κηρωτῆς πάχος. καὶ τοῦτο ἐπιχρίσας. καὶ διαστήσας ὥραν μίαν, ἀπονίπτεσθαι παραίνει χλιαρῷ. Ἄλλο. ῥοῦ μαγειρικοῦ, ὑσσώπου. γλήχωνος. ἁλῶν ὀρυκτῶν. ὠκίμου σπέρματος, ἴσον ἑκάστου ἀναλαβὼν κηρωτῇ ῥοδίνῃ χρῶ. Ἄλλο. ποιοῦν καὶ πρὸς τὰς ὀχθώδεις διαθέσεις. καὶ τοὺς ἐπὶ τοῦ προσώπου κνησμούς. καὶ ἀρχὴν ἐλεφαντιάσεως. Κόμμεως λευκοῦ καὶ νίτρου τὸ ἴσον. ὄξει δριμεῖ διαλύων, ἐπίχριε. ὅταν δὲ ξηρανθῇ, ἀπόσμηχε τῇ ὑπογεγραμμένῃ σκευασίᾳ. σάπωνος γαλλικοῦ λι. α. ἀμμωνιακοῦ θυμιάματος. λιβάνου ἀνὰ ℒ. δ. μαστίχης, ἀφρονίτρου, ἀνὰ γο. γ. ἕψει τὸν σάπωνα. καὶ τὸ ἀμμωνιακὸν εἰς ἀγγεῖον κεραμοῦν μεθ' ὕδατος ξε. β. καὶ ὅταν διαλυθῇ ἐπίβαλλε τὰ ξηρὰ κεκομμένα καὶ σεσεισμένα λεπτοτάτῳ κοσκίνῳ. ἔπειτα μετάρας εἰς θυΐαν. καὶ ἀνακόπτων ἐπιμελῶς. ἀνελοῦ εἰς ἀγγεῖον ὑέλινον. ἐπὶ δὲ τῆς χρήσεως, μολύνων τὸ πρόσωπον, καὶ μικρὸν διαστήσας, ἀπονίπτου ὕδατι δαψιλεῖ. προσανατρίβων μαλακῶς. χρῶ δὲ αὐτῷ ἀεὶ ἐπὶ ἰόνθων. Ἄλλο δόκιμον πρὸς ἰόνθους. νίτρου ἐρυθροῦ, γο. β. κιμωλίας, ἀλεύρου ὀροβίνου, ἀνὰ γο. α. λιβάνου, γο. δ. χρῶ δὲ οὕτως. λαβὼν ἀλκυόνιον καθ' αὑτό, λέαινε καλῶς. εἶτα ἐπιβαλὼν ἔλαιον καὶ συλλειώσας, χρῖον δὲ πρόσωπον ἑσπέρας. ἕωθεν δὲ ἀναστάς, σμῆχου τὸ πρόσωπον προγεγραμμένῳ συνθέτῳ. Ἄλλο σμῆγμα, ᾧ δεῖ κεχρῆσθαι παρ' ὅλην τὴν θεραπείαν τῶν ἰόνθων καὶ ἄκνων. Κυαμίνου ἀλεύρου. σησαμίνου ἀλεύρου. πέπονος ἐντεριώνης ξηρᾶς, ἀνὰ ℒ. δ. λειώσας σμῆχε, ἢ νίτρον μετὰ σμύρνης λειώσας, δίδου σμήχεσθαι.

Περὶ συκωδῶν ὄγκων ἐν προσώπῳ. γαληνοῦ. ιδ.

Ἔνι καὶ τοῦτο πάθημα τῶν ἐπὶ τοῦ γενείου γινομένων ἐστί. διαφέρον τῶν ἰόνθων, τῷ μὴ μόνον παχὺν εἶναι τὸν ἐργαζόμενον αὐτὸ χυμόν. ἀλλὰ καὶ λεπτότητος ἰχωροειδοῦς μετέχειν, δι' ἣν καὶ ταχέως ἑλκοῦται, μὴ θεραπευόμενον ὡς προσήκει. καὶ διὰ τοῦτο δεῖται ξηραντικωτέρων, ἢ κατὰ τοὺς ἰόνθους φαρμάκων. Ὀρειβασίου πρὸς εὐστάθιον, σύκα ὀνομάζουσι, βλαστήματα ἑλκώδη. στρογγύλα ὑπόσκληρα. ἐνερευθῆ οἷς ἀκολουθεῖ καὶ ὀδύνη. φύεται δὲ ταῦτα τὸ μὲν πλεῖστον ἐν κεφαλῇ καὶ ἐν τῷ ἄλλῳ σώματι. περὶ ὧν ὁ Κρίτων οὕτως ἔγραψεν. πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις. Κρίτωνος. Λιθαργύρου ℒ. δ. λιβάνου. ἁλῶν ὀρυκτῶν σανδαράχης, ἀνὰ ℒ. ϛ. λειῶν, κατάπλασσε. Ἄλλο χαλκάνθου ℒ. ϛ. θείου ἀπύρου ℒ. ϛ. ἰοῦ ℒ. α. νίτρου ἐρυθροῦ. ℒ. β. λείοις κατάπλασσε. Ἄλλο σφόδρα γενναῖον. Ἐλατηρίου ℒ. δ. ἁλῶν ὀρυκτῶν τὸ ἴσον, χαλκάνθου ℒ. β. μίξας κατάπλασσε. παραπτόμενος πυξίνῃ μήλῃ προϋγραίνων τὸν τόπον, ὥστε προσκαθίσαι τὸ φάρμακον. μετὰ δὲ τὴν ἐπίθεσιν καταπλαστέον ἄνωθεν λινοσπέρματι λειωθέντι μεθ' ὕδατος. Ἀρχιγένους πρὸς τὰς τῆς ἐπικεφαλῆς καὶ τοῦ γενείου συκώσεις. Χαλκάνθου ὀπτοῦ. στυπτηρίας σχιστῆς. ταυροκόλλης, ἴσα. λεπίδος χαλκοῦ τὸ διπλοῦν, ὄξει βρέξας τὴν ταυρόκολλαν, καὶ λύσας, ἀναλάμβανε αὐτῇ τὰ λοιπὰ λεῖα, ἐπὶ δὲ τῆς χρείας ὄξει λύων, ἐπίχριε τὰς συκώδεις ὑπεροχάς. καὶ κάλυπτε ξύσματι ὀθονίου λεπτοῦ, ἐμφύεται δὲ συντόμως, καὶ χωρὶς οὐλῆς ἀποκαθαίρει τὰ συκώματα. χρῶμαι δὲ αὐτῷ καὶ πρὸς ἐκτύλωσιν συρίγγων, ἀναπλάσσων αὐτὸ εἰς κολλύρια. καθύγρων δὲ ὄντων τῶν ὄγκων, καὶ γὰρ καὶ ὕδωρ ἀπ' αὐτῶν ἀπορρεῖ καθαρόν, ὡς ἀπὸ πηγῆς, χρηστέον τοῖς ὑπογεγραμμένοις. Τροχίσκος πρὸς τὰς ἐπὶ τοῦ γενείου συκώδεις ἐπαναστάσεις. ἔστι δὲ καὶ παντὸς ὄγκου κατασταλτικόν. οἳ συμβαίνουσιν ἐπὶ τῶν κακῶς συνουλωκότων, ὡς περὶ

ἐπὶ τῶν

ἐπὶ τῶν ἀνερραφέντων τὰ βλέφαρα εὑρίσκομεν, ἢ τὰ χείλη ἐῤῥαμμένων. Λεπίδος ἀρσενικοῦ, ἀνὰ Γο. β. διφρυγοῦς, Γο. γ. μίσυος ὀπτοῦ, Γο. β. χαλκίτεως κεκαυμένης ∠. δ. χαλκοῦ κεκαυμένου ∠. δ. κόλλης τεκτονικῆς ∠. δ. συντίθει καὶ χρῶ καθὰ προείρηται ἐπὶ τοῦ προτέρου. καὶ γὰρ καὶ αὐτῷ χρησάμενος, εὐδοκίμησα.

Πρὸς τὰ ἐπὶ γενείου ἀχωρώδη ἐξανθήματα. ιε.

Ποιεῖ μὲν καὶ πρὸς τούτους τὰ πλεῖστα τῶν προγεγραμμένων ἐπὶ τῶν ἐν κεφαλῇ ἀχώρων. ἰδίως δὲ καὶ ταῦτα. λιθαργύρου. χαλκάνθου. σιδίων. μύρτων, ἴσα λεάνας μετὰ οἴνου καὶ ἐλαίου μυρσίνου, ἐπίχριε. Ἄλλο. Ζιζιβόρεως Γο. α. λιβάνου Γο. β. ἀκακίας Γο. γ. χρῶ μετ' ἐλαίου.
Ἄλλο. Περιστερεῶνος ὑπτίου ∠. δ. ἀκακίας ∠. η. ζιζιβόρεως ∠. β. μετ' οἴνου λεάνας χρῶ.
Ἄλλο. Λιθαργύρου. λαδάνου. μύρτων μελάνων. ὑοσκυάμου σπέρματος. σιδίων, ἴσα χρῶ μετ' οἴνου καὶ ἐλαίου μυρσίνου. ἢ ῥοδίνου. Ἄλλο.
Ποιοῦν καὶ πρὸς τὰ ἐν τῷ γενείῳ καὶ τῇ κεφαλῇ μελικηρώδη ἕλκη. Λιθαργύρου καὶ δαφνοκόκκων ἴσα, λειῶν μετ' ὄξους, καὶ μυρσινελαίου, ἐπίχριε. πεπείραται γὰρ πλειστάκις.

Περὶ τῶν ἐν τῷ γενείῳ καὶ τῷ λοιπῷ σώματι λειχηνωδῶν ὄγκων. ις.

Καὶ τοῦτο τὸ πάθος, ἐκ μικτοῦ τινὸς γίγνεται χυμοῦ μιγνυμένων τῶν ἰχωροειδῶν τε καὶ λεπτῶν καὶ δριμέων χυμῶν τοῖς παχέσι, καὶ διὰ τοῦτο ῥᾳδίως εἰς ψώραν τε καὶ λέπραν μεταπίπτει. δέεται μὲν οὖν τὸ πάθος, τῶν ξηραινόντων ἰσχυρῶς φαρμάκων. ἐὰν δὲ εἰς ψώραν ἢ λέπραν μεταπέσῃ πρὸς τὸ ξηραινόντων δεῖται ἔτι καὶ τῶν ῥυπτόντων χρήζει. ὁ μὲν οὖν Κρίτων, τοῦτ' οὕτως ἔγραψεν, πρὸς τοὺς ἐπὶ τῶν γενείων λειχῆνας, πάθους δὲ ὄντος ἀηδεστάτου, καὶ κνησμὸν ἐπιφέροντος. καὶ περίτασιν. καὶ κίνδυνον οὐκ ὀλίγον. ἕρπει γὰρ ἔστιν ὅτε καὶ καθόλου τοῦ προσώπου. καὶ τῶν ὀφθαλμῶν ἐφάπτεται. καὶ διὰ τοῦτο χρηστέον ἂν εἴη ἐπιμελεστέρον τῇ θεραπείᾳ. διακρίνοντας ἀπὸ τῶν κεχρονισμένων τὰ νεοσύστατα. πρὸς μὲν οὖν τοὺς προσφάτους λειχῆνας, ἁρμόττει ταῦτα. περδικίου βοτάνης φύλλοις συνεχῶς ἀπότριβε τὸν τόπον. ἢ λίβανον ἢ ἀμμωνιακὸν ὄξει λεάνας. ἢ τῷ χυλῷ τῆς περδικίου ἐπίχριε ποιεῖ καὶ τὸ ἀποῤῥέον ὑγρὸν ἐκ ξύλων ἐλαίας ὑγρῶν καιομένων, ἢ ὑγρὸν τὸ ἀποῤῥέον ἐκ τῶν τῆς κράμβης καυλῶν καιομένων. ἢ ἀνδράχνης χυλὸν ἐπίχριε συνεχῶς. Ἄλλο.
Μαλάχης ἀγρίας τὸν καρπὸν καθαρίως συναγαγών, κόψας καὶ ἐκθλίψας τὸν χυλὸν, ἀπόθου. καὶ τούτῳ συνεχῶς ἐπίχριε. Ἄλλο.
Ἐλαίας ἀγρίας δάκρυον λεάνας μεθ' ὕδατος. καὶ στύρακος ὀλίγον ἐπιβαλὼν, καὶ ἑνώσας ἐπιτίθει. ἐγχρονιζόντων δὲ τῶν λειχήνων, ἄγνου τὰ φύλλα λεάνας ἐπίχριε. ἢ ἀσφοδέλου ῥίζαν ὄξει ἑψήσας καὶ λεάνας ἐπίχριε. χαμαιλέοντος μέλανος ῥίζαν σὺν ὄξει ἑψήσας. καὶ λεάνας, χρῶ. πρὸς γοῦν τοὺς κεχρονισμένους, λειχῆνας, ἐπειδὴ πολλή ἐστι καὶ ποικίλη ἡ τούτων θεραπεία, ἐν μέρει τὰ δὴ ἑκάστου ἐρῶ. τροχίσκος πρὸς λειχῆνας, ἐν παντὶ τόπῳ τοῦ σώματος. Ἀλκυονίου κεκαυμένου ∠. β. χαμαιλέοντος μέλανος ῥίζης. ἀσφοδέλου ῥίζης. ταυροκόλλης, ἀνὰ ∠. δ. θείου ἀπύρου. λιβάνου. πυρέθρου. νίτρου ἀφροῦ, ἀνὰ ∠. β. ὄξει διαλύων τὴν ταυρόκολλαν, ἀναλάμβανε αὐτῇ τὰ λοιπὰ καὶ ξήραινε καὶ χρῶ σὺν ὄξει. Τροχίσκος εὐδόκιμος.
Συκῆς φύλλων ξηρῶν ∠. ια. χαλκίτεως ὠμῆς ∠. ι. ἀσβέστου ∠. η. μίσυος ὠμοῦ ∠. δ. λιβάνου ∠. δ. θείου ἀπύρου ∠. η. ὄξει ἀναλάμβανε καὶ χρῶ μετ' ὄξους. τροχίσκος, λειχηνικὸς ἀφίστησι καὶ τύλους, καὶ οὐλὰς παραδόξως. Λιβάνου. κυνικῶν ὀστράκων κεκαυμένων. κόπρου περιστερᾶς, ἀλκυονίου. κόμμεως ἴσα. λείου γάλακτι. καὶ ποίει τροχίσκους, καὶ χρῶ σὺν ὄξει. Ἄλλο.
Ἐλαίας ἀγρίας δακρύου ∠. δ. λιβάνου ∠. δ. θείου ἀπύρου. ἀλκυονίου. ἀφρονίτρου. ἅλινος κεκαυμένου καὶ σεσησμένου ἀνὰ ∠. η. ὄξει δριμυτάτῳ πλείστῳ ἐπιπάσας τὸν ἅλα ἕψε ἐπὶ πολὺ ὡς ἰξώδες γενέσθαι. καὶ τούτῳ ἀναλάμβανε τὰ λοιπὰ λεῖα καὶ ἀνάπλαττε τροχίσκους καὶ χρῶ σὺν ὄξει. Περὶ χρίστον πρὸς λειχῆνας. Πρὸς τοὺς ἀγρίους λειχῆνας. νίτρου χαλκίτεως ὀπτῆς. ἀμμωνιακοῦ θυμιάματος. σεραπίδος τῆς τριόρχεως χυλὸν, ἴσα λεάνας σὺν ὄξει ἐπίχριε. ποιεῖ καὶ πρὸς ὑγροὺς λειχῆνας καὶ χρῶμαι ἐπιτυγχάνων. Ἄλλο.
Δορκάδος κόπρου Γο. α. λιβάνου Γο. α. λεάνας χρῶ σὺν ὄξει. Ἄλλο.
Τὸ ἀφρὸν τοῦ θείου λαβὼν χριστέον λειχῆνα προστρίψας καὶ θαυμάσεις. Ἄλλο.
Τῶν λινοπλήτων τὸν ἀφρὸν τοῦ θείου λαβὼν, χρῖε τὸν λειχῆνα προστρίψας, καὶ θαυμάσεις. Ἄλλο.

Ποιοῦν πρὸς λειχῆνας καὶ ἀλφοὺς. καὶ λέπρας. ἀγαθὸν σφόδρα. Μυοχόδων. χαλκάνθου, θείου
ἀπείρου. ἀνὰ Γο. η̅. κυαμίνου ἀλεύρου. Γο. ιδ̅. ὄξους ξ. δ̅. λεάνας τὰ μυόχοδα, ἕψει σὺν τῷ ὄξει,
καὶ ὅταν ἀναζέσῃ δὶς ἢ τρὶς, ἐπίπασσε θεῖον, καὶ χάλκανθον, προσέχων, μὴ ἀναζέσῃ, καὶ ὑπερ-
χυθῇ, εἶτα ἕψει ἔτι ὀλίγον καὶ ἐπίπασσε τὸ κυάμινον ἄλευρον, καὶ ἕψει ἕως σχῇ γλοιοῦ πάχος.
καὶ ἄρας χρῶ. πρὸς μὲν τὰς λέπρας ἐμπλάσσων εἰς ὀθόνιον. καὶ λύων δι᾽ ἡμερῶν ε̅. πρὸς δὲ
λειχῆνας, ἀνιεὶς ὄξει· καὶ ἐπιχρίων συνεχῶς.

Γ ερίχριστος ἐφθὴ πρὸς λειχῆνας χρονίους ὥστε χωρὶς ἑλκώσεως ἀπαλλάττειν. ἅλικος ἀληλεσμέ-
νου καὶ σεσησμένου λεπτοτάτου Γο. ιδ̅. χαλκίτεως. κιμωλίας. θείου ἀπείρου. μίσυος, ἀνὰ Γο. α̅. νί-
τρου ἀφροῦ σχιστῆς ἀλκυονίου. ἀσφοδέλου ῥίζης. λιβάνου. ἐλαίας δακρύου. ἀμμωνιακοῦ θυμιάμα-
10 τος σμύρνης, ἀνὰ Γο. α̅. ὄξους ξ. γ̅. ἕψε ἀλκυόνιον ἀσφοδέλου μετ᾽ ὄξους. ὅταν δὲ εἰς ἥμισυ ἔλθῃ διΰ-
λιζε ∠. ε̅. ἐκ δὲ τοῦ διυλισθέντος, διαλύε ἀμμωνιακὸν σμύρναν λίβανον. ἐλαίας δάκρυον. εἶτα
ἐπίβαλλε αὐτοῖς τὰ λοιπὰ ξηρά. τὸν δὲ ἅλικα ἕψε ἐν τῷ ἀπολιμπανομένῳ ὄξει. καὶ ἐπίβαλλε τοῖς
λοιποῖς καὶ ἑνώσας χρῶ. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτως. θείου ἀπύρου. μίσυος. χαλκίτεως ἀνὰ Γο. α̅.
τὰ δὲ λοιπὰ ὁμοίως. Αλλο σφόδρα ἐνεργές. ὄξους δριμυτάτου ξ. η̅. ἀλεύρου κριθίνου
Γο. κδ̅. μάννης. λιβάνου. Γο. ιδ̅. λαπάθου ἀγρίου ῥίζης ∠. η̅. ἀσφοδέλλου ῥίζης ∠. η̅. ἐλλεβό-
ρου λευκοῦ ∠. ι̅. ἀλκυονίου ∠. ι̅. καρδαμώμου ∠. α̅. γῆς κιμωλίας ∠. ιη̅. ταυροκόλλης
∠. ις̅. ἀφρονίτρου ∠. ις̅. ἀλικακάβου χλωρῶν ἀκρεμόνων δεσμίδιον χειροπληθὲς σκεύαζε καὶ
χρῶ ὡς προείρηται. Επιτεινομένης δὲ τῆς διαθέσεως, καὶ τυλώδους γιγνομένης χριστέον καὶ
τούτοις τοῖς νῦν προῤῥηθῆσι, καὶ ἔτι δὲ, μίσυος. ζιγγιβέρεως. λιβάνου σχιστῆς, ἀνὰ ∠. η̅. ἀλόης,
20 θείου ἀπύρου ἀνὰ ∠. δ̅. ἀναλάμβανε γλυκεῖ ὡς γλοιοῦ ἔχειν πάχος. καὶ δὶς καὶ τρὶς τῆς ἡμέ-
ρας προσαποσμήχων, ἐπίχριε καὶ ἔξωθεν ἐπιτίθει φυλακῆς χάριν τοῦ φαρμάκου. κύστεως ὑμέ-
να ἢ ὠοῦ. Ορειβασίου λειχηνικὸν καὶ πρὸς κνισμούς.
χαλκάνθου, θείου ἀπείρου. νίτρου. λιβάνου ἴσα λείων χρῶ. ἐπὶ μὲν τῶν λειχήνων ὄξει, ἐπὶ δὲ κνι-
σμοῦ οἴνῳ. Αλλο.
Λειχηνικόν. θεραπεύομεν ὀλίγαις ἡμέραις πάνυ κάλλιστον. διὸ προλάμβανε τὸν μισθόν. θείου ∠.
η̅. ἀσβέστου ∠. η̅. χαλκίτεως. ὠμῆς ∠. η̅. λιβάνου ∠. δ̅. μίσυος ∠. δ̅. καππάρεως χλωρῶν
φύλλων κεκαυμένων, ∠. ιβ̅. ὄξει λέαινε καὶ ποίει τροχίσκους καὶ χρῶ.
Επειδὴ δὲ οἱ πολλοὶ τὰς μὲν τῶν ἐπιχριστῶν δυνάμεις παραιτοῦνται. αἱροῦνται δὲ τὰς τῶν ἐμ-
πλάστρων. αἵτινες οὔτε ἱδρώτων ἐπιγιγνομένων ἀποῤῥέουσιν. οὔτε ξηραινομένων περιτείνουσι τὸν
30 χρῶτα. συναπτέον ἂν εἴη καὶ τὰς τούτων σκευασίας. Εμπλαστρος ὑγρὰ πρὸς λειχῆνας πάνυ
διὰ πείρας, ἣν ἄρτι ἐδοκίμασα. πίσσης ξηρᾶς. κηροῦ. κολοφωνίας. ἐλλεβόρου λελειωμένου. ἐλαίου
ἴσα ἐν πείρᾳ. διὸ δεῖ προσλαμβάνειν τὸν μισθόν. Εμπλαστρος λειχηνικὴ, ὥστε χωρὶς ἑλκώ-
σεως ἀπαλλάττειν. Κηροῦ. πίσσης ὑγρᾶς. λιβανωτοῦ τερεβινθίνης. θείου ἀπύρου, ἀνὰ Γο. ς.
τὰ τηκτὰ τοῖς ξηροῖς. Αλλο.
χωρὶς ἑλκώσεως ἀπαλλάττει. πίσσης ὑγρᾶς λίτραν. α̅. μάννης θείου ἀπύρου. θερμίνου ἀλεύρου ἀνὰ
Γο. α̅. χαλβάνης Γο. β̅. θερμάνας τὴν πίσσαν, ἐπίβαλλε τὴν χαλβάνην προμεμαλαγμένην. καὶ
τακεῖσαν ἄρας ἀπὸ τοῦ πυρὸς, ἐπίπασσε τὰ λοιπὰ καὶ ἑνώσας χρῶ πάνυ σπουδαῖον. Αλλο.
χωρὶς ἑλκώσεως ἀπαλλάττει. χρυσοκόλλης τῆς τῶν χρυσοχόων ξηρᾶς. χαλκίτεως ὀπτῆς. μίσυος
ὀπτοῦ. λεπίδος. διφρύγους. ἁλὸς ἀμμωνιακοῦ. γῆς κιμωλίας ἀνὰ ∠. δ̅. ἰοῦ ∠. β̅. χαλκάν-
40 θου ∠. ς̅. λίθου ἀσίου χαλκοῦ κεκαυμένου ∠. ς̅. σώρεως ∠. ε̅. στυπτηρίας ὑγρᾶς ∠. δ̅. ἅ-
παντα λεάνας ἐπιμελῶς, καὶ ἐπιβαλὼν ὄξους, τρίβε φιλοπόνως ἐν ἡλίῳ ἐν τοῖς ἐπικαύμασι
καύμασιν. ἕως ἂν ὀξιωθῇ τὸ φάρμακον, σκευαζέσθω ἐν ἄλλῃ θήκῃ. λιβάνου Γο. β̅. ζιγγιβέρεως Γο.
β̅. ἀλόης Γο. α̅. λαδάνου Γο. α̅. ὀποπάνακος Γο. α̅. ὄξει διαλύσας. καὶ ταῦτα ὡς ἔχειν ἰοῦ πά-
χος ἐπίβαλλε τοῖς ἐκλειωθεῖσι. καὶ πάλιν λέαινε. καὶ τούτοις ἐπίβαλλε ἀριστολοχίας κεκομ-
μένοις σεσησμένης Γο. α̅. καὶ λέαινε. ὅταν δὲ λειούμενα ἐμπλαστρώδη γένηται. τήξας τὰ τηκτὰ
ἐπίβαλλε. ἔστι δὲ ταῦτα. κηροῦ ∠. ρ̅. τερεβινθίνης ∠. σ̅. χαλβάνης ∠. θ̅. ἐλαίου λι. α̅. καὶ
μαλάξας ἀνελόμενος χρῶ. κείμενον τὸ φάρμακον καὶ διαπρεπέστερον γίνεται. Αλλο.
Ποιεῖ πρὸς τοὺς εἰρημένους λειχῆνας. ὥστε καταστέλλειν τὰ ἐγκαταλιμπανόμενα.
Πίσσης, ἀσφάλτου. κηροῦ. πιτυΐνης. θείου ἀπύρου. μάννης. ἴσα. ἐλαίου κυπρίνου βραχὺ τήξας. ἐπί-
50 πασσε τὰ ξηρά. καὶ χρῶ ἐμπλάσσων εἰς δερμάτιον λεπτόν.
Εμπλαστρος λειχηνική. πίσσης ξηρᾶς Γο. γ̅. πίσσης ὑγρᾶς Γο. α̅. ἅλατος Γο. α̅. κολοφωνίας. κη-
ροῦ. θείου ἀπύρου ἀνὰ Γο. α̅. νίτρου πυρροῦ, Γο. α̅. χαλκίτεως Γο. α̅. ἐλαίου Γο. β̅. χρῶ.

τῆς δὲ διαθέσεως ἐμμόνου γινομένης, καὶ πρὸς τὴν τῶν φαρμάκων ἐπίθεσιν ἀντιβαινούσης, χρηστέον τοῖς ἐκδορίοις, ἢ γὰρ ἀφίστησι τὴν ἐπιφάνειαν ἐκ προχείρου.

ἐκδόριος λειχήνων.

Τ αὐτῇ Πάμφιλος χρησάμενος ἐπὶ τῆς Ῥώμης, πλεῖστα ἐπορίσατο. ἐπικρατούσης ἐν τῇ πόλει τῆς μεντάγρας λεγομένης, ὅ ἐστιν ἄγριος λειχήν. λεπίδος ∠. η. ἀρσενικοῦ ∠. δ. σανδαράχης ∠. δ. χαλκοῦ κεκαυμένου. ἐλλεβόρου λευκοῦ. κανθαρίδων χωρὶς πτερῶν καὶ ποδῶν, ἀνὰ ∠. α. 𐅵. ἕκαστον τρίβε κατ' ἰδίαν. εἶτα καὶ ἅμα λεάνας, ἀναλάμβανε κεδρίᾳ. καὶ ποιήσας ῥύπου τὸ πάχος, ἀπόθου εἰς πυξίδα κυπρίου χαλκοῦ. ἐπὶ δὲ τῆς χρήσεως νίτρῳ καὶ ὄξει βραχὺ ἀποσμήχων τὸν λειχῆνα, ἐπίχριε τῷ φαρμάκῳ σπαθομήλῃ χρώμενος, καὶ παρατρίβων, καὶ διαστήσας, ἀπόξυε τῇ σπαθομήλῃ. καὶ πάλιν ἕτερον ἐπίχριε. ἔπειτα δὶς καὶ τρὶς αὐτὸ ποιήσας, σκέπαζε τοὺς ἐπιχρισθέντας τόπους, ὑμένι κύστεως βοείας ἢ ἑτέρου τινὸς ζώου. μετὰ δὲ τὴν τοῦ ὑμένος ἐπίθεσιν, ταινιδίῳ κούφῳ ἐπιδήσας, ἔα διανυκτερεῦσαι, εἰ ὑπομένει. εἰ δὲ μή, μέχρις ὡρῶν τινῶν ὥστε φλυκταίνας γενέσθαι. ἰχῶρας περιεχούσας παχεῖς καὶ κολλώδεις. φλυκταίνης οὖν γινομένης, λούεσθαι παραινοῦμεν. καὶ χρονίζειν ἐν τῷ βαλανείῳ. καὶ γὰρ συνεργεῖ τῇ θεραπείᾳ. ἔστω δὲ θερμότερον τὸ βαλανεῖον. εἰ δέ τι κωλύει χρῆσθαι βαλανείῳ, ἀποπυριατέον θερμῷ ὕδατι πολλῷ. πολλῆς δὲ παρενοχλήσεως γινομένης, περιμάττειν, καὶ καταπλάττειν ἄρτῳ φυραθέντι ὑδρομέλιτι. ῥυπαρῶν δὲ γινομένων τῶν ἑλκῶν, τῆς χλωρᾶς ἐπιτίθει σπληνίον προσβαλὼν αὐτῇ ὀλίγον τοῦ ἐκδορίου. ἰχώρων δὲ καὶ ἐκκρινομένων, καὶ μηδεμιᾶς ἐπικειμένης ἐφελκίδος, ἐπιτίθεμεν τῆς λευκῆς σπληνίον. καὶ ταύτῃ χρώμεθα μέχρι παντελοῦς ἀπουλώσεως. ἀποπυριῶντες καθ' ἑκάστην ἡμέραν. καὶ νεαρῷ χρώμενοι σπληνίῳ. πρὸ δὲ τῆς τῶν ἐκδορίων ἐπιθέσεως, περιλαμβάνειν δεῖ τὰ ἔξωθεν τοῦ λειχῆνος τινὶ τῶν ἀφλεγμάντων φαρμάκων. καὶ οὕτως ἐπιτιθέναι ἐπὶ τὸν λειχῆνα μόνον τὸ ἐκδόριον. Ἄλλο. ἐκδόριος, πρὸς τὰς λεγομένας μεντάγρας· ὥστε χωρὶς οὐλῆς θεραπεύειν, χρησιμώτατον. ποιεῖ δὲ καὶ πρὸς ἀλωπεκίας ἐν ἡλίῳ, ἢ παρὰ πυρὶ καταχριομένη. φλυκταίνης δὲ γινομένης, βελόνῃ χρὴ κεντᾶν. ὑγροῦ δὲ ἐκκενωθέντος, κηρωταῖς ἀποθεραπεύειν. μετὰ δὲ τὴν ἀπούλωσιν, ἐκφύονται αἱ τρίχες. ταῦτα μὲν ἐπὶ τῶν ἀλωπεκιῶν. ἐπὶ δὲ τῶν λειχήνων, χρηστέον καθὰ προείρηται ἐπὶ τῆς πρώτης ἐκδορίου. τὸ δὲ φάρμακον, ἔχει οὕτως. σανδαράχης. ἀρσενικοῦ. λεπίδος. ἐλλεβόρου μέλανος, ἀνὰ ∠. ϛ. ἐλατηρίου ∠. δ. κανθαρίδων τῶν ποικίλων, ∠. α. ἀναλάμβανε κεδρίᾳ. ἡ χρῆσις δεδήλωται. Χλωραὶ μετὰ τὰ ἐκδόρια ἐπιτιθέμεναι. Μετὰ δὲ τὴν τῶν ἐκδορίων χρῆσιν, χρηστέον ταῖς ὑποκειμέναις χλωραῖς, πρὸς τὴν τῶν ἑλκῶν ἀνακάθαρσιν. χλωρὰ Παμφίλου, ταύτῃ ἐχρήσατο Πάμφιλος ἐπὶ τῆς λεγομένης μεντάγρας, μετὰ τὴν ῥῆξιν τῆς φλυκταίνης. Κηροῦ λι. α. πιτυΐνης ξηρᾶς, λι. β. ἰοῦ γο. γ. ἐλαίου παλαιοῦ, γο. η. ὄξους δριμυτάτου ὅσον ἐξαρκεῖ τὸν ἰὸν λεῖον μετ' ὄξους. καὶ τήξας τὰ τηκτὰ καὶ ψύξας, ἐπίβαλλε ἐν τῇ θυείᾳ, καὶ ἑνώσας χρῶ. Ἄλλη. ἰοῦ ∠. β. μάννης ∠. δ. χαλβάνης ∠. γ. στέατος μοσχείου ∠. ιβ. κηροῦ καὶ πιτυΐνης, ἀνὰ ∠. η. ὄξους τὸ ἀρκοῦν. Ἄλλη ἡ εὔχρους λεγομένη. χαλκοῦ κεκαυμένου γο. γ. στυπτηρίας στρογγύλης. ἰοῦ ἁλὸς ἀμμωνιακοῦ μάννης ἀνὰ γο. ϛ. κηροῦ λι. α. πιτυΐνης ξηρᾶς λι. β. ἐλαίου γο. ι. ὄξους τὸ ἀρκοῦν εἰς τὰ ξηρά. Λευκαὶ ἀπουλωτικαί. μετὰ δὲ τὰς χλωράς, καθαρῶν γινομένων τῶν ἑλκῶν, χρηστέον ταῖς λευκαῖς ἐμπλάστροις. καὶ γὰρ φροντιστέον, ὥστε χωρὶς οὐλῆς ἀπουλοῦσθαι. καὶ διὰ τοῦτο χρηστέον ἐστὶ φαρμάκοις τούτοις, ἅτινα πολλὴν εὐαφίαν ἐπιφέρει. λευκὴ ὑσατίνη λεγομένη. ᾗ Μάγνος ἐχρήσατο μετὰ τὴν τῶν λειχήνων ἐκδοράν. ψιμμυθίου. λιθαργύρου. κηροῦ τυρρηνικοῦ, ὕδατος καθαροῦ ἀνὰ λι. α. ἐλαίου ὀμφακίνου λι. β. τρίβε λιθάργυρον. ψιμμύθιον καὶ τὸ ὕδωρ. καὶ ὅταν γένηται λειότατον. ἐπίβαλλε κατὰ βραχὺ τὸ ἔλαιον καὶ τρίβε. καὶ ὅταν ἱκανῶς ἑνωθῇ, μετάρας εἰς ἀγγεῖον κεραμοῦν, ἐπιτίθει ἐπὶ τὸ πῦρ, συνεχῶς κινῶν. καὶ ὅταν τὸ ὕδωρ δαπανηθῇ, ἐπίβαλλε τὸν κηρόν. καὶ οὕτως ἐπίχεε ἐν θυείᾳ. καὶ μαλάξας χρῶ. Ἄλλο. ψιμμυθίου λι. ϛ. μίσυος ὠμοῦ γο. ϛ. τερεβινθίνης γο. β. κηροῦ γο. ϛ. ἐλαίου λι. γ. ὕδατος χοίνικας β. συντίθει καθὰ προείρηται καὶ χρῶ. χρῶ δὲ καὶ ταῖς ἑδριναῖς κηρωταῖς καὶ ταῖς περικαύστοις ἁπαλαῖς.

Πρὸς στόματα δυσώδη. ιζ.

Π ρὸς τὰς δυσχερεῖς ὀσμὰς τοῦ στόματος δίχα ἑλκῶν γινομένας, ἴριν ἀποβρέχων οἴνῳ παλαιῷ εὐώ-

λει, δι' ὅλου διακλύζεσθαι συνεχῶς· καὶ κατέχειν ἐν τῷ στόματι χρόνον τινά. ἢ σμύρναν οἴνῳ ἀκράτῳ διαλύσας, δι' ὅλου διακλύζεσθαι. καὶ ὄξει δριμεῖ διακλυζέσθω καθ' ἡμέραν μέλλων καθεύδειν. ἔξωθεν δὲ ἀφεψήματι ναρδοστάχυος κλυζέσθω, ἢ αὐτὴν διαμασάσθω. ἢ ποταμογείτωνος φύλλα καθ' ἑκάστην διαμασώμενος, ἀποπτυέτω, ἢ συκῆς ἀγρίας ῥίζαν καύσας, λεία χρίε τῇ τέφρᾳ μετὰ μέλιτος καὶ βραχὺ κυπέρου. ἢ σχίνου ἄνθος λεαίνων, παράτριβε τὰ οὖλα συνεχῶς. ἢ κιμωλίας λεάνας μεθ' ἁλῶν, παράτριβε. ἢ κριθὰς μεθ' ἁλῶν μέλιτι φυράσας καὶ εἰς ὀθόνιον ἐμβαλών. καῦσον, καὶ λείοις χρῶ. ἢ σεμίδαλιν μέλιτι φυράσας, καὶ καύσας χρῶ. Ἄλλο.

10 Ἁλὸς λευκοῦ· κισσήρεως· ὀριγάνου, ἀνὰ οὐγ. α'. ἴρεως· σχίνου ἄνθους, ἀνὰ οὐγ. β'. τούτοις λείοις παράτριβε τοὺς ὀδόντας, καὶ ὅλον τὸ στόμα. εὐωδίαν γὰρ ἐμποιεῖ, καὶ τοὺς ὀδόντας λευκούς.

Ἄλλο πρὸς ὀζοστόμους.

χαλκίτεως, ∠ ιβ'. ἐλλεβόρου λευκοῦ ∠ η'. λειότατα ποιήσας διάχριε. Ἄλλο.
χαλκίτεως, ∠ ιϛ'. καδμείας, ∠ η'. ὄξει λεάνας ἐν ἡλίῳ θερινῷ ἐπὶ πλείους ἡμέρας, καὶ ξηράνας, χρῶ. ποιεῖ καὶ πρὸς αἱμορραγοῦντα οὖλα καὶ σηπόμενα. πινέτωσαν δὲ οὗτοι, καὶ τὰ προβραχέως γραφέντα, πρὸς τοὺς δυσῶδες τὸ πᾶν σῶμα ἔχοντας, ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦδε τοῦ λόγου.

Πρὸς παχύτητα χειλῶν. ιη'.

Παχύνεται ἐπὶ πολλῶν τὸ ἄνω χεῖλος, ἐνίοτε δὲ καὶ τὸ κάτω ὑπὸ ἐπιφορᾶς ῥεύματος σφοδροῦ ἀπὸ 20 κεφαλῆς καταφερομένου, ὥστε παχυνομένου τοῦ χείλους, διοιδίσκεσθαι καὶ ἐμποδίζειν τῇ τοῦ λόγου προφορᾷ. μετὰ τοῦ καὶ ἀπρέπειαν παρέχει. θεράπευε δέ, ἢ φλεβοτομῶν, ἢ καθαίρων. ἢ τὰς συνήθεις ἐκκρίσεις ἐπισχομένας κινῶν· οἷον καταμήνια γυναιξί, καὶ ἀνδράσι τὰς συνήθεις ἐκκρίσεις. μετὰ δὲ ταῦτα. διαχρίστοις χρηστέον, ἢ ἀποφλεγματισμοῖς. ἔπειτα ταῖς λεγομέναις στοματικαῖς διαχρίστοις, διαχριστέον τὴν ὑπερῴαν. τούτων δὲ προγεγυμνασμένων, πράσου χυλὸν σὺν τῷ ἐλαίῳ παλαιοτάτῳ διάχριε ἔνδοθεν τὰ χείλη συνεχῶς. ἢ κράμβης φύλλων χυλὸν σὺν τῷ ἐλαίῳ διάχριε· ἔξωθεν δὲ ἐπίχριε τὸ πεπονθὸς χεῖλος ἢ γλαυκίῳ μετ' οἴνου, ἢ κιμωλίᾳ, ἢ τῷ μούσα τροχίσκῳ. ἢ τῷ δι' ἀλικακάβου μετ' οἴνου.

30

Πρὸς χείλη κατερρωγότα. ιθ'.

Ὠοῦ τὸν ἐντὸς ὑμένα, ταῖς ῥαγάσι τῶν χειλῶν προσκόλλα. ἢ τῶν φοινίκων τὸ περὶ τὸ ὀστέον ὑμενῶδες, ἢ ἀραχνίων τῆς ἐν ταῖς δοκοῖς, τὸ λευκὸν ὕφασμα. τὰς δὲ βαθυτέρας ἐν χείλεσι ῥαγάδας· στέατι αἰγείῳ, ἢ χηνείῳ θεράπευσον. ἢ μυελῷ βοείῳ. ἢ ἐλαφείῳ μετὰ ἀειζώου. καὶ τερεβινθίνης ἑνώσας, ἐπιτίθει. ἢ κηκῖδα ὀμφακίνην λείαν ἀναλάμβανε τερεβινθίνῃ. ἢ ὑσσώπῳ ὑγρῷ. ἢ μέλιτι, καὶ ἐπιτίθει. Ἄλλο. κηκῖδα καὶ μαστίχην λειότατα ποιήσας, ἀναλάμβανε ὑσσώπῳ τῷ κηρωτοειδεῖ καὶ χρῶ. Ἄλλο. κηκίδων οὐγ. α'. καδμείας οὐγ. α'. ψιμυθίου οὐγ. γ'. λεάνας σὺν ῥοδίνῳ κατάχριε. Ἄλλο κυπέρου οὐγ. β'. κηκίδων οὐγ. α'. στυπτηρίας σχιστῆς ∠ ϛ'. λεάνας ξηρὸν ἐπίπασσε. Ἄλλο. μαστίχην σὺν οἴνῳ λεάνας, ἐπίχριε. Ἄλλο τρύγα ὄξους καύσας. κηρωτῇ ῥοδίνῃ, ἢ μυρσίνῃ 40 ἀναλαβών, ἐπιτίθει. ποιεῖ δὲ καὶ πρὸς τὰς ἐν τοῖς ἄλλοις ἀκρωτηρίοις, ὑπὸ μεγέθεις φλεγμονάς. Ἄλλο. ᾠῶν κελύφων κεκαυμένων. κηκίδων. σμύρνης. στυπτηρίας σχιστῆς, ἴσα ὑσσώπῳ ἀναλαβών, ἐπιτίθει. Ἄλλο πρὸς πάντα τὰ ἐν τοῖς χείλεσιν ἕλκη ὄστρεα κεκαυμένα λειότατα ἐπίπασσε. ἐγὼ δὲ καὶ ἄκαυστα λειότατα ποιήσας, ἐχρησάμην καὶ εὐδοκίμησα. Ἄλλο πρὸς ῥαγάδας ἐν χείλεσι. Ἄλλο. τὸν τοῦ μούσα τροχίσκον ἀνέσας μετὰ ἑψήματος. ἢ οἴνου παχύ, ἐπίχριε καλῶς. ποιεῖ καὶ τὸ διὰ ἀμόργης σκευαζόμενον, πρὸς ἄφθας ἐν στόματι καὶ τὰ ὅμοια πρὸς ῥαγάδας ἀναγραφέν. καὶ ὁ δι' ἀλικακάβων τροχίσκος ἐν τοῖς ἑδρικοῖς μετ' οἴνου ἀνέσας. καὶ ἥρα τροχίσκος.

Πρὸς φύματα ἐν χείλεσιν. κ'.

Χρηστέον τοῖς προγεγραμμένοις κηρωτοειδέσι, καὶ τούτῳ δέ, λαπάθου ῥίζης. καὶ νίτρου κεκαυμένου. 50 καὶ τερεβινθίνης κεκαυμένης. ἴσα λεάνας, ἀνάλαμβανε κηρωτῇ. καὶ τὰ ἕλκη προσμήξας. ἐπίχριε. Ἄλλο στέαρ χήνειον μέλιτι καὶ στρύχνου χυλῷ μίξας. καὶ διάχριε πτερῷ πλεονάκις, ἀποκαθαίρει γὰρ τὰ ἔνδοθεν τῶν χειλέων γιγνόμενα φύματα. διακλυζέσθω δὲ γάλακτι πρὸ τῆς διαχρίσεως, καὶ μετὰ τὴν διάχρισιν.

Περὶ τῶν τοῖς ὀδοῦσι παθῶν, Γαληνοῦ. κα.

Μόρος τῆς τρίτης συζυγίας τῶν ἀπ' ἐγκεφάλου νεύρων καταφερόμενον ἑκατέρωθεν, διανέμεται
μὲν, τῷ ὑπαλείφοντι τὸ στόμα καὶ τὴν γλῶτταν καὶ τὰ οὖλα ὑμένι. αἴσθησιν τούτοις χορηγοῦν. ἐμ-
φύεται δὲ εἰς δυοῖν, τῇ τε ἄνω, καὶ τῇ κάτω γένυϊ. καὶ παρεσπαρμένον πᾶσι τοῖς ὀδοῦσι κατὰ
τὰς ῥίζας αὐτῶν. καὶ διὰ τοῦτο μόνοι ἐν τοῖς ὀστοῖς ὀδόντες ὀδυνῶνται. ταῦτα δὲ τὰ νεῦρα δεχό-
μενα τὴν χορηγουμένην αὐτοῖς τροφὴν, ὅσον μὲν ἐν αὐτῇ ὑγρότερόν ἐστι τούτου κερδαίνει. ὅσον δὲ ξη-
ρότερον τοῦ δέοντος, ἀποβάλλεται ὡς ἀλλότριον. τοῦτο γὰρ τὸ τῶν νεύρων περίττωμα ἐν ταῖς τῶν
10 φατνίων κοιλότησιν, ἐν αἷς πεπήγασιν οἱ ὀδόντες, ἀθροιζόμενον κατὰ βραχὺ, γλισχρότερον καὶ πα-
χύτερον ἑαυτοῦ γινόμενον, τῇ πολυχρονίῳ ὁμιλίᾳ πρὸς τὴν ἰδέαν τῶν ὀστῶν μεταβάλλεται. καὶ
οὕτω τροφὴ τοῖς ὀδοῦσι γίνεται. οἱ οὖν ὀδόντες τοιαύτην δεχόμενοι τροφὴν, μέχρι γήρως, τὴν αὔξη-
σιν ἔχουσιν. ὅθεν ἐπὶ τῶν γερόντων, ἐνδείᾳ τῆς τρεφούσης ὕλης, λεπτύνονται, οἱ ὀδόντες καὶ σα-
λεύονται καὶ ἀποπίπτουσιν. ὅτι μὲν οὖν αὔξονται οἱ ὀδόντες τοσοῦτον ἐν τῇ τῶν σιτίων λειώσει
τειβόμενοι, ἀναλίσκονται. εἰ δὲ ἀδύνατόν ἐστιν αὐξάνεσθαι χωρὶς τοῦ τρέφεσθαι, πάντως δή που
καὶ δυοῖν ἀντικείσονται παθήμασιν ἐναντίοις. ἐνδείᾳ τε καὶ πλεονεξίᾳ τῆς χορηγουμένης αὐ-
τοῖς τροφῆς. ἡ μὲν οὖν ἔνδεια. ξηροτέρους τε, καὶ ἀτροφωτέρους καὶ διὰ τοῦτο καὶ λεπτοτέρους
ἐργάζεται. ἡ πλεονεξία δὲ, ποιήσει ἐν αὐτοῖς διάθεσιν ἀνάλογον τῇ κατὰ τὰ σαρκώδη μόρια
φλεγμονῇ. ταύτης μὲν οὖν τῆς διαθέσεως ἰάματα γενήσεται τὸν αὐτὸν ἔχοντα σκοπὸν τοῖς τὰς
20 φλεγμονὰς ἰωμένοις. ὅπερ ἐστὶ κενῶσαι τὴν πλεονεξίαν. τὰ μὲν, διαφοροῦντα. τὰ δὲ ἀποκρουό-
μενα αὐτῶν. τῆς δὲ, δι' ἔνδειαν τροφῆς λεπτότητος τῶν ὀδόντων, ἴαμα μὲν, οὐδέν ἐστι. χαλᾶσθαι γὰρ
ἀναγκαῖον τηνικαῦτα. καὶ σείεσθαι τοὺς ὀδόντας. χαλαρωτέρας τῆς ἐμπομφώσεως γεγονυίας. οὐ
μόνον αὐτῶν τῶν ὀδόντων λεπτυνθέντων, ἀλλὰ καὶ τῶν περιεχόντων αὐτοὺς φατνίων. αὕτη μὲν
οὖν ἡ διάθεσις, ἐξ ἀνάγκης ἐπιγίνεται τοῖς γηρῶσι πρωϊαίτερον. ἢ ὀψιαίτερον. βοηθητέον δὲ αὐ-
τοῖς, διὰ τῶν στυφόντων φαρμάκων, σύντονώτερα τὰ οὖλα, καὶ περιεσφιγμένα παρὰ τοὺς ὀδόν-
τας ποιοῦντας, τοὺς δὲ ἐκτριβομένους ὀδόντας καὶ ὡς ἂν ἐκ μαλακότητος τοῦτο πάσχοντας, ἐργά-
ζεσθαι χρή. σκληροτέρους δὲ καὶ δυσπαθεστέρους, διὰ τῶν αὐστηρῶν τε, καὶ στυφόντων φαρμάκων.

Πρὸς οὖλα φλεγμαίνοντα. κβ.

30 Οὔλων δὲ διαφλεγμονὴν ὀδυνωμένων, εὔχρηστόν ἐστι φάρμακον, ἔλαιον σχίνινον, θερμαινόμενον ἐπὶ
διπλώματος, καὶ διακρατούμενον ἐν τῷ στόματι. ἔστω δὲ νέον τὸ ἔλαιον. βλαβερὸν γὰρ τὸ παλαιόν.
ἀποκρούεται γὰρ σχίνινον αὐτοῦ τραχύτητος. καὶ διαφορεῖ αὐτοῦ δήξεως. ὧν μάλιστα χρεία τοῖς φλεγ-
μαίνουσι. καὶ τὸ ὄνειον δὲ γάλα ἐν ταῖς μεγίσταις ὀδύναις, διακρατούμενον ἐν τῷ στόματι, γενναίως
τὰς ὀδύνας παρηγορεῖ. καὶ παραχρῆμα ταύτας παύει. καὶ τὸ ἐκ τοῦ οἴνου ἀποτελουμένου ἐν τῇ
ἑψήσει σκευαζόμενον. ὃ καλοῦσιν ἕψημα. καὶ τὸ ἀπὸ τῶν φοινίκων στάγμα διακρατούμενον ὁμοίως
ἐν τῷ στόματι θερμὸν, σφόδρα παρηγορεῖ. δεῖ δὲ θερμὸν ὕδωρ προσπλέκειν τῷ ἀπὸ τῶν φοινίκων
στάγματι, διὰ τὸ παχὺ τῆς συστάσεως. καὶ τὸ τοῦ μικροῦ ἀειζώου ἀφέψημα καθ' αὑτό. καὶ σὺν ὑδρο-
μέλιτι ἢ ἑψήματι διακρατούμενον, ἁρμόδιον φλεγμαίνουσιν οὔλοις. καὶ τὸ ὑοσκυάμου χύλισμα, ἢ
40 ἀφέψημα καθ' αὑτὸ θερμόν. ἢ σὺν τῷ ἑψήματι διακρατούμενον, παραδόξως παρηγορεῖ. καὶ ἀνδρά-
χνης χυλός. πολεμιώτατον δὲ ὄξος φλεγμαίνουσιν οὔλοις. καὶ πάντα τὰ στυφὰ καὶ δριμέα
καὶ ἀλυκά.

Πρὸς αἱμασσόμενα οὖλα. κγ.

Αἱμασσομένοις οὔλοις διὰ δριμύτητα, παραδόξως ποιεῖ, ὑοσκυάμου φύλλων χυλὸς, ἢ τὸ ἀφέψημα σὺν
ἑψήματι. ἢ στάγματι θερμὸν διακρατούμενον ἐν τῷ στόματι. μὴ παρόντων δὲ τῶν φύλλων, τὴν ῥίζαν
ἕψε μετὰ γλυκέως. καὶ δίδου διακρατεῖν. ποιεῖ δὲ καὶ στυπτηρία σχιστὴ μετὰ μυρσίνης λειοτάτη προσ-
πασσομένη. συμφθέντες δὲ διακλυζέσθωσαν ἑψήματι θερμῷ. Ἄλλο.
50 Ἀσκληπιάδου πρὸς αἱμασσόμενα οὖλα. βαλαυστίων ῥόδων ἀνθοῦς. μυρσίνης ἀκρεμόνων. ἑκάστου ἴσον.
ἕψε μετὰ ὑδαροῦς ὀξυκράτου. καὶ τὸ ὑγρὸν διηθήσας, δίδου ἐν τῷ στόματι διακρατεῖν. Ἄλλο.
Σχίνου ἀκρεμόνων. βαλαυστίων. μήλων κυδωνίων ῥίζης ἑκάστου ἴσον, ἑψήσας ὀξυκράτου δίδου.
Ἐπίθεμα πρὸς τὰς ἐκ τῶν οὔλων, αἱμορραγίας. ἀλφίτων μέρος α. γιγάρτων σταφυλῆς τὸ ἴσον πο-
λυγόνου χυλοῦ, ὅσον ἐξαρκεῖ, τρίψας ἅμα, καὶ κηρωτῆς ποιήσας πάχος, ἐπιτίθει κατὰ τῶν αἱμορ-

ξαγδαιούντων τόπων, ἢ λεάνας αὐτὰ τῷ χυλῷ ἕως ξηρανθῇ, ἐπίπασσε λεῖα. Ἄλλο.
Ξηρόν, σπόγγον καινὸν βρέξας ἐν αἵματι ταυρείῳ. καὶ καύσας ἐν ὀστρακίνῳ ἀγγείῳ. καὶ λεάνας ἀπόθου. καὶ βαλὼν τῆς μὲν σπόγγου ∠. δ. λιβάνου χαλκίτεως ὠμῆς, ἀνὰ ∠. β. λεάνας ἐπίπασσε.
Ἄλλο. τερεβινθίνης ἐν ὄξει πεφρυγμένης ∠. δ. χαλκοῦ ∠. β. λείοις χρῶ. Τὰς μὲν ἐν τῷ στόματι θερμὰς φλεγμονάς, καὶ τὰς διαβρώσεις τῶν οὔλων. ἐφ' αἷς ἁλικοῦ ὄντος τινὸς ἢ δακνώδους ὑγρότητος αἴσθησις γίνεται. ὠφελεῖ μεγάλως τὰ ἐκ τῶν γλυκέων ὑδάτων βαλανεῖα. κενοῦνται μὲν δι' ὑδάτων τὸ περιττόν, ἀμαυροῦνταί τε καὶ καταкενοῦνται, τὸ μένον τε καὶ δριμὺ τοῦ αἵματος. ὥστε εἰ μηδὲν κωλύει καὶ δεύτερον, καὶ τρίτον εἰ λούσεις οὐ βλάψεις. καταχρίειν δὲ τὴν κεφαλὴν τοῖς ἐλαίοις τοῖς διὰ ῥοδίνου καὶ ὄξους.

10

Πρὸς τὰ ἐκσαρκοῦντα οὖλα. καὶ οἰδοῦντα, καὶ σεσηπότα. κδ.

Πρὸς τὰ οἰδήματα τῶν οὔλων, καὶ πρὸς ὑπερσαρκοῦντα καὶ σηπόμενα, ἁρμόζει διακλυζόμενα τὸ διακρατούμενα, ἔλαιον ὠμοτριβές. ἐλαιῶν κολυμβάδων ἅλμη. κεδρία σὺν ὄξει. κηκίδων ἀφέψημα. κοκκυμηλέας φύλλα ἐν οἴνῳ ἑψηθέντα. μορέας φλοιοῦ. ἢ φύλλων ἀφέψημα. κυτίνων ἀφέψημα. ξηρὰ δὲ λεῖα προσπασσόμενα τοῖς οὔλοις, ὠφελεῖ τὰ τοιαῦτα. ἀριστολοχίας ῥίζα. ἀρνογλώσσου σπέρμα λεῖον. ἄσφαλτος λεία. μαράθρου ῥίζα κεκαυμένη ἢ γλίχων κεκαυμένος δίφρυγές. ἰὸς σιδήρου. χάλκανθον ὀπτή. κηκίδες. κύτινοι. σίδια. βαλαύστια. κάλλιστα δὲ ποιεῖς πρὸς τὰ ῥευματιζόμενα οὖλα. ὄξους καὶ μέλιτος ἀνὰ λι. α. στυπτηρίας Γο. β. ἕψει ἕως τὸ ὄξος ἀναλωθῇ καὶ χρῶ. Ἄλλο.
20 στυπτηρίας σχιστῆς. σμύρνης. λιβάνου ἀνὰ Γο. μέλιτι διάχριε, καὶ ὕδρομελι διακλυζέσθω οἴνῳ ἰᾶται τὰς τῶν οὔλων διαβρώσεις καὶ πλάδους, γάλα ὄνειον διακλυζόμενον θερμόν. ἐλαίας φύλλων ἀφέψημα. ἀσπαλάθου ἀφέψημα. πλατάνου φύλλα ἐν ὄξει ἢ οἴνῳ ἡψημένα. ξηρὰ δὲ προσπαττόμενα, ἰὸς σιδήρου. βαλαύστιον. κύτινοι. Ξηρὸν πρὸς σηπεδόνας ἐν στόματι. καὶ οὖλα νεμόμενα, καὶ αἱμασσόμενα. πρὸς παρίσθμια. καὶ πρὸς ἀντιάδας, καὶ κιονίδας ξηρὸν προσαγόμενον. εὐθὺ δὲ σειομένων ὀδόντων, ὄξει διαλειφθέν, διακρατεῖται ἐν τῷ στόματι. κηκίδων ὀμφακίνων στυπτηρίας σχιστῆς ἀνὰ Γο, χρῶ ὡς εἴρηται. ξηρίον αἱματηρόν. Κυπέρου ∠. η. σμύρνης. κροκομάγματα. σχιστῆς. ἴρεως. ἀνὰ ∠. β. κρόκου ∠. α. σανδαράχης ∠. γ.

Ἄλλο αἱματηρὸν Ὀριβασίου.

Κυπέρου κρόκου ἀνὰ ∠. β. στυπτηρίας σχιστῆς σανδαράχης. ἴρεως κηκίδος κυτίνων ἀνὰ ∠. δ. ῥό-
30 δων, ἄνθους ∠. ς. καὶ χρῶ. πρὸς σηπεδόνας ἐν στόματι. Ἐλαίας φύλλων κεκαυμένων. θρίδακος ῥί- ξης. σιδίων, ἀνὰ ∠. α. κόστου βραχυτάτου χρῶ.

Πρὸς τὰ διαβιβρωσκόμενα, καὶ νεμόμενα οὖλα. κε.

Ἐπὶ δὲ τῶν διαβιβρωσκομένων οὔλων, μετ' οἰδήσεώς τε καὶ ὀδύνης. ἢ καὶ ὑπονεμομένων, ἄκρως ποιεῖ μηλωτρίδι ἔριον περιειλήσας. ζεστῷ ἐλαίῳ ἀπόβαπτε. καὶ πρόσαγε τοῖς οὔλοις ἕως ὑπόσπασμα λιθῇ. καὶ λευκὰ τὰ κύκλῳ γένηται. οὕτω γὰρ ἵσταται ἡ νομή, καὶ ὑπερεξανιστάμενος τῆς σαρκὸς περιβρωθεῖ στρέφεται. μετὰ δὲ ταῦτα χρῶ, προσλίμμασι, τοῖς πρὸς ταῦτα ἀναγεγραμμένοις. ἰδίως δὲ συμφέρει κηκὶς λειοτάτη ὅσον ὀξύβαφον μετὰ σμύρνης κυάμου μέγεθος, χρῶ λείοις ξηροῖς. παραδόξως
40 δὲ ποιεῖ πρὸς ταῦτα, τὸ διὰ χαλκίτεως καὶ καδμίας. ἔστωσαν δὲ τῆς χαλκίτεως ὠμῆς Γο. β. τῆς δὲ καδμίας Γο. α. λειούσθω δὲ πρότερον ἡ καδμία μετ' ὄξους. ἐν ἡλίῳ θερινῷ εὐθὺ ἱκανὰς ἡμέρας. ἔπειτα ἐπιβαλλέσθω ἡ χαλκῖτις. καὶ συλλειούσθω. ὁμοίως ἐπιβάλλων πλειστάκις ὄξος. ἔπειτα ξηράνας κόψας, καὶ σήσας, χρῶ ξηρῷ. κελεύων μὴ καταπίνειν ἐκ τοῦ φαρμάκου. ποιεῖ δὲ γενναίως ἐπὶ τῶν νεμομένων οὔλων, καὶ τὸ ἡλιοκαὲς λεγόμενον, ξηρόν. διὰ σβέστου δύο μερῶν, καὶ ἀρσενικοῦ ἑνὸς ἡμισείας μοίρας, σκευαζόμενον. λειούσθω δὲ καὶ [illegible] ἐν τοῖς [illegible] καύμασι σὺν ὕδατι. ἀποχεομένου τοῦ ὕδατος ξίτον. ἔπειτα ξηραινόμενον, παραφυλάττεσθαι δὲ χρή, καὶ τὴν τούτου κατάποσιν, θαυμάσιον δὲ βοήθημα ἐπὶ τούτων, καὶ τὸ διὰ τοῦ κεκαυμένου χάρτου ξηρόν, καθ' αὑτὸ καὶ σὺν μέλιτι προσαγόμενον.

Ἄλλο.

Πρὸς τὰς τῶν οὔλων νομὰς στυπτηρίας σχιστῆς ῥόδων ἄνθους, ἀνὰ ∠. β. ἀλῶν ἀμμωνιακῶν ∠. δ. κρόκου ∠.
50 α. χρῶ ξηρῷ ἢ μετὰ μέλιτος ἑφθοῦ.

Ἄλλο.

Ὀμφακίου ∠. β. σχιστῆς. σμύρνης. νίτρου. ἀνὰ ∠. α. κρόκου. χρῶ ξηρῷ. καὶ μετὰ μέλιτος.

Ἄλλο.

Ἡ αἱματηρὰ πρὸς οὖλα ἀφεστῶτα, καὶ ἐσχάρας ἐν στόματι. Στυπτηρίας σχιστῆς. κυπέρου. σμύρνης, ἀνὰ ∠. η. σανδαράχης, ∠. δ. ἴρεως ∠. γ. κρόκου ∠. α.

Ἄλλο. Κυπέρου

πύρου ∠ γ΄. σανδαράχης ∠ γ΄. σμύρνης, κρόκου, ἀλόης, ἴρεως ἀνὰ ∠ β΄. χρῶ ξηρῷ καὶ μετὰ μέλιτος. τὰ δὲ γεγυμνωμένα οὖλα, σαρκοῖ τόδε. ῥόδων σπέρματος μὴ παλαιοῦ, μέρη β΄. καλάμου ἀρωματικοῦ, ἢ ἰνδικοῦ, μέρος α΄. ξηρῷ λείῳ προσάπτου. Ἄλλο. ῥόδων ἄνθους ∠ δ΄. καλάμου ∠ ∫ο. γ΄. σιδίων ∠ β΄. στυπτηρίας σχιστῆς ∠ α΄. καλῶς δὲ σαρκοῖ. καὶ τὸ διὰ ὀρόβων κεφαλικὸν ξηρόν. γραφήσεται δὲ ἐν φαρμακικοῖς ιδ΄ λόγῳ.

Περὶ παρουλίδας. κς΄.

Παρουλὶς ἐστὶ φλεγμονὴ περὶ τὸ μέρος τῶν οὔλων, ἥτις μὴ λυθεῖσα, ἐκπυΐσκεται. κατ᾽ ἀρχὰς οὖν συνεργεῖν δεῖ, τῇ τῆς φλεγμονῆς λύσει διὰ τῶν χαλαστικῶν διακλυσμάτων. οἷον ἐστὶ χυλὸς πτισάνης. λινοσπέρματος ἀφέψημα. μελίκρατον χλιαρόν. ἢ οἰνόμελι. ἔπειτα ξηροῖς προστέλλειν τὴν τῆς σαρκὸς ἐπανάστασιν. ἁρμόδιον δὲ αὐτοῖς, τόδε. θείου ἀπύρου, πεπέρεως, ἀλόης ἴσα, προστέλλει τὰς παρουλίδας. καὶ στυπτηρία πᾶσα κεκαυμένη. ἢ σῶρι λεῖα προσπασσόμενα. εἰ δὲ διαπυηθῇ, τῷ φλεβοτόμῳ αὐτὴν διελὼν ἔκτεμνε, καὶ διάστελλε μοτῷ, ἢ ξύσματι ὀθονίου. χαίρει δὲ ἐκτομαῖς τὰ ἀφιστάμενα οὖλα. ἀπλοτομούμενα δὲ συμπίπτουσι. μετὰ δὲ τὴν ἐκτομὴν, θεράπευε τὸ ἕλκος διακλύσματι. καὶ τὸ μὲν κοῖλον, τῷ κεφαλικῷ διὰ ὀρόβων ξηρῷ, ἀναπλήρου, ἐπίπλασσε δὲ γλυκυμένου τῷ ἀνθηρῷ ξηρῷ.

Περὶ ἐπουλίδος. κζ΄.

Ἐπουλίς ἐστιν, ἀπὸ φλεγμονῆς ὑπερσάρκωμα κατὰ τὸν ἐσώτατον γόμφιον. ἔσθ᾽ ὅτε δὲ μετὰ πυρετοῦ, καὶ ὀδύνης σφοδρᾶς ἔνδον πρὸς τοῖς χαλινοῖς γιγνομένης. ὥστε μὴ διανοίγειν τὸ στόμα δύνασθαι τὸν πάσχοντα. πρῶτον οὖν ἡ φλεγμονὴ διαλυέσθω διὰ τῶν χαλώντων διακλυσμάτων. οἷον ἐστὶ μελίκρατον χλιαρόν. ἢ χυλὸς πτισάνης. ἢ λινοσπέρματος ἀφέψημα. συμφέρει δὲ καὶ ὅλην τὴν σιαγόνα περιπλάσσειν τῷ διὰ λινοσπέρματος καὶ μελικράτου καταπλάσματι. τῆς δὲ φλεγμονῆς λυθείσης, ἤδη τοῦ πάσχοντος χαίνειν δυναμένου. θεραπεύειν δεῖ τὴν ἐπουλίδα ξηρῷ στυπτικῷ. μάλιστα μὲν τῷ προῤῥηθέντι ἐπὶ τῶν παρουλίδων. ἤδη δὲ καὶ τοῖς πρὸς τὰ νεμόμενα οὖλα ἀναγραφεῖσι, τῷ τε διὰ χαλκίτεως, καὶ καδμείας χρῆσθαι, καὶ τῇ τοῦ ξύσματος τῆς ὀθόνης παρενθέσει. βραδέως δὲ δαπανωμένης τῆς σαρκὸς, σαρκοφάγον ξηρίον προστιθέσθω οἷον ἰὸς καθ᾽ αὑτόν τε καὶ μετὰ ἴσης κηκίδος. ἢ τὸ ξανθόν. καὶ πάλιν ξυσμάτιον ὀθόνης προστιθέσθω. κἂν οὕτω βραδύνῃ ἡ θεραπεία, αὐτὴ ἡ ἐπουλὶς, μυδιοσκέλλῳ ἀποταθεῖσα, ἐκτεμνέσθω σμιλαρίῳ στενῷ, ἢ μᾶλλον τῷ σπαθίῳ, καὶ ταῖς ἑξῆς ἡμέραις, θεραπευέσθω τὸ ἕλκος, διὰ κλύσματι μελικράτου καὶ τῷ κεφαλικῷ ξηρίῳ. τοῦ ξυσματίου προστιθεμένου. ἔπειτα τῷ ἀνθηρῷ ἀποθεραπευέσθω. καταστέλλει τὰς ἐπουλίδας. κηκὶς καθ᾽ αὑτὴν καὶ χαλκῖτις ὠμὴ καὶ κεκαυμένη. σῶρι κεκαυμένον. στυπτηρία πᾶσα κεκαυμένη. βαλαύστια. λεπὶς χαλκοῦ μετ᾽ ὄξους λειωθεῖσα ἐπὶ ἱκανὰς ἡμέρας ἐν ἡλίῳ μάλιστα. καὶ ξηρανθεῖσα. ποιεῖ καὶ τόδε καλῶς. ἀλόης ∠ β΄, ἁλῶν ὀπτῶν, ∠ α΄. χρῶ ξηρῷ.

Περὶ τῶν κατὰ τὰ οὖλα συριγγίων. κη΄.

Τὰ μὲν ἐν τοῖς οὔλοις συρίγγια, ἐπιδιαιρεῖσθαι, καὶ ἐξαπλοῦσθαι ὀφείλει. καὶ θεραπεύεσθαι μετὰ τὴν ἐπιδιαίρεσιν τὸ ἕλκος, ὡς μικρῷ πρόσθεν εἴρηται. ἐὰν δὲ εἰς τὰς ῥίζας φθάσῃ τοῦ πλησίον ὀδόντος ἡ σύριγξ. πειρᾶσθαι μὲν διὰ τῶν συριγγικῶν κολλυρίων ἀπαλλάξαι τοὺς, ὡς οἷόν τε θεραπεύειν. ἀναλαμβάνοντας μέλιτι ἑφθῷ, τὸ ξανθὸν ξηρίον. ἔπειτα τὸ διὰ ὀρόβων ὁμοίως. ἐὰν δὲ μὴ συγχωρῇ ὁ πάσχων. ἢ καὶ μᾶλλον ἡδέως ἔχῃ, τῇ στερήσει τοῦ πάσχοντος ὀδόντος. συνεξαιρεθήσεται καὶ τὸ συρίγγιον. καὶ τὸ ὅλον συμπεσεῖται. καὶ εὐχερὴς ἔσται ἡ μετὰ ταῦτα θεραπεία.

Ἐπιμέλεια καὶ θεραπεία ὀδόντων θερμὸν νόσημα ὀδυνωδῶς ἐχόντων ἀδαμαντίου σοφιστοῦ. κθ΄.

Οὔλων μὲν ὀδυνωμένων ἐκ φλεγμονῆς, ἢ διὰ βρώσεως, τὰ κατάλληλα τῇ χρήσει βοηθήματα, γυμνοῖς τοῖς πάσχουσι τόποις προσφέρεται. καὶ διὰ τοῦτο ἄδηκτα παντάπασιν ἐστὶν, ἢ μετρίως στρυφνὰ καὶ γεώδη ταῖς συστάσεσι. τῶν δὲ ὀδόντων πασχόντων μόνων. ἢ μετὰ τῶν ἐμφυομένων αὐτοῖς νεύρων τε καὶ ὑμένων, τοῖς ἰωμένοις φαρμάκοις προσπλέκομεν τὰ λεπτομερῆ ταῖς οὐσίαις, πρὸς τὸ τὴν δύναμιν τοῦ βοηθήματος διαδοθῆναι. καὶ εἰ μὲν ψυχρὸν εἴη τὸ νόσημα, θερμὰ λεπτομερῆ προσπλέκομεν τοῖς βοηθήμασιν. εἰ δὲ θερμὸν εἴη, τὰ δυνάμενα ψύχειν καὶ λεπτομερῆ ταῖς οὐσίαις συνάπτομεν. θερμῆς μὲν οὔσης τῆς διαθέσεως, καὶ ἡλικίας ἀκμαζούσης καὶ κράσεως θερμῆς. καὶ ἐν χωρίῳ καὶ καταστάσει ἀέρος τοιαύτῃ, διακλύσματα προσάξομεν. ἀφεψοῦντες ὄξει λευκῷ ῥίζαν ἁλικακάβου. ἀείζωον τὸ μικρὸν, ἀνδράχνην. περδίκιον βοτάνην καὶ γλυκύῤῥιζαν. εἰ δὲ ἀφόρητος εἴη συναίσθησις τῆς θερμασίας. χρηστέον ὑοσκυάμου φύλλοις, ἢ σπέρματι μήκωνος. κηπαίας καὶ σπέρματι θριδακίνης, ἑψομένων τούτων, ἐν τῷ λευκῷ ὄξει. εἰ δὲ σὺν τοῖς ὀδοῦσι καὶ τὰ οὖλα ἐν ὀδύνῃ ὑπάρχοι καὶ φλεγμαίνοι. τὸ ὄξος τούτοις ὡς ὀξὺ ξίφος πολεμιώτατον παραιτοῦ. τῇ δριμύτητι διάβρωσιν ἐργαζόμενον τῶν οὔλων. παρηγορητικώτατον οὖν ἐπὶ τούτων ἐστὶν, ὄνειον γάλα. ἐγὼ δέ ποτε τοιαύτην ἔχοντί τινι κρᾶσιν τε καὶ διάθεσιν περιπεσὼν. ἔλαιον ῥόδινον. καὶ μύρσινον ἔδωκα διακατέχειν ἐν τῷ στόματι, καὶ φλέγεσθαι ἐδόκει ὁ ἀνὴρ. καὶ ὡς ὑπὸ λαμπάδος ἐξάπτεσθαι. χιόνα τοίνυν ῥοδομέλιτι, μίξας καὶ χλιάνας μετρίως, πρὸς τὸ τὸ σφοδρὸν τῆς ψύξεως θραῦσαι, ἔδωκα διακατέχειν ἐν τῷ στόματι, καὶ τῆς ὀδύνης ἀπήλλαξα. μέγιστον δὲ αὐτοῖς ἀγαθὸν, καὶ ἡ διὰ κωδιῶν σκευαζομένη ἀντίδοτος ὑπνωτικὴ χλιαρὰ ἐν τῷ στόματι κατεχομένη, καὶ τὸ ὄνειον γάλα.

αὐτῆς ὀδύνης. τινὰ δὲ οὐ φαίνεται σαφῶς τῶν ἐν αὐτοῖς παθῶν ὡς ὅταν αὐτὸς ὁ πάσχων αἰσθάνεσθαι φησὶν τῆς κατὰ τὸ σῶμα τοῦ ὀδόντος ὀδύνης ἐν βάθει γι[νο]μένης. ἀντιλέγουσι γὰρ ἔνιοι φάσκοντες ὀστοῦν ὄντα τὸν ὀδόντα χωρὶς ὀδύ[νης] πάσχειν ὡς ὅταν τῇ παλουμένῃ ῥινῇ τὰς ὑπεροχὰς αὐτῶν ἀναγκασθῶμεν [ἀφαι]ρεῖν ἢ καὶ δι᾽ ἄλλων τινῶν [illegible] ὕστερον ἔξω. νῦν γὰρ βούλ[ομαι] χωρὶς λογικῆς τε καὶ φυσικῆς ἀποδείξεως μαρτυρῆσαι τοῖς πά[σχουσιν] αὐτῶν λέγειν τὸν ὀδόντα καὶ γὰρ [illegible] ἐμαυτὸν [illegible]

συνεχῶς διακλυζόμενον, καὶ τὸ ἕψημα θερμὸν, διακατεχόμενον ἐν τῷ στόματι, ἀγαθὸν δὲ αὐτοῖς φάρ
μακον, καὶ ὁ διὰ σπέρματος ὑπνωτικὸς τροχίσκος, καὶ οἱ παραπλήσιοι ἑψήματι φυρόμενοι καὶ πε-
ριπλαττόμενοι τῷ πάσχοντι ὀδόντι. χρὴ δὲ καὶ τὴν κεφαλὴν διαβρέχειν ῥοδίνῳ μετὰ βραχέως ὀ-
ξους, καὶ τοῖς ὠσὶν ἐγχεῖν ῥόδινον σὺν ὄξει. ἢ τὰ λεγόμενα γῆς ἔντερα ἐν ἐλαίῳ ἑψήσας, ἐγχυμάτιζε
εἰς τὸ κατάλληλον οὖς. ἢ τοὺς ἀπὸ τῆς ὑδρίας ὄνους ὁμοίως. ἢ ἀράχνας ὁμοίως. τροφαὶ δὲ ἔστωσαν,
πτισάνη. χόνδρος. θριδακίναι. κολοκύνθαι, καὶ ὅσα τῆς τούτων ἔχεται δυνάμεως. οἴνου δὲ ἀφε-
κτέον. δίδου δὲ διαμασᾶσθαι κατὰ τὸν ἀλγοῦντα ὀδόντα, βοτάνης περδικίου ῥίζαν. ἢ ὑοσκυά-
μου, καὶ μάλιστα ἐν βαλανείῳ, καὶ διακρατείτω τὸν χυλὸν, μέχρις ἂν ἐξέλθῃ. καὶ ἀποθυμία δὲ τῷ
ἀλγοῦντι ὀδόντι, ὑοσκυάμου σπέρμα. ἢ κυνὸς νεκροῦ ὀδόντα. καὶ παραχρῆμα ἄπονος ἔσται, ὁμοίως
10 καὶ γῆς ἔντερα, ἀποθυμιῶν. Ἄλειμμα εἰς πόνον ὀδόντων, καὶ εἰς τὸ βιβρωσκόμενον τοῦ κουφα-
ρᾶ. ξανθοκαρία ὁλόκληρα τῶν φοινίκων ὀστᾶ κεκαυμένα. ἐλαιῶν μαύρων ὀστᾶ κεκαυμένα. σηπίας
ὀστράκου. πυρέθρου. λεπτοκαρύων τηκτῶν κεκαθαρμένων. στάχυος. κινάμωμον. καρυόφυλλον
σμύρνης ἀνὰ ἐξαγίου ἓν ὅς. μέλιτι ἀναλύσας καλλίστῳ ἀπηφρισμένῳ. χρυσοβάλανον ἔχε κοπανι-
σμένον ἰδίως καὶ ἐπίπασσε ἐπάνω τοῦ ἀλείμματος.

Θεραπεία τῶν διὰ ψύξιν ὀδυνωμένων ὀδόντων. λ.

Ψυχροῦ δὲ ὄντος τοῦ νοσήματος, ὅπερ διαγνώσῃ ἐκ τῆς ἰδέας τῆς τε κεφαλῆς καὶ τοῦ λοιποῦ σώμα-
τος. καὶ τῆς προηγησαμένης διαίτης. καὶ τῶν ἐπιτηδευμάτων. καὶ τῆς λοιπῆς συστοιχίας. θερά-
πευε τὴν δίαιταν πᾶσαν θερμὴν ἐπιτηδεύων. τροφὴ μὲν οὖν ἔστω πτισάνη μετὰ γλίχωνος. καὶ πη-
γάνου καθεψηθεῖσα. ἢ πεπέρεως, προσλαβοῦσα μετὰ τὴν ἕψησιν καὶ ἅλας ὡσαύτως. λάχανα δὲ πε
20 τροσέλινα, καὶ τὰ παραπλήσια. ποτὸν δοτέον, οἶνον σύμμετρον τῷ πλήθει. καὶ οἰνόμελι. καὶ κονδί
του. διδόναι δὲ πίνειν, ἢ ἐκλείχειν καὶ τοῦ διακαλαμίνθης ὀξυπορίου εἰς ὕπνον. διάκλυσμα δὲ δοτέον,
ὄξει συνεψομένου ὀρίγανον. καλαμίνθην ὕσσωπον. γλήχωνα. δίκταμνον. θύμα καὶ θύμβρα καὶ κύ
μινον καὶ μελάνθιον. τιθυμάλλου ῥίζαν. ἢ ἀγρίου συκίου ῥίζαν. ξανθίου ῥίζαν. χαμαιλέοντος μέλα
νος ῥίζαν. περιστερεῶνος ὀρθοῦ ῥίζαν. φλόμου ῥίζαν. ἠρυγγίου. ἐλλεβόρου μέλανος. καππάρεως ὁ φλοι
ὸς τούτων ἕκαστον σὺν ὄξει ἑψόμενον καὶ διακλυζόμενον, παύει τὰς ὀδύνας τῶν ὀδόντων τὰς διὰ
ψύξιν γινομένας. εἰ δέ τινες αἰσθητικώτατον ἔχουσι στόμα, σὺν ὀξυκράτῳ ταῦτα ἑψέσθω. σὺν οἴνῳ δὲ
ἀφεψούμενα τὰ προειρημένα καὶ διακλυζόμενα δὶς ἢ τρὶς τοῦ μηνὸς, ἐπὶ τῶν ψυχροτέρων κρά-
σεων, προφυλάττει καὶ διατηρεῖ ἀπόνους τοὺς ὀδόντας. τετήρηται δὲ ὠφελοῦν αὐτοὺς, καὶ τὸ ἀφέ-
ψημα τῶν λιπαρῶν ξύλων. οἷον δαδίνων. ἢ πευκίνων. θλᾶται δὲ καὶ ἕψεται ταῦτα μετ' ἰσχάδων
30 ἐπιχεομένου οἴνου. διακλυζόμενα γὰρ ταῦτα ἐπὶ τῶν τοιούτων, ὀδονταλγίας παρηγορεῖ. καὶ μετ'
ἐλαίου δὲ ἑψήσας τὰς δάδας τεθλασμένας, δίδου τὸ ἔλαιον θερμὸν, ἐν τῷ στόματι διακρατεῖν καὶ
αὐτὰ τὰ θραύματα τῶν δάδων διακρατεῖν κατὰ τὸν ἀλγοῦντα ὀδόντα. καὶ τὸ ὀποβάλσαμον δὲ δια
κρατούμενον ἐν τῷ στόματι, μεγάλην ὠφέλειαν ἐνδείκνυται. καὶ τὸ καστόρειον μετὰ νάρδου τοῖς ὠσὶν
ἐγχεόμενον. ἐὰν δὲ καὶ πάντες οἱ ὀδόντες πονῶσι, κεδρίαν διακρατείτω ἐν τῷ στόματι εἰσερχόμενος
ἐν τῷ βαλανείῳ μέχρις ἂν ἐξέλθῃ, καὶ ἄπονος ἔσται. δίδου δὲ μασᾶσθαι τούτοις καὶ διακρατεῖν κατὰ
τὸν ἀλγοῦντα ὀδόντα, πυρέθρου ῥίζαν. κικέας τῆς κροτωνίας τῆς καλουμένης ῥίζαν. ξανθίου
ῥίζαν. λευκῆς ἀκάνθης. καὶ τιθυμάλλου ῥίζαν. καὶ τὴν θηριακὴν, ἢ τὴν ἔσδρα ἀντίδοτον διαλύσας ἑ-
ψήματι, δίδου διακατέχειν ἐν τῷ στόματι. καλῶς δὲ ποιεῖ καὶ ἡ Φίλωνος ἀντίδοτος διαχριομένη καὶ
ἡ σώτειρα. ὑποθυμία δὲ ἵνα τὸν καπνὸν δέχωνται ἐν τῷ στόματι, κυνὸς νεκροῦ ὀδόντα. εἶτα τὸν καυ
40 θέντα ὀδόντα λεάνας σὺν ὀλίγῳ ὄξει, καὶ θερμάνας, δίδου διακρατεῖν ἐν τῷ στόματι, καὶ ἄπονος
ἔσται. ἢ ἀλκυόνιον ὑποθυμία. ἐπιμελητέον δὲ καὶ τῆς κεφαλῆς πάσμασι χρώμενοι τοιούτοις
ἑλενίου, Γο. γ. ἴρεως ἀριστολοχίας μακρᾶς, Γο. α. ἀλγημάτων δὲ σφοδρῶν ἐπικειμένων, καὶ πυρία
τούτοις ἁρμόδιος διὰ κέγχρου. ἢ ὀρόβων, ἢ πυρῶν πεφρυγμένων σὺν διαφύσιν ἁλῶν ὀλίγων ἐπι
βαλλομένων. Πρὸς τὸ μύλας ἀσήπτους καὶ ἀκινήτους διαφυλάξαι. Βρυωνίας τῆς λευκῆς τῶν
βοτρύων χυλοῦ, λι. β. μορέας τοῦ φλοιοῦ τῆς ῥίζης, Γο. ϛ. ἕψει εἰς τὸ ἥμισυ. καὶ δίδου θερμαίνων,
διακρατεῖν ἐν τῷ στόματι ἐπὶ ἡμέρας ἑπτὰ, ὁ τούτῳ χρώμενος, οὐδέπω ποιήσῃ ὀδόντας.
διάκλυσμα ὀδόντων. ὑοσκυάμου ῥίζης φλοιοῦ ∠. η. πυρέθρου ∠. δ. ναρδοστάχυος ∠. α. μέ
λιτος Γο. θ. ὄξους λι. γ. ἕψε μετ' ὄξους ἐν καινῇ χύτρᾳ καὶ διηθήσας, ἐπίβαλε μέλι καὶ χρῶ.

50 Θεραπεία τῶν δι' ὑγρότητα ὀδυνωμένων ὀδόντων, καὶ σειομένων. λα.

Πάλιν ἕτερος ἄρρωστος ὑποκείσθω τῷ λόγῳ τὴν κρᾶσιν τοῦ σώματος ἅπασαν, καὶ μάλιστα τῆς κεφαλῆς,
ὑγροτέραν ἔχων, καὶ ἀβροδίαιτος ὤν. καὶ τὴν οἴκησιν ἐν ὑγροτέροις τόποις ἔχων. καὶ ἐν καταστάσει νο
τινὴ πάσχων. καὶ ὥρᾳ ἐαρινῇ. τίς νοῦν ἔχων θεώμενος ταῦτα, οὐκ ἂν εἴποι τῆς ὑγρότητος εἶναι τὴν νόσον
ἀπόγονον. διαβρεχομένων γὰρ τῶν εἰς τοὺς ὀδόντας ἐμφυομένων νεύρων, καὶ χαλωμένων τούτων σὺν τοῖς
παρακειμένοις σώμασι, σεισμὸν ὑπομένουσι. τοῖς πλείστοις δὲ χωρὶς ὀδύνης τοῦτο συμβαίνει. εὕρηται γὰρ

πλειστάκις,

πλειστάκις, ὅτι ἡ ὑγρότης καθ' αὐτὴν οὐκ εἴωθεν ὀδύνας ἐπιφέρειν. εἴρηται δὲ καὶ πρόσθεν ὡς διὰ
γεροντικὴν ἡλικίαν, ἐνίοι τῶν ὀδόντων σείονται. καὶ ὅτι τοῖς στύφουσι καὶ πυκνοῦσι τὰ οὖλα φαρ-
μάκοις, οἱ γέροντες βοηθοῦνται. ἐνίοι δὲ καὶ πληγέντες ἐσείσθησαν. καὶ μεγάλως τούτοις ὠφελεῖ,
στυπτηρία σχιστὴ μετὰ σμύρνης τρωγλίτιδος, λεῖα ἐπιπασσόμενα τῷ πεπονθότι ὀδόντι δαψιλῶς καὶ
συνεχῶς. ἵστησι γὰρ αὐτόν. τοὺς δὲ δι' ὑγρότητα σειομένους θεραπευτέον, ξηρὰν τὴν δίαιταν ἐπιτη-
δεύοντας μετὰ μακρᾶς ἀσιτίας. ῥοφαὶ μὲν τούτοις ἁρμόδιοι ῥοφηματώδεις. χόνδρος ἄλικος. ἢ ἄρ-
τος διάβροχος, ἢ ὄρυζα, ἢ ἄλφιτα σὺν μελικράτῳ, καὶ κέγχρος δὲ τούτοις οὐκ ἀνεπιτήδειος. καὶ φα-
κός. ἰχθύων δὲ οἱ ταριχηροί. πτηνῶν τὰ ὄρεια, καὶ ξηρότερα. λαχάνων, ἢ κράμβη, καὶ τὰ ὅμοια, καὶ
ποτὸν δὲ ὕδωρ δοτέον μὴ πάνυ δαψιλές. εἰ δὲ τὰς πέψεις μὴ βλάπτοιντο, μελίκρατον δοτέον. εἰ δὲ
10 οὐκ ἀνέχοιντο προσπλέκειν τῷ ὕδατι οἶνον ὀλίγον. κατὰ δὲ τοὺς παροξυσμούς, πυριᾶν τοὺς τόπους
κέγχρῳ σὺν ἁλσί. διακλύσματα δὲ τὰ στύφοντα, καὶ ξηραίνοντα, ἢ ἁλυκά. εἰ μὴ τὰ οὖλα συμπα-
σχοι. κηκῖδας οὖν ὀμφακίτιδας, ὄξει δριμὺ συνεψήσαντες καὶ στυπτηρίαν τῷ ὄξει συμπλέξαν-
τες προσάξομεν τῆς τε ἀκάνθης τῆς αἰγυπτιακῆς τὸν καρπόν. σίδια. μυρσίνας. κυτίνους. βαλαύστια.
ἐλαίας φύλλα. πλατάνου φύλλα. κυπαρίσσου σφαιρία. λαπάθου ἀγρίου ῥίζαν. ξανθίου ῥίζαν.
βάτου φύλλα, καὶ τὰ ἄλλα ὅσα στρυφνῆς ποιότητος ἔχεται. ἀεὶ δὲ ἕψοντες ἐν ὄξει ἢ ὀξυκράτῳ οἴνῳ,
προστάξομεν διακλύζεσθαι, καὶ διακατέχειν ἐν τῷ στόματι, τὸ κατάλληλον ὑγρὸν τῇ τοῦ κάμνον-
τος αἰσθήσει. δηλονότι κρίνοντες καὶ μετροῦντες τὰς δυνάμεις τῶν προσφερομένων παρὰ τὸ μᾶλ-
λον ἢ ἧττον τῷ ποσῷ τοῦ πλεονάζοντος χυμοῦ. ἄριστον δὲ τούτοις οἶδα διάκλεισμα, τὸ τῶν ἁλμάδων
ἐλαιῶν ὕδωρ, εἰς ὃ ταριχεύονται. τὴν γὰρ ἐν τῷ στόματι ὑγρασίαν ἡ τῆς ἅλμης ἐκβόσκεται δύνα-
20 μις καὶ τὴν τῶν σωμάτων χάλασιν ἡ τῶν ἐλαιῶν στύψις περισφίγγουσα, εἰς ῥώμην καὶ τόνον ἐπα-
νάγει. ἐνίοτε δὲ τῶν λευκῶν ἐλαιῶν ἐλάβομεν τεθλασμένων, καὶ ἐκπιασθεισῶν, τὸν χυλὸν μετὰ
πηγάνου χυλοῦ καὶ μέλιτος σμίξαντες, παρατρίβομεν τοὺς ὀδόντας. ἔπειτα παραπάσσομεν ναρ-
δῳ ἰνδικῇ μετὰ στυπτηρίας στρογγύλης ἴσης, καὶ ἅλατος τὸ διπλοῦν. ἄριστα δὲ τούτοις, καὶ τὰ στρυ-
φνὰ διαχρίσματα, ἤτε διὰ μόρων στοματικὴ προσλαμβάνουσα σχιστῆς στυπτηρίας, καὶ ἡ διὰ καρύων
χυλοῦ σκευαζομένη ὁμοίως. ἢ σχιστῆς στυπτηρίας. καὶ μίσυος, ἴσα κεδρίᾳ ἀναλαβὼν, ὡς ἔχειν ὑγρᾶς
κηρωτῆς πάχος, διάχριε τοὺς ὀδόντας. καὶ ἔα ἀπορρεῖν φλέγμα. ἔπειτα διακλυζέσθωσαν διὰ τὴν
δῆξιν, γάλακτι ὀνείῳ θερμῷ, ἢ οἴνῳ γλυκεῖ. ἢ στυπτηρίαν. ἢ σμύρναν τρωγλῖτιν καθ' αὑτὴν ἐπιπασ-
σε, ἢ σὺν ὄξει, ἢ μέλιτι διάχριε. ξηρὰ δὲ ἀεὶ προσπασσόμενα τούτοις ἁρμόδια. πρὸς γὰρ τῷ τοὺς κε-
κινημένους ὀδόντας ῥωννύναι, καὶ τὰ μυδῶντα οὖλα πρὸς στέλλει. κυπρίᾳ σποδῷ πεπλησμένη
30 ξηρᾷ προσαπτέσθω. διακλύζεσθαι ὕδατι δίδου. μυρσίνης. ἢ βάτου. ἢ τινὸς παραπλησίου ἀφεψήμα-
τος. ἔπειτα πάλιν τῇ σποδῷ παραπτόμενος, ἡσυχάζειν κέλευε, ἢ ἰῷ σιδήρου ξηρῷ λείῳ παραπτέ-
σθω, ἢ σώρει κεκαυμένῳ. Ἄλλο πρὸς σειομένους ὀδόντας καὶ οὖλα μυδῶντα. στυπτηρίας σχιστῆς κεκαυ-
μένης ἐπ' ὀστράκῳ ∠ ζ. σμύρνης ∠ δ. κηκίδων. ῥόδων ἄνθους. ἴρεως ἀνὰ ∠ ϛ. κρόκου ∠ α. χρῶ.
Ἄλλο κέρατος ἐλαφείου κεκαυμένου ∠ η. ῥοῦ μαγειρικοῦ ∠ δ. ὀμφακίου ξηροῦ ∠ β. βαλαυστί-
ων ∠ δ. πίτυος φλοιοῦ. κρόκου σμύρνης ἀνὰ ∠ α. χρῶ. Ἄλλο. Στυπτηρίας στρογγύλης μεθ' ἁλὸς
διπλοῦ λειώσας πρόσπασσε τοῖς δι' ὑγρότητα κινουμένοις ὀδοῦσιν. Ἄλλο. Στυπτηρίας σχιστῆς.
σμύρνης ἀμύλου. πομφόλυγος. ἴσα λεῖα ξηρὰ ἐπιπασσόμενα πιέσει τοὺς κινουμένους ὀδόντας.
Ἄλλο. Ὀδόντας σειομένους στῆσαι, κεράτια ἀκάνθης αἰγυπτίας τρίψας μετὰ μέλιτος χρῶ.
Ἄλλο. Ἴαμα ἀπαράβατον σειομένων καὶ ἐπαλτῶν ὀδόντων. Στυπτηρίας σχιστῆς γο. β. στρου-
40 θίου ῥίζης ξηρᾶς λειοτάτης γο. α. λειώσας ἅμα ἐπίπασσε τὸν ἀλγοῦντα ὀδόντα. καὶ διακρατείτω
ἄχρις οὗ πληθῇ τὸ στόμα σιέλου. καὶ τότε ἀποχεέτω. καὶ ἄπονος ἔσται. Ἄλλο. Ὀδόντας κινουμέ-
νους ἵστησι καὶ κρατύνει, ἰοῦ σχιστῆς. ἢ φορίμης μᾶλλον στυπτηρίας μέλτου ἴσα χρῶ ξηρῷ μετὰ γλυ-
κέως. Ἄλλο. πρὸς σειομένους ὀδόντας ῥόδων ἄνθους. βαλαυστίων. σμύρνης. μαστίχης ἀνὰ γο. α. χαλ-
κίτεως ὀπτῆς. λιβανίου ἄρρενος. πίτυος φλοιοῦ ἀνὰ ∠ δ. ἁλῶν ἀμμωνιακῶν ἀνὰ γο. α. χρῶ ξηρῷ.
Ἄλλο πρὸς σειομένους ὀδόντας. Γαληνοῦ ᾧ ἐγὼ χρῶμαι φησίν. Πολυτρίχου καρφῶν κεκαυμένων
ξ. α. ἔχει δὲ ὁ ξ. σταθμὸν γο. ι. στυπτηρίας σχιστῆς καὶ στρογγύλης, ἀνὰ γο. γ. ναρδοστάχυος, γο. β. φύλλου γο. α.
πεπέρεως γο. α. πυρέθρου, γο. ε. κόψας σῆσας, παράπτου τῶν οὔλων ἄχρι τῶν ῥιζῶν τῶν ὀδόντων. ὠφε-
λιμος δὲ αὐτοῖς καὶ λιβανωτὸς διαμασσώμενος μετὰ πεπέρεως. καὶ βάτου διαμασσομένου. καὶ κι-
κέως ῥίζα. ἀγαθὸν δὲ καὶ ἡ τοῦ ἔσδρα ἀντίδοτος μετὰ ἑψήματος ἀναλυθεῖσα. καὶ διακατεχομένη
50 ἐν τῷ στόματι. καὶ ἡ θηριακὴ ἀνδρομάχου ὁμοίως. καὶ πινομένη δὲ εἰς ἑσπέραν ὀνίνησι τούτους με-
γάλως. Ἀρχιγένους. Φυσικὸν δὲ γράφει ἀρχιγένης ἀληθὲς πρὸς τοὺς κινουμένους ὀδόντας, καλῶς
τεθνεῶτος ὀδόντας ἐπ' ὀνόματος μάλιστα τοῦ πάσχοντος λαβὼν, τίθει ἐπ' ἀνθράκων. καὶ δεχέσθω τὴν
ἀτμὸν ἐν τῷ στόματι ὁ πάσχων. καὶ στερεωθήσονται οἱ ὀδόντες. τὸν δὲ καυθέντα ὀδόντας τρίψας
μετ' οἴνου. μετ' ὄξους καὶ θερμαίνας, δίδου διακατέχειν ἐν τῷ στόματι. αὐθι δὲ τῶν δυσαισθητῶν, μετ' οἴνου.

Ἄλλο. πρὸς σειομένους ὀδόντας, καὶ τὰς περὶ τὸ στόμα ἑλκώσεις. ἰὸν σιδήρου, ἢ αὐτὸν τὸν σίδηρον ἔχοντα πολὺν ἰὸν πυρώσας καὶ σβέσας ὄξει ἢ ὀξυκράτῳ, ἢ οἴνῳ ἐπὶ τῶν εὐαισθήτων. δίδου διακρατεῖν τῷ στόματι. κρατύνει γὰρ τοὺς ὀδόντας, καὶ τὰ ἕλκη ἰᾶται ποιεῖ καλῶς καὶ τὸ αὐστηρὸν ξηρίον. Ἄλλο. Πρὸς κινουμένους ὀδόντας καὶ τὰ αἱμασσόμενα οὖλα, στυπτηρίας σχιστῆς. λιβανωτοῦ φύλλων, ἀνὰ γο. δ΄. μαστίχης γο. α΄. τοῦτο ἵστησι τὸ ἐπιφερόμενον ῥεῦμα καὶ τοὺς ὀδόντας λευκαίνει.

Περὶ ῥινήσεως ὀδόντων. λβ΄.

Ἐπειδὴ προπετεστέρους τῶν ἄλλων ἑτέρων τοὺς σειομένους ὀδόντας καὶ κινουμένους. καὶ μάλιστα ὅταν ἐκ πληγῆς τοῦτο πάθωσιν, ἔδοξέ μοι, ῥινᾶν αὐτοὺς τοσοῦτον, ὅσον ὑπὲρ τοὺς ἄλλους ἐστίν. ὅπως μὴ προσκρούωσι τοῖς ἀντιτεταγμένοις ἐν τῷ διαλέγεσθαι καὶ μασᾶσθαι. εὑρὼν δὲ καὶ τὴν πεῖραν μοι μαρτυρήσασαν, σιδηροῦν ἐποίησα ῥινάριον ὡς ἐνεργεῖν ταχέως. αἱ γὰρ πολλαὶ παρατριβαί, σείουσαι τὸν ὀδόντα δεόμενον ἀκινησίας εἰ μέλλει παγήσεσθαι. ἔστω δὲ ἡ ἀρχὴ τοῦ ῥιναρίου, ἀμβλεῖα καὶ πυρηνοειδής, καὶ λειοτάτη. ποτὲ μὲν οὖν ἐξοχαί τινες ἀνώμαλοι φαίνονται τῶν ὀδόντων, κατά τινα μέρη ῥινήσεως δεόμεναι. ἔσθ᾽ ὅτε δὲ ὁμαλὸν ἔχοντες πέρας, ὁμαλῆς καὶ τῆς ῥινήσεως δέονται. χρὴ δὲ περιτιθέντας τοῖς οὔλοις ὅλοις ἄχρι τῆς ῥίζης τῶν ὀδόντων ὀθόνην μαλακήν, εἶτα περιλαμβάνοντας πράως τοῖς δακτύλοις, τῆς ἀριστερᾶς χειρός, ἀσφαλῶς τε ἅμα καὶ ἀθλίπτως ὅπως μὴ σείοιτο ῥινιζόμενος. οὕτως ἐπιχειρεῖν τῇ χειρουργίᾳ. ἐὰν δὲ ἀλγήματος αἰσθάνηται ὁ κάμνων, ἐν τῷ παράγεσθαι τὴν ῥίνην, ἢ ἐν τῷ διακρατεῖσθαι σφοδρότερον τοῖς δακτύλοις τοὺς ὀδόντας, παύεσθαι μὲν ἐν τῷ παραυτίκα, προσενεγκόντας δὲ ἐν τῷ μεταξὺ τῶν προρρηθέντων πραϋντικῶν διακλυσμάτων, αὖθις ἐπιχειρεῖν, ὡς εἴρηται πάλιν καὶ κατὰ βραχὺ ῥινᾶν, καὶ τοῦτο ποιεῖν, οὐ τῇ πρώτῃ μόνον ἡμέρᾳ δίς που καὶ τρίς, ἀλλὰ καὶ τῇ δευτέρᾳ, προστάξαντας τῷ πάσχοντι μήτε φθέγγεσθαι σφοδρότερον. μήτε σκληρὸν μηδὲν ἔδεσμα προσφέρεσθαι. χρῆσθαι δὲ ταῖς ῥοφηματώδεσι τροφαῖς, ἢ ἄρτῳ διαβρόχῳ. εἰ δέ τισι χωρὶς τοῦ σείεσθαι, αὔξησιν τινὰ λαμβάνοιεν οἱ ὀδόντες πλέον τοῦ δέον, καὶ τούτους ῥινᾶν ὁμοίως. καὶ διακλύσματα πυκνωτικὰ προσάγειν.

Θεραπεία τῶν ἐπὶ ξηρότητι ὀδυνωμένων ὀδόντων. Ἀμαντίου σοφιστοῦ. λγ΄.

Τέταρτος ἄρρωστος τῷ λόγῳ ὑποκείσθω, ὑπὸ ξηρᾶς, δυσκρασίας ἐνοχλούμενος. γεννητικὴ δὲ τῆς τοιαύτης δυσκρασίας ἐστὶν, ἡ φθινοπωρινὴ κατάστασις. μάλιστα καὶ βίος ταλαίπωρος ἐπὶ διαίτῃ λεπτῇ. χωρίον ξηρόν. καὶ κατάστασις τοῦ περιέχοντος ἡμᾶς ἀέρος τοιαύτη. πρὸς τούτοις δὲ καὶ ἡ τοῦ παντὸς σώματος κρᾶσις ξηρά. καὶ μάλιστα τοῖς τὴν κεφαλὴν, τῇ τοιαύτῃ δυσκρασίᾳ ἐνοχλουμένοις, δίψος συνεδρεύει, εἰ μὴ συμπάρεστι σῆψις τῇ ξηρότητι, καὶ ἥκιστα σιαλοχοοῦσιν οὗτοι. διὰ δὲ τὴν ξηρότητα, καὶ ἄλγημα δυσφορώτατον αὐτοῖς συνεδρεύει. πολεμιωτάτη τοῖς τοιούτοις, ἡ τῶν αὐστηρῶν καὶ στρυφνῶν ἐστὶ χρῆσις. πολλάκις οὖν ἡ διὰ μύρων αὐτοῖς σφοδρὰν ὀδύνην ἐπήγαγε. πάντα δὲ χρὴ ἄστυφα καὶ μετρίως ὑγραίνοντα μηχανᾶσθαι διακλύσματα. ὕδωρ χλιαρὸν καθ᾽ αὑτὸ, ἢ πιτύρων ἀφέψημα. ἢ γλυκυρρίζης. ἢ πτισάνης χυλόν. ἢ ἄμυλον μετὰ ἑψήματος θερμῷ κεκραμμένου. γάλα εὔκρατον καὶ μάλιστα ὄνειον. μαλάχης ἀφέψημα. καὶ τὰ ἄλλα ὅσα τούτοις ἐστὶ παραπλήσια. τροφὴ δὲ τούτοις ἐπιτήδειος, χυλὸς πτισάνης. ψύχες πλυταί. κολοκύνθη. μαλάχη. ὠὰ ῥοφητά. καὶ ὅσα συντελεῖ τοῖς ὑγραίνεσθαι δεομένοις.

Διάγνωσις καὶ θεραπεία, τῶν συνθέτων δυσκρασιῶν. λδ΄.

Αὕτη μὲν ἡ τῶν ἁπλῶν δυσκρασιῶν ἐπιμέλεια. εὐσύνοπτος δὲ ἡ τῶν συνθέτων. μίξει μὲν τῶν εἰρημένων γνωριζομένη. κράσει δὲ τῶν δεδειγμένων βοηθημάτων ἐπιτελουμένη. διὰ δὲ τοὺς ἀρτιμαθεῖς ἢ ἀπείρους, φέρε διὰ βραχέων συνθέτου μιᾶς δυσκρασίας μνημονεύσωμεν, ὑπόδειγμα σαφὲς τῶν λοιπῶν ἐσομένη. Θεραπεία ὀδόντων ὀδυνωμένων, διὰ θερμότητα καὶ ὑγρότητα. Ἔστω οὖν εἶναι τὸ χωρίον, θερμὸν καὶ ὑγρόν. τὴν δὲ ὥραν τοῦ ἔτους τὸ ἔαρ, καὶ τὴν κατάστασιν τοῦ ἀέρος, ὑγρὰν καὶ θερμήν. οἷα ἐστὶν ἡ νότιος. αὐτὸν δὲ τὸν ἄρρωστον, κεφαλὴν ἔχοντα ῥᾳδίως πληρουμένην τοιαύτης ὑγρότητος. καὶ κόμην πολλὴν καὶ ὑπέρυθρον ἔχειν. καὶ τὴν τοῦ παντὸς σώματος κρᾶσιν, ὑγρὰν καὶ θερμὴν, καὶ διαίτῃ τοιαύτῃ κεχρῆσθαι, τίς τῶν εὐδοκίμων ἰατρῶν, οὐκ ἂν ὑγρὸν καὶ θερμὸν φαίη παθεῖν τὸ νόσημα. θεραπεύσεις δὲ τοὺς τοιούτους διττῶς. εἰ μὲν γὰρ τοῦ κατὰ φύσιν ἐκτροπὴ μόνον εἴη τῶν ποιοτήτων, ἔσται σοι σκοπὸς τῆς ἐπιμελείας ἡ ἀλλοίωσις. εἰ δὲ καὶ πλῆθος σὺν ταῖς ποιότησι πάρεστιν, εὔδηλον, ὡς πρῶτον μὲν δεῖ κενῶσαι. ἔπειτα κατακεράσαι. τούτου μὲν οὖν ἐπὶ πάσης δυσκρασίας μεμνῆσθαι δεῖ. τὸν δὲ θερμὸν καὶ ὑγρὸν ἔχοντα νόσημα περὶ οὗ νῦν πρόκειται λέγειν, ὡς ὑπὸ πλήθους αἵματος ἐνοχλούμενον, κενώσεις διὰ φλεβοτομίας, ὑγρὸν γὰρ καὶ θερμὸν τὸ αἷμα. τέμνειν δὲ χρὴ τὴν ἐν ἀγκῶνι φλέβα τὴν ἄνω καλουμένην ὠμιαίαν. εἰ δὲ μὴ, τὴν μέσην. εἰ δέ τι ἕτερον μεῖζον κωλύει τὴν φλεβοτομίαν, διαίτῃ ὀλίγῃ καὶ λεπτῇ τὸν περιττὸν τῆς χρείας κλέπτε χυμόν. ἀλλὰ ταῦτα μὲν ὡσαύτως κἀπὶ τῶν ἄλλων ἐργάσῃ συνθέτων δυσκρασιῶν τὰς μὲν, κατὰ ποιότητα μόνον συνισταμένας, ἀλλοιῶν καὶ μεταβάλλων ταῖς ἐναντίαις ποιότησι. τὰς δὲ μετὰ

τινος οὐσίας χυμῶν, κενῶν διὰ τῶν κατ' ἀλλήλων καθαρτηρίων. εἰ μὴ πάλιν καὶ τούτων, ἕτερόν τι κωλύει τὴν κάθαρσιν. καὶ τὰ λοιπὰ δὲ βοηθήματα, οἷον διακλύσματα, καὶ διαιτήματα, ῥᾷον ἀπὸ τῶν προειρημένων εὑρεῖν. ἔχων γὰρ ἤδη τῶν ἁπλῶν νοσημάτων τοὺς τύπους τῶν ἐγχειρήσεων, ἑτοίμως δυνήσῃ, κἀπὶ τῶν συνθέτων ἐξευρίσκειν τὰ κατάλληλα. διαγινώσκεται δὲ ὁ ἐνοχλῶν χυμὸς σὺν τοῖς λοιποῖς τοῖς περὶ τὸ σῶμα σημείοις, καὶ ἐκ τῶν ἑπομένων ἀλγημάτων. τῇ μὲν γὰρ ξανθῇ χολῇ, τὸ νυγματῶδες ἄλγημα παρέπεται. τῷ δὲ φλέγματι, τὸ μετὰ ψύξεως διατείνεσθαι τοὺς τόπους. καὶ τῷ μὲν φυσώδει τῷ μελαγχολικῷ, τὸ οἷον θλάσεως τῶν ἐν βάθει σωμάτων, συναίσθησιν ἔχειν. τῷ δὲ πλήθει, τὸ βαρύ. ἀλλὰ καὶ ἡ γεῦσις τοῦ ἐπιρρέοντος χυμοῦ, ἐμφαίνει τῷ κάμνοντι διὰ ἰδίαν αὐτοῦ. ἢ γὰρ πικρότητος αὐτῷ αἴσθησις γίνεται, ἢ ἁλυκότητος ἢ ὀξύτητος.

Θεραπεία βεβρωμένων ὀδόντων. Γαληνοῦ. λε'.

Τὰ βρώματα, καὶ τρήματα τῶν ὀδόντων, διὰ ἐπιρροῆς ὑγρῶν δριμέων καὶ διαβρωτικῶν, ἀποτελεῖται. καθάπερ τὰ ἤδη τοῦ δέρματος ἕλκη χωρὶς τῆς ἔξωθεν αἰτίας. δῆλον οὖν ὅτι καὶ ἡ ἴασις ἔσται τῶν διαβιβρωσκομένων ὀδόντων, ἀναξηραινομένης τῆς ἐπιρρεούσης κακοχυμίας. εἰ μὲν ὀλίγη τις εἴη τοῖς τοπικοῖς βοηθήμασι διὰ τῶν ξηραινόντων φαρμάκων. εἰ δὲ πλέον εἴη τὸ ἐπιρρέον, καὶ ὅλης τῆς κεφαλῆς πρόνοιαν ποιούμενος. κἂν ἡ κεφαλὴ ποτὲ πάσχει διὰ τὸ σύμπαν σῶμα, καὶ τοῦ παντὸς σώματος ἐπιμελούμενος. Ὁ μὲν οὖν Ἀρχιγένης πρὸς τούτους, βοηθήματα τοιαῦτα ἔγραψε. σώρει ῥητίνῃ τερεβινθίνῃ ἀναλαβὼν, περίπλασσε τὸν ὀδόντα. καὶ τῷ βρώματι ἐντίθει. ποιεῖ δὲ καὶ τοῦτο ἄκρως, θεῖον ἄπυρον λυκίῳ ἀναλαβὼν, ἐντίθει εἰς τὸ βρῶμα. ἢ κηκῖδα λείαν τῷ λυκίῳ. ἢ τῇ τερεβινθίνῃ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα, καὶ προαποκαθάρας κατὰ κύκλον τὸν ὀδόντα, περίπλασσε. ἤδη δὲ τῶν μεγίστων ὀδονταλγιῶν ἄκρως ποιεῖ τοῦτο. Ὄφεως γῆρας καύσας. καὶ λεάνας μετ' ἐλαίου, πάχος ποιῶν μέλιτος, χρῶ καθὰ προείρηται. ἢ προσαπτίζε τῷ γήρᾳ τοὺς ὀδόντας, μὴ κεκαυμένῳ, καὶ ἐκπίπτουσιν. ἢ μελάνθιον φρύξας καὶ λεάνας μετ' ἐλαίου χρῶ ὁμοίως. ἢ τὸ μελάνθιον φρύξας, καὶ μετ' ὄξους δριμέος λεάνας, ἐντίθει τῷ βρώματι. καὶ περίπλασσε, καὶ οὐκέτι βρωθήσεται. ἀλλὰ μένει οἷον ἦν. Ἄλλο. Μελανθίου μέρος α'. σκορόδου τὸ ς'. καὶ ἅλας ὀλίγον συλλεάνας, περίπλασσε. ἀπόνους ποιεῖ. Ἄλλο. Ἐλλέβορον μέλανα σὺν μέλιτι ἑφθῷ ἀναλαβὼν ἐντίθει εἰς τὸ βρῶμα. καὶ προαποκαθάρας. περίπλασσε τὸν ὀδόντα. Ἄλλο. Λιβάνου μέρος α'. χαλκάνθου μέρη β'. λεάνας σὺν γλυκεῖ καὶ ποιήσας κηρωτῆς πάχος, χρῶ ὡς προείρηται. καὶ τάχιστα παύσεις τὴν ὀδύνην. Ἄλλο. Χαλβάνης μέρη ς'. λιβάνου μέρος α'. λεάνας μετὰ γλυκέος. καὶ κηρωτῆς πάχος ποιήσας, χρῶ ὡς προείρηται καὶ αὐθημερὸν παύσεται. Ἄλλο. Στυπτηρίαν σχιστὴν ἐντίθει εἰς τὸ βρῶμα, καὶ ἄπονον ποιήσεις. Ἄλλο χολὴν ἄρκου ἐντίθει καὶ ἰάσῃ αὐτό. Ἄλλο. Ῥοδοδάφνης κλάδον καύσας καὶ λεάνας ἐπίπασσε καὶ ἰάσῃ. Ἄλλο. Ἀνδρομάχου. Μηλίνη ἀνδρομάχου, παύουσα αὐθημερὸν τὰς ὀδύνας, πεπέρεως. πυρέθρου. τιθυμάλλου ὀποῦ. χαλβάνης ἴσα λεάνας πάντα, ἀναλάμβανε τῇ χαλβάνῃ. καὶ ἐντίθει εἰς τὸ βρῶμα. Ἄλλο Ἀσκληπιάδου. Τούτῳ φησὶ χρησάμενος, διετήρησα βεβρωμένους ὀδόντας ἀνωδύνους. ῥίζαν βορ μετ' ὀξυμέλιτι ζέψας ἐπιμελῶς, ἐντίθει εἰς τὸ βρῶμα. καὶ περίπλασσε ἔξωθεν τὸν ὀδόντα. καλῶς δὲ ποιεῖ, καὶ ἡ διὰ δύο πεπέρεως ἀντίδοτος. ἐντιθεμένη τῷ βρώματι. ἐλαίῳ ἀμυγδαλίνῳ. ἢ ναρδίνῳ. ἢ ῥοδίνῳ ἀνιεμένη. καὶ ἐγχεομένη χλιαρὰ εἰς τὸ παρακείμενον οὖς τῷ ὀδόντι. ἐγὼ δὲ τούτῳ χρῶμαι πρὸς βρώματα ὀδόντων μετ' ὀδύνης. τῆς ἔσδρα ἀντιδότου ἀναλύων μετὰ ἑψήματος καὶ θερμαίνων, δίδωμι διακρατεῖν τῷ στόματι. καὶ θαυμασίως τὰς ὀδύνας παρηγορεῖ. ταύτης δὲ μὴ παρούσης, τῇ θηριακῇ ἀνδρομάχου, χρῶμαι ὁμοίως. πυρία δὲ ἁρμόζει κατὰ τοῦ ἀλγοῦντος ὀδόντος τοιαύτη. ὀριγάνου ξηροῦ κλωνίον εἰς ζεστὸν ἔλαιον βάπτων, ἐπιφέρει δὲ τῷ ποιοῦντι ὀδόντι, ἢ κίκεως καυλῷ ὁμοίως χρῶ. ἢ ἀγρίαν σταφίδα γραφίῳ πήξας. ἢ πύρεθρον χρῶ ὁμοίως. ἢ κηρὸν ἐπιθεὶς τῷ ἀλγοῦντι ὀδόντι ἄνωθεν. ἐπίφερε δὲ πυρῆνα μήλης, πυρώσας συνεχῶς τοῦτο ποίει. Εἶδος δὲ πυρίας ἐστὶ καὶ τοῦτο, οὗ μάλα προκαθάρας τὸν ὀδόντα, ἀποθυμία, ὑοσκυάμου σπέρματι. διὰ χωνείου δὲ τὸν ἀναφερόμενον ἀτμὸν δεχέσθω ὁ πάσχων εἰς τὸν ἀλγοῦντα ὀδόντα. θαυμαστῶς δὲ παρηγορεῖ καθὼς προείρηται, καὶ τὰ βρώματα τῶν ὀδόντων, καπνὸς νεκροῦ ὀδοὺς ὁμοίως ἀποθυμιώμενος. καὶ μετὰ τὸ καυθῆναι λειούμενος σὺν ὄξει θερμῷ. καὶ ἐν τῷ στόματι διακρατούμενος. ἱκανῶς δὲ ὠφελεῖ, καὶ γῆς ἔντερα ἀποθυμιώμενα. καὶ εἰς τὸ παρακείμενον δὲ τῷ ὀδόντι οὖς ἐγχεόμενον ἔλαιον χλιαρὸν ἐν ᾧ ἕψηται γῆς ἔντερα παρηγορεῖ. ἢ σιλφὴς κατοικιδίου τῆς βδεούσης τὸ στέαρ σὺν ῥοδίνῳ τήξας, ἔνσταζε εἰς τὸ οὖς. ἢ κισσοῦ λευκοῦ κορύμβους ε' μετὰ ῥοδίνου ζέψας καὶ ἐν κελύφει ῥοιᾶς θερμάνας, ἔνσταζε εἰς τὸ οὖς συνεχῶς. καὶ ἀσφοδέλου ῥίζης χυλός. καὶ καρδάμου ὠφελεῖ ἐνσταζόμενος ὁμοίως. εἰς δὲ τὸν πλησίον τοῦ ἀλγοῦντος ὀδόντα μυξωτῆρα ἔνσταζε ἀναγαλλίδος τῆς κυανῆς χυλὸν, ἢ σεύτλου ῥίζης χυλόν. ἢ χάλκανθον μετὰ γάλακτος. Ἄλλο Ἀπολλωνίου. Κυμίνου ὅσον τοῖς τρισὶ δακτύλοις, καὶ σμύρνης ὅσον κύαμον. καὶ σικύου ἀγρίου τὸ ἐντὸς, διπλάσιον. γάλακτι γυναικείῳ,

ἀνάπλασσε κολλύρια, καὶ ἔνθες εἰς ἑκάτερον τῶν μυκτήρων. εἶθ' οὕτω κέλευε ἀνασπᾶν ἐφ' ὅσον ἄν τις θέλῃ σταδίους ε̄. εἶτα ἐκμυξάσθω τὸ φάρμακον. ποιεῖ καὶ πρὸς ὠταλγίαν ὁμοίως.

Ὀδόντα ἆραι χωρὶς σιδήρου. λϛ̄.

Εἰ δὲ δόξειεν ἀρθῆναι τὸν ὀδόντα, ἀπόνως ἀναιρεθείη φαρμάκῳ συμφωνοῦντι λίαν. τῷ δὲ πύρεθρον δριμυτάτῳ ὄξει περιχύσας ἡμέρας μ̄, ξήρανον καὶ ἀπόθου, ἐπὶ δὲ τῆς χρείας, τοὺς λοιποὺς ὀδόντας κηρῷ ἀσφαλισάμενος, τὸν ἀλγοῦντα περικαθάρας, περίπλασσε τῷ φαρμάκῳ. εἶτα διαστήσας ὥραν, ἕλκυσον τοῖς δακτύλοις ἢ γραφίῳ ἀνάλαβε. Σῶρι μετ' ὄξους δριμυτάτου ἐπὶ ἡμέρας γ̄ ἐν ἡλίῳ θερινῷ λειώσας, καὶ ξηράνας, καταπάσσε προπερικαθάρας, καὶ ἐκπεσεῖται. Ἄλλο. Σανδαράχην ὁμοίως σκευάσας χρῶ. Ἄλλο. Σῶρι καὶ τιθυμάλλου ὀπὸν ἀναλαβὼν χαλβάνῃ περίπλασσε προπερικαθάρας. Ἄλλο. Σικύου ἀγρίου ῥίζαν, σκεύαζε ὡς τὸ πύρεθρον, καὶ χρῶ. ἢ κόκκους κνιδίους λειώσας ἀναλαβὼν χαλβάνῃ, περίπλασσε, καὶ ἐκπεσεῖται. Ἄλλο. Ξανθίου βοτάνης ῥίζα θερμαινομένη ἐν θερμοσποδίᾳ, καὶ ἐπιτιθεμένη τῷ ὀδόντι συνεχῶς, καλῶς ποιεῖ. μετὰ γὰρ βραχὺ αἴρεται τοῖς δακτύλοις. Ἄλλο. Κολοκυνθίδος ἀγρίας ῥίζαν ἐντίθει τῷ βρώματι, καὶ ἐκπεσεῖται ὁ ὀδούς. ἢ αὐτὴν τὴν κολοκυνθίδα κόψας σήσας, ἀπόβρεχε ὄξει ἐπὶ πολλὰς ἡμέρας ὡς πάχος ἔχειν μέλιτος καὶ ἀποβάπτων εἰς τὸ φάρμακον τὸν περιχαρακτῆρα. καὶ περιχαράσσων πλειστάκις, κέλευε μύειν τὸ στόμα ἐπ' ὀλίγον. εἶτα ἐπιλαβόμενος τοῖς δακτύλοις, ἕλκε. καὶ ἀκολουθήσει. Ἄλλο. Ῥοὸς βυρσοδεψικῆς δάκρυον ἐντιθέμενον τῷ βρώματι. Ἄλλο. Γῆς ἔντερα ἐπ' ὀστράκου καύσας ὡς τεφρωθῆναι. καὶ λειώσας. καὶ προπεριχαράξας. ἐπίπασσε δαψιλῶς. καὶ διὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς, αὐτομάτως ἐκπίπτει. χρῶ πολλάκις γὰρ ἐδοκιμάσθη ὡς μυστήριον. ἔστι δ' ὅτε καὶ χωρὶς τοῦ περιχαράξαι ἐπιπασσόμενον, τὸ αὐτὸ ποιεῖ. Ἄλλο. Μορέας ῥίζης τὸν φλοιὸν ξηρότατον λαβών. καὶ λειώσας ἐπιτίθει κατ' αὐτοῦ μόνου τοῦ ὀδόντος, καὶ ἐκπεσεῖται. Ἄλλο. Σώρεως, κηκίδος ὀμφακίτιδος. σταφίδος ἀγρίας. σχιστῆς. θείου ἀπύρου. πεπέρεως μακροῦ. λεῖα ποιήσας, καὶ ἐπιβαλὼν κεδρίαν, λέαινε. εἶτα κηρὸν ὀλίγον τήξας, ἐπίχεε. καὶ ἀναλάμβανε, καὶ ἐπὶ τῆς χρείας μαλάσσων ἐξ αὐτοῦ καὶ προπερικαθάρας, περίπλασσε. Ἄλλο. Κράμβης καμπὴν λαβὼν, πυκνότερον προσάπτου τοῦ ὀδόντος. καὶ ἐκπεσεῖται αὐτομάτως. ἀποβάλλει δὲ τὸν ὀδόντα, καὶ ἐλαίας ἀγρίας δάκρυον. ἐντιθέμενον τῷ βρώματι. καὶ ὀπὸς ἀγρίας συκῆς. καὶ τιθυμάλλου. ἄνωθεν δὲ χαλβάνῃ φράττε τὸ ῥῆμα, ἢ κηρῷ.

Σμήγματα διάφορα ὀδόντων μελαινομένων, καὶ ἠρεωμένων. Γαληνοῦ. λζ̄.

Πελιδνοῦνται ποτὲ οἱ ὀδόντες δι' ὅλης αὐτῶν τῆς οὐσίας. καὶ μελαίνονται φλεγμονῇ τι παραπλήσιον πάσχοντες ἐξ ἐπιρροῆς ὑγρῶν μοχθηρῶν. ὁμοίως οὖν δέονται θεραπείας τοῖς βεβρωμένοις διὰ τῶν ξηραινόντων φαρμάκων. σμήγματα δὲ εἰσὶ τὰ τούτοις ἁρμόδια. Ἀπολλώνιος οὖν πρὸς μεμελασμένους ὀδόντας, τάδε γράφει. Ἁλὸς ὀρυκτοῦ, μέλιτι φυράσας, ὄπτα, ἐπ' ὀστράκου. καὶ ῥίψας, μίσγε σμύρνης βραχὺ, καὶ παράτριβε τοὺς ὀδόντας. Ἄλλο. Γλίχωνος καὶ ἁλὸς ἴσον ἑκάστου ὕδατι φυράσας, καὶ φρύξας, ὁμοίως χρῶ. Ἰσχάδα κατακαύσας καὶ ῥίψας νάρδῳ βρέχει καὶ μέλιτι διεὶς χρῶ. τοῦτο καὶ τὰ οὖλα προστέλλει. Ἄλλο. Ἄλευρα φυράσας ὄξει δριμεῖ κατακαύσας ἐν χύτρᾳ, καὶ λειώσας παράτριβε τοὺς ὀδόντας. τοῦτο καὶ τὰ οὖλα κρατύνει. κοινῶς δὲ πρὸς πάντα σμήγμασιν ὀδόντων χρώμεθα τοῖς τοιούτοις. ἀριστολοχίας ῥίζης κεκαυμένης, ἢ ἐλάφου ὀστέον καύσας καὶ λειώσας χρῶ. ἰᾶται καὶ πόνους ὀδόντων. Κέρας ἐλάφου καύσας. καὶ μαστίχην ὀλίγην μίξας χρῶ. Ἀστραγάλους προβατίους καύσας, λείοις χρῶ. καλῶς ποιοῦσι καὶ κήρυκες πληρωθέντες ἁλσὶ καὶ καυθέντες, καὶ κίσσηρις ὀπτὴ οἴνῳ σβεσθεῖσα. σηπίας ὄστρακα καέντα, κεκαυμένοι μύακες, κοχλίας χερσαῖος καεὶς σὺν μέλιτι. ἑκάστῳ δὲ τούτων εὐωδίας χάριν μίγνυται. ἴρεως ἰλλυρικῆς βραχὺ, ἢ σχίνου ἄνθους. ἢ καλάμου ἰνδικοῦ. ἢ ναρδοστάχυος. ἄριστα δὲ ποιεῖ φησὶν Ἀρχιγένης, πρός τε προφυλακὴν ἀλγημάτων, καὶ ῥῶσιν τῶν οὔλων καὶ τῶν ὀδόντων, καὶ εὐπρέπειαν καὶ τοῦτο. ἔρια οἰσυπηρὰ ὀθονίῳ ἐνδήσας, καῦσον. εἶτα μίξας ἴριν ἰλλυρικὴν ὀλίγην, σμῆχε τοὺς ὀδόντας. Γόλλιτος ὀδοντότριμμα. Θεῖον ἄπυρον λειώσας χρῶ. Σμῆγμα ὀρειβασίου. ἁλὸς ἀμμωνιακοῦ. κυπέρων ἴρεως, ἴσα διαρρίψας ἐπὶ ἱκανὸν τούτῳ, τὰ οὖλα διακλυζέσθω οἴνῳ εὐώδει. Σμῆγμα καλόν. Μαρμάρου, Γο. δ̄. ἁλὸς κεκαυμένου Γο. β̄. φύλλου Γο. ᾱ. ἀμώμου Γο. β̄. κέρατος ἐλαφείου κεκαυμένου, Γο. β̄. βαλαυστίων Γο. ᾱ. ἴρεως Γο. ᾱ S. μαστίχης Γο. ϛ̄. σμύρνης ∠ ε̄. κόστου ∠ γ̄. Σμῆγμα κάλλιστον. Κισσήρεως Γο. δ̄. σηπίας ὀστράκων Γο. γ̄. μαστίχης. σχιστῆς, φύλλων ἀνὰ Γο. ᾱ. Ἄλλο. Κισσήρεως κεκαυμένης Γο. γ̄. σηπίας ὀστράκων, Γο. δ̄. κέρατος ἐλάφου κεκαυμένου Γο. β̄. ἁλῶν ὀπτῶν, Γο. β̄. ναρδοστάχυος ∠ δ̄. κυπέρου ∠ β̄. κόστου, ⊢ δ̄. Ἄλλο. Βοὸς ἀστράγαλος κεκαυμένος. σμήχει κάλλιστα τοὺς ὀδόντας. καὶ στερεοῖ τοὺς κινουμένους. καὶ τοὺς ἐπαλγεῖς ἀπόνους ποιεῖ. Ἄλλο ῥῖμμα εὐῶδες ποιοῦν τὸ στόμα. καὶ λευκοὺς καὶ ἀβρώτους καὶ ἀσινεῖς τοὺς ὀδόντας φυλάττει, νίτρου. σηπίας ὀστράκων. σμύρνης βωλίτιδος ἴσα χρῶ. Ἄλλο κάλλιστον.

σχιστῆς, Γο. ς. μαστίχης Γο. α. ῥόδων κάλυκας ξηροὺς, Γο. α. λείοις χρῶ. καὶ ὕδατι χλιαρῷ διακλύζου.
Ἄλλο ὀδοντότριμμα ὃ σκευάζω. κισσήρεως Γο. β. σηπίας ὀστράκων, Γο. α. ς. μαστίχης Γο. δ. σχιστῆς
∠. δ. φύλλου ∠. δ. χρῶ. Ἄλλο ὃ σκευάζω. κηρύκων κεκαυμένων. ἁλὸς πεφρυγμένου. ση-
πίας ὀστράκων, κεκαυμένων. ῥινήματος μαρμάρου, προικοννησίου, ἀνὰ Γο. α. κόστου ∠. η. κόψας χρῶ.
Ἄλλο Τιμοκράτους πρὸς οὖλα μυδῶντα καὶ πλαδῶντα. καὶ αἱμάσσοντα, σηπεδόνας. παρεγκλί-
δας. κινουμένους ὀδόντας, καὶ ὀδυνωμένους, καὶ πάντα τὰ ἐν τῷ στόματι. λαβὼν περιδικίου
βοτάνης τῶν ἁπαλῶν φύλλων μόδιον ἰταλικὸν, καὶ ἁλῶν λεπτῶν καὶ λευκῶν ξε. α. καὶ μέλιτος
ξε. α. κόψον ἅμα ὡς γενέσθαι μάζαν ψαφαρωτέραν. εἶτα ἐμβαλὼν εἰς χύτραν περίπλασσον πη-
λῷ. ἐάσας κατὰ τὸ μέσον τοῦ πώματος τρῆμα. δι' οὗ κινείσθω ῥάβδῳ. καὶ ὄπτα ἐπ' ἀνθράκων μέχρι οὗ
10 ὁ ἀναφερόμενος καπνὸς καθαρὸς γένηται. εἶτα ἄρας ἀπὸ τοῦ πυρὸς, καὶ ἐάσας ψυχῆναι, λάμ-
βανε ἐξ αὐτοῦ ∠. ιδ. πεπέρεως λευκοῦ ∠. ε. πεπέρεως μέλανος ∠. ς. πυρέθρου ∠. ς. στυπτη-
ρίας σχιστῆς κεκαυμένης ἐπ' ὀστράκου. καὶ ἐσβεσμένης οἴνῳ αὐστηρῷ, ∠. β. κισσήρεως κεκαυμένης.
σμύρνης. ὑσσώπου. γλήχωνος. σελίνου σπέρματος, ἀνὰ ∠. β. ἡδυόσμου ξηροῦ ∠. γ. ἴρεως ∠. γ.
ταῦτα προξηράνας ἐν ἡλίῳ, κόψας σήσας, μίγνυε τοῖς ἐν τῇ χύτρᾳ, κεκαυμένοις. καὶ χρῶ. ἐπὶ
τινων δὲ βούλεται προσφέρεσθαι, τὸ φάρμακον ὁ Τιμοκράτης προείρηται. εἰδέναι δὲ χρή. ὡς ἐπὶ
τῶν ψυχρῶν διαθέσεων τῶν ὀδόντων, μᾶλλον ἁρμόζει. ἐάν τε διὰ ψυχροῦ πόσιν. ἢ ὁ πωρῶν ψυ-
χρῶν γεγόνασι. καὶ ἐπὶ τῶν διὰ χειμῶνα ψυχρὸν βλαβέντων, μετὰ τὸ ἱκανῶς διακλυσμάτων. ἢ
διὰ μασσημάτων, ἀποφλεγματίσαι, τότε κεχρῆσθαι καὶ τοῖς ὁμοίοις.

Περὶ ἀγκυλογλώσσων, ἤτοι μογιλάλων. λη.

Ἀγκυλόγλωσσοι γίνονται. οἱ μὲν, ἐκ γενετῆς. οἱ δὲ, ἐκ πάθους τινός. ἐκ γενετῆς μὲν οὖν γίνονται,
20 τῶν ἀντεχόντων τὴν γλῶτταν ὑμένων κάτωθεν, σκληροτέρων τε καὶ κολοβωτέρων γεγονότων.
ἐκ πάθους δὲ ἡ ἀγκύλωσις τῆς γλώττης γίνεται, ἕλκους προηγησαμένου, καὶ οὐλῆς σκληρᾶς ὑπὸ
τὴν γλῶσσαν γιγνομένης. οἱ τοιοῦτοι δὲ μόγις διαλέγονται. διὸ καὶ μογιλάλοι ὑπό τινων προσαγο-
ρεύονται. μάλιστα δὲ οἱ ἐκ φύσεως ἀγκυλόγλωσσοι, κατ' ἀρχὰς μὲν, βραδέως ἄρχονται διαλέγε-
σθαι. ἀρξάμενοι δὲ τοῦ λόγου, ἀνεγκόπτως καὶ μετὰ σπουδῆς ὁμιλοῦσι. παραποδίζονται δὲ καὶ
τῇ προφορᾷ τῶν δυσφράστων ὀνομάτων, ἢ ῥημάτων. ὡς τοῦ ρ. ἢ τοῦ λ. ἢ τοῦ κ. τούτους μὲν οὖν χει-
ρουργία μόνη θεραπεύει. δεῖ δὲ πρὸς τὴν χειρουργίαν, καθέδριον σχηματίζειν τὸν πάσχοντα, τὴν
γλῶσσαν ἄνω ὡς πρὸς τὴν ὑπερῴαν μετεωρίσαι. ἔπειτα, εἰ μὲν ὑμένες εἰσὶν οἱ τῆς ἀγκύλης αἴτιοι,
μικροκαμπεῖ ἀγκίστρῳ τούτους ἀνατείνοντα ἐκτέμνειν. προσέχων μὴ συνδιαιρεῖν τὰ ὑποκείμενα
30 ἀγγεῖα. ἐὰν δὲ οὐλὴ ὑπάρχῃ ἡ τῆς ἀγκύλης αἰτία, ὁμοίως τῷ ἀγκίστρῳ ἀνατεινομένης τῆς οὐλῆς, ἐκκοπτέσθω
πᾶν τὸ σκληρὸν σῶμα ἀπὸ τοῦ κατὰ φύσιν ἔχοντος, μετὰ δὲ τὴν χειρουργίαν, ὕδατι ψυχρῷ ἢ ὀξυ-
κράτῳ διακλυζέσθω ὁ πάσχων. ἔπειτ' ἐμπασσέσθω τῷ τοῦ λιβανωτοῦ μάννᾳ. καὶ τότε ὑποτιθέ-
σθωσαν οἱ πλατοὶ μοτοί. ταῖς δὲ ἑξῆς ἡμέραις θεραπευέσθω τὸ ἕλκος, διακλύσματι μὲν μελικρά-
τῳ. διαχρίσματι δὲ τῇ αἰγυπτίᾳ τῶν πλατῶν μοτῶν ἐντιθεμένων ἵνα ἐν διαστάσει, ἡ διαίρεσις θερα-
πευθῇ. καὶ μὴ πάλιν ἡ αὐτὴ γένηται ἀγκύλη.

Πρὸς τὸν ὑπογλώσσιον λεγόμενον βάτραχον. λθ.

Πρὸς δὲ τὸν ὑπογλώσσιον βάτραχον, ἔστι δὲ διόγκωσις τῶν ὑπὸ τὴν γλῶσσαν μερῶν. μάλιστα δὲ
φλεβῶν. χρηστέον μὲν πᾶσι τοῖς ἰσχυροτέροις πρὸς ἄφθας ἀναγραφησομένοις. ἰδίως δὲ ποιεῖ ἐπ' αὐ-
τῶν καὶ τὰ τοιαῦτα. ἰοῦ ξυστοῦ. χαλκίτεως. κηκῖδος. ἴσα σὺν γλυκεῖ, ἔστι καὶ διάκλυσμα. Ἄλλο.
40 ὀροβίνῳ μετὰ μέλιτος προαποσμήξας τοὺς τόπους διάχριε. κηκῖδι λείᾳ μετὰ μέλιτος, ἢ ῥόδων
σπέρματι μετὰ μέλιτος ἐπὶ τῶν εὐαισθητοτέρων σωμάτων. ἢ ῥοῦ ἐρυθροῦ μετὰ μέλιτος. ἢ [illegible], ῥοῦ
∠. η. ῥόδων ἄνθους ∠. δ. κρόκου ∠. ε. κόστου ∠. β. μίσυος, ἰοῦ, ἴσα. ξηρῷ διάτριβε τοὺς ὑπὸ
τὴν γλῶσσαν τόπους. ἐλαίας δὲ φύλλα ἀφέψημα διακλυζέσθωσαν συνεχῶς. Ἄλλο. Κάρυα βα-
σιλικὰ παλαιὰ κατακαύσας, ὁλόκληρα πέντε μετὰ τοῦ κελύφους, λείου. εἶτα ἐπίβαλλε πεπέρεως
κόκκους ιβ. λιβάνου χόνδρους συμμέτρους, γ. καὶ ἐπιβαλὼν μέλιτος τὸ ἀρκοῦν, διάχριε καὶ θαυ-
μάσεις. τῶν δὲ τελείων καὶ χρονίων, δίελε τὰς ὑπὸ τὴν γλῶτταν φλέβας. κατὰ δὲ τοῦ ἀνθερεῶ-
νος ἔξωθεν ἐπιτίθει τὸ διὰ ὠῶν φάρμακον, μᾶλλον δὲ τὸ σφαιρίον. Πρὸς τὸν ὑπογλώσσιον βάτρα-
χον. ἀρτεμισίαν μάλιστα χλωρὰν ἢ πάλιν λειώσας μεθ' ἁλῶν, ὑπότριβε τοὺς ὑπὸ τῇ γλώσσῃ τόπους.

Πρὸς γλῶσσαν φλεγμαίνουσαν. ἢ λεπιζομένην. ἢ φυσωμένην, καὶ οὐρανίσκον καὶ οὖλα. μ.

50 Πρὸς γλῶσσαν λεπιζομένην, καὶ οὐρανίσκον. καὶ οὖλα, γλαύκιον ἐπ' ἀκόνης μεθ' ὕδατος ἀνείσας,
διάχριε τοὺς τόπους, καὶ αὐθημερὸν παύσεται. ποιεῖ καὶ ἀμόργη καλῶς ἐν χαλκῷ σκεύει ἑψηθεῖ-
σα ἕως συστάσεως, καὶ διαχρισμένη. Ἄλλο πρὸς ἕλκωσιν γλώσσης. Γαλιούρου φύλλα διαμα-
σάσθωσαν. καὶ ἀποπτυέτωσαν. ὅταν δὲ ἡ γλῶσσα φυσηθῇ, ἅλμῃ διαμασάσθωσαν. καὶ ἀποπτυέ-
τωσαν. ἐὰν δέ τις ἀλγῶν τὰ πλησία τῆς γλώττης καὶ τὸν χαλινὸν μὴ δύνηται διαλέγεσθαι. φύλλα

ἁπαλὰ ἐλαίας τρίψας καὶ ἐλαίῳ δεὶς, διάχριε· ἀγαθὸν σφόδρα. ἢ ὀρίγανον ἐν γλυκεῖ ἑψήσας
δίδου διακλύζεσθαι· ἢ φύλλα κοκκυμηλέας τρίψας μετὰ μέλιτος, χρῶ. Πρὸς γλῶσσαν σαπεῖ-
σαν καὶ σχεδὸν ἀπονενεκρωθεῖσαν, τῆς λευκῆς βρυωνίας τῶν φύλλων τὸν χυλὸν μίξας, μετὰ μίσυος
διάχριε· ἀνακαθαίρει καὶ ἀναπληροῖ. τινὲς καὶ μέλι προσπλέκουσι. πρὸς δὲ τὸ ἐπουλῶσαι τὴν ῥί-
ζαν τῆς βρυωνίας κόψας σήσας ἐπίπασσε. βέλτιον δὲ τὸ μέλι μίσγειν ἵνα μὴ ἀφανισθῇ.

Πρὸς ἀπόστημα ἐν τῇ γλώττῃ. μα.

Εἰ δὲ ἀπόστημα ἐν τῇ γλώττῃ γένοιτο, πίτυρα ἀφεψήσας μεθ' ὕδατος ἐπιπολὺ, ὡς γλίσχρον γενέσθαι
τὸ ὑγρὸν, καὶ διηθήσας· καὶ προσβαλὼν τῷ χυλῷ μέλι, δίδου κατέχειν ἐν τῷ στόματι θερμόν.
πλειστάκις τοῦτο ποιῶν. ἢ γὰρ διαφορήσει, ἢ ῥήξει. μετὰ δὲ τὴν ῥῆξιν, τῷ ἀνθηρῷ χρώμεθα.

10 Πρὸς ἄφθας, καὶ γλῶσσαν σαπεῖσαν, καὶ σχεδὸν ἀπονενεκρωθεῖσαν. μβ.

Τὰς ἐπιπολῆς ἑλκώσεις ἐν τῷ στόματι γιγνομένας, ὀνομάζουσιν ἄφθας, ἐχούσας τι καὶ θερμότητος
πυρώδους. γίγνονται δὲ τοὔπιπαν τοῖς βρέφεσιν, ὅταν, ἤτοι μοχθηρὸν ᾖ τὸ γάλα τῆς τιτθῆς, ἢ μὴ
καλῶς αὐτὸ πέττει τὸ παιδίον. εὐίατοι δέ εἰσι τοὔπιπαν ἐπὶ τοῖς μετρίως στύφουσι καθιστάμεναι.
ποτὲ μέντοι καὶ χρονίζουσι δυσλύτως τῷ χρόνῳ σηπεδονῶδές τι ἴσχουσαι. ἢ τὴν καλουμένην νομήν.
γίγνονται δὲ ἐνίοτε, καὶ ἐπὶ τῶν τελείων. ἢ χυμῶν μοχθηρῶν συρρευσάντων εἰς τὸ στόμα. ἢ διὰ δρι-
μύτητα τῶν ἐσθιομένων ἢ πινομένων. διαγιγνώσκονται δὲ ἅπασαι ῥᾳδίως ὄψει τε καὶ ἁφῇ. τῇ μὲν
γὰρ ἁφῇ, θερμότεροι τοῦ δέοντος οἱ τόποι γίγνονται, καὶ ὄγκον ἴσχουσι. τῇ δὲ ὄψει, διὰ τῶν χρωμά-
των. αἱ μὲν γὰρ ἐρυθρότεραι τὸν αἱματικὸν καὶ ξανθότεραι, τὸν πικρόχολον ἐπικρατεῖν ἐνδείκνυν-
ται χυμόν. αἱ δὲ λευκότεραι, τὸν φλεγματικόν. αἱ δὲ πελιούμεναι τε καὶ μελαινόμεναι, τὸν μελαγ
20 χολικόν. ὁ γὰρ ταῦτα διορισάμενος ἐπιστάμενός τε τὴν ἑκάστου τῶν ἁπλῶν φαρμάκων δύναμιν
καθ' ἕκαστον εἶδος, αὖθις ἐπιστήσεται χρῆσθαι. τοῖς τε ἁπλοῖς καὶ τοῖς συνθέτοις φαρμάκοις. συ-
νεπισκέπτεσθαι δὲ καὶ τὰς τῶν σωμάτων φύσεις εἰ μαλακαί τε εἰσὶ καὶ ὑγραί. ἢ σκληραί. καὶ ξηραί. τοῖς δὲ
ἰσχυροτέροις σώμασι, τὰ ἰσχυρότερα προσάξεις φάρμακα. τοῖς δὲ ἀσθενεστέροις τὰ μαλακώτερα.
ἐπὶ μὲν οὖν τῶν βρεφῶν, ἐπιτήδεια ἐστὶν ὅσα ψωμίζουσιν αἱ γυναῖκες. φακὴ μετὰ βραχέως ἄρ-
του καὶ μυελοῦ ἐλαφείου. ἢ μοσχείου. μιγνύσθαι δὲ χρὴ τῇ τροφῇ, μήλων κυδωνίων. ἢ τῶν ἄλλων ὅσα
στύφει. οἷον ἀπίων. μεσπίλων. καὶ ποτὲ καὶ θριδακίνης. καὶ σέρεως. καὶ ἀνδράχνης μικτέον τῷ ψω-
μίσματι. διαπύρου τῆς ἄφθης ὑπαρχούσης. εἰ δὲ μηδέπω δύναιτο τὸ παιδίον ψωμίζεσθαι, τὴν
τροφὸν αὐτοῦ, τοῖς τοιούτοις χρὴ διαιτᾶν, καὶ μέντοι καὶ διαχρίειν τὰ στόματα τῶν βρεφῶν φαρ-
μάκοις. ὑπερρύθρων μὲν οὐσῶν τῶν ἀφθῶν, τοῖς μετριώτατα στύφουσί τε, καὶ ψύχουσι κατ' ἀρχάς.
30 ἐφεξῆς δὲ τοῖς διαφοροῦσιν ἀδήκτως. εἰ δὲ ὑπόξανθοι αἱ ἄφθαι εἶεν, τοῖς αὐτοῖς μὲν χρηστέον. ἀλλὰ
μᾶλλον ψύχουσιν. εἰ δὲ ὑπόλευκοι καὶ φλεγματικώτεραι, τοῖς ῥυπτικοῖς χρηστέον. εἰ δὲ μελαινόμεναι
γένοιντο, τοῖς γενναιότερον διαφοροῦσι χρηστέον. ἐπὶ δὲ τῶν μειζόνων παίδων, ταῖς ὁμογενέσι δυνά-
μεσι τῶν φαρμάκων, χρώμενος ἐπιτείνων τὴν δύναμιν αὐτῶν. ἐπὶ δὲ τῶν ἤδη τελείων, καὶ σκλη-
ρότερα τὰ σώματα ἐχόντων, τοῖς ἤδη δραστικοῖς χρώμεθα. μέτρια μὲν οὖν ἐστι πρὸς ἄφθας καὶ μά-
λιστα μὲν τὰς ἀρχομένας, ὀμφάκιον διαλυόμενον σὺν οἴνῳ. ἢ οἰνομέλιτι, καὶ ῥοῦς ὁ μαγειρικὸς ὁμοίως.
ἐπὶ δὲ τῶν βρεφῶν ἀρκεῖ ἐν ἀρχαῖς, καὶ τὸ τῶν ῥόδων ἄνθος. καὶ αὐτὰ τὰ ῥόδα ξηρὰ σὺν τῷ οἰνο
μέλιτι, ἢ ῥοδομέλιτι. χρονίζοντος δὲ ἤδη, τοῦ πάθους. ἐπὶ μὲν τῶν μικροτέρων παίδων, θαυμάσιον
ὤφθη βοήθημα τοῦτο φησὶ Ἀσκληπιάδης. κηκίδας θλάσας, ἕψε σὺν ὕδατι καὶ διηθήσας. καὶ ἴσον
τῷ ἀφεψήματι μέλιτι μίξας, ἕψε πάλιν ὡς ἔχειν μέλιτι ὑγρότερον πάχος. καὶ χρῶ ὡς μεγίστῳ
40 φαρμάκῳ. διαχρίων καὶ τῷ δακτύλῳ παρατρίβων τοὺς τόπους ἐπιπολύ. ἢ κροκίδας πορφυρᾶς περὶ
τὸν δάκτυλον ἑλίξας, οὕτω σμῆχε τοὺς τόπους. ἐπὶ δὲ τῶν τελειοτέρων καὶ σκληροτέρων σωμά-
των, ἤρκεσέ μοι διὰ παντὸς, ἐπὶ τούτων μίσει ὠμῷ χρῆσθαι μετ' οἴνου στύφοντος, ἐπιτείνοντι καὶ
ἀνιέντι τὴν δύναμιν αὐτοῦ. τῷ ποτὲ μᾶλλον, ἢ ἧττον στύφειν τὸν οἶνον. καὶ τῷ παχύτερον ἢ ὑγρότε-
ρον ἐργάζεσθαι, τὸ συντεθὲν ἐκ τῆς τοῦ μίσυός τε καὶ τῆς οἴνου μίξεως. εἰ δὲ ῥυπαρὰ ἡ ἄφθα φαίνοι-
το, σὺν οἰνομέλιτι τρίβω τὸ μίσυ, τοῖς δ' ἑτέροις τε καὶ ἔτι ἰσχυροτέρων χρήζουσι φαρμάκων. ὁ ἰὸς
σὺν οἴνῳ τε καὶ οἰνομέλιτι χρήσιμος ὑπάρχει. ἀγαθὸν δὲ τούτοις φάρμακον ἐστὶ καὶ ἡ χαλκῖτις ὠμὴ
σὺν ἐλαίῳ λειωθεῖσα. διαχρίεται δὲ δηλονότι τοῖς τοιούτοις φαρμάκοις, μόνα τὰ πεπονθότα μό-
ρια τοῦ στόματος. καὶ διακλύσματα δὲ προσάγομεν, ἢ μέτρια, ἢ ἐπιτεταμένα τῇ στύψει, τοῖς μὲν
ἰσχυροῖς σώμασι, τὰ ἰσχυρότερα. τοῖς δὲ μαλακοῖς τὰ ἀσθενέστερα. εἰ δὲ εἰς σηπεδόνα ἡ ἄφθα τραπείη,
50 οὐκ ἄφθαι ἔτι προσήκει τὸ πάθος ὀνομάζειν. οὔτε γὰρ τὰ τὰς ἄφθας ἰώμενα φάρμακα προσάγο-
μεν τούτοις. ἀλλὰ τὰ ἰσχυρότερα ἅτινα ἐν τῷ περὶ ἐσχαρῶν ἐν τῷ στόματι μετὰ βραχέα εἰρήσεται.
ποιεῖ μὲν οὖν ἐπὶ τῶν ἀρχὴν σηπεδόνος λαβόντων μάλιστα ἐπὶ τῶν νηπίων. καὶ τὸ προγεγραμ-
μένον δι' ἀφεψήματος κηκίδων. καὶ μέλιτος διάχρισμα. καὶ ἡ στοματικὴ ἀνθηρὰ μετὰ μέλιτι δια-
χριομένη. καὶ τὸ διὰ τοῦ ῥοῦ καὶ ῥόδων ἄνθους. καὶ κρόκου, καὶ κόστου πρὸς κιονίδας φλεγμαινού-

σας γραφισόμενον ξηρὸν φάρμακον, μετὰ μέλιτος δὲ ἤδη τούτων διαχρίεται. καὶ ἡ λεπτοῦ κενταυρείου κεκαυμένου τέφρα, μετὰ μέλιτος διαχριομένη γενναίως ποιεῖ. καὶ ἡ σφαιρῖτις κεκαυμένη ὁμοίως. ἰδίως δὲ φησὶν Ἀρχιγένης ποιεῖ, κέρας ἐλάφειον καύσας, καὶ λειώσας, παράσπαβε. ἥρως δὲ ποιεῖ πρὸς τὰς νεμομένας ἄφθας. καὶ μαράθρου ῥίζα κεκαυμένη καθ' αὐτήν. καὶ μετὰ μέλιτος διαχριομένη. Πρὸς ἄφθας καὶ λοιπὰς περὶ τὸ στόμα καὶ τὴν γλῶτταν ἑλκώσεις. ἀμόργην ἑψήσας ἐν χαλκῷ μέχρι μελιτώδους συστάσεως διάχριε. Ἄλλο πρὸς ἄφθας καὶ τὰ λοιπὰ ἐν τῷ στόματι ἕλκη. σχιστοῦ 𐅻. ϛ. κικίδων 𐅻. α. λεῖα ποιήσας. εἶτα ἐλαίῳ φυράσας, βρέχων τὸν δάκτυλον ἀναλαβὼν τοῦ ξηρίου, ἐκμάσσου ἐπιπολὺ τοὺς ἑλκώδεις τόπους. ἄριστα σηπεδόνας αἴρει τραχυσμοὺς καὶ ἐπουλοῖ τὰ ἕλκη.

Περὶ τῶν τοῦ γαργαρεῶνος παθῶν, Γαληνοῦ. μγ'.

Τὸν γαργαρεῶνα τινὲς, καὶ κιονίδα ὀνομάζουσι. σταφυλὴ δὲ καλεῖται καὶ τὸ ἕτερον ἐν αὐτῷ γιγνόμενον πάθος, ὅταν ῥαγὶ σταφυλῆς ἐοικὸς γένοιτο τὸ ἄκρον τοῦ γαργαρεῶνος. ἱμάντα δὲ καλοῦσιν, ἓν τι τῶν ἐν αὐτῷ γιγνομένων παθῶν. ὅταν διὰ ἀναθυμιάσεων πυρωδῶν λεπτυνθὲν ἐπιπολὺ οἷον ἱμαντώδης γένηται. ὀλιγάκις μὲν οὖν ταῦτα τὰ παθήματα γίγνεται περὶ τὸν γαργαρεῶνα. φλεγμαίνει δὲ πάνυ πολλάκις. ἔστι δ' ὅτε καὶ χωρὶς φλεγμονῆς ὑγραινόμενος ἐπιπλέον χαλᾶται. ὡς ἐν τοῖς καταῤῥόοις συνεχῶς γίγνεται. ἀρχομένης τοίνυν τῆς φλεγμονῆς, τῶν ἀποκρουομένων φαρμάκων ἐστὶ χρεία, στυπτικῆς οὖν αὐτὰ χρὴ εἶναι δυνάμεως. μετρίας μὲν οὔσης τῆς ἐπιῤῥοῆς τῶν ὑγρῶν, τὰ μετρίως στύφοντα παραλαμβάνειν. ὅταν δὲ σφοδροτέρα συστῇ, τὰ στρυφνὰ προσάγειν. διακλύσματα μὲν οὖν μέτρια, τά τε διὰ τῶν φοινίκων ἐστὶν ἀφεψημένων, ποτὲ μὲν ὕδατι μόνῳ ποτὲ δὲ καὶ βραχυτάτου μέλιτος ἐπιβαλλομένου. παραπλησίως δὲ τούτῳ καὶ τὸ διὰ τῶν ῥόδων, καὶ γλυκυῤῥίζης. ἑλίκων τε ἀμπέλου. καὶ βάτων. σχίνου. καὶ τερμίνθου. καὶ ῥάμνου. κυπέρου. καὶ τῶν κερατίων. καὶ μορέας ῥιζῶν. ἀπὸ κυτίσου τε καὶ μήλων κυδωνίων. καὶ ἀπίων αὐστηρῶν. τούτων δὲ ἰσχυρότερα τὸ τῆς μυρσίνης καὶ τῶν μύρτων ἐστὶν ἀφέψημα. καὶ πρίνου ἀκρεμόνων τῶν μαλακῶν. καὶ πάσης δρυός. καὶ τῶν βαλάνων αὐτῶν. μεσπίλων τε καὶ κρανίων. γενναιότατα δὲ, κηκίδων. καὶ ῥοῦ μαγειρικοῦ. καὶ τοῦ βυρσοδεψικοῦ. αἰγυπτίας τε ἀκάνθης. καὶ μυρσίνης, ἢ σχίνης καρποῦ. βαλαυστίων τε, καὶ κυτίνων. καὶ σιδίων. τούτων ἑκάστου κατὰ μόνας τε καὶ σὺν ἀλλήλοις ἀφεψηθέντων, ἀνακογχυλίζεσθαι χρὴ τῷ ὕδατι. θαυμαστὸν δὲ ὅπως αἱ μίξεις αὐτῶν ὠφελιμώτεραι πολλάκις γίγνονται τῆς τῶν ἁπλῶν χρήσεως. καλῶς ποιεῖ ἔσω αὐτῶν, καὶ ἀνάληψις διὰ κοχλιαρίου ψυχρότατον ὕδωρ ἔχοντος, ἢ ὀξύκρατον, ἐν τῷ βαλανείῳ ψυχρὸν ἀναγαργαριζόμενον. καὶ ξηροῖς δὲ λειωθεῖσι προσάπτεσθαι χρὴ τοῦ γαργαρεῶνος ἀτρέμα πως ἔσω ὀλίγον ἀνάγοντα πρός τε τὴν ἄνω χώραν, καὶ τὴν ἐκτὸς ὡς ἤδη τὴν γλῶσσαν. ἐμβεβλήσθω δὲ κοχλιαρίῳ ἢ κυαθίσκῳ μήλης τὸ προσαγόμενον. τῶν μὲν οὖν ξηρῶν, μέτρια μέν ἐστι, τά τε ξηρὰ ῥόδα, καὶ τὸ ἄνθος αὐτῶν. καὶ ἀκραίμονες ξηρανθέντες τῶν προειρημένων φυτῶν, ἀπὸ κυτίσου καὶ τὸ ποντικὸν ῥέον ὅ τε τῶν σκυτέων λίθος, ᾧ λαμπρύνουσι τὰ ὑποδήματα, ἀγήρατος καλούμενος. ὅ, τε σάμιος ἀστὴρ, καὶ τὸ ὀμφάκιον ξηρόν. τούτων ἀσθενέστερα καὶ ἀδηκτότερα ἐστὶ, κόμμι. τραγάκανθα. σαρκόκολλα. ἄμυλον. οἷς χρηστέον ἐπὶ ἂν θλιβῇ μᾶλλον ὁ γαργαρεών, σφιγγόμενος ὑπὸ τῶν στυφόντων. ἢ ἐρεθιζόμενος ὑπὸ δακνόντων καὶ διαφορούντων. ἰσχυρότερον δὲ τῶν προειρημένων ἐστὶν αἱματίτης λίθος. καὶ οὐκ ἔλαττον ὁ φρύγιος κεκαυμένος. καὶ σινωπὶς μίλτος. καὶ ἡ λημνία σφραγίς. καὶ τὸ διφρυγές. τῆς τε αἰγυπτίας ἀκάνθου ὁ καρπός. καὶ ῥοῦς μαγειρικός. στύφει δὲ ταῦτα ἐπιφανῶς, χωρὶς μὲν τοῦ τραχύνειν. στρυφνὰ δὲ ἐστὶ βαλαύστια. καὶ κύτινοι. καὶ σίδια. καὶ κηκίς. στύφουσι δὲ ἱκανῶς, καὶ αἱ στυπτηρίαι πᾶσαι. ἁπλᾶ μὲν οὖν ταῦτα, χρήσιμα. σύνθετα δὲ διὰ αὐτῶν γίγνεται ὅταν τὸ σφοδρὸν, τῷ μαλακῷ μίσγωμεν, ἢ ὅταν τὸ στῦφον, τῷ διαφοροῦντι, τὴν μίξιν πρὸς τὴν κρᾶσιν τοῦ θεραπευομένου σώματος ποιούμενοι. χρονίσαντος δὲ ἤδη τοῦ πάθους, ἀδύνατόν ἐστι διὰ τῶν ἀποκρουομένων αὐτὸ τελείως ἰᾶσθαι. καὶ μάλιστα ὅταν, ἤτοι, τὸ τοῦ κάμνοντος σῶμα πολύχυμον, ἢ τὸ πεπονθὸς μόριον ἀῤῥωστον φύσει ὑπάρχει. διὰ τοῦτο οὖν ἀναγκαζόμεθα πολλάκις μὲν εὐθὺς ἐν ἀρχῇ, ἢ πάντως γοῦν ὀλίγον ὕστερον μιγνύναι τι τοῖς στύφουσι τῶν διαφορητικῶν. εἰ δὲ ὁ δισώνη συνείη σφόδρα, καὶ τῶν παρηγορικῶν προσαπλέξομεν. ὄντων δὲ καὶ τῶν διαφορητικῶν παμπόλλων, ἀπὸ τῶν μαλακωτέρων ἄρχεσθαι χρή. παροξύνεται γὰρ ὑπὸ τῶν δριμέων τὰ φλεγμαίνοντα, διὰ τοῦτ' οὖν ἐγένετο σύνθετον φάρμακον, πρός τε τὰς τῶν ἄλλων μορίων φλεγμονὰς, καὶ πρὸς τὰς τοῦ γαργαρεῶνος. οἷον ὅταν τῇ στυπτηρίᾳ μίξωμεν ἶριν ἰλλυρικὴν, ἢ λίβανον. ἢ σμύρναν. σὺ δὲ θεασάμενος ὅπως ἔχοι μεγέθους τε καὶ θερμότητος ἡ φλεγμονὴ, τότε ἀποῤῥέον αὐτῆς ποσὸν ἐπισκεψάμενος, ἔτι καὶ τὴν ἐν τῷ παντὶ σώματι ποσότητα τῶν χυμῶν στοχασάμενος, ἢ τῶν στυφόντων, ἢ τῶν διαφορούντων ἐπιτείνης τὴν κρᾶσιν. κάλλιστον δὲ φάρμακον ἐστὶ πρὸς γαργαρεῶνας φλεγμαίνοντας, καὶ ἐν ἀρχῇ καὶ ἐν ἀκμῇ προσαγόμενον, ῥοῦ μαγειρικοῦ 𐅻. η. ῥόδων ἄνθους 𐅻. δ. κρόκου 𐅻. β. κόστου 𐅻. β.

κόψας σήσας, ἀπόθου ἐν ὑέλῳ. ἐπὶ δὲ τῆς χρίσεως, ὅσον ἥμισυ κοχλιαρίου δυσὶ κυάθοις διαλυθὲν μελικράτου ὑδαρεστέρου εἰς ἀναγαργάρισμα παραλαμβανέσθω, ποιεῖ δὲ ἐπ' αὐτῶν καὶ ὁ διὰ κρόκου τροχίσκος ὃν Ἶριν ὀνομάζουσί τινες, δεῖ δὲ τὸ προσλαμβάνειν, σμύρνης μὲν, ℒ. η. στυπτηρίας δὲ ὑγρᾶς, ℒ. β. καὶ κρόκου ℒ. η. λειοῦται δὲ οἴνῳ. τὴν δὲ ἀλόην ἥν τινες τούτῳ προσπλέκουσι, παραιτούμεθα. οὗτος ταῖς ῥευματικωτέραις, καὶ καθύγροις φλεγμοναῖς ἄκρως ἁρμόζει, διαχρίεται δὲ ἀναλυόμενος οἴνῳ καὶ τοῖς ἀναγαργαρίσμασι προσπλέκεται. ἐπὶ δὲ τῶν σκληροτέρων σωμάτων, ποιεῖ καὶ ὁ τοῦ Μοῦσα τροχίσκος. ἔστι δὲ τούτου δραστικώτερος ὁ τοῦ Ἄνδρωνος τροχίσκος. ποιεῖ καὶ τοῦτο δὲ ὅπερ Ἀσκληπιάδης ἔγραψεν. λίθους ἀγηράτου ℒ. δ. γῆς σαμίας, ℒ. δ. σχιστῆς, ℒ. β. κρόκου πεφωγμένου, ℒ. β. κηκίδων ℒ. ς. λείοις χρῶ. τούτῳ καὶ ἡμεῖς ἐχρησάμεθα φησὶν ὁ Γαληνὸς πολλάκις ὄντι καλλίστῳ. πλὴν μήτε κατ' ἀρχὰς εὐθὺς, μήθ' ὅταν διάβροχος, ἢ καὶ θερμὸς ὁ τῆς φλεγμονῆς ὄγκος ὑπάρχῃ. ἐπὶ δὲ τῶν κεχρονισμένων, καὶ τοῦ σώματος προκενουμένου, κατὰ μίαν χρῆσιν, εὐθὺς ἐπιδείκνυται μεγάλην ὠφέλειαν. Ἄλλο πρὸς τὰς χωρὶς φλεγμονῆς κεχαλασμένας κιονίδας. κηκίδος ὀμφακίνης. ἅλος ἀμμωνιακοῦ. ἴσα λεῖα διὰ κοχλιαρίου προσαπτόμενα παραδόξως ποιεῖ. ἄριστα δὲ ποιεῖ ἐπ' αὐτῶν, καὶ ὁ κυρηναϊκὸς ὀπὸς λεῖος προσαπτόμενος. εἰ δὲ μὴ παρῇ οὗτος, τὸ λάσαρ. Πρὸς κεχαλασμένην κιονίδα. Κηκίδων, ℒ. λβ. διφρυγοῦς ℒ. ιβ. μετὰ μέλιτος διάχριε. Πρὸς κιονίδα τοῦ φιλοσόφου. Σκεύαζε παρ' αὐτὸν τὸν καιρόν. χρονίζον γὰρ, ἀδυναμώτερον γίνεται, κάρυα χλωρὰ ἄωρα λαβὼν ξήραινε. καὶ φοινίκων ὀστᾶ. καὶ ὅτε βούλει καύσας τὸ ἀρκοῦν. καὶ βαλὼν ἑκάστου ἴσον, λεάνας. χρῶ ξηρῷ. ἱκανῶς δέ ἐστι διαφορητικόν. καὶ γὰρ καὶ ἐπὶ ἄλλων παθῶν πεῖραν αὐτοῦ ἔχομεν. Ἄλλο πρὸς κιονίδας κεχαλασμένας. μέλιτος λι. α. στυπτηρίας ὑγρᾶς, λι. α. ῥόδων ἄνθους, ℒ. ς. ἀπὸ κυδίσος χυλοῦ, Γο. γ. ἕψε στυπτηρίαν. μέλι. εἶτα ἐπίβαλε τὰ ἄλλα λειωθέντα. καὶ ἔτι ὀλίγον ἑψήσας, χρῶ, ποτὲ μὲν διαλύοντα ὕδατι θερμῷ. ποτὲ δὲ μελικράτῳ εἰς ἀναγαργάρισμα. ποτὲ δὲ διαχρίοντα καὶ ἀναστέλλοντα αὐτῷ τὴν κιονίδα. καλόν ἐστι τοῦτο τὸ φάρμακον φησὶν ὁ Γαληνός. καὶ δεῖ κεχρῆσθαι αὐτό. Ἄλλο. Πρὸς κιονίδας κεχαλασμένας, ὑγιάζει καὶ τὰς μελλούσας ἤδη τέμνεσθαι. ποιεῖ καὶ πρὸς οὖλα νεμόμενα, καὶ πᾶσαν τὴν ἐν τῷ στόματι νομὴν, ἀκάνθης αἰγυπτίας. κηκίδων. μυρίκης καρποῦ. βαλαυστίων. φύλλων. στυπτηρίας σχιστῆς. κασσίας. ἴσα χρῶ ξηρῷ. Ἄλλο Ἀσκληπιάδου. Ῥόδων ξηρῶν ἀβρόχων. < α. ἰταλικῶν. νάρδου κελτικῆς σὺν ταῖς ῥίζαις καὶ τῇ περικειμένῃ γῇ δέσμιον ἕν. χελιδόνων ἀγρίων κόπρου ἐν τῆς νεοττίας ξηρᾶς, ℒ. γ. σμύρνης ℒ. η. κηκίδας ὀμφακίτιδας, ἀριθμῷ ιε. κόψας σήσας, ἐμφύσα διὰ καλάμου. καὶ παράπτου διὰ κυαθίσκου μήλης. Ἄλλο ξηρὸν πρὸς τὰς ἄγαν κεχαλασμένας κιονίδας καὶ ὀγκώσεις. πεπέρεως ℒ. α. σμύρνης ℒ. α. σχιστῆς, ℒ. β. κηκίδων, ℒ. ς. λείοις χρῶ. στέλλουσι γὰρ αὐτὰς, παραχρῆμα. Εὐπόριστον πρὸς κεχαλασμένην κιονίδα, καὶ πνίγουσαν. νίτρον λεάνας, καὶ λαβὼν τῷ δακτύλῳ ἀνάθλιβε. ἀπορρεύσῃ γὰρ φλέγμα πολὺ ἡματωμένον, καὶ ὑγιὴς ἔσται. Φυσικόν. Φυσικὸν φιλουμένου πρὸς κιονίδα κεχαλασμένην. πίσσαν ὑγρὰν λαβὼν, μόλυνον τὸ ἄκρον τοῦ ἀντίχειρός σου, καὶ διαστείλας τοῦ βρέγματος τὰς τρίχας, διάχριε τὸ πιττάριον, καὶ ἀναδραμεῖται ἡ σταφυλή. εἰ δέ τις ἀνενόχλητος ἀπὸ σταφυλῆς καὶ ἀντιάδων ἐθέλοι διαμένειν, ἐν τοῖς διαλείμμασιν ἑκάστου ἡμέρας ἅμα τοῦ λούεσθαι, καὶ ἔτι τοῦ θερμοῦ ἀνελθεῖν, ψυχροῦ ὕδατος βρόχον καταπινέτω. τὸ δ' αὐτὸ, καὶ πρὸς βῆχας καὶ πλευροῦ πόνον, καὶ στομάχου πλάδον πολλοῖς ἥρμοσεν, διὰ τῶν προειρημένων τοίνυν. εἰς τὸ κατὰ φύσιν ἐπανάγειν προσήκει τὸν γαργαρεῶνα παντὶ τρόπῳ. καὶ μὴ προβούλεσθαι ἐκτέμνειν.

Περὶ ἀφαιρέσεως κιονίδος. Γαληνοῦ. μδ.

Εἰ δὲ συνεχῶς ἐνοχλοίη καὶ τὸν ἐκ πνιγμοῦ ἢ φθίσεως κίνδυνον ἐπιφέρει. ἢ ὅταν ἰσχνὸς καὶ ἱμαντώδης γένηται διὰ ξηρασίαν, ὥς ποτε συμβαίνει, ἢ ὅταν πάρεσιν ὑπομένῃ. γίνεται γὰρ καὶ τοῦτο ἐπί τινων, τότε δεῖ ἀφαιρεῖν. ἄριστος δέ ἐστι καιρὸς τῆς ἀφαιρέσεως, ὅταν ὁ πνιγμὸς κατεπείγῃ. τότε γὰρ κινδυνεύοντι τῷ πάσχοντι, δεῖ βοηθεῖν ἐπὰν ἡ φλεγμονὴ λήξῃ. πρὸς δὲ τὴν χειρουργίαν καθέδριος ὁ πάσχων σχηματιζέσθω πρὸς αὐγὴν λαμπράν. καὶ τότε διαστελλέσθω τὸ στόμα. ἔπειτα τῷ μυδίῳ ἀποτεινέσθω δραξάντες τὴν σταφυλάγραν κατὰ τὸ μεσόταττον αὐτοῖς, ἢ μᾶλλον ἐξωτέρω. καὶ ἀποταθεῖσα ἐπιστρεφέσθω. τῇ γὰρ ἐπιστροφῇ ὡσανεὶ ἀποβροχιζομένη, γρυποῦται. πελιοῦται. γίνεται δυσαιμόρραγος. καὶ διὰ τοῦτο, ἐπιμένειν δεῖ, ἐπί τινα χρόνον κατέχοντα, ἐφ' ὅσον ὁ πάσχων μὴ δυσανασχετῇ, καὶ τότε ἀφαιρεῖν μὴ ἀνωτέρω τοῦ μυδίου. ἀλλὰ πρὸς τῇ βάσει αὐτοῦ, δερματώδης γὰρ οὖσα ἡ κιονὶς καὶ τῇ ἀποτάσει εἴκουσα, ἐπιμήκης φαίνεται τοῖς ὁρῶσιν. ὅθεν πολλοὶ τῶν ἀπείρων ἰατρῶν πλανώμενοι, ἢ ἀγνοοῦντες, ἀνωτέρω τέμνοντες, ἐκ βάσεως αὐτὴν ἀφαιροῦσι. καὶ μεγίστης βλάβης αἴτιοι γίνονται τῷ πάσχοντι. καταλιπεῖν τοίνυν χρὴ τὴν πρὸς τὴν ὑπερῴαν αὐτῆς βάσιν, μετὰ δὲ τὴν ἀφαίρεσιν διδόναι ὀξύκρατον ὑδαρὲς τῷ πάσχοντι. ἠρέμα δὲ τοῦτο προσκογχυλιζέσθω. ἡ γὰρ πλῆξις, αἱμορραγίας αἰτία γίνεται. ὅταν δὲ ἀναδέχηται, ὕδατι

ψυχρῷ προσκλυζέσθω. καὶ ταῦτα ἐκ διαδοχῆς γινέσθω ἕως ἐπισχεθῇ τὸ αἷμα. ταῖς δὲ ἑξῆς ἡμέραις, ἀναγαργάρισμα διὰ γλυκυῤῥίζης, καὶ φοινίκων προσφερέσθω. καὶ διαχρίσεις αἱ πρὸς φλεγμονὰς τῶν παρισθμίων ἀναγεγραμμέναι. ὁ δὲ Γαληνὸς φησὶν, ἐγὼ μετὰ τὴν ἐκτομὴν, ἀεὶ τῷ διφρυγεῖ χρῶμαι μέχρι συνουλώσεως. τὴν γὰρ οὐλὴν ἀκριβῶς ἐσφιγμένην ἐργάζεται τοῦ μορίου τούτου. καὶ πάντων δὲ τῶν ἑλκῶν.

Περὶ τῶν ἐν τῷ στόματι φλεγμονῶν. Γαληνοῦ. με.

Ὅταν μὲν οὖν τὸ σῶμα φαίνηται πληθωρικὸν ἢ κακόχυμον, φλεβοτομίᾳ δεόντως χρώμεθα, ἢ καθάρσει. καὶ κλυστῆρσι. καὶ ἀσιτίαις. εἰ δὲ μηδέτερον τούτων εἴη, ἐπὶ τὴν διὰ τῶν τοπικῶν βοηθημάτων ἴασιν, εὐθὺς ἀφικνούμεθα. κατ' ἀρχὰς μὲν οὖν ἀναστέλλοντες διὰ τῶν στυφόντων ἢ καὶ ψυχόντων. τῆς δὲ τῶν στυφόντων ἐστὶν ὕλης, χάλκανθος, καὶ τὰ παραπλήσια, ἀλλὰ τοῖς οὕτω ἰσχυροῖς τε ἅμα καὶ τινα δηλητηριώδη δύναμιν ἔχουσι, οὐ προσήκει χρῆσθαι θεραπεύοντα τὰς ἐν στόματι διαθέσεις ἄνευ μεγάλης ἀνάγκης. βλάπτει γὰρ ἱκανῶς ὁπότε, παρεκρυῇ τι ἐξ αὐτῶν πρὸς στόμαχον, καὶ γαστέρα ἢ τὸν λάρυγγα, καὶ τὸν πνεύμονα, συνυπάρχει δὲ τοῖς τοιούτοις, καὶ ἡ κατὰ φύσιν ἀηδία. κατὰ δὲ τὴν χρῆσιν αὐτὴν ἀνιῶσι καὶ παραμένουσα δι' ὅλης ἡμέρας. περὶ δὲ τῶν γυναικῶν, τί δεῖ καὶ λέγειν. καὶ μάλιστα ὅσαι δυσχεραίνουσιν ὑπὸ τρυφῆς τὰς φαρμακώδεις στοματικάς. ἤδη δὲ καὶ ἄνδρες τινὲς οὐ μόνον ὑπὸ τρυφῆς, ἀλλὰ καὶ φύσει κακοστόμαχοί πως ὄντες, οὐ φέρουσι τὰ τοιαῦτα φάρμακα. τὰ οὖν ἐπιεικέστατα τῶν στοματικῶν, κρόκον ἔχει. καὶ σμύρναν. καὶ στυπτηρίαν. ἄμεινον ἐστὶν, ἐνίας τῶν στοματικῶν σκευάζειν ἄνευ τούτων. ἐπὶ μὲν γὰρ τῶν μετρίων φλεγμονῶν ἀρκοῦσιν οἱ χυλοὶ μόνων τῶν καρπῶν, μόρων λέγω. ἢ ῥοῶν καὶ τῶν ὁμοίων μετὰ μέλιτος μόνου ἀποθεραπεύειν. ἡδεῖαν ἔχοντες τὴν γεῦσιν. καὶ μέντοι καὶ διὰ τοῦ χυλοῦ τῶν καρύων, ὅταν μὲν μετὰ μέλιτος μόνου σκευάζεται ἡδεῖαν ἔχει τὴν γεῦσιν, τῶν μὲν οὖν μόρων ὁ χυλὸς, ἀσθενέστερον ἐστὶ φάρμακον. ἰσχυρὸν δὲ οὐδενός ἐστιν ἧττον φάρμακον, ὁ τοῦ λέμματος τῶν καρύων χυλός. μέσος δὲ τούτων ἐστὶ κατὰ τὴν στύψιν ὁ τῶν βατίνων μόρων. προσήκει δὲ τούτων ἑκάστῳ μιγνύειν ἐὰν βουληθῇς σφοδρότερον ἐργάσασθαι τὸ φάρμακον, ὄμφακος χυλὸν κατὰ τὸ ἴσον, εἰ δὲ μήγε, κατὰ τὸ ἥμισυ. Ἀνδρόμαχος βάλλει κρόκου. σμύρνης. ὀμφακίου. σχιστῆς ἀνὰ ∠. α.

Διαχρίσεις στοματικαί. ἥτε διὰ μόρων, ἢ διὰ ῥοιῶν. ἢ διὰ καρύων. ἢ δι' ὄμφακος, καὶ αἱ παραπλήσιαι. μϛ.

Σκευάζεται δὲ, ἡ διὰ μόρων οὕτως, ὡς Ἥρας φησί. μόρων χυλοῦ κοτύλας ε. οἴνου αὐστηροῦ κοτύλην α. μέλιτος, κοτύλην α. ἕψει τὸν χυλὸν τῶν μόρων μετὰ τοῦ οἴνου, ἕως γλοιοῦ πάχος σχῇ. εἶτ' ἐπιβαλὼν τὸ μέλι, ἕψει μέχρι καλῆς συστάσεως. εἶτα πρόσμιξον λεῖα ἐν τῇ θυείᾳ, κρόκου, ∠. α. S. σμύρνης ∠. α. S. ὀμφακίου ξηροῦ ∠. α. S. κάλλιστον δὲ ἐστὶ καὶ ταύταις πάσαις στοματικαῖς διαχρίσεσι συνεψεῖν τῷ προγεγραμμένῳ μέτρῳ, καὶ γλυκυῤῥίζης ∠. η. πραϋντικὴ γάρ ἐστι. καὶ κατὰ ταῦτα τὴν ἐκ τῶν στυφόντων τραχύτητα παρηγορεῖν δυναμένη. ποιεῖ δέ φησι πρός τε παρίσθμια καὶ τὰς ἄλλας ἐν τῷ στόματι φλεγμονὰς διαχριόμενόν τε καὶ ἀνακογχυλιζόμενον. ἔστι δὲ καὶ τὸν χυλὸν τῶν μόρων μόνον μετὰ τοῦ μέλιτος σκευάζοντας, ἀποτίθεσθαι διὰ τὸ ἡδὺ τῆς γεύσεως. Διαμόρων ἁπλῆ ὡς Ἀσκληπιάδης. Μόρων χυλοῦ ℥. ιγ. ὄμφακος χυλοῦ ℥. γ. μέλιτος λι. ιβ. τοὺς χυλοὺς ἕψουμεν μέχρι ποσῆς συστάσεως. εἶτα τοῖς ἐπιβάλλομεν τὸ μέλι. καὶ πάλιν ἕψουμεν τὸ φάρμακον. πάνυ δὲ ἐστὶ καλόν.

Ἡ διὰ τῶν ῥοῶν Γαληνοῦ. Ῥόας λαβόντας δεῖ τῶν ἀκμαίων καὶ πεπείρων καὶ προσφάτων ἐπίσης τῶν τριῶν διαφορῶν γλυκειῶν τε, καὶ ὀξειῶν. καὶ αὐστηρῶν, κόπτειν ἐν ὅλμῳ μετὰ τῶν λεμμάτων. εἶτα τὸν χυλὸν ἐκθλίβειν, καὶ βάλλειν τοῦ μὲν χυλοῦ κοτύλας ε. μέλιτος δὲ, κοτύλην α. καὶ γλυκυῤῥίζης ∠. ιβ. ἢ ὡς ἐν ἄλλοις η. ἕψει δὲ, βαλὼν τὸν χυλὸν καὶ τὴν γλυκύῤῥιζαν, καὶ διηθήσας, ἐπίβαλε τὸ μέλι. καὶ ἕψει μέχρι συστάσεως. καὶ χρῶ. ἐπιτηδειότερον ταύτῃ προσάγεσθαι, ἐφ' ὧν φλεγμαίνει μὲν τὸ στόμα, ἔκλυτον δὲ ἔχουσι τὸν στόμαχον καὶ ἀνόρεκτον. χρήσιμον δὲ καὶ πινόμενον πρὸς τὰς κοιλιακὰς διαθέσεις. προσπλέκειν δ' αὐτῷ ἐγχωρεῖ καθάπερ καὶ τοῖς ἄλλοις στοματικοῖς φαρμάκοις. κατ' ἀρχὰς μὲν στύφοντα. κατὰ δὲ τὰς ἀκμὰς τὰ συμπέττοντα. κατὰ δὲ τὰς παρακμὰς τὰ διαφοροῦντα. ποιεῖ δὲ πρὸς τὰ ἐν τῷ στόματι ἕλκη. καὶ τὰ ἀφθώδη. Ἡ διὰ ῥοῶν ὡς Ἀσκληπιάδης φάρμακον στοματικὸν ἐπιτετευγμένον ποιεῖ καὶ πρὸς νομάς. ῥοᾶς χυλοῦ ἰταλικοὺς ℥. ϛ. μέλιτος λι. α. κρόκου ∠. δ. σμύρνης ∠. δ. ἕψε τὸν χυλὸν καθ' αὑτὸν ἐπὶ πολὺ, ἔπειτα ἐπιβαλὼν τὸ μέλι, ἕψε μέχρι καλῆς συστάσεως. εἶτα ἕνωσιν ἐν τῇ θυείᾳ κρόκον καὶ σμύρναν, καὶ χρῶ ὡς μεγίστῳ φαρμάκῳ στοματικῷ. διὰ γλεύκους Ἀνδρομάχου. ᾗ χρῶμαι φησὶ καλῇ. κηκῖδας λ. ῥοῦ βυρσοδεψικοῦ ℥. β. γλεύκους καλλίστου λευκῆς ἀμιναίας σταφυλῆς ℥. ϛ. τὰς κηκῖδας θλάσας, βρέχε σὺν τῷ ῥοῒ ἡμέραν καὶ νύκτα ἐν τῷ γλεύκει. εἶτα ἕψε ἕως ἂν τὸ τέταρτον ἀπολειφθῇ. καὶ διηθήσας δι' ὀθονίου, ἕψε πάλιν τὸν χυλὸν ἐν λοπάδι ἕως ἂν μελιτῶδες γένηται εἶτα πρόσβαλε κρόκου ∠. α. σχιστῆς ∠. α. σμύρνης ∠. α. καὶ ἑνώσας ἀπόθου. ποιεῖ καὶ πρὸς τὰ ἐν ὠσὶ καὶ ἕδρᾳ, ἕλκη. Ἐκ τοῦ νάρθηκος Σωρανοῦ στοματική. διάκειστος ἡ διὰ χυλοῦ ὄμφακος πρὸς τὰς ἀρχομένας

φλεγμονὰς, καὶ οὖλα πλαδῶντα καὶ τὰ καθαρὰ ἕλκη τῶν παρισθμίων. Ὀμφακος χυλοῦ ἑψη-
θέντος μέχρι συστάσεως, ξ. α. ῥόδων ἄνθους, < ιβ. κρόκου, < δ. μέλιτος κοτύλην α. ἕψει τὸν χυ-
λὸν καθ' αὑτόν. ἔπειτα ἐπιβαλὼν μέλι, ἕψει μέχρι συστάσεως. εἶτα ἕνωσον ἐν τῇ θυΐᾳ, καὶ χρῶ.
σκευάζεται δὲ ὁμοίως, καὶ διὰ τοῦ χυλοῦ τῶν κυδωνίων, καὶ ἀπίων καὶ ἀχράδων καὶ μεσπίλων.
καὶ τῶν βατίνων μόρων καὶ τοῦ τῶν ἄλλων ὀπωρῶν χυλοῦ. καὶ τῶν κρανίων. πλεῖον δὲ ἐμβάλλεται
τούτοις τοῦ μέλιτος ὅσον ἐστὶ στυπτικώτερον. δέχεται μὲν γὰρ ὁ τῶν ἀπίων καὶ ἄλλων ὀπωρῶν χυ-
λὸς ἐνίοτε ἴσον ἑαυτῷ τὸ μέλι. τῶν δὲ στυφόντων ἱκανῶς οἷος ἐστὶν ὁ τῆς κρανείας, ἐνίοτε διπλάσιον
δέχεται τὸ μέλι. Ἡ διὰ καρύων Γαληνοῦ. καὶ τὸ διὰ τοῦ χυλοῦ τῶν χλωρῶν καρύων στοματικὸν
φάρμακον. Σκευάζεται οὕτως, τὸ ἔξωθεν λέπος ᾧ οἱ βαφεῖς χρῶνται, λαβὼν χλωρὸν, κόπτε ἐν
10 ὅλμῳ. καὶ ἐκπιέσας καὶ διηθήσας τὸν χυλὸν ὀθονίῳ, λάμβανε τούτου μὲν κοτύλας ε. μέλιτι δὲ
κοτύλην α. γλυκυρίζης < η. καὶ ἕψει τὸν χυλὸν σὺν τῇ γλυκυρίζῃ, μέχρι συστάσεως. καὶ διηθή-
σας, ἐπίβαλε τὸ μέλι. καὶ συνεψήσας χρῶ τῇ ἐνθησομένῃ μεθόδῳ. ἔστι δὲ τὸ διὰ καρύων φάρμακον
ἁπάντων δραστικώτερον καὶ εὐωνότερον. οὐ μέντοι εὐστόμαχον, ὡς τὰ ἄλλα. καὶ μάλιστα ὡς τὸ διὰ
τῶν ῥοῶν.

Καθολικὴ διδασκαλία περὶ τῆς χρήσεως πάντων τῶν στοματικῶν διαχρίστων. μζ.

Μίγνυται χρησίμως ἀρχομένων τῶν φλεγμονῶν πᾶσι τοῖς στοματικοῖς φαρμάκοις. τί τῶν στυφόν-
των καὶ ἀποκρουομένων. καὶ διὰ τοῦτο χρήσιμον τὸν χυλὸν μόνον μετὰ τοῦ μέλιτος σκευάζειν καὶ
ἀποτίθεσθαι. ἔστι δ' εὐπόριστα τῶν στυφόντων τὰ κατ' ἀρχὰς μιγνύμενα, ῥόδα. καὶ τὸ ἄνθος αὐτῶν.
μύρτα. μυρσίναι. σχῖνος. βάτος. ὀμφάκιον. ἐφεξῆς δὲ τούτων, κύτινοι. καὶ βαλαύστια. καὶ τὰ τῆς ῥοιᾶς
20 λέμματα. κηκίδες. καὶ ὁ τῆς αἰγυπτίας ἀκάνθης καρπός. καὶ στυπτηρίαι πᾶσαι. ῥοῦς ὅ, τε μαγειρικὸς.
καὶ ὁ βυρσοδεψικός. ἕψεται δὲ τούτων ἕκαστον ὕδατι μέχρι καλῆς συστάσεως. καὶ οὕτω διηθηθὲν,
μίγνυται τῇ διαχρίστῳ. κάλλιστος δὲ καὶ ὁ τῶν ῥοῶν χυλὸς κατ' ἀρχὰς μιγνύμενος. χρὴ δὲ θλᾶν αὐ-
τὰς ὅλας ἐν ὅλμῳ σὺν τῷ λέμματι, καὶ οὕτως ἐκπιέζειν καὶ διηθεῖν καὶ ἕψειν μέχρι συστάσεως πο-
σῆς. καὶ μιγνύειν τῇ παρούσῃ διαχρίστῳ. εἰ δὲ πολυτελέστερον ἐθέλοις ποιῆσαι τὸ φάρμακον πλου-
σίοις σκευάζων, ἔμβαλε κασίας φλοιόν. νάρδον ἰνδικήν, ἢ κελτικήν. ἢ μαλαβάθρου φύλλα. μετὰ
δὲ τὴν ἀρχὴν, ὅταν ᾖ τὸ ἀποῤῥέον, μόνον ἀρκεῖ τὸ διὰ μόρων τοῦ κρόκου τί καὶ τῆς σμύρνης προσει-
ληφὸς εἰς τὸ πέψαι τὴν φλεγμονήν. κατὰ δὲ τὰς ἀκμὰς τῶν φλεγμονῶν, ὀλιγάκις μὲν χρῆσθαι
δεῖ τοῖς στοματικοῖς διαχρίστοις, διακλύσμασι δὲ καὶ ἀνακογχυλισμοῖς παρηγορητικωτέροις, πέττειν
τὴν φλεγμονήν. οἷον ἐστὶ τὸ διὰ τῶν πιτύρων καὶ γλυκυρίζης. ἐνίοτε δὲ καὶ ἰσχάδων λιπαρῶν ἀφέ-
30 μα. ἀλλὰ καὶ αὐτὸ τὸ στοματικὸν φάρμακον, ἐν ἀκμαῖς ἀνακογχυλίζεσθαί τις δύναται. μιγνύων
μελικράτῳ. ἢ ὕδατι, ἢ ἑψήματι τεθερμασμένῳ, ἢ αὐτῷ μόνῳ τῷ θερμῷ ὕδατι, μὴ παρόντος μέλι-
τος, ἢ ἑψήματος. κάλλιστον δὲ κατὰ τὰς ἀκμὰς τῶν φλεγμονῶν, καὶ τὸ σχίνινον ἔλαιον θερμανθὲν
εὐθὺ διπλώματος. καὶ κατεχόμενον τῷ στόματι. μὴ παλαιὸν δὲ ἔστω. συμπεφθείσης δὲ ἤδη τῆς φλεγ-
μονῆς καὶ τῶν σφοδρῶν ὀδυνῶν παυσαμένων ἤδη, καὶ τῶν διαφορούντων μίγνυμεν τῷ στοματι-
κῷ φαρμάκῳ. ἅτινα εἰσὶ ταῦτα. ἑψήματι ἢ μελικράτῳ ἕψοντες ὀρίγανον, ἢ ὕσσωπον. ἢ γλήχωνα.
ἢ θύμον. ἢ καλαμίνθην. ἢ θύμβραν. ἢ ἡδύοσμον. εἶτα διηθήσαντες, μίγνυμεν τὸ ἀφέψημα τῷ στο-
ματικῷ φαρμάκῳ. εὐπόριστον δὲ ἐστὶ τῶν διαφορούντων, καὶ τῶν ἰσχάδων ἀφέψημα μελιτῶδες γι-
νόμενον. ἕκαστον γὰρ τῶν προῤῥηθέντων ἰσχυρότερον ποιῆσαι βουλόμενοι, ἐπὶ πλέον ἕψομεν,
ἔτι δὲ τούτων ἰσχυρότερον, νίτρον ἀφρός. καὶ τὸ βερνικάριον νίτρον καὶ μάλιστα κεκαυμένον. καὶ τούτου
40 ἰσχυρότερον θεῖον τὸ ἄπυρον. πρὸς δὲ τὰς ἤδη χρονιζούσας καὶ σκληρουμένας φλεγμονὰς, τὰ δυ-
νάμενα διαφορεῖν γενναιότερον, ἐμβάλλεται, κοπέντα δηλονότι, καὶ σηθέντα. ἔστι δὲ καὶ ταῦτα,
εὐθὺ μὲν τῶν πλουσίων, κόστος. καὶ ἄμωμον. καὶ τὸ καλούμενον μάκερ. θερμαῖνον ἱκανῶς μετὰ σύ-
ψεως, καὶ ὁ κυρηναϊκὸς δὲ ὀπὸς εἰς διαφόρησιν τῶν σκληρουμένων φλεγμονῶν ἐπιτήδειος. ἤτι τῶν
μετ' αὐτόν. οἷον ἐστὶ τὸ λάσαρ. τοῖς δὲ πένησιν, ἐμβλητέον αὖ τι τῶν πολυτελῶν φαρμάκων δίκτα-
μνον. ἢ ἄκορον. ἢ μῆον. ἢ πύρεθρον. ἢ καρδάμωμον βραχύ. ἢ νάπυος. ἔστω δὲ ὁ σταθμὸς ἑκάστου τῶν προ-
σπλεκομένων πρὸς τὴν ἐξ ἀρχῆς εἰρημένην συμμετρίαν. ἐν οἷς ἰὼ λίτρα τοῦ μέλιτος, καὶ πέντε τοῦ
χυλοῦ λίτραι. < δ. ἢ ε τῶν προσπλεκομένων.

50 Περὶ τῶν ἐν τοῖς παρισθμίοις φλεγμονῶν, ἐκ τῶν Φιλουμένου. μη.

Συνεχέστατα τὰ παρίσθμια ἐν φλεγμονῇ γίνεται. θερμοὶ γὰρ καὶ ὑγροὶ οἱ τόποι ἁλίσκονται δὲ
μᾶλλον τῷ πάθει οἱ πολύαιμοι. καὶ παῖδες ὡς ἁπαλοὶ τὴν σύγκρισιν, καὶ ἀδηφάγοι. καὶ τὰ θηλά-
ζοντα δὲ βρέφη ἐν τῇ καταπόσει τοῦ γάλακτος κακοπαθοῦντα. φέρει δὲ τὸ πάθος, καὶ ἡ παρὰ
τὸ ἔθος ἀκρατοποσία πολλή. καὶ ἡ βιαιοτέρα τῶν τροφῶν κατάποσις. καὶ μάλιστα τῶν δριμυτέρων
τραχυτέρων. παρέπεται δὲ τοῖς πάσχουσι, δυσκαταποσία. καὶ ὀδύνη, ἔσθ' ὅτε δὲ καὶ πυρετός.

ἀρχομένης μὲν οὖν τῆς φλεγμονῆς ἀποχῇ σιτίων δεῖ κεχρῆσθαι. καὶ ὑδροποσίᾳ. καὶ πυρετοῦ μάλιστα συνεισβάλλοντος. ἀναγαργαρίσματα δὲ διδόναι τὰ στύφοντα. καὶ ἀποκρουόμενα. οἷον φακοῦ ἀφέψημα μετὰ ῥόδων. καὶ μύξων, καὶ φοινίκων. καὶ τὰ λοιπὰ τὰ ἐν ταῖς ἀρχαῖς τῆς φλεγμαινούσης κιονίδος παραλαμβανόμενα. παραιτητέον δὲ ἐν ἀρχαῖς τὸ μέλι προσπλέκειν τοῖς ἀναγαργαρίσμασι. δριμὺ γὰρ καὶ ἐρεθιστικόν, σφοδροτέρου δὲ τοῦ πάθους γιγνομένου, καὶ τοῦ κατὰ πνιγμὸν κινδύνου ἐν ἀπονοίᾳ ὄντως, μάλιστα ἐπὶ νέου πολυαίμου. φλεβοτομεῖν ἀπ' ἀγκῶνος μετ' ἐπαφαιρέσεως. καὶ τροφὰς διδόναι ῥοφηματώδεις. καὶ εὐκοιλίους. καὶ τῆς κοιλίας μὴ εὐλυτούσης, κλύζειν. ἐπὶ δὲ τῶν νηπίων, βαλάνοις καὶ διαχρίσεσι τῆς ἕδρας, ἐρεθιστέον τὴν κοιλίαν. μετὰ δὲ τὴν κένωσιν, ἀναγαργαριζέσθωσαν, πιτύρων ἀφεψήματι θερμῷ, ἢ πτισάνης χυλῷ. ἐν ἀφεψημένων αὐτῷ σταφίδων. ἢ ἑψήματι χλιαρῷ. ἢ ἀφεψήματι γλυκυῤῥίζης ἢ μετὰ τοῦ γλυκέως. ἢ σύκων καὶ ὑσσώπου ἀφεψήματι. ἔστω δὲ τὰ πάντα χλιαρά. οὔτε γὰρ ψύξεως ἀνέχεται τὰ φλεγμαίνοντα, οὔτε πλείστης θερμασίας. ἱκανῶς δὲ ὠφελοῦνται, ἐὰν ἀμυγδάλινον ἔλαιον τοῖς ὠσὶν ἐγχέῃς. ἔξωθεν δὲ πυριατέον πρᾴως σπόγγοις ἀποτεθλιμμένοις. καὶ καταπλαστέον διὰ κριθίνου. ἢ λινοσπέρμου. ἢ τήλεως. ἢ καὶ μίξας ἅμα. ἐνδιδούσης δὲ τῆς φλεγμονῆς ἢ παρακμαζούσης, μικτέον τοῖς ἀναγαργαρίσμασι τὸ μέλι. ὃ ἐν ἀρχαῖς, οὐ δεῖ ποιεῖν, οὐδ' ἐν ἐπιδόσει. ἔστω δὲ ἐν τούτῳ τῷ καιρῷ, καὶ θερμότερα τὰ ἀναγαργαρίσματα. περιθετέον δὲ ἔξωθεν τῷ τραχήλῳ, ἔριον μαλακὸν ἐλαίῳ θερμῷ βεβρεγμένον. καὶ μάλιστα χειμῶνος. ἢ συνεχῶς τῷ θερμῷ ἐλαίῳ ἐμβαπτόμενον τὸ ἔριον, περιτιθέσθω τῷ τραχήλῳ. εἰ δὲ δριμυτέρων προσαχθέντων διακλυσμάτων. ἢ διὰ χρίσεων τραχύνοιτο ἡ φλεγμονὴ καὶ δῆξις παρέποιτο, τοῖς πραοτέροις ἀναγαργαριστέον, οἷά ἐστι πτισάνης χυλός. ἢ χόνδρου καὶ ψιχῶν σιλιγνιτῶν ἀπόβρεγμα. χλιαρώτατα δὲ ἔστω τὰ προσαγόμενα. καὶ τὸ γάλα δὲ χλιαρὸν ἀναγαργαριζέσθωσαν, ἐνδιδούσης δὲ τῆς φλεγμονῆς καὶ τῆς ὀδύνης, διαχριστέον ταῖς προειρημέναις στοματικαῖς, καθιέντας τὸν λιχανὸν δάκτυλον. καὶ μετὰ προσηνοῦς ἐπαλείψεως, παραπιέζοντας, τὰ παρωδηκότα τῶν παρισθμίων, ἵνα τὴν περιεχομένην ὕλην προείρηται. μὴ μέντοι βιαίως προσπαίζειν ὡς τινὲς ποιοῦσιν αἴτιοι γινόμενοι τῆς αὐξήσεως τῆς φλεγμονῆς. εἰ μέντοι περιπέσοιμεν τινὶ ποτὲ ἀπὸ τῆς τοιαύτης θεραπείας βλαβέντι, ἀρκεσθησόμεθα τοῖς παρηγορεῖν δυναμένοις ἀναγαργαρίσμασι, μὴ διαχρίοντες. ἐπιμενούσης δὲ τῆς φλεγμονῆς, καὶ τῶν παρισθμίων, κατὰ τὴν χρόαν ὑπερύθρων ὄντων, καὶ μὴ κουφιζομένων πρὸς τὰ ῥηθέντα βοηθήματα, προσδοκητέον μεταβολήν, ταχὺ γὰρ ἀφίστανται τὰ παρίσθμια. ἀποστήματος δὲ γινομένου, παροξύνεται τὰ τῆς φλεγμονῆς σημεῖα, καὶ οἱ παροξυσμοί, μᾶλλον πρὸς ἑσπέραν σφοδρότεροι γίγνονται μετὰ φρίκης τινὸς καὶ ἀνωμαλίας, ἔσθ' ὅτε δέ, καὶ μετὰ πυρετοῦ, χρὴ οὖν κατὰ τὰς ἀπονοίας τῶν πυοποιήσεων συνεργεῖν τῇ διαπυήσει ὡς τάχιστα, ἔστω δὲ τὰ ἀναγαργαρίσματα ἐπ' αὐτῶν θερμότερα. μελίκρατον θερμόν, ἀφέψημα ἰσχάδων, καὶ ὑσσώπου. συνεργεῖ δὲ εἰς τὸ μαλάξαι καὶ πεπᾶναι τὰ παρίσθμια, ἐν ἀποστάσει γινόμενα, διάχρισις ἡ λεγομένη αἰγυπτία. συναζομένη διὰ ῥητίνης τερεβινθίνης. καὶ μέλιτος. καὶ ἐλαίου γλυκυτάτου. καὶ καταπλάττειν ἔξωθεν τῷ κριθίνῳ μετὰ τήλεως ἀφεψήματος, καὶ ἰσχάδων. καὶ ἀλθαίας. καὶ μέλιτος. ὅταν δὲ ἤδη πύον γένηται, μειοῦνται οἱ πόνοι, καὶ τῷ δακτύλῳ μαλακώτερος ὑποπίπτει ὁ τῆς φλεγμονῆς ὄγκος. ὅτε δριμύτερα δεῖ προσάγειν τὰ ἀναγαργαρίσματα, καὶ τὰς προειρημένας στοματικὰς διαχρίσεις, διδόντας αὐτοῖς ἐν τροφῇ, ψωμοὺς δι' ὕδατος εὐμεγέθεις, καὶ τὰς λοιπὰς δὲ προσφορὰς, ἀθρόως ποιείτωσαν. βιαιότερον δ' ἐπὶ τῶν παρισθμίων περιστολῇ χρησάμενοι πρὸς ὅμοια τινὰ τομὴν ὑπομένουσιν, οἱ ὄγκοι. μετὰ δὲ τὰς ῥήξεις. ἀναγαργαριστέον μελικράτῳ κατ' ἰδίαν ἢ μετὰ φακοῦ. ἢ ῥόδων. καὶ τούτοις ἐπιμενετέον μέχρι παντελοῦς ἀπουλώσεως, συμπλέκοντας πολλάκις αὐτοῖς καὶ τὰς στοματικὰς λεγομένας, τὰς προῤῥηθείσας. εἰ δ' ἡ ῥῆξις χρονίζει διὰ στερεότητα τῶν ἐπικειμένων σωμάτων, ἐπωδύνου τῆς φλεγμονῆς οὔσης, διελεῖν χρὴ τὸ ἀπόστημα πρὸς τὴν τοῦ ἐπικειμένου ἔγκλισιν. ἐπὶ οὖν τῶν τελείων, καθέδριον δεῖ σχηματίζειν τὸν πάσχοντα, ἔπειτα διαστεῖλαι τὸ στόμα καὶ τὴν γλῶτταν σπαθομήλῃ καταστεῖλαι, ἢ γλωσσοκατόχῳ, τότε διελεῖν τὸ ἀπόστημα σμιλαρίῳ. ἢ κατιαδί. εἰ δὲ παιδίον τὸ πάσχον εἴη, τὸ κεφάλιον ἐρειδέσθω ἐπὶ τῶν τοῦ ἐνεργοῦντος γονάτων. εἶτα ἅμα τῇ διαιρέσει, ἐπικλινέσθω τὸ κεφάλιον πρὸς τὴν τοῦ ὑγροῦ ἔκκρισιν. μετὰ δὲ τὴν χειρουργίαν ὕδωρ γαλακτῶδες προσδιδόσθω πολλάκις. μετὰ δὲ διάστημα ἱκανὸν τῆς χειρουργίας, καὶ ταῖς ἑξῆς ἡμέραις, μελίκρατον διακλυζέσθω. διάχρισις δὲ προσφερέσθω, ἡ ἐπὶ τῶν ἡλκωμένων παρισθμίων, ἁρμόδιος. οἷα ἐστὶν ἡ αἰγυπτία κροκηρά, καὶ αἱ παραπλήσιοι. ἔστι δὲ ἡ αἰγυπτία αὕτη, κρόκου ∠ γ΄. ῥοδίνου ἐλαίου, γο. β΄. μέλιτος λι. α΄. S. τήλεως. καὶ λινοσπέρματος ἑψηθέντων τοῦ χυλοῦ, γο. γ΄. τὸν κρόκον, τῷ χυλῷ λείου. καὶ ἐπιβαλὼν τὸ ἔλαιον, καὶ ἑνώσας καὶ ἀφεψήσας τὸ μέλι, ἐπίβαλλε, καὶ μίξας χρῶ.

Περὶ τῶν ἐν παρισθμίοις, ἐσχαρωδῶν καὶ λοιμωδῶν ἑλκῶν. μβ'.

ὰ ἐν παρισθμίοις γιγνόμενα λοιμώδη καὶ ἐσχαρώδη ἕλκη, τὰ πολλὰ μὲν ἄρχεται μὴ προηγησαμένου ἐρυθηματισμοῦ τῶν παρισθμίων. ἔστι δ' ὅτε ἀπὸ τῶν συνήθως γιγνομένων περὶ τὰ παρίσθμια φλεγμονῶν, ἀποτελεῖται, ἀγριωθεισῶν τῶν φλεγμονῶν. γίγνεται δὲ συνεχέστατα μὲν παιδίοις· ἤδη δὲ καὶ τελείοις· καὶ μάλιστα τοῖς κακοχύμοις ἐν ταῖς περὶ τὸ ἔαρ συμβαινούσαις λοιμικαῖς καταστάσεσιν. ἐπὶ δὲ τῶν παιδίων ὡς ἐπίπαν, ἄφθης προηγησαμένης ἀποτελεῖται τὸ πάθος. ἔστι δὲ, τὰ μὲν αὐτῶν λευκὰ πτίλοις ὅμοια. τὰ δὲ τεφρώδη τὴν χρόαν. ἢ ἐσχάραις ταῖς ἀπὸ καυτηρίων παρεοικότα. παρέπεται δὲ τοῖς πάσχουσι, ξηρότης περὶ τὴν κατάποσιν· καὶ πνιγμὸς ἀθρόος ἐπιπίπτει· καὶ μᾶλλον ὅταν ἐρύθημα περὶ τὸν ἀνθερεῶνα γένηται. ἢ ταύτης τῆς ὀξύτητος παραδραμούσης νομὴ διαδέχεται τοὺς τόπους καὶ σηπεδών. ὀξέως οὖν δεῖ βοηθεῖν· καὶ ἐπὶ τῶν τελείων εἰ μηδὲν μεῖζον κωλύει· τέμνειν τὴν ἐν ἀγκῶνι φλέβα ἀνυπερθέτως· πολλὰς γὰρ ἐπ' ἀκμῆς παρθένοι ὀργούσας πρὸς τὴν ἔμμηνον κάθαρσιν, ἁλίσκονται τῷ πάθει· καὶ αὗται μᾶλλον δέονται τῆς φλεβοτομίας· ἐφ' ὧν δεῖ μᾶλλον τὰς ἐν τοῖς σφυροῖς τέμνειν φλέβας. μετὰ μίαν δὲ ἀφαίρεσιν, ἀρκεῖ κενῶσαι καὶ μὴ μέχρι λειποθυμίας. εἶτα βαλανισμοῖς καὶ διαχρίσμασι τῆς ἕδρας, καὶ κλυστῆρσι χρηστέον· καὶ σικύαις κατ' ὀσφύος, καὶ διαδέσμοις τῶν ἄκρων· καὶ πάσῃ τῇ ἀπὸ τῶν πεπονθότων μερῶν ἀντισπάσει· μετὰ δὲ ταῦτα ἀναγαργαρίσματα προσάγειν, φακοῦ ἀφέψημα· καὶ μύξων· καὶ φοινίκων, μετὰ μέλιτος καὶ πτισάνης χυλοῦ. εἶτα πιτύρων ἀφέψημα γλίσχρον, ἐν τῇ ἑψήσει γενόμενον· καὶ προσλαβὼν μέλι ἢ τὴν διαμόρων στοματικὴν, καὶ μάλιστα τὴν διὰ τῶν ῥοῶν σὺν τῷ ὑδρομέλιτι μίξαντα διδόναι ἀναγαργαρίζεσθαι. ἐμπάσσεται δὲ τῷ ὑδρομέλιτι, καὶ κόστος· καὶ ἶρις· καὶ ἀριστολοχία, καὶ τὰ παραπλήσια μετὰ τὰς ἀρχὰς, καλῶς δὲ ποιεῖ ἐμπασσόμενον τῷ μελικράτῳ, καὶ τὸ προγεγραμμένον πρὸς τὰς κιονίδας ξηρὸν φάρμακον, διὰ τοῦ ῥοῦ· καὶ ῥόδων ἄνθους· καὶ κρόκου· καὶ κόστου· καὶ γλαυκίου δὲ τῶν φύλλων ξηρὸν ἀφέψημα, πικρὸν μὲν, ἀλλὰ βέλτιστα ποιοῦν· ἐγὼ δὲ καὶ τοῦ χυλοῦ ᾧ εἰς τὰ κολλύρια χρώμεθα, ὑδρομέλιτι ἀκρατεστέρῳ διαλύων, χρῶμαι ἀναγαργαρίσματι, καὶ μετὰ ταῦτα, τῷ τῆς ἴρεως ἀφεψήματι. αὐτοῦ μέντοι τοῦ θαμνίσκου ξηροῦ τοῦ γλαυκίου λέγω κεκομμένου καὶ σεσησμένου, ἀρίστη χρῆσις ἐμφυσωμένου τῷ στόματι. πειρᾶσθαι δὲ δεῖ μὴ προσάγειν δάκτυλον τοῖς τόποις τὸ σύνολον. ἢ εὐαφῶς γε πάνυ χειρίζειν. οἱ γὰρ ἰδιῶται οὓς μάλιστα ἀπόροις ἔχουσιν οἱ ἄνθρωποι, βιαιότερον διαχρίουσιν. ἅμα μὲν πιέζοντες τὸν φλεγμαίνοντα τόπον, ἅμα δὲ ἀποσύροντες τὰς ἐσχάρας. τοῦτο δὲ δεῖ ποιεῖν. προσηρεισμένην ἤδη τὴν ἐσχάραν θεασώμεθα· εἰ δὲ ἐχέκολλον οὖσαν τὴν ἐσχάραν ἀποσπᾶν αὐτὴν ἐπιχειρήσομεν, βαθύνονται μᾶλλον αἱ ἑλκώσεις· καὶ ἐρεθίζονται αἱ φλεγμοναί· καὶ αὔξουσιν αἱ ὀδύναι· καὶ παρακολουθοῦσιν αἱ μοναί. οὐκ οὖν τὰ μὲν ξηρὰ προσήκει ἐμφυσᾶν. τὰ δ' ὑγρὰ πτερῷ διαχρίειν. ὥσπερ εἰ ἐσωτάτω ἐκτείναντας τὸ πτερόν. χρηστέον δὲ καὶ τῇ διὰ τοῦ βησασὰ συναγχικῇ. καὶ τῇ διὰ τῶν κεκαυμένων χελιδόνων, ἀνιέντες μέλιτι καὶ διαχρίοντες, καὶ σὺν ὑδρομέλιτι, ἀναγαργάρισμα, προσάγοντες. ὤνησε δὲ πολλάκις καὶ ἀριστολοχία· καὶ ἶρις· καὶ χαλκίτης μετὰ μέλιτος προσαχθεῖσα. ἐν αἷς ἐστὶ καὶ ὁ τοῦ Ἄνδρωνος τροχίσκος· καὶ ὁ τοῦ Μούσα. θαυμαστῶς δὲ ἀφαιρεῖ τὰς ἐσχάρας καὶ ἡ κυνεία κόπρος μετὰ μέλιτος διαχριομένη· καὶ τῶν κεκαυμένων χελιδόνων ἡ τέφρα καὶ ἡ τοῦ κεκαυμένου κενταυρείου λεπτοῦ ἡ τέφρα μετὰ μέλιτος καὶ τῶν χερσαίων κοχλιῶν μάλιστα τῶν γυμνῶν κεκαυμένων ἡ τέφρα μετὰ μέλιτος. πρὸς δὲ τοὺς ἀφηλπισμένους ὑπὸ τῶν ἰατρῶν ἕνεκα ἐσχάρων χολὴν κροκοδείλου ξηραίας καὶ λείας ἐπίπασσε καὶ ἐσχάραν τῷ μέλιτι. δεήσει δὲ, μετὰ τοὺς ἐκ τῶν τοιούτων φαρμάκων γιγνομένους, ἐρεθισμοὺς, πραΰνειν ἀφεψήματι γλυκυρρίζης· καὶ τῷ διασκυβελίτου. καὶ μαστίχης χίας καὶ σμύρνης καὶ κρόκου ἀναγαργαρίσματι. εἶτα καὶ ἀμύλου καὶ τραγακάνθης. σταθείσης δὲ τῆς νομῆς, γάλα ἀναγαργαριστέον, προσειληφότα σαμίαν γῆν. ἐπιμελεῖσθαι δὲ καὶ τῶν πυρετῶν προσήκει. εἰώθασι γὰρ σφοδροὶ παρακολουθεῖν. καὶ ἐν ταῖς ἀνακαθάρσεσι μάλιστα τῶν ἑλκῶν φροντίζειν· ἐναπέστη γὰρ ἤδη τὰ μὲν πολλὰ τῶν νηπίων ἐν τῷ τῆς ἀνακαθάρσεως καιρῷ. τὰ δὲ ἀποξηρανθείσης τῆς καταπόσεως ἀπεπνίγη. εἰσὶ δὲ οἷς αὐτῶν, ἀναβιβρώσκονται οἱ γαργαρεῶνες. καὶ μέχρι πολλοῦ κατασχόντων τῶν ἑλκῶν καὶ βαθυνθέντων, ὕλης ἐπιδραμούσης, φθέγγονται μὲν στενωτέρον. καὶ πινόμενον τὸ πόμα αὐτοῖς ἐπανακάμπτεται, εἰς τὰς ῥῖνας. ὥστε καὶ μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν, ἔγνων τινὰ διαφθαρεῖσαν κόρην ἤδη ἐπὶ τῆς ἀναλήψεως οὖσαν. μέχρι δὲ τῶν ἑπτὰ, οἱ πλεῖστοι κινδυνεύουσιν. ἀεὶ δὲ τῶν φλεγμονῶν καὶ τῶν νομῶν ἐπίτασιν εἰληφυιῶν καὶ ἔξωθεν δεῖ πυριᾶν· καὶ καταπλάσμασι κοινοῖς χρῆσθαι, φυλαττομένους περιψύξιν. μακάριον γὰρ εἰ γένοιτο, μεταστῆναι εἰς τὰ ἔξω τὴν ἔνδον ὕλην. περισκεπέσθω οὖν ἀεὶ μετὰ τὰ καταπλάσματα, τὰ περὶ τὸν ἀνθερεῶνα μέρη· ναρδίνῃ ἢ κυπρίνῃ κηρωτῇ μετὰ περιθέσεως ἐρίων μαλακῶν. τῶν δὲ ἐσχαρῶν ἀπολυθεισῶν καὶ καθαρῶν γενομένων τῶν ἑλκῶν, ταῖς ἀνθηραῖς χρηστέον. ἀποθεραπεύουσι γὰρ τὰς ἑλκώσεις, καὶ ξηραὶ προσαγόμεναι. καὶ μετὰ μέλιτος διαχριόμεναι.

διαχριόμενα. ἔστι δὲ πρὸς τὰς ἐν στόματι καὶ παρισθμίοις ἐσχάρας, συνθετὰ φάρμακα τοιαῦτα. Ἀσκληπιάδου διάχριστος πρὸς τὰς μεθ᾽ ἑλκώσεως φλεγμονάς, ῥόδων ἄνθους < η. κρόκου < δ. βαλαυστίου < α. σμύρνης < α. στροβίλων καθαρῶν < δ. ἀναλάμβανε μέλιτι καὶ χρῶ διαχρίων. Ἄλλη Ἀσκληπιάδου πρὸς τὰς ἐν τῷ στόματι σηπεδόνας ῥοῦ μαγειρικοῦ < δ. ἀκακίας < α. μυελοῦ ἐλαφείου ἢ μοσχείου < δ. οἴνῳ γλυκεῖ διαλύσας, ἀναλάμβανε μέλιτι ἀπηφρισμένῳ καὶ χρῶ διαχρίων. Ἀνδρομάχου στοματικὴ εὐώδης ἁπαλὴ πρὸς φλεγμονὰς καὶ ἐσχάρας καλή. στροβίλων κεκαθαρμένων < γ. ἀμύλου < β. σχιστῆς < α. ῥόδων ἄνθους < α. κρόκου μέλιτος τὸ ἀρκοῦν. Ἄλλη πρὸς πάντα τὰ ἐν τῷ στόματι καὶ παρισθμίοις. ῥοῦ μαγειρικοῦ < δ. ῥόδων ἄνθους < β. κρόκου < α. κόστου < α. σὺν μέλιτι διάχριε. καὶ σὺν ὑδρομέλιτι ἀναγαργαρίζεσθαι δίδου. Ἀρχιγένης δέ φησιν, ἐπὶ τῶν ἐσχαρῶν δὲ συμφωνεῖ κονία καὶ κηρὸς μετὰ μέλιτος, ἀρίστη δὲ ἐστὶν ὅταν ὀστᾶ βεβρωκότες ὦσιν οἱ κύνες. βοηθεῖ γὰρ οὕτως μεγάλως. καὶ οὐδεμίαν ἀηδίαν ἐμφαίνει τῷ προσφερομένῳ. χρῶ καὶ τοῖς πλείστοις, τῶν πρὸς τοὺς συναγχικοὺς ἀναγραφησομένων βοηθημάτων. Ἄλλο Ἀρχιγένους πρὸς ἐσχάρας ἐν τῷ στόματι. χελιδόνων κεκαυμένων. καὶ ἀνθρωπείας κόπρου τὸ ἴσον, σὺν μέλιτι διάχριε. ἄλλα παιδίῳ δίδους ζωμὸν πρὸ ἡμερῶν β΄ ἄρτον μετὰ θέρμον καὶ οἶνον σύμμιξον. καὶ οὕτως τῇ τρίτῃ τῶν ἡμερῶν λαμβάνων τὴν κόπρον καὶ ξηραίνων, ἔχε ἀποκειμένην. καὶ ἐπὶ τῆς χρείας λαμβάνων χρῶ λεαίνων αὐτήν, ὡς προείρηται. ποιεῖ καὶ πρὸς συνάγχας. καὶ τὰ ἀπὸ σωρανοῦ γεγραμμένα φάρμακα φησὶν ὁ Γαληνὸς πεπειράμεθα καλῶς ποιούντων. ἃ κατὰ λέξιν οὕτως ἔγραψεν. Στοματικὴ πρὸς ἐσχάρας ποιοῦσα, καὶ πρὸς οὖλα μυδῶντα, καὶ δυσώδη. μίσυος κεκαυμένου < η. ἴρεως ἰλλυρικῆς < δ. κρόκου < α. λεῖα ποιήσας ἀπόθου εἰς πυξίδα ξυλίνην, καὶ χρῶ κατ᾽ ἰδίαν, καὶ μετὰ μέλιτος. Ἕτερον ἀνθηρὰ ποιοῦσα πρὸς τὰ προειρημένα. Ἴρεως ἰλλυρικῆς < δ. σανδαράχης. κυπέρου ἀνὰ < δ. σχιστῆς < β. σμύρνης < β. κροκομάγματος < β. λεῖα ποιήσας χρῶ. τινὲς δὲ καὶ ῥόδων ἄνθους, καὶ κηκίδος προσβάλλουσιν, ἀνὰ < β. χρῶ δὲ πρὸς μὲν τὰς σηπεδόνας καὶ τὰ ἀφιστάμενα οὖλα ξηρῷ. πρὸς δὲ τὰς ἐσχάρας, μετὰ μέλιτος. Κρίτωνος πρὸς ἐσχάρας. μίσυ ὠμὸν ἢ ὀπτὸν μετὰ μέλιτος διάχριε καὶ παραχρῆμα αἴρει. ἔστω δὲ τοῦ μὲν μίσυος, < γ. τοῦ δὲ μέλιτος, λι. α. χρῶ δ᾽ ὁμοίως καὶ τῇ χαλκίτιδι. Φιλαγρίου πρὸς τὰς ἐν στόματι ἀναβρώσεις, σχίνου καρποῦ μηδέπω μελανθέντος. καὶ κηκίδων ἀνὰ < δ. κόστου καὶ φύλλου, ἀνὰ < α. χρῶ. Θεοδώρου πρὸς τὰ ἐν παρισθμίοις ἕλκη καὶ οὖλα καὶ αἰδοῖα. καὶ πρὸς σηπεδόνας καὶ ἄνθρακας. στυπτηρίας σχιστῆς σανδαράχης. σμύρνης ζωγλίτιδος(?). ἴσα. χρῶ ξηρῷ. Ἑρμοῦ πρὸς τὰς ἐν στόματι περιστάσεις πάσας ἀπὸ ἄφθης μέχρι ἐσχαρῶν καὶ καρκινωμάτων. ἐρείκης καρπὸν λεάνας, ἀναλάμβανε ὑοσκυάμου χυλῷ, καὶ χρῶ μετὰ μέλιτος. Ἄλλο πρὸς νομὰς ἐν στόματι καὶ οὔλοις, καὶ γλῶσσαν νεμομένην. χυλῷ φύλλων λευκῆς ἀμπέλου, ἣν βρυωνίαν καλοῦσι. μίσυ λεάνας, καὶ μέλι ἐπιβαλὼν σὺν λεαίνας χρῶ διαχρίων. σμήχει θειότατα καὶ ἀνακαθαίρει. μετὰ δὲ τὸ ἀνακαθᾶραι καὶ σαρκῶσαι, τὴν βετονίας ῥίζαν κόψας σήσας, χρῶ καὶ ἐπουλοῖ. Ἄλλο τοῦ αὐτοῦ πρὸς τὰς ἐν τῷ στόματι σήψεις. καὶ ἑλκώσεις καὶ νομάς. φύλλων λευκῆς ἀμπέλου Γο. γ. σχιστῆς Γο. δ. μίσυος ὠμοῦ < δ. χαλκάνθου < β. ἕως ξηρανθῇ λεῖοι. καὶ χνοώδες χρῶ ξηρῷ. ἀνακαθαίρει. πληροῖ ἀναστέλλει τὸ ἐπιφερόμενον ῥεῦμα. ἐγὼ δὲ τοῦ πρὸ αὐτοῦ πεπείραμαι. διακλύσματι δὲ χρῶ πρὸς πάντα τὰ ἐν τῷ στόματι ἕλκη. καὶ νομὰς καὶ σηπεδόνας καὶ μελανίας οὔλων, περιστερεῶνα ὀρθὸν ἑψήσας. σὺν οἴνῳ δίδου τὸ ἀφέψημα θερμὸν διακρατεῖν ἐν τῷ στόματι. Ἄλλο μανικὸν(?) βοήθημα. Πρὸς πάντα τὰ ἐν τῷ στόματι καὶ παρισθμίοις φύλλα χλωρὰ ἐλαίας ἐν ὕδατι ἑψήσας, δίδου ἀναγαργαρίζεσθαι.

Περὶ συνάγχης καὶ κυνάγχης. Γαληνοῦ. ν.

Τῆς συνάγχης τέσσαρες εἰσὶ διαφοραί. μία μὲν ὅταν ἡ φάρυγξ φλεγμαίνῃ, φάρυγγα δὲ ὀνομάζω, τὴν ἔνδον τοῦ στόματος χώραν, εἰς ἣν ἀνήκει τό, τε τοῦ στομάχου καὶ τοῦ λάρυγγος πέρας. ἑτέρα δέ, ὅταν μήτ᾽ ἄλλο τι τῶν κατὰ στόμα, μήτε ἡ φάρυγξ, ἀλλὰ μηδὲ τοῦ ἔξωθέν τι φαίνηται φλεγμαῖνον. αἴσθησις δὲ πνίξεως ᾖ τῷ κάμνοντι κατὰ τὸν λάρυγγα. τρίτη δὲ ἐπὶ τούτοις ὅταν ἡ ἐκτὸς χώρα τοῦ φάρυγγος συμφλεγμαίνῃ κατὰ τὰς γνάθους. καὶ τετάρτη ὅταν, ἡ τοῦ λάρυγγος ἐκτὸς ὁμοίως συμφλεγμαίνει τῇ ἐντός, ἢ κατὰ τὸν ἀνθερεῶνα. πρὸς ἐπὶ τούτοις δὲ καὶ κατὰ τὸν αὐχένα γίγνεταί τι πάθος, εἰς τὴν πρόσω χώραν μεθισταμένου τινὸς τῶν ἐν τῷ τραχήλῳ σπονδύλων, ὡς κοῖλον φαίνεσθαι τὸν τόπον. καὶ ἀλγεῖν τῇ ἀφῇ ἔξωθεν ψαυόμενον. τοῦτο δὲ συμβαίνει, ἑλκωμένων ἔσω τῶν σπονδύλων, ὑπὸ τῆς συνισταμένης περὶ τοὺς μῦς τοῦ φάρυγγος ἢ τοῦ λάρυγγος φλεγμονῆς. τοῦτο δὲ τὸ εἶδος, ἰδίως κυνάγχην ὀνομάζουσιν οἱ ἀρχαῖοι. ἀθουμένη(?) δὲ ὑπὸ τοῦ μεταστάντος σπονδύλου, κατὰ τὴν ῥίζαν ἡ γλῶττα, ἔξω τοῦ ἑαυτῆς τόπου προέχει ἀλλὰ καὶ δυσχέρεια πλείστη τούτοις μᾶλλον γίγνεται περὶ τὴν ἀναπνοήν. ὅθεν ἀναγκάζονται ἀεὶ τῷ στόματι κεχηνέναι, καὶ ἕλκειν τὸν ἀέρα. πάντες δὲ οἱ προειρημένοι δυσχερῶς καταπίνουσι παρὰ τὸ μᾶλλον καὶ τὸ ποτὸν εἰς τὰς ῥίνας ἀνακάμπτει. τὰ μὲν οὖν πάθη ταῦτα, ἡ δὲ θεραπεία ἐν ὀλίγοις διαφέρει. Ἀρεταῖος δέ φησιν, αἰτίαι τῆς συνάγχης, πολλαὶ μέν. μάλιστα δὲ ψύξις πλείων τῶν ἐγκαύσεων. καὶ πληγή, καὶ ὀστέων ἰχθύων εἰς τὰ παρίσθμια ἔμπαρσις καὶ ψυχροποσίαι, μέθη. πλησμονή καὶ τὰ ἄλλα πεσσόμενα κακά. Ἀρχιγένης δέ φησι τῆς κρυπτῆς συνάγχης αἴτιον εἶναι ἐπί τινων, τὰ ἐν βρόγχῳ τὰ

καταφερόμενα ἐπὶ τὸν στόμαχον, κακῶς πάσχοντα. ταῦτα καὶ τοῖς κατωτέρω μορίοις πνεύμο-
νι λέγω καὶ καρδίᾳ, πυροῦντι τὴν ἀναπνευστικὴν ἀρχήν. καρωτίσι δὲ ἀρτηρίαις, καὶ ταῖς ἄλ-
λαις ταῖς παρακειμέναις μεταδίδωσι. οὐ μὴν καρκοῦται οὗτοι διὰ τὸ δυσκρασίαν εἶναι τὴν αἰ-
τίαν τοῦ πάθους ἐπὶ τούτων οὐ μέντοι στενοχωρίαν ἀγαθαὶ οὖν φησὶν Ἀρχιγένης, αἱ ἐμετικαὶ δυ-
νάμεις ἐπὶ τούτων, αἱ διὰ τοῦ ἐλατηρίου καὶ λεπίδος μετὰ μέλιτος διαχριομένη. ἐγὼ δέ φησι τοὺς
ὑπὸ τῆς κρυπτῆς κατεχομένους συνάγχης, τῷ διὰ τοῦ σινήπεως ἀναγαργαρίσματι κουφίσας,
αὐτίκα εἰς βαλανεῖον ἀπήγαγον, καὶ οὕτως ἐρρυσάμην κινδύνου. ὥσπερ λήθης γινομένης τοῦ πά-
ροντος μέρους διὰ τῆς εἰς ὅλον τὸ σῶμα μεταδόσεως. ἀρεταῖος δὲ πρὸς τούτοις φησί, ἐπὶ τῆς κρυ-
πτῆς, ἢ ἐπὶ τοῖς ἄλλοις, μὴ ἐνδίδωσι. σικύας δεῖ κολλῆσαι πάντῃ τοῦ θώρακος. ἀρχὴ δὲ γιγνέ-
10 σθω κάτωθεν τοῦ ὀμφαλοῦ, προσαναφέρειν δὲ ἐπὶ πλευρὰς καὶ μετάφρενα συνεχῶς μεταφέρον-
ται ἀπὸ τοῦ τόπου εἰς ἕτερον τόπον. καὶ ἕλκουσι τὴν σικύαν ἄνωθεν ἐπὶ τὰ κάτω. εἰ δὲ πάνυ ἐ-
πείγει ἡ πνίξις, σίνηπι τρίψαντας σὺν ὕδατι καὶ ἐμπλάσαντας ῥάκει, ἐπιτιθέναι ἐπὶ τὸ στῆ-
θος, ἔκλειγμα δὲ ἐπὶ τούτοις, σίνηπι νίτρον. ὕσσωπον. σκίλλαν ὀπτήν, θεῖον ἄπυρον. δίδου ἴσα
πάντα μετὰ μέλιτος κοχλιαρίου ἐκλείχειν. Ἀρχιγένους δὲ ἀρχῆς οὖν συντόμου καὶ ἀποτό-
μου τῆς βοηθείας χρῄζει πᾶσα συνάγχη. ἐπεὶ δὲ ὡς ἐπίπαν τοῖς νέοις γίγνεται φλεβοτομητέον
αὐτοὺς ἀπ' ἀγκῶνος αὐτίκα. εἰ μηδὲν μεῖζον κωλύει. ἀφαιρεῖν δὲ πεφυσμένως. καὶ μὴ μέχρι λει-
ποθυμίας. θᾶττον γὰρ οὗτοι λειποθυμοῦσιν. ἄλλως τε διὰ τῶν περὶ ψύξεων καὶ τῶν λειποθυ-
μιῶν ῥᾳδίως ἡ ὕλη εἰς τὸν πνεύμονα ἐκ τῶν περὶ φάρυγγα τόπων μεθίσταται. καὶ ἄφυκτον κίν-
δυνον ἐπιφέρει. φροντιστέον δὲ καὶ τοῦ σύμμετρον εἶναι τὴν διαίρεσιν. ἐπὶ μὲν γὰρ τῶν μεγάλων
20 διαιρέσεων, ἀθρόως ἐμπίπτει λειποθυμία. μὴ δὲ μὴν στενὴν διδόναι τὴν διαίρεσιν. ἵνα μὴ διϋλιζό-
μενον τὸ αἷμα, ἔνδον ἀπομένῃ τὸ παχύτερον, ὅπερ ἐστὶ τῆς διαθέσεως αἴτιον. ὠφέλιμος δ' αὐτοῖς
ἡ ἐπαφαίρεσις τῇ ἑξῆς ἡμέρᾳ γιγνομένη. εἰ φόβος ᾖ λειποθυμίας. εἰ δὲ γυνὴ εἴη, σφυροτομεῖν
πάντως καὶ συμμέτρως ἀφαιρεῖν. εἰ μετὰ τρεῖς ἡμέρας, τέμνε τὰς ἐπιγλωττίδων. σκοπῶν, μη-
δόλως λειποθυμίαν γενέσθαι. τοῦτο δὲ ποιεῖ, ἐὰν ὁ ζωτικὸς τόνος ἐπιτρέπῃ καὶ ἰσχνότης σώμα-
τος οὐκ ἔστιν. εἰ δέ τι κωλύει τὴν φλεβοτομίαν, κλύζειν δι' ἀφεψήματος κενταυρείου. ἀψινθίου.
καλαμίνθου. ἀριστολοχίας. μέλιτος. νίτρου πλείστου. ἔπειτα δὲ καὶ καθαρτήριον διδόναι, τῶν μᾶλ-
λον φλέγμα κενούντων. καταλληλότατον δὲ τοῖς συναγχικοῖς εἶναι δοκεῖ τὸ ἐλατήριον. ἄμει-
νον δ' αὐτὸ διδόναι μετὰ ὀρροῦ γάλακτος. κνίκου τοῦ ἐν τῷ συνεψομένου τῷ ὀρρῷ. καὶ τὰ δι' ἀλόης δὲ
καὶ κολοκυνθίδος καταπότια αὐτοῖς ἁρμόδια, εἴγε καταπίνειν δύναιντο. εἰ δ' εὔτολμος εἴη ὁ ἰα-
30 τρός, καλὸν ἐπὶ τούτων, καὶ τῆς διὰ κολοκυνθίδος ἱερᾶς Ἀρχιγένους ∠. γ. μετὰ ἑψήματος τινῶν
τῶν προειρημένων διὰ κλυστῆρος ἐνιέναι. προδιακενώσαντα ἐκκοπροτικῷ τινί. μετὰ δὲ τὰς καθο-
λικὰς κενώσεις, σικύας δεῖ προσάγειν. ὄγκου μὲν οὖν ὄντος περὶ τὰς γνάθους, ἢ ὑπὸ τῷ ἀνθε-
ρεῶνα, κατὰ τοῦ ὄγκου μετὰ ἀμυχῶν, καὶ ἱκανὸν αἷμα ἑλκυστέον. καὶ ἄλλοι καταπάσσειν τὰς ἀμυ-
χὰς, καὶ ἀνατρίβειν. εἰ δὲ μηδεὶς ὄγκος ἔξωθεν φαίνοιτο ὡς εἴωθε γίγνεσθαι ἐπὶ τῆς κρυπτῆς λε-
γομένης κυνάγχης, ὄπισθεν ὑπὸ τῷ ἰνίῳ κολλητέον τὴν σικύαν κατὰ τῶν πρώτων σπονδύλων,
ἐπὶ μόνως δὲ τῇ ὁλκῇ χρησόμεθα, καὶ δαψιλέστερον ἐπισπασόμεθα τῇ σικύᾳ. καλῶς γὰρ ἀντιβαί-
νει ταῖς γιγνομέναις τῶν σπονδύλων μεταστάσεσιν, ἡ τοιαύτη ἔνστασις. εἶτα διαστήματος γινομένου,
ἀπὸ τῶν ἄλλων βοηθημάτων, καταπλάσσειν χρὴ τῇ αὐτῇ ἡμέρᾳ, ἢ τῇ ἑξῆς. τὴν δὲ πλείω ἐλπίδα,
ἐν τοῖς διαχρίστοις καὶ ἀναγαργαρίσμασι θετέον. καταπλάσμασι δὲ κεχρῆσθαι δεῖ, τοῖς δυναμέ-
40 νοις συμπέττειν. καὶ διαφορεῖν τὰ φλεγμαίνοντα. οἷόν ἐστι τὸ διὰ κριθῶν. καὶ λινοσπέρμων. καὶ
φοινίκων ἑψηθέντων εἰς ἕψημα ἔχοντα κρόκον. καὶ ψιχὰς πολλάκις μετὰ τοῦ ἑψήματος χωρὶς τοῦ
λινοσπέρμου καὶ τῶν ἄλλων. φεύγειν δὲ δεῖ τὰ χαλῶντα μόνον. καὶ τὰ πάνυ ἀποκρούοντα. εἰ δὲ
χρονίζουσα ἡ φλεγμονὴ σκληρὰ γένοιτο προσπλέκειν δεῖ ἰσχάδας. καὶ λάπαθον. καὶ στέατος. καὶ
νίτρου βραχέως. ἕλκειν δὲ τὴν ὕλην παγῆσαν. φεύγειν δὲ τὰ δι' ὑδρελαίου γινόμενα καταπλάσμα-
τα. ὡς πάνυ βλαπτικὰ τυγχάνοντα. ἐπὶ μὲν οὖν τῶν μετὰ φλεγμονῆς πολλῆς ἀρχομένων τὰ
πρᾴως στύφοντα, παραλαμβάνειν χρὴ ἐν ἀρχῇ. ῥόδων, φακῆς. φοινίκων ἀφέψημα ἄνθος ῥόδων
ὑδρομέλιτι ἐμπάσσοντα. ῥοῶν ἐναφεψοῦντας τῷ ὑδρομέλιτι. μύξων ἀφέψημα. εἰ δέ τις ἀναδο-
ρὰ γένηται τῶν σωμάτων, ἄρτου ἀπόβρεγμα θερμὸν δοτέον. ἢ πιτύρων ἀφέψημα διακλυζέσθω-
σαν. ἢ γάλα. ἐμοὶ δὲ ξηρὸν φάρμακον ἀπόκειται φησὶν Ἀρχιγένης πεποιημένον. ἀπὸ ῥοὸς μὲν μαγειρι-
50 κοῦ ∠. η. ῥόδων ἄνθους, ∠. δ. κόστου καὶ κρόκου, ἀνὰ ∠. ς. ἐκ τούτου εἰς μελίκρατον ἐμπάσ-
σων, ἀναγαργαρίσματι χρῶμαι. καὶ φλεγμονὰς καὶ ἑλκώσεις ἐν παρισθμίοις θεραπεύω ῥᾷστα.
κἂν τύχωσιν ἐπὶ τῆς ἀνωτάτω ἀπειλῆς οὖσαι. καὶ διαχρίσματα δὲ τοῖς ἐν φλεγμονῇ οὖσι τὰ
πρᾳότερα, οἰκειότερον οἷόν ἐστι τὸ διὰ μόρων καὶ τὸ τοῦ ῥοὸς τοῦ μαγειρικοῦ ἀπόβρεγμα, ὑδρομέλιτι
ἐναφεψημένον ἕως συστάσεως. προαποβρέχειν δὲ δεῖ τὸν ῥοῦν ἕως κατὰ κόρος χρωσθείη τὸ μελίκρα-
τον, καὶ τῇ γεύσει ἐμφαίνοιτο τὴν δύναμιν. ποιεῖ δὲ καὶ ῥόας γλυκείας ὅλης μετὰ τῶν λεμμά-
των θλασθείσης ὁ χυλὸς μέλιτι μιγείς. ὡς εἶναι τοῦ μὲν χυλοῦ μέρη γ. τοῦ δὲ μέλιτος μέρος α.

ἑψεῖται

ἐψεῖται δὲ μέχρι συστάσεως, καὶ διαχρίεται. εἰ δὲ πρὸς μηδὲν τούτων εἴκοι, ἀλλ' ἐπιτείνοι τὸ πάθος, τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας τμητέον. ἢ τὰς ἐν μετώπῳ, ἢ τὰς περὶ τοὺς μεγάλους κανθούς. ἔξωθεν δὲ ἀεὶ περὶ τὸν τράχηλον ἔρια περιτιθέσθω ἐλαίῳ θερμῷ συνεχῶς βεβρεγμένα. ἢ κηρωτὴ διὰ κυπρίνου ἐσκευασμένη, ἐπικείσθω. μᾶλλον δὲ διὰ γλευκίνου ἐλαίου. εἰ δ' ἐγχρονίζει, προσδοκητέον ἀπόστασιν ἔσεσθαι. τότε δὲ ἁρμοδιώτερον τὸ ἀφέψημα τῶν σύκων, καὶ πολὺ μᾶλλον εἰ τὸ ὕσσωπον προσλάβοι. οὐκ ἀνεπιτήδειον δὲ ἐπὶ τῶν ἡλκωμένων, πῶς καὶ κρόκος σὺν μελικράτῳ, καὶ γλυκυῤῥίζης ἀφέψημα. ἐν δὲ ταῖς ἀκμαῖς, πάντων ὠφελιμώτατον, καὶ διαλύει ἀπειλὰς ἀποστηματικάς. καὶ παρείησι ταχέως χυλὸς πτισάνης ἀναγαργαριζόμενος. ἢ χόνδρου. εἰ δὲ μὴ, πιτύρων πάνυ καθεψημένων. ταῦτα μὲν οὖν τούτοις. ἐπὶ δὲ τῶν χωρὶς φλεγμονῆς
10 καὶ ἕλκους συναγχικῶν, οἵτινες αὐτῷ τῷ πλήθει μόνῳ ἐμπεφραγμένοι κινδυνεύουσι, τὰ δριμύτερα εὐθὺς ἐξ ἀρχῆς ἁρμοδιώτερα, μετὰ τὰς καθ' ἑξῆς κενώσεις. ὑδρόμελι τοίνυν ἀκρατέστερον, ὠφέλιμον. ἐναφεψηθέντος αὐτῷ ὑσσώπου, καὶ ὀριγάνου. εἰ δὲ περὶ τὰ ἄνω μέρη, ἢ κατ' αὐτὴν τὴν φάρυγγα, εἴη τὸ αἴτιον, καὶ σίνηπι λεάναντες σὺν τῷ μελικράτῳ, καὶ διηθήσαντες, προσάξομεν ἀναγαργάρισμα ἁρμόδιον τούτοις. καὶ κασσίας ἀφέψημα. καὶ ἴρεως. καὶ πάνακος ῥίζης. καὶ γεντιανῆς. καὶ κενταυρίου. ἀριστολοχίας. ἀγαρικοῦ. σικύου ἀγρίου ῥίζης. ἕκαστον σὺν ὑδρομέλιτι ἐπιπολὺ ἡψημένον, ὥστε χυλωθῆναι. ἐχρησάμην δὲ καὶ ἐπὶ τῆς κρυπτῆς συνάγχης τῷ διὰ τοῦ σινήπεως ἀναγαργαρίσματι. καὶ πολλάκις ἐρυσάμην τοῦ κινδύνου. διάχρισμα δὲ ἐπὶ τούτων λέγω δὴ τῶν χωρὶς ἑλκώσεων συναγχικῶν, τῷ διὰ τοῦ βησάσα σκευαζόμενον, καὶ τὸ διὰ τῶν κεκαυμένων χελιδόνων. ὧν τὰς σκευασίας μετὰ βραχὺ ἐρῶ σὺν τοῖς ἄλλοις
20 βοηθήμασιν, ὠφελοῦνται δὲ καὶ δι' ἀτμοῦ πυριώμενοι ἔσωθεν τὸν δὲ τὸν τρόπον. ὀρίγανον. ὕσσωπον θύμβρα μαράθρου σπέρματι. νίτρον σὺν ὄξει πλείστῳ ζέσας ἐπιμελῶς ἐν χύτρᾳ. καὶ πωμάσας τὴν χύτραν πώματι τρῆμα ἔχοντι κατὰ τὸ μέσον. εἶτα κάλαμον τῷ τοῦ κάμνοντος στόματι καὶ τρήματι ἐναρμόσας, ἔα πυριᾶσθαι. εἰ δὲ κατακαίεται τὸ στόμα ζέοντος τοῦ καλάμου, ᾠὸν κενὸν μικρὸν τετρημένον ἑκατέρωθεν τῷ στόματι διακρατείτω. καὶ δι' αὐτοῦ ὁ κάλαμος διερχέσθω. μαλακωτέρα δὲ ἡ πυρία γίγνεται, ἐὰν ἀντὶ τοῦ ὄξους, ὀξύκρατον ἐμβάλλοις. ἢ ὕδωρ. χρὴ μέντοι ἐπὶ τούτων, τὰ ἀμυκτικώτερα προσάγεσθαι, ἵνα ἐπανοστῇ ἡ σὰρξ, καὶ μεταβάλλειν δυνηθείη τὴν ἐν τῷ βάθει θλίψιν. ἄπορος γὰρ ὑπὸ τῆς ἀγριότητος πολλάκις γίγνεται ἡ διάθεσις αὕτη. ὥστε καὶ μυσαρὰ αὐτῇ προσάγεσθαι. κόπρῳ γὰρ ἀνθρωπείᾳ, τινὲς ἐπ' αὐτῶν ἐχρήσαντο, διαχρίσματι, καὶ σφόδρα ὠφέλησαν. τινῶν μὲν πρόσφατον λαμβανόντων αὐτήν, τινῶν δὲ ξηρὰν
30 λεαινόντων, καὶ κατὰ πότια διδόντων. καὶ νάρδῳ τὴν ὀσμὴν καλυπτόντων. ἢ σμύρνῃ. ἀπὸ δὲ τῶν δριμυτέρων καὶ ἀμυσσόντων τοὺς τόπους, ἐπὶ τὰ μετριώτερα δεῖ μεταβαίνειν. οἷός ἐστιν ὁ Ἀνδρόνειος τροχίσκος. καὶ τὰ παραπλήσια. ἀγαθαὶ δὲ τούτοις καὶ αἱ ἐμετικαὶ δυνάμεις μάλιστα ἐφ' ὧν βάρους συναίσθησις περὶ τὴν γαστέρα συνεδρεύει. Ἀρχιγένους ἐμετικὸν ᾧ χρῶμαι φησὶ πρὸς τὰς κρυπτὰς συνάγχας, θαυμαστῶς ποιοῦντι, καὶ πρὸς ἀσθματικούς. Ἐλατηρίου, ἡμιώβολον. νίτρου ἀφροῦ, τριώβολον. σινήπεως ∠. α. λεάνας ὕδατι ἀνάπλασσε. κινεῖ δὲ ἔμετον τὸ ἐλατήριον σὺν ἐλαιομέλιτι λειωθέν. καὶ διαχριόμενον ἐσωτάτω. πολλῷ δὲ μᾶλλον παραλαβὼν λεπίδα χαλκοῦ, ἢ αὐτὸν τὸν χαλκόν. καὶ λεανθὲν σὺν ἐλαίῳ κυπρίνῳ, καὶ διαχριόμενον. καλῶς δὲ ποιεῖ καὶ χολὴ ταυρεία διαχριομένη. καὶ νίτρον σὺν ὀξυμέλιτι πινόμενον. καὶ κενταυρείου χυλὸς μετὰ μέλιτος. καὶ ὑπὸ τὰς ὑδρίας ὄνοι σὺν μέλιτι ἐκλειχόμενοι. τινὲς δὲ
40 καὶ καρδάμου σπέρμα λειώσαντες, ἐπότισαν ὅσον κοχλιάριον μετὰ μελικράτου. εἶτα μικρὸν ὕστερον, ἤμεσαν οὗτοι φλέγμα παχύτατον, καὶ γλίσχρον. καὶ παραχρῆμα τῶν πλείστων ὀχληρῶν ἀπηλλάγησαν. Ἄλλο. Ἀλεκτορίδος κόπρον τὸ λευκὸν καὶ ψιμμύθιον ξηράνας, ἀπόθου καὶ ἐπὶ τῆς χρείας λεάνας μεθ' ὕδατος, ἢ μελικράτου πότιζε κοχλιάριον, καὶ γὰρ ἀπεγνωσμένους ἰᾶται. εἰ δὲ πίνειν μὴ δύναται, τότε λεάνας μετὰ μέλιτι, διάχριε ὡς ὅτι ἐσωτάτω. ἢ κενταυρείου νίτρου, καὶ ἁλὸς κοινοῦ ἀνὰ ∠. η. λεάνας ἀπόθου ξηρὸν, καὶ ἐπὶ τῆς χρείας, μέλιτι λύσας, διάχριε πτερῷ, ἢ ὡς βούλει χρῶ θαῤῥῶν, πεπείραται γάρ. Ἄλλο. Ἀψίνθιον κόψας, καὶ σήσας λεῖον ἐπιβαλὼν διάχριε μετὰ μέλιτος. Ἄλλο. Ἐλατήριον μετὰ χολῆς ταυρείας καὶ μέλιτος, διάχριε λεάνας. Ἄλλο. Ἅλας κοινὸν λεάνας μετ' ἐλαίου παλαιοῦ καὶ μέλιτος, καὶ ὄξους ἐν ᾧ σκίλλα ἥψηται, διάχριε. Ἄλλο. Ἡ διὰ τοῦ βήσασα
50 στοματικὴ ἀνδρόμαχου πρὸς συνάγχας, καὶ τὰ ἀπηλπισμένα. ᾗ χρῶμαι φησὶ ποιεῖ καὶ στοματικῆς. καὶ δυσεντερικοῖς ἄκρως ἐν ψυχρῷ διδομένη, κυάμου μέγεθος. Ἀνίσου σπέρματος σελίνου σπέρματος λίνου ἄνθους. ἄμεος. στυπτηρίας σχιστῆς, ἴρεως ἰλλυρικῆς. βήσασα σπέρματος ὃ τινὲς ἁρμαλὰ καλοῦσι. κινναμώμου. σμύρνης σταγονίτιδος. ἀριστολοχίας μακρᾶς, ἀνὰ Γο. α. κασσίας, κρόκου μάγματος. ῥόδων ξηρῶν, ἀνὰ Γο. α. κόστου Γο. γ. χελιδόνων σποδοῦ προσφάτου, Γο. γ.

κρόκου Γο. α. S. ναρδοστάχυς, ἀμώμου, ἀνὰ ∠. δ. κηκιδίου ὀμφακίτιδος, ἀριθμῷ, η, λείου.
καὶ ἀναλάμβανε μέλιτι, καὶ χρῶ. ἐν ἀρχῇ μὲν διαλύων τὸ φάρμακον, ἀφεψήματί τινι τῶν με-
τρίως στυφόντων. ἅτινα πλειστάκις προείρηται. κατὰ δὲ τὰς ἀκμάς, πτισάνης χυλῷ, κατὰ δὲ τὴν
παρακμήν, μέλιτι, ἢ οἰνομέλιτι. χρονιζούσης δὲ καὶ ἤδη σκιρρουμένης τῆς φλεγμονῆς, ὀξυμέλιτι.
Φιλάγριος δέ φησιν ἐνίοτε δὲ μετὰ τὰς προειρημένας τοῦ παντὸς σώματος κενώσεις, καὶ τὸν σι-
κυασμόν, καὶ τῶν ὑπὸ τὴν γλῶτταν φλεβῶν διαιρεθεισῶν, μίγνυμεν τῷ φαρμάκῳ. καὶ ἕτερα
τινά, τὰ μὲν, ἀναστέλλοντα τὸ ἐπιφερόμενον. τὰ δὲ διαφοροῦντα ἅπαν τὸ ἱδρυμένον. ἐμβάλλεται
δὲ τῆς μὲν τοῦ βήσσειν(?) διαχρίστου ∠. η. καὶ κηκίδων δὲ ὀμφακιτίδων, καὶ κόπρου κυνείας λευ-
κῆς, καὶ ἀνθρωπείας κόπρου ξηρᾶς, ἀνὰ ∠. β. δεῖ δὲ καθὼς προείρηται, τὴν μὲν κυνείαν λαμβά-
10 νειν, ὀστᾶ προβεβρωκότων τῶν κυνῶν πρὸ ἡμερῶν δύο. τὴν δὲ ἀνθρωπείαν, ἄρτῳ μετὰ θέρμων προ
διαιτηθέντος πρὸ ἡμερῶν δύο τοῦ παιδίου συναγχικὸν μαρκιανοῦ κινοῦν ἐμέτους. ποιοῦν καὶ πρὸς
τὰς κρυπτὰς συνάγχας. πρόλαβέ φησι τὸν μαθόν. χαλκοῦ κεκαυμένου ∠. ιβ. χαλκάνθου ∠. ιϛ.
σμύρνης ∠. α. ἐλατηρίου ∠. α. ἀφρονίτρου ∠. α. χολῆς ταυρείας ∠. δ. ἀναλαβὼν μέλιτι διάχριε
πτεροῖς ἐσωτάτω. Ἀρχιγένης δέ φησι τὴν ἀνθρωπείαν κόπρον οἵαν προείπομεν λαβὼν καὶ ξηρά-
νας καὶ κόψας καὶ ἐνδήσας ῥάκει, καὶ καύσας, καὶ λεάνας μετὰ μελικράτου, ἐδίδου πίνειν. τοῦτο τοῖς
ἤδη πνιγομένοις βοηθεῖ. Ἀντώνιος δέ φησιν ὁμοίως, τὴν κυνείαν κόπρον οἵαν προείπομεν, λαβὼν καὶ ξη-
ράνας καὶ κόψας σήσας, χρῶ ἐπὶ κυναγχικῶν διαχρίων μετὰ μέλιτος ἐσώτατα ὥστε καταπί-
νειν. ἰσχυρότερον γάρ φησιν ὁ Γαληνὸς τούτου φαρμάκου, οὐδὲν ἔγνων, οὔτ' ἐπὶ τῶν κυναγχικῶν,
οὔτ' ἐπὶ παρισθμίων φλεγμονὰς μεγάλας ἐχόντων. καὶ ἐπὶ ἀντιάδων. πνιγμὸν καὶ κίνδυνον
20 ἀπειλούντων. καὶ σὺν ὀξυμέλιτι δὲ καὶ πίσσῃ ὑγρᾷ διαχριομένη ἡ κυνεία κόπρος ποιεῖ. Πρὸς κυ-
νάγχας ἡ διὰ τῶν χελιδόνων. χελιδόνων ἀγρίων κεκαυμένων τῆς σποδοῦ, ∠. η. κρόκου, ∠. β.
ναρδοστάχυος, ∠. α. ἀναλάμβανε μέλιτι. ἡ κρᾶσις πρὸς τὰς ὑποκειμένας διαθέσεις. δεῖ δὲ τὰς χε-
λιδόνας καίειν τὸν τρόπον τοῦτον. ἁλσὶ συμμέτροις καταπάττοντες τοὺς νεοττοὺς σὺν τοῖς πτεροῖς,
βάλλομεν ζῶντας εἰς ἀγγεῖον κεραμοῦν. καὶ τοῦτο ἐμφράξαντες, ἐπιτίθεμεν ἐπ' ἀνθράκων ἕως σποδὸς
γένηται, καὶ λεάναντες χρώμεθα. Ἄλλη διὰ χελιδόνων πρὸς τὰς συνάγχας. χελιδόνων κεκαυ-
μένων νεοσσοὺς ια. μυρσίνης χλωρᾶς χυλοῦ κυάθους ιβ. μυρσίνης τριόβολον μέλιτος κυάθους β.
τοὺς νεοσσοὺς καύσας καὶ λεάνας μίσγε πάντα καὶ χρῶ. Ἄλλο. Πρὸς συναγχικοὺς πεπειρα-
μένον φύλλου. κόστου. καρυοφύλλου πεπέρεως, ἀνὰ Γο. α. σανδαράχης, Γο. δ. μέλιτι ἀπεφρισμένῳ
ἀναλαβὼν διάχριε πτερῷ καὶ θαυμάσεις. Ἄλλο. Κοχλίας γυμνοὺς τοὺς χωρὶς ὀστράκων ἐν κή-
30 ποις εὑρισκομένους ἐν χύτρᾳ καύσας, καὶ λεάνας τὴν τέφραν ἀναλάμβανε μέλιτι, καὶ διάχριε,
ἀπαράβατόν ἐστι, χρῶ δὲ ὁμοίως, καὶ τῇ τῶν κεκαυμένων καρκίνων τέφρᾳ μετὰ μέλιτος καὶ τὸ
ἀφέψημα δὲ τῶν καρκίνων, ἀναγαργαριζόμενον, καλῶς ποιεῖ. ἐγὼ δὲ τὸν καρκίνον λεάνας ἐν ὕδα-
τι κοτύλῃ μιᾷ καὶ διηθῶν καὶ θερμαίνων, δίδωμι ἀναγαργάρισμα. παχέα γὰρ ἄγει πολλὰ καὶ
κουφίζει παραυτίκα. Ἄλλο. Κενταύρειον λεπτὸν καύσας διάχριε τὴν τέφραν μετὰ μέλιτος.
Ἄλλο. Σιαγόνος χοίρου κεκαυμένου Γο. α. κόπρου κυνείας λευκῆς, ὀστᾶ βεβρωκότων κυνῶν,
∠. δ. σιδίων, Γο. α. κηκίδων Γο. α. πεπέρεως πεφρυγμένου ℈. ϛ. κόστου ∠. δ. χρῶ
μετὰ μέλιτος. πάνυ δὲ ἀγωνίζεσθαι δεῖ κἀπὶ τῶν παρακμῶν, καὶ γὰρ τὰ ἤδη ἑλκυσθέντα ἐκ
τοῦ βάθους τῶν περὶ τὴν φάρυγγα σωμάτων ἐὰν ἀμεληθείη, ἀδοκήτως εἰς τὸν πνεύμονα μεθίσταται
40 καὶ αἰφνίδιον τὸν θάνατον ἐπιφέρει. Ἄλλο. Πρὸς συνάγχας μάλιστα ἐν ἀρχαῖς ὅτε φλεγμαί-
νουσι. ποιεῖ καὶ πρὸς παρισθμίων φλεγμονὰς ἐμφυσώμενον καὶ μέλιτι διαχριόμενον καὶ ἀναγαρ-
γαριζόμενον. κηκίδων Γο. β. κόστου Γο. α. χρῶ.

Περὶ ἀντιάδων. να.

Πᾶσιν ἀνθρώποις μικραὶ εἰσὶ σάρκες φύσει, καὶ παρ' ἑκάτερα τῶν παρισθμίων, αὗται σώζουσαι
τὰ φυσικὰ μέτρα, οὐδὲν ἐμποιοῦσι χαλεπόν. ὅταν δὲ κατὰ πάθους ἰδιότητα αὐξηθῶσι καὶ μᾶλ-
λον τοῦ κατὰ φύσιν μέτρου μεγεθοποιηθῶσι, τότε δυσκαταποσίας, καὶ δυσπνοίας αἴτια γίγνον-
ται. συνίστανται δὲ ὡς ἐπίπαν χωρὶς φλεγμονῆς. καὶ διὰ τὸ κατὰ βραχὺ αὔξεσθαι, ἔστι δ' ὅτε
καὶ φλεγμαίνουσι. διασταλέντος δὲ τοῦ στόματος, ἐναργῶς φαίνονται οἱ τῶν ἀντιάδων ὄγκοι, μεί-
ζονες ἐπὶ μὲν τῶν ἀφλεγμάντων, ὁμόχροοι τοῖς τῶν παρισθμίων σώμασι. φλεγμαίνουσαι δὲ,
50 ἐνερευθεῖς φαίνονται. καὶ ὀδύνας ἐμποιοῦσι. φλεγμονῆς μὲν οὖν παρούσης, τοῖς ἐπὶ τῶν
παρισθμίων φλεγμαινόντων ἀναγαργαρίσμασι καὶ διαχρίσμασι χρηστέον. ὅταν δὲ ἀφλέγμαν-
τοι γένωνται, πειρᾶσθαι χρὴ διὰ φαρμάκων κατὰ βραχὺ καταστέλλειν προσαπιέζοντας. καὶ
ἐκθλίβοντας τῷ δακτύλῳ. τὰ δὲ πρὸς τὰς ἀφλεγμάντους ἀντιάδας βοηθήματα, ἐστὶ τοιαῦ-
τα. κηκίδος ὀμφακίτιδος, ἁλῶν ἀμμωνιακῶν, στυπτηρίας σχιστῆς, ἀνὰ οὐγγίας α. ξηρῷ πα-
ράπτου. ἔνιοι δὲ καὶ σμύρνης οὐγγίας β. Ἄλλο. Σμύρνης. κηκίδων, ἀνὰ δραχμὰς
η. μέσους,

ἢ μίσυος, καὶ ἁλῶν πεφρυγμένων ἀνὰ Γο. β. χρῶ ξηρῷ. Ἄλλο κηκίδος μίσυος σμύρνης στυπτηρίας ὑγρᾶς ἴσα χρῶ ξηρῷ καὶ μετὰ μέλιτος. Ἄλλο Ἀσκληπιάδου, πρὸς ἀντιάδας· φάρμακον ἐπιτετευγμένον κηκίδων ὀμφακίνων < δ. διφρυγοῦς < α. σμύρνης < γ. κρόκου < γ. μέλιτος τὸ ἀρκοῦν. τὸ φάρμακον χωρὶς ἑλκώσεως ἀντιάδας καταστέλλει. Ἄλλο Ἀπολλωνιάδου· διφρυγοῦς < β. χαλκίτεως ὀπτῆς < β. κηκίδων < α. κρόκου < α. σμύρνης < α. μέλιτι ἀναλάμβανε καὶ χρῶ. Χειρουργία. Νικωμένων δὲ τῶν φαρμάκων, ἐκτέμνεσθαι χρὴ τὰς ἀντιάδας, πρὸς δὲ τὴν χειρουργίαν, καθέδριος ὁ πάσχων σχηματιζέσθω πρὸς αὐγὴν λαμπράν, καὶ διαστελλέσθω τὸ στόμα· ἔπειτα ἑκάστη ἀντιὰς ἀγκίστρῳ ἀποτεινέσθω· καὶ ἐκτεμνέσθω. ἐκτέμνεται δ' αὐτῆς τὸ ὑπερέχον κατὰ τὸ μέσον παρὰ φύσιν. οἱ γὰρ ἐκτέμνοντες τῇ παρὰ φύσιν σαρκὶ καὶ τὰς κατὰ φύσιν σάρκας ἀπὸ τῆς βάσεως, αἱμορραγίας ἐπικινδύνου αἴτιοι γίνονται. μετὰ δὲ τὴν ἀφαίρεσιν ὀξύκρατον προσδιδόσθω ψυχρὸν πρὸς τὴν τοῦ αἵματος ἐποχήν, ἢ μετὰ αὐτὸ ψυχρότερον ὕδωρ. σταλείσης δὲ τῆς αἱμορραγίας, ἢ ἱκανοῦ διαστήματος γενομένου, τὸ μελίκρατον προσφερέσθω χλιαρόν. ταῖς δὲ ἑξῆς ἡμέραις σὺν τούτῳ, καὶ διάχριστοι προσαγέσθωσαν αἱ πρὸς τὰ ἡλκωμένα παρίσθμια προγεγραμμέναι. σπανίως δὲ ὅταν ποτὲ τὰ ἕλκη ὑπερέχειν φαίνηται, τῷ ἀνθηρῷ ξηρῷ προσαπτόμεθα τῶν παρισθμίων. δι' οὗ καταστέλλονται αἱ ὑπεροχαί, καὶ ἡ κατούλωσις αὐτῶν γίνεται.

Τῶν ἀπαγχομένων ἀνάκλησις· καὶ τῶν ἐκ ναυαγίου, ἢ ἐξ ὕδατος, μελλόντων πνίγεσθαι. νβ.

Ἀνακαλοῦνται ἐνίοτε οἱ ἀπαγχόμενοι, ὄξους ἐγχεομένου τῷ στόματι μετὰ πεπέρεως ἢ κνίδης σπέρματος, ἰσχυρῶς δὲ οὐ κατέχονται. ἀλλὰ βιάζεσθαι δεῖ, καὶ ἐγχεῖν τῷ στόματι, καὶ ἐρεθίζειν πρὸς ἔμετον. λυομένων δὲ τῶν περὶ τὸν τράχηλον ἐρυθημάτων εὐθὺς ἀναβλέπουσι καὶ ἀνίενται. διὸ ἐμβρέχειν δεῖ καὶ τὸν τράχηλον, κατά τε τὸν βρόγχον καὶ τὰ πέριξ, ἐλαίῳ πολλῷ θερμῷ συνεχῶς, καὶ ἐρίῳ περιλαμβάνειν ἢ κηρωτῇ, παραπλησίως δὲ δεῖ ἀνακαλεῖσθαι, καὶ τοὺς ἀπὸ ναυαγίων, εἴ γε σώζεται ἔτι ποσῶς αὐτοῖς ἡ ἀναπνοή. ἐπὶ τούτων δὲ πρότερον χρὴ ἐπὶ κεφαλὴν κρεμῶντας, βιάζεσθαι ἀπεμεῖν τὸ καταποθὲν ὕδωρ. ἐρεθίζοντας μὲν πτεροῖς ἢ δακτύλοις. τῇ δ' ἐπιθέσει τῶν χειρῶν, ἔξωθεν βοηθοῦντας τῷ τῆς γαστρὸς τόνῳ.

Περὶ τῶν καταπειρομένων εἰς τὰ παρίσθμια ἀκανθῶν, ἢ ὀστοῦ, καὶ τῶν εἰς τὸν λάρυγγα παρρεόντων. νγ.

Εἰ μὲν εἰς τὸν λάρυγγα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, τι τῶν καταπινομένων ὄγκον παραρρυῇ. βῆχα ἐρεθιστέον διά τινος ὀξώδους ποιότητος. καὶ πταρμικὸν ταῖς ῥισὶ προσακτέον. τῇ γὰρ σφοδρᾷ περιστολῇ καὶ ἐντάσει, καὶ τῇ μετά τινος βίας ἐξωθήσει τοῦ πνεύματος, εἴωθεν τὰ τοιαῦτα συνεκκρίνεσθαι. εἰ δὲ περὶ τὰ παρίσθμια, ἢ κατὰ τὴν ἀρχὴν τοῦ στομάχου ἄκανθα ἢ ὀστέον καταπαρῇ, εἰ μὲν τῇ ὄψει ὑποπίπτει καὶ ἔξω τῶν παρισθμίων ἐξέχει τὸ πλέον αὐτῆς μόριον, τῇ χολάβῳ κομιζέσθω. ὅταν δὲ ἐν τοῖς κατωτέροις τόποις τοῦ στομάχου ἐμπαρῇ, κομιζέσθω οὕτως· σπόγγιον τερεβινθίνῃ βεβρεγμένον, ἢ κρεάδιον ὠμὸν πρόσφατον ἐγκεχαραγμένον περιδήσας λίνῳ στερεῷ, καὶ ἀναγκάσας καταπιεῖν, μετὰ ταῦτα ἀνάσπα ἀθρόως διὰ τοῦ ἀπηρτημένου λίνου. εἴωθεν γὰρ πολλάκις συνεφέλκεσθαι τὸ ἐμπεπηγός. δεῖ δὲ καὶ ἄρτου ἁπαλοῦ τοὺς ἐντὸς ψωμοὺς, ἀμασήτους καταπίνειν. ἢ ἰσχάδα λιπαρὰν ποσῶς μεμασημένην μὴ μέντοι γε διαλελυμένην. ὅταν δὲ ἐν τῷ βάθει τῶν σωμάτων καταπεπαρμένη κομίζεσθαι μὴ δύνηται, μελίκρατον, διδόσθω ἀναγαργαρίζεσθαι. καὶ ῥοφὰς ῥοφηματώδεις, οἷον πτισάνην μετὰ μέλιτος, ἢ ἄλικα ὁμοίως. ἢ ψίχας τῷ μελικράτῳ βεβρεγμένας θερμῷ, ἔξωθεν δὲ ἐπιτιθέναι τῷ αὐχένι καὶ ὅλῳ τῷ τραχήλῳ, ἔριον ἐλαίῳ θερμῷ βεβρεγμένον, καὶ καταπλάττειν τὸν τράχηλον καταπλάσματι θερμῷ χαλαστικῷ, ὡς τὸ λινόσπερμα σκευαζόμενον ἐν μελικράτῳ. εἴωθε γὰρ τῇ τοιαύτῃ ἀγωγῇ πυοποιηθέντων τῶν τόπων, σαλευθεῖσα ἡ ἄκανθα, σὺν τοῖς καταπινομένοις κατάγεσθαι.

Πρὸς ὀστοῦ καταπόσιν, καὶ πρὸς ἀναβολὴν τῶν καταπειρομένων εἰς τὰ παρίσθμια.

Προσέχων τῷ πάσχοντι ἀνθρώπῳ ἀντικρὺς καθεζομένῳ, καὶ ποιήσας αὐτὸν προσέχειν σοι, λέγε· ἄνελθε ὀστοῦν. εἴτε ὀστοῦν ἢ κάρφος ἢ ἄλλο ὁτιοῦν, ὡς Ἰησοῦς Χριστὸς Λάζαρον ἀπὸ τάφου ἀνήγαγε, καὶ Ἰωνᾶν ἐκ τοῦ κήτους. Ἄλλο. Λέγε κατέχων τὸν λάρυγγα τοῦ πάσχοντος, Βλάσιος ὁ μάρτυς ὁ δοῦλος τοῦ θεοῦ λέγει, ἀνάβηθι ὀστοῦν ἢ κατάβηθι.

Περὶ τῶν ἀρτηριακῶν φαρμάκων, Γαληνοῦ. νδ.

Τὸν λάρυγγα καὶ τὴν ὑποκειμένην αὐτῷ τραχεῖαν ἀρτηρίαν, σὺν τοῖς ἰδίοις μυσὶν, ὑμὴν ἰσχυρὸς ὑπαλείφει. ὅταν οὖν πάθος τι, ἤτοι κατὰ τοῦτον τὸν ὑμένα, ἢ κατὰ τοὺς ἐν τῷ λάρυγγι μῦς γίνηται, ἀρτηριακὰς κοινῶς ὀνομάζουσι τὰς ἰωμένας αὐτὰς δυνάμεις. πάσχει δὲ ὁ ὑμὴν οὗτος ἢ ὑπερυγραινόμενος, ἢ τραχυνόμενος, ἢ ἑλκούμενος. τό τε βλάπτεσθαι τὴν φωνὴν, ἢ ἀποκεκόφθαι, ὅπερ ἐστὶ μὴ δύνασθαι φθέγγεσθαι, πλείοσιν αἰτίαις ἕπεται. τούτων μὲν, τοῖς ἀπὸ κεφαλῆς χρονίζουσι καταρρόοις, τούτων δὲ

ἐμπύοις, καὶ φθισικοῖς. καὶ ἐκ κραυγῆς δὲ μεγάλης καὶ πολλῆς, ἡ βραγχώδης γίνεται φωνή, καὶ διὰ ψυχροῦ καὶ ἀήθους πνεύματος εἰσπνοήν, καὶ διὰ πλείστην καὶ ἀήθη ἀκρατοποσίαν, μεγέθει δὲ ἀλλήλων διαφέρει τὰ πάθη. σφοδρότερον μὲν γὰρ διαβραχέντων τῶν φωνητικῶν ὀργάνων, ἡ ἀφωνία γίνεται. μετριώτερον δὲ ὑγρανθέντων, ἡ βραγχώδης ἀποτελεῖται φωνή. τοῖς μὲν οὖν ἐκ τοῦ βοῆσαι σφοδρῶς ἤδη πλέον κακωθεῖσι τὴν φωνήν, ὅμοιόν τι συμβαίνει πάθημα, τῷ γιγνομένῳ πολλάκις τοῖς ἄλλοις μορίοις τοῦ σώματος ἐπὶ πλεῖον κακωθεῖσιν. ὁ γὰρ ὑπαλείφων τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν λάρυγγα ὑμὴν ὑπὸ τοῦ κατὰ τὰς μεγάλας φωνὰς ἔξω φερομένου πνεύματος πληττόμενος, φλεγμονώδη διάθεσιν ἴσχει. κατὰ δὲ τὸν λάρυγγα πρὸς τῇ πληγῇ ταύτῃ, καὶ ἡ τῶν κινούντων αὐτὸν μυῶν βλάβη τῆς ἐνεργείας, μείζονα τὴν διάθεσιν ἐργάζεται. οὗτοι γὰρ οἱ τὴν φωνὴν ἐργαζόμενοι μύες, ἐν ταῖς μεγάλαις ἐκβοήσεσιν, οὐ μόνον πληττόμενοι τῷ διεξερχομένῳ πνεύματι βλάπτονται, ἀλλὰ καὶ ὑπερτεινόμενοι σφοδρῶς, μέγιστον κόπον ὑπομένουσι. θεραπεία δὲ καὶ τούτων κοινή, τοῖς τὰ ἄλλα μόρια τοῦ σώματος κεκοπωμένοις. λουτρὰ μὲν γὰρ γλυκέων καὶ εὐκράτων ὑδάτων ὀνίνησι μεγάλως, τοὺς φωνασκοῦντας πάντας. καθαρῳδοὺς λέγω, καὶ κήρυκας. καὶ ῥαψῳδοὺς ὅταν ἀγωνιζόμενοι θραύσωσι τὴν φωνήν. ὥσπερ δὲ τὸ ἔλαιον ἐπαλειφόμενον ἔξωθεν παραμυθεῖται, τὸ πᾶν σῶμα κεκοπωμένον, οὕτω καὶ ῥοφαὶ ἄδηκτοί τε καὶ χαλαστικαί, καὶ τὰ παρεμπλαστικὰ τῶν ἀρτηριακῶν φαρμάκων, ὀνίνησι τὸν πεπονθότα ὑμένα τῆς ἀρτηρίας. καὶ τοὺς μῦς. ὅταν μὲν οὖν δὴ τονώδεις κόποι, περὶ τοὺς τοῦ λάρυγγος μῦς, καὶ τὸν ὑμένα γίγνωνται, ἐν ἀρχῇ μὲν ἁρμόττει τὰ πραότατα μὲν ἐδέσματα φάρμακα δὲ ἐμπλαστικά, καταστάσης δὲ τῆς φλεγμονῆς, βραχύ τι τῶν ῥυπτικῶν προσθετέον. εἶτ' ἐφεξῆς πλέον, εἶτ' ἄλλο πάλιν ἐκείνου γενναιότερον, ὥστε κατὰ βραχὺ τὴν σύνθεσιν ἤδη τὸ μέσον ῥυπτικὸν ἀφικέσθαι, εἶτ' ἀπὸ τούτου διαφορητικώτερόν τι, καὶ ῥυπτικώτερον μικτέον, εἶθ' οὕτως ἤδη τὸ σφοδρότερον ἐλθεῖν. ὅταν ἤδη πλέον δὴ σκιρρώδης τις διάθεσις ἐν τοῖς φωνητικοῖς ὀργάνοις παραμένῃ. τῆς μὲν οὖν πρώτης τάξεως, ἐστὶ τραγάκανθα, καὶ κόμμι, καὶ σάμιος ἀστήρ. ἄμυλόν τε. καὶ τὸ διὰ χόνδρου καὶ τράγου καλῶς ἑψηθέντων ῥόφημα. καὶ γάλα δὲ ἐπιτήδειόν ἐστι καὶ ἴδιον, καὶ ὠὰ ῥοφούμενα. καὶ στρόβιλοι βεβρεγμένοι καὶ τὰ σήσαμα. καὶ τὸ σίραιον. καὶ ἕψημα καλούμενον καὶ τὸ τῆς γλυκυρρίζης ἀφέψημα, παχυνθὲν ἐν τῇ ἑψήσει. ἐφεξῆς δὲ τούτων ὑπάρχει τὸ βούτυρον. ταῦτα μὲν οὖν ἤδη ταῖς φλεγμονώδεσι διαθέσεσι κατὰ τὴν ἀρτηρίαν καὶ τὸν λάρυγγα, κατ' ἀρχὰς ἐστὶ χρήσιμα, ἄχρις ἂν ἡ φλεγμονὴ μετριωτέρα γένηται. οἴνου δὲ πόσεως ἀπεχέσθωσαν κατὰ τοῦτον τὸν καιρόν. ὅταν δὲ μετριώτερα τὰ τῆς φλεγμονῆς γένηται, δοτέον αὐτοῖς ποτὸν τὸν γλυκὺν θηραῖον, ἢ σίραιον. ἐν ᾧ καιρῷ καὶ τὸ βούτυρον ἐπιτήδειόν ἐστι, καὶ τὰ ἀμύγδαλα συνεψούμενα τοῖς ῥοφήμασι. καὶ γάλα. καὶ μέλι ἑψηθέντα ἐπὶ πλέον ἐμβληθέντος αὐτοῖς ἀμύλου. εἰ δὲ μὴ παρείη ἄμυλον, ἄρτον σιλιγνίτην ξηρὸν κεκομμένον καὶ σεσησμένον, ἐμπαστέον τῷ γάλακτι ἡψημένῳ. εὔδηλον οὖν, ὅτι κατὰ τὴν τοιαύτην δίαιταν, ἡ μὲν φλεγμονὴ παύεται τῶν κατὰ τὸν λάρυγγα, καὶ τὴν ἀρτηρίαν ὑμένων τε καὶ μυῶν. ὑγρότης δὲ καταλείπεται πολλή. δι' ἣν ἀδύνατόν ἐστι, λαμπρὰν εἶναι τὴν φωνήν, ἀλλ' οὖν τοῦ πάλιν χρῆσθαι ἐδέσμασι καὶ φαρμάκοις ἀδήκτως ῥύπτουσιν. ὁποῖόν ἐστι τότε κυάμινον ἔτνος, καὶ ἡ πτισάνη, καὶ τὸ πεφωγμένον λινόσπερμα, ἐν τῷ μεταξὺ γάρ ἐστι τὰ τοιαῦτα τῶν μέσων τὴν δύναμιν φαρμάκων. καὶ τῶν ἐμπλαστικῶν. τούτων δὲ ῥυπτικώτερόν ἐστι, ῥητίνη τερεβινθίνη, καὶ λιβανωτός, τό τε ἀπηφρισμένον μέλι, καὶ τὰ πικρὰ τῶν ἀμυγδάλων. κράμβη τε, καὶ τὰ καλῶς ἑψηθέντα πράσα. τούτων δὲ πάλιν ἰσχυρότερόν ἐστι, τό, τε τῶν ὀρόβων ἄλευρον, ὁρμίνου τε σπέρμα. καὶ ἴρεως ἡ ῥίζα. καὶ πάνακος. ἅπασι δὲ τοῖς πρώτοις ὅσα μαλακά ἐστι, γλυκὺς ὁ κρητικός. εἶτα καὶ θηραῖος. καὶ ὁ σκυβελίτης ἐπιτηδείως μίγνυται. τὸ γὰρ ἐκ τοῦ γλεύκους ἀποφιτουμένου σκευαζόμενον ὃ σίραιον καὶ ἕψημα καλοῦσιν, ἐμπλαστικώτατόν ἐστι καὶ ἀδηκτότατον. τὸ δὲ ἐκ τῶν ἰσχάδων σκευαζόμενον μελιτῶδες ἀφέψημα, διαφορητικώτερόν ἐστι, καὶ ῥυπτικώτερον. ἁπάντων οὖν χρὴ τῶν ἁπλῶν φαρμάκων ἐπίστασθαι τὰς δυνάμεις τὸν μέλλοντα σύνθετόν τι ποιῆσαι φάρμακον. ὁ δὲ αὐτὸς οὗτος καὶ τοῖς ὑφ' ἑτέρων συγκειμένοις ὀρθῶς χρήσεται. καὶ μάλιστα ὅταν ἀδιορίστως ᾖ γεγραμμένα. τούτων προδιωρισμένων, ὑποτακτέον τὰς ὑπὸ τῶν ἀρχαίων, ἀναγεγραμμένας ἀρτηριακάς.

Ἀρτηριακὴ πρὸς τὰς τῆς φωνῆς τραχύτητας ἐν ἀρχαῖς διδομένη παρηγορικωτάτη. κόμεως ∠. β. τραγακάνθης ∠. α. ἑψήματος ℥. α. κόψας σῆσε τραγάκανθαν καὶ κόμμι λέαινε μετὰ τοῦ ἑψήματος, μέχρι τοῦ διαλύσεως. ἔπειτα ἕψε ἐπ' ἀνθράκων ἀκάπνων, ἕως μὴ μολυνθῇ ἐνσταζόμενον ἐπ' ὀστράκῳ. καὶ δίδου ἐξ αὐτοῦ, ὑπὸ τὴν γλῶτταν κατέχειν.

Ἄλλη ἀρτηριακὴ κόμεως, Γο. ε. γλυκέως ℥. α. μέλιτος λι. α. λύε τὸ κόμμι, ὀλίγῳ ὕδατι. καὶ βαλὼν ἕψε ἅμα ἐπ' ἀνθράκων ἀκάπνων, ὡς προείρηται. καὶ δίδου ἐκλείχειν, εἰς ὕπνον πορευομένῳ, ὡς ἀποκοπάς.

Ἀντωνίου μοῦσα πρὸς τὰς τῆς φωνῆς

Κράμβης χλωρᾶς τοὺς καυλοὺς καθαροὺς δίδου διαμασᾶσθαι. καὶ τὸ μὲν ἀχυρῶδες αὐτῶν ἀποπτύειν κέλευε,

κέλευε, τὸν δὲ χυλὸν καταπίνειν. ἢ σύρακος ἐρεβίνθου τὸ ὅσον καταπίνετο. Ἄλλη. Κράμβης χυλὸν μετὰ μέλιτος ἑψήσας, δίδου ἐκλείχειν, τοῦτο ὠφελεῖ παραχρῆμα. Ἄλλη. Ἠρυγγίου ἐν ὕδατι ἑψημένου λαβὼν τοῦ χυλοῦ κοτύλην α. καὶ σύκων ἐν ὕδατι ἡψημένων τὸ ἴσον, καὶ τούτοις ἐπιβαλὼν, κόμμεως λειοτάτης ∠ η. ἕψε φιλοπόνως ὡς ἀρτηριακῆς ἔχειν πάχος, καὶ δίδου ἐκ τούτου ἐκλείχειν, εἰς ὕπνον τρεπομένοις, μέχρι κυάθου ἑνός. Ἄλλη πρὸς τραχύτητας βρόγχους, καὶ βῆχας, καὶ διαίμους πτύσεις. Ἀμύγδαλα πικρὰ λελεπισμένα κε. λινοσπέρμου πεφωγμένου, ∠ δ. τραγακάνθης ∠ β. ὠοῦ ὀπτημένου ἐν ζύμῃ, τὴν λέκιθον, ἡ τραγακάνθη ὕδατι ὀλίγῳ βρέχεται, τὸ δ' ὅλον γλυκεῖ ἀναλαμβάνεται δίδου ἐκλείχειν εἰς ὕπνον Γο. β. εἰ δὲ καὶ τὸ ἦχος εἴη τῆς φωνῆς τεθραυσμένον, μέλιτι σμίγε ἀντὶ τοῦ γλυκέος. καὶ μάλιστα ἐφ' ὧν ἀναχθῶσι, ἐκ τοῦ θώρακος ἡ χρεία, ἔλιγμα ᾧ χρώμεθα. Σκυβελίτου ξ. α. κόμμεως Γο. ϛ. μέλιτος, Γο. θ. προβρέξας ὕδατι ὀλίγῳ τὸ κόμμι καὶ συλλεάνας ἅπαντα, ἅμα ἕψε ἐν διπλώματι, καὶ χρῶ. Ἄλλη ἀρτηριακὴ ποιοῦσα καὶ πρὸς βῆχας. Λινοσπέρμου κεκομμένου καὶ σεσησμένου. σταφίδων λιπαρῶν ἐκγεγιγαρτισμένων, στροβίλων πεφωγμένων. καρύων ποντικῶν κεκαθαρμένων, ἴσα λεάνας μέλιτι ἀρκοῦντι ἀπέφθῳ ἀναλαβὼν, δίδου κοχλιάριον εἰς ὕπνον. Ἄλλη. Ὑπογλωττὶς πρὸς τὰς τῆς φωνῆς ἀποκοπὰς καὶ τὰς λοιπὰς περὶ τὴν ἀρτηρίαν διαθέσεις. Τραγακάνθης ∠ ιβ. κόμμεως, ∠ ιβ. σμύρνης ∠ γ. λιβάνου ∠ γ. φοινικοβαλάνων ϛ τὰς σάρκας, γλυκυῤῥίζης ∠ ϛ. γλυκέως προτρόπου ἢ θηραίου εἰς ἀνάληψιν ὅσον ἐξαρκεῖ ἔστω δὲ τὸ γλυκὺ προεψημένον, ὡς μέλιτος ἔχειν πάχος. δίδου κυάμου αἰγυπτίου μέγεθος, ὑπὸ τὴν γλῶτταν κατέχειν, τὸ διαλυόμενον καταπίνειν. Ἄλλο. Χαριξένου. γλυκυῤῥίζης χυλοῦ ∠ ϛ. τραγακάνθης ∠ ϛ. κρόκου ∠ β. σμύρνης ∠ β. λιβάνου ∠ α. ναρδοστάχυος ∠ α. προτρόπου ξ. ϛ. ἑψήσας εἰς μελιτώδη σύστασιν ἀναλάμβανε τὰ ξηρὰ καὶ χρῶ ποιεῖ ὄξει ἢ μετ' αὐτῆς. Ἀρτηριακὴ ποιοῦσα πρὸς ἤχους καὶ βρόγχους. καὶ φωνῆς ἀποκοπὰς, φλεγμονὰς παρισθμίων. ποιεῖ καὶ τοῖς φωνασκοῖς πρὸ τῶν ἀγώνων, καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. καὶ τοὺς κατεψυγμένους δὲ ὠφελεῖ. ποιεῖ βήττουσι προσφάτως τε καὶ χρονίως. αἱμοπτοϊκοῖς. ἀναφορικοῖς, κοιλιακοῖς. καὶ πρὸς τὴν τοῦ πνεύματος δυσωδίαν. κρόκου ∠ γ. σμύρνης ∠ α. λιβάνου ∠ α. γλυκυῤῥίζης ∠ α. γλυκέως κρητικοῦ ξ. γ. ἕψε εἰς τὸ τρίτον. καὶ ἀναλάμβανε αὐτῷ τὰ προειρημένα, καὶ χρῶ. Ὀρειβασίου. Ἀρτηριακὴ πρὸς τραχύτητα, καὶ ἀποκεκομμένην φωνήν. κρόκου, ∠ ζ. γλυκυῤῥίζης ναρδοστάχυος ἀνὰ ∠ δ. λιβάνου, σμύρνης, ἀνὰ ∠ γ. ὑοσκυάμου σπέρματος, ∠ α. μέλιτι ἐπιφρισμένου, Γο. ϛ. πεπέρεως λευκοῦ, κόκκοι ν. δίδου ὑπὸ τὴν γλῶτταν κατέχειν κυάμου μέγεθος. Ἄλλο. Χαριξένου πρὸς ἡλκωμένην ἀρτηρίαν ποιεῖ πρὸς τοὺς φωνασκουμένους, πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. ποιεῖ πρὸς ὀφθαλμῶν περιωδυνίας, ἔξωθεν ἐπιτιθεμένου ἐρίου αὐτῇ βεβρεγμένου. ποιεῖ πρὸς τὰς τῶν ἐντὸς διαθέσεις ἐκλιχομένη. κόμμεως ∠ ιβ. τραγακάνθης ∠ ιβ. λιβάνου ∠ γ. σμύρνης ∠ γ. κρόκου ∠ ε. ὑποκυστίδος χυλοῦ ∠ β. γλυκέως σκυβελίτου ἢ θηραίου ξ. α. κόμμι τραγακάνθαν, κόψας, σήσας ἕκαστον ἰδίᾳ λέαινε σὺν ὀλίγῳ γλυκεῖ. τὰ δὲ ἄλλα θλάσας προβρέξας λείοις ὁμοίως μετ' ὀλίγου γλυκέως. τὸν δὲ κρόκον εἰς ἐρίου ῥάκος ἐνδήσας ἀραιὸν, καὶ ἀποδήσας ἀποκρέμμασον τῆς χύτρας. καὶ βαλὼν πάντα ἕψε κινῶν, συνεχῶς εἶτα ἐξελὼν τὸν κρόκον καὶ λεάνας ἐμμάλα ἐν θυΐᾳ. καὶ ἐπιβαλὼν τὰ ἑψηθέντα καὶ ἑνώσας χρῶ. Ἀρτηριακὴ ᾗ χρησάμενος πολλάκις ηὐδοκίμησα. στροβίλια ξ. ἀμύγδαλα πικρὰ λελεπισμένα μ. φοινικοβαλάνων ϛ. τὰς σάρκας. γλυκυῤῥίζης χυλοῦ Ϝ. ιϛ. κρόκου Ϝ. α. σμύρνης Ϝ. α. τραγακάνθης Ϝ. ϛ. γλυκέως κρητικοῦ τὸ ἱκανόν. ἐφ' ὧν δὲ ἀναγωγῆς τῶν ἐν τῷ θώρακι χρεία γένοιτο. καὶ μέλιτος ἐπίβαλε σὺν τῷ ἑψήματι. Ἀρτηριακὴ Ἀνδρομάχου. σέκτος ὀρνιθείου προσφάτου Γο. γ. μέλιτος κοτύλην α. ἕψε ὁμοῦ κινῶν πηγάνου κλωνίοις ἕως συστῇ. καὶ δίδου νήστεσιν καὶ μετὰ τροφὴν καὶ εἰς νύκτα. Ῥόφημα πρὸς ἀποκεκομμένους ἤχους. μάλιστα δι' ὑγρότητα, ποιοῦν καὶ φωνασκικοῖς. Πράσα ἕψει εἰς ἀποτρίτωσιν. καὶ αὐτὰ μὲν ῥῖψον. τῷ δὲ ὕδατι, μίξον χόνδρου χυλόν. καὶ μέλι. καὶ ὠῶν τὰ πυρὰ γ. καὶ ἑνώσας ἕψει εἰς ἀποτρίτωσιν. καὶ διηθήσας, ἐπίβαλε ἑψήματος καλοῦ ξ. α. καὶ ἕψη πάλιν μέχρι συστάσεως. κινῶν ἀνήθου κλωνίοις. καὶ δίδου κοχλιάριον ἕωθεν, καὶ εἰς ἑσπέραν. Ἀρτηριακὴ ἀναγκαία. ποιοῦσα φωνασκικοῖς ἧς ἐπειράθη καὶ πρὸς βραγχῶντας διὰ πλείστην ὑγρότητα. κόστου. φύλλου. ναρδοστάχυος. ἀμώμου. κασίας. πεπέρεως. μαστίχης ἀνὰ ∠ ε. ὀπίου ∠ ε. μέλιτος. καὶ χυλοῦ μόρων διὰ ἴσης μεμιγμένων. τὸ ἀρκοῦν. ἵνα ἀναλαμβανόμενον αὐτοῖς φάρμακον ἰξῶδες γένηται τῇ συστάσει. καὶ χρῶ. διδοὺς ὑπὸ τὴν γλῶτταν κατέχειν καρύου ποντικοῦ τὸ μέγεθος. μὴ πάνυ δὲ στερεὸν σκευάζε ἵνα ῥᾷον τήκεται ὑπὸ τὴν γλῶτταν. Ἀρτηριακὴ ὑπογλωττὶς φωνὴν ἀποκεκομμένοις. βραγχῶσιν, ἀναφορικοῖς. τραγακάνθης ∠ ϛ. κόμμεως ∠ ϛ. σμύρνης ∠ ε. λιβάνου ∠ α S. πεπέρεως λευκοῦ κόκκοι κ. κρόκου ∠ α. γλυκυῤῥίζης χυλοῦ ∠ ϛ. φοινικοβαλάνων γ. τὴν σάρκα. γλυκέος κρητικοῦ τὸ ἱκανὸν, τὸ κόμμι καὶ ἡ τραγάκανθα κοπέντα καὶ σηθέντα βρέχεται τῷ γλυκεῖ.

σὺν τῷ χυλῷ τῆς γλυκυῤῥίζης· μὴ παρόντος δὲ τοῦ χυλοῦ, τὴν γλυκύῤῥιζαν θλάσαντες καὶ ἑψήσαν-
τες ἕως συστάσεως τὸ ξανθὴν βάλλομεν. Ἀρτηριακὴ ποικίλη πρὸς τὰς κεχρονισμένας δια-
θέσεις ἐν τραχείᾳ ἀρτηρίᾳ καὶ πνεύμονι ἐστί. ἀρτηριακὴ ποιεῖ ἀναφορικοῖς καὶ πρὸς πάντα, τὰ ἐν ἀπο
καλύψει, ἀποστήματα· καὶ παύει χρονίαν βῆχα· τέμνει φλέγμα· καὶ ὑπάγει κοιλίαν μάλιστα δὲ ὠφε-
λεῖ ὀρθοπνοϊκοῖς. σκίλλης καθαρᾶς ἑφθῆς ∠ ϛ. λινοσπέρμου ∠ ε. κνίδης σπέρματος ∠ ε.
περιστερεῶνος χυλοῦ ξηροῦ ∠ α. θύμου ∠ α. ἀλεύρου ὀροβίνου ∠ α. γλήχωνος. ἴρεως. βετονίκης.
ἀνίσου. καρδαμώμου. μαράθρου σπέρματος. πεπέρεως σελίνου. ἀνήθου σπέρματος τήλεως ἀνὰ ∠ α.
ἀναλάμβανε μέλιτι ἀττικῷ καὶ δίδου κοχλιάριον ἕωθεν καὶ εἰς ἑσπέραν ὁμοίως. Ἄλλη πρὸς τὰ
τῆς ἀρτηρίας πάθη. καὶ ἕλκη ἐν πνεύμονι καὶ πύου, ἀναγωγάς· καὶ αἵματος. καὶ τοὺς εἰς θώρακα
ῥευματισμούς. καὶ πρὸς τὸ ἀνάγειν τὰ ἠθροισμένα ἐν τῷ πνεύμονι σφόδρα ἐνεργόν. ῥητίνης τερεβιν-
θίνης. κρόκου. λιβάνου. σμύρνης φωγλύτιδος. γῆς ἀστέρος. κινναμώμου στροβιλίων κεκαθαρμένων.
γλυκυῤῥίζης ἀνὰ ∠ δ. ἀμώμου φαγανθίνης φοινίκων λιπαρῶν τῆς σαρκὸς ἀνὰ ∠ γ. ναρδοστά-
χυος ∠ β. κασίας ∠ β. κόστου ∠ α. χαλβάνης καθαρᾶς ὀβολοὺς δ. μέλιτος ἀττικοῦ λι. ϛ. τὸ μέ-
λι καὶ τὴν τερεβινθίνην, ἕψε ἐν διπλώματι. καὶ ὅταν ἄρξηται συστρέφεσθαι μιγνὺς τὴν χαλ
βάνην προμεμαλαγμένην ἀκριβῶς. καὶ ἕψε ἄχρις οὗ μὴ μολύνῃ, εἶτα ψύξας κινῶν, μίγνυε ἐν
θυΐᾳ, τοῖς λοιποῖς κεκομμένοις καὶ σεσησμένοις. καὶ χρῶ. δίδους κατέχειν ὑπὸ τὴν γλῶτταν. Ἄλ
λη ποιοῦσα πρὸς πάντα τὰ προῤῥηθέντα. ναρδοστάχυος ∠ δ. κρόκου ∠ α. πεπέρεως κόκκοι λ.
γλυκυῤῥίζης ∠ α. στροβιλία κεκαθαρμένα ρ. στύρακος ∠ α. βαλαυστίου ∠ γ. φαγανθίνης ∠ α.
κινναμώμου ∠ α. ἀμώμου ∠ α. λιβάνου ∠ α. μέλιτος λι. α S. ἢ γλυκέως κρητικοῦ κοτύλας η. ὁ
γλυκὺς, ἐν διπλώματι ἕψεται ἕως μέλιτος σχῇ πάχος. καὶ καταχεῖται κατὰ τῶν ξηρῶν λείων
ἐν θυΐᾳ. ἡ δὲ φαγανθίνη κόπτεται. καὶ σήθεται καὶ λειοῦται σὺν τῷ στύρακι, μετ᾽ οἴνου γλυκέως
ὀλίγου καὶ οὕτως μίγνυται. δίδου κοχλιάριον καὶ χρῶ. εὗρον γὰρ ἀμφότερα παραγεγραμμένα
ὅτι πάνυ εὐδόκιμα ἐστὶ καὶ πρὸ αὐτοῦ βοήθημα. Ἄλλο ἐκ τῶν ἀσκληπιάδου πανάκεια μυθει
δέτου. φωνασκουμένοις πρὸ τῶν ἀγώνων καὶ μετὰ τοὺς ἀγῶνας διδομένη. ποιεῖ καὶ πρὸς αἰπάδων
φλεγμονάς. κιονίδα κεχαλασμένην. ποιεῖ καὶ πρὸς οὖλα πλαδαρὰ καὶ τὰς ἐν τῷ στόματι νομάς.
καὶ σειομένους ὀδόντας. ἁρμόζει πρὸς καταῤῥοῦν καὶ βηττοῦσι χρονίως. καὶ προσφάτως ποιεῖ, αἱμοπτοϊκοῖς.
ἀναφορικοῖς. χρῶμαι δὲ φαρμάκῳ ποτὲ μὲν ἀκράτῳ. ἔστι δ᾽ ὅτε διαλυθέντι γλυκεῖ ἢ σκυβελίτῃ. ἢ ὕδα
τι θερμῷ. πρὸς μὲν γὰρ τὰς τῶν παρισθμίων φλεγμονὰς καὶ τὰς τοιαύτας διαθέσεις χρηστέον, ἀνιε
μένῳ τῷ φαρμάκῳ πρὸς δὲ τὰς ἐν βαθεῖ ἀκράτως. τὰ δὲ τῆς συνθέσεως ἔχει οὕτως. ῥίζαι πιτύρεως,
ὡς ὅτι παχύταται πλύνονται ἐπιμελῶς, ἕως ἂν τὸ γεῶδες ἀποστῇ. εἶτα ψύχονται κατατεμνό
μεναι εἰς δακτυλιαῖα μεγέθη. ἐκ τούτων αἴρομεν λι. γ. καὶ κωδύας μήκωνος ἀγρίας συμμέτρους,
κ. συμφύτου ῥίζης κεκαθαρμένης. μανδραγόρου ῥίζης φλοιοῦ. ῥοῦ ποντικοῦ. ῥόδων ξηρῶν. ἴρεως ἰλ
λυρικῆς. γλυκυῤῥίζης βαλαυστίων ἀνὰ Γο. γ. κασίας Γο. δ. νάρδου κελτικῆς Γο. α S. ὕδατος ὀμβρίου
ξ. ιε. τὰ προειρημένα πάντα παχυμερῶς κόπτεται καὶ βρέχεται ἐπὶ ἡμέρας γ. τῇ δὲ ἑξῆς ἕψε-
ται ἐν διπλώματι, εἰς τὸ τρίτον. ἔπειτα ἐκθλιβόμενα καὶ διηθούμενα. ἐκ δὲ τούτου τοῦ ἑψήμα-
τος βάλλοντες, βρέχομεν τὰ ὑπογεγραμμένα, ἡμέραν καὶ νύκτα. ἔστι δὲ ταῦτα κόμεως καθαροῦ
λι. α. φαγανθίνης διαυγοῦς λι. α. σμύρνης φωγλύτιδος Γο. ε. γλυκυῤῥίζης χυλοῦ Γο. β. κρόκου Γο. α.
μαστίχης Γο. α. ὑποκυστίδος χυλοῦ Γο. β. τῇ δὲ ἑξῆς λεαίνομεν φιλοπόνως, κατὰ βραχὺ ἐπιβάλλον-
τες τοῦ ἐκθλιβέντος ὑγροῦ. ἔπειτα οἴνου σκυβελίτου. ἢ θηραίου. ἢ ἑτέρου γλυκυτάτου ἐπιβάλλον
τες ξ. κδ. εἰς ἀγγεῖον ὀστράκινον ἕψω. καὶ ὅταν ἔχῃ μέλιτος σύστασιν, τούτῳ ἐπιβάλλομεν τὰ λειού-
μενα πάντα. καὶ πάλιν ἕψομεν μέχρι συστάσεως. εἶτα ἀνελόμενοι, χρώμεθα ἡ δόσις κοχλιάριον ἢ
διακωδιῶν, πρὸς βῆχας ὑγράς. καὶ πόνους ἀρτηρίας. καὶ φάρυγγος, καὶ πρὸς τοὺς ἀπὸ κεφαλῆς
εἰς θώρακα ῥευματισμούς. καὶ τὰς ἀγρυπνίας. κωδείας ἀγρίας θηβαϊκὰς συμμέτρους ι. σὺν τῷ
σπέρματι. ὕδατος ὀμβρίου ξ. α. γλυκυῤῥίζης ὀλίγον προβρέχων ἡμέραν μίαν, ἕψει μέχρι τακερὰ
γένωνται τῇ ἁφῇ αἱ κωδύαι. καὶ ἐκθλίψας, καὶ διηθήσας ἐπίβαλε τῷ ἑψήματι μέλιτος τὸ ἥμι
συ, καὶ ἕψει ἐπ᾽ ἀνθράκων μέχρι συστάσεως μελιτώδους. καὶ χρῶ. ἡ μὲν οὖν ἀπιμελεστέρα σκευασία
τῆς ἀντιδότου καὶ ἡ κατὰ μέρος χρῆσις, προείρηται ἐν τῷ περὶ τῶν ἡδέων πομάτων τοῖς νοσοῦσι, λό-
γω ε. εἰ δὲ βούλει αὐτὸ ἐφεκτικώτερον, τῶν τῆς κοιλίας ῥευμάτων. ἐργάσασθαι, καὶ αἱμοπτοϊκοῖς
ἁρμόδιον. ῥοῦ ἐρυθροῦ χυλοῦ πρόσβαλε ∠ ε. καὶ ἀκακίας ∠ β. ταῦτα δὲ γλυκεῖ διαλύων ἔμ
βαλε ἐν τῇ χύτρᾳ. μέλλων δὲ ἀφαιρεῖν τὸ φάρμακον ἀπὸ τοῦ πυρός. καὶ συναναξέσας ἐπ᾽ ὀλίγον,
χρῶ παρέχων κοχλιάριον εἰς κοίτην. ἡ διὰ κωδειῶν ποικίλη. Κωδείας μήκωνος, ρκ. βάλλε εἰς
ὕδατος ξ. γ. καὶ ἔα βρέχεσθαι ἡμέραν γ. καὶ ἑψήσας ὡς λειφθῆναι τὸ τρίτον, τὰς μὲν κωδείας ῥί
ψον. τῷ ὕδατι μίξον μέλιτι ξ. α. καὶ ἑψήσας ἕως μελιτώδους συστάσεως ὥστε μὴ ἀποῤῥεῖν, ἔμβα-
λε κρόκον, σμύρνης, ἀκακίας, ὑποκυστίδος χυλοῦ ἀνὰ ∠ α. καὶ δίδου εἰς ὕπνον ἔκλυγμα. ποιεῖ
δὲ

δὲ αἱμοπτοϊκοῖς. κοιλιακοῖς, καὶ δυσεντερικοῖς. ἐγὼ δὲ τῇ διὰ κωδειῶν τῇ δεχομένῃ εἰς λι. α. κωδείας
δέκα μιγνὺς τὰ εἰρημένα, χρῶμαι σταλτικῷ φαρμάκῳ.

Περὶ καταῤῥόου καὶ κορύζης ἐκ τῶν Γαληνοῦ. νζ.

Καταῤῥόου καὶ κορύζης αἴτιος ὁ ἐγκέφαλος. ἐν μὲν ταῖς ψύξεσιν, εἰς δυσκρασίαν ψυχρὰν ἀγόμενος. ἐν
δὲ ταῖς ἐγκαύσεσι θερμαινόμενος καὶ πληρούμενος. καὶ οἶνος δὲ πλείων τοῦ δέοντος ποθεὶς, πληροῖ
τὴν κεφαλὴν, καὶ λουτρὰ θερμότερα καὶ διαψιλὴς θερμοῦ κατάχυσις κατὰ κεφαλῆς. μάλιστα θερ-
μοτέρας. καὶ τροφὴ ἐν τῇ γαστρὶ ἀπεπτηθεῖσα, καὶ μὴ διαχωρήσασα κάτω, ἐπὶ τὴν κεφαλὴν τὴν
ὁρμὴν λαμβάνει. πληρωθεῖσα μὲν οὖν ἡ κεφαλὴ, πάλιν τοῖς ὑποκειμένοις παραπέμπει τὰ ὑγρά.
καὶ εἰ μὲν εἰς τὰς ῥῖνας καταῤῥέει τὸ περίττωμα, κόρυζαν τὸ πάθος ὀνομάζουσιν. εἰ δὲ εἰς τὸν γαργα-
ρεῶνα κατασκήψει, ἤτοι τὴν καλουμένην σταφυλὴν γεννᾷ. πάθος δέ ἐστι τοῦτο περὶ τὸν γαργαρεῶ-
να συνιστάμενον, ἢ ἄλλως εἰς ὄγκον ἐγείρει αὐτὸν ἑτοιμοτάτη οὖν ἡ εἰς τὰς ῥῖνας καὶ εἰς τὸ στόμα φο-
ρὰ τοῦ ῥεύματος. παραγίνεται δ' ἐνίοις καὶ εἰς ὀφθαλμοὺς, ἐνίοτε δὲ καὶ εἰς τὰ ὦτα. τὴν δ' εἰς τὸ στό-
μα φορὰν, ὑποδέχεται ὁ στόμαχος καὶ ἡ τραχεῖα ἀρτηρία. καὶ δηλονότι καὶ ὁ λάρυγξ ὑγραινόμε-
νος δὲ ὁ λάρυγξ ὑπὸ τῶν εἰς αὐτὸν ἐκ τῆς κεφαλῆς καταῤῥεόντων, ἐν ἀρχῇ μὲν βραγχώδη τὴν
φωνὴν ἐργάζεται. προϊόντος δὲ τοῦ χρόνου, καὶ μικράν. εἰ δ' ἐπὶ πλέον αὐξήσει τὸ κακὸν, ἀπόλλυ-
ται πᾶσα ἡ φωνὴ συνδιαβρέχεται γὰρ τῷ λάρυγγι καὶ ἡ τραχεῖα ἀρτηρία. δριμέως δὲ τοῦ ῥεύμα-
τος ὄντος, οὐκ εἰς τὴν φωνὴν μόνην βλάβη τοῖς εἰρημένοις μορίοις γίνεται. ἀλλὰ καὶ χαλεπωτά-
τη τις ἀνάβρωσις προσέρχεται. τοιαύτη τὴν φύσιν, οἵαν περ κατὰ τὸ δέρμα θεώμεθα γιγνομένην
πολλάκις, ἄνευ τῆς ἔξωθεν αἰτίας. οὕτως δὲ καὶ πνεύμων αὐτοῖς ἑλκοῦται. καὶ καλεῖται φθόη
τὸ πάθος. ἐὰν δὲ εἰς τὸν στόμαχον καὶ τὴν γαστέρα κατασκήπτῃ τὸ ῥεῦμα, ψυχρὸν μὲν ὑπάρχον, εἰς δυσκρα-
σίαν ψυχρὰν ἄγει τὰ σώματα. θερμὸν δὲ εἰς θερμήν. ἑλκοῖ δὲ καὶ τοῦτο, τῷ χρόνῳ, κατ' ἀρχὰς δὲ
τὰς ὀρέξεις βλάπτει καὶ τὰς πέψεις. ἐὰν μὲν οὖν ψυχρὸν ᾖ, βραδυπεψίας τε καὶ ἀπεψίας καὶ
ὀξυρεγμίας ἐργάζεται. ἐὰν δὲ θερμὸν, εἰς διαφθορὰν ἄγει τὴν τροφὴν, ἤτοι κνισσώδεις ἢ βρωμώ-
δεις ἢ ὀξώδεις ἐρυγὰς ἀναπέμπουσαν. ἢ τινὸς ἑτέρας ἀῤῥήτου τε καὶ ῥητῆς ποιότητος. ὑποκατα-
βαίνουσα δὲ ἡ βλάβη, καὶ τὴν νῆστιν ἀδικεῖ. καὶ τοῦ κώλου ἅπτεται, καὶ τῶν κατὰ τὸ μεσεντέριον ἀγ-
γείων. δι' ὧν εἰς ἧπαρ ἡ ἀνάδοσις γίνεται. καὶ τισὶ μὲν, ἀνορεξίαι παρακολουθοῦσιν, ἐνίοις δὲ, ὀρέξεις
παρὰ φύσιν, ἃς ὀνομάζουσι κυνώδεις, ἢ καὶ μοχθηρῶν ἐδεσμάτων ἐπιθυμίαι. καθάπερ ταῖς κυού-
σαις γυναιξὶ συμβαίνει. εὔδηλον δὲ ὅτι καὶ γαργαρεὼν, καὶ παρίσθμια πάσχει, καὶ παρουλίδες,
ἀντιάδες τε καὶ βρώσεις ὀδόντων. ἑλκώσεις τε καὶ σηπεδόνες ἐν τῷ στόματι τοῖς ἐκ τῆς κεφαλῆς
εἰς αὐτὸν καταῤῥέουσιν ἰχῶρσιν ἕπονται. καὶ τό γε πολὺ πλῆθος τῶν ἰατρῶν, ἢ τὸν γαργαρεῶνα τέ-
μνουσιν, ἢ φάρμακα διδόασιν, ὅπως ἀναπτύηται τὰ διὰ τῆς τραχείας ἀρτηρίας εἰς τὸν πνεύμονα
κατενεχθέντα. τῆς δὲ γαστρὸς ἄλλοι προνοοῦνται. καθάπερ ἄλλοι τῶν ὀδόντων τε καὶ τοῦ στόματος.
ἢ καὶ τῶν ἐν τῇ ῥινὶ συνισταμένων, ἢ εἰς τοὺς ὀφθαλμοὺς, ἢ εἰς τὰ ὦτα παθῶν. βέλτιον δ' ἦν οἶμαι,
τὴν οἷον πηγὴν τῶν κακῶν, ἐκκόψας, ῥώσαντας τὴν κεφαλὴν, ἢ εἴπερ ἀδύνατον εἴη τοῦτο διὰ τὴν
σφοδρότητα τῆς φυσικῆς δυσκρασίας, προνοεῖσθαι γοῦν αὐτῆς διὰ παντὸς. τὴν ἔνδειξιν τῆς προ-
νοίας, ἀπὸ τῆς κατ' αὐτὴν ἰδέας ποιούμενον, οὐχ ὡς ἔνιοι τῶν ἰατρῶν ἁπάσαις δὴ ταῖς κεφαλαῖς
τὰ διὰ θαψίας καὶ νάπυος προσφέρουσι καταπλάσματα, οὕτω δὲ καὶ σὲ πράττειν ἀξιῶ. εἰ γὰρ
ὑπὸ θερμῆς δυσκρασίας ἡ κεφαλὴ τὴν κάκωσιν ἴσχει, βλαβερὰ πάντα τὰ θερμαίνοντα φάρ-
μακα. χρὴ τοίνυν αὐτοὺς λουτροῖς θερμοῖς ποτίμων καὶ γλυκέων ὑδάτων παρηγορεῖν. διαφοροῦν-
τά τε ἅμα τοὺς ἐν τῇ κεφαλῇ γεννωμένους ἀτμοὺς θερμοὺς, καὶ τὴν κρᾶσιν ὅλην ἐργαζομένους βελ-
τίω. βλαβερὰ δὲ τούτοις, ἡ τῶν αὐτοφυῶν ὑδάτων θερμῶν χρῆσις. ὅσα μὲν γὰρ αὐτῶν θειώδη τέ
εἰσι καὶ ἀσφαλτώδη, τῷ θερμαίνειν, ἐναντιώτατά ἐστι ταῖς φύσει θερμαῖς κεφαλαῖς. ὅσα δὲ στυ-
πτηριώδη, τῷ στεγνοῦν τὴν κεφαλὴν, βλαβερὰ γίγνεται. ἀλλ' οὐδὲ τὰ γλυκέα θερμὰ ἃ ὀνομάζο-
μεν αὐτοφυῆ. οὐδὲ γὰρ ἂν εὕρῃς αὐτοφυῆ θερμὰ, μὴ μετέχοντα τινὸς φαρμακώδους ποιότητος. ὅ-
σοι δὲ σφόδρα θερμὴν καὶ διακαῆ τὴν κεφαλὴν ἔχουσι, καὶ διὰ τοῦτο συνεχῶς τοῖς καταῤῥόοις ἁλι-
σκομένην, ἄμεινον αὐτοῖς ὡραθέρους ἀλείφεσθαι ῥοδίνῳ. τῷ χωρὶς στυμμάτων ἐκ μόνων ῥόδων καὶ
ὀμφακίνου ἐλαίου τοῦ καλλίστου γεγονότι. τινὲς δὲ κεφαλὴν διὰ τὴν τῶν ἀρτηριῶν θερμοτέρων κρά-
σιν, συμπτώμασιν ἁλίσκονται σκοτωματικοῖς τε καὶ κεφαλαλγικοῖς, ἐφ' ὧν καὶ ταῖς ἀρτηριοτο-
μίαις χρώμεθα. ἐπισκέπτεσθαι τοίνυν χρὴ τὴν προηγησαμένην τοῦ καταῤῥόου αἰτίαν, καὶ τὴν προ-
γεγενημένην δίαιταν. καὶ οὕτως τὰ ἐναντία βοηθήματα προσάγειν. καθόλου δὲ ὀλιγοσιτίᾳ χρη-
στέον. καὶ ἡσυχίᾳ, ἀπεχομένους ψύξεως καὶ ἐγκαύσεως, εἰ δὲ καὶ τὰ σιτία, ἔτι ἄπεπτα ἐν γαστρὶ ἐμ-
πλέοι, ἐμέτῳ χρῆσθαι παραινεῖν. ἐκ τῶν Φιλουμένου πάνυ ὠφέλιμον ἐστι τοῖς τὸν καταῤῥόον ἔ-
χουσι, τριβομένων αὐτῶν τῶν πελμάτων εὐτόνως, πίσσῃ ἐλαίῳ διαλυθείσῃ πολλῷ. τῷ δ' αὐτῷ καὶ
βουβῶνας χρίειν, καὶ δακτύλιον τὰς δὲ ῥῖνας διαχρίειν λιβανῷ καὶ σμύρνῃ σὺν οἴνῳ λειωθεῖσι, ἢ

ἐλαίῳ ὡς μέλιτος ἔχειν πάχος, καὶ ἴρινον δὲ μύρον ἐνστάζειν ταῖς ῥισί. καὶ μελάνθιον δὲ πεφρυγμέ-
νον ἀποδεθὲν ἐν ὀθονίῳ ὀσφραινέσθωσαν, ἢ τὸ ἡδύχροον μετὰ χεῖρας ἐχέτωσαν, καὶ συνεχῶς ὀσφραι-
νέσθωσαν, ἢ τὸ κῦφι ὁμοίως. ἀναγαργαριζέσθωσαν δὲ συνεχῶς, σκυβελίτην ἢ ἕψημα θερμόν. ἀφλε-
γμάτων δὲ ἐπιτιθέναι κατὰ τοῦ μετώπου, οἷον τὴν ἱκεσίου, ἢ τὴν ὀξυκρᾶν, καὶ τὴν βάρβαραν τὴν
ἔναιμον, ἢ τὴν ἀθηνᾶν. διδόναι δὲ καταρροφεῖν τὸ δι' ὑσσώπου καὶ σύκων, καὶ στροβύλων καὶ ἴρεως
ἀφέψημα. καὶ ἄλικα διὰ τοῦ γλυκέος ἐσκευασμένον. εἰ δὲ ἐπὶ τούτοις μὴ παύοιτο ὁ κατάρρους, μη-
δὲ μὴν αὔξησιν λαμβάνοι. ἀλλ' ἐμμένοι ὡσαύτως ἔχων ἐπὶ πλείους ἡμέρας, καταχρουνισμὸς τῆς
κεφαλῆς, δραστικώτατόν ἐστι βοήθημα. καὶ μάλιστα ἐν θέρει, καὶ ἐπὶ κεφαλῆς θερμοτέρας. δεῖ
δὲ ἀφ' ὑψηλοῦ ῥέοντος ψυχροῦ ὕδατος ἐν τοῖς βαλανείοις τὴν κεφαλὴν ὑπέχειν. ὥστε αὐτὴν, βιαίαν
10 πλῆξιν ὑπομεῖναι. παραχρῆμα γὰρ λύει τὴν σφήνωσιν. προσεπισκέπτεσθαι δὲ χρὴ μὴ εὐπαθὴς
ᾖ ὁ θώραξ. μεταλαμβάνει γὰρ εἴωθεν ῥᾳδίως τὴν ἀπὸ τῆς κεφαλῆς ψύξιν. καὶ φθάνει ὀχλήσειν ἰσχυ-
ρῶς. ἰᾶται δὲ τοὺς χρονίους κατάρρους κλυστὴρ δραστικός. ἢ ἀπὸ ῥαφανίδων νῆστις ἔμετος. ἢ κάθαρσις
τοῦ πλεονάζοντος χυμοῦ, καὶ ἐμβροχὴ τῆς κεφαλῆς διϊρίνου μύρου. ἢ ναρδίνου σπουδαίου. ἐπὶ δὲ
τῶν συνεχῶς καταρροϊζομένων καὶ χρονιζόντων τῷ πάθει, ξυρήσας τὴν κεφαλὴν, καὶ ἀμυχαῖς
χρησάμενος, ἐπιτίθει τῶν ἀσφαλτηρῶν τινὰ ἐμπλάστρων. φαρμάκοις δὲ τοῖς καταπινομένοις χρη-
στέον τοιούτοις. Ἔκλειγμα πρὸς κατάρρουν. μέλιτος ℥ β. βουτύρου νεαροῦ ℥ α. ἑψήσας καὶ
μερίσας εἰς δύο, δίδου ἐκλείχειν, ἐφ' ὧν ἀναγωγῆς ἐστι χρεία. Διαμάσημα πρὸς κατάρρουν.
ὀρμίνου σπέρματος. μήκωνος μελαίνης σπέρματος. λινοσπέρμου πεφρυγμένου ἴσα. μέλιτι ἑφθῷ ἀνα-
λαβὼν, δίδου ἐξ αὐτοῦ πρωῒ διαμασᾶσθαι. κάλλιστα δὲ πρὸς κατασταγμοὺς ἡ διὰ κωδειῶν ἀντίδο-
20 τος ὑπνωτικὴ διδομένη εἰς κοίτην. ὕπνον γὰρ ἡδὺν ἐπιφέρει, καὶ τὸν ῥευματισμὸν ἐπαναστέλλει.
εἴρηται δὲ αὐτῆς ἡ σκευασία, ἔν τε τοῖς ἀρτηριακοῖς προβραχέος, κἀν τῷ περὶ τῶν ἡδέων πομάτων
τοῖς νοσοῦσι πέμπτῳ λόγῳ. Καταπότιον πάνυ δόκιμον πρὸς κατάρρους ἀνώδυνον. στύρακος
∠ ς. σμύρνης ∠ β S. τερεβινθίνης ∠ β. χαλβάνης ∠ β. ὀποπάνακος ∠ β. ἴρεως ∠ β. πε-
πέρεως λευκοῦ. ναρδοστάχυος. νίτρου. ὑοσκυάμου σπέρματος. ὀπίου, ἀνὰ ∠ α. τὰ ξηρὰ κόψας σή-
σας. τὰ δὲ λοιπὰ ὁλμοκοπήσας, χωρὶς ὑγροῦ. καὶ ἑνώσας, δίδου κοκκία ὀροβιαῖα, εἰς κοίτην κα-
ταπίνειν. καὶ μηδὲν ἐπιρροφείτωσαν. ἡ τελεία δόσις κοκκία δ. ἡ μέση γ. ἡ ἐλαχίστη β. Ἀσκληπιά-
δου πρὸς κατάρρουν, ὠφελοῦν παραχρῆμα τοὺς ἐπὶ ψυχρᾷ κράσει. Πυρέθρου κόστου, ἀνὰ ∠ β.
πεπέρεως λευκοῦ, ∠ α. κόψας, καὶ σήσας ἀπόθου. ἐν δὲ τῇ χρήσει, κέλευε παραπτέσθαι τῶν μυ-
ξωτήρων, καὶ τὸ φάρμακον ἀνασπᾶν. Ἄλλο πρὸς κατάρρουν ἀνώδυνον. Στύρακος ∠ δ. σμύρ-
30 νης, ὀπίου. χαλβάνου, ἀνὰ ∠ α. ὁλμοκοπήσας, ἐπίσταξον ἕψημα. καὶ ἀναλάμβανε καταπότια ὀρο-
βιαῖα. καὶ δίδου τὴν τελείαν δόσιν, δ. τὴν μέσην γ. τὴν ἐλαχίστην β. καὶ ἐπιρροφείτωσαν κυάθου,
β κεκραμμένου θερμοῦ γλυκέος. Ἄλλο. Πεπέρεως ∠ β. κνίδης σπέρματος τὸ ἴσον. κόστου.
σμύρνης, κρόκου ἀνὰ, ∠ α. χρῶ καθὰ προείρηται. παραπτόμενον ἐπὶ τῶν ψυχροτέρων τὴν κρᾶ-
σιν. τυρὸς δὲ ἁπαλὸς πρόσφατος ἐσθιόμενος, ὠφελεῖ. καὶ κράμβης καυλοὶ ὠμοὶ νῆστις ἐσθιόμενοι, καὶ
κράμβη ἡ φυφορωτέρα ἑφθὴ ἐσθιομένη. ἐπὶ δὲ τῶν θερμοτέρων τὴν κρᾶσιν, δίδου ἐσθίειν, καὶ θρί-
δακος καυλοὺς πλείστους ἀπεξεσμένους. ἀποβαπτέσθωσαν δὲ ὀξυκράτῳ.

Περὶ βηχός. κη.

Βηχὸς αἰτίαι διάφοροι. καὶ γὰρ ὑγρὸν ἀπὸ κεφαλῆς καταρρέον εἰς τὴν τραχεῖαν ἀρτηρίαν, ἐργάζε-
ται βῆχα. καὶ ἡ τραχύτης δὲ μόνη τοῦ ὑπαλείφοντος ἔνδοθεν τὴν τραχεῖαν ἀρτηρίαν ὑμένος, ἐρεθί-
40 ζει βῆχα. καὶ τὰ παρεμπίπτοντα δὲ πινόντων, ἢ ἐσθιόντων, βῆχα κινεῖ. καὶ ἕλμινθες δὲ τῷ στομά-
χῳ ἐνοχλοῦσαι, βήχια σμικρὰ ἐρεθίζουσι. καὶ χυμὸς δὲ δριμὺς ἐνοχλῶν τῷ στομάχῳ, καὶ ποιότητά
τινα ἐρεθιστικὴν παραπέμπων τῇ φάρυγγι, φαντασίαν βηχὸς ἐργάζεται. ὡς ἐπὶ τῶν δακνομένων
τὸν στόμαχον καὶ σιελιζόντων γίγνεται. μηδενὸς ὀχληροῦ περιεχομένου, κατὰ τὴν τραχεῖαν ἀρτη-
ρίαν. καὶ δυσκρασία δὲ ψυχρὰ τῶν ἀναπνευστικῶν ὀργάνων, αἰτία γίγνεται βηχός. βήττουσι δ' οὗτοι
μετρίως. καὶ ἀβιάστως οὕτως, ὡς μὴ μόνον δύνασθαι κατέχειν καὶ κωλύειν τὴν βῆχα, τῇ κατοχῇ τοῦ
πνεύματος, ἀλλὰ καὶ ἰᾶσθαι πολλάκις, αὐτὴν τῇ τῆς ἀναπνοῆς ἐπισχέσει. τὰ κατεψυγμένα τῶν
μορίων ἐκθερμαίνοντες. σημεῖον δὲ τῶν ἐπὶ δυσκρασίᾳ μόνῃ βηττόντων ἐστὶ, τὸ κατὰ τὰς ἀθρόας εἰσ-
πνοὰς ἐρεθίζεσθαι, δηλονότι τῆς ψύξεως ἐπιτεινομένης. ὅταν γοῦν οὗτοι πράως τε εἰσπνέωσιν καὶ
ἐν οἴκῳ θερμῷ, διατρίβωσιν, ἢ μικρὸν, ἢ οὐδ' ὅλως βήσσουσιν. αἱ δὲ μετὰ γαργαρισμοῦ τῶν περὶ τὸν
50 οὐρανίσκον καὶ τῶν παρ' ἑκατέρωθεν μερῶν γιγνόμεναι βῆχες ἐνδείκνυνται σαφῶς ἀπὸ τῆς κε-
φαλῆς συνδίδοσθαι τὸ ῥεῦμα εἰς τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν πνεύμονα. μηδενὸς δ' ἐπὶ τούτων
ἀναπτυομένου, λεπτὸν εἶναι χρὴ γινώσκειν τὸ καταρρέον. καὶ γὰρ περισχιζόμενον τῇ ἐξωθήσει τοῦ
πνεύματος, ὑπὸ τῆς λεπτότητος πάλιν αὐτίκα καταρρεῖ. φανερὸν δ' ὅτι τὸ ἀναπτυόμενον, παχύτε-
ρον ἔχει τοῦ προτέρου τὴν σύστασιν, ἀναρρυβδούμενον ὑπὸ τοῦ πνεύματος. εὔδηλον δ' ὅτι καὶ ἐν τῷ

πνεύμονι καὶ θώρακι περιεχόμενον ὑγρὸν, ἐν πλευρίτισι καὶ περιπνευμονίαις, καὶ φθίσεσι, μέγιστον αἴτιον γίγνεται. ἰασόμεθα δὲ, τὴν μὲν ὑπὸ λεπτῷ ῥεύματι γινομένην βῆχα, παχύνοντες τῇ διὰ τῶν κωδειῶν ἀντιδότῳ. ἤ τινι τῶν ἀνωδύνων καλουμένων φαρμάκων χρώμενοι. καὶ ῥοφαῖς εὐχύμοις. εἰ δὲ παχὺς ἢ γλίσχρος εἴη ὁ λυπῶν χυμὸς, διὰ τῶν λεπτυνόντων τε καὶ τεμνόντων θεραπεύσομεν. τὴν δὲ τῶν ἀρτηριῶν ψύξιν, διὰ τῶν θερμαινόντων, τὴν δὲ διὰ τραχύτητα γινομένην, διὰ τῶν ἐκλεαινόντων, καὶ ἀδήκτων. οἷα ἐστὶ τὰ ἁπλούστερα τῶν ἀρτηριακῶν, τούτων προδιωρισμένων, τὰ ὑπὸ τῶν ἀρχαίων γεγραμμένα βηχικὰ βοηθήματα, ὑποτάξομεν. ἡμεῖς δὲ ταῖς διωρισμέναις μεθόδοις προσέχοντες, ἐπιστάμενοι τε ἑκάστου τῶν ἁπλῶν φαρμάκων τὴν δύναμιν, ἑκάστῳ πάθει, τὸ κατάλληλον προσοίσομεν βοήθημα. τὰ δὲ, ὑπὸ τῶν ἀρχαίων ἀδιορίστως γεγραμμένα βοηθήματα ἐστὶ ταῦτα. στύραξ καταπινόμενος ὅσον καρύου ποντικοῦ μέγεθος, βῆχας παύει καὶ καταῤῥόους, καὶ βρόγχους ὀνίνησι. σῦκα ξηρὰ λιπαρὰ βαπτόμενα εἰς οἶνον ἄκρατον καὶ λαμβανόμενα, βῆχας παραμυθεῖται. τερεβινθίνην καὶ μέλι ἑψήσας, δίδου ἐκλείχειν. καὶ οἶνον γλυκὺν κεκραμμένον δίδου ἐπιῤῥοφεῖν. τοῦτο λεπτύνει καὶ ἀνάγει. Ἄλλο. πτίσσειν κύφας σήσας, ἐπίπασσε τῷ γλυκεῖ ὡς ἄλφιτον, καὶ δίδου καταῤῥοφεῖν, ποιεῖ καὶ πρὸς αἱμοπτοϊκοὺς καλῶς. Ἄλλο. πρὸς τὰς ἐν νυκτὶ μᾶλλον ἐνοχλούσας βῆχας, τοῦτο δὲ μᾶλλον ποιεῖ, ὅταν ἕλμινθες τῷ στομάχῳ ἐνοχλῶσι, καὶ ποιοῦσι βηχία, ἡδυόσμου κλωνία ζ΄ ἀποζέψας καὶ ἐπιβαλὼν ὄξους ὅσον κοχλιάριον, δίδου καταῤῥοφεῖν εἰς κοίτην, ἔστι δὲ εὔπεπτον καὶ εὐστόμαχον, καὶ πάχους τμητικόν. Ἄλλο βηχικὸν καλόν. στροβίλων φρυκτῶν. ἀμύλου. γλυκυῤῥίζης. κνίδης σπέρματος, ἀνὰ Γο. β΄. λινοσπέρμου, Γο. β΄. ἴρεως πεπέρεως. καρδάμου σπέρματος ὑσσώπου, ἀμυγδάλων πικρῶν, ἀνὰ Γο. α΄. μέλιτι καλῶς ἀπηφρισμένῳ ἀναλάμβανε. καὶ δίδου κοχλιάριον σύμμετρον. Ἔκλικτος σβήσουσι. στροβίλων κεκαθαρμένων, ∠ ιβ΄. λινοσπέρμου πεφρυγμένου, ∠ η΄. τραγακάνθου ∠. ιβ΄. φοινίκων λιπαρῶν ∠. ιη΄. ἴρεως ∠ ιβ΄. ἀμυγδάλων γλυκέων λελεπισμένων, ∠. ιϛ΄. μέλιτος ἀπηφρισμένου τὸ ἱκανὸν, τὴν τραγάκανθαν οἴνῳ γλυκεῖ ὀλίγῳ βρέξας καὶ λειώσας, ἕψε πρῶτον σὺν τῷ μέλιτι προαπαφρισθέντι, ὅταν δὲ ἅπαξ ἀναζέσῃ, ἐπίχεε τοῖς λοιποῖς εὖ μάλα λειωθεῖσιν ἐν θυίᾳ. καὶ χρῶ. παρέχων κοχλιάριον, ἐκλείχειν τῷ δακτύλῳ πρωὶ καὶ δείλης. τοσοῦτον δὲ ἐμβλητέον μέλι, ὡς ἐκλικτὸν γενέσθαι τὸ φάρμακον. Ἄλλη ἔκλικτος πρὸς βῆχας προσφάτους. οἴνου γλυκέος παλαιοῦ, ξ. α΄. μέλιτος ἀττικοῦ, λι. α΄. ἕψε συνεχῶς κινῶν κλωσὶ πηγάνου καὶ δίδου μύστρον ἕν. ἔστι καὶ εὐστόμαχον. Κοντάρειον βήσσουσιν. λινοσπέρματος κεκομμένου καὶ σεσησμένου. σταφίδων λιπαρῶν ἐκγεγιγαρτισμένων. ἀνὰ ξ. α΄ ἰταλικοῦ. στροβίλων πεφρυγμένων. καρύων ποντικῶν κεκαθαρμένων. ἀνὰ ξ. ϛ΄. πεπέρεως Γο. β΄. σμύρνης, Γο. α΄. κρόκου, Γο. α΄. μέλιτος ξ. δ΄. τὸ λινόσπερμα κεκομμένον ἕψε μετὰ τοῦ μέλιτος. καὶ ὅταν συστραφῇ, ἐπίβαλε τοῖς λοιποῖς λειοτάτοις γενομένοις. καὶ ἐλώσας, δίδου καρύου ποντικοῦ τὸ μέγεθος. βηχικὸν κάλλιστον πρὸς τὰς χρονίους βῆχας. κυμίνου πεπέρεως. κνίδης σπέρματος, ἀνὰ Γο. α΄. μέλιτος ἀπηφρισμένου, ξ. α΄. λειότατα ποιήσας, ἀναλάμβανε τῷ μέλιτι. καὶ ἀναζέσας βραχὺ ἀπόθου. καὶ χρῶ παρέχων κοχλιάριον. Ἄλλο βηχικὸν πάνυ καλόν. πεπέρεως. γλήχωνος. ὑσσώπου. καὶ καλαμίνθης, ἀνὰ Γο. α΄. πετροσελίνου Γο. α΄. μέλιτος ἀπηφρισμένου ξ. α΄. δίδου κοχλιάριον. Ἄλλο ἁπλούστερον καλόν. μέλιτι, Γο. γ΄. βουτύρου προσφάτου, Γο. γ΄. κυμίνου λειότητα ∠. δ΄. προαφρίσας τὸ μέλι, μίγνυε τὸ βούτυρον, καὶ θερμάνας, ἐπίπασσε τὸ κύμινον, καὶ ἑψήσας ἐπ᾽ ὀλίγον, δίδου ἐκλείχειν κοχλιάριον. Ἄλλο πρὸς βῆχα φλέγμα ἀνάγει θαυρον πάνυ καλόν. ὑσσώπου Γο. β΄. γλήχωνος Γο. β΄. ἴρεως σινάπεως. καρδάμου σπέρματος. ἀνίσου, πεπέρεως ἀνὰ Γο. α΄. κόψας σήσας, ἀναλάμβανε μέλιτι ἀπηφρισμένῳ ἀρκοῦντι. καὶ δίδου κοχλιάριον. εἰ δὲ χειμὼν εἴη καὶ ἀπύρετος ὁ λαμβάνων, τοῦ πεπέρεως, Γο. β΄. ἔμβαλε. καὶ ἀντὶ τοῦ ἀνίσου, μάραθρον, ἢ κύμινον. καὶ ἀντὶ καρδάμου σίνηπι, ὡς εἶναι τοῦ σίνηπι, Γο. ϛ΄. Ἄλλο πρὸς τὰς χρονίους βῆχας. ὑσσώπου κόμης. γλήχωνος πυρσινῆς, ἄμμεως. πεπέρεως, ὀρόβων κιῤῥῶν λελεπισμένων, ἴρεως, ἀνὰ ∠. ϛ΄. ναρδοστάχυος ∠. γ΄. τερεβινθίνης, Γο. δ΄. βουτύρου νεαροῦ Γο. ϛ΄. μέλιτος ἀπηφρισμένου, ξ. β΄. τὸ βούτυρον καὶ τὴν τερεβινθίνην, τήξας τῷ μέλιτι, ἕνωσον τοῖς λοιποῖς, καὶ χρῶ, διδοὺς κοχλιάριον μικρόν. Ἄλλο πρὸς τὰς περὶ τὸν θώρακα διαθέσεις. κυάμου πεφρυγμένου ἀλεύρου λειότατον, Γο. ζ΄. λινοσπέρμου λειοτάτου Γο. ζ΄. ἴρεως λειοτάτου, Γο. γ΄. στροβίλων πεφρυγμένων, ∠. β΄. γλήχωνος κεκομμένης, ∠. α΄ S. κνίδης σπέρματος ∠. α΄. πεπέρεως, ∠ δ΄. μέλιτος προαπηθημένου ξ. ϛ΄. προαπαφρίσας τὸ μέλι. καὶ ἐπιπάσσων αὐτῷ τὸ ἄλευρον, ἕψε ἐπ᾽ ὀλίγον. καὶ ἕνωσον τοῖς λοιποῖς ἐν τῇ θυίᾳ. καὶ χρῶ διδοὺς κοχλιάριον. Βηχικὸν ἀχολίου. ὑσσώπου, γλήχωνος. ἄμμεως. πεπέρεως ὀρόβων κιῤῥῶν. ἴρεως, ἀνὰ ∠. ϛ΄. τερεβινθίνης ∠. δ΄. ναρδοστάχυος ∠. γ΄. βουτύρου νεαροῦ, Γο. ϛ΄. μέλιτος λι. α΄ S. προαπαφρίσας τὸ μέλι χρῶ. ἡ διὰ πρασίου βηχική. πρασίου Γο. ϛ΄. ὑσσώπου, Γο. α΄. ἴρεως ∠. δ΄. γλήχωνος ∠. δ΄. καλαμίνθης ὀρεινῆς ∠. δ΄. βολβοῦ σκίλλης, Γο. ϛ΄. στροβίλια λευκὰ ἐν ὁλόκληρον. σταφίδας λιπαρὰς ἐν ὕδατος ξ. α΄.

μέλιτος κοχλιάρια δ΄. ἑψήματος κοχλιάριον α΄. χρῶ. Πεπτικὸν χρονίας βηχός. Μέλιτος ∠ ιϛ΄. τερεβινθίνης ∠ η΄. χαλβάνης ∠ δ΄. ἑψήσας τὸ μέλι μετὰ τῆς τερεβινθίνης, ἐπίβαλε ἐσχάτως τὴν χαλβάνην προμεμαλαγμένην, τακείσης δὲ αὐτῆς ἄρας ἀπὸ τοῦ πυρὸς καὶ κινῶν, ὅταν ψυγῇ, ἀνάπλαττε κυαμιαῖα μεγέθη. καὶ καρύου ποντικοῦ μεγέθη ἕτερα. καὶ περίπλαττε αὐτοῖς ἔξωθεν κηρὸν, ἵνα μὴ διαλυθῇ, καὶ φύλαττε. ἐπὶ δὲ τῆς χρείας, περιαιρεθέντος τοῦ κηροῦ, ὑπὸ τὴν γλῶτταν τίθεται ὑποθηλαζόμενον. Βηχικὴ διὰ στύρακος. Ἀμώμου, γο. β΄. κασσίας, γο. β΄. στύρακος, γο. α΄ S. ναρδοστάχυος γο. α΄ S. κρόκου γο. α΄. πεπέρεως, γο. α΄. μέλιτος ἀπηφρισμένου, ξ. α΄. δίδου κοχλιάριον ἕν.

Πρὸς βῆχα ξηράν. νθ΄.

Ξηρὰν βῆχα ἰᾶται, τά τε προγεγραμμένα ἀρτηριακὰ φάρμακα. καὶ ὕδατος ζεστοῦ ἔσθ' ὅτε καταρρόφησις. διὰ γὰρ παχύτητα φλέγματος μὴ ἀνάγοντος, τοῖς ὑγραίνουσι μᾶλλον βοηθοῦνται, ζητῶ καὶ λεπτυντικῆς ποσῶς μετέχειν δυνάμεως.

Περὶ τῶν ἀνωδύνων βηχικῶν φαρμάκων. ξ΄.

Τὸ γένος τούτων τῶν ἀνωδύνων, οἱ πρὸ ἡμῶν συνέθεσαν, ἁρμόττον καὶ τοῖς βηχικοῖς, καὶ τοῖς αἷμα ἀνάγουσι. καὶ τοῖς ἅμα τε ὀδύνας πάσχουσι. καὶ ἤδη φθινώδεσι, καὶ πρὸς ἄλλας ὀδύνας τε καὶ διαθέσεις ὅσαι κατά τε πνεύμονα, καὶ θώρακα. καὶ τραχεῖαν ἀρτηρίαν, καὶ ἄλλα τινὰ μόρια τῶν ἔνδον συνιστάμενα ἄνευ τῶν κολικῶν. διαφέρουσι γὰρ αὗται τῶν κολικῶν ἰδίως ὀνομαζομένων ἀνωδύνων, τῇ μίξει τῶν ἀρωμάτων τε καὶ σπερμάτων εὐωδῶν ὄντων καὶ διουρητικῶν. αἱ δὲ κολικαὶ δυνάμεις, σφοδρότεραι τούτων εἰσὶ, καὶ ἐπικρατοῦσαν ἔχουσι τὴν ναρκωτικὴν δύναμιν ἐκ τοῦ πλήθους τῶν ψυκτικῶν φαρμάκων. ὁποῖον ἐστὶν, ὑοσκυάμου σπέρμα. καὶ κωνείου, καὶ ὁ τῆς μήκωνος ὀπὸς, καὶ φλοιὸς τοῦ μανδραγόρου, χρῆσθαι δὲ ταύταις ἐπὶ τῶν κολικῶν ἀναγκαζόμεθα, διὰ τὸ τῆς ὀδύνης μέγεθος, ἐπὶ δὲ τῶν περὶ τὸν θώρακα διαθέσεων, τινὲς μὲν στύρακα καὶ κρόκον τούτοις ἔμιξαν ὡς συμπέττειν δυνάμενα. ἕτεροι δὲ εὐλόγως τούτοις ἔμιξαν, ἀλλὰ τὰ μὲν, θερμαίνονται. τὰ δὲ μετὰ βραχείας στύψεως ἀρωματίζονται καὶ ξηραίνονται καί τινα σπέρματα συνήθη ἡμῖν, καθάπερ ἀνίσου. καὶ σελίνου. μαράθρου. κυμίνου. σεσέλεως, ἀμβλύνονταί τε τὰς τῶν σφοδρῶν φαρμάκων ἀηδίας τε καὶ δυνάμεις, ἐπ' οὖρά τε προτρέπονται. τινὰ δὲ καὶ τραχύτητας ἐκλεαίνονται. καθάπερ τὴν τραγάκανθαν, καὶ γλυκύρριζαν. καὶ τὸν γλυκὺν οἶνον. ὅσαι δὲ αὐτῶν ἧττον μετέχουσι τῶν ναρκωτικῶν φαρμάκων. ταύτας καὶ τοῖς φθισικευομένοις δίδομεν. ἔστιν οὖν τὰ ὑπὸ τῶν ἀρχαίων συντεθέντα ἀνώδυνα τοιαῦτα. Καταπότιον ἐπιτετευγμένον. ἡ πανάκεια. Καταπότιον βηχικὸν φάρμακον ἐπιτετευγμένον πρὸς τὰς κεχρονισμένας διαθέσεις. ποιεῖ πρὸς χρονίους καταρρόους. κεφαλαλγικοῖς, δυσπνοϊκοῖς. περιπνευμονικοῖς. πρὸς τὰς περὶ κύστιν καὶ μήτραν διαθέσεις ἐπιγράφεται πανάκεια. παρὰ δέ τισιν, ὁ στίχος. σμύρνης. ὀπίου. πεπέρεως. στύρακος. καστορίου. χαλβάνης ἴσα. γλυκεῖ ἑψήματι εἰς πάχος ἀναλάμβανε. καὶ ποίει καταπότια. καὶ δίδου ὀρεβίνθου τὸ μέγεθος. καὶ ἐπιρροφείτω μελικράτου κυάθους β΄. Ἄλλο φάρμακον σφόδρα καλόν. ἐπιγράφεται ἁρμονία. ποιεῖ καὶ πρὸς καταρρόους. καὶ ἀνυπερβλήτους καταστaγμούς. Στύρακος. καστορίου. πεπέρεως. καρδαμώμου, ἀνὰ ∠ γ΄. ὀπίου. σμύρνης. ὑοσκυάμου λευκοῦ σπέρματος, ἀνὰ ∠ δ΄. ἀναλάμβανε γλυκεῖ ἑψήθῳ, καὶ ποίει καταπότια ὀρεβίνθου μέγεθος. καὶ δίδου εἰς ὕπνον ἀπερχομένοις. Ἄλλη πρὸς βῆχας χρονίους ἐξόχως ποιοῦσα. καὶ πρὸς τὰς καθύγρους, καὶ πάνυ κεχρονισμένας ἐξόχως ποιοῦσα. λεγομένη σύμφωνος. ἔστι δὲ καὶ λῆξις πυρετοῦ ἀγαθή. ταύτην ἐχρήσαντο πάντες οἱ ἔνδοξοι τῶν ἀρχαίων. Πεπέρεως. ὀπίου. καρδαμώμου, ἀνὰ γο. α΄. κρόκου. θείου ἀπύρου. σμύρνης. ὑοσκυάμου λευκοῦ, σπέρμα, ἀνὰ ∠ δ΄. μέλιτος ἑφθοῦ, γο. ϛ΄. ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος μεθ' ὑδρομέλιτι κυάθους γ΄. ἡμεῖς μὲν οὕτως. τινὲς δὲ καὶ γεντιανῆς. καὶ γλαυκίου βάλλουσι ἀνὰ γο. β΄. Πρὸς βῆχα καὶ φθίσιν ἡ ἰσόσταθμος. Φύλλου. πετροσελίνου. ὑσσώπου. ῥόδων ξηρῶν. ἀνίσου. ὀπίου. κρόκου. κόστου. ὑοσκυάμου σπέρματος. σμύρνης. ζογγίτιδος. ναρδοστάχυος. ἴρεως. ἴσα μέλιτος τὸ ἀρκοῦν. ἡ δόσις κυάμου μέγεθος εἰς νύκτα. Ἡ ἰσόθεος βηχική, καὶ πρὸς πάντα τὰ ἔνδον, καὶ τὰ περιοδικά. Ναρδοστάχυος ∠ β΄. σμύρνης, ∠ α΄. κρόκου ∠ α΄. κόστου ∠ α΄. πεπέρεως λευκοῦ, ∠ α΄. χαλβάνης, ∠ α΄. ὀποβαλσάμου ζυγός. καρδαμώμου. μανδραγόρου χυλοῦ ξηροῦ. καστορίου, ἀνὰ ∠ ϛ΄. γλαυκίου σπέρματος, ∠ α΄ S. κασσίας, ∠ α΄ S. μέλιτος ἀπηφρισμένου τὸ ἱκανόν. ποιεῖ πρὸς πόνους στομάχου. ἥπατος. πνεύμονος. ὀφθαλμῶν. αἵματος ἀναγωγὰς, ἀποστάσεις δυσεντερικοῖς. εἰλεώδεις. νεφριτικοῖς. ἰσχιαδικοῖς. δυσπνοϊκοῖς. πλευροῦ πόνοις. μονεγλιῶς. ὑποχονδρίων. ῥοῦς γυναικεῖον. γυναικείους πνιγμούς. ποιεῖ καὶ πρὸς τὰ θανάσιμα καὶ μετὰ τροφήν. καὶ πρὸ τροφῆς. καὶ πρὸς παίδων αἱμορραγίαν σὺν ψυχρῷ. καὶ πρὸς ἐχιοδήκτους φαλαγγιοδήκτους ἐν οἴνου κυάθοις τρισί. τεταρταϊκοῖς πρὸ τῆς ἐπισημασίας δίδου ὀβολοὺς β΄. μετ' οἴνου κυάθων ϛ΄. προλούσας τὸν κάμνοντα. ἀποθεραπεύει δυσπνοϊκούς. ἀσθματικούς. κἂν ἤλει πολλῶν ἐτῶν εἴη τὸ πάθος. καὶ τοὺς χρονίως ἀπὸ κεφαλῆς εἰς θώρακα ῥευματιζομένους.

Περὶ ὑποκαπνισμῶν. ξα΄.

Προείρηται μὲν ἤδη πολλὰ τῶν ἀποχρεμπτισμῶν τελεώτατα, ἐν τῷ περὶ τῶν ἐμουμένων καὶ κενουμένων καὶ προσφερομένων λόγῳ, τετάρτῳ ὄντι τῆσδε τῆς πραγματείας. εἰρήσεται δὲ καὶ νῦν διὰ βραχέων. τροχίσκους ἀποχρεμπτιστὸς βηχικοῖς καὶ ὀρθοπνοϊκοῖς. Ἀβροτόνου. σανδαράχης. σινήπεως. καρδαμώμου ἴσα. κόψας σήσας ἀνάπλασσε τροχίσκους μεθ' ὕδατος. καὶ ὑπόθου μίαν. ἵνα τὸν καπνὸν ἐν τῷ στόματι δέχηται ὁ πάσχων. Ἄλλο τροχίσκος. Σανδαράχης οὐγ. β΄. τερεβινθίνης χίας οὐγ. β΄. κόστου, ʒ. ς΄. φύλλου ʒ. ς΄. λασαρείου ʒ. γ΄. μαστίχης ʒ. ς΄. πεπέρεως κόκκους μ΄. ἀνάπλασσε. καὶ χρῶ ὁμοίως. Ἄλλο τροχίσκος. Κόστου. σανδαράχης. χαλβάνης. θείου ἀπύρου. κολοφωνίας. προπόλεως. τερεβινθίνης. μαστίχης. κρόκου. χαμαιλεύκης ἴσα ἀνάπλασσε κολλίκια σὺν ὕδατι καὶ ὑπόθου μίαν διαχωννύς. μὴ παρούσης δὲ χαμαιλεύκης, ἔμβαλε κόνυζαν λεπτήν, ἢ καππά-

10 ρεως φλοιόν. ἔστι δὲ καὶ ἕτερον ἀποχρέμπτισμα διὰ πείρας ἡμῖν ἐξευρεθὲν τετράειδον τοῦτο. στύρακος. τερεβινθίνης. σανδαράχης. μαστίχης. ἴσα ἀναλαβὼν ὁμοίως χρῶ. πεπίστευται τὰς ἀσθματικὰς καὶ ἐμπυϊκὰς καὶ βηχώδεις καὶ πλευριτικὰς διαθέσεις ἰᾶσθαι, ὥσπερ καὶ τὰ προειρημένα ἐνταῦθά τε, κἀν τῷ τετάρτῳ λόγῳ.

Ἐπίθεμα πρὸς βῆχας τὸ διὰ μελιλώτων. ξβ΄.

Σαμψύχου. μελιλώτων. πρασίου. ἴρεως ἀνὰ οὐγ. ς΄. σμύρνης οὐγ. α΄. λιβάνου οὐγ. γ΄. πιτυΐνης, λι. α΄. ἰρίνου, λι. α΄. χρῶ.

Περὶ ὀρθοπνοϊκῶν, ἀσθματικῶν, τῶν λεγομένων δυσπνοϊκῶν, καὶ θωρακικῶν. ξγ΄.

Τοὺς ἀναπνέοντας πυκνὸν ἄνευ τοῦ πυρέττειν, ὁποῖον οἱ δραμόντες ὀξέως, ἀσθματικοὺς ὀνομάζειν ἔθος ἐστὶ τοῖς ἰατροῖς, ἀπὸ τοῦ συμπτώματος. λέγω δὴ τοῦ ἀσθμαίνειν. τοὺς δὲ αὐτοὺς τούτους ἀφ' ἑτέρου συμ-

20 πτώματος, ὀρθοπνοϊκοὺς καλοῦσιν. ἀναγκάζονται γὰρ τὸ τοῦ θώρακος σῶμα πᾶν, ὄρθιον ἔχειν. κηδόμενοι φόβῳ τοῦ πνιγῆναι, καὶ τὴν γαστρωμίν, ἐν τοῖς ἄνω μέρεσιν, οἷς ὁ θώραξ ἐπικλίνεται, παραστηρίζουσιν ἑαυτοῖς ὀρθοτάτην, ὅπως μὴ πνιγῶσι κοιμώμενοι. τὸ γὰρ εἰσπνεόμενον αὐτοῖς, ἔλαττόν ἐστιν, ἢ κατὰ τὴν χρείαν τῆς ἀναπνοῆς. καίτοι διαστελλομένου τοῦ θώρακος, ἐπὶ πλεῖστον. ᾧ καὶ δῆλον ἐντὸς αὐτοῦ, στενοχωρίαν γίγνεσθαι τινὰ παρὰ φύσιν. ἧς ἐναργῶς καὶ οἱ κάμνοντες αὐτοὶ τὴν αἴσθησιν ἔχουσιν. γίγνεται μὲν οὖν ἡ στενοχωρία τῶν ὁδῶν τοῦ εἰσπνεομένου πνεύματος, ὅταν ἢ πλῆθος ὑγρῶν παχέων τε καὶ γλίσχρων ἐμπλασθῇ τοῖς βρογχίοις τοῦ πνεύμονος. ἢ τις ὄγκος ἀποστηματικὸς ἐν αὐτῷ συστῇ. ὁμοίως δὲ δυσπνοοῦσι, καὶ οἱ τὰς τραχείας ἀρτηρίας πληρωθέντες ἀπὸ πολλοῦ καταῤῥου, ἤ τινος ἐκ τῶν πλησίων χωρίων, ἀθρόως εἰς αὐτὰς παραγινομένου ῥεύματος. Διωρισθήσονται δὲ ἀλλήλων τὰ πάθη, τῷ τὸ μὲν καταῤῥόου, καὶ τοῖς ὑγιαίνουσιν, ἐξ αἰτίας τινὸς φα-

30 νερᾶς αἰφνιδίως ἐπιπίπτειν, ὡς ἐπίπαν χωρὶς πυρετοῦ, μετὰ τοῦ παρακολουθεῖν τὰ ἴδια τοῦ καταῤῥου σημεῖα. εἰ δὲ ὄγκος ἀποστηματικὸς ἐν τῷ πνεύμονι γίγνοιτο, ἐξ ἀνάγκης καὶ πυρετὸς ἐπιγίγνεται. καὶ οὐ μετὰ πολὺν χρόνον μεταβαλλομένης τῆς φλεγμονῆς, πῦον ἀναπτύεται μετὰ βηχός. εἰ δὲ ἄπεπτον φῦμα γένηται, καὶ οἷον Ἀντιπάτρῳ τῷ ἰατρῷ συνέβη, κατὰ τὰς λείας ἀρτηρίας τοῦ πνεύμονος, οἱ τοιοῦτοι, οὔτε βάρους μεγίστου, αἰσθάνονται, οὔτε μὴν ὀρθοπνοίας μὴν τοσοῦτον ἐνοχλοῦνται. εἰ δὲ ἰδίως δυσπνοϊκοὶ καὶ ὀρθοπνοϊκοὶ καλούμενοι, ἀπύρετοι ὡς ἐπίπαν εἰσί, καὶ βάρους μεγίστου αἴσθησις αὐτοῖς γίγνεται. καὶ οὐδὲν πυρῶδες ἀναπνέουσιν. Ἡ δὲ θεραπεία, τὸ μὲν κοινὸν ἔχει τῶν εἰρημένων διαθέσεων. τὸ δέ τι καὶ ἴδιον. κοινὸν μέν, ἐκδαπανῆσαι καὶ ἀναλῶσαι τὴν περιουσίαν τῆς τὰ πάθη γεννώσης ὑγρότητος. ἴδιον δέ, τῆς μέν· τῶν γλίσχρων τε καὶ παχέων ὑγρῶν, διὰ τῶν λεπτυνόντων τε καὶ τεμνόντων φαρμάκων. τῆς δὲ τῶν ἀποστηματικῶν ὄγκων, διὰ τῶν λε-

40 πτυνόντων τε καὶ ξηραινόντων. ἥτις πᾶσι τοῖς ἐν τῷ βάθει τοῦ σώματος ἀποστήμασι, κοινή ἐστιν. οἴνου δὲ πόσις, ἀμφοτέραις ἁρμόττει, λεπτοῦ τῇ συστάσει. τὸ δὲ σύμπαν ποτόν, ὀλίγον μέν, οἷς ἀπόστημά που γίγνεται, πολὺ δὲ οἷς ἐμπέπλασται τὰ βρογχία γλίσχροις ὑγροῖς καὶ παχέσι. τὰ γὰρ ἀποῤῥύπτοντα τοὺς τοιούτους χυμοὺς φάρμακα, κινεῖ μὲν ἐξ ἀνάγκης βῆχας. οὐκ εὐκόλως δὲ ἀναπτύεται τὸ ἀπορυπτόμενον διὰ τὸ πάχος. ὑγρότητος οὖν πλείονος αὐτοῖς χρεία, ὅπως ἀναφέρηται ῥᾳδίως, καὶ διὰ τοῦτο πλεῖον δοτέον τὸ ποτὸν τοῖς ἀσθματικοῖς. φάρμακα μὲν οὖν τούτοις ἁρμόττει, τὰ τέμνοντα χωρὶς τοῦ σφοδρῶς θερμαίνειν. τὰ γὰρ παχέα καὶ γλίσχρα τῶν ὑγρῶν, ὑπὸ τῆς σφοδρᾶς θερμότητος, ἐπιγλισχραίνεται. καὶ ἐχέκολλα, καὶ δυσαπόσπαστα γίγνεται. διὰ τοῦτο αὐτοὺς μάλιστα ὀνίνησιν ὄξος τὸ σκιλλιτικόν, καὶ αὐτὴ ἡ σκίλλα ὀπτὴ μετὰ μέλιτος λεία ἐκλειχομένη. καὶ ὀξύμελι διὰ ταύτης σκευαζόμενον. τὸ δὲ μεῖζον τῶν ἰαμάτων φησὶν Ἀρχιγένης, καθαρσίς ἐστι συνε-

50 χεστέρα, διὰ φαρμάκων ἰσχυροτέρων γιγνομένη. καὶ ἔμετοι ἀπὸ ῥαφανίδων, ἐκ διαλειμμάτων παραλαμβανόμενοι. καταπλάσματα δέ, διὰ σύκων, καὶ διαλεύρου κριθίνου. μᾶλλον δὲ ὀρίνου. ἔχοντα ῥητίνην, κηρόν. μέλι. ἐμπασσέσθω δὲ αὐτῷ καὶ ἶρις, καὶ μάννα. καὶ μαλάγματα δὲ ὅσα ἕλκει τὴν ἐπιφάνειαν, καὶ ἕλκει ἰχῶρας, οἷόν ἐστι τὸ Κτησιφῶντος, καὶ τὸ διὰ δαφνίδων, καὶ τὸ διὰ κάγχρυος. καὶ ἡ διὰ βοτανῶν ἔμπλαστρος. καὶ ἡ ἱκεσίου. καὶ ἡ θρασέα. ἡ δὲ κυζικηνὴ προσλαβοῦσα ἰρίνης κη-

ῥωτῆς τοῦ ἴσου καὶ ἐπιτιθεμένη παντὶ τῷ θώρακι, δαπανᾷ τὰς ὑγρότητας, καὶ στερεοῖ τὴν ἕξιν.
πασῶν δὲ κατ᾽ ἀλληλότητα φησὶν ἀρχιγένης ἐστὶ, τῷ πάθει αὕτη. κηροῦ, λι. β. ῥητίνης πιτυΐνης ξη-
ρᾶς, λι. β. ἴρεως, λι. α. S. ἀσφάλτου, λι. α. πίσσης, λι. α. ἰοῦ, λι. α. σμύρνης γο. ς. λιβάνου, γο. ς. σικύας
ἀγρίου ῥίζης. κενταυρίου. λίθου ἀσίου. στύρακος, ἀνὰ γο. β. μίσυος ὠμοῦ, γο. α. S. χαλκίτεως ὠμῆς γο.
α. S. ἁλὸς ἀμμωνιακοῦ, γο. α. χαλβάνης. γῆς κιμωλίας. γῆς ἀμπελίτιδος, ἀνὰ γο. α. ἐλαίου λι. β.
ὄξους λι. α. ἐγὼ ὄξους λι. ς. τὴν δὲ στύρακα τήξας καλῶς μετ᾽ ὀλίγου ἐλαίου, λείου ἐν θυΐᾳ καλῶς.
καὶ ἐπίχεε αὐτῷ τὴν ἔμπλαστρον, καὶ μαλάξας χρῶ. τὰ μεταλλικὰ λείου σὺν τῷ ὄξει. τὰς δὲ βοτά-
νας κόπτε καὶ σῆθε. καὶ τὰ τηκτὰ, τήξας καὶ διηθήσας. καὶ ἄρας ἀπὸ τοῦ πυρὸς ἐπίβαλε τὰ
λειωθέντα σὺν τῷ ὄξ. εἶτα ἐπίπασσε τὰς βοτάνας καὶ ἑνώσας καὶ μαλάξας χρῶ. αὕτη τῶν ἐν
10 καταλήψει ἀποστημάτων, πολλὰ μὲν ἐξατμίζει καὶ διαφορεῖ. τὰ δὲ, ἀνοίγνυσιν. ὅσα δὲ τῶν ἤδη ῥα-
γέντων ῥευματικὰ παραμένει, θαυμαστῶς ἀναξηραίνει. κρείττονος γὰρ οὐκ ἄν τις πειραθείη τῶν τοιού-
των φαρμάκων. ἁρμόδιον δὲ τοῖς προκειμένοις πάθεσιν ἐστὶ, καὶ τὸ ἀμυθάωνος ἐπίθεμα. καὶ ἔτι
τούτου μᾶλλον τὸ πολυάρχιον, ἐν τοῖς τῆς στενοχωρίας καιροῖς. καὶ κνίδαις δὲ ῥαπιζέσθω ὁ θώραξ
ὅλος ἐν κύκλῳ. καὶ σκίλλῃ λεπισθείσῃ ἀνατριβέσθω. ἔπειτα λουτρῷ. καὶ ἐλαίῳ θερμῷ, ἐξικμαστέον
τοὺς φοινιχθέντας τόπους. ὑπηλάτοις δὲ συνεχῶς τὴν κοιλίαν ἀπομαλάσσειν τοῖς πραοτέροις. οἷ-
ον κνίκου ὅσον κοτύλη, σπουδαίως θλασθέντος καὶ συνεψηθέντος ὀρῷ γάλακτος. ἔπειτα διηθουμέ-
νου τοῦ ὀροῦ καὶ μετ᾽ ὀλίγου μέλιτος πινομένου, χρηστέον καὶ τοῖς διὰ θύμου καὶ σιλφίου. καὶ πε-
πέρεως ἁλατίοις. προλαβοῦσιν σκαμμωνίαν, ἢ τοῖς διὰ λιβανωτίδος. ἀγαθοῦ δὲ ἐγὼ σφόδρα πε-
πείραμαι. καὶ βράθυος καθ᾽ αὐτὸ λειοτάτου, ὅσον ∠. α. εἶτα τῇ ἑξῆς ∠. β. εἶτα ∠. γ. ἐπιπίνων
20 δὲ καὶ τῇ τετάρτῃ, τέσσαρας. ∠. δίδωμι. ἐμπάσσων οἰνόν τε θαλασσωμένον. εἶτ᾽ ὀπίσω πάλιν κα-
τὰ βραχὺ ἀνακάμπτων ἄχρι τὴν μίαν ∠. καλῶς δὲ προβαινούσης τῆς καθάρσεως, ἄγει καὶ αἱμα-
τώδεις, καὶ οὐκ ἔστιν ἕν τινα οὐκ εὔπνουστερον εἰς τὰ ἄλλα ἀπέδειξεν. διαλειπὼν δὲ ἡμέρας ε. εἶτ᾽ ἀψιν-
θίῳ προεπότιζον. εἰ τῷ στομάχῳ μαλακισθείη ὁ πάσχων. εἰ δὲ μὴ ἱερὰν ἐπότιζον. ἢ ἀβρότονον. ἢ καστό-
ρειον δι᾽ ὀξυμέλιτος. θαυμαστῶς δὲ ἐργάζεται καὶ τὸ δι᾽ ἐλατηρίου ἐμετικὸν, ᾧ κέχρημαι πρὸς τὰς
κρυπτὰς συνάγχας. ἔστι δὲ τοῦτο. ἐλατηρίου ἡμιώβολον. νίτρου ἀφροῦ τριώβολον. σινάπεως ∠. α. λεά-
νας ἐν ὕδατι, ἀνάπλασσε καταπότια η. καὶ δίδωμι ὄρθρου, β. καὶ δείλου, β. καθαίρει ἀλείπως
ἄνω. καὶ τὸν μὲν παροξυσμὸν ἄχρι τὸ πλεῖστον παύει. τὴν δὲ διάθεσιν ἤ τις αὐτῷ ἐπιμένει, κωλύει.
τοῖς δὲ ἰσχυροῖς διαλειπὼν ἡμέρας γ. πάλιν δίδου. τὸ καστόρειον ἄχρι τῶν ὀρθοπνοϊκῶν ἐν τοῖς πα-
ροξυσμοῖς πινόμενον, θραύει αὐτοῦ. ἀνοιγνύει τὴν ἐν χύσει δυσωδίαν τοῦ πνεύματος. καὶ ἄχρι τῶν δια-
30 λειμμάτων ἐνδεχθὲν, ἤρκησεν εἰς ἀπαλλαγὴν τῆς διαθέσεως. κρεῖττον δὲ, εἰ μετὰ τοῦ σκιλλιτικοῦ
ὀξυμέλιτος δοθῇ ἐν τοῖς διαλείμμασιν. ἡ μέντοι διὰ τῆς κολοκυνθίδος ἱερὰ πικρά, ἱερὰ λέγω δὴ ἀρ-
χιγένους συνεχῶς διδομένη, τὰς μὲν ἐπιεικεστέρας δυσπνοίας, ἐπανορθώσατο διὰ ταχέων τελέως.
τὰς δὲ βαθυτέρας πάνυ βοηθεῖ, μετ᾽ ὀξυμέλιτος σκιλλιτικοῦ πινομένη, οὕτως. τοῦ μὲν σκιλλιτικοῦ
ὄξους, γο. α. μέλιτος ἀπηφρισμένου, γο. β. ὕδατος θερμοῦ γο. γ. τουτέστι τὸ σκιλλιτικὸν ὀξύμελι.
Ἄλλο δυσπνοϊκοῖς τοῖς ἀσθματικοῖς καλουμένοις. ἀριστολοχίας κληματίτιδος. ἀβροτόνου. θείου ἀ-
πύρου. πηγάνου ἀγρίου σπέρμα. θύμου κορύμβων. ἀμμωνιακοῦ θυμιάματος. ἴσα σὺν ὄξει λεάνας,
πλάττε τροχίσκους. καὶ δίδου τριώβολον ἐν ὀξυμέλιτι ἄχρι ἡμέρας τρεῖς. Ἐκ τῶν ἀσκληπιάδου,
καὶ διοσκουρίδου. Ἀριστολοχία στρογγύλη μεθ᾽ ὕδατος πινομένη, ἀσθματικοῖς βοηθεῖ. καὶ τοῦ μεγά-
λου κενταυρίου ἡ ῥίζα. καὶ τοῦ μικροῦ ὁ χυλὸς. καὶ στοιχὰς λειοτάτη πινομένη μεθ᾽ ὕδατος. καὶ σπον-
40 δυλίου ὁ καρπὸς καὶ ἡ ῥίζα. καλαμίνθης ὀρεινῆς ἡ κόμη. καὶ ὑσσώπου. ἶρις. καὶ μελάνθιον, ἢ στρού-
θιον, καὶ βρυωνία, καὶ ὄνοι οἱ ὑπὸ τὰς ὑδρίας εὑρισκόμενοι. τούτους δὲ βαλὼν εἰς ἄγγος καινὸν λου-
κὸν ὀστράκινον, φρύγε ἐπ᾽ ἀνθράκων, λευκανθέντας δὲ τρῖβε καὶ μέλιτι ἑφθῷ ἀναλαβὼν, δίδου μύ-
στρον ἐκλείχειν πρὸ τροφῆς, καὶ μετὰ τροφήν. Ἄλλο. Σκίλλης ὠμῆς τὸν χυλὸν ἔκθλιβε. καὶ μέ-
λιτι μίξας ἴσῳ ἕψε ἐπ᾽ ἀνθράκων, καὶ δίδου μύστρον πρὸ τροφῆς. καὶ μετὰ τὴν τροφὴν, ἄκρως δὲ
τοιοῦτος, πεπείραμαι τούτου, φησὶν ἀρχιγένης. κενταυρείου μεγάλου ῥίζης, ∠. ς. πετροσελίνου
∠. ς. ἀμμωνιακοῦ θυμιάματος ∠. γ. θείου ἀπύρου. ἀσφάλτου. καρδαμώμου. πάνακος ῥίζης.
κνίδης σπέρματος. ἴρεως ἰλλυρικῆς, ἀνὰ ∠. β. λιβάνου. σμύρνης. καστορίου. νίτρου. σαγαπηνοῦ. ἀβρο-
τόνου. πολίου. χαμαιπίτυος. ἐλελισφάκου, ἀνὰ ∠. α. πεπέρεως λευκοῦ, ∠. γ. λεῖα φυρᾶται μέλι-
τι ἀπηφρισμένῳ. ἡ δόσις, ὀβολὸν δ. ἐν ἄλλῳ ἡ δόσις ∠. β. τοῦτο συνεχῶς πινόμενον, ἔστιν οὓς τε-
50 λέως ἐξιάσατο. ἀθορύβως δὲ ἐνεργεῖ. δίδου μεθ᾽ ὑδρομέλιτος θερμοῦ. κυάθους δ. πολυχρήστῳ δὲ ὄν-
τι καὶ τούτῳ χρῶμαι. σκίλλαν πυρὰν χειροπληθῆ καθαρθεῖσαν, ζύμῃ περιπλάσας, δίδου εἰς φοῦρ-
νον ὀπτᾶσθαι εὖ μάλα. εἶτα ἁπαλωτάτην γινομένην, ἀποβαλὼν τὰ ἄχρι πολὺς αὐτῆς κεκαυμέ-
να, καὶ τὸ λοιπὸν λειότατον τρίψας, εἶτα ἐπιβαλὼν ὀρόβων λευκῶν λελεπισμένων ἄλευρον τὸ δί-
μοιρον τῆς ἐπιτεθείσης καὶ καθαριωθείσης σκίλλης, καὶ ἀμμωνιακοῦ θυμιάματος ∠. δ. καὶ πάνα-

νος ῥίζης < δ΄. ἴρεως δὲ καὶ ἀβροτόνου καὶ ἀπύρου, ἀνὰ < β΄. πεπέρεως κόκκοι κ΄. ταῦτα λεῖα ποιήσας, καὶ ἐπιβαλὼν, καὶ ἑνώσας, ἀνάπλαττε κυκλίσκους, ἀνὰ ὀβολὸν καὶ ἡμιοβολὸν ἄγοντας. καὶ δίδου μοι ἕνα ἢ δύο. μετὰ κυάθων τριῶν γάλακτος ὀνείου εὐθυμελγοῦς, ἢ μελικράτου. παιδίῳ δὲ δίδωμι ἕνα. κοιλίαν κινεῖ ἡ συμμετρία αὕτη. ἡ δὲ πλείων δόσις, καὶ οὔρησιν πολλάκις. καὶ συνεστῶτα παροξυσμὸν διέλυσε εὐθύ. καὶ γὰρ καὶ ἐπιληψίας ἰᾶται. καὶ πίνας ὑδρικάς. καὶ ὀσφύος νωθρὰς ὀδύνας, καὶ τοὺς βληχροὺς καὶ ἐμβάλλεις πυρετοὺς, ἔμμηνά τε ἄγει γυναιξί. διὸ πάχος ἐπισχημένα, αἷς παρακολουθοῦσι σκοτώσεις. ἀφωνίαι. συνολκαί. πόνοι ἄρθρων. ὄκνοι. δύσπνοιαι. συντόμως γὰρ κατασπᾷ τὸ αἷμα. καὶ πάντων αὐτίκα γίνεται τῶν ὀχληρῶν. μὴ τῆς εὐτελείας τοῦ φαρμάκου καταφρονήσεις. ἀλλ᾽ ὡς περιουσίαν δυνάμεως παραλάμβανε. Ἄλλο πόμα ἀσθματικοῖς. Γαλίου, ἀβροτόνου, καστορίου, χαμαιπίτυος. ἀμμωνιακοῦ θυμιάματος, ἴσα μέλιτι ἀναλαβὼν, δίδου κυάμου ἴσον ἐν ὕδατι τινὸς ἀφρονίτρου λευκοῦ κοχλιάριον ἐν κυάθοις μελικράτου. ἢ οὕτως ἀφρονίτρου, < ς΄. πεπέρεως < α΄. σιλφίου, < α΄. δίδου κοχλιάριον μεθ᾽ ὕδατος θερμοῦ. Ἄλλο. Καστορίου < η΄. ἀμμωνιακοῦ θυμιάματος < η΄. πεπέρεως κόκκοι μ΄. γλυκεῖ ἀναλάμβανε, καὶ δίδου κυάμου ἴσον ἐν μελικράτῳ. Ἄλλο. Πεπέρεως. ζιγγιβέρεως. πετροσελίνου. ἐλενίου. λιβυστικοῦ, ἴσα μέλιτι ἀπέφθῳ ἀναλαβὼν, δίδου ἐκλείχειν. Ἄλλο. Ἀβροτόνου < β΄. βρυωνίας ῥίζης < η΄. βρυωνίας κόμης, < δ΄. πηγάνου ἡμέρου, < η΄. καστορίου < δ΄. ἀρτεμισίας < δ΄. ἐπιθύμου, < δ΄. ἀμμωνιακοῦ θυμιάματος, < δ΄. ἡ δόσις ℥ α΄ S. μετ᾽ ὀξυμέλιτι κυάθου α΄. Τροχίσκος ἀνώδυνος ὀρθοπνοϊκοῖς. δυσπνοϊκοῖς. ὀπίου < α΄. θείου ἀπύρου. ἀρνογλώσσου. ὑοσκυάμου σπέρματος γλυκυρρίζης χυλοῦ. στύρακος. σμύρνης. λιβάνου. τερεβινθίνης, ἀνὰ < β΄. κρόκου < α΄. οἴνῳ ἀθαλάσσῳ λειώσας. ποίει τροχίσκους ἀνὰ < γ΄. καὶ δίδου πίνειν. χυλοῦ δὲ γλυκυρρίζης μὴ παρόντος, τὴν γλυκύρριζαν θλάσας, ἑψήσας ἐνταῦθα πολὺ, ἀναλάμβανε τὸ πᾶν τῷ ἀφεψήματι. Ἀνδρομάχου, ἀσθματικοῖς, καὶ ὀρθοπνοϊκοῖς. Σκίλλης ὀπτῆς. θείου ἀπύρου. ἀσφάλτου ἴσα. ἡ δόσις < α΄ σὺν ὀξυμέλιτι. Ἄλλο. Θείου ἀπύρου, < α΄. ἀμμωνιακοῦ θυμιάματος < β΄. μελανθίου, < β΄. καστορίου < β΄. ἀνίσου ὀβολοὶ δ΄. ὕδατι ἀνάπλασσε τροχίσκους ἀπὸ ℥ γ΄ ἢ δ΄. καὶ δίδου εἰς κοίτην μετὰ κυάθους β΄. θερμοῦ ὕδατος. Καταπότια ἀσθματικοῖς ἀνώδυνα. Πηγάνου χλωροῦ, Γο. ς΄. στύρακος, Γο. β΄. τερεβινθίνης, Γο. ς΄. ὀπίου, < δ΄. ἀνάπλαττε καταπότια ἀποκερατίου ἑνός. καὶ δίδου εἰς κοίτην τρία καταπίνειν. καὶ ἐπιρροφήτωσαν θερμοῦ ὕδατος κυάθους β΄. τοὺς δὲ ἀπὸ κατάῤῥου πληρωθείσης τῆς τραχείας ἀρτηρίας τοῦ πνεύμονος δυσπνοοῦντας, θεραπεύομεν προνοούμενοι τῆς κεφαλῆς. ψυχρὰν καὶ ὑγρὰν δυσκρασίαν ἐχούσης. ἐμβρέχειν τε αὐτὴν δι᾽ ἰρίνου μύρου, ἢ ναρδίνου. ἀναξηραίνομεν τε αὐτὴν καὶ ῥωννύομεν τοῖς ἀναγεγραμμένοις ἐν τῷ ἕκτῳ λόγῳ σμήγμασί τε καὶ πάσμασι. χρησόμεθα δὲ καὶ τῇ διὰ σκίλλης ἑφθῆς προγεγραμμένῃ ἀρτηριακῇ ἐν τῷδε τῷ λόγῳ κεφαλαίῳ νε΄. ἀσθματικοῖς Φιλαγρίου. Συμφύτου πεζαίου ῥιζῶν. κενταυρείου μεγάλου ῥίζης. ἴρεως ἰλλυρικῆς, ἀνὰ Γο. β΄. ὕδατος ξ. α΄. θλάσας τὰς ῥίζας, βρέχε τῷ ὕδατι ἡμέρας ς΄, ἔπειτα ἕψε εἰς τρίτον. καὶ διηθήσας, ἐπίβαλε μέλιτος τὸ ἴσον τοῦ ἀφεψήματος. καὶ ἕψε μέχρι συστάσεως. εἶτα κόψας σήσας, ῥέου ποντικοῦ, Γο. α΄. ἐπίπασσε. καὶ ἑνώσας δίδου περὶ πρώτην ὥραν τῆς ἡμέρας ὅσον κοχλιάριον β΄. εἰ δὲ μὴ παρείη ῥέον, κενταυρείου μεγάλου ῥίζαν, κόψας σήσας, ἔμβαλλε τὴν α΄. Γο. ἡ συμφύτου ῥίζης. τόνον παρέχει τὸ φάρμακον τῷ πνεύμονι. καὶ θώρακι. σὺν τῷ ἀνακαθαίρειν, καὶ ἀναξηραίνειν, καὶ ἀποκρούεσθαι τὰ ἐπιφερόμενα ἐπ᾽ αὐτὸ ὑγρά. πρὸς δυσπνοϊκοῖς ἀσθματικοῖς, καὶ ὀρθοπνοϊκοῖς. Ἀρμενίου βώλου, < α΄. δίδου πίνειν μετ᾽ οἴνου κεκραμμένου, πρὸς δὲ τὰς παρακολουθούσας βῆχας, δίδου εἰς κοίτην τὴν προγεγραμμένην βηχικὴν, ἀντίδοτον ἰσοθέου καλουμένης, καρύου ποντικοῦ μέγεθος μετὰ μελικράτου. ἡ γὰρ συνεχὴς ταύτης χρῆσις, καὶ τοῦ πάθους τέλεον ἀπαλλάττει, κἂν ἤδη πολυχρόνιον εἴη. χρῶ θαρρῶν. μὴ παρούσης δὲ ταύτης δίδου τῆς παιωνίας ἀντιδότου. εἰ δὲ μὴ δ᾽ αὕτη παρείη, δίδου τῆς ζωπυρείου. γραφήσονται δὲ, ἐν τῷ περὶ κολικῶν λόγῳ. Ἄλλο. Ἴρεως < η΄. ἀμμωνιακοῦ θυμιάματος, < δ΄. δίδου < α΄. σὺν ὑδρομέλιτος κυάθους, γ΄. Ἄλλο. Βράθυος τοῖς τελείοις ℥ ς΄. τοῖς δὲ ἄλλοις ℥ γ΄. βουτύρου ℥ ιβ΄. μέλιτος Γο. β΄. δίδου ἐκλείχειν ἐνταῦθα ἡμέρας τρεῖς. καὶ διαλιπὼν πάλιν δίδου. Καῦσις δυσπνοϊκῶν. Εἰ δὲ τὴν περὶ πνευματικὴν αὐτῆς ὑγρότητα ἡ κεφαλὴ κάτω πρὸς θώρακα πέμπει, λυποῦσα τὰ περὶ αὐτὸ μόρια τῷ συνεχεῖ καταῤῥῷ, κἂν τούτου τὴν δύσπνοιαν ἐμποιεῖ, εὑρήσομεν τὰ μέσω τῆς κεφαλῆς. καὶ λαβόντες καυστῆρα διάπυρον, καύσομεν ἄχρις ὀστέου. καίων τὸ ὀστέον πρὸς τὸ λεπίδα ἐκπεσεῖν. ῥᾳδίως γὰρ ἐκεῖθεν, ἡ τῶν ὑγρῶν τῆς κεφαλῆς κένωσις γίγνεται. τὸ δὲ τραῦμα, ἐνταῦθα χρόνον φυλάξαντες, εἶθ᾽ οὕτως εἰς ἐπούλωσιν ἄγομεν. Περὶ ἀποκαπνισμοῦ. Καὶ οἱ ἀποκαπνισμοὶ, τούτοις ἁρμοδιώτατοι. εἴρηται δὲ περὶ αὐτῶν τελεώτατα, ἐν τῷ τρίτῳ λόγῳ. εἴρηται δὲ καὶ πρὸς βραχέως ἐν τοῖς βηχικοῖς, καλυπτέσθωσαν δὲ ἐνταῦθα τοῖς τούτων χρήσεως, πάντοθεν ἱματίοις καὶ σπουδαίως κεχηνότες, τῷ στόματι τὸν καπνὸν καρτερῶς δε-

χέτωσαν. μύξα γὰρ πολὺ καὶ δάκρυον καὶ σίελον δαψιλῶς ἄγεται. ἢ διὰ βηχὸς σφοδρῶς φλέγμα γλίσχρον ἐκ βάθους ἀναφέρεται. μὴ λανθανέτω δέ σε ὅτι προηγεῖσθαι χρὴ τῶν τοιούτων ἀπαρχημῶν. τὴν διὰ κλυσμοῦ ὑπαγωγὴν τῆς γαστρὸς, ἢ διὰ τῶν ὑπηλάτων. Περὶ ἀναφρημμάτων, τοῦ θώρακος. Συνήνεγκε δὲ ἐπὶ τῶν ἀσθματικῶν, καὶ τὰ ἀναφρήμματα τοῦ θώρακος. οἱ κίστηεις μετὰ νίτρου. καὶ ζὺξ οἴνου κεκαυμένου λεῖα μετὰ χίνου ἄνθους. ἢ τοῦτο δὲ ἀρσενικοῦ κιστήρεως. ἀφρονίτρου, ἀνὰ Γο. α. ἀλκυονίου, Γο. β. κόψας σήσας, πρόσπλεκε ἀλείμματι τινὶ τῶν θερμαινόντων. καὶ ἀνάτριβε τὸν θώρακα, καὶ τὸ μετάφρενον, ἄχρις ἂν διάπυρος γένηται. τοῦτο γὰρ ποιῶν συνεχῶς, ἄσθμα καὶ βῆχα, καὶ πυώδη διάθεσιν ἐν θώρακι ἀποζέψης. χρονίζοντος δὲ τοῦ πάθους, καὶ νικωμένης τῆς φαρμακείας, ἡ καῦσις αἱρετὴ γίνεται. μιᾶς μὲν ἐσχάρας ἐμβαλλομένης μέσον τῆς τῶν κλειδῶν ἀμφοτέρων συμβολῆς, ὑπὸ τὴν ἐξοχὴν τοῦ λάρυγγος ἐν αὐτῷ τῷ κοίλῳ. ἀνατεινέσθω δὲ τὸ δέρμα ἀμφοτέραις ταῖς χερσὶν ἑκατέρωθεν, πρὸς τὸ μὴ βλαβῆναι τὴν τραχεῖαν ἀρτηρίαν. δύο δὲ ἑτέρας μικρὰς ἐσχάρας ἐμβλητέον κατὰ τῶν καρωτίδων ἐν τῷ τραχήλῳ ἀρτηριῶν ὀλίγον ὑπὸ τῷ ἀνθερεῶνι. μίαν ἑκατέρωθεν. κἀνταῦθα δὲ μόνον τὸ ἐπικείμενον δέρμα καιέσθω. ἐμβλητέον δὲ καὶ δύο μεγάλας ἐσχάρας ὑπὸ τοὺς μασούς. μεταξὺ τῆς τρίτης καὶ τετάρτης πλευρᾶς. ἄλλας δὲ δύο, μικρὸν εἰς τὸ πίσω ἀπονεύσας. μεταξὺ τῆς πέμπτης, καὶ ἕκτης πλευρᾶς. κατὰ μέσου δὲ τοῦ στέρνου, μίαν, καὶ κατὰ τὴν ἀρχὴν τοῦ ξιφοειδοῦς χόνδρου ὑπὲρ τὸ στόμα τῆς γαστρὸς μίαν. καὶ ἑτέρας δύο μεταξὺ τῆς ὀγδόης καὶ ἐννάτης πλευρᾶς, μίαν ἑκατέρωθεν. τρεῖς δὲ ὄπισθεν. ὧν τὴν μίαν, κατὰ μέσου τοῦ μεταφρένου τακτέον. τὰς δὲ δύο ἑκατέρωθεν τοῦ σπονδύλου. ὀλίγον κατωτέρω τῆς μέσης ἐσχάρας. πάσας δὲ τὰς κάτωθεν τοῦ τραχήλου συμμέτρως πλατείας δοτέον. καὶ μὴ δὲ πάνυ ἐπιπολαίους. μὴ δὲ μὴν, σφόδρα βαθείας, τὰ δὲ ἕλκη τῶν ἐσχαρῶν, ἐπὶ χρόνον ἱκανὸν συγχωρεῖν ῥευματίζεσθαι.

Περὶ τῶν ἐν καρδίᾳ παλμῶν, Γαληνοῦ. ξδ.

Ὁ τῆς καρδίας παλμὸς, πολλοῖς ὑγιαίνουσιν ἀμέμπτως, νεανίσκοις τε καὶ παρακμάζουσιν, ὤφθη γινόμενος. κεφαλαλγοῦσιν οὗτοι ἄνευ τινὸς ἑτέρας ἔξωθεν αἰτίας. καὶ πάντες οὗτοι φλεβοτομηθέντες ὠφελήθησαν. καὶ τελέως γε αὐτῶν ἔνιοι, τοῦ συμπτώματος ἀπηλλάγησαν. λεπτυνούσῃ διαίτῃ μετὰ τὴν φλεβοτομίαν χρησάμενοι, καὶ φαρμάκοις ὁμοίως. οἶδα δέ τινα καὶ κατ' ἐνιαυτὸν ἦρος ὥρᾳ πάσχοντα τὸ τοῦ παλμοῦ σύμπτωμα. κἀπειδὴ τισὶν ἔτεσιν ἐπειράθη τῆς φλεβοτομίας ὠφελούσης αὐτὸν, ἔφθασεν ἐπὶ τοῦ τετάρτου φλεβοτομηθεὶς πρὶν ἁλῶναι τῷ συμπτώματι. καὶ οὕτως ἔπραττε κατὰ τὸ ἑξῆς ἐτῶν πλειόνων, μετὰ τοῦ καὶ τῇ διαίτῃ προσηκόντως κεχρῆσθαι. ἀλλ' ὅμως καὶ οὗτος ἀπέθανε πρὶν γηράσαι, καθάπερ καὶ οἱ ἄλλοι πάντες. ἔνιοι μὲν ἐν πυρετοῖς ὀξέσιν ἀθρόως συγκοπέντες ὁμοίως ἀπέθανον. τινὲς δ' αὐτῶν καὶ χωρὶς συγκοπῆς ἀποπληξίας τρόπῳ, αἰφνίδιον τὸν βίον παρήλλαξαν. οἱ πλείους δὲ τῶν οὕτω παθόντων ἡλικίαν ἦγον ἐλάττονα μὲν, ἢ πεντήκοντα ἐτῶν πλειόνων δὲ ἢ τεσσαράκοντα.

Περὶ αἵματος ἀναγωγῆς. Γαληνοῦ. ξε.

Τὸ ἐκ θώρακος, ἢ πνεύμονος, ἢ τῆς τραχείας ἀρτηρίας ἀναπτυόμενον αἷμα, πάντως μετὰ βηχὸς ἀναπτύεται. εἰ δὲ ἐκ τῶν περὶ φάρυγγα, ἢ τὸν γαργαρεῶνα μερῶν φέροιτο τὸ αἷμα. χρεμπτομένοις ἐκκρίνεται. εἰ δ' ἔκ τινος τόπου τοῦ στόματος, ἢ οὔλων ἁπλῶς ἀναπτύεται. ἔσθ' ὅτε δὲ ἐκ τῆς κεφαλῆς, ἢ τῶν περὶ γαργαρεῶνα μερῶν καταφερόμενον τὸ αἷμα, καὶ ἐμπίπτον τῷ λάρυγγι, βῆχα κινεῖ, καὶ φαντασίαν ποιεῖται τῆς ἐκ τοῦ θώρακος ἀναγωγῆς, εἰ μὲν οὖν τις ἀναχρέμπτηται, καὶ ἀπομύττηται τὸ αἷμα πλείοσιν ἐφεξῆς ἡμέραις, μήτε κεφαλῆς ὀδύνης ἢ βάρους ἤτοι συμπαρόντος ἢ προηγησαμένου, μήτε πληγῆς αὐτόθι γεγενημένοις, ἐπισκέψασθαι χρὴ τούτου τῆς ῥινὸς τὸν πόρον ἀκριβῶς ὅλον. καὶ τὸν τόπον τοῦ στόματος ἐκεῖνον, ἔνθα συντέτρηται πρὸς τὴν ὑπερῴαν ἡ ῥίς. γίγνεται γάρ ποτε τοιοῦτον σύμπτωμα, βδέλλης ἐν τῷ χωρίῳ τούτῳ προσπεφυκυίας. καὶ ἐκ τῆς γαστρὸς δὲ ἐπί τινων ἀνεμεῖται αἷμα χωρὶς βηχός. ἤτοι ἐκ τῶν παρακειμένων φλεβῶν, εἰς αὐτὴν συρρέον, ἢ βδέλλης καταποθείσης. ἀλλὰ τὸ μὲν διὰ τῶν φλεβῶν ἀθρόως εἰς αὐτὴν συρρέον ἐκ τοῦ ἥπατος ἢ σπληνὸς, θρομβῶδές ἐστι καὶ μέλαν ἀνεμεῖται. τὸ δὲ ἐκ τῆς βδέλλης αἷμα, λεπτὸν καὶ ἰχωρῶδές ἐστιν. ἐάν τε ἐκ γαστρός. ἐάν τε ἐκ ῥινός. ἐάν τε ἐκ τοῦ στόματος φαίνηται φερόμενον. ἀλλὰ καὶ ἡ συνεδρεύουσα τοπικὴ ὀδύνη δηλώσει σοι τὸ πεπονθὸς μόριον. εἰ γὰρ ἀπὸ στομάχου γίγνοιτο ἡ ἀναγωγὴ, οὐ μεγάλη αἱμοῤῥαγία γίγνεται. ἰσχνὰ γὰρ τοῦ στομάχου τὰ ἀγγεῖα. σὺν ναυτίᾳ δὲ καὶ ἐμέτῳ ἀναφέρεται. καὶ ἐν τῇ καταπόσει δῆξις γίγνεται. καὶ μάλιστα εἰ στύφοντα ἢ δριμέα εἴη τὰ καταπινόμενα. εἰ δὲ ἐκ τῆς γαστρὸς ἀναφέρεται, ναυτίαι πλεῖσται προσεδρεύουσι, καὶ ἔμετοι. εἰ δὲ καὶ μετὰ τροφῆς συμβαίνει ἡ ἀναφορὰ, συμμεμιγμένον τὸ αἷμα τοῖς σιτίοις ἀναφέρεται. ἐνίοτε καὶ φλέγμα, καὶ χολὴ σὺν ἐμεῖται. εἰ δὲ ἐκ τοῦ ἥπατος, ἢ τοῦ σπληνὸς συρρέοι εἰς αὐτὴν, ὄγκος συνεδρεύει. τὸ δ' ἐκ θώρακος, ἢ πνεύμονος, ἢ τραχείας ἀρτηρίας ἀναπτυόμενον αἷμα, ἀδύνατόν ἐστι χωρὶς βηχὸς ἀναπτυσθῆναι. γίνεται δὲ ἡ ἐκ τοῦ θώρακος ἀναγωγὴ τοῦ αἵματος, ἢ διὰ ῥῆξιν, ἢ δι' ἀναστόμωσιν.

μωσιν. ἢ δι᾽ ἀνάβρωσιν. αἱ μὲν οὖν κατὰ τὸν πνεύμονα ῥήξεις γνωρίζονται, ἐκ τοῦ μετά τι προηγη-
σάμενον αἴτιον φανερὸν, εὐθὺς ἐπιγίνεσθαι τὴν τοῦ αἵματος ἀναγωγὴν, λέγω δὴ αἴτιον προηγησάμε-
νον τὴν ἐξ ὑψηλοῦ πτῶσιν, ἢ ἐμπεσόντα τῷ θώρακι ἑτέρου τινὸς βαρυτέρου σώματος. ἐνίοις δὲ διὰ
κραυγὴν μεγάλην ὁπωσοῦν γινομένην, ῥῆξις ἀγγείου γίγνεται. ἄνευ δὲ φανερᾶς ἔξωθεν αἰτίας,
πλῆθος αἵματος ζωὴν ἀπέπτω καὶ φυσώδει πνεύματι διατεῖνον τὰ ἐν τῷ πνεύμονι ἀγγεῖα, τὴν ῥῆ-
ξιν ἐργάζεται. ἀλλὰ καὶ τῆς διὰ πλῆθος αἵματος γιγνομένης ῥήξεως, οὐ σμικρὸν γνώρισμά ἐστι,
κένωσις αἵματος ἐξαίφνης γινομένη καὶ ἀθρόως. μεγάλα δὲ τὰ ἐν τῷ πνεύμονι ἀγγεῖα, καὶ ἀρτηριώ-
δη. καὶ θερμόν. καὶ λεπτὸν τὸ ἐν αὐτοῖς αἷμα. καὶ σφυγματωδῶς τῇ βίᾳ τοῦ πνεύματος ἐκκρίνε-
ται. τῆς δὲ ἀναστομώσεως, αἱ θερμαὶ διαθέσεις προηγοῦνται. οἷον λουτροῖς θερμοῖς πολλοῖς κεχρη-
10 μένου τοῦ ἀνθρώπου. καὶ κατὰ χώραν ὄντος θερμὴν, ὥρᾳ τε τοῦ ἔτους ὁμοίᾳ, ἐδέσμασί τε καὶ πόμασι
θερμοῖς χρωμένου. τὸ γὰρ πλῆθος τοῦ αἵματος θερμὸν ὑπάρχον, διανοίγει, καὶ ἀνευρύνει τῶν ἐν
τῷ πνεύμονι ἐμβαλλόντων ἀγγείων τὰ στόματα. καὶ οὕτως ἀθρόως τὴν κένωσιν ἐργάζεται. οἷς δὲ ἐξ
ἀναβρώσεως τῶν ἐν πνεύμονι ἀγγείων, γίγνεται τοῦ αἵματος κένωσις, ἐκ διαλειμμάτων ὀλίγων ἑκά-
στοτε μετὰ βηχὸς ἀναπτύεται. αὕτη δὲ ἡ τῶν ἀγγείων διάβρωσις γίγνεται, ἀπὸ χυμῶν δριμέων.
εἴτε ἀπὸ κεφαλῆς ἐπιρρεόντων τῷ πνεύμονι. εἴτε ἐν αὐτῷ γεννωμένων. ἐγχωρεῖ δὲ καὶ κατὰ διά-
βρωσιν γίνεσθαι πολλάκις αἵματος ἀθρόαν ἀναφορὰν μετὰ βηχός. ὅταν γὰρ ἐν τοῖς ἔμπροσθεν χρό-
νοις ὡς εἴρηται ἐκ διαλειμμάτων ὀλίγων ἑκάστοτε ἀναπεπτυκὼς τὶς αἷμα φαίνηται. μετὰ δὲ ταῦ-
τα ὕστερον μήτε καταπτώσεως γινομένης, μήτε ἑτέρου τινὸς ἔξωθεν αἰτίου βιαίου προσπεσόντος, αἱ-
μορραγίαν πολλὴν γίνεσθαι συμβῇ, μεγάλη γέγονεν ἡ ἀνάβρωσις. πολλοὶ δὲ τῶν οὕτω παθόντων, μό-
20 ρια τοῦ πνεύμονος, ἅμα τῷ αἵματι ζωὴν ἀνήνεγκαν, ἢ ἐφελκίδα τοῦ ἕλκους, οὓς λανθάνειν ἀδύνα-
τον, ὅτι δι᾽ ἀνάβρωσίν ἐστιν ἡ ἀναγωγή, καὶ διὰ τοῦτο προσήκει κατανοεῖν ἀκριβῶς, εἰ ἀφρῶδές ἐστι τὸ
αἷμα. καὶ γὰρ καὶ τοῦτο βεβαιότατόν ἐστι γνώρισμα τῆς ἐκ πνεύμονος ἀναγωγῆς, ὥσπερ ὅταν βρογ-
χίου τι μέρος ἢ ἀρτηρίας χιτῶνος ἢ φλεβὸς συναναφέρηται. τούτων γὰρ οὐδὲν ἐπιφαίνεται τοῖς
ἐκ τοῦ ὑπεζωκότος τὸν θώρακα ὑμένος ἀναπτύουσιν αἷμα, μέγιστον δὲ καὶ τοῦτο γνώρισμα τῆς ἐκ τοῦ
πνεύμονος ἀναγωγῆς, ὅτι παντάπασι χωρὶς ὀδύνης γίγνεται. τὸ δ᾽ ἐξ ἄλλων μερῶν τοῦ θώρακος
ἀναγόμενον αἷμα, μελάντερόν ἐστι, καὶ ἤδη θρομβούμενον, καὶ μετ᾽ ὀδύνης ἀναβήττεται τοῦ πάσχον-
τος μέρους καὶ βρωμῶδες, ἐνίοτε δὲ καὶ συμμεμιγμένον τῷ πύῳ ἀναφέρεται. ἀλλὰ τοῦτο κοινόν.
κατὰ δὲ τὴν τραχεῖαν ἀρτηρίαν ἕλκους γινομένου, βραχύ τι τόν ἐστι τὸ ἀναπτυόμενον αἷμα, καὶ πάν-
τως συμμεμιγμένον ἐλαχίστῳ πύῳ, καὶ ὀδύνης δὲ αἴσθησις γίγνεται τῷ πάσχοντι κατὰ τὸ ἡλκω-
30 μένον μέρος τραχείας ἀρτηρίας. εἰ δὲ ἀπὸ κεφαλῆς φέρεται τὸ αἷμα, ἐπὶ μὲν πολλῷ αἵματι, βά-
ρος πολὺ τῆς κεφαλῆς ἢ πόνος. ἐπ᾽ ὀλίγῳ δὲ τῷ αἵματι, ὀλίγον. ὤτων ἦχος ἀναλόγως τῷ πλήθει.
ἐρύθημα προσώπου. φλεβῶν τῶν ἐν μετώπῳ διάτασις. σκοτοδινία. καὶ πρὸ τούτων, αἰτία εὔδηλος,
πληγή, ἢ ψύξις, ἢ ἔγκαυσις, ἢ οἰνοφλυγία. ἡ γὰρ οἰνοποσία, ἀθρόον μὲν, πιμπλῆσι τὴν κεφαλήν. ἀ-
θρόον δὲ ἐκχέει ἐκ ῥαγέντος ἀγγείου. ἐπὶ δὲ σμικρᾷ μέθῃ, ὀλίγη πτύσις αἵματος. καὶ συνήθης δὲ ἔκ-
κρισις αἵματος διὰ ῥινῶν γινομένη, ἐπέχεται ποτέ. καὶ εἰς τὴν ὑπερῴαν τρεπομένη, φαντασίαν πα-
ρέχει ὡς ἐκ θώρακος ἀναγομένου. εἰ μὲν οὖν ἀπὸ κεφαλῆς φέροιτο, γαργαλισμὸς τῆς ὑπερῴας γί-
νεται. καὶ ἀναχρέμψεις πυκναὶ, καὶ οὕτως ἀποπτύουσιν. ἐρεθίζονται γὰρ πρὸς βῆχα, καὶ οὐ πάνυ βήσ-
σουσιν. εἰ δὲ ἀπὸ τῆς ὑπερῴας καταστάζει εἰς τὴν τραχεῖαν ἀρτηρίαν, τότε βήσσουσι, καὶ ἀνάγουσι τὸ
κατενεχθέν. καὶ ἐκ τούτου ἀπατώμενοι τινὲς, οἴονται ἐκ θώρακος τὴν ἀναγωγήν. καταρρεῖ δὲ ἔσθ᾽ ὅτε
40 εἰς τὴν γαστέρα διὰ τοῦ στομάχου ἀπὸ κεφαλῆς καὶ ἀνεμεῖται καὶ νομίζεται ἀπὸ τοῦ στομάχου εἶναι.
ἔχει δὲ τὴν ἰδέαν τὸ ἀπὸ κεφαλῆς αἷμα τοιαύτην. οὐ πάνυ παχὺ, τὴν χρόαν δέ ἐστι μέλαν, καὶ λεῖον
ὁμαλόν. ἀμιγὲς ἑτέρῳ τινὶ, πύῳ λέγω, ἢ φλέγματι, καὶ χρεμπτομένοις, εὐθὺς ἀπὸ τῆς γλώσ-
σης ἔρχεται στρογγύλον, καὶ ῥᾳδίως ἀποπτύεται. εἰ δὲ καὶ τὴν ὑπερῴαν κατανοήσεις, δασυτέραν
αὐτὴν καὶ ὥσπερ ἡλκωμένην εὑρήσεις. καὶ ὡς ἐπὶ τὸ πολὺ ὕφαιμον. διὰ τὸ ἀπὸ κεφαλῆς εἰς αὐτὴν
καταρρέον αἷμα. ἀρκεῖ δὲ ἡ ἁπλουστέρα καὶ μικρὰ θεραπεία. στύμματος μὲν δι᾽ ἀναγαργαρισμάτων
προσαγόμενα τῇ ὑπερῴᾳ καὶ ταῦτα ψυχρά. ἐπὶ γὰρ τοῖς θερμοῖς καὶ ἀραιωτικοῖς ἀναγαργαρί-
σμασι. πλείων ἡ αἱμορραγία συμβαίνει. καὶ τοῦτο τεκμήριόν ἐστι μετὰ τῶν ἄλλων, τῆς ἀπὸ κεφαλῆς
πτύσεως. εἰ μὲν οὖν ἀπὸ κεφαλῆς φέροιτο, καὶ πολὺ εἴη τὸ φερόμενον καὶ χρεία κενώσεως, θᾶττον
διὰ ῥινῶν, ἢ δι᾽ ἑτέρων φλεβοτομιῶν τὴν κένωσιν ποιήσαι, ἵνα μὴ ἀμεληθὲν, ἔθος γένηται τῇ φο-
50 ρᾷ τοῦ αἵματος, εἰς ταῦτα καταρρεῖν τὰ χωρία.

Θεραπεία τῶν ἀπὸ καταρρόου αἷμα πτυσάντων, γαληνοῦ. ξζ.

Τοὺς μὲν οὖν ἐπὶ καταρρόῳ αἷμα πτύσαντας. φλέβα τεμὼν εὐθὺς ἐν ἀρχαῖς. ἢ κλύσματι δριμεῖ χρη-
σάμενος. καὶ κενώσας τὴν κοιλίαν εἶτα δήσας τὰς χεῖρας καὶ τὰ σκέλη ἐπὶ πλεῖστον ἅμα φαρ-
μάκῳ τινὶ θερμαίνοντι. καὶ διαδήσας τὰ ἄκρα, ἔπειτα ξυρήσας τὴν κεφαλὴν, ἐπιτίθει τὸ διὰ τῆς

κόπρου τῶν ἀγρίων περιστερῶν φάρμακον. ὡρῶν τε τεσσάρων μεταξὺ γενομένων, ἐπὶ τὸ βαλανεῖον ἄναγε. καὶ λούσας αὐτὸν τοῦ ψαῦσαι λίπους τῆς κεφαλῆς. εἶτα σκεπάσας αὐτὴν συμμέτρῳ πίλῳ, τρέφε ῥοφήματι μόνῳ τῶν αὐστηρῶν ὀπωρῶν ἔχοντι. εἶτα ὑπνοῦν μέλλοντι, τῆς διὰ τῶν ἐχιδνῶν θηριακῆς Ἀνδρομάχου δίδου νεωστὶ κατεσκευασμένης. καὶ τῇ ἑξῆς ἡμέρᾳ, τὰ ἄλλα πάντα μέρη τοῦ σώματος τρίψας πλὴν τῆς κεφαλῆς. καὶ ἐν ἡσυχίᾳ φυλάξας, αὖθις εἰς ἑσπέραν δίδου τῆς θηριακῆς. σαλεύοντος δὲ ἐπὶ τούτων τοῦ καταῤῥόου, τῇ τρίτῃ τῶν ἡμερῶν ἕωθεν δίδου μέλιτος ὀλίγου ἢ ἑψημένου ἐπὶ ἡσυχίας τε φύλαττε. καὶ πάλιν ἀπότριβε τὸ σῶμα. ῥοφεῖν τε δίδου πτισάνης χυλὸν καὶ ἄρτον βραχὺ διάβροχον. κἄπειτα τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθεν μὲν τοῦ δι' ἐχιδνῶν φαρμάκου δίδου πάλιν, ἅμα πλείστῳ μέλιτι. τῇ τε κεφαλῇ τοῦ διὰ τῆς κόπρου τῶν περιστερῶν φαρμάκου πάλιν ἐπιτιθείς. εἶτα λούσας καὶ θρέψας μετρίως. δίδου τῇ πέμπτῃ τῶν ἡμερῶν τὰ σφοδρῶς ἀνακαθαίρειν δυνάμενα τὰ κατεῤῥυηκότα εἰς τὸν πνεύμονα ὑγρά. εἶτ' αὖθις ἐκ διαλειμμάτων χρῶ. κατὰ μὲν τῆς κεφαλῆς, κηρωτῇ διὰ θαψίας σκευασμένῃ. τὴν δὲ ὅλην τοῦ σώματος ἐπιμέλειαν ἀναθρεπτικὴν ποιοῦ.

Περὶ τῶν ἐπὶ ῥήξει τῶν ἀναπνευστικῶν αἷμα πτυσάντων, Γαληνοῦ. ξη'.

Τοὺς δὲ ἐπὶ ῥήξει τῶν ἀναπνευστικῶν ὀργάνων, ῥαγέντων τῶν ἐν τῷ πνεύμονι ἀγγείων, αἷμα πτύσαντας. φλεβοτομήσεις παραχρῆμα. καὶ ἐπαφαιρέσεις δευτέραν, κατὰ τὴν αὐτὴν ἡμέραν. καὶ κατὰ τὴν ἑξῆς δευτέραν, ὁμοίως, κατὰ βραχὺ δηλονότι τὴν κένωσιν ποιούμενος, ἵνα ἀντίσπασις γένηται, τούτου γὰρ ἕνεκα καὶ ἡ φλεβοτομία παραλαμβάνεται. εἶτα δέσει τῶν ἄκρων ὡς εἴρηται χρησάμενος. καὶ διαδέσμοις, δίδου εἰς ἑσπέραν τὸν διὰ σπερμάτων τροχίσκον. τῇ δὲ δευτέρᾳ τῶν ἡμερῶν μετὰ τὴν ἐπαφαίρεσιν, ἐπιθεὶς παντὶ τῷ θώρακι τὴν διὰ τῆς θαψίας κηρωτήν. εἶτα ἄρας αὐτὴν εἰς ἑσπέραν, ὅπως μὴ θερμανθείη περαιτέρω τοῦ προσήκοντος. δίδου πάλιν τὸν διὰ τῶν σπερμάτων τροχίσκον. τῇ δὲ τρίτῃ πάλιν ἐπιτιθεὶς τὴν διὰ τῆς θαψίας κηρωτήν, ὥραις που τρισί, πάλιν λοῦε τὸν ἄνθρωπον, ῥοφεῖν δὲ δίδου, τὰς μὲν πρώτας δύο ἡμέρας, ῥοφήματος, τῇ δὲ τρίτῃ, πρὸς τῷ χυλῷ τῆς πτισάνης, δίδου τῶν ἰχθύων τινὰ τῶν εὐπέπτων καλῶς ἡρτυμένων. παρέχων πάλιν εἰς κοίτην τὸν διὰ τῶν σπερμάτων τροχίσκον, ὑπνοποιὸς γάρ ἐστι καὶ ἀνώδυνος. καὶ ξηραίνων. τῆς δὲ φλεγμονῆς τῶν ῥαγέντων ἀγγείων παυσαμένης, καὶ τῶν μορίων ἐν εὐκρασίᾳ γενομένων, τὰ ἀνακαθαίροντα τὸν θώρακα διδόναι, μετὰ τοῦ κεχρῆσθαι τῇ διὰ τῶν ἐχιδνῶν θηριακῇ, εἶτα τῇ γαλακτοποσίᾳ, καὶ τῇ ἄλλῃ τροφῇ κέχρησο. οὕτως δὲ κατ' αὐτὴν τὴν ἡμέραν ἑαυτοὺς ἐγχειρίζοντάς σοι δυνήσῃ θεραπεύειν. οὐ μὴν ὁμοίως γε τοὺς μετὰ δύο ἢ τρεῖς ἡμέρας. ἔνιοι γὰρ ἐξ αὐτῶν ἀνίατον ἔχουσι τὸ ἕλκος. μάλιστα ὅσοι διὰ κακοχυμίαν εἰσὶν ἀναβρωθέντες, ὧν ἔνιοι, καὶ τοῦ σιάλου φασὶν ὡς ἅλμης αἰσθάνεται.

Θεραπεία τῶν καθ' ἕτερον ὁντιναοῦν τρόπον ἐκ τοῦ πνεύμονος αἷμα ἀναγόντων. ξθ'.

Χαλεπωτέραν δὲ ἔχει τὴν θεραπείαν τὰ ἐν τῷ πνεύμονι συνιστάμενα ἕλκη. ἐπιχειρεῖν δὲ δεῖ τῇ θεραπείᾳ καθάπερ ἡμεῖς. αὐτῷ μὲν οὖν τῷ κάμνοντι προστάξαι χρή, μήτε ἀναπνεῖν μέγα, καὶ σιωπᾶν ἀεί. τέμνειν δ' αὐτίκα φλέβα ἔνδον κατ' ἀγκῶνα. καὶ ἐπαφαιρεῖν δίς που ἢ τρὶς κατὰ βραχὺ ἀντισπάσεως μόνης ἕνεκα. οὐ γὰρ κενώσεως δέονται οὗτοι, κενούμενοι γάρ, ὑπὸ τοῦ πάθους πλέον ἁλίσκονται. διὰ τοῦτο καὶ δεῖν χρὴ καὶ διαδεσμεῖν ὅλα τὰ κῶλα πλατέσιν ὀθονίοις. ἐπειδὰν δὲ ταῦτα πράξῃς, πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε καὶ χλιαρὸν διδόναι πιεῖν. ὅπως εἴ τις ἢ θρόμβος ἐν τῷ σπλάγχνῳ διαλυθεὶς ἐκβληθείη. καὶ τοῦτο οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐν ὥραις δυσὶν ἐργάσασθαι. μετὰ δὲ ταῦτα, διδόναι τι τῶν ἐμπλαττόντων τὸ αἷμα καὶ στυφόντων φαρμάκων. ἤτοι δι' ὑδαροῦς ὀξυκράτου τὴν πρώτην ἡμέραν, ἢ δι' ἀφεψήματος μήλων, ἢ μύρτων, ἢ τινὸς ἄλλου τῶν στυπτικῶν, ἐπὶ ἑσπέραν τε πάλιν ὁμοίως διδόναι τὸ φάρμακον. ἀπεχομένου πάσης τροφῆς, ἐὰν ἰσχυρὰ εἴη ἡ δύναμις. εἰ δὲ μή, ῥόφημα αὔταρκες διδόναι. κάλλιστον δέ, καὶ κατὰ τὴν δευτέραν ἡμέραν ἐπαφαιρεῖν αὖθις ὀλίγον τοῦ αἵματος, ἀπὸ τῆς τετμημένης ἐν τῷ ἀγκῶνι φλεβός ἐὰν ἰσχυρὰ εἴη ἡ δύναμις, καὶ τροφαῖς, καὶ φαρμάκοις ὡσαύτως χρῆσθαι, μέχρι τῆς τετάρτης. ἐπιβρέχοντες ἐν κύκλῳ τὸν θώρακα. θέρους μὲν οἴνῳ. καὶ μηλίνῳ καὶ ῥοδίνῳ. χειμῶνι δὲ μύρῳ ναρδίνῳ. εἰ δὲ καὶ τῶν ἐμπλάστρων τινὶ χρήσασθαι βούλοιο φαρμάκῳ κάλλιστον ἂν ἔχοις τὴν ἡμετέραν ἣν καλοῦμεν βάρβαρον. ποιοῦσι δὲ καὶ αἱ λοιπαὶ δι' ἀσφάλτου καὶ ὄξους, καὶ πίσσης σκευαζόμεναι. καὶ μάλιστα, ἡ δι' ἰτεῶν, καὶ ἡ δι' αἰρῶν. τὸ γάρ τοι μέγιστον τοῦτ' ἐστὶν ὃ πάνυ προσέχειν σε χρὴ τὸν νοῦν. εἰ παραχρῆμα τῆς ῥήξεως τῶν ἀγγείων γενομένης, ὑπάρξαιο τῆς θεραπείας ὡς ἔναιμον κολληθῆναι τὸ τραῦμα, πρὶν ἄρξασθαι φλεγμαίνειν. εἰ γὰρ φλεγμαίνειν φθάσειεν, ὀλίγη μὲν ἐπὶ τὸ κολληθῆναι τὸ τοιοῦτον ἡ ἐλπίς. εἰς χρόνον δὲ ἐκπίπτει πλείονα. ἐκπλύνειν γὰρ χρὴ δηλονότι τότε πύον καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους, λυομένης τῆς φλεγμονῆς, καὶ ὡς ἐπὶ φθισικῶν λοιπὸν ποιεῖσθαι τὴν θεραπείαν Ἀρχιγένους. ὅσοι δὲ ἀπὸ στομάχου ἢ τῆς γαστρὸς ἀνάγουσι τοῦ αἵματος, ἐμετώδεις εἰσί, τέμνειν οὖν χρὴ τὴν ἐν ἀγκῶνι τὴν ἄνω φλέβα ὠμιαίαν καλουμένην.

λουμένην, κἂν ἐξ ἥπατος ᾖ τὸ εἰς αὐτὴν συῤῥέον. εἰ δὲ ἀπὸ σπληνὸς εἴη τὸ αἷμα, ὥσπερ διαγνώσεις
ἐκ τοῦ συνεισρέοντος περὶ τὸν σπλῆνα ὄγκου, τὴν μεταξὺ μικροῦ καὶ παραμέσου δακτύλου τῆς
ἀριστερᾶς χειρὸς φλέβα τέμνων, καλῶς καὶ οἰκείως βοηθήσεις. ἀλλὰ καὶ τὰς τροφὰς καὶ τὰ πόματα
ἐπὶ τῶν ἀπὸ γαστρὸς δι' ἐμμέτων χωρὶς βηχὸς ἀναγόντων αἷμα, μᾶλλον στυφούσας καὶ ψυχούσας δοτέον.
μὴ μέντοι σφόδρα τὰς ἐνεργείᾳ ψυχράς. πληγαὶ γὰρ ἐγγίνονται ἐκ τοῦ πάνυ ψυχροῦ. ἀρκεῖ δὲ τὸ μὴ
θερμὰ προσενεγκεῖν, μήτε βλάβου ἐμποιητικά. κρηναῖον οὖν διδόσθω τὸ πόμα, καὶ μὴ πάνυ ψυχρόν.
καὶ πλῆθος σύμμετρον. καὶ τὰ σιτία ὀλίγα ὁμοίως ψυχρὰ συμμέτρως, καὶ στύψιν κεκτημένα.

Κοιναὶ μέθοδοι τῆς προσαγωγῆς τῶν βοηθημάτων, ἐπὶ ἑκάστου εἴδους τῆς τοῦ αἵματος ἀναγωγῆς, μετὰ τὴν τοῦ αἵματος ἐποχήν. ξθ.

Π ρῶτος μὲν οὖν κίνδυνός ἐστι τῆς τοῦ αἵματος ἀναγωγῆς, κατ' αὐτὴν τὴν ἄμετρον κένωσιν. ἡ δὲ μετὰ τὴν
10 ἐποχὴν τοῦ αἵματος θεραπεία, τῆς μὲν κατ' ἀναστόμωσιν ἀρτηρίας γιγνομένης, ἐκ τοῦ κλεισθῆναι τὸ ἀνευ-
ρυσμένον στόμα τοῦ ἀγγείου. τῆς δὲ κατὰ ῥῆξιν, ἐκ τοῦ κολληθῆναι. τῆς δὲ δι' ἀνάβρωσιν, ἐξ ἀναθρέψεως
τῶν διαβρωθέντων. σφίγγεται μὲν οὖν τὸ ἀνευρυσμένον ἀγγεῖον, ὑπὸ τῶν στυφόντων. κολλᾶται δὲ
τὸ ἐῤῥωγός, ὑπό τε τούτων αὐτῶν, καὶ ὅσα τῶν μιγνυμένων αὐτοῖς, ἐν τῇ συνθέσει ξηραίνουσι χω-
ρὶς δήξεως, καὶ κολλῶδές τι ἔχουσι. καθάπερ ἡ λημνία σφραγίς, καὶ ὁ σάμιος ἀστήρ, καὶ τὰ παραπλή-
σια. ἀνατρέφεται δὲ τὸ διαβρωθέν, ὑπό τε τῶν εὐχύμων τροφῶν, καὶ τῶν σαρκωτικῶν ὀνομαζομένων
φαρμάκων. ἐπιτήδεια μὲν οὖν ἐστι τὰ στύφοντα τοῖς μὴ βήττουσι τοῖς εὐχύμοις, τοῖς κατ' ἀναστόμω-
σιν ἢ ῥῆξιν ἀνάγουσι. στύφει δὲ ὄξος τὸ κάλλιστον. καὶ ἀνδράχνη ἐσθιομένη. ὁ δὲ χυλὸς αὐτῆς πινόμενος,
δραστικώτερος. ἀρνογλώσσου χυλὸς ὅσον κυάθους γ. ἢ πολυγόνου χυλός, ὁμοίως. ὄμφακος χυλὸς ἐν
20 ἡλίῳ σπουδαίως ξηρανθείς, ∠ α. ῥοῦς, ἢ κηκίδος ἀφέψημα, ὅσον κύαθον. βαλάνου φλοιὸς καὶ μά-
λιστα τοῦ καστάνου, ∠ α. βάτου ῥίζης ἀφέψημα κυάθους γ. ὅτι καρπὸς τοῦ βάτου καὶ τὸ ἄνθος. βα-
λαυστίων ∠ α. ἀκακίας, ἢ ὑποκυστίδος ὁμοίως. γίγαρτα σταφυλῆς λεῖα κοχλιάριον α. ὀξυλαπά-
θου σπέρματος ὁμοίως. δραστικώτερον δὲ ἐνεργεῖ, καὶ τῆς ῥίζης τῆς ἀλθαίας τὸ ἀφέψημα. συμ-
φύτου ῥίζης ἀφέψημα, καὶ αὐτὴ ξηρὰ λεία ἐπιπαττομένη τῷ ποτῷ. κενταυρείου τοῦ μεγάλου ῥί-
ζης ἀφέψημα, ∠ β. δίδου πυρέσσουσι μὲν μεθ' ὕδατος. ἀπυρέτοις δὲ μετ' οἴνου. αἱματίτου λίθου ∠
α. μετὰ χυλοῦ ῥόας. ἢ κοραλλίου λίθου ὁμοίως. ὑποσύρεως ῥίζα. μόρα τὰ πάνυ ὀμφακίζοντα, ὡς
οὐδὲν ἕτερον. ἔξωθεν δὲ τῷ θώρακι ἐμβροχὴν προσάγειν δι' οἴνου στύφοντος μετὰ ῥοδίνου ἢ μυρσίνου.
εἰ δὲ πολλὴ εἴη ἡ αἱμοῤῥαγία, μάλιστα ἐν θέρει, ἐὰν χωρὶς βηχὸς αἱ ἀναγωγαὶ γένοιντο. καὶ μὴ ἀσθενὴς
ὁ κάμνων, ἀλλ' εὔρωστος καὶ εὔσαρκος, ὄξος ἀντὶ τοῦ οἴνου προσάγειν. ἢ ἐπὶ ἐρίοις ῥυπαροῖς ἀναλαβόντα.
30 ἀλλὰ σπόγγοις. καὶ ἐπιδεσμεῖν πλατεῖ ἐπιδέσμῳ. ἐνίοτε δὲ προσπλέκειν τῷ ὄξει ἀκακίαν. ἀλόην.
ἢ ὀμφάκινον. προχρίειν δὲ μυρσίνῳ τὴν ἐπιφάνειαν. ἵνα μὴ δῆξις ἐπιγίνηται ἐκ τῆς ἐμβροχῆς. ἢ τὴν
βαρβάραν. ἢ τὴν δι' ἰτεῶν ἢ ἑτέραν ὁμοίαν ἐπιθεῖναι. εἰ δὲ ὁ κάμνων μὴ δύνηται φέρειν. μὴ δὲ τὴν ἀη-
δίαν τοῦ μολυσμοῦ τῆς ἐμβροχῆς. μὴ δὲ τὴν περίστασιν τῶν ἐμπλάστρων, καταπλάσματα τούτοις προ-
σάγε διὰ φοινίκων. ἀκακίας. στυπτηρίας σιδίων λειοτάτων. συμφύτου. ἀλφίτων. ἢ φακῶν ἀλεύρου.
εἰ δὲ τὸ βάρος τῶν καταπλασμάτων μὴ φέροι, μὴ δὲ θάλπεσθαι δύναται. καταχρίσεις ἐπὶ τού-
των χριστέον. ἑψητέον ὄξει, λωτοῦ ἢ μεσπίλου τῶν φλοιῶν ἐπὶ πολύ. καὶ ῥοῦν μαγειρικόν. καὶ βά-
του φύλλα ὀλίγα. ἢ πολυγόνου. εἶτα λειώσαντα τῷ χυλῷ ἀλόην. ἢ ἀκακίαν. ἢ ὀμφάκιον. καὶ πα-
χὺ κόμμι καταχρίειν τὸν θώρακα καὶ τὸ μετάφρενον. καὶ ὅταν ξηρανθῇ πάλιν ἐπιχρίειν. ἵνα ἔχῃ πά-
χος τὸ χρίσμα. ἵνα μὴ γυμνούμενοι, περιψύχονται ἐν τῷ ξηραίνεσθαι τὸ χρίσμα, κωλυτέον τὸν πο-
40 λὺν ἀέρα πρὸς τὴν ὥραν ἐκείνην. εἰ δὲ φλεγμοναὶ ἐπιγινόμεναι πυρετοὺς ἐπιφέροιεν, εἰώθασι γὰρ
καὶ σφόδρα ὀξεῖς ἐπιπίπτειν καὶ ἐπικίνδυνοι. ἐνίοτε δὲ ἀμβλεῖς ὅτε εἰς φθίσιν μέλλει ἐμπίπτειν.
συντακτέον δὲ τὴν δίαιταν ἅπαξ ὡς πρὸς πυρετούς. μὴ ἀθρόως δὲ ἵνα μὴ πάλιν ἀναῤῥαγῇ τὰ κο-
ληθέντα. καὶ τοῖς μὲν ῥοφήμασι συμπλέκειν τὰ ἠρέμα στύφοντα διὰ φοίνικας καὶ τὰ ὅμοια. καὶ κα-
ταπλαστέον ἄρτῳ θερμῷ. εἶτα λινοσπέρμῳ. ὅταν δὲ χρονίσῃ ὡς ἐπὶ φθισικῶν τὰ πάντα πρα-
κτέον. ξηραντικῆς δὲ ἀδήκτου δυνάμεώς ἐστιν, ὠκίμου χυλός. ὄξος δὲ προσλαβὼν ὁ χυλὸς οὗτος ἐπι-
τηδειότερον γίγνεται. καὶ ἡ μὲν ἐν τῇ χρήσει συνεθέσατος ᾖ, καὶ ἀδεέστερον ἂν αὐτοῦ μεταδώῃς.
στύφει δὲ ἅμα καὶ ξηραίνει ῥέον τὸ ποντικόν. παραλαμβάνειν δὲ χρὴ τὴν ποντικὴν ταύτην ῥίζαν,
πρὸς τὰς προσφάτους καὶ χρονίας ἀναγωγὰς τοῦ αἵματος. καὶ τοὺς ῥευματισμοὺς τοῦ θώρακος, ἐν
ἀρχῇ μὲν ὀξυκράτῳ ἑψῶν αὐτήν. ἐν δὲ ταῖς περιοδικαῖς αὐτοῦ ἀναγωγαῖς, ὅλως ὀλίγον συμπλέ-
50 κων, πότιζε μεθ' ὕδατος. ὅτε δὲ τραχύτης καὶ βὴξ ἐνοχλεῖ, γλυκεῖ κρητικῷ ἑψήσας, ἔπειτα συλ-
λεάνας αὐτήν, δίδου. μᾶλλον δὲ ξηραίνει, ξηρὰ ἐμπασσομένη τῷ ποτῷ. ξηραίνει δὲ ἀδήκτως καὶ σά-
μιος ἀστήρ. καὶ μίλτος σινωπική. καὶ ἡ λημνία σφραγίς. δίδου οὖν ᾧ βούλει δὶς τῆς ἡμέρας ∠ α.
μεθ' ὕδατος ἀδήκτως δὲ καὶ γενναίως ξηραίνει, βῶλος ἀρμενιακή, ὡς οὐδὲν ἕτερον. δίδου δὲ καὶ τού-
του ∠ α. μεθ' ὕδατος θαῤῥῶν. ξηραίνει δὲ καὶ πυτία νεαροῦ ἐρίφου. ἡ δὲ τοῦ ἐλάφου, παχύνει μᾶλ-

ξηραῖνον
στῦφον
παχῦνον

λον. στομάχου δὲ κάμνοντος, δίδου ἅπαξ μὲν τὸ στῦφον. ἅπαξ δὲ τὸ ξηραῖνον. ἐνίοτε δὲ, ἕωθεν μὲν τὸ στῦφον δίδομεν, περὶ δὲ ἕκτην ὥραν, τὸ ξηραῖνον, εἰς ἑσπέραν δὲ, τὸ παχῦνον. παχυντικῶν καὶ ὅτε χρεία, ἄμυλον διδόσθω. κόμμι. τραγάκανθα κατ᾽ ἰδίαν, ἢ σὺν ἀλλήλοις, τούτου τοῦ γένους τῶν παχυνόντων ἐστί. καὶ ἡ ἰχθυόκολλα, καὶ τὸ σύμφυτον, μασώμενον καὶ καταπινόμενον. καὶ τὰς τροφὰς δὲ, ὁμοδυναμούσας τοῖς εἰρημένοις φαρμάκοις δοτέον. τοῖς μὲν δι᾽ ἀναστόμωσιν αἷμα ἀνάγουσι καὶ τοῖς ἀπὸ γαστρὸς, τὰς στυφούσας, οἷόν ἐστιν, ἄλιξ ἐξ ὀξυκράτου, ἢ χόνδρος ὁμοίως. ἢ ὄρυζα, ἢ ὠὰ ἁπαλὰ ἐπιπασσομένου ῥοὸς μαγειρικοῦ λειοτάτου. ἀρνόγλωσσον ἑφθόν. σέρις. φακὸς ἠρτυμένος τούτοις, ἢ ὀξυλάπαθον. ἐφ᾽ ὧν δὲ τῆς παχυνούσης ὕλης χρεία, γάλα ἑφθὸν ψύχεται, καὶ δίδοται τοῖς διαβρώσει αἷμα ἀνάγουσι, καὶ σαρκώσεως δεομένοις, ἐμπάσσεται δὲ τῷ γάλακτι ἡψημένῳ ἐνίοτε. ἢ ἄμυλον, ἢ ἐλαχίστη πάνυ πιτύα, φυλάττεσθαι γὰρ χρὴ τὸ πλῆθος αὐτῆς. καὶ μὴ εὐθὺς μετὰ τὴν συμπλοκὴν αὐτῆς, διδόναι τὸ γάλα, ἀλλὰ διαστήσαντας βραχύ. τὸ γὰρ ἐπὶ πολὺ θρομβούμενον ἐν τῇ γαστρὶ, θάνατον εἴωθεν ὡς ἐπίπαν ἐπιφέρειν, ἁρμόδιον καὶ φοίνικας συνεψεῖν τῷ ἄλικι. ἢ τῇ σεμιδάλῃ. παχύνει δὲ ἅμα καὶ στύφει ὠὰ παχύτερα ῥοῦ προσειληφότα, καὶ μᾶλλον τὰ ὀπτά. φακὸς σὺν πτισάνῃ ἡψημένος. κέγχρος ἑφθή. φευκτέον δ᾽ ἐπὶ πάντων, τὰ σφοδρῶς στύφοντα, καὶ τὰ ὑπερβαλλόντως παχύνοντα. αἱρετέον δὲ ἁπλούστερα καὶ ἀλυπότερα ἑκάστου γένους τῶν προρρηθέντων.

Περὶ συνθέτων φαρμάκων πρὸς αἱμοπτοϊκοὺς γαληνοῦ. ο.

Κατὰ πρῶτον μὲν οὖν λόγον ἐκ τῶν στυφόντων καὶ ξηραινόντων καὶ παχυνόντων συντίθεται τὰ πρὸς θεραπείαν τῆς ἀναγωγῆς τοῦ αἵματος ἁρμόττοντα φάρμακα. ἐπειδὴ δὲ τὰ στύφοντα καὶ γλίσχρα καὶ τὰ ξηραίνοντα ἀποκλείει τὰς ὁδοὺς καὶ δυσανάδοτά ἐστι, δεῖται δυνάμεως τῆς παρασκευαζούσης αὐτοῖς τὰς ὁδούς. καὶ διὰ τοῦτο τὰ θερμὰ καὶ λεπτομερῆ τοῖς τοιούτοις φαρμάκοις, μίγνυται ἐναντιώτατα κατὰ τὸν ἑαυτῶν λόγον ὑπάρχοντα τῇ τοῦ αἵματος ἀναγωγῇ. μίγνυται δὲ αὐτοῖς τὰ ναρκοῦντα, ὡς ὕπνον καρώδη φέροντα. χρησιμώτατον δὲ μιγνύμενον τοῖς ἀπὸ βηχὸς παρατρεπομένοις. πᾶσι μὲν, αἱμοπτοϊκοῖς δὲ μάλιστα. οὗτοι μὲν οὖν οἱ σκοποὶ τῆς συνθέσεως τῶν αἱμοπτοϊκῶν φαρμάκων. τὰ δὲ πείρᾳ δεδωκότα φάρμακα σύνθετα τοῖς ἀρχαιοτέροις ἰατροῖς ἐφεξῆς εἰρήσεται.

Πόμα αἱμοπτοϊκοῖς.

Κοραλλίου λίθου. γῆς ἀστέρος. ἠλέκτρου. μαστίχης ∠. ϛ. ἀμύλου. λιβανου. κόμμεως, ἀνὰ ∠. δ. δίδου κοχλιάριον ξηρὸν μετὰ ὀξυκράτου, ἢ ἀφεψήματός τινος τῶν προειρημένων. Ἄλλο. Γῆς ἀστέρος ἀγκράτου λίθου. λημνίας σφραγῖδος ἴσα, δίδου κοχλιάριον μετὰ κυάθων β. ἀρνογλώσσου. Ἄλλο. Λημνίας σφραγῖδος ∠. ιϛ. γῆς ἀστέρος ∠. η. σαρκοκόλλης ∠. δ. κόμμεως ∠. β. δίδου κοχλιάριον μετὰ ἀφεψήματος φοινίκων κυάθων β. παχὺ δὲ ἔστω τὸ ἀφέψημα. Ἄλλο. Ἀνδρομάχου. κοραλλίου πεφρυγμένου ∠. α. λιβάνου ὀβολοὺς δ. ἀκακίας ∠. α. βαλαυστίων ὀβολοὺς ε. κόμμεως ὀβολοὺς β. ὠῶν δύο τὰ λευκά. τούτου τὸ τέταρτον δίδου μεθ᾽ ὕδατος κυάθου α. S. Ἄλλο. Ἀσκληπιάδου. πολυγόνου ῥίζης χειροπληθὲς. συμφύτου ῥίζης τὸ ἴσον. ῥοῦ ἐρυθροῦ, ὀξύβαφον ὕδατος ξ. γ. ἀφεψήσας εἰς τὸ τρίτον, καὶ τὸ ὑγρὸν ἐκθλίψας καὶ διηθήσας. καὶ βαλὼν κόμμεως λειοτάτου ἑκάστῃ δόσει ∠. α. δίδου κύαθον α. Ἄλλο. Διὰ πείρας κοραλλίου ∠. ιη. λιβάνου ∠. η. δίδου κοτύλην μετ᾽ οἴνου μυρτίτου κεκραμμένου ποιεῖ καὶ πρὸς ῥοῦν γυναικεῖον. Ἄλλο. Τῶν πάνυ ἐξαιρετῶν, ᾧ μαρτυρῶ. Λιβάνου. γῆς ἀστέρος, ἀνὰ ∠. η. κρόκου ∠. α. ἀμύλου. ἀρνογλώσσου χυλοῦ ξηροῦ, ∠. α. κόψας, καὶ σήσας, δίδου κοχλιάριον σὺν ὀξυκράτῳ. Ὁ δι᾽ ἠλέκτρου τροχίσκος, ποιεῖ αἱμοπτοϊκοῖς ἐξόχως ὅθεν ἂν φέρηται τὸ αἷμα. βήττουσι χρονίως καὶ προσφάτως. φθισικοῖς, ἀνὰ ῥευματιζομένοις, ἀναφορικοῖς. ἐμπυϊκοῖς. κοιλιακοῖς. δυσεντερικοῖς. κύστιν ῥευματιζομένοις, ἐμπυευματουμένοις. ἔστι δὲ καὶ ὠτικὸς ἀγαθός. ψιλλίου. ∠. με. ἠλέκτρου ῥινήματος. ἴρεως. μαστίχης. κρόκου ἀνὰ ∠. λ. ὀπίου, ∠. ιε. τὸ ψύλλιον βαλὼν ὕδατι θερμῷ ξ. γ. ἔα βρέχεσθαι ὀλίγον, καὶ ὅταν γλίσχρον καὶ κολλῶδες γένηται, ἔκθλιβε τὸ ὑγρὸν, καὶ τούτῳ λείου τὰ προγεγραμμένα, καὶ ἀνάπλαττε τροχίσκους καὶ δίδου τριώβολον, εἰς ὕπνον ἀπερχομένοις. Τροχίσκος δωσιθέου πάνυ δόκιμος βάτων ἀκρεμόνων Γο. β. συμφύτου ῥίζης. ἀκάνθης αἰγυπτίας καρποῦ. ὑποκυστίδος χυλοῦ. λυκίου. ὀπίου. λιβάνου. ῥοῦ ποντικοῦ γῆς ἀστέρος, ἀνὰ Γο. β. ῥοῦ μαγειρικοῦ Γο. γ. ῥόδων ξηρῶν ∠. δ. ἀναλάμβανε χυλῷ ἀρνογλώσσου. μύρτων Γο. ε. κρόκου λημνίας σφραγῖδος. μάκερ φλοιοῦ ἀνὰ Γο. α. S. ἀναλάμβανε χυλῷ ἀρνογλώσσου ἢ οἴνῳ αὐστηρῷ καὶ ποίει τροχίσκους. καὶ δίδου μετὰ ἀφεψήματος συμφύτου, ἢ πολυγόνου. Τροχίσκος πρὸς αἱμοπτοϊκούς, ᾧ κεχρημένος διὰ παντὸς εὐδοκιμῶ. γῆς ἀστέρος Γο. γ. ἀμύλου προσφάτου Γο. ε. τραγακάνθης Γο. α. S. κόμμεως Γο. γ. ἰχθυοκόλλης Γο. α. S. ὄξους τὸ ἀρκοῦν. λύε τὴν ἰχθυόκολλαν ὡς οἱ τοξόποιοι. προβρέχων αὐτὴν ὄξει δριμυτάτῳ ἀρκοῦντι, ἐπὶ ἡμέρας τρεῖς προκαθαίρας καὶ ἀφελὼν αὐτῆς τὸ ὑμενῶδες. τῇ δὲ τετάρτῃ τῶν ἡμερῶν αἴρων ἐξ αὐτῆς κατὰ βραχὺ

κόπτε

κόπτε ἐν θυΐᾳ τῷ δύ δι μι. καὶ λείοι ἀκριβέστατα· ἔστι γὰρ δυσλείωτος· λειοτάτης δὲ γινομένης, βα-
λὼν ἐν τῷ ὄξει, πάλιν ἕψε ἐν χαλκῷ ἢ σιδήρῳ τινὶ ἐπὶ θερμοσποδιᾶς· καὶ κίνει συνεχῶς ἐπὶ ὥ-
ραν ἱκανὴν ἕως παχυτάτη γένηται. ἔπειτα βαλὼν ἐν θυΐᾳ, λείοι ἐπὶ πολύ. εἶτα ἔχων ἐν ἑτοίμῳ
ἕκαστον τῶν εἰρημένων κατ' ἰδίαν κεκομμένον καὶ σεσησμένον ἀκριβῶς, καὶ μάλιστα τὴν τραγάκανθαν,
ἐπίπασσε ἐν τῇ θυΐᾳ τῇ διαλυθείσῃ ἰχθυοκόλλῃ· καὶ ἑνώσας ἀκριβῶς ἀναλάμβανε ἐν πίναξιν ὑελ-
λίνοις στερεοῖς καὶ ξήραινε. καὶ ἀνάπλαττε τροχίσκους συμμέτρους· χρονίζει δὲ ἀναπλασθῆναι· δίδου
δὲ τροχίσκους μετὰ ὀξυκράτου· χρῶ πάνυ θαρρῶν. τροχίσκος ὁ διὰ κοραλλίου. ὃν νῦν ἔνδοξον καὶ σύ-
νηθες πᾶσι τοῖς ἐμπείροις. γῆς ἀστέρος. βαλαυστίων. κοραλλίου. ὑποκυστίδος χυλοῦ. ἀκακίας. σμύρ-
νης. ῥᾶ ποντικοῦ. λυκίου. ὀμφακίου. τραγακάνθης. ἀνὰ ℥ α΄. λιβάνου ℥ β΄. ὀπίου ∠ δ΄. ἀμύλου γρ. ϛ΄.
10 στυπτηρίας σχιστῆς γρ. ιβ΄. λημνίας σφραγῖδος γρ. ϛ΄. ῥοῦ ἐρυθροῦ ℥ ϛ΄. γλυκυῤῥίζης γρ. ϛ΄. συμφύτου
ῥίζης ℥ δ΄. κόμμεως γρ. ιη΄. κρόκου γρ. ϛ΄. ἀκάνθης αἰγυπτίας καρποῦ ∠ δ΄. ἀναλάμβανε τροχίσκους
χυλῷ ἀρνογλώσσου. ἢ οἴνῳ αὐστηρῷ παλαιῷ. καὶ δίδου εἰς κοίτην διόβολον μετ' ὀξυκράτου. ποιεῖ καὶ δυ-
σεντερικοῖς. τροχίσκος ὁ διὰ τῆς ἀκάνθης, ᾧ χρῶμαι κατὰ κόρως, κλειδίον φάρμακον ἐπιτετευγ-
μένον, ποιεῖ αἱμοπτοϊκοῖς πᾶσι, κοιλιακοῖς. δυσεντερικοῖς, καὶ τοῖς στόμαχον ῥευματιζομένοις. Κυ-
τίνων. ἀκάνθης αἰγυπτίας καρποῦ. βαλαυστίων. ἀκακίας, ὑποκυστίδος χυλοῦ, ἀνὰ ∠ ϛ΄. λυκίου.
ῥᾶ ποντικοῦ. ὀπίου, ἀνὰ ∠ δ΄. σμύρνης ∠ β΄. κόψας σῆθε ἐπιμελῶς. ἀναλάμβανε μύρτων ἀφεψή-
ματι ἢ ῥόδων. ἢ οἴνῳ μυρτίνῃ. καὶ ἀνάπλασσε τροχίσκους, καὶ δίδου πρὸς δύναμιν μετ' ἀφεψήμα-
τος, ῥόδων ἢ μύρτων, ἢ ἑλίκων ἀμπέλου. ἢ φοινίκων, ἢ ὕδατος ψυχροῦ. λυκίου δὲ μὴ εὐπορήσας, ἐσκευά-
σα ῥοὸς βυρσοδεψικοῦ χυλὸν, καὶ ἀντὶ λυκίου ἐχρησάμην τούτῳ. σκευάζεται δὲ οὕτως. ἡ βυρσοδε-
20 ψικὴ ῥοῦς βρέχεται τετραπλασίονι ὕδατος ποσῷ, ἐφ' ἡμέρας γ΄. σαλευομένη ῥάβδῳ. τῇ δὲ τετάρ-
τῃ ἕψεται μέχρι ἰσόπεδον γένηται τὸ ὕδωρ τῇ κόμῃ τῆς ῥοός, καὶ τότε ἡ μὲν ῥοῦς ῥίπτεται ἀπο-
θλίβουσα. τὸ δὲ ὕδωρ διηθηθὲν, ἕψεται ἕως μελιτώδους συστάσεως. καὶ οὕτως ἐμβάλλεται τοῖς φαρ-
μάκοις. ποτίζων δὲ τὸ φάρμακον, τὸ προειρημένον, σπόγγους ὀξυκράτῳ δεδευμένους ἐπιτίθει τῷ θώ-
ρακι. ὅταν δὲ ἐπισχῇ τὸ αἷμα, ἐπίχριε τὸ στῆθος ἢ τοὺς ῥευματισθέντας τόπους ὀμφακίῳ ὄξει διαλελυ-
μένῳ. καὶ χλιανθέντι ποσῶς. χρῶ δὲ ἐπὶ τῶν αἱμοπτοϊκῶν καὶ τῷ φιλίππου τροχίσκῳ τῷ ἀναγεγρα-
μμένῳ ἐν τῷ περὶ δυσεντερικῶν λόγῳ. ἕτερον πρὸς αἱμοπτοϊκούς. λελισφάκου χυλοῦ, κυά-
θους β΄. μέλιτος, ℥ α΄. δίδου νήστει πίνειν. καὶ παραυτὰ στήσει τὸ αἷμα.

Ὅσα θρόμβους διαλύει αἵματος. οα΄.

Θρόμβους δὲ αἵματος διαλύει καὶ διαχεῖ, συκίνης τέφρας ὕδατι πλυθείσης, καὶ διηθημένης τὸ ὕδωρ
30 πινόμενον, καὶ ἡ ἀμπελίνη δέ, καὶ ἡ δρυΐνη καὶ αἱ παραπλήσιοι. θύμος ἢ θύμβρα μετ' ὄξους. πιτύα
λαγωοῦ, ἢ ἐρίφου ὅσον ἐρεβίνθου μέγεθος μετ' ὄξους. χρῶ τοίνυν εὐθύς, ἐπὶ τῶν ἐξ ὑψηλοῦ πιπτόν-
των καὶ πτυόντων αἷμα, τῇ κονίᾳ στακτῇ, ποτίζων, καθ' αὑτὴν, ἢ μετ' ὄξους ὀλίγου.

Περὶ τῶν ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ ἑλκῶν. οβ΄.

Ὅσα ἐν τῇ τραχείᾳ ἀρτηρίᾳ γίνεται ἕλκη κατὰ τὸν ὑπαλείφοντα αὐτὴν ἔσωθεν ὑμένα, καὶ μάλιστα
τὰ πλησίον τοῦ λάρυγγος, ἢ κατ' αὐτὸν τὸν λάρυγγα, ἔνεστι θεωρῆσαι, καὶ ἡμεῖς οὐκ ὀλίγους ἰασάμεθα τῶν
οὕτω καμνόντων. ἀναπτύουσι δὲ οὗτοι ὀλίγα πυώδη ὕφαιμα, ἐνίοτε δὲ καὶ ἡ ἐφελκὶς ἀναπτύεται. καὶ
αἴσθησις αὐτοῖς ὀδύνης γίγνεται, κατὰ τὸν ἡλκωμένον τόπον σαφής. τούτους ἐν ἡσυχίᾳ δεῖ φυλάτ-
τειν ὑπτίους κατακλίνοντας. παραινεῖν δὲ ἀντέχειν καθ' ὅσον οἷόν τε καὶ μὴ βήττειν. εἶτα ἔξωθεν
μὲν ἐπιτιθέναι τῷ τόπῳ τι τῶν ξηραινόντων φαρμάκων. οἷα ἐστὶν ἡ βάρβαρος, καὶ ἡ δι' ἰτεῶν. καὶ
40 ἡ δι' αἰρῶν, καὶ αἱ παραπλήσιοι, φάρμακα δὲ διδόναι τῶν ἐν τοῖς ἀρτηριακοῖς πρὸς ἕλκη ἀναγε-
γραμμένων. κἂν τοῖς ἐμπύοις, ὑπὸ τὴν γλῶτταν κατέχειν ἀξιοῦντες. ἵνα τὸ κατὰ βραχὺ διαλυό-
μενον. παραῤῥέῃ εἰς τὴν τραχεῖαν ἀρτηρίαν. ἀντέχειν τε καὶ μὴ βήττειν τότε μάλιστα. διδόναι δὲ αὐτοῖς
καὶ γάλα πίνειν καθ' ἑκάστην αὐτίκα ἀμελχθὲν παρεστῶτος τοῦ ζώου. προσεμβάλλειν δὲ καὶ μέλιτος,
οἷς δὲ ὕποπτόν ἐστι, καὶ τυροῦται ἐν τῇ γαστρί.

Περὶ ἐμπυϊκῶν ἀρχιγένους. ογ΄.

[Ἐ]μπυϊκοὶ καλοῦνται, οἷς ἂν ἀπόστημα γενόμενον, ἐν τῷ ὑπεζωκότι τὰς πλευρὰς ἔνδοθεν ὑμένι, ἢ ἐν
ἑτέρῳ τινὶ τῶν ἄλλων μορίων τοῦ θώρακος. ἀθρόον συῤῥαγῇ ἐν τῇ κενῇ χώρᾳ τοῦ θώρακος, μεταξὺ
τοῦ πνεύμονος, καὶ τοῦ ὑποζωκότος. ὅπερ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινώδεις ἀποτελοῦνται.
πυρέττουσι δὲ οἱ ἐμπυϊκοὶ ἀδιαλείπτως ἑκτικὸν πυρετόν, ῥήγνυται δὲ τὰ ἐμπυήματα, τὰ μὲν ἄνω.
50 τὰ δὲ κάτω. καὶ τὰ μὲν κάτω, εἰς κοιλίαν καὶ ἔντερα. ἢ εἰς κύστιν μεταλαμβάνεται, δι' ἀγγείων τινῶν
τῆς μεταλήψεως γιγνομένης. ὅσα δὲ ἄνω ῥήγνυται. εἰς τὰ κενὰ τοῦ θώρακος, κινδυνωδεστέρα ἐστί. δια-
γνώσει δὲ τοὺς ἐμπυϊκοὺς τούτῳ τῷ τρόπῳ. προηγησαμένης πλευρίτιδος, εἶτα τῶν μὲν σφοδρῶν πυ-
ρετῶν παυσαμένων καὶ τῆς μεγίστης ὀδύνης, βάρους δὲ αἰσθήσεως ὑπολιμπανομένης ἔνδον τῶν
πλευρῶν, ἐν τῷ βάθει τοῦ θώρακος, ἅμα τῷ μεταῤῥεῖν τι φαίνεσθαι κατὰ τὰς ἀθρόας ὑπαλλαγὰς
τῆς κατακλίσεως, καὶ μάλιστα ὅταν ἀπὸ τῆς ἑτέρας πλευρᾶς ἐπὶ τὴν ἑτέραν σχηματίζωνται.

πύου οὖν τηνικαῦτα πλῆθος ἐμφαίνεται, καὶ κλύδωνός τινος πολλάκις αἰσθητῶς ἐστιν ἀκούειν ἐπ᾽
αὐτῶν, ἐν ταῖς μετακλίσεσιν. ἐνδείκνυται δὲ ταῦτα σὺν τοῖς εἰρημένοις, τὸ μηδὲν ἀξιόλογον ἀναπτύε-
σθαι, σφοδρᾶς προηγησαμένης πλευρίτιδος. ἔγνωμεν δέ τινας χωρὶς πυρετοῦ γεγονότας ἐμπύους.
χυμοῦ ἐρρωμένου, ἢ φλεγματώδους ῥυέντος ἐκ τοῦ ὅλου σώματος, εἰς τὰ κενὰ τοῦ θώρακος, καὶ αὐ-
τόθι σαπέντος, ἐφ᾽ ὧν μὲν οὖν ἀπὸ γυμνασίου ἢ ἐκ καταπτώσεως τινὸς σπάσμα γινόμενον, ὀδύνην
τινὰ περὶ τὸν θώρακα ἐν τῷ βάθει ἐπήνεγκε, νίτρον, ὄξει καὶ ἐλαίῳ κυπρίνῳ ἐμβαλλέσθω. καὶ κάγ-
χρυ δαφνελαίῳ θλασθὲν, ἢ πύρεθρον αὐτίκα κάγχρυος, ἢ ἀσταφὶς ἀγρία, θερμαινέσθω δὲ ταῦτα. εἶτα
διυλισθέντα, ἐπιρριπτέσθω τοῖς τόποις μετ᾽ οἰσυπηρῶν ἐρίων. χρήσιμός ἐστιν ἡ ἐμβροχὴ αὕτη. καὶ
πολλάκις μόνη διεφόρησεν. ἐφ᾽ ὧν δὲ φλεγμονὴ προηγήσατο αὐτόματος, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι
10 φλέβα. εἰ μηδὲν κωλύει, καὶ μετρίως κενοῦν· ἵνα μόνον κουφισμός τις γένηται. καὶ διαιτᾶν ἐπὶ χυ-
λοῦ πτισάνης, καὶ μελικράτου, τῶν ἐκκρίσεων προνοουμένους, καὶ ἐφ᾽ ἡσυχίας σπουδαίως φυλάτ-
τοντας. καὶ τὰ μὲν πρῶτα, αἱ δι᾽ ἐλαίου λιπαροῦ ἐμβροχαὶ ἁρμόσουσι ἐπὶ πιλημάτων ἐρίου βρε-
χομένων, καὶ ἐπιτιθεμένων. ἀπυρέτων δὲ ὄντων, καὶ γλυκὺς σύμμετρος προσπλεκέσθω τῷ πολλῷ
ἐλαίῳ. καὶ ἐρίοις οἰσυπηροῖς ἀναλαμβανέσθω. αὕτη ἡ ἐμβροχὴ ἐπὶ τῶν ἀπυρέτων οὐκ ἄχριστος ἕως
τῆς τρίτης ἐστίν. εἰ δὲ πυρετοὶ συνεδρεύουσι. καὶ ἡ σύρρηξις, παρακολούθησε τοῦ πύου, πηγανίνῳ, ἢ
ἀνηθίνῳ ἐλαίῳ ἐμβρεχέσθωσαν. ἢ μαλάχης ῥίζαι τῷ ἐλαίῳ ἑψήσθωσαν. ἢ μαράθρου. ἢ κυπέρου ἄν-
θους. ἁρμοδιώτερον δὲ τὸ δεόντως ἐσκευασμένον κύπρινον. θερμανθέντα δὲ ταῦτα, καὶ ἐρίῳ μα-
λακῷ ἀναληφθέντα, ἐπιτιθέσθω θερμότερα, καὶ συνεχέστερον ἐναλλασσέσθω. μετὰ δὲ ταῦτα καὶ
καταπλάττειν προσήκει, τοὺς μὲν μετὰ πυρετοῦ, ἄρτῳ ἑφθῷ ἐν μελικράτῳ, σελίνου χλωροῦ συνη-
20 ψημένου τῷ μελικράτῳ. ἢ σελίνου σπέρματος ἐμπασσομένου, ἢ μαράθρου. χρησιμώτερον δὲ βούτυ-
ρον ἀντὶ τοῦ ἐλαίου ἐμβαλεῖν. ἔπειτα τὸ διὰ λινοσπέρματος κατάπλασμα προσαγέσθω. εἰ δὲ μεί-
ζων ἡ θλῖψις εἴη, καὶ τῆλις ἐμβεβλήσθω. εἰ δὲ ψύξις αἰτία τῆς ἐμπυήσεως γέγονεν, καὶ ἐρυσίμου
σπέρμα ἐμπάσσειν χρὴ τοῖς καταπλάσμασι. χρονιζόντων δὲ τῶν ἐμπυημάτων. ἐπιτείνειν χρὴ τὴν δύ-
ναμιν τῶν καταπλασμάτων. ἐπιτείνειν δὲ τῷ κρινίνῳ, καὶ ἰσχάδας ἑφθὰς, καὶ ἀλθαίας ῥίζην. καὶ
τερεβινθίνην. καὶ περιστερᾶς κόπρον. γίνεται δὲ ἐπὶ τῶν χρονιζουσῶν συρρήξεων χρήσιμον κατά-
πλασμα καὶ ἐκ τῆς αἰγείας κόπρου μόνης. πεπαῖνον τὸ συναγόμενον. καὶ διαφορεῖν. διαφορητικὸν
δέ ἐστι κατάπλασμα κάλλιστον καὶ τὸ δι᾽ αἱρῶν ἄσφαλτον προσλαβόν. ἀφαιρεθέντων δὲ τῶν κατα-
πλασμάτων, κηρώμασι σκεπέσθω τὰ πάσχοντα μόρια ἐσκευασμένοις διὰ βουτύρου. προσειλήφθω
δὲ καὶ ἶριν καὶ δαφνίδας ὀλίγας. καὶ πήγανον. πρὸς γὰρ τῷ μὴ ψύχεσθαι τοὺς τόπους, καὶ τῇ ἀνακω-
30 γῇ συνεργεῖ, ἐν δὲ τῷ τῆς ἀνακωγῆς καιρῷ, καὶ ἡ διὰ χυλῶν ἁρμόδιος. καὶ ἡ μνασαίου. καὶ αἱ ἁπλού-
στεραι μήλιναι. μετὰ δὲ, ἡ ἱκεσίου, καὶ ἡ δι᾽ αἱρῶν. εἰ δὲ φόβος ῥεύματος εἴη, καὶ ἡ θρασεῖα ἐπιτήδειος.
ἐγὼ δὲ συνεχῶς χρῶμαι τῇ διὰ τοῦ ἀγρίου σικύου. πάντων γὰρ κρεῖττον ποιεῖ προγέγραπται δὲ, ἐν
τῷ περὶ ἀσθματικῶν λόγῳ, συνεργεῖν μὲν οὖν χρὴ τῇ ἐκκρίσει τοῦ πύου ᾗ ῥέπει. διὸ, εἰ μὲν εἰς κοι-
λίαν μαλακτικώτερα ἔστω τὰ προσαγόμενα. εἰ δὲ ἐπὶ κύστιν ῥέποι. τὰ διουρητικώτερα διδόναι. ἡ δὲ
διὰ βηχὸς ἡ ἀνακάθαρσις γίγνοιτο. παντὸς προσάρματος οἰκειότερον ἡ πτισάνη ἐστὶ, μέλιτος χρη-
στοῦ προσπλεκομένου. τὰ δὲ διουρητικὰ προσπλεκόμενα ταῖς ῥοφαῖς, ἐπιτήδειά ἐστιν, ὅθεν ἂν ἡ ἔκ-
κρισις τοῦ πύου γίγνοιτο. χρήσιμος δὲ καὶ ὁ κύαμος ἑφθὸς διδόμενος ἐν πάσαις τῶν ἐμπύων δια-
φοραῖς προσλαμβάνων ὀρόβους. ὀλίγον προβραχέντας, καὶ ἀπογλυκανθέντας τῇ ἑψήσει σὺν ὕ-
δατι. καὶ σκοροδοφαγία δὲ χρήσιμος τούτοις εἰς ἀνακάθαρσιν τῶν δὲ πινομένων, ἁπλούστερον μέν ἐστι
40 μελίκρατον. ἐν ἀφηψημένης αὐτῷ ἴρεως, καὶ γλυκυρρίζης πλείστης. ὁ δὲ τῆς γλυκυρρίζης χυλὸς, χρή-
σιμος καὶ διαμασσώμενος. καὶ λεανθεὶς, καὶ σησάμῳ προσπλεκόμενος, ἐπιτήδειον δὲ καὶ τὸ ὕσσωπον
ἑψούμενον τῷ μελικράτῳ. ἔκλειγμα δὲ διδόναι τοῦτο. πιτυΐδων. στροβίλων, ἀμυγδάλων πικρῶν.
λινοσπέρματος. ἀμύλου προσφάτου ἴσα. μέλιτος τὸ ἀρκοῦν. κάλλιστον δὲ, καὶ πεπέρεως ὀλίγον
προσπλέκειν. καὶ ἐρυσίμου σπέρμα. εἰ δὲ χαλεπὴ βὴξ ἐνοχλοίη, βούτυρον νεαρὸν σὺν μέλιτι χλιά-
νας, δίδου ἐκλείχειν. Ἄλλο ἔκλειγμα, ἀνακαθαῖρον τὰς ἐντὸς ἀποστάσεις, ὥστε καὶ ὑμένα ἀνα-
μεγέθεις ἀνάγειν. Καρδαμώμου ∠. η. σαγαπηνοῦ, ∠. δ. σμύρνης, ∠. δ. ὀπίου ∠. β. καστορίου
∠. β. πεπέρεως ∠. α. ὕδατι ἀναπλάττε τροχίσκους ἄγοντας ἀνὰ ὀβολοὺς β. καὶ δίδου μεθ᾽ ὕδα-
τος θερμοῦ, τροχίσκον α. Ἡ θεαπιανὴ πρὸς τὰς ἐντὸς ἀποστάσεις. σελίνου σπέρματος, ∠. γ. ὀπίου
∠. γ. μελανθίου ∠. γ. καστορίου ∠. β. λαύκου σπέρματος. ἴρεως. σινάπεως ἀνὰ ∠. ζ. ἀναλάμ-
50 βανε μέλιτι ἑφθῷ. καὶ δίδου λεκάριον ποντικοῦ μέγεθος ὕδατι. ἢ δι᾽ ὀρρόβων, πρὸς ἐμπυϊκούς. Ὀρό-
βου βεβρεγμένου καὶ πεφρυγμένου, καὶ λελεπισμένου καὶ ἀληλεσμένου, ∠. η. στροβίλων ∠.
η. ἀμύλου ∠. ς. πεπέρεως ∠. ε. πηγάνου χυλοῦ, ∠. α. καὶ μέλιτος ἀπέφθου τὸ ἱκανόν. Τὸ μέγα
διὰ πρασίου. Ναρδοστάχυος. πεπέρεως. πρασίου χυλοῦ ἀνὰ Γο. α. μέλιτος λι. γ. οἴνου παλαιοῦ γλυ-
κέος λι. β. τὸν χυλὸν σὺν τῷ οἴνῳ καὶ τῷ μέλιτι ἕψει. καὶ ὅταν σύστασιν λάβῃ, ἐπίπασσε τὰ ξηρὰ

κεκομμένα.

κεκομμένα καὶ σεσησμένα καὶ χρῶ. Πρὸς ἐμπύους. ἀμώμου γο. β. κασσίας γο. γ. στύρα-
κος καλαμίτου γο. α. S. ναρδοστάχυος γο. α. S. κρόκου γο. α. πεπέρεως γο. α. καρδα-
μου ∠. δ. λιβάνου ∠. δ. μέλιτος λι. γ. χρῶ ὡς κάλλιστα. σκευασία τῆς τοῦ ἀριστέως ἀν-
τιδότου, ἣν παυλίναν καλοῦσιν. Ἀντίδοτος ἀριστέως ἀριστάρχου, δύναμις θαυμαστή, ταύτην
παυλίναν ὀνομάζομεν. αὕτη ποιεῖ βήττουσιν, αἱμοπτοϊκοῖς. φθισικοῖς. ἐμπύοις. περιπνευμονι-
κοῖς, πρὸς σπάσμασι. ῥήγμασι. πρὸς τὰς τοῦ στομάχου ἀναφορὰς, χολέρα. κοιλιακοῖς. δυσεντε-
ρικοῖς. πρὸς τὰς περὶ κύστιν διαθέσεις. καὶ τὰς ὑστερικῶς πνιγομένας. καὶ πρὸς τοὺς κατὰ πε-
ρίοδον πυρετοὺς, πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας διδομένη, ποιεῖ καὶ καχεκτικοῖς, ἀφροφοῦσι,
πρὸς τὰ θανάσιμα τῶν φαρμάκων. καὶ τὰς τῶν ἰοβόλων πληγὰς, ἔχει δὲ οὕτως. κινναμώμου.
10 κόστου. χαλβάνης. καστορίου. ὀπίου. πεπέρεως μέλανος καὶ μακροῦ. στύρακος, ἀνὰ γο. α. μέλι-
τος ξε. α. τὰ ξηρὰ κόπτε καὶ σῆθε. τὴν δὲ χαλβάνην ἕψε μετὰ μέλιτος ὀλίγου. καὶ διΰλιζε.
εἶτα ἑνώσας τὰ πάντα, ἀπόθου εἰς πυξίδα ὑελίνην, καὶ δίδου κυάμου αἰγυπτίου μέγεθος μετὰ
μελικράτου, κυάθους β. ἐπιρραινομένου τῷ δακτύλῳ, ὄξους ὀλίγου. ἡ πάγχρηστος. Ἡ πάγ-
χρηστος λεγομένη, χρήσιμος εἰς πάντα ταῦτα ἐστί. βήττουσι χρονίως, ἐμπύοις, ὀρθοπνοϊκοῖς, φθι-
σικοῖς. ὑποχονδρίων διατάσεσι. καὶ πρὸς πᾶσαν ἐμπνευμάτωσιν. κινεῖ γυναιξὶν ἔμμηνα. καὶ
τὰ ἔγκατα λιμπανόμενα ἐκ φθορᾶς, ἢ τόκου. δεύτερον, καὶ ἔμβρυα κατάγει. ἀπαλλάττει καὶ
τὰς περὶ κύστιν διαθέσεις. ἔχει δὲ οὕτως. τερεβινθίνης ∠. η. στύρακος, ∠. ς. σμύρνης, ∠.
ε. κρόκου. ἴρεως, χαλβάνης, ἀνὰ ∠. δ. ὑοσκυάμου σπέρματος. μανδραγόρου φλοιοῦ. δρυ-
σίμου πεφωγμένου. ὀποπάνακος, ἀνὰ ∠. β. πεπέρεως ∠. α. ἀφρονίτρου, ∠. α. γλυκεῖ
20 ἀναλάμβανε τροχίσκους, καὶ δίδου ὀβολοὺς β μετὰ μελικράτου, κυάθους γ. δίδου δὲ θαῤῥῶν
καὶ τὴν ἰσόθεον ἀντίδοτον τὴν ἐν τοῖς βηχικοῖς προγεγραμμένην. χρῶ καὶ τῇ παιονίᾳ λεγομένῃ
ἀναγέγραπται δὲ ἐν τῷ ιγ λόγῳ σὺν τοῖς πολυχρήστοις ἀντιδότοις καὶ τοῖς πρὸς φθισικοὺς ἀνα-
γραφησομένοις. πεποιῆσθαι δὲ χρὴ καὶ ἄλευρα ἐξ ὀρόβων λευκῶν πρῶτον βεβρεγμένων. εἶτ᾽ ἀνα-
ξηραινομένων. καὶ λελεπισμένων, καὶ ἀληλεσμένων. ταῦτα γὰρ καὶ γάλακτι ἡψημένῳ προσ-
πλέκεται προσλαμβανόντα καὶ μέλι. καὶ σφόδρα ὠφέλιμα γίγνεται. προσπλέκεται δὲ
καὶ τοῖς ἄλλοις ῥοφήμασι καὶ τὰ ἐπὶ τῶν δυσθανατώντων σκευαζόμενα ἐκλείματα, ἐκ τοῦ τοιούτου
σκευαζέσθω. ἀγαθὸν δὲ μιγνύειν τοῖς ῥοφήμασι, καὶ ἀμύγδαλα πικρὰ λελεπισμένα. εὐανάγωγον
δὲ ποιεῖ τὸ πύον καὶ τὸ κεφαλωτὸν πράσον συνεψούμενον τοῖς ῥοφήμασι. καὶ αὐτὸ δὲ εἰς ἑψηθὲν καὶ
λαμβανόμενον. πόμα δὲ ὕδωρ ἔστω τὸ ἐπιμελῶς καθεψημένον. εἰ δὲ οἴνου χρεία γένηται, ὁ θη-
30 ραῖος ἢ ἕτερος γλυκὺς διδόσθω ὀλίγος. ὄξους δὲ καὶ παντὸς οἰνώδους ἑτέρου, καὶ ὕδατος ψυχροῦ,
ἀποχὴ ἔστω. ἐν δὲ τῷ τῆς ἀπουλώσεως καιρῷ, ἐπιτήδειος σκίλλινος οἶνος προποτιζόμενος, ἢ ἀψιν-
θίτης. ἢ οἰνανθίτης, ἐπὶ τῶν ἐμούντων. καὶ τῶν διὰ κύστεως καθαρθέντων, ὑσσωπίτης δὲ καὶ σκίλ-
λινος, ἐπὶ τῶν διὰ βηχός. γλίχωνι τῆς δὲ, ἐπὶ τῶν διὰ τῆς κοιλίας καθαρθέντων. καὶ μάλι-
στα εἰ μελανίζονται ὑπόπυοι, σὺν τοῖς πυώδεσιν. ἢ θρομβώδεις τινὲς συστροφαί. ἐπεὶ δὲ συλλέγεσθαι
εἴωθεν ἐκ διαστημάτων, καὶ ἀποῤῥήγνυσθαι τὰ ἐμπυήματα, φροντιστέον μετὰ τὴν ἀπαλλαγὴν, ὅ-
πως μὴ πάλιν δρομοίη, γαλακτοποσίαις χρωμένους, καὶ τῇ διὰ κολοκυνθίδος ἱερᾷ καθαίρον-
τας. εἶτα καὶ δρώπακας τοῖς τόποις δεῖ προσάγειν. καὶ σμήγματα δριμύτερα φοινίξαι τὴν
ἐπιφάνειαν δυνάμενα. καὶ ἐπιθέματα ταὐτὸ ποιεῖν δυνάμενα. οἷον τὸ δι᾽ εὐφορβίου. τὸ διὰ δαφ-
νίδων. παραληπτέον δὲ καὶ ἀμμοχωσίαν. καὶ ἡ δριμυφαγία ἐπὶ τούτων χρήσιμος ἐκ διαλειμμά-
40 των καὶ μάλιστα τὰ σκόροδα ἑφθά. πολλοὺς δὲ τῶν ἐμπύων μετὰ τὴν ἀπούλωσιν, διὰ ταριχοφα-
γίας, ἀνεπηρεάστους διεφυλάξαμεν. διδόναι δὲ τούτοις συνεχῶς, καὶ ὀξύμελι. ἔστω δὲ σκίλλινον τὸ ὄξος,
καὶ συνεχῶς καθαίρων τὸν θώρακα, ἀβροτόνου ἀφεψήματι. καὶ κενταυρείου. καὶ ὑσσώπου καὶ τοῖς
ὁμοίοις. εἰ δὲ πλειστάκις ἡ τοῦ πύου συλλογὴ γίγνοιτο, ἀσφαλέστερόν ἐστιν ἐσχάραν, διὰ καυτήρων ἐμβα-
λεῖν ἐν κύκλῳ τοῦ θώρακος ὡς ἐπὶ τῶν ἀσθματικῶν προείρηται. Περὶ τῶν πνευμονικῶν. οδ.
Ἡ περιπνευμονία, φλεγμονή ἐστι τοῦ πνεύμονος σὺν ὀξεῖ πυρετῷ. παρέπεται δὲ τοῖς πάσχουσι βά-
ρος τοῦ θώρακος, ἀνώδυνον. εἰ δὲ τῶν παρ᾽ αὐτὸν ὑμένων φλεγμονὴ εἴη τῶν συνδεδεμένων κατὰ
μῆκος τῷ θώρακι, τότε καὶ ὀδύνης αἰσθάνονται. δύσπνοια δὲ τούτοις συνεισβάλλει, καὶ ἀνακαθί-
ζειν βούλονται. ἐπιπίπτων γὰρ ὁ πνεύμων τῇ καρδίᾳ, πνιγμὸν ἐπιφέρει. ἐρυθρὸν τούτοις τὸ πρό-
σωπον, καὶ μάλιστα τὰ μῆλα. ῥὶς κατ᾽ ἄκρον σιμοῦται. φλέβες ἐν κροτάφοις ἐπηρμέναι. ἀνορεξία,
50 ἀναπνοὴ θερμή, γλώττης ξηρότης. ψυχροῦ ὕδατος. μᾶλλον δὲ ἀέρος ἐπιθυμία. βὴξ ξηρά. εἰ δὲ καὶ
ἀναχθείη τι, ἀφρῶδες καὶ κατάχολον, ἔστιν ὅτε καὶ δίαιμον ἀνθηρὸν σφόδρα, ὅτε καὶ κάκιστόν ἐστιν. εἰ
δ᾽ ἐπὶ τὸ θανατῶδες ῥέποιεν, ἀγρυπνία συνεδρεύει ἢ ὕπνοι σμικροὶ κωματώδεις. καὶ φαντασίαι
παράλληλοι τὴν γνώμην. οὐ πάνυ αἰσθανόμενοι τῶν παρόντων κακῶν. ἄκρα ψυχρά. ὄνυχες πε-
λιδνοὶ, καὶ γρυποῦνται, τεταρταῖοι ἢ τὸ πλεῖστον ἑβδομαῖοι, ἤτοι ἀποθνήσκουσιν. εἰ δ᾽ ἐπὶ τὸ ἀγα-

θὸν τρέποιτο ἡ νόσος, αἱμοῤῥαγία λάβρος ἐκ ῥινῶν ἀκολουθεῖ. ἢ κοιλίας ἐκταραξις πολλῶν χολωδῶν καὶ ἀφρωδῶν. ἔστι δ' ὅτε μεταβληθείσης εἰς πύον τῆς φλεγμονῆς, διὰ γαστρὸς, ἢ δι' οὔρων τὸ πύον ἐκκρίνεται. καὶ αὐτίκα τῶν ὀχληρῶν ῥύονται. εἰ δὲ εἰς τὸν πνεύμονα ὁρμήσει, ἀθρόως ἢ ἀπέπνιξεν, ἢ μετὰ πάνυ χαλεπῶν συμπτωμάτων, εἰς φθίσιν μεθίστανται. Εἰ μὲν οὖν μηδὲν ἀντιπράττοι, τέμνειν χρὴ αὐτίκα τὴν ἐν ἀγκῶνι φλέβα. εἰ δ' ἐπιδέχεται, καὶ ἐξ ἀμφοτέρων τῶν χειρῶν, κενοῦν δεῖ σύμμετρον, καὶ μὴ μέχρι λειποθυμίας. φυλάττειν δέ τι καὶ εἰς τὴν ἐπαφαίρεσιν. εἰ δέ τι μεῖζον κωλύει τὴν φλεβοτομίαν, ἀποκλύζειν δριμεῖ κλυστῆρι δι' ἀφεψήματος ὑσσώπου, καὶ κολοκυνθίδος. καὶ πηγάνου. καὶ μέλιτος. καὶ ἐλαίου πλείστου. καὶ νίτρου. καὶ ἄλλων ἐμβαλλομένων. καὶ τῶν φλεβοτομηθέντων δὲ, τὴν ἕδραν διαχρίειν, τοῖς πνεύματα ἄγουσι. καὶ τὴν διαχώρησιν ἐρεθίζουσιν. οἷον μέλιτι μετὰ πηγάνου. καὶ κυμίνου. καὶ νίτρου βραχέος. ποτιστέον δὲ τοὺς περιπνευμονικοὺς, μετὰ τὰς καθολικὰς κενώσεις, μελίκρατον, ἐν ᾧ ὕσσωπον ἀφήψηται. ἢ ἴριν ξηρὰν λείαν ἐμπάσσειν τῷ μελικράτῳ, κοχλιάριον β. εἰ δὲ πνῖγος κατεπείγοι, καὶ νίτρον ἐμπάσσειν τῷ ἀφεψήματι τοῦ ὑσσώπου. ῥοφὴ δὲ ἔστω λεπτύνουσα, πτισάνη ἡ ψημμένη σὺν ὀριγάνῳ, ἢ ὑσσώπῳ, ἢ πεπέρεως λείου ὀλίγον ἐμπάσσων τῷ χυλῷ. ἐνίοτε δὲ καὶ νίτρον ἀντὶ ἁλῶν ἐμβαλεῖν ὅσον ἐπιδέχεται. καὶ πράσου δὲ κεφαλωτὸν δίεφθον διδόσθω. καὶ χόνδρος κατεφθὸς σὺν μελικράτῳ, πάντα δὲ ἄφυσα. τὸ δὲ ποτὸν, μελίκρατον ἔστω ὀλίγον τῷ ποσῷ. κακὸν γὰρ ὑγρότης πνεύμονι. ὑπὸ δὲ τὴν γλῶσσαν δίδου διακατέχειν, μέλι πασιλωθὲν ἐν τῇ ἑψήσει, ἐμπεπασμένου αὐτῷ ὑσσώπου. καὶ καλαμίνθης λειοτάτης. χρῶ δὲ καὶ τοῖς ἤδη τῶν πλευριτικῶν εἰρημένοις ἐκλείγμασι. καὶ ἡ σύμπασα δὲ δίαιτα τῶν γινομένων περιπνευμονικῶν, ἡ αὐτή ἐστι τῶν πλευριτικῶν, καὶ τῶν ἐμπύων. ὁ δὲ θώραξ αὐτῶν ἔξωθεν σκεπέσθω ἐρίοις μετ' ἐλαίου καὶ νίτρου. καὶ κηρωτῇ δὲ σκέπειν τὸν θώρακα καὶ τὰς πλευρὰς, διὰ πηγανίνου. ἢ κυπρίνου ἐλαίου ἐχούσῃ ἴριν ἐμπεπασμένην ξηράν. ἢ τὸ διὰ κηροῦ καὶ τερεβινθίνης. καὶ μυελοῦ ἐλαφείου. καὶ ὑσσώπου ὑγροῦ. καὶ βουτύρου. καὶ ἴρεως λειοτάτης ἐπίθεμα προσαγέσθω. ἔστω δὲ ἴσα τὰ πάντα. ἐνίοτε καὶ νάρδινον μύρον δεῖ ἐμβάλλειν. καὶ μετὰ ταῦτα, τὰ ἤδη τῶν ἐμπυϊκῶν, καὶ φθισικῶν, εἰρημένα πάντα γινέσθω.

Περὶ φθισικῶν, Γαληνοῦ. οε.

Φθίσις ἐστὶ κυρίως, ἕλκωσις τοῦ πνεύμονος ταῖς τοῦ αἵματος πτύσεσιν ἑπομένη. ὅταν τῆς αἱμοῤῥαγίας ἐπισχεθείσης, μὴ κολληθῇ τὸ ἕλκος μηδ' ἐπουλωθῇ. παρέπεται δὲ φθίσις, καὶ ἤδη τῶν ἐμπυϊκῶν. καὶ τῶν περιπνευμονικῶν. ἔσθ' ὅτε δὲ καὶ τῶν πλευριτικῶν παθῶν. δυσιατότατα δέ ἐστι τὰ ἐν τῷ πνεύμονι ἕλκη. χωρὶς μὲν γὰρ τοῦ βήττειν, οὐκ ἀνακαθαίρονται. βηττόντων δὲ ἐπιῤῥήγνυται τὰ ἕλκη, δι' ἀλλήλων οὖν κυκλεῖται τὰ κακά. σπαραττομένων γὰρ ὑπὸ τῆς βηχὸς τῶν φλεγμαινόντων. δεύτερον αὖθις πεμφθῆναι δεῖται ἡ φλεγμονὴ καὶ πάλιν ἐπικινδύνως ἀνακαθαρθῆναι τὸ πύον διὰ βηχός. ὥστε ἐκ πάντων αὐτοῖς παρεσκεύασται τὸ δυσίατον, οὔτε τῶν διδομένων φαρμάκων ψαῦσαι δυναμένων τοῦ ἕλκους πρὶν ἐν τῇ γαστρὶ ἀλλοιωθῆναι. καὶ ὅτι κινεῖται ὁ πνεύμων ἀεὶ κατὰ τὰς ἀναπνοάς. καὶ σπαράττεται κατὰ τὰς βῆχας. χρόνου δὲ προϊόντος. καὶ οἱ χόνδροι τῆς ἐν τῷ πνεύμονι τραχείας ἀρτηρίας, ἐπικαίονται ὡς ἤδη τῶν ἔξω ἑλκῶν τὰ ὀστᾶ. ἅτινα ἐπιξύειν πρὸς λεπίδος ἀπόστασιν οὐκ ἐπιδέχεται. τὰ δὲ χρονίζοντα ἐν τῷ πνεύμονι ἕλκη, κἂν θεραπευθῇ ποτὲ, καταλείπεταί τι λείψανον ἐπ' αὐτῷ τυλῶδές τε καὶ συριγγῶδες, ὃ χρόνου προϊόντος, ἐπὶ βραχείαις προφάσεσιν ἀναῤῥήγνυται ῥᾳδίως. ὅθεν συναναφέρεται τοῖς ἀναπτυομένοις ἐντεῦθεν ἐνίοτε καὶ ἐφελκίς. καί τις αἵματος βραχὺς σταλαγμός. καὶ ἑτέρας ἀρχῆς χρήζει τὸ ἕλκος εἰς θεραπείαν. ἡ δὲ ἐκ τῶν πτυσμάτων σημείωσις προγέγραπται, ἐν τῷ περὶ πυρετῶν λόγῳ, λέγω δὲ ἐν τῷ πέμπτῳ. ὅθεν περιττὸν ἡγοῦμαι κἀνταῦθα αὐτὰ λέγειν.

Θεραπεία τῶν τοῦ πνεύμονος ἑλκῶν.

Θεραπεύειν δὲ δεῖ τὰ ἐν τῷ πνεύμονι ἕλκη, εὐάγωγα παρασκευάζοντας τὰ ὑποκείμενα τῶν ὑγρῶν. καὶ ἀνακαθαίροντας, ἐπιμελουμένους τε ὥστε ἕτερα μὴ συνάγεσθαι. καταπλάσματα μὲν οὖν ἐν ἀρχαῖς παραληπτέον, τὰ διὰ λινοσπέρμου, καὶ γύρεως. δι' ἀφεψήματος τήλεως καὶ ἀλθαίας. ἐλαίου τε καὶ μέλιτος. μιγνύσθω δ' αὐτοῖς, καὶ τὰ τῆς ἀλθαίας φύλλα λεῖα. προσαγέσθω δὲ ταῦτα εὐθέως μετὰ τὰς ἀνέσεις τῶν παροξυσμῶν. χρόνου δὲ διελθόντος ἐπὶ τὰς κηρωτὰς μεταβατέον τὰς διὰ τοῦ βουτύρου, καὶ δαφνίνου ἐλαίου, καὶ κηροῦ σκευαζομένας. ἐν δὲ τῆς ἀνακαθάρσεως καιρῷ, ἐπιθέματι χρηστέον ἐκ τερεβινθίνου καὶ κηροῦ. καὶ κυπρίνου. καὶ βουτύρου. καὶ μυελοῦ ἐλαφείου. καὶ στέατος ταυρείου. καὶ ἴρεως λειοτάτης. καὶ ὑσσώπου ὑγροῦ ἴσων. μετὰ δὲ ταῦτα, τῇ μνασαίου ἐμπλάστρῳ χρηστέον. ἢ τινὶ τῶν ἁπλουστέρων μηλίνων. ῥευματιζομένων δὲ τῶν τόπων τὴν δι' ἰτεῶν προσακτέον. ἥτις καὶ ἐν τῷ καιρῷ τοῦ ἀναξηρασμοῦ, ἐπιτήδειός ἐστιν, ὁμοίως καὶ ἡ διὰ τοῦ ἀγρίου σικύου ἡ προγεγραμμένη ἤδη τῶν ἀσθματικῶν, καὶ δι' αἱρῶν. ἵνα δὲ μὴ περιτείνηται ὁ χρὼς, ἄλειφε πρῶτον τὸν τόπον. καὶ οὕτως ἐπιτίθει τὰ εὔκολλα φάρμακα. οὕτω γὰρ εὐμαρέστερον ἀποσπᾶται. κάλλιστον δὲ πρὸς αὐτὸ μάλαγμα ἐν τῷ τῆς ἀπουλώσεως καιρῷ τόδε. κηροῦ λι. α. πίσσης, λι. α. ἰξοῦ δρυΐνου, γο. δ. ἀμ-

μωνιακοῦ

μωνιακοῦ θυμιάματος Γο. δ. κηκῖδος, ὑποκυστίδος, συπτηρίας σχιστῆς. ἀγαλλικίας. σιδίων. σελίνου σπέρ-
ματος. ῥοῦ μαγειρικοῦ, ἀνὰ Γο. α. μυρσίνης. ἢ ῥοδίνου, Γο. δ. ἐν δὲ τῷ χειμῶνι, μικρῷ πλέον. ὄξει λείου
τὰ ξηρά, καὶ τοὺς ὀπούς. καὶ τήξας τὰ τηκτά, καὶ ἄρας ἀπὸ τοῦ πυρός, ἐπίβαλε τὸν ἰξόν. παγέν-
τος δὲ τούτου, ἐπίβαλε ἐν τῇ κακάβῃ τὰ λειωθέντα. καὶ ἑνώσας κατάχεε ἐν τῇ θυΐᾳ καὶ μαλά-
ξας, χρῶ. Τῶν δὲ πινομένων φαρμάκων, ἁπλούστατον μέν ἐστι τὸ μελίκρατον, καθ' αὑτό, ἢ σὺν
ἀμύλῳ, ἢ ἴρεως. ἢ γλυκυρρίζης ἐν αὐτῷ ἀφηψημένων. πάντων δὲ ἐπιτηδειότερον τοῖς φθισικοῖς, τὸ
ὄνειον γάλα πινόμενον. εἰ δὲ μή, βόειον. ἢ αἴγειον. καὶ καρκῖνοι ὠμοὶ λεαινόμενοι, σὺν τῷ γάλακτι. καὶ
ῥοφούμενοι, ἢ ἑφθοὶ ἐσθιόμενοι. συνεχῶς ἐπιρροφουμένου τοῦ ζωμοῦ. ἐπιτήδειον δὲ αὐτοῖς, καὶ στέαρ
ἐλάφου πρόσφατον τηκόμενον καὶ συνεψούμενον τοῖς ῥοφήμασι. βηχὸς δὲ χαλεπῆς ἐνοχλούσης,
καὶ θύμος λεῖος, καὶ ὕσσωπον ἀναλαμβάνεται μέλιτι ἑφθῷ. ἢ ὑπὸ τῇ γλώττῃ διακρατεῖται.
ἁρμόζει δὲ καὶ βούτυρον πρόσφατον σὺν μέλιτι καὶ τερεβινθίνῃ ἴσῃ ἡψημένον. ἐπὶ δὲ τῶν ἀνεχο-
μένων, πλέον ἔστω τὸ βούτυρον. πρόσφατον μέν τοι, ἀνακαθαίρει γὰρ κάλλιστα. ἡ δὲ δόσις κοχλιάριον
νήστει, καλὸν δὲ καὶ ἀμύγδαλα μάλιστα πικρὰ συνεψεῖν τῇ πτισάνῃ. ἢ κεφαλωτὸν πράσον σὺν τῇ
πτισάνῃ, ἢ ἑτέρῳ ῥοφήματι ἑψηθέν. καὶ καθ' αὑτὸ δὲ ἡψημένον λαμβανέσθω. οἶνος δὲ θηραῖος, καὶ
σκυβελίτης διδόσθω σύμμετρον, πάνυ τῷ πλήθει. Ἔλειγμα δὲ τοῖς φθισικοῖς ἁρμόδιον τοῦτο.
μέλιτος καλλίστου λι. α. σταφίδων λιπαρῶν ἐκγιγαρτισμένων, Γο. β. κρόκου. ἴρεως. ὑοσκυάμου σπέρ-
ματος. τραγακάνθης ἀνὰ ∠. δ. στύρακος ξανθοῦ Γο. α. στροβίλων ∠. ς. ἀμύλου Γο. α. S. δίδου κοχλιά-
ριον νήστει. ἡ τραγάκανθα οἴνῳ ὀλίγῳ γλυκεῖ διαλυέσθω. ὁ δὲ στύραξ ὅλμοκοπείσθω. καὶ ἐπιβαλλέσθω
αὐτῷ τὰ λοιπὰ λεῖα. Ἄλλο. Χυλὸν μαράθρου. μέλιτι ἴσῳ, συνεψήσας, ἐπὶ πολύ, ἐπίβαλε ὡς
πρὸς ξ. α. κρόκου, ∠. α. ῥοῦ ποντικοῦ ∠. β. ἐνίοτε δὲ καὶ ὑποκυστίδος, ∠. α. εἰ δὲ τραχυσμὸς εἴη περὶ
τὸν λάρυγγα, ἐπίβαλε καὶ γλυκυρρίζης λείας ∠. β. καὶ δίδου κοχλιάριον μετὰ ῥοφήματος. Ἄλλο.
Σκίλλαν ὀπτήσας καλῶς λέου τὸ ἐγκάρδιον. καὶ ἐπιβαλὼν μέλιτος μοίρας ς, πρὸς ἓν μέρος τῆς σκίλ-
λης, δίδου νήστει κοχλιάριον. Ἄλλο ἔλειγμα δόκιμον. πρασίου. ὑσσώπου. ἴρεως. γλυκυρρίζης. γλή-
χωνος. δικτάμνου. ἐλελισφάκου. ἰσχάδων. φοινίκων πατητῶν, ἀνὰ Γο. α. ὕδατος, ξ. γ. κόψας ἁδρο-
μερῶς, βρέχε ἡμέρας γ. εἶτα ἕψει εἰς τὸ τρίτον, καὶ διηθήσας, ἐπίβαλε μέλιτος, λι. α. καὶ ἕψει μέ-
χρι συστάσεως. εἶτα ἐπίβαλε ὀροβίνου ἀλεύρου ∠. ιβ. τερεβινθίνης Γο. α. ἀμύλου, ∠. δ. μαστίχης
λειοτάτης, ∠. δ. τραγακάνθης, Γο. α. τὴν τραγάκανθαν βρέχε ὀλίγον τῷ ἑψήματι, καὶ λεάνας ἐπί-
βαλε αὐτῇ τὰ λοιπὰ ξηρά. καὶ ἑνώσας ἐπίχεε αὐτοῖς τὰ ἑψηθέντα καὶ ἀναλάμβανε. καὶ δίδου
κοχλιάριον νήστει. καὶ χρῶ θαρρῶν, καὶ εἰς κοίτην ὁμοίως χρῶ, πεπείραται γάρ. Φθισικοῖς τοῖς ἐμ-
πυϊκοῖς καλόν. Ὀρόβων λευκῶν ἄλευρον χυλῷ σκίλλης ἀναλαβών, ξήραινε. ἢ ὀπτήσας τὴν σκίλ-
λαν καὶ λεάνας, ἀναλάμβανε αὐτῇ τὸ ἄλευρον. ἐπὶ δὲ τῆς χρείας, κύβους σχημάτιζε τοὺς ἀρτίσκους. καὶ
μέλιτι μιγνύς, δίδου κοχλιάριον νήστει. ἀνακαθαίρει γὰρ κάλλιστα. Ἄλλο διὰ πολλῆς πείρας, ἐπὶ
τῶν ψυχροτέρων ἕξεων. Ὀροβίνου ἀλεύρου, Γο. α. ὑσσώπου. κνίδης σπέρματος, ἀνὰ Γο. γ. ἴρεως, Γο.
α. μέλιτος τὸ ἱκανόν, δίδου κοχλιάριον νήστει, χρῶ θαρρῶν. Ἄλλο πάνυ διὰ πείρας ἐπὶ τῶν ψυ-
χροτέρων ἕξεων. Ἴρεως ἰλλυρικῆς. ὀρόβων λευκῶν ἀλεύρου, ἀνὰ Γο. β. ὑσσώπου γλήχωνος ἀνά-
πυου. κνίδης σπέρματος, ἀνὰ ∠. η. πεπέρεως ∠. ιβ. ἀναλάμβανε μέλιτι, καὶ δίδου κοχλιάριον β.
πρωῒ α. καὶ ὀψὲ α. ἔξον δέ σοι καὶ καταπότια ἀναπλάττειν. καὶ διδόναι μίαν παρὰ μίαν ἡμέρας.
Ἄλλο ποιοῦν καὶ φθισικοῖς, καὶ ῥευματιζομένοις τὸν θώρακα. Σικύου ἡμέρου σπέρματος λελεπισμέ-
νου, ∠. η. ἀμυγδάλων λελεπισμένων ∠. δ. λινοσπέρμου, ∠. β. μήκωνος λευκῆς σπέρματος, ∠. β.
κόψας σήσας, ἀναλάμβανε ἀποβρέγματι τραγακάνθης, καὶ ποίει τροχίσκους. καὶ δίδου πρὸς δύναμιν.
τοῖς μέν, ∠. α. τοῖς δὲ ὀβολοὺς β. ἀπυρέτοις μετ' οἴνου γλυκέος ἢ μύρτων ἀποβρέγματος. πυρέσσουσι.
μετὰ τοῦ ἀποβρέγματος φθισικοῖς καὶ βήσσουσι χρονίως. καρύα ποντικὰ πεφρυγμένα ∠. ις. λιβάνου.
χαλβάνης. ἴρεως. πεπέρεως, ἀνὰ ∠. δ. κασσίας. κρόκου. σμύρνης ἀνὰ ∠. γ. ὀπίου ∠. α. κόψας σήσας
δίδου κοχλιάριον α. ὅτε καὶ δύο μεθ' ὕδατος κυάθων τριῶν ἢ γλυκέος κυάθων β. δύναται δὲ καὶ τροχισκά-
ρια διὰ γλυκέος πλασθῆναι. Ἄλλο. Κόπτον φθισιν. σκευαζέσθω ἀπὸ τῆς τῶν ἐλιγμάτων ὕλης
ἀπὸ ἀμυγδάλων πικρῶν λελεπισμένων. στροβίλων νεαρῶν προβεβρεγμένων διὰ τὸ ἐλαιῶδες. λι-
νοσπέρμου. ἀμύλου προσφάτου. πιτυΐδων ξ. α. λινοσπέρμου δὲ ξ. δ. ἀμύλου Γο. ε. πεπέρεως ∠. α.
μέλιτος καλοῦ ἀπηφρισμένου ἑφθοῦ τὸ ἀρκοῦν. ἐπὶ δὲ τῶν δυσπαθῆ τὴν κεφαλὴν ἐχόντων παραι-
τεῖσθαι τὰς πιτυΐδας. ἐμβάλλειν δὲ αὐτῷ κνιδείου σπέρματος. Ἔλειγμα τὸ δι' ὀρόβων, τὸ σκευασθὲν
Διονυσίῳ τῷ στρατηλάτῃ. ὀρόβων λευκῶν πεφρυγμένων καὶ λελεπισμένων καὶ λελειωμένων, Γο. α.
κόστου Γο. δ. κρόκου Γο. β. ἴρεως Γο. α. στροβίλων, Γο. α. πεπέρεως κόκκους ν. λινοσπέρμου. σταφίδων κε-
καθαρμένων. τερεβινθίνης, ἀνὰ Γο. α. βουτύρου ∠. δ. μέλιτος τὸ ἀρκοῦν. ποιεῖ φθισικοῖς ἄκρως.
Ἀντίδοτος ἡ δι' ὀρόβου πάνυ δόκιμος. πρὸς φθισικοὺς ἐμπυϊκούς. χρονίους βῆχας. ἀνακαθαίρει καὶ
ἀπουλοῖ. ἀμυγδάλων πικρῶν λελεπισμένων, Γο. β. ὀροβίνου Γο. δ. ὑσσώπου, Γο. δ. ἴρεως Γο. δ. ἀμύλου

Γο. β̄. πεπέρεως, πάνακος ῥίζης, κρόκου, ἀνὰ Γο. ς̄. ὀμφακίου ξηροῦ χυλοῦ ∠. δ̄. στροβίλων πεφωγ-
μένων Γο. β̄. μέλιτος ἀπηφρισμένου λι. ᾱ. ὄξους Γο. ᾱ. τὸ ὀρόβινον βρεχέσθω ὄξει ἡμέραν μίαν. καὶ ἑνώ-
σας, δίδου κοχλιάριον νήστει. Ἄλλη ἀντίδοτος φθισικῇ. ποιοῦσα πρὸς πᾶσαν χρονίαν βῆχα.
ἀμυγδάλων πικρῶν λελεπισμένων, Γο. ς̄. κνιδείου σπέρματος πεφωγμένου ∠. δ̄. γλυκυῤῥίζης χυλοῦ
ξηροῦ. συμφύτου ῥίζης, ἀνὰ Γο. β̄. γῆς ἀστέρος Γο. ᾱ. S. στροβίλων πεφρυγμένων Γο. ᾱ. S. σησάμου Γο. ᾱ.
λινοσπέρμου πεφρυγμένου Γο. ᾱ. S. σταφίδων κεκαθαρμένων Γο. ᾱ. S. ὀρόβων λευκῶν λειοτάτων Γο. β̄.
τραγακάνθης Γο. ᾱ. ἴρεως Γο. ᾱ. λημνίας σφραγῖδος Γο. ᾱ. S. ἑψήματος καὶ μέλιτος τὸ ἀρκοῦν. εἰς ἀνάλη-
ψιν δίδου κοχλιάριον νήστει. ἐνίοτε δὲ καὶ εἰς κοίτην. χρῶ καὶ τῇ διὰ κωδειῶν ποικίλῃ, τῇ ἀναγρα-
φείσῃ πρὸς καταῤῥόους, εἰς κοίτην διδομένῃ. χρῶ καὶ τοῖς πρὸς ἐμπυϊκοὺς, καὶ τοῖς ἀρτηριακοῖς. ἁρ-
10 μοδιωτάτη δὲ αὐτοῖς, καὶ ἡ ἰσόθεος βηχική. καὶ ἡ παιονία λεγομένη ἀντίδοτος. κεῖται δὲ ἐν τῷ ιγ.
λόγῳ ἐν τοῖς πολυχρήστοις ἀντιδότοις. χρῶ αὐτῇ θαῤῥῶν ποιεῖ καὶ ἡ μιθριδάτου, καὶ ἡ τοῦ Ἔσδρα
πάνυ θαυμαστῶς. καὶ ἡ θηριακὴ ἐκ διαλειμμάτων διδομένη. ἀναγεγραμμέναι δέ εἰσι καὶ αὗται ἐν τῷ
ιγ. λόγῳ. παραδόξως δὲ ποιεῖ, καὶ ἡ ἀρμενιακὴ βῶλος διδομένη μετ' οἴνου λευκοῦ καὶ λεπτοῦ, ὅσον
∠. ᾱ. καταπότιον δέ ἐστι φθισικῆς πάνυ σπουδαῖον, ᾧ ἄλλο οὐ συγκρίνεται. ποιοῦν πρὸς πᾶσαν
χρονίαν βῆχα. καὶ πύον ἀνάγουσι, ἐν ὀλίγαις ἡμέραις τὴν ὠφέλειαν ἐνδεικνύμενον. στύρακος ξανθοῦ. πε-
πέρεως λευκοῦ. σμύρνης σταγονίτιδος. κασσίας. χαλβάνης καθαρᾶς, ὀπίου ἀχαϊκοῦ ἢ ἀσιανοῦ. ἴσα
ἀναλάμβανε τῇ χαλβάνῃ, καὶ τῷ στύρακι. καὶ ποίει καταπότια ὀροβιαῖα. καὶ δίδου καταπίνειν τρία
ἢ πέντε εἰς κοίτην. καὶ ὕδωρ θερμὸν ἐπιῤῥοφείτω. καὶ ὄψει τὴν δύναμιν πάνυ θαυμασίαν. ἐπὶ δὲ
τῶν χρονιζόντων, ἐσχάρας ἐπιβάλλειν δεῖ κατὰ κύκλον τοῦ θώρακος, ὡς ἐπὶ τῶν ἀσθματικῶν
20 προείρηται.

Περὶ πλευρίτιδος. ος.

Ἡ ἀκριβὴς πλευρῖτις φλεγμονή ἐστι τοῦ ὑπεζωκότος ἔνδοθεν τὰς πλευρὰς ὑμένος. νυγματῶδες ἄλ-
γημα σφοδρὸν ἐπιφέρουσα σὺν ὀξυτάτῳ πυρετῷ. δύσπνοιά τε τούτοις συνεδρεύει. καὶ βὴξ ἐνίοτε
μὲν ξηρὰ, ἔστι δ' ὅτε μετὰ ἀναγωγῆς. ἐν ἀρχαῖς μὲν ὕφαιμον, προβαίνοντος δὲ τοῦ χρόνου καὶ πεφ-
θείσης τῆς φλεγμονῆς, πυωδῶν. σφυγμὸς δὲ τούτοις συνεδρεύει σκληρὸς καὶ οἷον ἐμπρίων. εἰ μὲν
οὖν ὀδύνη περὶ τὸν μαζὸν ἐρείδοι. καὶ μέχρι τῆς κλειδὸς διατείνοι, φλεβοτομητέον αὐτίκα θέτως,
εἰ δὲ κάτω εἰς ὑποχόνδριον εἴη ἡ ὀδύνη, καθαρτέον. εἰ δὲ μέτριον εἴη τὸ ἄλγημα καὶ μηδὲν νυγμα-
τῶδες, μὴ δὲ μετὰ βηχὸς καὶ πυρετοῦ ὀξέως, οὐ μεγάλης δεῖται βοηθείας. κλυστὴρ γὰρ πραΰντικὸς
ἐπὶ τούτων πρότερον παραλαμβανέται. ἔπειτα ἀξιολόγως κενωθείσης τῆς κοιλίας, ἐμβροχὴ
προσάγεται, τῷ πεπονθότι πλευρῷ. καὶ σάκελλοι διὰ πιτύρων. καὶ γλίχωνος. καὶ ἀνήθου. καὶ
30 δίαιτα λεπτύνουσα. Ἀρχιγένους. ἐπὶ δὲ τῶν ὀξέως νοσούντων ὡς προείρηται, εἰ περὶ μαζὸν
ἢ κλεῖδα εἴη τὸ ἄλγημα, τέμνειν χρὴ τὴν ἐν ἀγκῶνι φλέβα μὴ τοῦ κατ' εὐθὺ βραχίονος τῆς φλεγμαι-
νούσης πλευρᾶς. ἀλλὰ τῆς ἀντικειμένης χειρός. τὸ κενούμενον δὲ πλῆθος, μὴ μέχρι λειποθυμίας.
κίνδυνος γὰρ ἐκ τούτου, περιπνευμονίαν ἐπιγίνεσθαι. ψυχομένου σφόδρα τοῦ σώματος. ὁ πνεύμων
γὰρ ἀραιὸς καὶ θερμὸς ὑπάρχων. καὶ γειτνιῶν τῷ πλευρῷ, ἑτοίμως τὴν νόσον ὑποδέχεται. χρὴ οὖν καὶ
σύμμετρον ἀφαιρεῖν. καὶ διαστήματος ἱκανοῦ γενομένου, πάλιν ἐπαφαιρεῖν σύμμετρον. εἰ δὲ φόβος
εἴη λειποθυμίας, τῇ ἑξῆς ἐπαφαιρεῖν. ἔπειτα κλύζειν τὴν κοιλίαν. εἰ δὲ μηδὲ οὕτω φέροιτο, ἐνέ-
ματι χρῆσθαι αὐτίκα θέτως, διὰ πηγανίνου ἐλαίου ἐν τα κείσης αὐτῷ τερεβινθίνης καὶ βουτύρου.
ἔπειτα καταιονᾶν ἔξωθεν τὴν πλευρὰν ἐλαίῳ θερμῷ, ἐν ᾧ πήγανον. ἄνηθον. κυπέρου ἄνθος ἐνα-
φέψηται. καὶ ἔριον τεθειωμένον. ἢ αὐτὸ τὸ θεῖον ἔχον ἐμπεπασμένον λεῖον βρέχων τῷ θερμῷ ἐλαίῳ
40 καὶ θύμου θερμοῦ λειοτάτου βραχὺ ἐμπάσας, ἐπιτίθει. καὶ ἐπίδησον κούφως, καὶ συνεχῶς. τῇ
ἐμβροχῇ ταύτῃ κέχρησο, μέχρι τῆς τρίτης ἡμέρας. τῇ δὲ τετάρτῃ, κατάπλασμα προσαγέσθω
διὰ γύρεως. καὶ λινοσπέρμου. καὶ μέλιτος. καὶ ἐλαίου πηγανίνου. ἔστω δὲ πάνυ κοῦφον τὸ κατάπλα-
σμα. εἰ δὲ ὑγροτέρα εἴη ἡ ἀναγωγὴ, καὶ αἰρῶν ἄλευρον καὶ ἐρυσίμου σπέρμα μιγνύειν. ἢ τίλην καὶ νί-
τρον ἐμπάσσειν. εἰ δὲ χρονίζει ἡ ὀδύνη, τῆς ἀνακαθάρσεως ὑγρᾶς γιγνομένης. ἔμπυον μὲν ἐλπὶς τὸν ἄν-
θρωπον γενέσθαι. σίνηπι δὲ συμμιγνύειν χρὴ τοῖς καταπλάσμασι. καὶ καρδαμώμου σπέρμα, ἢ
κάγχρυ. καὶ πύρεθρον. ἢ ὀρόβινον ἄλευρον. κηρῷ καὶ ἀσφάλτῳ σὺν ἐλαίῳ τετηκόσι μίξας, ἐπιτίθει,
φροντιστέον δ' ὅπως θερμὰ διαμένῃ τὰ καταπλάσματα. ἔσται δὲ τοῦτο, ἐλαίου θερμοῦ εἰς φῦσαν
βοείαν ἐμβαλλομένου ὡς ἢ μὴ πλήρους εἶναι τὴν φῦσαν, ἐπιτιθεμένης αὐτῆς τῷ καταπλάσματι.
μετὰ δὲ τὴν ἑβδόμην ἡμέραν, εἰ ὅμοιον τὸ ἄλγημα διαμένοι, σικύαν τῇ πλευρᾷ κολλητέον. καὶ κατα-
50 σχάζειν. ἐπιδηλοτάτη γὰρ ἐπὶ τῶν πλευριτικῶν, ἡ ἀπὸ τῆς σικύας ὠφέλεια. ἐπιπάττειν δὲ καὶ
ἅλας ταῖς ἀμυχαῖς ἢ νίτρου ἐπὶ τῶν καρτερεῖν δυναμένων. ἐπὶ δὲ τῶν ἄλλων, ὀθόνιον βρέξας ἐ-
λαίῳ, καὶ τοῦτο ἅλας ἐπιπάσας, ἐπιτίθει. τῇ δὲ δευτέρᾳ τῶν ἡμερῶν μετὰ τὸν κατασχασμὸν, ἄει-
σον προσβαλεῖν τὴν σικύαν, ὥστε ἐκ τῶν ἀμυχῶν ἕλκειν τινὰ λεπτὸν ἰχῶρα. ἀνυσιμώτερον γὰρ
τοῦτο, τῆς προτέρας ἀφαιρέσεως. οὐ γὰρ αἷμά τι ἐν τῇ δευτέρᾳ ἡμέρᾳ ἐστὶ τὸ ἐκκρινόμενον. ἀλλ' ἰχὼρ.

ρον. τῇ δὲ τρίτῃ μετὰ τὴν ἀφαίμαξιν, κηρωτὴν κυπρίνην, ἢ πηγανίνην ἐπιτιθέναι ταῖς ἀμυχαῖς, καὶ παντὶ τῷ πλευρῷ δηλονότι. οὐδέποτε γὰρ γυμνὸν ἐγκαταλιπεῖν χρὴ τὸν πεπονθότα τόπον. εἰ δὲ μεταβολῆς τοῦ ὑγροῦ σημεῖα φαίνεται, καὶ μὴ διαφορηθείη, συμβρέχειν χρὴ τῇ μεταβολῇ προσπλέκοντας τοῖς καταπλάσμασι, καὶ ἀλθαίαν. καὶ ἰσχάδας. μετὰ δὲ ταῦτα ἐπιθέμασι χρηστέον, καὶ μάλιστα ἐν τῷ τῆς ἀναγωγῆς καιρῷ. ἔστι δὲ τὸ τοιοῦτον. βουτύρου. τερεβινθίνης. ὑσσώπου φαρμάκου. κηροῦ. μυελοῦ ἐλάφου, καὶ ἴρεως ἴσα. κυπρίνου ἐλαίου, ἢ πηγανίνου σύμμετρον ἐμβαλλομένου. ἄριστον δὲ καὶ θεῖον ἐπιπάττειν λειότατον τῇ κηρωτῇ τακείσῃ. θαυμαστῶς δὲ ποιεῖ ἐπ' αὐτῶν καὶ ἡ τῆς κράμβης ῥίζα ξηρὰ καεῖσα σὺν τοῖς ξηροῖς καυλοῖς. ἀναληφθείσης τῆς τέφρας, ὀξυγγίῳ χοιρείῳ παλαιῷ ἀρκοῦντι, ἵνα μὴ διαῤῥέῃ εἰς τὸ σῶμα, καὶ μολύνει. διαφορεῖ γὰρ γενναίως, καὶ τὰς ὀδύνας παραμυθεῖται. καλῶς ποιεῖ καὶ τὰ ἁπαλὰ φύλλα λειότατα σὺν τῷ ὀξυγγίῳ ἐπιτιθέμενα. ἢ πράσιον ὁμοίως, ἢ τέφρα κληματίνη. ἢ τὰ φύλλα τῆς κυπαρίσσου. καὶ σῦκα λιπαρά. καὶ ὀξύγγιον ἴσα ἢ [illegible] αἰγὸς σὺν ὀξυγγίῳ ἐπιτίθει. Ἄλλο ἐπίθεμα πλευριτικὸν πάνυ καλόν. Κυπρίνου λι. α. κηροῦ, τερεβινθίνης ἀνὰ γο. ϛ. χαλβάνης γο. α. S. ὀποπάνακος γο. α. πηγάνου φύλλα γο. β. ὁ ὀποπάναξ κυπρίνου διαλύεται. ἡ δὲ χαλβάνη πηγάνου φύλλοις συλλειοῦται. τὰ δὲ τηκτὰ τακέντα καὶ ψυγέντα, ἐπιμίγνυται τοῖς λειωθεῖσιν. Ἄλλο διὰ πολλῆς πείρας. καὶ ἐπὶ τῶν ἐγχρονιζόντων εὐδοκιμοῦν. Πηγάνου γο. β. θείου ἀπύρου γο. α. νίτρου ∠. δ. στέατος χοιρείου γο. δ. κηροῦ. κυπρίνου ἐλαίου ἀνὰ γο. ϛ. βουτύρου. ὑσσώπου ὑγροῦ, ἀνὰ γο. β. τερεβινθίνης γο. α. Ἄλλο. Ἐπίθεμα πλευριτικοῖς, καὶ ἐπὶ τῶν ἐπὶ πολὺ χρονιζόντων ἀλγημάτων, κηροῦ πιτυΐνης. πίσσης δαφνίδων λελεπισμένων ἀνὰ λι. α. ἀμμωνιακοῦ θυμιάματος γο. ϛ. χαλβάνης γο. δ. πυρέθρου γο. β. ἰοῦ γο. α. νίτρου γο. β. εὐφορβίου γο. α. οἱ δὲ ∠. α. ἐλαίου δαφνίνου, ἢ τοῦ κοινοῦ παλαιοτάτου γο. δ. σκεύαζε καὶ χρῶ. φοινίσσει τὴν ἐπιφάνειαν καὶ κουφίζει τὸ βάθος. ἐπίθεμα δυσῶδες πλευριτικόν. πιτυΐνης λι. α. κηροῦ γο. ϛ. πηγάνου χλωροῦ γο. δ. κυπρίνου γο. ϛ. θείου ἀπύρου. ὀποπάνακος. σαγαπηνοῦ χαλβάνης ἀνὰ ∠. δ.

Περὶ πομάτων πλευριτικῶν.

Γινόμενα δὲ ὠφελεῖ πλευριτικούς. ἐν ἀρχαῖς μὲν, μελίκρατον ἐν ᾧ ἀφήψηται πήγανον. μετὰ δὲ ταῦτα καὶ ὕσσωπον, ἢ καλαμίνθη. ἢ ὀρίγανον. ἢ ἶρις. ἢ ἀριστολοχίας ῥίζα. Ἄλλο πόμα ὠφελοῦν παραχρῆμα. φοῦ ῥίζας ὅσον δεσμίδιον. ἕψει μεθ' ὕδατος ξε. γ. καὶ τὸ ὑγρὸν ἐκθλίψας, πρόσβαλλε τῷ ξε. μέλιτος γο. δ. καὶ πάλιν δίδου κυάθους γ. πρὸ τροφῆς. Ἄλλο. Χαμαιπίτυος, δεσμίδιον χειροπληθὲς. ὕδατος ξε. γ. σκεύαζε. καὶ χρῶ καθὰ προείρηται. Ἄλλο. Στοιχάδος λειοτάτης. ∠. α. δίδου ἐν μελικράτῳ. ἢ χαμαίδρυν ὁμοίως, ἢ σκευάσας τὴν χαμαιπίτυν. ποιεῖ δὲ καὶ δρακοντίου ῥίζα ἑφθὴ ἐσθιομένη, καὶ ἄρου ῥίζα ὁμοίως. ὑπὸ δὲ τὴν γλῶτταν ψηφία διὰ μέλιτος καὶ ἑφθοῦ τήκοντες καταπινέτωσαν. Ἔλιγμα ἐπιτήδειον τὸ τοιοῦτο. κνίδης σπέρματος. λινοσπέρμου. στροβίλων. ἀμύλου. ἀνὰ κυάθου α. ἀμύγδαλα πικρὰ λελεπισμένα, κε. πεπέρεως κόκκοι λ. φρύξας ἐπ' ὀλίγον τὰ στροβίλια καὶ τὸ λινόσπερμον. εἶτα κόψας σήσας τὰ ἄλλα καὶ ἀναλαβὼν μέλιτι ἀπηφρισμένῳ ἀρκοῦντι δίδου κοχλιάριον α. νήστει ἔλειγμα. Βούτυρον νεαρὸν μετὰ ἴσου μέλιτος ἑψήσας, δίδου κοχλιάριον α. ἐπὶ δὲ τῶν κεχρονισμένων πλευριτικῶν, δίδου βαλσάμου καρπὸν ∠. α. μετὰ μελικράτου. ἢ γεντιανῆς ∠. β. ἢ κενταυρείου τοῦ μεγάλου ῥίζης ∠. ε. σὺν οἴνῳ. εἰ δὲ ὑγρὰ καὶ ἄπεπτα, ἀνάγει ἁρμόδιον τόδε. σμύρνης τρωγλίτιδος, ∠. β. κρόκου, ∠. β. πεπέρεως κόκκοι ιε. μέλιτος ἀπηφρισμένου λι. α. ἀναλαβὼν δίδου κοχλιαρίου τὸ S. Ὀρειβασίου ἀντίδοτος πλευριτικοῖς καὶ πρὸς τοὺς ἐν θώρακι ῥευματισμούς. κέγχρυος. ὀποπάνακος. σαγαπηνοῦ. καστορείου. ἀνίσου. σεσέλεως ἀνὰ ∠. η. σμύρνης. ὀπίου ἀνὰ ∠. δ. ἀσφάλτου ∠. γ. S. πεπέρεως ∠. β. λιβάνου ∠. α. S. χρῶ σὺν ὑδρομέλιτι κυάθους γ. Ἀντίδοτος πλευριτικὴ πάνυ καλή. δαφνίδων ∠. η. πηγάνου ἀγρίου σπέρματος ∠. η. ἀριστολοχίας μακρᾶς ∠. ϛ. σμύρνης ∠. δ. γεντιανῆς ∠. δ. μέλιτος ἀπηφρισμένου λι. α. ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος ἢ κυάμου ἢ ἀράκος. ποιεῖ καὶ ἐμπυϊκοῖς. ἄσθμασι. ῥήγμασι. Σκευασία τῆς διὰ τεσσάρων λεγομένης ἀντιδότου, ἣν τινὲς μυστήριον καλοῦσι. Καὶ ἡ διὰ τεσσάρων δὲ λεγομένη ἀντίδοτος, ἄριστα ποιεῖ. ἔχει δὲ οὕτως. σμύρνης. γεντιανῆς. ἀριστολοχίας. δαφνίδων, ἴσα ἀναλαβὼν μέλιτι ἑφθῷ, δίδου κυάμου μέγεθος, ἀπυρέτοις μετ' οἴνου κεκραμένου κυάθους δ. πυρέσσουσι δὲ μετὰ μελικράτου. ποιεῖ πρὸς ἄσθματα. ῥήγματα. ὀρθοπνοϊκοῖς. περιπνευμονικοῖς. στροφουμένοις. ἰκτερικοῖς. καὶ τοῖς δηλητήριον πεπωκόσιν. ἔστι δὲ καὶ θηριακὴ ἀγαθὴ πινομένη. καὶ κατὰ τοῦ δήγματος ἐπιτιθεμένη, ποιεῖ καὶ κοιλιακοῖς πάνυ καλῶς. ταύτην τινὲς μυστήριον καλοῦσιν. Ἄλλη. Ἀντίδοτος πλευριτικοῖς φάρμακον ἐπιτετευγμένον. ἄγει καὶ ἔμμηνα. καὶ ἔμβρυα. καὶ τὰ ἐγκαταλιμπανόμενα μετὰ τὸν τόκον δεύτερα. δικτάμνου. σαγαπηνοῦ. ὀποπάνακος. χαμαίδρυος ἀνὰ ∠. δ. σμύρνης. πηγάνου ἀγρίου σπέρματος. βράθυος. κενταυρείου λεπτοῦ κόμης. πεπέρεως, ἀνὰ ∠. β. γεντιανῆς ῥίζης ∠. ϛ. δαφνίδων ∠. ιϛ. ἀριστολοχίας στρογγύλης ∠. β. μέλι-

μεθ' ὑδρομέλιτος κυάθους α.
τος ἀπηφρισμένου τὸ ἀρκοῦν. ἡ δόσις καρύου ποντικοῦ τὸ μέγεθος,
ζοφὰς δὲ διδόναι, ῥοφήματα πόλεις ἐν ἀρχαῖς ὑπακτικὰς τῆς γαστρός. οἷον, πτισάνης χυλὸν μετὰ μέ-
λιτος χωρὶς ἁλῶν, ἢ ἐστορίας ἐπιμιξίας. μετὰ δὲ ταῦτα, ἀδιήθητον τὴν πτισάνην ὅλην διδό-
ναι. εἶτα καὶ ψίχας σὺν τῷ μελικράτῳ. εἰ δὲ ἀποδιάκειται ὁ κάμνων πρὸς τὸ μέλι, ἔλαιον κάλλι-
στον ἐξ ἀρχῆς ἐμβαλὼν τῇ πτισάνῃ, καὶ κεφαλωτὸν πράσον, συνέψει. εἶτα ἅλσιν ἐλαχίστοις ἀρτύ-
σας. δίδου. παρακμάζοντος τοῦ πάθους, καὶ τοὺς πετραίους ἰχθύας διδόναι δεῖ. καὶ περιστεράς. καὶ
πᾶσαν δίαιταν λεπτύνουσαν ἐπιτηδευτέον. ἡ δὲ κοιλία ὑπαγέσθω συνεχῶς καὶ μάλιστα ἐν ταῖς
μεγίσταις ὀδύναις. μὴ μέντοι τινὰ τῶν δραστικωτέρων προσάγειν. μαστίχην οὖν λειοτάτην ποιήσας,
δίδου γράμματα θ. μεθ' ὕδατος χλιαροῦ. ἢ γαλακτώδους. λύεται γὰρ τῷ θερμῷ. ποθείσης δὲ ταύ-
της, ἔχων ἐν ἑτοίμῳ ἀμύγδαλα πικρὰ λελεπισμένα κ, λεάνας ταῦτα σὺν ὀλίγῳ μέλιτι. δίδου
10 ἐκλείχειν. καὶ ἐπιρροφεῖν ὕδατος θερμοῦ βραχύ. προκοπῆς δὲ γινομένης καθαίρειν τῇ ὑποκειμέ-
νῃ ἀσκληπιάδου ἱερᾷ, πρὸς τὸ ἀποτρίβεσθαι τὰ λείψανα τοῦ πάθους. τὰ γὰρ ἐγκαταλιμπανό-
μενα ἐν ταῖς νόσοις, ὑποστροφὰς εἰώθεν ποιεῖν. καὶ τὰ μὴ καθαρὰ τῶν σωμάτων ὁκόσον ἂν θρέψῃς,
μᾶλλον βλάψεις. ἔχει δὲ οὕτως ἡ ἱερά. Ἱερὰ ἀσκληπιάδου. Κολοκυνθίδος ἐντεριώνης, ∠. λϛ.
πρασίου. στοιχάδος. χαμαίδρυος, ἀνὰ ∠. ιδ. σμύρνης. ναρδοστάχυος. πεπέρεως μακροῦ. σχίνου ἄνθους.
κασίας. κινναμώμου, ἀνὰ ∠. ϛ. κρόκου, ∠. α. κενταυρείου μεγάλου ῥίζης, ∠. δ. χαλβάνης, ∠.
δ. μέλιτι ἑφθῷ ἀναλάμβανε. καὶ δίδου τοῖς μὲν πλευριτικοῖς, καρύου ποντικοῦ τὸ τετραπλοῦν μέ-
γεθος μετὰ μελικράτου κυάθους α. φθισικοῖς δὲ καὶ ἐμπυϊκοῖς, καρύου ποντικοῦ τὸ τετραπλοῦν
μέγεθος μετὰ μελικράτου. κατάγει δὲ αὕτη καὶ τὰς ἐν βάθει ἀποστάσεις σὺν τοῖς χιτωνίσκοις. ποιεῖ
καὶ ἐμπύοις, καὶ τοῖς περὶ τὴν κεφαλὴν πάθεσι στομαχικοῖς, καὶ τοῖς συνεχῶς ἀπεμοῦσι τὴν ζοφήν.

20 Περὶ τῆς νομιζομένης πλευρίτιδος μὴ οὔσης δέ. οζ.

Ἐξ ἀπεψιῶν πλειόνων καὶ παχυχύμων ἐδεσμάτων καὶ φλεγματωδῶν. βολβῶν μάλιστα καὶ μυ-
κήτων, καὶ τῶν παραπλησίων, ὠμοὶ χυμοὶ καὶ γλίσχροι. καὶ κολλώδεις γεννηθέντες ἐν τῷ σώμα-
τι. ἔστιν ὅτε αἰφνίδιον συρρέουσιν εἰς τὰ κενὰ τοῦ θώρακος ἢ καὶ εἰς αὐτὸν τὸν πνεύμονα, καὶ τῷ πλήθει
συνδιατείνοντες τὸν ὑπεζωκότα τὰς πλευρὰς ἔνδοθεν ὑμένα, ὀδύνας ἐπιφέρουσιν, ὡς φαντα-
σίαν φλεγμονῆς ἐμποιεῖν τοῖς ἀπείροις. ἀλλὰ καὶ τὰς ὁδοὺς τοῦ πνεύματος ἀπολαμβάνοντες, δυσ-
πνοίας ὑπερβαλλούσης αἴτιοι γίγνονται. καί τινες τῶν ἰατρῶν πλανώμενοι, τέμνοντες τὴν ἐν ἀγ-
κῶνι φλέβα καὶ πλεῖστον αἷμα κενώσαντες, θανάτου αἴτιοι γεγόνασι τῷ κάμνοντι. προσήκει τοίνυν
ἐπανερωτᾷν περὶ τῆς προγεγενημένης διαίτης. καταμανθάνειν δὲ ἀκριβῶς καὶ τὸ εἶδος τῆς ἀνα-
πνοῆς, ἅπτεσθαι δὲ καὶ τῶν σφυγμῶν. καὶ τῇ ἀφῇ, καταμανθάνειν τὸ ποιὸν τῆς θερμασίας. καὶ
30 γὰρ ἐπὶ τούτων, οὐκ ἐκ τῆς ὀδύνης, ἡ ἀναπνοὴ τὸ πλεῖστον ἐπικόπτεται. ἀλλὰ διὰ τὸ ἐμπεφράχθαι
τὰς ὁδοὺς τοῦ πνεύματος. καὶ τὸ εἶδος τῆς ἀναπνοῆς αὐτῆς ὡς ἀγχόνης περικειμένης τῷ τραχήλῳ γί-
γνεται. ὕπτιοι δὲ ὡς ἐπίπαν ἀεὶ κατακλίνονται. μὴ ἰσχύοντες μὴ δὲ καλῶς φθέγγεσθαι ἀπύρετοι δὲ
εἰσὶν ὡς τὸ πολύ. ἔστι δ' ὅτε καὶ ψυχρότερον τοῦ συνήθους τὸ σῶμα ἐπ' αὐτῶν εὑρίσκεται. εἰ δὲ πυ-
ρέξαιέν ποτε, βληχρότατος αὐτοῖς ἐστιν ὁ πυρετὸς καὶ ἀδιψότεροι εἰσί. τὸ δὲ μέγιστον πρὸς τοῖς εἰρη-
μένοις τεκμήριον. σφυγμὸς δυσκίνητος ἐστί, καὶ μικρότατος, καὶ βραδύτατος τοῦ συνήθους.

Θεραπεία.

Θεραπεύοντες μέντοι τοὺς τοιούτους. πάντα τὰ θερμαίνοντα, καὶ ῥύπτοντα καὶ τέμνοντα, προσοί-
σομεν. ἔνδοθέν τε καὶ ἔξωθεν. καὶ πρῶτον μὲν ἀπὸ τῶν ἁπλουστέρων ἀρκτέον. κλυστῆρι τοίνυν τῷ
συνήθει τὴν κοιλίαν ἐκκοπρώσομεν. ἔπειτα καὶ δραστικωτέρῳ χρησόμεθα δι' ἀφεψήματος καλα-
40 μίνθης. ἐνίοτε καὶ κενταυρείου. μέλιτός τε πλείονος, καὶ νίτρου καὶ ἐλαίου. τὴν γὰρ κολοκυνθίδα
ἐπὶ τούτων παραιτούμεθα, διὰ τὸ κακοστόμαχον αὐτῆς. μετὰ δὲ τῆς κοιλίας κένωσιν, ἐλαίῳ πή-
γανον καὶ ἄνηθον ἀναφεψήσαντες, καταιονήσομεν τοὺς πάσχοντας τόπους ἐπιπολύ. καὶ ἔρια βρέ-
ξαντες τῷ ἐλαίῳ, ἐπιθήσομεν. προσοίσομεν δὲ ποτὸν, μελίκρατον. ἐν ᾧ ἀφήψηται ὕσσωπον.
γλήχων. ἶρις. στοιχάδος πλεῖσται. χυλόν τε πτισάνης λεπτότατον μετὰ μέλιτος προσάξομεν
ὑπαγωγῆς χάριν τῆς γαστρός. ἔκλειγμα δὲ αὐτοῖς ἐπιτήδειον τὸ τοιόνδε. κνίδης σπέρματος.
ὑσσώπου. ἴρεως. στροβίλων. ἀμυγδάλων πικρῶν. ἴσον ἑκάστου. καὶ πεπέρεως βραχύ. καὶ μέ-
λιτος καλλίστου ἀπηφρισμένου τὸ ἱκανόν. δίδου κοχλιάριον, μεγίστου πλῆθος ἐκ τούτου νήστει.
ἔπειτα διαστήσας, δίδου τὸ μελίκρατον ὡς προείρηται. καὶ μετὰ ὥρας δύο, τὸν χυλὸν τῆς
πτισάνης. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν, καταπλάττε τῷ κριθίνῳ μετὰ λινοσπέρματος καὶ πλεί-
50 ονος τήλεως. προσεμβάλλομεν δέ τι καὶ σινήπεως λειοτάτου καὶ δαφνίδων. καὶ νίτρου βρα-
χέος. τὸ δὲ ὑγρὸν, μέλι ἔστω, καὶ ἔλαιον πηγάνινον. ἢ κύπρινον. ἢ ἀνήθινον. περιλαμβανέτω δὲ τὸ
κατάπλασμα τὸν θώρακα καὶ τὰς πλευράς. ἀρθέντος δὲ τοῦ καταπλάσματος, σκεπέσθω ὁ θώ-
ραξ κηρωτῇ τῇ διὰ βουτύρου. καὶ τερεβινθίνῃ. ὑσσώπου τε ὑγροῦ, καὶ κηροῦ. καὶ στέατος ταυρείου.

καὶ ἴρεως ἴσον. ἐνίοτε δὲ καὶ μυελοῦ ἐλαφείου. καὶ κυπρίνου ἢ πηγανίνου ἐλαίου. προσεμπάσσειν
δὲ τῇ κηρωτῇ τὰ κήσῃ καὶ θεῖον λειότατον. κατὰ δὲ τοῦ στομάχου, πτύγμα ἐρίου, ναρδίνῳ μύρῳ
βρέχοντες καὶ ὀλίγῳ οἴνῳ ἐπιτίθεμεν. ἐπικεῖσθαι αὐτὸ ἐῶντες ἀεί. ἤδη δὲ τῶν πνιγῆναι κινδυ-
νευόντων, χρησόμεθα τεθαῤῥηκότως τοῖς ἤδη τῶν συναγχικῶν προειρημένοις ἐμετικοῖς. καὶ μάλι-
στα τοῖς δι' ἐλατηρίου. καὶ σινήπεως, καὶ νίτρου. Ἀρχιγένους. Πρῶτον μὲν, διαχρίοντες
αὐτὸ μετ' ἐλαίου καὶ μέλιτος ἔσωθεν. ἔπειτα καὶ ποτίζοντες, ὡς ἐκεῖσε προείπομεν. μελίκρατον
διδόντες καταῤῥοφεῖν ἐν ᾧ ὕσσωπον ἐνήψηται. διαλυθέντων δὲ τῶν χυμῶν, ἐπὰν αὔξηται ἀνά-
γειν, ἐπιτείνεται αὐτοῖς καὶ ἡ βήξ. δοτέον οὖν αὐτοῖς τηνικαῦτα εἰς κοίτην τῆς βηχικῆς τῆς ἰσο-
θέου λεγομένης ἀντιδότου, καρύου ποντικοῦ μέγεθος μετὰ μελικράτου. καὶ γὰρ ὕπνον ἡδὺν ἐπιφέ-
10 ρει, καὶ εὐανάγωγα τὰ ὑγρὰ παρασκευάζει, καὶ τὴν βῆχα παύει. καὶ τὰς ὀδύνας διασκεδάζει.
προγέγραπται δὲ ἐν τοῖς βηχικοῖς. ἐπειδὴ δὲ τούτοις, καὶ ἡ γαστὴρ οὐκ εὐοδοῦται, δοτέον αὐτοῖς μαστί-
χης λειοτάτης ℥. θ. μεθ' ὕδατος κυάθους γαλακτώδους πίνειν. ἔπειτα ἀμύγδαλα πικρὰ λελε-
πισμένα λειώσαντες, μετ' ὀλίγου μέλιτος, δίδομεν ἐκλείχειν. καὶ ἐπιῤῥοφεῖν ὕδωρ θερμὸν ὀλί-
γον παραινοῦμεν. προκοπτούσης δὲ τῆς θεραπείας, καὶ στρουθῶν νεοσσοὺς ἐν τροφῇ προσοίσομεν,
μετὰ κεφαλωτοῦ πράσου προηψημένου. καὶ ἀνήθου. καὶ ἐλαίου. καὶ ἄλλων συμμέτρων. καὶ πεπέ-
ρεως ὀλίγου. οἶνον δὲ πινέτωσαν κιῤῥὸν παλαιὸν σύμμετρον τῷ πλήθει. τὸ μέντοι ἔκλειγμα τὸ προει-
ρημένον, διὰ κνίδης σπέρματος καθ' ἑκάστην προσοίσομεν νήστει, καὶ εἰς κοίτην τῆς ἰσοθέου ἀν-
τιδότου παρὰ μίαν. ἐνίοτε δὲ καὶ καθ' ἑκάστην, ἄχρις ἂν τῶν σκληρῶν ἀπαλλαγῶσιν οἱ
πάσχοντες. ἡ δὲ τῷ θώρακι προσαγομένη κηρωτὴ, καθ' ἑκάστην δεύτερον νεαρο-
20 ποιείσθω. ἐπεχομένης δὲ τῆς κοιλίας, καὶ ἡ μαστίχης μετὰ τῶν ἀμυγδάλων,
καὶ τοῦ μέλιτος διδόσθω. Γαληνοῦ ἔκλειγμα, πρὸς ἄλγημα χρό-
νιον ἐν θώρακι χωρὶς πυρετοῦ. Τίλω προβρέξας. εἶτα
ἑψήσας, καὶ ἀποχέας τὸ πρῶτον ὕδωρ. εἶτα φοινίκων
λιπαρῶν σάρκας ἐπιβαλὼν, ἕψει ἐκθλίψας,
τὸν χυλόν. καὶ μετὰ λίπους δαψιλοῦς ἕψει
αὖθις ἐπ' ἀνθράκων μέχρι πάχους
συμμέτρου. καὶ δίδου ἐκ τού-
του πρὸ πολλοῦ τῶν
σιτίων, ἐκλεί-
χειν.

30

Τέλος τοῦ ὀγδόου λόγου. περὶ τὸ πρόσωπον καὶ στόμα καὶ θώρακα συνισταμένων παθῶν.

* a b c d e f g h i k l m n o p q r
ſ t u x y.
Quaterniones omnes, præter * duernionem, & u quinternionem.

Venetiis, in ædibus hæredum Aldi Manutii, & Andreæ Aſulani,
Menſe Sept. M D XXXIIII.

ξέστης ... γράμμα. γραμμάδιον ... 1400.
ὀβολὸς ... 110. 17. ... 52. 28.
μυάκιον conchula 54. 19. ... 346.
δράκα ... 114. 6. 12.
χειρόπληθες ... χειρόπληθες ...
... 153. 6. 17.
κότυλαι ἤ τουτέστι ὀγγίας 139. 48.

AL DVS.